CORPUS FONTIUM HISTORIAE BYZANTINAE

CONSILIO SOCIETATIS INTERNATIONALIS STUDIIS BYZANTINIS PROVEHENDIS DESTINATAE EDITUM

VOLUMEN XXXI/2

SERIES BEROLINENSIS

EDIDERUNT

H.-G. BECK · A. KAMBYLIS · R. KEYDELL (†)

WALTER DE GRUYTER
BEROLINI ET NOVI EBORACI MCMXCII

THEODORI STUDITAE EPISTULAE

RECENSUIT
GEORGIOS FATOUROS

PARS ALTERA
TEXTUM EPP. 71–564 ET INDICES CONTINENS

WALTER DE GRUYTER
BEROLINI ET NOVI EBORACI MCMXCII

Gedruckt mit Unterstützung der Deutschen Forschungsgemeinschaft

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Theodorus <Studita>:
[Epistulae]
Theodori Studitae epistulae / rec. Georgios Fatouros. – Berolini ; Novi Eboraci : de Gruyter.
(Corpus fontium historiae Byzantinae; Vol. 31 : Ser. Berolinensis)
ISBN 3-11-008808-8
NE: Fatouros, Georgios [Hrsg.]; GT

PS. 2. Textum (epp. 71 – 560) et indices continens. – 1991

Printed in Germany

Satz und Druck: Arthur Collignon GmbH, Berlin
Buchbinderische Verarbeitung: Lüderitz & Bauer GmbH, Berlin

TEIL II

TEXT

ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ,
οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν
ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν.

Philipp. 1,29

SIGLORUM CODICUM CONSPECTUS ALPHABETICUS

A	=	Vaticanus graecus 712, s. XIII	p. 57*
a	=	Parisinus suppl. gr. 1089, s. XVI	p. 64*
B	=	Vindobonensis juridicus graecus 10, s. XIII	p. 59*
b	=	Coislinianus 39, s. XVI – XVII	p. 63*
C	=	Coislinianus 269, s. IX	p. 44*
c	=	Parisinus suppl. gr. 284, s. XVIII	p. 64*
D	=	Bodleianus misc. graecus 179, s. XVII	p. 62*
d	=	Hauniensis graecus 1985, s. XIV – XV	p. 60*
E	=	Scorialensis graecus 380, s. XIII – XIV	p. 59*
e	=	Vaticanus Palatinus graecus 371, s. XIV	p. 57*
F	=	Parisinus graecus 1220, s. XIV	p. 61*
G	=	Scorialensis graecus 262, s. XIII	p. 59*
H	=	Vindobonensis philologicus graecus 6, s. XVI	p. 59*
I	=	Parisinus graecus 1321, s. XVI	p. 61*
J	=	Marcianus graecus 1267, s. XV	p. 60*
K	=	Marcianus graecus 1077, s. XIV	p. 60*
L	=	Laurentianus graecus acqu. 39, s. XVI	p. 62*
M	=	Patmiacus 113, s. XII	p. 48*
m	=	Meteorensis S. Stephani 22, s. XVI	p. 65*
N	=	Vaticanus graecus 722, s. XVI	p. 58*
O	=	Vindobonensis historicus graecus 34, a. 1430	p. 59*
P	=	Parisinus graecus 894, s. XIV	p. 50*
		P_1 = versio epistulae prima in P	
		P_2 = versio epistulae altera in P	
Q	=	Marcianus graecus 432, s. XIV	p. 60*
R	=	Parisinus graecus 896, s. XVII	p. 55*
S	=	Coislinianus 94, s. XV	p. 52*
		S_1 = versio epistulae prima in S	
		S_2 = versio epistulae altera in S	
T	=	Vaticanus graecus 633, s. XIII – XIV	p. 56*
U	=	Vaticanus graecus 1890, s. XV – XVI	p. 58*
V	=	Vaticanus graecus 1432, s. XII	p. 46*
		V_1 = versio epistulae prima in V	
		V_2 = versio epistulae altera in V	
W	=	Parisinus graecus 364, s. XIV	p. 61*
X	=	Vaticanus graecus 790, s. XIV – XV	p. 58*
Y	=	Vaticanus graecus 827, s. XIII	p. 57*
Z	=	Atheniensis 298, s. XIV	p. 54*

TABULA NOTARUM IN APPARATU CRITICO ADHIBITARUM

ac	=	ante correcturam
add	=	addidit (addiderunt)
adn	=	adnotatio(nem)
a. l.	=	ad locum
app cr	=	apparatu(s)m criticu(s)m
cancell	=	cancellavit (cancellaverunt)
cett	=	ceteri
cf	=	confer
codd	=	codices
coll	=	collato (collatis)
coni	=	coniecit
corr	=	correxit
del	=	delevit (deleverunt)
desin	=	desinit
e. g.	=	exempli gratia
eras	=	erasit (erasae)
exc	=	excidit (exciderunt)
fort	=	fortasse
fragm	=	fragmentum
inc	=	incipit
inser	=	inseruit (inseruerunt)
l.	=	linea(m)
linn, ll.	=	lineae (lineas)
litt	=	litterae (litteras, litterarum)

l. l.	=	loco laudato
marg	=	margine
Mi	=	J.-P. Migne
monum gr	=	Monumenta graeca ad Photium eiusque historiam pertinentia, quae ex variis codicibus manuscriptis collegit edititque J. Hergenroether. Regensburg 1869
om	=	omisit (omiserunt)
p.	=	pagina
pc	=	post correcturam
ras	=	rasura
rec	=	recentior(e)
Sirm	=	J. Sirmond
sscr	=	supra scriptum
suppl	=	supplevit
susp	=	suspicatur
s. v.	=	sub voce
transp	=	transposuit (transposuerunt)
v. l.	=	varia lectio
////	=	litterae in rasura deletae
α̣β̣γ̣δ̣	=	litterae, quae vix legi possint

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ ΘΕΟΔΩΡΟΥ ΗΓΟΥΜΕΝΟΥ ΤΩΝ ΣΤΟΥΔΙΟΥ ΕΚ ΤΩΝ ΔΙΑΦΟΡΩΝ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΩΝ ΕΚΛΟΓΗΣ ΠΡΩΤΗΣ ΚΑΙ ΔΕΥΤΕΡΑΣ ΕΞΟΡΙΑΣ

1. Πλάτωνι πνευματικῷ πατρί

Τί σοι, ὦ πάτερ γλυκύτατε ἡμῶν, προσφθεγξόμεθα, οἱ ἀπορφανισθέντες διὰ θεὸν ἀπὸ τῶν σῶν ἁγίων σπλάγχνων; ποῖον δὲ προσηνὲς ἢ περιχαρὲς λέξομεν; οὐδὲ γὰρ ὀδυρτικὰ καὶ θλιβερά, δυσχεραίνοντες τὴν δοκουμένην ἐξορίαν, ἣν ἡμεῖς οὐ γινώσκειν δεδιδάγμεθα ὑπὸ σοῦ κατὰ τὸ παροίκους ἡμᾶς εἶναι πάσης τῆς γῆς ἢ μόνην τὴν ἀπὸ θεοῦ διὰ τῆς παραβάσεως τῆς ὁποιασοῦν ἐντολῆς αὐτοῦ ἔκπτωσιν καὶ μακρὰν ἀπορριφήν. διὸ δὴ χαίρομεν καὶ εὐφραινόμεθα, ὅτι κἂν ἀνάξιοί ἐσμεν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, πλὴν σὺν σοὶ τῷ ἁγίῳ ἡμῶν πατρὶ κατηξιώθημεν ὑπὲρ τῆς ἐντολῆς αὐτοῦ ταῦτα παθεῖν καὶ στερηθῆναί σου τῆς κατὰ σάρκα συναφείας· ἄλλως γὰρ μεθ' ἡμῶν εἶ ἀεί, πάτερ, ὁρώμενος καὶ συλλαλούμενος. καὶ πῶς γὰρ ἑτέρως ζήσομεν, εἰ μὴ σοῦ τῇ τῶν ἁγίων εὐχῶν σκέπῃ περιφυλαχθείημεν ἀβλαβεῖς ἀπὸ τοῦ πονηροῦ, κατὰ μόνας εἷς ἕκαστος ἡμῶν διορισθείς; πλὴν διεφυλάχθημεν καὶ διεσώσμεθα καὶ ἡδράσμεθα πάντες. καὶ εἰ καὶ μικρόν τι ἐταλαιπωρήσαμεν ἐν τῇ ὁδῷ, τινῶν καὶ ἀσθενησάντων, ὅμως ὁ εἰπὼν ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ εἰς τὰ κρίνα τοῦ ἀγροῦ καὶ ἀψευδὴς ἐν ταῖς ἐπαγγελίαις αὐτοῦ ἀπεσώσατο ἡμᾶς ὡς οὐκ ἠλπίζομεν, παραθέμενος ἡμᾶς ἐνταῦ/θα κλίνας τε εἰς συμπάθειαν τὰς καρδίας τῶν ὄντων ἀνδρῶν τῆς ταλαιπωρίας ἡμῶν καὶ

---

1. mens. Mart. – Apr. a. 797   20 ἀνδρῶν: praefectus urbi Thessalonicae eiusque milites; cf. ep. 3,106; Thomas 55 sq.

6 Ps. 118,19   7 Rom. 2,23   13 2 Thess. 3,3   17 Matth. 6,26   Matth. 6,28

C VM (ll. 59–91) T (ll. 46–52) PS

τοῦ – ἐξορίας (ἐκλογὴ τῆς V) CVS: τοῦ αὐτοῦ ἐκ τῶν διαφόρων αὐτοῦ ἐπιστολῶν ἐκλογὴ τῆς πρώτης καὶ δευτέρας ἐξορίας P

2 προσφθεγξώμεθα Mi   5 τὴν δοκουμένην: πρὸς τὴν δοκοῦσαν S[pc]   8 δὴ om P Sirm   14 καταμόνας omnes: distinxi   15 διασεσώσμεθα VPS Sirm   17 κρῖνα CS

μάλιστά γε τοῦ ἀρχιεπισκόπου. μία δὲ λοιπὸν μέριμνά ἐστιν ἡμῖν καὶ ἀδιάπαυστος ἀδολεσχία μετὰ δεήσεως ἐκτενοῦς καὶ ἀναξίας, τὸ σὲ κραταιοῦσθαι, πάτερ ἡμῶν πολυπόθητε, καὶ μένειν ἐν τοῖς δεδογμένοις τῆς ὑπὲρ ἀληθείας θεοῦ ὁμολογίας ἀκλινῆ καὶ ἀκίνητον, ἐν μηδενὶ πτυρόμενον ἢ διψυχοῦντα ταῖς τῶν προσβαλλόντων κατ' ἐκστροφὴν τῶν οἰκοδομηθέντων σοι χάριτι θεοῦ ὑπὲρ εὐσεβείας ἀγωνισμάτων ἐγχειρήσεσιν· ἐξήχηται γὰρ ὁ λόγος πανταχοῦ καὶ δεδυσώπηκεν σχεδὸν πᾶσαν ψυχὴν καὶ ἤγειρεν κέρας σωτηρίας ἐν τοῖς χριστιανοῖς καὶ ἀφεῖλεν ὄνειδος ἐκ τῶν μοναστῶν. καὶ οἶδ' ὅτι φήσειεν ἕκαστος εὖ φρονῶν ὅτι ζῇ Χριστὸς ἐν ἡμῖν καὶ βασιλεύει καὶ πειθαρχεῖται μᾶλλον ὑπὲρ ἀνθρώπους οὓς ἔπλασεν, οὐχ ἵν' ἀπειθῆται, δοξάζηται δὲ ὑπ' αὐτῶν.

Πάντα οὖν γινώσκεις, οἶδας τὰ δέοντα, οὐ τῆς ἡμετέρας ὑπομνήσεως δέῃ· πλὴν προεκέλευσας οὕτως ἡμᾶς γράφειν. διὸ δὴ μὴ φοβηθῇς, πάτερ, ἄνθρωπον ἢ ἀνθρώπων ἐκθλίψεις. γνωρίζεις ὅτι οἱ ἅγιοι, ὄναρ καὶ σκιὰν ταῦτα λογισάμενοι, ἐθαυμαστώθησαν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. μικρόν, δέομαι, πονήσωμεν, ἔτι μικρὸν ὑπομείνωμεν, καὶ ἤνυσται ἡμῖν ὁ δρόμος ὁ καλός. καὶ ὁ στέφανος ἔπλεκται καὶ ὁ μισθὸς ἑτοιμάζεται αἰώνιος καὶ φίλος κληθήσῃ τοῦ ἐπουρανίου βασιλέως καὶ τῶν ἁγίων κοινωνὸς καὶ ὁμολογητὴς παρὰ ἀνθρώποις. ναί, ναί, δέομαι καὶ ἀντιβολῶ τὰ πατρικά μου σπλάγχνα, γενοῦ ἡμῖν ὀχύρωμα, ὑπομονή, καρτερία· ἐὰν γὰρ σύ, πάτερ, στήκῃς, ἡμεῖς τὰ ἀχρεῖά σου τέκνα εὐτονούμεθα, ἀνδρειούμεθα, πάντα οἴσομεν γενναίως τὰ συμβαίνοντα δυνάμει θεοῦ καὶ εὐχαῖς σου· ἐκ γὰρ θεοῦ ἡ παραχώρησις, οὕτως εὐδοκοῦντος πάντως τὰ ἡμέτερα καὶ αὐτοῦ διδοῦντος δύναμιν. τὰς τεχνολογίας τῶν ὑποκλίνειν σε τῆς ἀληθείας πειρωμένων μὴ δὴ πτοοῦ, ὦ πάτερ. ἁπλοῦς ὁ λόγος· φησὶ γάρ που ὁ Ἅγιος Ἐπιφάνιος ἐν τῷ περὶ τοῦ Πάσχα αὐτοῦ λόγῳ, οἷος ἂν ᾖ ἄνθρωπος παρὰ τὰ ἐν τῇ θείᾳ γραφῇ κείμενα συμβουλεύων ἀπὸ καρδίας λαλεῖ καὶ ἐντάλματα ἀνθρώπων διηγεῖται· καὶ περὶ τῶν τοιούτων φέρων τὰ τοῦ ἀποστόλου λέγει ὅτι κἂν ἄγγελος ἐξ οὐρανοῦ

---

25 Philipp. 1,28 28 2 Reg. 22,3 29 Luc. 1,25 30 cf. Gal. 2,20 36 cf. Pind. Pyth. 8,95 σκιᾶς ὄναρ ἄνθρωπος 39 cf. Jac. 2,23 48 sententiam non inveni in Epiph. sermonibus in die resurr. Christi 49 Is. 29,13 51 Gal. 1,8

---

22 ἀδιάπαυστος: ἀδιάσπαστος VP Sirm 25 διχοψυχοῦντα V[ac] προβαλλόντων Sirm 28 δεδυσώπηκε VPS Sirm ἤγειρε VPS Sirm 30 φήσοιεν C 31 ἵνα VS Sirm 32 δοξάζεται C 37 ὑπομείνομεν C 38 πέπλεκται VPS[pc] Sirm 43 ἀνδρειούμεθα om Mi 46 διδόντος VPS Sirm τὰς: hic inc epist in T 47 πτόου Sirm ὦ om T 51 τὰ: τὸ S καν C: κὰν V

ἐστιν, ἀνάθεμα αὐτῷ. ποῦ δὲ θήσομεν τὸ οἱ ἱερεῖς μου ἠθέτουν νόμον μου καὶ ἐβεβήλουν τὰ ἅγιά μου; ὃ προφητικὸν ὂν προσλαβὼν ὁ Θεολόγος ἐν τῷ μεγάλῳ ἀπολογητικῷ προστίθησιν οὕτω λέγων· βεβήλοις καὶ ὁσίοις οὐ διέστελλον, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. πόσα δὲ ἄλλα, ἐάν τις θέλῃ ἀκούειν;

Παυέσθωσαν λοιπὸν οἱ διαστρέφοντες τὴν ἀλήθειαν τοῦ θεοῦ ψευδέσι λόγοις καὶ ἑαυτοῖς προσεχέτωσαν. ἡμεῖς γάρ, τῆς ἐντολῆς τηλαυγοῦς οὔσης καὶ τῇ παραβάσει τὸ αἰώνιον πῦρ ἀπειλούσης, οὐχ ὑποκύψομεν τοῖς ἀνθρωπίνοις φόβοις ἢ πόνοις, οὔ, μὰ τοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας, ἀλλ' εἰ καὶ τὸ αἷμα χεῦσαι δεῖ, μετὰ χαρᾶς προησόμεθα, θεοῦ ἐνισχύοντος διὰ τῶν σῶν ἁγίων προσευχῶν./

Ἀνδρίζου οὖν καὶ αὐτός, ἀδελφὲ κῦρι Εὐθύμιε· καλὸν ἀγῶνα ἠγωνίσω· μὴ ἀπολειφθῶμεν ἀλλήλων, φῶς ἐμὸν καὶ σπλάγχνον, μὴ δι' ὀλίγην καὶ πρόσκαιρον εὐζωΐαν ἀπολέσωμεν τὴν μακαρίαν ζωήν. μὴ τερφθῇς τοῖς παροῦσιν ἡδέσιν καὶ ὀκλάσῃς πρὸς τὰ θλιβερά, ὦ ἀδελφέ, μὴ δώσῃς νῶτα. ἐτέρφθη οὖν ὁ Χριστός, ἰδών σε τυπτόμενον ὑπὲρ αὐτοῦ· μὴ λυπήσῃς αὐτόν, ἀγαπητέ μου, μηδὲ τοὺς περιχαρέντας ἀγγέλους μηδὲ τὸν κύριον τὸν πατέρα μηδὲ τὴν καὶ πνεύματι ἁγίῳ ὠδίνουσαν ἡμᾶς σεβασμίαν μητέρα μηδὲ τοὺς ἀδελφούς σου πάντας, ἐξαιρέτως ἐμέ, ὃν λέγεις δῶρον φιλεῖν. τρεῖς ἐσμεν ἀδελφοὶ τὸ κατὰ σάρκα, ἔστω καὶ τὸ κατὰ πνεῦμα. μὴ ἀτιμάσωμεν τὸν τίμιον καὶ θεαρχικὸν ἀριθμόν, δῶμεν ἑαυτοὺς ὑπὲρ ἐντολῆς θεοῦ πάσχειν, ἵνα ζήσωμεν τὸν αἰῶνα.

Λύπη δ' οὖν ἡμῖν ἐστι, πάτερ, μεγάλη καὶ διὰ τοὺς λοιποὺς γλυκείους ἀδελφοὺς ἡμῶν, πῶς ὁ κύριος διευθέτησεν αὐτούς. τοῦτο γὰρ ὡς ἁμαρτωλοὶ εὐχόμεθα, ἵνα αὐτὸς μεριμνητὴς αὐτῶν γένηται, διοικητής, ὁδηγός, ὡς οἶδεν καὶ κελεύει καὶ θέλει τὰ κατ' αὐτοὺς πρυτανεύων· τῷ ὄντι γὰρ πικρὰ δάκρυα ἀποστάζομεν δι' αὐτοὺς καὶ ἐπ' ὀφθαλμοὺς ἡμῶν ἀεὶ αἱ ὄψεις αὐτῶν κεῖνται, τὴν εὐχὴν αὐτῶν

---

55 βεβήλοις καὶ ὁσίοις: cf. Schneider, Theodor 22   69 πατέρα: Photeinus   70 μητέρα: Theoctista   71 τρεῖς ἀδελφοί: Theodorus Josephus Euthymius; cf. vitam A (121 A); Thomas 40 adn.

---

52 Ez. 22,26   55 Greg. Naz. or. 2,65 (PG 35,476 B = p. 178 Bernardi)   57 cf. Matth. 13,41   63 2 Tim. 4,7   73 cf. Luc. 16,18 et 18,20

---

52 αὐτῷ: hic desin epist in T   θήσομεν: φήσομεν Sirm   59 τηλαυγοῦς: hic inc epist in M   60 ὑποκύψωμεν C   61 προϊσόμεθα C: ποιησόμεθα Sirm   66 ἡδέσι VMPS Sirm   67 δώσεις VMP   69 τὴν M[sscr]   καὶ om V   71 fort exc vox θεοῦ ante vocem δῶρον; cf epigr apud Auvray LXVI ἀλλ' ὦ θεοῦ δώρημα … Θεύδωρε; ep 124,16 ὦ καλὲ Δωρόθεε, στῆθι γενναίως ὡς δῶρον θεοῦ   75 γλυκίους VMPS Sirm; sed cf epp 18,66; 449,21; 3,16 ἡδεῖον; 475,47 ἡδείους aliaque id genus   77 αὐτῶν: ἡμῶν S 78 οἶδε VMPS Sirm

δεομένων εἰς βοήθειαν τῆς ῥαθυμίας ἡμῶν. ὅμως εὔχου, ὦ πάτερ, ὑπὲρ πάντων, ὑπομονὴν κτήσασθαι ἡμᾶς, εὐτυχίαν, σκέπην ἐκ θεοῦ καὶ βοήθειαν ἐκ τῶν πειρασμῶν τοῦ διαβόλου καί, ὃ ἀρέσκει τῷ θεῷ, περὶ τοῦ ἐν σαρκὶ ἰδεῖν σε ἢ τοὺς ἀδελφοὺς ἡμῶν· γένοιτο, γένοιτο. δεόμεθα καὶ τολμοῦμεν ἐξ ἡμῶν προσαγορεῦσαι τὸν γλυκὺν ἡμῶν ἀδελφόν, εἴπερ ἐστὶ μετὰ σοῦ, ἢ καὶ ἄλλος ἀδελφὸς ἡμῶν οἷος ἂν ᾖ καὶ φθάσῃς μηνύσαι. ἀσπάζεται δὲ σὺν ἐμοὶ τὴν ἁγίαν σου ψυχὴν ὁ κύριος διάκονος καὶ πατὴρ ἡμῶν, ὁ καλός μου ἀδελφὸς καὶ τέκνον σου, ὁ οἰκονόμος, οἱ λοιποὶ τίμιοι ἀδελφοὶ καὶ πολυπόθητοι. εὔχου ἡμῖν, πάτερ, θερμῶς καὶ ἀδιαλείπτως, ὡς κελεύεις· τὶ γὰρ ἄλλο λέγειν οὐκ ἔχομεν.

2. Τῷ αὐτῷ

Δευτερεύω ἄρτι γράφων πρὸς τὸν κῦριν καὶ πατέρα μου· οὐκ οἶδα εἰ ἐδέξω τὰ γράμματα. καὶ ἐν ἐκείνοις οὖν, εἴ τι ὁ καιρὸς ἀπῄτει καὶ ἦν ἡμῖν εἰς δύναμιν, ἀναξίως δ' οὖν ὅμως ἐφθεγξάμεθα, καὶ ἄρτι δὲ ὅσα ἐπιβάλλει καὶ διδοῖ θεὸς ἐπ' ὠφελείᾳ τῆς ταπεινῆς μου ψυχῆς ἢ καὶ πρὸς παρηγορίαν, τολμῶν λέγω, τῆς σῆς μεγαλοψυχίας, ὦ πάτερ, προσερήσομεν. τοῦτο δὲ ὡς πολλάκις καὶ νῦν λέγω καὶ ἀπολογοῦμαι, ὅτι, εἴ τις λόγος ἐν ἐμοὶ καὶ ἐπιτηδειότης πώς ποτε μικρὰ περὶ τοῦ γράφειν, οὐ δι' ἐμὲ τὸν ἄθλιον δοῦλόν σου δεδώ/ρηται, ἀλλ' ἕνεκα σοῦ τοῦ ἔχοντος τὴν ἄφθονον χάριν ἐν καρδίᾳ πηγάζουσαν καὶ διὰ τοῦτο ἡδομένως καὶ χαιρόντως ἔργον ἔχειν παιδεύειν καὶ σοφίζειν οὐ μόνον ἡμᾶς, οὓς ὡς ἀδελφιδοῦς οἰηθέντες τινὲς ἀπεσφάλησαν, ἀλλὰ καὶ πάντας, ὅσους ἐκ πνεύματος ἤνεγκας υἱούς τε καὶ παῖδάς σου (καὶ ὅτι ἀληθεύω ἔδειξε τὰ πράγματα ὑπὲρ σοῦ τοῦ ἀληθινοῦ ποιμένος, τοῦ τὴν ψυχὴν τεθεικότος ὑπὲρ ἰδίων προβάτων), ὡς ἂν μὴ παρατραποῖμεν ἔξω που τῆς ἀληθείας, αἱρησάμενοι τάχα

88 ἀδελφός: Josephus 89 οἰκονόμος: Naucratius

85 τολμῶμεν VMPS Sirm (fort recte) 87 καὶ: κὰν Sirm: κἂν Mi 89 καὶ ante οἱ λοιποὶ add S

2. vere a. 797

15 Joh. 10,11

C VM (ll. 1 – 23) PS

2 ἄρτι γράφων: ἀντιγράφων MP κύριον V 5 ἐπιβάλλοι P δίδωσι S^{pc} 8 πῶς VMP Sirm τοῦ: τὸ S^{pc} 11 ἔχεις Sirm: ἔχοντος S^{pc} 12 ἀδελφιδοὺς CVMP 14 τοῦ om Sirm 16 παρατραποίμεν C: παρατραπείημεν S που: ποῦ C: τοῦ δέοντος καὶ M αἱρετισάμενοι V Sirm

προθύμως καὶ τὸ οἰκεῖον αἷμα κενῶσαι. αὕτη οὖν ποιμένος ἀληθινοῦ ἐπιστασία, διελέγχουσα τοὺς ψευδωνύμους καὶ ὄντως δεικνυμένη τῷ θεῷ καὶ πατρὶ καὶ ἀρχιποίμενι ἐπάξιος.

Τὰ διὰ σὲ τοιγαροῦν κεχαρισμένα μοι ὀλιγοστῶς πώς σοι προσάγω· καὶ εἶ δρεπόμενος τοὺς τῶν καταβληθέντων σοι πολυφροντίστως καὶ ἀφθόνως σπερμάτων, ὡς ἀγαθὸς γεωργός, τοὺς οὐκ οἶδ' ὅπως εἴποιμι ἰσχνοφόρους καρπούς. τί οὖν λοιπὸν εἴπω πρόσφορον καὶ εὐαπόδεκτον τῇ σῇ ἁγίᾳ ψυχῇ, πάτερ μου γλυκεῖε; τίς με διέστησεν ἀπὸ τοῦ σοῦ ἀειποθοῦς προσώπου, τῆς ἡδυλαλοῦς συντυχίας, τῆς σωτηριοποιοῦ ὁδηγίας; σύ μου τὸ φῶς, ὁ ἀειφανὴς λύχνος τῶν ἐν ψυχῇ σκοτεινῶν λογισμῶν, ῥάβδος ὑποστηρίζων μου τὸ ἄτονον τῆς καρδίας, ἀθυμίας μεταβολή, προθυμίας ἀλοιφή, εὐαγγέλιον, χαρά, ἑορτή, εὐδοξία. ἄνευ σοῦ καὶ ὁ ἥλιός μοι κατηφής. ἐγὼ τὸν ἀέρα βλέπειν οὐκ ἤθελον ἢ τὸν σὸν προσβλέπειν χαρακτῆρα. οὐδέν μοι ἦν ἡδὺ τῶν ἐπὶ γῆς μὴ παρούσης τῆς σῆς συνουσίας. τί γὰρ πατρὸς ἀληθινοῦ ποθεινότερον καὶ τοῦτο ἐπὶ θεοῦ λαμβανόμενον; οἶδεν τοῦτο παῖς φιλοπάτωρ καὶ ὄντως γνήσιος. τί πολλῶν ῥημάτων χρεία; ἐξείπω ὅπερ ἐπάνθανον· ὅτι μου πολλάκις καὶ μὴ ὡρμημένου ἔρχεσθαι ἐν τῷ ἁγίῳ κελλίῳ σου ἀνεπαισθήτως πως, ὥς τινος ἕλκοντος, ἐπῄειν κατὰ πρόσωπόν σου, ὡς πολλάκις ἐρωτῶντος σου ‚τί ἥκες;' ἀπορεῖν με ἀποκρίνεσθαι, οὕτω τῆς σωτηρίας μου ἐν σοὶ ἀποκρεμαμένης. καὶ τίς πρὸς τὸ φῶς οὐκ ἐπιτρέχει; ἀλλ' εὐχαριστῶ τῷ θεῷ, δι' οὗ σου ἐξεσπάσθην ὑπὸ χειρῶν τῶν πατησάντων τὸν νόμον αὐτοῦ καὶ ἠργμένων ἐξ ὁμοίων. μὴ αὐτοῖς λογισθείη κύριος ὁ θεός μου τὴν ἁμαρτίαν, ἕλξοι δὲ εἰς ἐπίγνωσιν τοῦ τολμήματος, ἵν' ἡμῖν μὲν ἀποδῶσιν τὸν πατέρα, κἀκεῖνοι περὶ τοῦδε ἀνεύθυνοι εὑρεθῶσιν. ἐνέκλεισάν σε, ὡς ἐμάθομεν, ἐν οἰκίσκῳ μικρῷ, ἀλλὰ τοῦ οὐρανοῦ σε οἰκήτορα ἀνέδειξαν. ἐφρούρησαν, οὐκ ᾔσθοντο δέ· θησαυρὸν γὰρ ὁμολογίας θεοῦ. κἀκ τούτου γνοῖεν δ' ἄν, εἴπερ βλέψοιεν, ὅτι σε τίμιον ἐν ἀνθρώποις ἐγνώρισαν καὶ κόσμῳ σωτήριον καὶ πολλοῖς φιλοθέατον.

---

43 ἐν οἰκίσκῳ μικρῷ: cf. Theoph. chron. a. m. 6288 (I 471,1 De Boor) εἰς ἐγκλείστραν; cf. Dobroklonskij I 388 adn. 2

---

22 2 Tim. 2,6 35 cf. Theod. Stud. catech. magn. 22 (NPB IX 2,60) ἀνεπαισθήτως πως 39 Hab. 2,9 40 2 Reg. 19,20 43 2 Cor. 5,2

---

23 ἰσχνοφό|(ρους): hic desin epist in M 24 γλύκιε V: γλυκύτατε PS Sirm (cf app cr ad ep 1,75) 27 ὑποστηρίζουσα V Sirm 32 οἶδε VPS Sirm 35 πῶς CP ἐπίην C 36 σου om Sirm 37 οὕτως VP Sirm ἀποκρεμμαμένης VP 41 ἵν' – 42 πατέρα om Mi ἀποδῶσι VPS Sirm 44 γὰρ om S 45 κακτούτου C 46 κόσμον V

Ἐδέξω τὰς ἀτιμίας καὶ ὕβρεις μετὰ Χριστοῦ· ἐδιώχθης ὡς μακάριος· διεσκόρπισάν σου τὰ πρόβατα, ὅτι σὲ τὸν ποιμένα ὡς Χριστὸν ἐπάταξαν. εἰ καὶ τολμηρὸν εἰπεῖν, ὅμως αὐτοῦ δὲ ἡ φωνή, εἰ / ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν, καὶ τἄλλα, ὅσα τοῖς ἀκολουθοῦσιν αὐτῷ φέρει τὴν ταὐτοπάθειαν· εἴπερ γὰρ συμπάσχομεν αὐτῷ, ὥς φησιν ὁ μέγας Παῦλος, ἵνα καὶ συνδοξασθῶμεν.

Καὶ οὕτω μὲν ταῦτα. ἐμοὶ δὲ τῷ ἀσώτῳ καὶ ἀναξίῳ διὰ τῶν σῶν ἁγίων εὐχῶν, πάτερ δίκαιε, ἐχαρίσατο ὁ ἐλεήμων κύριος παράκλησιν καὶ τὸ ἐν πνεύματι συνεῖναί σοι· εἰμὶ γὰρ ἀεὶ ὡς ὁρῶν σε καὶ ὡς ὁμιλῶν σοι καὶ ὡς κομιζόμενος τὴν εὐχὴν καὶ ὡς σκεπόμενος καὶ ὡς διδοὺς καὶ λαμβάνων λόγους εἰς ἕδρασμα τῆς ὁμολογίας ἧς ὡμολόγησας. καὶ δοκῶ σου ἐπαϊούσης τῆς φωνῆς ταῦτα ἀκούειν· ,ταπεινὲ Θεόδωρε, μικρὸν ὄντως ταλαιπωροῦμεν, ἐπεὶ καλὴν φέρει ὁ θεὸς τὴν ἐλπίδα‘. ταῦτά μοι παρηγορία, ταῦτα ἀναψυχή. μὴ δείσῃς, πάτερ, δι' ἐμὲ τὸν δοῦλον σου καὶ παντάπασιν ἀπερριμμένον· καὶ γὰρ εἰμὶ τοῦ οὐρανοῦ καὶ τῆς γῆς μίασμα καὶ παντὸς ἀνθρώπου κατεψυγμένος μᾶλλον. πλὴν τολμῶ λέγειν ὡς ἀνάξιος, εὔελπις, ἄνω βλέπων, ῥωννύμενος ὑπὸ τῆς σῆς πρεσβείας, οὐκ ἀπευδοκῶν εἰς ἃ ἔπαθον, ἐπιμεμφόμενος δὲ ἐμαυτὸν ὅτι μὴ ἀνδρείως καὶ κατὰ λόγον καὶ ὅτι ὀλίγα καὶ οὐδενὸς ἄξια ἀφορῶν πρὸς τὰ ζωοποιὰ πάθη τῶν ἁγίων. ἐγένετό μοι γὰρ πολλῶν ἔντευξις μαρτυρίων ἐν δώδεκα δέλτοις ἀπογεγραμμένων, ὥστε παταχθῆναι τὴν καρδίαν καὶ μηδὲ τολμᾶν λέγειν ὅτι ἔπαθόν τι διὰ Χριστόν. καὶ τί γλυκύτερον, πάτερ, ὑπομνήσκω ὡς δοῦλος, τοῦ δι' αὐτὸν πάσχειν; ἄθρει, πάτερ, ἄνω, ὅρα τὸν Κύριον, ἐπόπτευε τὰς ἀγγελοθεΐας, ἐνατένιζε τὰς ἁγιοχορείας· ἴδε ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου τὸν κριτὴν τοῦ κόσμου, ὅς σε ἀνακυρήξει πιστὸν δοῦλον καὶ τῶν ἐντολῶν αὐτοῦ τηρητὴν καί, τὸ μεῖζον, ὁμολογητήν. εἶτα, ποῦ σε πέμψοι; οὐκ εἰς πῦρ αἰώνιον, ὅπερ λαμβάνει τοὺς ἀπειθεῖς τοῦ νόμου αὐτοῦ, ἀλλ' εἰς ζωοδόχον χωρίον καὶ ἀθάνατον κατάπαυσιν καὶ ἀπειροαγαλλίατον θεοφροσύνην· εἴσελθε γάρ, φησίν, εἰς τὴν χαρὰν τοῦ κυρίου σου. πάντων ἡμῶν οἱ ὀφθαλμοὶ εἰς σὲ βλέπουσιν, πάντες μεγαλοψυχοῦμεν, σοῦ ἐδρασμένου. εἴη σοι ἐπὶ πλέον ἡ βοήθεια τοῦ θεοῦ ὀχυροῦσά σε, δυναμοῦσά

68 μαρτυρίων: cf. Ehrhard I 21 sq.; Der Nersessian, Psautiers Grecs II 91

49 Matth. 26,31 50 Joh. 15,20 52 Rom. 8,17 71 Philipp. 1,29 75 cf. Matth. 13,42 77 Matth. 25,23

49 ἐσκόρπισάν VP Sirm 50 δὲ: καὶ Sirm (fort est αὖ τοῦδε scribendum) 51 τ'ἄλλα C: τἄλλα VPS Sirm 56 ὡς[2] om Mi 66 καταλόγον C 71 ὑπομιμνήσκω VPS Sirm 72 ταῖς ἁγιοχορείαις S: τὰς ἁγιοχορίας CP Sirm 75 πέμψει VS Sirm 77 θεοφροσύνην: εὐφροσύνην V Sirm 79 βλέπουσι VPS Sirm ἡδρασμένου VPS Sirm 80 ἐπιπλέον C

σε, εὐτονοῦσά σε, ἀνδρειοῦσά σε. ὁ τὸν θεὸν φοβούμενος μὴ φοβηθῇς ὃ ἐποίησέν σοι ἄνθρωπος ἢ καὶ ποιήσει τυχόν. πέποιθας ἐπὶ Κύριον, ὄρος εἶ Σιών, οὐ σαλευθήσῃ εἰς τὸν αἰῶνα· κάτοικον γὰρ ἔχεις τὸν τῆς ἄνω Ἱερουσαλὴμ τεχνίτην καὶ δημιουργόν. τὰς ἰοβόλους φωνὰς καὶ ἀπατηλοθελεῖς τῶν ὡς ὄφεων ὑποσυρομένων σοι καὶ θελόντων σε τοῦ ξύλου τοῦ ζωτικοῦ τῆς ἀληθείας ἀπάξαι φεῦγε καὶ ἐνωτίζου ἅπαξ κραταιωθεὶς ἐν τῇ ἀληθείᾳ καὶ διὰ πολλῶν μαρτυριῶν τῆς ἁγίας Γραφῆς συσφιγχθείς, ἔσθ' ὅτε καὶ ἀνθρώπων εὐσεβῶν, εἰς παντελῆ ἀκινησίαν, ὅπως τεύξῃ κἀκείνης τῆς φωνῆς τὸ ἐγκώμιον· ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα.

Ὑγιαίνουσιν οἱ πάντες ἀδελφοί, ὁ κύριος διάκονος ὁ πατήρ μου, ὁ γλυκύς μου ἀδελφὸς καὶ νῦν μᾶλλον ἀξίως περιπόθητος, οἱ λοιποὶ προσφίλιοι καὶ τίμιοί μου καὶ τέκνα σου, οὓς σὺν ἐμοὶ πάντας, πάτερ, εὔχου. πάντες αὐτῶν εὐδρο/μοῦσιν, ποθητὸν αὐτοῖς μόνον ἡ σὴ ὑγεία ἐν Κυρίῳ καὶ εὐφόρητον πᾶν ὁτιοῦν παθοῦσιν. πάντως καὶ λυπούμεθα καὶ ἀδημονοῦμεν καὶ ἀσχάλλομεν καὶ ῥαθυμοῦμεν καὶ λογισμῶν πονηρῶν ὀχλήσεις ἔχομεν (καὶ οὐδὲ γὰρ ἔστιν ἐκτὸς θλίψεων παρελθεῖν τῶν τῇδε), ἀλλὰ διὰ τὴν ἐλπίδα καὶ εὐχήν σου ἰσχύομεν. ἐμοὶ δέ, πάτερ, εὔχου, ὅτι τὸν Ἠσαΐαν τὸν ἅγιον ἐκστηθίζω, καὶ δήλωσόν μοι, εἰ παρὰ τὸ γράφειν ἀναγινώσκειν με θέλεις.

3. Τῷ αὐτῷ

Προχεῖταί μοι τὸ δάκρυον πρὸ τοῦ λόγου καὶ τὰ σπλάγχνα δονεῖται καὶ ἡ χεὶρ ὑποτρέμει τοῦ γράφειν καὶ ἕλκομαι πανταχόθεν καὶ φέρειν τὸ ὀδυνηρὸν οὐχ οἷός τέ εἰμι. ὤ, πῶς ἐνέγκω σου, πάτερ, πάτερ, τὰ χριστομίμητα πάθη; ὤ, πῶς οἴσω σου τὴν ὑψηλὴν καὶ ἁγίαν ταπείνωσιν; πῶς ὑπαντήσω σοι κατὰ λόγον ἀντιγράφειν; καὶ ποῖ τράπωμαι καὶ ὅθεν ἴωμαι κατάρχειν τῶν γραμμάτων; πρὸς ἐμὲ σὺ οὖν, ὦ πάτερ,

---

92 ἀδελφός: Josephus

---

81 Ps. 55,11 Ps. 124,1 84 Gal. 4,26 86 Gen. 2,9 89 Ps. 14,5

---

81 ἀνδριοῦσά C 82 ἐποίησέ VPS Sirm post κύριον duas litt eras C 88 ἐσθ' P 89 τῶν ἐγκωμίων S 93 οἷς VP Sirm πᾶσι VP Sirm πάντας σὺν ἐμοὶ S 94 εὐδρομοῦσι VPS Sirm 95 παθοῦσι VPS Sirm

---

3. mens. Apr. – Aug. a. 797

C V PS

---

4 ὦ C 5 ὦ C 6 καταλόγον C ποι C τράπομαι C 7 ἴομαι CVPS Sirm: corr Mi σὺ οὖν: οὖν σὺ VP Sirm ὦ om S

τοιαῦτα γράφεις; πρὸς ἐμὲ τὸν σκώληκα καὶ βόρβορον καὶ ἄσωτον ὁ πατὴρ φωνὰς ἀφίησι πρεπούσας τέκνῳ; ἱκετικὸν ἀναλαμβάνεις σχῆμα ὁ ὀφείλων ἱκετεύεσθαι; κἀγὼ λοιπὸν ὁ τάλας τί προσφθέγξωμαι; καὶ πῶς ταπεινωθῶ τῷ δικαίῳ μου πατρί; ὅμως ἐδεξάμην σου, ὦ πάτερ, τὴν ἁγίαν ἐπιστολὴν ἐν χερσὶν ἀναξίαις ὡς θεογράφους πλάκας. ἤκουσά σου τῆς ἐγγραμμάτου φωνῆς, ὡς εἴ τις ἀκούσειεν ἀγγέλου φωνῆς ἢ ἀποστόλου, καὶ συνέτριψεν τὴν καρδίαν καὶ ἐξέβλυσεν δάκρυον καὶ ἀπεκλαυσάμην καὶ ἐθρήνησα οὐχ Ἱερεμιτικὸν θρῆνον ἐπὶ παθῶν θεοστυγέσι γεγενημένον, ἡδεῖον δέ τινα καὶ φιλοπάτριον καὶ θεῷ ὄντως χαριστήριον· αἰνέσεως γὰρ ἀληθῶς ἃ ἐπέσταλκας, πάτερ δίκαιε, ἀπογραφῆς ἄξια, τῆς εἰς θεὸν ὁλοτελοῦς σου προθέσεως γνώριμα.

Τοιγαροῦν, ὦ πάτερ, ἐστήριξας ἡμῶν τὰ φρονήματα, ἐνεύρωσας ἡμῶν τὰς καρδίας· ὑπὲρ ἐλπίδα ἡ ἀνδρεία σου, ὑπὲρ προσδοκίαν ἡ παρρησία σου. ἄλλος τις ἡμῖν ὤφθης ἢ ὅσπερ ἐγνωρίζου, ὅλος ἐν θεῷ ἠλλοιωμένος· δόξα τῷ σὲ δυναμώσαντι. οὐ κατέβαλέν σε φόβος βασιλείας, οὐκ ἐχαύνωσέν σε γοητικὴ θωπεία· οὐχ εἵλω πρόσκαιρον ἀπολαύειν ἡδονήν, προκινδυνεύειν θέλων τῆς ἀληθείας τοῦ θεοῦ. ὁ ποιμὴν ὁ καλός, ὁ θεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ὁ καὶ νῦν δέσμιος διὰ τῆς φρουρᾶς ὡς Χριστοῦ ἀπόστολος. ὢ τοῦ δωματίου ἐκείνου, ἐν ᾧ φέρῃ καὶ περιάγῃ ὡς τίμιον καὶ εὔχρηστον σκεῦος τῷ δεσπότῃ θεῷ. εἴθε οὖν τὸ ἔδαφος ἐκεῖνο περιεπτυξάμην, οὗ οἱ πόδες τοῦ κυρίου μου καὶ πατρὸς βαδίζουσιν· εἴθε τὰς κατὰ σοῦ κλεῖς καὶ κλεῖθρα προσεκύνησα, ὡς θησαυρὸν εὐσεβείας φυλάττοντα. μᾶλλον δὲ ἐβουλόμην τὸ τίμιον ἐκεῖνο ἀσπάσασθαι στόμα, τὸ ὁμολογῆσαν τὸν λόγον τῆς ἀληθείας, τὰς ὁσίας χεῖρας τὰς ἐπαιρομένας εἰς ἁγίας προσευχὰς καὶ εὐπροσδέκτους. ποῦ ποτέ μου τὸ γλυκὺ ἀπέπτη πρόσωπον, ποῦ δὲ ἡ σωτήριος φωνὴ κατεσιγάσθη; ἰδοὺ δὴ ἐγὼ ὀρφανὸς ὁ ἐλεεινὸς καὶ παντέρημος, οὐκ/ἔχων τὸν πατέρα μου, οὐκ ἔχων τὸν φωστῆρά μου, τὸν ἰατρὸν καὶ τροφέα τῆς ταπεινῆς μου ψυχῆς, ἀπροστάτευτος, ἀνεπαμύνευτος πρὸς τοὺς πολεμοῦντάς με ἀοράτως. ἐγενόμην ὡσεὶ κόραξ ἐν ἐρήμῳ, ὡς στρουθίον ἐπὶ δώματος, καθ'

---

12 Jo. Clim. scal. 25 (PG 88,988 C) πλάκας γνώσεως θεογράφους σὺν αὐτοῖς μετὰ χεῖρας ἐπιφερόμενοι 15 Jer. 31,32 24 Hebr. 11,25 26 Joh. 10,11 39 Ps. 101,7 sq.

---

10 προσφθέγξομαι CVPS Sirm: corr Mi 14 συνέτριψε VP Sirm: συνέτριψα S ἐξέβλυσε VP Sirm: ἐξέβλυσα S 16 γεγενημένων Sirm ἡδίω S: ἴδιον VP Sirm 17 ἀληθοῦς V Sirm ἀπέσταλκας V Sirm 18 ἀπὸ γραφῆς CS 20 τοιγὰρ οὖν C 21 ἀνδρία VS Sirm 22 ὥσπερ CS ὅλως CS 23 κατέβαλέ VPS Sirm 24 ἐχαύνωσε VPS Sirm οὐκ εἵλω C: οὐχ εἵλου VPS Sirm προσκαίρου Sirm 25 ἡδονῆς Sirm 27 ὦ C δοματίου C 31 φυλάττοντα S[sscr]

ἡμέραν ἀποφθαλμιῶν, ὧδε κἀκεῖσε βλέπων καὶ περιαθρῶν καὶ οὐδαμοῦ τὸ ποθούμενον πρόσωπον· καὶ οὔπω κατ' ἀξίαν δυναίμην ἐκτραγῳδεῖν μου τὸ πάθος. πλὴν εὐχαριστῶ καὶ ὑπερευχαριστῶ, ὅτι διὰ νόμον θεοῦ ταῦτα κατηξίωμαι, ὅτι τοιούτου πατρὸς ἐχρημάτισα τέκνον. τάχα βασιλεύειν οἴομαι διὰ σοῦ σήμερον, πάτερ ἅγιε, εἴπερ ἡ εὐχή σου σῶόν με διαφυλάξοι· δέδοικα γάρ μου τὴν ἁμαρτίαν καὶ τὴν ἀσωτίαν. εἴσῃ δὲ γινώσκων ὅτι σοῦ ταῖς ἁγίαις εὐχαῖς ἐνίσχυμαι καὶ ἐνίδρυμαι, κἂν λίαν εὐκαταγώνιστός εἰμι· καὶ οὐ μόνον ἐγώ, ἀλλὰ καὶ οἱ πάντες τὸ ἓν ἐσμέν, συμφρονοῦντές σοι σύμψυχοι, συμπάσχειν αἱρούμενοι μέχρι θανάτου, καὶ μηδαμῶς ἡμῶν ἕνεκα δεδιὼς ᾖς. εὖγε, ὦ πάτερ, εὖγε, εὖγε ὦ ἄριστε κυβερνῆτα, ζηλωτὰ τῆς εὐσεβείας, μιμητὰ τῶν ἁγίων· μεγαλοπρεπῶς ὄντως ἠγώνισαι, νεανικῶς ὑπερήθλησας, μετὰ μαρτύρων οἶδ' ὅτι εἴη τὸ πνεῦμά σου.

Ἔχει μὲν οὕτω ταῦτα, εἰ καὶ μήπω τῆς ἐπιθυμίας μου καὶ τῆς ἀξίας σου εἰς δέον. ἐπεὶ δὲ κελεύεις ἱστορῆσαί σοι καθ' ἔπος ἀφ' ἧς ἡμέρας ὑπέστημεν ἐκείνην τὴν ὀδυνηρὰν διάζευξιν τήν τε ὁδοιπορίαν καὶ τὰ κατ' αὐτὴν ἡμῖν συμβεβηκότα, οὐχ ἱκανῶ, πλὴν τὸ κελευσθέν μοι ποιήσω ἀοκνότατα. κατ' αὐτὴν τοιγάρτοι τὴν ἡμέραν καθ' ἣν ἀπῄεις σὺ μέν, ὦ πάτερ, τὴν ἐπὶ θάνατον ὁδὸν τῇ προαιρέσει καὶ ἡμεῖς ἐστειλάμεθα τὴν ἐξόριστον ὁδοιπορίαν, ἐποχηθέντες ἐφ' οἷς ἔτυχε ζῴοις. καὶ ὡς ἀπείραστοι κατ' ἀρχὰς τοῦ τοιούτου δράματος ἦμέν πως ἐν ἀθυμίᾳ· προσεβάλομεν γὰρ καί τισι κώμαις, θεατριζόμενοι ἐπὶ πάσης ὄψεως καὶ ἡλικίας ἀνθρώπων· θορύβοις τε καὶ κραυγαῖς περιηχήθημεν ἀμφότερα τὰ ὦτα ἔν τε τῷ ἀπαίρειν καὶ καταπαύειν παρὰ τὸ τὰ ἐπιτήδεια συμπορίζεσθαι τοὺς ἄγοντας. ὡς δὲ ᾔομεν ἐπὶ πρόσω, εἰθισθέντες ῥᾷον μᾶλλον ἐφέρομεν τὰ δυσχερῆ. τὸ δὲ ἀνιῶν ἡμᾶς πλέον ἡ ἀσθένεια ἦν τοῦ πατρὸς τοῦ κυρίου διακόνου. καὶ οὕτω τὴν ὁδὸν ἀχθούμενοι, περιαντλούμενοι διεπεράναμεν.

Αὗται δὲ αἱ καταμοναί· ἀπὸ τῶν Καθαρᾶ εἰς Λιβιανά, ἔπειτα εἰς Λεύκας, εἶθ' οὕτως εἰς τὸ Φύραιον. ἔνθα καὶ ὀδυνηρὸν ἡμῖν συνέβη καὶ ἱστορίας ἄξιον· ὑπερφανέντες γάρ πως ἐξ ἀπόπτου ἐννέα τῶν

68 Καθαρᾶ: cf. p. 143* adn. 10 Λιβιανά: cf. p. 144* adn. 11 69 Λεύκας: cf. ibid. adn. 12

40 ἐποφθαλμιῶν Mi οὐδαμῶς V Sirm 42 ἐκτραγῳδῆσαι V Sirm ὑπὲρ εὐχαριστῶ C 46 εἴσῃ: ἴσῃ C σου V 47 καν C: κἂν P 49 ἐρούμενοι C 50 δεδειὼς C 54 καθέπως C: κατέπος S: κατ' ἔπος cett Sirm 56 οὐκ C 57 ἀπίεις C 60 καταρχὰς CS 61 πῶς CVP Sirm προσεβάλλομεν CPS 63 ἀμφότεροι CPS 64 ἴομεν C: ᾔειμεν V ἐπιπρόσω S 65 ἠθισθέντες C: εἰθισθέντες S[pc]: ἐθισθέντες VP Sirm ἀνιὸν C 67 ἀχθόμενοι VPS Sirm 68 τῶν Καθαρᾶ coll epp 271,5; 364,8; laud matr l. l. scripsi: τῶν καθαρῶν V: τὰ Καθαρὰ cett Sirm 70 ἀπόπτου C: ἀπροόπτου cett Sirm

πρωτευόντων ἀδελφῶν ὡς πρόβατα διεσπαρμένα περιέστησαν ἡμῖν κλαίοντες καὶ συνθρύπτοντες ἡμῶν τὴν καρδίαν. καὶ ὁ μὲν ἄγων ἡμᾶς οὐδὲ προσλαλῆσαι εἴα, ἐλεεινὰ δὲ βλέποντες καὶ βλεπόμενοι καὶ ἐπιφθέγματα ἀλλήλοις ἐπειπόντες τελευταῖον μετὰ δακρύων διεχωρίσθημεν. εἶτα καταχθέντες ἐν τῇ Παύλᾳ εὕρομεν τὴν πολυπόθητόν σου ἀδελφὴν σὺν τῷ κυρῷ Σάβᾳ, κρυπτῶς συνοψισθέντες καὶ δι' ὅλης νυκτὸς ἐν ταὐτῷ μείναντες· λαλήσαντες τὰ εἰκότα / καὶ ἀσπασάμενοι ἀλλήλους ὡς ἐπιθανατίους διέστημεν στένοντες καὶ ποτνιώμενοι. ἦν ἰδεῖν ἐκεῖ σπαρασσόμενα σπλάγχνα καὶ σφαδάζοντα, θεοπρεπῶς νικωμένης τῆς φύσεως.

Ἐκ τῶνδε κατεπαύσαμεν ἐν τῷ Λουπαδίῳ, φιλοφρόνως συμπαθηθέντες παρὰ τοῦ ξενοδοχοῦντος, χρησάμενοί τε καὶ λουετρῷ διὰ τοὺς μώλωπας (γεγόνασι γὰρ καί τινων δυσίατοι ἀπὸ τῆς ὁδοιπορίας), καὶ κατήχθημεν εἰς Τίλιν· ἐκεῖ τοίνυν καταλαβὼν ἡμᾶς ὅ τε ἀββᾶς Ζαχαρίας μετὰ τοῦ Πιονίου, ἐκ θερμῆς προθέσεως κλαίοντες καὶ μεθ' ἡμῶν αἱρούμενοι πορεύεσθαι, κἂν οὐκ εἰάθησαν. ἀπὸ ⟨τῶν⟩ τῇδε εἰς Ἀλκέριζαν, ἐκ τῶνδε εἰς Ἀναγραμμένους, ἔπειτα εἰς Περπερίναν κἀκεῖθεν εἰς τὸ Πάριον, κοινωνοῦντες παρὰ τῶν ἐπισκόπων πλὴν καὶ μετὰ ταπεινώσεως ὑπομνήσκοντες ὀμνύοντας. εἶτα εἰς Ὁρκόν, ἐκεῖθεν εἰς Λάμψακον· ἐν ᾗ εὑρόντες Ἡρακλειώτας προσανεπαυσάμεθα τριήμερον, πλεῖν οὐ δυνάμενοι. εἶτα ἐξορμίσαντες κατεπλεύσαμεν ἐν τῇ Ἀβύδῳ, ὑπὸ τοῦ ἐκεῖσε ἄρχοντος εὐσεβῶς κατελεηθέντες· καὶ ἐπιμείναντες ἕως τοῦ Σαββάτου ὀκταήμερον ἀπεπλεύσαμεν εἰς Ἐλεοῦντας, ἑβδοματιαῖόν τε χρόνον ἐπιμείναντες διὰ τὸ ἄπλοον δεξιοῦ ἀνέμου πνεύσαντος ἐπετάσθημεν ἐν τῇ Λήμνῳ ἐν ἐνναωρίῳ. ἵστησί μου τὸν λόγον ἐνταῦθα ἡ τοῦ ἐπισκόπου τῶν τῇδε εὐσέβεια· ὡς οὐκ εἴ τις γὰρ ἄλλος καὶ ἐδεξιώσατο καὶ παρηγόρησεν καὶ ἐφωδίασεν.

---

76 ἀδελφήν: Theoctista; cf. Theod. Stud. laud. matr. 9 (896 A) Σάβᾳ: cf. p. 144* adn. 14 81 Λουπαδίῳ: cf. ibid. adn. 15 82 ξενοδοχοῦντος: cf. G. Schlumberger, Sigillographie de l'emp. byz. Paris 1884, 246 (Λουπαδίου) 88 Πάριον: cf. p. 145* adn. 18 89 Ὁρκόν: cf. ibid. adn. 19 90 Ἡρακλειώτας: monachi ex monasterio Heracleoton; cf. ep. 222,8; Janin, Églises et monastères 153 94 Ἐλεοῦντας: cf. p. 145* adn. 21

---

75 πολυπόθητόν: πολυτίμητόν VP Sirm 76 κυρίῳ Sirm Σάββᾳ V Sirm 77 ταυτὸ C τε ante τὰ add VS Sirm 82 λοετρῷ PS: λουτρῷ V Mi: λούτρῳ (sic) Sirm (sed cf Sophr de SS Cyro et Ioann 15 [PG 87,3688 C] λουετροῖς πυκνοτάτοις) 84 τήλην S κατέλαβον S[pc] 85 an Παιωνίου scribendum? 86 τῶν coll linn 96 et 99 inserui 87 τῇδε: τοῦδε V Sirm Ἀναγεγραμμένους VP Sirm 89 ὑπομιμνήσκοντες VPS Sirm 91 ἐξορμήσαντες CS 94 ἑβδομαδιαῖον V 95 λίμνῳ C 97 παρηγόρησε VPS Sirm

Ἐκ τῶν τῇδε τοίνυν ἀποπλεύσαντες ἐν φόβῳ διὰ τὸ παρακείμενον ἔθνος ἀντεπεράσαμεν βορροφόρου καὶ ῥοιζήδοντος ἐν δωδεκαωρίῳ ἑκατὸν πεντήκοντα μιλίων ὂν τὸ πέλαγος, ὁρμίσαντες ἐν τῷ Κανάστρῳ ἐν τοῖς Θεσσαλονίκης ὁρίοις, ἔπειτα εἰς Παλλήνην, τὰ πρόσγεια τοῦ κόλφου, εἶτα εἰς τὸν Ἔμβολον. ἐκ τῶν ἔνθεν ζῴοις πάλιν ἐπιβεβηκότες Σαββάτῳ ἡμέρᾳ ἑορτῆς τοῦ Εὐαγγελισμοῦ ὥρᾳ τρίτῃ εἰσήχθημεν ἐν τῇ πόλει. καὶ οἵα ἡ εἴσοδος· οὐδὲ γὰρ τοῦτο παρελθεῖν ἀναγκαῖον. προπεμφθεὶς τοίνυν παρὰ τοῦ ὑπάρχου τῶν ἐξόχων εἷς μετὰ στρατιωτῶν προσέμενεν ἐν τῇ ἀνατολικῇ πόρτῃ, καὶ ἐπιστᾶσιν ὑπήντησαν ὄρθιοι διὰ σιγῆς· καὶ μετὰ τὸ εἰσελθεῖν κλείσαντες τὰς πύλας ἦγον διὰ τῆς ἀγορᾶς, προπομπεύοντες ἐπὶ τῆς ὄψεως τῶν εἰς τοῦτο συνδεδραμηκότων, καὶ ἀπαγαγόντες εἰσήγαγον πρὸς τὸν ἄρχοντα. καὶ εὖγε τῷ ἀνδρί· εὐμενὲς γὰρ πρόσωπον δείξας μετὰ τὸ πεσεῖν χρηστὰ ἐφθέγξατο ἡμῖν παρέπεμψέν τε πρὸς τὸν ἀρχιεπίσκοπον, πρῶτον προσευξαμένους ἐν τῇ Ἁγίᾳ Σοφίᾳ. καὶ ἐν τῷ εὐκτηρίῳ τῷ παρ' αὐτοῦ ποιήσας εὐχὴν ὁ ἁγιώτατος ἐδέξατο καὶ κατησπάσατο ἡμᾶς, ὁμιλήσας ἡμῖν τὰ δέοντα καὶ παραυτὰ κρατήσας καὶ ἀναπαύσας διά τε λουετροῦ καὶ βρωμάτων.

Τῇ Δευτέρᾳ πρωίθεν ἦραν ἡμᾶς, καὶ δι' αἰτήσεως ποιήσαντες εὔξασθαι εἰς τὸν Ἅγιον Δημήτριον διεχώρισαν πάντας ἀπ' ἀλλήλων, προπεποιηκότας εὐχὴν καὶ ἀσπασαμένους ἀλλήλους. τοὺς δύο δὲ ἡμᾶς ἀδελφοὺς ἀναγαγόντες ἐπὶ τὸν ἐν ᾧ εἰμὶ νυνὶ τόπον διέζευξαν, δακρυρρόως καταφιλήσαντας ἀλλήλους, ὡς καί τινας τῶν θεω/μένων ταραχθῆναι τῇ συμπαθείᾳ.

Οὕτως τὰ καθ' ἡμᾶς ἔχει, ὦ πάτερ· καὶ νῦν εἰμὶ ἐγὼ ὁ ταπεινὸς ἐνταῦθα, βίον ἕλκων ὀδυνηρὸν καὶ πολυστένακτον. τὰς δὲ ἐκ τῆς ἁγίας σου χειρὸς εὐλογίας ἐδεξάμεθα, ὡς δύναμιν ἐχούσας τῆς Ἁγίας Τριάδος· καὶ ἔχομεν αὐτὰς ὡς φυλακτήριον καὶ περιτιθέμενοι αὐτὰς

---

101 Κανάστρῳ: cf. p. 145* adn. 22 103 Ἔμβολον: cf. p. 145* adn. 23 104 Σαββάτῳ: die 25 mens. Mart. a. 797 106 ὑπάρχου: cf. Bury, Eastern Roman Empire 224 et adn. 1; A. Konstantakopoulou, in: Ve Congrès international des études du Sud-Est Européen. Belgrad 1984, 157 sq.; G. I. Theocharides l. l. (p. 146* adn. 26) 96 adn. 4; J. Karayannopulos, in: Byzantina 13_1 (1985) 446 112 ἀρχιεπίσκοπον: Thomas? cf. Le Quien II 43 117 Δευτέρᾳ: die 27 mens. Mart. a. 797

---

100 βοροφόρου V ῥυζήδοντος C 101 ὃν C ὡρμήσαντες C 102 παλίνην C: Παλήνην VP Sirm 103 κόλπου VPS Sirm τὸν: τὸ Sirm ἔμβολον Sirm 105 οἷα $CS^{ac}P^{ac}$ 107 ἐπιστάσιν CVP: ἐπίστασιν Sirm 112 παρέπεμψέ VPS Sirm 115 κατ' ἠσπάσατο C παρ' αὐτὰ V Sirm 116 λοετροῦ PS: λουτροῦ V Mi: λούτρου Sirm 118 διεχώρησαν CS Sirm 119 προπεποιηκότες V ἀσπασάμενοι V 121 δακρυροῶς ex δακρυρῶς corr C: δακρυρρόως S: δακρυρῶς VP Sirm 123 οὕτω S 124 ἕλκον C 126 περιτιθέμενοι αὐτὰ CPS: περιτίθεμεν αὐτὰς V Sirm

ἐν ὀφθαλμοῖς ἡμῶν, ὡς τὴν δεξιάν σου καταφιλοῦντες. πάλιν δάκρυα, πάλιν στρέφονταί μου τὰ ἐντός· καταπαῦσαι γὰρ θέλω τὸν λόγον. ὦ πάτερ, τί με ἐγκατέλειπας; ἀλλ' οὐκ ἐγκατέλειπας. πῶς δέ μου ἀπεμάκρυνας; ἀλλ' ἐν ἐμοὶ εἶ. ποῦ δέ σε ἔτι μέλλω ὁρᾶν; πῶς σε ὄψομαι; ποῦ σου ἀκούσω τῆς ἡδίστης καὶ σωτηρίου φωνῆς; ὁπότε σου γένωμαι ὁμοτράπεζος; ποῦ σου συνουσίας ἁγίας ἀπολαύσω ἢ πώποτε ἐν ὠσίν σου ἀναγνώσομαι; ἢ πρὸ προσώπου σου ᾄσω; ἢ σωφρονισθῶ; ἢ ἐπιτιμηθῶ; ἢ ἐπιμνησθῶ; ἕξιν ποιῶν ἄφιλόν σοι, ἑστίασιν, βρῶσιν, ποτόν, ὁμιλίαν, στάσιν, καθέδραν, ἀνάκλισιν. τί μοι συμβέβηκεν; καλῶ τοὺς ἀνθρώπους μάρτυρας, καλῶ καὶ τὰς οὐρανίους δυνάμεις συνηγόρους μοι, ὅτι νόμος σε θεοῦ ἐχώρισεν ἀπ' ἐμοῦ, ἐντολὴ μία αἰώνιος. ἀκουσάτω ἡ ὑπ' οὐρανόν. διὰ τοῦτο χαίρω καὶ φωνὴν ἀφίημι αἰνέσεως θεῷ, ἀπέχω πάντα ὑπερεκπερισσοῦ, ἀγάλλομαι, οὐκ ὀρφανισθήσομαι ἔτι, οὐκ ὀδυρηθήσομαι οὐδ' ἀγενές τι φθέγξομαι. δέξαιο δὲ καὶ τὰ ἀνώτερα, πάτερ, ὡς εὐαγῆ· τοῦ πόθου σου γὰρ σύμβολα, πλὴν ὅτι καὶ ἔτι κλαύσομαι, ἀλλ' εὐαπόδεκτα.

Σὺ δέ, ὦ πάτερ τρισμακάριε, χαῖρε καὶ εὐφραίνου. τὰ βραβεῖά σοι ἐπλάκησαν, ὁ τῆς ἀναπαύσεως τόπος ἡτοίμασται. ὁ ζῆλός σου κατὰ τοὺς πατέρας σου, ἡ φρουρὰ βοᾷ τὴν ἀλήθειαν. ἐδέθη ὁ δίκαιος ὡς δύσχρηστος, οἱ ἐν εὐσεβείᾳ εὐχάριστοι, οἱ ὁμόζηλοι θερμότεροι, προοίμιον κάλλιστον θεασάμενοι. οἱ διώκοντες λόγοις ἔξωθεν πλέκουσι καὶ κακίζουσι, καὶ μάλιστα οἵτινες τῶν μοναχῶν, ἔσωθεν δὲ ταῖς ἐννοίαις ὑπωπιάζονται καὶ πικρὸν κατήγορον τὴν ἰδίαν συνείδησιν ἔχουσιν. ἐπεὶ καὶ θαυμάζουσιν· ἴσασι γὰρ ἀγᾶσθαι, ὡς ὁ μέγας Γρηγόριος, ἀνδρὸς ἀρετὴν καὶ πολέμιοι, ὅταν τοῦ θυμοῦ λήξαντος ἐφ' ἑαυτὴν ἡ πρᾶξις δοκιμάζηται. ἄγγελοι ὑμνοῦσίν σε, ἄνθρωποι μακαρίζουσιν, Χριστὸς ἀπεδέξατο, τὰς πύλας σοι ἀνέῳγεν τῆς βασιλείας τῶν οὐρανῶν εἰς αἰῶνας· ἀμήν.

---

129 Ps. 21,2 132 Jer. 43,6 138 Ps. 65,8 139 Eph. 3,20 145 Is. 3,10 150 Greg. Naz. or. 15,11 (PG 35,932 B)

---

129 ἐγκατέλιπας P: ἐγκατέλιπες V Sirm (bis) (sed cf ep 262,11 προήνεγκας; W. Schmid, Atticismus IV 603) 131 γίνομαι CPS 132 ἁγίας om V Sirm πώποτε P Sirm: ποῦ ποτε V: ὁπώποτε C: πότε S 133 ὠσί VPS Sirm 134 ἄφιλον: ἃ φίλον VP Sirm 135 ἀνάκλησιν C συμβέβηκε VPS Sirm 137 συνηγορούσας V τοῦ ante θεοῦ add S 139 ὑπὲρ ἐκ περισσοῦ CP Sirm 140 ὀδυνηθήσομαι VPS ἀγεννὲς VP 141 ἀνωτέρω V 142 σύμβολον P 143 μακάριε V 147 κάλλιστον προοίμιον VP Sirm λόγους VS Sirm 148 οἱ τινὲς CPS: οἵ τινὲς V: οἵ τινες Sirm: corr Mi 149 πικρὸν: μικρὸν V 150 ἄγασθαι VPS Sirm 151 ὅτ' ἂν C 152 ὑμνοῦσί VPS Sirm 153 μακαρίζουσι VPS Sirm ἀνέῳγε VPS Sirm 154 τοὺς post εἰς add VP Sirm

4. Νικηφόρῳ ἡγουμένῳ

Τῆς ἀποκρίσεως δοθείσης ἡμῖν παρὰ τοῦ κυρίου διακόνου, γνήσιε καὶ πολυπόθητέ μου ἀνεψιέ, εὐθὺς ἠβουλήθημεν ἐπιστεῖλαί σοι. ἐπειδὴ δὲ ἦν καιρὸς χειμέριος καὶ ἡ παλιμβουλία συστέλλουσα, ἀγαθὸν ἡγησάμεθα μὴ ταχὺ δοῦναι λόγον. ἡνίκα δὲ μετὰ / τῆς ἐπερωτήσεως καὶ τὰ γράμματα ἠπαίτουν, αὐτὸ τοῦτο τί δεῖ ἔτι διακρίνεσθαι καὶ μὴ τὸ παριστάμενον ἐξειπεῖν; πρῶτον δὲ ἐκεῖνο ἐρῶ καί με δέξαιο, τιμιώτατε, ὅτι, ὡς καὶ αὐτὸς οἶδας, πολλῆς κακίας ὑπόδειγμα τὸν ἑαυτοῦ βίον παρεστησάμην τοῖς πολλοῖς· καὶ οὐκ ἔστι σχεδὸν εἰπεῖν σφάλμα, οὗ μὴ καὶ αὐτὸς ἐγὼ μετίσχον καὶ ἄλλοις προσπαρέδωκα. ἀλλ᾽ ἐπειδὴ μανθάνω τὴν φιλανθρωπίαν τοῦ θεοῦ καὶ τὸν εἰς πυθμένα κακίας κατενεχθέντα ἀναρρύεσθαι καὶ ὀρέγειν χεῖρα πρὸς μετάνοιαν, ἔφυγον τὴν ἀπόγνωσιν καὶ ἔδοξα μικρόν τι ὑποστηρίζειν ἐμαυτὸν πρὸς τὸ εὐθές.

Διὰ τοῦτο, ὡς ὁ τῶν ἀφανῶν γνώστης θεὸς ἐπίσταται, ἀπεσχοίνισα ἐμαυτὸν καὶ τῆς συνδιατριβῆς τῶν συγγενῶν μου καὶ τοῦ ἐθισμοῦ τῶν κατὰ σάρκα φίλων μου καὶ εἴ τινος δὴ οὖν ἄλλου, μόνης τῆς δυνάμεως τοῦ θεοῦ ἐπιβοηθούσης τῇ ἀσθενείᾳ μου περὶ πάντα. καὶ νῦν, ὃ ἐπεζήτησας παρ᾽ ἐμοῦ τοῦ ἀμαθοῦς μαθεῖν, οὕτως ἔχει, ὡς εἴρηκέν σοι ὁ κύριος διάκονος. τοῦτο δὲ οὐκ ἀκρίτως ἢ ἀπεφθεγξάμεθα ἢ καὶ ὑπίσχομεν, ἀλλ᾽ ἐν ἐρευνήσει καὶ συζητήσει τῆς θεοπνεύστου Γραφῆς βεβαιωθέντες καὶ κρατυθέντες, οὐ μὴν ἀλλὰ καὶ δι᾽ ἐρωτήσεως τῶν ὀφειλόντων. καί γε ἡ ἀλήθεια οὕτως ἔχει, τοῦ θείου νόμου ἐμφανῶς ἀπαγορεύοντος οὐ διὰ τοῦ θείου Παύλου μόνον, ἀλλὰ καὶ δι᾽ ἄλλων θεολόγων πατέρων, αὐτὸ τοῦτο διευκρινούντων καὶ ἀπολευκαινόντων καὶ συναποφαινομένων τῇ ἀποστολικῇ ἐγκελεύσει. καὶ πῶς λοιπὸν ἀλόγως ἀδιαφορήσω καὶ μὴ μᾶλλον διασταλθῶ καὶ ὑπεξαγάγω ἑαυτὸν ἀπὸ τῶν βλαπτόντων τὴν ἐλεεινήν μου ψυχήν, κἂν οἷος ἂν κίνδυνος παρῇ, τοῦ τῶν πατέρων κορυφαιοτάτου βοῶντος καὶ λέγοντος ὅτι, ἐάν τι παρ᾽ ἐντολήν ἐστιν ἢ τὴν ἐντολὴν παραβλάπτῃ, οὐδαμῶς ἀνέχεσθαι χρή, κἂν ζωῆς ἐπαγγελίαν ἔχῃ, κἂν

4. inter mens. Sept. a. 795 ac autumnum a. 796

21 2 Tim. 3,16 24 cf. Gal. 1,8 30 Bas. reg. br. 303 (PG 31,1297 C)

C V PS

3 μου: μοι V 4 ἐπεὶ VP Sirm 6 ἀπῄτουν VPS Sirm δεῖ: δὴ C 10 μετῆσχον C: μετέσχον VPS Sirm: correxi 19 παρεμοῦ C 20 εἴρηκε VPS Sirm 21 ὑπέσχομεν S Mi 22 οὐ: καὶ Mi 25 δι᾽ εὐκρινούντων P 26 σὺν ἀποφαινομένων C 29 καν C: καὶ cett Sirm 30 παρεντολὴν C 31 καν C (bis)

θανάτου ἀπειλήν; ἐῶ λέγειν ὅσαι παρυφίστανται καὶ ἄλλαι χρήσεις, μὴ ἐῶσαι ἡμᾶς ἐξυπάγεσθαι κἂν τὸ μικρότατον γοῦν ἔξω τῆς ἐντολῆς, ἄλλως τε καὶ πάλιν παραγγελίαν ἔχοντες τοῦ Μεγάλου Βασιλείου, ὅτι δεῖ πάντα ἀπαραλείπτως φυλάττειν τὰ διὰ τοῦ εὐαγγελίου καὶ τῶν ἀποστόλων ὑπὸ τοῦ Κυρίου παραδεδομένα.

Ταῦτα ὡς πατρὶ καὶ φιλουμένῳ τεθάρρηκα φανερῶσαί σοι· ἐπεὶ καὶ ἡμεῖς, ὡς μάρτυς ὁ καρδιογνώστης θεός, οὔτε κηρύσσομεν (οὔτε γάρ ἐσμεν προύχοντες) οὔτε ἀπεχθανόμεθα. ἀλλὰ καὶ τὸν αὐτοκράτορα καὶ εὐσεβέστατον βασιλέα ἐγκαρδιωμένον ἔχομεν τῇ ἀγάπῃ καὶ ἅπαντας τοὺς συγγενεῖς μου, φιλοΐδιος ὑπάρχων, ὡς ὑμεῖς γινώσκετε, καὶ μνημονεύομεν αὐτοῦ καὶ ἐν τῇ θείᾳ λειτουργίᾳ καὶ ἐπευχόμεθα ἰδίᾳ τε καὶ δημοσίᾳ. καὶ τῆς ἐκκλησίας κοινωνικοί ἐσμεν, καὶ μὴ εἴη ἡμῖν ποτε διασχισθῆναι ἀπ' αὐτῆς. συγχωρήσατέ μοι τῷ μόνῳ ἁμαρτωλῷ· εἱλάμην θρηνῆσαι τὰς ἁμαρτίας / μου ἐν τῇ γωνίᾳ ταύτῃ καὶ μὴ συμφύρεσθαι τοῖς ἐν κόσμῳ. τί τοῦτο ἔγκλημα; χάρισαί μοι τοῦτο, ποθεινότατέ μου ἀνεψιέ, (οἶδα γὰρ ὅτι καὶ δύνῃ) καὶ ἠρεμεῖν ἐνταῦθα καὶ ἀποδιίστασθαι παντὸς τυχὸν ἀνθρώπου· καὶ τῇ ἐμμελεῖ ἀγχινοίᾳ σου τὰ σκολιὰ ποίησον λεῖα καὶ τὰ τραχύνοντα καθομάλισον. καὶ γενοῦ τοῦ εἰρηνικοῦ ἡμῶν ⟨βίου⟩ βραβευτὴς καὶ τῆς ἡσυχίας συνασπιστής, ἵνα, εἰ καί τι ἡμῖν ἐστιν ἐν τούτῳ χρήσιμον, διαιτήσῃ δικαίως καὶ κατὰ λόγον.

5. Στεφάνῳ ἀδσηκρῆτις

Ἐν τῇ χθὲς ἡμέρᾳ, ἐπειδὴ τῆς εὐκλεοῦς σου παρουσίας ἐν μεθέξει γεγόναμεν, μετά τινας ἄλλας ὁμιλίας, δι' ἃς καὶ ὁ τρόπος τῆς ἐνταῦθά σου ἀφίξεως, εἰς λόγους πως ἐληλύθαμεν γραφικῶν ζητημάτων καὶ ἐν ἀμφιβολίᾳ πολλῇ συσχεθέντες ἀπιθάνως πρὸς ταῦτα διέστημεν ἀπ' ἀλλήλων. καὶ ἡμεῖς μέν, ὦ δέσποτα, ἰδιωτίζοντες οὐ πάντως κατὰ

35 Bas. moral. 12,2 (PG 31,724 B) 38 Act. 15,8

33 κὰν C σμικρότατον VP Sirm 34 ἔχοντας Mi 35 φυλάσσειν S 40 ἐγκαρδιώμενον Sirm 43 κοινωνοί V 45 εἰλόμην VPS Sirm 47 μου om VP Sirm 48 ἀπὸ διίστασθαι C 49 ἐμμελῆ C 50 κατ' ὁμάλισον C βίου inserui

5. ante mens. Sept. a. 796

C VM (ll. 22–75) T PS

1 ἀσηκρῆτις VPS Sirm (sed cf Psaltes, Grammatik 83 sq) 3 καὶ om T 4 λόγον V Sirm πῶς CPT 5 ἀπειθανῶς C: ἀπειθάνως T (fort recte; cf Lexicon Lampei s. v. ἀπείθανος) 6 μὲν om T ἰδϊτίζοντες VP

τὴν παροῦσάν σου σοφίαν ὑπαντήσομεν· ἵνα δὲ μὴ τῇ ἐφησυχάσει τῶν ὀφειλομένων λαληθῆναι κρίμα ἑαυτοῖς ἀπενέγκοιμεν (ἐλεγμῷ γάρ, φησίν, ἐλέγξεις τὸν πλησίον σου καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν), ἄλλως τε ὅτι καὶ σοφὸν ἐλέγχοντες μᾶλλον ἀγαπηθησόμεθα, ἀναγκαῖον ᾠήθημεν προσφωνῆσαί σοι τὰ ἐπιβάλλοντα. ὁ κύριός μου, ἵνα συντόμως ἐρῶ, τὰς πολλὰς πεύσεις καὶ ἀντιρρήσεις ἐπισυστέλλων, ἔφης τά, ὡς οὐ χρὴ τὸν προεστῶτα εἴτουν ποιμενάρχην ἄτερ πίστεως ἐπὶ ταῖς ἄλλαις ἐντολαῖς τοῦ Κυρίου κατὰ ἄγνοιαν ἢ ἐθελοντὶ πράττοντά τι τῶν ἀπηγορευμένων πρός τινος ὑπομνήσκεσθαι, ἡμῶν λεγόντων ὅτι καὶ μάλα, ἀλλ' ὑπὸ τῶν προεχόντων ἐν γνώσει καὶ συνέσει παρὰ τοὺς ἄλλους. καὶ πρὸς τοῦτο ὁπόθεν καὶ οὐ παραστησόμεθά σοι τὸ τοῦ λόγου ἄτοπον; πρῶτον μὲν ἀπὸ τῆς παλαιᾶς διαθήκης. τί γάρ σοι δοκεῖ τὸ τοῦ Δανιήλ; ἆρα τοὺς πρεσβυτέρους, καίπερ ὢν οὐ τοῦ ἐννόμου καιροῦ τῆς εἰς τὸ λέγειν καὶ παρρησιάζεσθαι ἡλικίας, παρανομοῦντας πρὸς τὴν τῆς θείας Σωσάννης καταδίκην, ἐπῃνέθη οὐ μόνον ὑπομνήσκων, ἀλλὰ καὶ κατακρίνων, ναὶ ἢ οὔ; εἶτα οὐ δέχῃ τὸν Ἰωὰβ ἐν τῇ ἀπαριθμήσει τοῦ λαοῦ, ὄντος τοῦ δράματος εἰς παροργισμὸν θεοῦ, ἀντιβολοῦντα, ἐκλιπαροῦντα, ἀναπείθειν πειρώμενον τὸν θεῖον Δαυὶδ μὴ τοῦτο δρᾶν; οἶσθα γὰρ τὴν ἱστορίαν. ἐμὲ δὲ δυσωπεῖ καὶ Ἰοθὸρ ὑπομνήσκων τὸν μέγαν Μωσῆν καὶ παρεγγυώμενος μὴ οὕτω διεξάγειν τὸν λαὸν καὶ οἱονεὶ στοιχειῶν καὶ πρὸς τὴν οἰκείαν βουλὴν μεταρρυθμίζων. καὶ τίς ὤν; ἀλλογενής, εἰ καὶ κηδεστής. καὶ τίνι φῶν; τῷ πάντα κατὰ ἀποκάλυψιν θεοῦ διαπραττομένῳ.

Καὶ ταῦτα μὲν ἐπ' ὀλίγον, ἵνα μὴ μακρηγορήσωμεν. μετιτέον δὲ ἐπὶ τὴν νέαν. αἰδεσθῶμεν, εἰ βούλει, πανεύφημε, καὶ τὸ τοῦ τῆς οἰκουμένης διαπρυσίου κήρυκος ὑπαγόρευμα, τὸ ἐὰν τῷ ἐσχάτῳ ἀποκαλυφθῇ, ὁ πρῶτος σιγάτω· οὐχ, ὡς ἀντιτείνει ἡ φιλότης σου, τοῦτο περὶ μόνης πίστεως. καὶ οἷον δή μοι παρέλαθεν μικροῦ δεῖν, ὁ μέγας κῆρυξ τῆς ἀληθείας Ἰωάννης ἐλέγχει τὸν Ἡρώδην. ἐρωτῶ,

8 Lc. 19,17   19 cf. Su. 52 sq.   23 cf. 2 Reg. 24,1 sq.   26 cf. Ex. 18,14 sq.   33 1 Cor. 14,30   36 cf. Matth. 14,4

7 σου: σοι S   ὑπαντήσαμεν T   ἐφ' ἡσυχάσει C   8 κρῖμα S Sirm (sed cf Blass – Debrunner – Rehkopf 13 adn 3) ἐπενέγκοιμεν T^{pc} 10 ἀγαπησόμεθα T   12 ἐπὶ σὺ στέλλων T   13 ἔφης τά: ἔφησθα Mi   εἰτοῦν C: om VP Sirm   15 ὑπομιμνήσκεσθαι VPS Sirm   19 ἄρα CT   πρὸς post ἄρα add S   22 (Σωσάν)|νης: hic inc epist in M post titulum ἐπιστολαὶ θεοδώρου τοῦ στουδίτου, adscriptis in marg manu rec verbis ἡ μνήμη τοῦ παρόντος ἁγίου ἐστὶ τῇ ιᾶ τοῦ νοεμβρίου   ὑπομιμνήσκων VMPS Sirm   26 ἰοθὼρ CT   ὑπομιμνήσκων $VMPS^{pc}$ Sirm   29 φωνῶν T: φάσκων S   34 σιγάτω ὁ πρῶτος S   35 τῆς ante πίστεως add MT (fort recte)   δή: δεῖ C   μοι: με VMP Sirm   παρέλαθε VMPS Sirm

/ ἀπόκριναί μοι. ἀλλ' ἀγχίθυρος ὁ πρὸς ἐμὲ οἶδ' ὅτι γέλως τοῦ ὅτι ἐν μέτρῳ τοῦ προφήτου ἰσοστατεῖ ἑαυτόν. ἀλλ' οὐχ οὕτως, ὦ βέλτιστε· ταῦτα δέ, φησίν, ἐγράφη πρὸς νουθεσίαν ἡμετέραν. καὶ αὖθις ὁ Παῦλος· μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. πῶς δὲ καὶ οἷόν τε ὀρθοδοξεῖν τὸν λοξοεργοῦντα, τοῦ θείου Ἰακώβου ἐνισταμένου, ἐκ τῶν ἔργων δείκνυσθαι τὴν πίστιν καὶ τοὺς περὶ τὸ ἓν σφαλλομένους μηδὲ τὸ θάτερον ἔχειν;

Τοσούτων οὖν καὶ τηλικούτων ὄντων μαρτυριῶν οὐκ οἴομαι ἀντιφάσκειν τὴν εὐγένειάν σου· εἰ δὲ τοῦτο, ἀντεπεστελλέτω τῇ ἀσυφηλίᾳ ἡμῶν ἀναλύσεις μὲν ἐν λόγῳ τῶν προταθέντων, ἀντεξαγωγὰς δὲ διευκρινεστέρας τῶν συσκευασθησομένων σοι. εἴθε καὶ πάρεισιν· ἡμεῖς γε σιωπήσομεν καὶ συγγνώμην τῆς ἐνστάσεως, καίπερ ἐν ζήλῳ οὔσης, αἰτησόμεθα. τὸ γὰρ ἐπιτιμᾶν μόνον ῥᾷστον καὶ τοῦ βουλομένου παντός, ὡς ἀναγινώσκεις, τὸ δὲ ἀντεισάγειν τὴν ἑαυτοῦ γνώμην διὰ μαρτυρίας τῆς θεοπνεύστου Γραφῆς ἀνδρὸς ὄντως ὑγιοῦς καὶ νοῦν ἔχοντος.

Πρὸς δὲ τὸ μὴ εἰς ἀμετρίαν ἐνεγκεῖν τὴν ἐπιστολὴν ἐνταῦθα καταπαυσόμεθα τὸν λόγον, παραθέντες καὶ χρήσεις τοῦ Μεγάλου Βασιλείου εἰς ἐντελεστέραν ἀπόδειξιν. φυλαχθείης οὖν ἡμῖν πανέστιος ὁ ἠγαπημένος ἡμῶν δεσπότης, εὐεκτῶν ἀμφοτέρωθεν· ἡμεῖς γὰρ τὸ τῆς ἀγάπης σου καλὸν καὶ γράφοντες καὶ μὴ γράφοντες γλιχόμεθα ἔχειν.

Τῶν ἀσκητικῶν τοῦ Ἁγίου Βασιλείου ἐκ τοῦ κ' λόγου [τῶν κατὰ πλάτος ἐκ τῶν ἠθικῶν τοῦ λόγου].

Ὅτι δεῖ τὸν προεστῶτα ὑπομνήσκεσθαι παρὰ τῶν προεχόντων ἐν

---

50 ὡς ἀναγινώσκεις: nempe in Demosthenis or. Olynth. I l. l. infra; fallitur Leroy, Vie quotidienne 42 adn. 4: „on ne trouve nulle part dans les œuvres de Théodore la moindre allusion à des auteurs profanes" (pariter A. M. Talbot, Faith Healing in Late Byzantium. Brookline, Mass. 1983, 36); cf. adn. ad ep. 528,57

---

39 1 Cor. 10,11 40 1 Cor. 11,1 42 Jac. 2,20 49 Demosth. 1,16 61 Bas. reg. fus. 27 (PG 31,988 A)

---

37 τοῦ CST: τὸ cett Sirm 38 ἰσοστατῶ VMS 40 καὶ om VM 42 τοῖς σφαλλομένοις $CS^{ac}VTP^{ac}$ (sed ultimam -οις ex -ους ortam esse videtur, ut saepe) 43 τὸ om S 44 ὄντων: οὐσῶν VM μαρτύρων P Sirm (παρτύρων) an μαρτυρίων scribendum? 45 ἀντ' ἐπεστελλέτω C: ἀντεπιστελλέτω VMPS ἀσυφιλίᾳ CT: ἀσυμφιλίᾳ cett Sirm: correxi 46 λόγοις VM 47 εἴγε MT (fort recte) 48 γε: δὲ VMT σιωπήσωμεν C 50 ἀντ' εἰσάγειν C: ἀντισάγειν T 51 ὑγειοῦς CT 54 κατεπαυσόμεθα C: καταπαυσώμεθα T: κατεπαυσάμεθα cett Sirm: correxi 55 φυλαχθείης – 58 ἔχειν ad finem epist transp T 56 καὶ ante εὐεκτῶν add T 59 κ': εἰκοστοῦ MP Sirm τῶν ἀσκητικῶν – 60 λόγου om T: ἐκ τοῦ εἰκοστοῦ λόγου τῶν ἀσκητικῶν τοῦ ἁγίου βασιλείου V τῶν κατὰ – 60 λόγου uncis inclusi 61 ὑπομιμνήσκεσθαι VMPS Sirm

τῇ ἀδελφότητι, ἄν ποτε ἀποσφαλῇ.

Ἐκ τοῦ λδʹ.

Τὸν μὴ καταδεχόμενον τὰ παρὰ τοῦ προεστῶτος ἐγκριθέντα χρὴ ἐν τῷ φανερῷ ἢ ἰδίᾳ αὐτῷ ἀντιλέγειν, εἴ τινα ἔχοι λόγον ἰσχυρὸν κατὰ τὸ βούλημα τῶν Γραφῶν, ἢ σιωπήσαντα τὸ προστεταγμένον ποιεῖν. εἰ δὲ αὐτὸς αἰσχύνεται, ἄλλοις τισὶ μεσίταις πρὸς τοῦτο χρησάσθω.

Ἐκ τῶν ἠθικῶν τοῦ αὐτοῦ λόγου οβʹ.

Ὅτι χρὴ τῶν ἀκροατῶν τοὺς πεπαιδευμένους τὰς Γραφὰς δοκιμάζειν τὰ παρὰ τῶν διδασκάλων λεγόμενα.

Ὅτι δεῖ τὸν προεστῶτα τοῦ λόγου μετὰ περισκέψεως καὶ δοκιμασίας πολλῆς κατὰ σκοπὸν τῆς πρὸς θεὸν εὐαρεστήσεως ἕκαστον ποιεῖν τε καὶ λέγειν, ὡς ὀφείλοντα καὶ ὑπ' αὐτῶν τῶν πεπιστευμένων αὐτῷ δοκιμάζεσθαι.

6. Θεοκτίστῃ τῇ ἑαυτοῦ μητρί

Εἰ οἷόν τε ἦν δάκρυα ἐν γράμμασιν ἀποκομίζειν, ἐμπλήσας ταύτην μου ἂν τὴν ἐπιστολήν, τιμία καὶ γλυκεῖα καὶ θεοπόθητέ μου μῆτερ, παρεπεμψάμην σοι ἐν ταύταις ταῖς ἡμέραις. τῷ ὄντι γὰρ οὐκ ἀνεκτῶς φέρω τὰ περὶ σοῦ ἀκούειν, οὐ λέγω ἐντάφια, ἀλλὰ καὶ νοσήματα ἐπιθανάσιμα. καὶ ἱνατί οὕτως, μῆτέρ μου, εἴλω ἡμᾶς ἐᾶσαι, ἀγαπήσασα τὸν μέλλοντα αἰῶνα, ἐκδημῆσαι ἀφ' ἡμῶν καὶ ἐνδημῆσαι / πρὸς Κύριον; ἀλλὰ τὰ ἐκεῖ πάντως ἠγαπήκεις, ἐκ πλείονος πόθου τῇ διαθέσει μετατεθεῖσα, τὴν καλὴν καὶ ἁγίαν μου ἀδελφὴν ὡς μᾶλλον ἐπεθύμησας καταλαβεῖν καὶ τὸν γλυκύν μου κύριον Εὐθύμιον, μᾶλλον δὲ τὸν τῶν ἁγίων χορόν. καί, ὦ μῆτερ, πῶς ἐνέγκω, πῶς ἀδακρυτὶ

---

64 Bas. reg. fus. 47 (PG 31,1036 B) **70** Bas. moral. 72 prooem. (PG 31,845 D) **72** Bas. moral. 70,36 (PG 31,844 D sq.)

---

62 ποτὲ CVMP **63** λδʹ: τριακοστοῦ τετάρτου Mi **65** ἔχει VMS **67** πρὸς τοῦτο S[sscr] **69** οβʹ: ἑβδομηκοστοῦ δευτέρου Mi **70** χρὴ: δεῖ T **72** δεῖ: χρὴ T **74** καὶ[2] om T πεπιστευκότων VMPS Sirm (cf tamen ep 10,9 et Bas l. l.)

---

6. a. 797 – 799 **9** ἀδελφήν: cuius nomen non proditum; cf. Theod. Stud. epigr. 105 f (p. 275 Speck)

---

6 2 Tim. 4,10 **7** 2 Cor. 5,8

C VM PS

---

6 ἵνα τί C εἵλου VMPS[pc] Sirm **10** κῦριν MP **11** πῶς ἐνέγκω om Sirm

παρελεύσομαι τὴν ἐπιστολὴν διερχόμενος; ἆρα ἀπόκειται τοῦτο τῇ δυστήνῳ μου ζωῇ, ἵνα καὶ τὸν σὸν θάνατον ἀκούσω; ἵνα ἐπιψάλω σοι θρηνῳδῶς; ἵνα ὁρῶν σου τὸν τάφον ἐπιγράψω ἐλεγεῖα; ἵνα ὑπὸ γῆν αὐτὴ σώματι μὲν τεθῇς (πνεύματι γὰρ οἶδ' ὅτι ἐν οὐρανοῖς αὐλισθήσῃ), ἐγὼ δὲ ὑπὲρ γῆν ὦ, ἕλκων ἔτι τὸν ὀδυνηρὸν καὶ πολυαμάρτητόν μου βίον;

Καὶ πῶς ταῦτα ἀνεκτά; μή μοι γένοιτο, πλὴν παραχωρητέον πάντα ἐν τῇ βουλῇ καὶ θελήσει τοῦ ὑπεραγάθου θεοῦ ἡμῶν· καὶ γὰρ οἶδεν ὅ τι συμφέρει ἑκάστῳ ἡμῶν, ἐπίσταται τὸ δέον, συναρμόζει τὸ πρέπον, φιλόστοργός ἐστι πατήρ, ἅπαντα καλῶς διατίθησιν, εὐστόχως, εὐβούλως, πανσόφως, παγκάλως, ἀκαταλείπτως. καὶ ὢ τῆς σοφίας καὶ τοῦ βάθους τῶν κριμάτων αὐτοῦ, ὅτι ἀνεξερεύνητοι καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. προσέλαβεν γοῦν τὸ πρότερον τὴν ἀδελφήν, προσελήψατο δεύτερον τὸν ἀδελφόν, ζητεῖ τὸν τρίτον. τίς εἴη οὗτος; εἰ μὲν αὐτή, μέγα τὸ ἐγκώμιον. τριαδικῆς γὰρ μερίδος ἔπαθλον διανύεις, καλῶς διαμείψασα τὸν βίον, πάντα ἀπολιποῦσα, πάντα δοῦσα θεῷ, τὴν κεφαλήν, τὰ μέλη, σαυτήν, ἐν ἀσκήσει κατατρίψασα τὸ τίμιόν σου σῶμα, πολύθλιπτον βίον διεξανύσασα, μᾶλλον δὲ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν τοῦ Κυρίου διαβαδίσασα καὶ νῦν ἐν γήρει καλῷ ζητοῦσα τὴν ἀνάλυσιν. ταύτην τοίνυν ἀπεύχομαι τέως ἄρτι, πλὴν κράτιστον, ὃ τῷ θεῷ φίλον· καὶ τίς οἰκειοτέρως τὰ περὶ ἡμᾶς βουλεύσεται ἄτερ αὐτοῦ;

Ἀλλά μοι χαῖρε, μῆτερ, καὶ ζῶσα καὶ κοιμωμένη· οὐ γὰρ τεθνήξεις, διότι ζῶσα εἶ. προαιρέσει ἀπενεκρώθης τῷ βίῳ, διότι καλὸν ἀγῶνα ἠγώνισαι, διότι ἐστερήθης τῶν ἐπιγείων, ἵνα τὰ οὐράνια κληρονομήσῃς, διότι τοῖς τοῦ μαρτυρίου ὡμίλησας ἄθλοις ἀναιμωτί, τὰ μέλη σου ἡμᾶς ἀποτεμοῦσα διὰ τὴν ἀγάπην τοῦ Κυρίου. ἀμέριμνος ἀπέρχῃ, ἀδιάθετος· οὐ γὰρ πάρεστίν σοί τι διαθέσθαι ἢ τὸ ἔνδυμά σου τὸ τρύχινον καὶ εἴ τι ἄλλο τῆς ἀσκευάστου ζωῆς σχέδιον. ἀπ' ἐντεῦθεν ἤδη γυμνὴ παρίστασαι τῷ θεῷ, καθαρὰν τῆς τῶν ὑλῶν βορβορώσεως φέρουσα τὴν ψυχήν. ἔχεις δ' ὅ τι ἡμῖν καταλείψεις,

---

16 Bas. renunt. 1 (PG 31,628 B) 22 Rom. 11,33 30 Matth. 7,14 Gen. 25,8 35 2 Tim. 4,7

---

13 ἐπιψάλλω MPS ἐπιψάλλω σοι post θρηνῳδῶς transp S 15 γῆς V 16 πολυάμάρτητον C 17 μου om V 21 ἅπαντα post διατίθησιν transp V Sirm 22 ἀκαταλήπτως S^{pc} (fort recte) 23 καὶ^{1} om Sirm ἀνεξηρεύνητοι C ὅτι – 24 αὐτοῦ om S προσέλαβε VMPS Sirm 27 διανοίης C ἀπολειποῦσα C 29 πολύθριπτον VM^{ac} 30 βαδίσασα VMP Sirm 31 ταύτην: ταῦτα V 32 ὃ: ᾧ CS 33 ἅτερ PS 35 δι' ὅτι C (bis) 36 δι' ὅτι C 39 πάρεστι VMPS Sirm 40 τρίχινον S Sirm ἀπεντεῦθεν CMPS Sirm

τὴν κραταιὰν εὐχήν, ἣν καὶ νηπίοις ἡμῖν οὖσι σχεδὸν κατέπεμπες, σημειοῦσα καὶ κατασφραγίζουσα ἐν ταῖς νυκτεριναῖς ὥραις, λιτὰς ἀνθ' ἡμῶν τῷ Κυρίῳ ἐν παντὶ καιρῷ προσφέρουσα. καταλείψεις δὲ καὶ τὸ ἄοκνόν σου ἐν ταῖς θείαις λειτουργίαις καὶ φίλαγνον καὶ σπουδαῖον καὶ τὸ ἀποστολικὸν καύχημα τοῦ καμάτου· τῷ ὄντι γὰρ πολὺς κάματος ἐκ τῶν ὁσίων σου χειρῶν ἐξελήλυθεν καὶ διεσκέπασεν καὶ διέθαλψεν οὐχ ἡμᾶς μόνους, ἀλλὰ καὶ ἅπασαν τὴν ἀδελφότητα. οἳ καὶ ὡς μητέρα πνευματικὴν ἔχοντές σε καὶ περιέποντες τὰ ἴσα ἡμῖν καταλυποῦνταί σε καὶ ἀνακαλοῦνται.

Ταῦτα ὡς μὴ γινόμενα ἐσχηματίσαμεν ἐν τοῖς γράμμασιν, παρηγορίαν ἡμῖν αὐτοῖς ποιοῦντες καὶ ὑποδεικνύοντές σοι τὰ τῆς καρδίας ἡμῶν, ἅπερ καὶ ἐξ ἑαυτῆς / ἐπίστασαι. ἐγὼ τοίνυν, μῆτέρ μου ἁγία, ὡς οἶσθα, εἰ καὶ ἤθελον εἰσελθεῖν, οὐκ εἶχον πῶς διὰ τὴν φροντίδα τὴν ἐπικειμένην μοι ἀναξίως καὶ οὐκ οἶδα ποίῳ λόγῳ. ὡς θαυμαστὸν γάρ, φησίν, εἰ καὶ Σαοὺλ ἐν προφήταις, καί γε Θεόδωρος ἐν ἡγουμένοις. τοῦτό με εἶρξεν, τοῦτό με ἐδέσμευσεν· ἐπεὶ σιδηραῖς ἁλύσεσιν εἰ ἦν κατεπιασμένος, διέρρησσον αὐτὰς καὶ πρὸ προσώπου σου ἱστάμην. νῦν δὲ ἀντὶ ἐμοῦ ἔπεμψά σοι τὸν πρεσβύτερον εἰς μικρὰν παραμυθίαν, ὅτι καὶ αὐτός σοι ποθητὸς καὶ τίμιος, ἵνα ἐν πᾶσι συμπαρῇ τῇ ἀσθενείᾳ σου, ἐπισκεπτόμενος καὶ φροντίζων τὰ δέοντα, κἄν τε ἐπιμένῃς ἐν τοῖς αὐτόθι, ἐπιμένῃ, κἄν τε ἐξέρχῃ, συνεξερχόμενος ἅμα τοῦ οἰκονόμου. λοιπὸν ὡς εὐοδώσει ὁ θεὸς καὶ φέρει ἡ ἀσθένεια οὕτως, μῆτερ τιμία, καὶ διαγενοῦ, καὶ μὴ ὑπὲρ δύναμιν ταθῇς θέλουσα ἐξελθεῖν. τάχιον δὲ ὅπως διαφέρῃ ἐν τῇ νόσῳ διάγνωσιν πέμψον ἡμῖν, ἵνα εὐψυχήσωμεν μικρόν· κανόνα δὲ εὐθέως πάντες οἱ ἀδελφοὶ ἐποίησάν σοι καὶ εὐχὴν ἔχουσι διηνεκῆ περὶ τῆς ὑγείας σου. χάρισαι ἡμῖν τὴν ἁγίαν σου εὐχήν, εὐλόγησον ἡμᾶς μητρικαῖς δωρεαῖς, ἄσπασαι ἡμᾶς διὰ τοῦ γράμματος, δὸς ἡμῖν τὴν εἰρήνην, ἣν ἔχεις διὰ τῆς χάριτος τοῦ Χριστοῦ καὶ ἕξεις εἰς αἰῶνας αἰώνων.

---

44 cf. Theod. Stud. laud. matr. 4 (888 B) σημειοῦσθαι τὰ σφῶν μέλη τῇ τοῦ σταυροῦ σφραγῖδι 47 2 Cor. 11,23 sq. 57 1 Reg. 10,11

---

45 καιρῷ post προσφέρουσα transp M καταλείψοις C 47 τῳόντι S 48 ἐξελήλυθε VMPS Sirm διεσκέπασε VMPS Sirm 50 σε in marg C ἴσα VPS 52 γράμμασι PS Sirm αὐτοῖς ἡμῖν ποιοῦντες παρηγορίαν M 56 ὡς θαυμαστὸν iteravit M 57 καὶ post γε add VP Sirm: in marg S 58 εἶρξε VPS Sirm ἐδέσμησεν VM Sirm εἰ post ἐπεὶ add S 59 εἰ ἦν: εἴην C: ἤμην S 63 ἐπιμένῃ: ὑπομείνῃ M[pc] 64 τῷ οἰκονόμῳ VPS[pc] Sirm 65 μου post μῆτερ add VP Sirm 71 αἰῶνα αἰῶνος S

7. Εἰρήνῃ βασιλίσσῃ

Φωνή, φησίν, ἐν Ῥαμᾷ ἠκούσθη, ὁ θεοπτικώτατος Ἱερεμίας, θρῆνος καὶ ὀδυρμὸς πολύς, Ῥαχὴλ τότε κλαίουσα τὰ τέκνα αὐτῆς. τὰ δὲ παρόντα οἷα καὶ ἡλίκα; πόθεν που χθές, δέσποινα ἡμῶν πανάγαθε, ἀναφανέντες ἄγγελοι τοῦ ἱεροῦ σου παλατίου καὶ ἀκουτίσαντες ἡμῖν πάσας τὰς γεγενημένας σου τῶν ἔργων ἄρτι αἰνέσεις, ἤχησαν ἡμῶν ἀμφότερα ὡς ἀληθῶς τὰ ὦτα. τί τοιγαροῦν; ὅτι ἦρας σύσσημον ἐν τοῖς πέρασι τηλικαύτης εὐσεβείας. καὶ ἰδοὺ ἥκουσί σοι κυκλοτέρωθεν, ὡς νεφέλαι πετόμεναι, λιταὶ παμπληθεῖς, γεραίρουσαι τὸν θεὸν ὑπὲρ τῶν αἰσίων σου καταπράξεων. φράζε ἡμῖν, ὦ δέσποινα, τίς ὁ ἐπιβιβάσας σου τὸν καθαρώτατον νοῦν ἐπὶ τὰ ὕψη τῶν νοημάτων τῆς ἀληθείας, ὥστε ὡς ἀπὸ σκοπιᾶς τινος ὑψηλῆς μετεώρου καταθρῆσαι τὰ τοιαῦτα ἀρεστὰ θεῷ καὶ ὅσια. δίδαξον ὅθεν σοι ὁ τῆς εὐσεβείας τοσοῦτος ἔρως ἐνέσκηψεν, καλῶς ἀπληστεύεσθαι τὰ θεάρεστα καὶ εἰς ὅπερ ἐλάσαι φειδοῦς τῆς ὑπὲρ τῶν Χριστιανῶν ψυχικῆς τε καὶ σωματικῆς πολυφελοῦς προμηθείας. ἢ ἐπειδὴ πολὺ τὰ θεῖα φρονοῦσα καὶ ὁμειρομένη μητρικῶς οὐκ ἀρκετὸν ἡγήσω τὸ μόνον τὸν λαόν σου τῇ ἄνωθεν ἐπικουρίᾳ ὡς ἐξ Αἰγυπτιακῆς τινος δουλείας, τῆς δυσσεβοῦς, φημί, πίστεως, λυτρώσασθαι, εἰ μὴ μετὰ τῶν προλαβόντων πολυτρόπως ἐκλαμψάντων σοι δίκην ἀστέρων ἀγαθουργημάτων καὶ τὴν παροῦσαν ὡς κολοφῶνά τινα τῶν ἀρετῶν ἐπιπροσθήσασθαι χάριν;

Ἅγιος, ἅγιος, ἅγιος. εὐφράνθη ὁ οὐρανὸς / ἄνωθεν, μετὰ τοῦ ἱεροφωνοτάτου Ἠσαΐου ἐπιβοήσωμεν, εἰ καὶ τολμηρόν, ὅτι ἠλέησεν ὁ θεὸς διὰ σοῦ τὸν λαὸν αὐτοῦ. ἐπλήσθη γοῦν ἡ σύμπασά σου βασιλεία χαρᾶς καὶ ἀγαλλιάσεως, ὅτι ἀφῄρηται ὁ ἄνομος ζυγὸς ὁ ἐπ' αὐτὴν κείμενος καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου τῆς τοιαύτης ἐπικρατήσεως. τίς ἤκουσε τοιαῦτα; δεῦρο, εἴπατε, ἄνδρες· καὶ τίς ἑώρακεν ἐπ' ἄλλης βασιλείας τοιοῦτον καὶ τοσοῦτον κατόρθωμα;

---

7. mens. Mart. – Apr. 801

2 Jer. 38,15 7 Is. 5,26 21 Zenob. prov. 2,1 (IV 54 Bühler) 23 Is. 44,23 25 Ps. 125,2 26 Is. 9,3

C VM PS

2 ῥαμμᾷ P[pc]S 3 τότε: ποτὲ M 4 ποῦ CVMPS Sirm: corr Mi 7 τοιγὰρ οὖν C ἦρας C σύσσημον susp Sirm coll Is l. l.: συσσεισμὸν codd Sirm 8 κυκλωτέρωθεν S 12 καὶ ante μετεώρου add P: S[sscr] 14 ἐνέσκηψε VPS Sirm 16 πολυωφελοῦς VPS[pc] Sirm ἢ S πολὺ post τὰ θεῖα transp VM 17 ἱμειρομένη VMPS Sirm τὸ om M 21 καλοφῶνα C 23 εὐφράνθητι S 24 ἐπιβοήσομεν V[pc]P Sirm ἐλέησεν Sirm (sed cf infra 72) 29 τοσοῦτον καὶ τοιοῦτον S

ἐπαινέσατε αὐτὴν πάντες οἱ λαοί· μεγαλύνατε αὐτὴν σὺν ἡμῖν, ἄρχοντές τε καὶ ἀρχόμενοι, ἱερεῖς τε καὶ μονασταὶ καὶ πᾶν τὸ χριστιανικὸν φῦλον. οὐδὲ γὰρ ὅτι τῶν τοσούτων τοῦ χρυσίου ταλάντων ἡ ἄφεσις γέγονε θαυμαστὸν μόνον, καίπερ ὂν ἀνυπέρβλητον, ἀλλ' ὅτι καὶ πόρος ἀδικίας πολυπλάσιος ἐν τῇ τοιαύτῃ ὑποθέσει συνεξεκόπη ὁσιώτατον. ἤρθη ἐκ μέσου στραγγαλιὰ βιαίων καὶ ψυχοφθόρων ἀπαιτημάτων λαθοῦσα τοὺς πρὸ σοῦ ἅπαντας, καίπερ τινὰς εὐσεβῶς βεβασιλευκότας· τοῦτο γὰρ σοὶ ἀπέκειτο. πέπαυται ἐφομοσία, πολυορκία, μᾶλλον δὲ ψευδορκία ἐπί τε τῶν ἀπαιτούντων καὶ ἀπαιτουμένων, ἀμφοτέρων ἐντεῦθεν ὡς τὸ συμβὰν ἀπολλυμένων, τοῦ μὲν ὅ τι ἀποκρύψειεν πειρωμένου, τοῦ δὲ ὅτι ὑπερπιάσειεν καταπολυορκοῦντος. πέπαυται ἔκθλιψις στενοχωρουμένων καὶ πενομένων φροντιστήρια, οὐχ ὅπως τῆς πτωχείας φάρμακον ἀλεξιτήριον ἐξευρεθείη ζητούντων (ἧττον γὰρ ἂν ἦν τὸ λυπηρόν), ἀλλ' ἵνα τὸ ἀσύνθετον καὶ ἄνωθέν πως ὡς ἁμαρτίας γέννημα ἐπεισφρῆσαν ἀποτίσωνται τοῖς πράκτορσιν. οὐκέτι αἱ ὁδοὶ τελωνοῦνται, ὅσαι κατὰ γῆς, ὅσαι κατὰ θάλασσαν. ἀντίφθογγα ταῦτα τῶν ὑπὸ τοῦ μεγάλου καὶ ἱεροῦ Χρυσοστόμου εἰρημένων· οὐκέτι ἠπειρῶται ἐξαργυρίζονται ἄδικα κατὰ τοὺς στενωποὺς ἐκ τῶν ἐπικαθημένων ὡσανεὶ ἀγρίου τινὸς δαίμονος ἢ ἀτιθάσσου θηρός, ἀπογευομένου πάντως ἐκ τῆς τοῦ πενομένου ὀδίτου ἐπιφορτώσεως, οὐδ' αὖ δέει τῶν τοιούτων αἰσχρῶν λημμάτων οἴκοι μένουσιν οἱ ἀπορούμενοι, μήτε τὰ ἐν ἄστει μήτε τοὺς παραθαλασσίους τόπους καταλαμβάνοντες· πανταχοῦ γὰρ οἱ τῆς ἀδικίας σκόπελοι προεστήκασιν. οὐκέτι οἱ πλωτῆρες ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ ἐξορμώμενοι καὶ καταπλέοντες ὑποπνίγονται, ὡς ἂν ἐκ λαιμοῦ τοῖς στενοῖς στομίοις τὸ τελωνούμενον ἀποδώσοντες. ἀφείθησαν οἱ τὴν ἀγρευτικὴν μέθοδον μετερχόμενοι, κούφως ταύτην διαλαμβάνοντες, Εἰρήνη ἱερόψυχε. ὁ ἁλιεὺς τυχὸν τρεῖς ἰχθύας ἀν-

32 ἡ ἄφεσις: cf. Theoph. chron. a. m. 6293 (I 475,15 De Boor) 37 πολυορκία: cf. J. F. Haldon, Byzantium in the Seventh Century. Cambridge 1990, 150; N. Oikonomidès, in: ZRBI 26 (1987) 15 43 ἀσύνθετον: cf. ibid. 16; Haldon 149 48 ἐπικαθημένων: cf. Bury l. l. 3.

30 Ps. 116,1 35 Is. 58,6 57 4 Ma. 17,4

30 αὐτὴν^2 post ἡμῖν transp VM 31 μονάσται M 32 φύλον CV ὅτι om VM 37 σοι VM ἐπομοσία V 39 τοῦ: τὸ M 40 ἀποκρύψειε VMPS Sirm ὑπὲρ πιάσειεν C: ὑπερπιάσειε cett Sirm καταπολυορκοῦντος coll l. 37 πολυορκία scripsi: καταπολιορκοῦντος CVMP Sirm: καταπολιουρκοῦντος S (πολυορκητής legitur apud Mansi XI 733 C) 43 ἂν ἦν CS: ἦν ἂν cett Sirm 44 πῶς CP ἀποτείσονται C 45 οὐκ ἔτι CS καταγῆς C: κατὰ γῆν VMS Sirm 47 οἱ πηροταὶ C 48 ὡς ἀνεὶ C 49 ἀπογευγομένου C 50 λειμμάτων C 51 ἐνάστει C 53 οὐκ ἔτι V 56 ἀφήθησαν C

ελκύσας καὶ τοῦτο πάντως πολλὰ κεκοπιακὼς δι' ὅλης ἡμέρας τὸν ἕνα οὐκ ἀποτίννυσιν. ὁ τοξότης ἢ ὁ ἰξευτής, οὕσπερ ἐθήρευσεν ὀλίγους τάχα ὄρνεις, ἐξ ὧν αὐτῷ ἡ ἀναγκαία τροφή, ἀλογοθέτητος διαμένων εὐζωήσειεν. αἱ στρατιώτιδες, τὸ οἰκεῖον πένθος ἔχουσαι τῆς ἀνδρικῆς ἀποβολῆς, οὐκ ἐπιθρηνήσουσι πικρῶς τὴν ὑπὲρ τοῦ θανέντος ἐλεεινὴν καὶ ἀπάνθρωπον ἐξαπαίτησιν. καὶ πάρειμι τοὺς συβότας, τοὺς προβατεμπόρους, τοὺς οἰνοπράτας· ἐῶ λέγειν τοὺς κρεοπώλας, τοὺς ἱστουργοῦντας, τοὺς χαλκετύπους, τοὺς σκυτοτόμους, τοὺς δευσοποιούς, ἀρωματοπράτας τε καὶ ἀρχιτέκτονας, καὶ συλλήβδην εἰπεῖν ἅπασαν μέθοδον, ὅση κατὰ χρυσουργίαν, ὅση κατὰ ξυλουργίαν, ὅση κατὰ πᾶσαν ἄλλην ὕλην ἐπιθεωρεῖται.

Ἵνα μὴ μακρὸν ἀποτίννυμι λόγον ἐν τῇ τοιαύτῃ κατακερμασίᾳ, ὦ πανάγαστε δέσποινα, ἐπεκρότησαν / ταῖς χερσὶν αὐτῶν ἅπαντες καὶ ἐχάρησαν χαρὰν μεγάλην σφόδρα, ἐκεῖνα εἰρηκότες· εὐλογήσω σε, Κύριε, ὅτι ἠλέησάς με καὶ ἐγένου μοι εἰς σωτηρίαν· διὸ πεποιθὼς ἔσομαι ἐπὶ τῇ θεοσδότῳ μου βασιλείᾳ. ταῦτα πάντα αἰνέσεως πλήρης καὶ ἐξυμνήσεως, Εἰρήνη φίλη Χριστοῦ, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα. ταῦτα οὐ μόνον ἐν τῇ ἐπικρατείᾳ τῆς βασιλείας σου, ἀλλὰ καὶ μέχρι τερμάτων τῆς οἰκουμένης διαδοθήσονται, καὶ ἀκούσονται ἀλλοεθνεῖς καὶ θαυμάσονται καὶ πτοηθήσονται ἀπὸ τῆς εὐπραξίας τῶν σοφῶν σου ἐπιτηδευμάτων· αἰδοῦνται γάρ, φησίν, ἀνδρῶν ἀρετὴν καὶ πολέμιοι, ὡς ὁ τῶν θεολόγων διαπρύσιος. οὕτω φυλάττεταί σου ἀρραγὲς τὸ βασίλειον, οὕτω εἴκει καὶ πείθεταί σοι ἀσμένως τὸ ὑπήκοον· ταύτῃ θεραπεύεις τὸ θεῖον, ταύτῃ ἐπευφραίνεις τοὺς ἐκλεκτοὺς θεοῦ ἀγγέλους, ἀλλ' οὖν καὶ τοὺς ὁσίως καὶ δικαίως πολιτευομένους, Εἰρήνη θεονόμαστε. ἐν τούτοις ἡ εὐσέβειά σου διαλάμπει, ἐν τούτοις πᾶν στόμα καὶ πᾶσα γλῶσσα πρὸς αἴνεσίν σου ἐξανοίγεται· αὕτη ὡς ἀληθῶς ἡ δόξα τῆς ἐκκλησίας, αὕτη ἡ σφραγὶς τῆς περιποιηθείσης σοι πατρικῆς καὶ θεοπνεύστου τῶν Χριστιανῶν ὀρθοδοξίας, ἔκδικε τοῦ θεοῦ καὶ τῆς ἀληθείας ὑπέρμαχε, τηλικαῦταί

---

63 ἐξαπαίτησιν: cf. ibid. 3 adn. 5

71 Matth. 2,10 72 Gen. 33,11 74 Greg. Naz. or. 22,1 (PG 35,1132 A = p. 218 M.-L.) 78 Greg. Naz. or. 15,11 (PG 35,932 B)

---

58 τούτῳ M 59 ἀποτείννυσιν C 60 ὄρνεις CS Mi: ὄρνις cett Sirm 63 θανόντος M 65 κρεοπόλους C: κρεοπώλους M χαλκοτύπους VMPS Sirm 68 ἄλλην om VM 70 πανάγαθε Sirm 73 μου: σου V Sirm βασιλείᾳ: βασιλίσσῃ M πλήρη VMP Sirm 75 ἐπικρατήσει M 77 ἡμᾶς ante ἀλλοεθνεῖς add V Sirm 79 ὡς om VMP Sirm 80 οὕτως VMPS Sirm 81 ταύτῃ: τούτοις M (bis) θεραπεύεῖς S ἐπ' ευφραίνεις C: ἐπευφραίνεῖς S 83 θεωνόμαστε C: θεώνυμε VMP Sirm

σου αἱ τῶν ἀρετῶν ἐπιδόσεις. ὡς μεγάλοι καὶ ἀξιέπαινοι οἱ μισθοί σου, ὡς πολύ σου καὶ ὑπερβάλλον τὸ ἀνταπόδομα παρὰ τοῦ τῶν ὅλων θεοῦ. μέγα μὲν γὰρ καὶ τὸ ἕνα σῴζειν (πῶς γὰρ οὔ; ἐπεί, ὥς φησιν ἡ θεία Γραφή, ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται), τὸ δὲ τοσαύτας ψυχὰς καὶ τὸ πᾶν τοῦ λαοῦ, πῶς οὐ μέγα καὶ σεβάσμιον καὶ τῆς ἄνωθεν μεγαλοδωρεᾶς ὄντως ἐπάξιον; σὺ οὖν, τὸ μέγα ὄντως καὶ πραγματικὸν ὄνομα, μετὰ τοῦ παντὸς καλοῦ εἰσελήλυθας εἰς τὰ βασίλεια καὶ σὺ τὰ ἐγκαταλείμματα τῆς δικαιοσύνης ἐάσειας διαιωνίζοντα.

8. Συμεὼν ἡγουμένῳ

Ὑπὲρ ἡμᾶς τὰ καθ' ἡμᾶς ὑπολαμβάνουσα ἡ πατρική σου ἁγιωσύνη, διὰ τῶν δύο αὐτῆς ἱερογράφων ἐπιστολῶν ὡμίλησεν ἡμῖν τὰ ξενίζοντα καὶ ἐκπλήττοντα. ἀλλὰ περὶ μὲν τῶν γραμματηφόρων εὐδόκησεν ὁ θεός, ὑποκλιθέντος τοῦ ἡγουμένου, ἀναληφθῆναι αὐτοὺς ἐν τῷ οἰκείῳ αὐτῶν μοναστηρίῳ, καλῶς τοῦτο πραξάσης τῆς θεοσεβείας σου εἰς τὸ ἀνθυπενεγκεῖν αὐτοὺς διὰ τοῦ διδακτικοῦ αὐτῆς λόγου εἰς τὰ πατρῷα καὶ πνευματικὰ σπλάγχνα· περὶ δὲ τοῦ λιποτακτήσαντος ἀδελφοῦ ἡμῶν καὶ ὡς ἐκ παραδείσου τῆς κοινοβιακῆς ζωῆς ἐξοστρακισθέντος οὐκ οἶδ' ὅ τι εἴπωμεν, καὶ ἡμεῖς ἑωρακότες τὸν ἄνδρα τὸ πρότερον ὡς ἀληθῶς ἄμπελον θεοφύτευτον, πᾶσαν ἀληθινήν, πᾶσαν καρποφόρον. καὶ πῶς ὅτι ἄρτι ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν, στραφείσης αὐτῆς, ὡς εἰπεῖν, εἰς / πικρίαν θανατικήν; μὴ γὰρ ὅτι οὐ παραδοθεὶς τοῖς ἀτιθάσσοις θηρσὶ τῶν παθῶν, φιλοσαρκίας τε φημὶ καὶ φιλαρχίας, ἔστιν ἰδεῖν αὐτὸν ἄρτι τῇ τοῦ νοῦ θεωρίᾳ βιβρωσκόμενον ὑπ' αὐτῶν καὶ κατα-

91 Jer. 15,19

89 voces καὶ ἀξιέπαινοι post σου[1] transp M voces τῶν ἀρετῶν ante ἀνταπόδομα add S (fort recte) 91 τὸ ante στόμα add S 93 ἄνω S 94 ὄντως: τε S 96 δι' αἰωνίζοντα C

8. ante mens. Ian. a. 809? 9 ἀδελφοῦ: Gelasius; cf. ep. 9,1

11 Jer. 2,21 12 Ps. 79,14

C VM (ll. 1 – 5) PS

3 ἱερογράφων: ἰδιογράφων Sirm 4 μὲν post ἀλλὰ transp C (fort est ἀλλὰ μὴν scribendum) γραμματοφόρων Sirm 5 ὑποκληθέντος C (fort recte) ἀναλη| (φθῆναι): hic desin epist in M verbo λείπει manu rec in marg inferiore scripto 8 λειποτακτήσαντος VPS Sirm 9 ὑμῶν C 10 εἴπομεν C 14 παρεδόθη S 15 ἔστιν: ἔστι γὰρ S 16 κατασπαραττόμενον Sirm

σπαρασσόμενον οἷα ἀπὸ στόματος λεόντων; τὴν ἴσην γάρ, ὡς οἶσθα, κρίνει ἀπόπτωσιν ὁ θεῖος Βασίλειος τῷ ἀλόγως ἀναχωροῦντι καὶ ἀποσχιζομένῳ πατρὸς τοῦ καὶ αὐτὸ τὸ θεῖον ἐπάγγελμα ἀπορριπτομένου· διὰ τοῦτο καὶ τῆς αὐτῆς εἰσι καταδίκης ἐπὶ τῆς ἀκοινωνησίας καὶ τῶν ἄλλων ἐπιτιμίων.

Ἀλλὰ τοῦτον μὲν εὐχόμεθα ὡς ἁμαρτωλοὶ ἀντωπῆσαι πάλιν πρὸς τὸ πρότερον φῶς ἐκ τῆς ἀμβλυωπαθοῦς καὶ ἐζοφωμένης αὐτοῦ ἐννοίας καὶ οἴκαδε αὖθις ἐπανιέναι πρὸς τὸν γλυκὺ πατέρα καὶ τὴν φιλτάτην συνοδίαν. αὐτοὺς δὲ τοὺς ἀδελφοὺς παρακαλοῦμεν στῆναι γενναίως πρὸς τὴν κοινοβιακὴν ἄθλησιν καὶ μὴ σαλευθῆναι ἐκ τῆς τοῦ ἀσεβοῦς καταπτώσεως, μᾶλλον δὲ καὶ μᾶλλον ἐντεῦθεν ἐπιδράξασθαι γνησιωτέρας πίστεως καὶ ἀδιασπάστου συντεύξεως, τοσοῦτον μέχρις αἵματος, καθὼς οἱ θεοφόροι πατέρες διαγορεύουσιν, ἵνα τελειότητι τοῦ ὑποτακτικοῦ αὐτῶν βίου τὸν τοῦ μαρτυρίου στέφανον ἀναδήσωνται ἐν τῇ ἡμέρᾳ τῆς διαγνώσεως, χορεύοντες μετὰ Δοσιθέου καὶ Ἀκακίου καὶ Δομετιανοῦ τῶν πάνυ παναγίων, τῶν πανυπηκόως τὴν πολιτείαν τετελειωκότων. σήμερον γάρ, καθὼς αἱ λοιπαὶ φωναὶ τῆς ὁσιότητός σου, ἀκρισία πᾶσα καὶ ἀνυποταξία, ἐπερειδομένων τῶν πάντων σχεδὸν εἰπεῖν ταῖς ἀνθρωπίναις συνηθείαις καὶ ταῖς τῶν προσεχεστέρων διακρατήσεσιν, ἐξ ἐναντίας ἐχούσαις τῶν ἐντολῶν τοῦ θεοῦ καὶ μᾶλλον αἱρουμένων τοῦ δεῖνος καὶ τοῦ δεῖνος ἡγουμένου παρατηρεῖν τὸν βίον ἢ τῶν θεσπεσίων πατέρων ἡμῶν. ἔνθεν οἱ ποιμένες, ἐξ ὧν ἐγὼ πρῶτος, ἠφρονεύσαμεν καὶ τὸν κύριον οὐκ ἐκζητοῦμεν οὐδὲ τὸ ἀμώμητον καὶ ἀκράδαντον τῆς πολιτείας ἰχνηλατοῦμεν, ἀλλ' ὡς παλαιωθέντος τοῦ θείου νόμου καὶ ἀργήσαντος τοῦ εὐαγγελίου καὶ ἀτονησάντων τῶν πνευματικῶν θεσμῶν καί, ἵνα τι εἴπω καὶ βλασφημότερον, ὡς ἀλλοιωθέντος τοῦ ἀναλλοιώτου θεοῦ· τοῦτο γάρ ἐστι πρὸς τὸ λέγειν καὶ καταιτιᾶσθαι τοὺς χρόνους καὶ τὰς ἡμέρας καὶ τὰς γενεάς, ἀλλοίως μὲν ἐκείνας καὶ ἀλλοίως ταύτας.

Ἐγὼ δὲ ἀνταποκρίνομαι ὡς οὐ παρὰ τὸ τοῦ χρόνου διάφορον τοῦτο ὑπήχθη (οὐδὲ γὰρ ἑτερόμορφος γέγονεν ὁ οὐρανὸς οὐδὲ ἑτεροκίνητος οὐδὲ ἑτερολαμπὴς ὁ δημιουργὸς τῆς ἡμέρας φωστὴρ οὐδὲ

---

17 cf. Bas. const. mon. 21,1 sq. (PG 31,1393 D sq.) 30 Sap. 3,18 31 Δοσιθέου: cf. Act. SS. Febr. III (Antverpiae 1684) 382 sq. 32 Ἀκακίου: cf. Act. SS. Maii II (ibid. 1680) 762 sq. Δομετιανοῦ: cf. Act. SS. Jan. II (ibid. 1643) 772 39 Jer. 10,21

---

20 διὰ τοῦτο: διὸ V 23 an ἀμβλυοπαθοῦς scribendum? (cf tamen ἀμβλυώχρους aliaque id genus) 24 γλυκὺν VP Sirm: γλυκιον S[pc] 29 τῇ post ἵνα S[sscr] 35 πάντων: πάντα C 36 ἐναντίαις C 39 ἐξῶν C 40 τὸ ante ἀκράδαντον add V Sirm 43 βλασφημότερον: |τερον in marg C 44 κατ' αιτιᾶσθαι C

παρὰ τὴν πρὶν τάξιν φέρεταί τε καὶ διεξάγεται τὸ πᾶν· ἔστησεν γὰρ αὐτά, κατὰ τὰ λόγια, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται), ἀλλὰ τοῦτο συμβέβηκεν, ὦ ἁγιώτατε, κατὰ τὸ ἐνηλλαγμένον τῆς αὐτεξουσίου προαιρέσεως, ὀλιγωρησάσης ἐκ τοῦ θείου ἔρωτος καὶ περὶ τὰ πρόσυλα τὴν ἑαυτῆς ἔφεσιν ἐκδεδωκυίας καὶ οὐ θελούσης οὐδὲ αἱρουμένης τῶν εὐκλεῶν ἐφάψασθαι παραδειγμάτων οὐδὲ μεταγράψαι ἀπὸ τῆς ἀρχετύπου καὶ πατρίου θεοειδοῦς εἰκόνος, ἐκ δὲ τῶν δυσμόρφων καὶ ἀλλοκότων καὶ τερατουργημένων. διὰ τοῦτο τὰ ψυχικὰ ἰνδάλματα ἐπιφέρομεν, τὸ μέν τι ἀνθρωπείου μέρους ἔχοντα, τὸ δὲ κυνός, τὸ δὲ λεοπάρδου τυχόν, τὸ δὲ ἰχθύος ἤ τινος ἄλλου τῶν ἑρπε/τῶν, ἀναγωγικῶς ταῦτα λαμβανούσης τῆς ὁσιότητός σου.

Οἱ τὰ τοιαῦτα τοιγαροῦν ἐκ φενακισμοῦ βατταρίζοντες ἢ ῥηξάτωσαν γυμνῇ τῇ κεφαλῇ τὰ εὐαγγέλια καὶ τὰ μαρτύρια καὶ τὰ δικαιώματα τοῦ Κυρίου καὶ πᾶσαν δέλτον ἁγιοπαράδοτον ἤ, τοῦτο μὴ ποιοῦντες, τὸ νηπιῶδες φρόνημα καὶ ἀλόγιστον ἀποθέμενοι, ὡς ὄντως εἰς ἄνδρα τελοῦντες τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, κατὰ τὰ θεοπαράδοτα λόγια καὶ περιπατείτωσαν καὶ τοὺς ἄλλους ἐκπαιδευέτωσαν· ἤ, μηδέτερον τῶν εἰρημένων ποιοῦντες, κἂν γοῦν τὸ ἑαυτῶν ἀθέλητον καὶ ἄσωτον κατηγορησάτωσαν. ἴσως γὰρ αὐτοῖς ἔσται καιρὸς ἀνανήψεως.

Φεῦ δέ μοι, πάτερ τιμιώτατε, ὅτι ἔνοχος ὢν πάντων τῶν εἰρημένων καὶ πάσης διαστροφῆς καὶ ἀνευθύτητος ὑπουργὸς ὡς ἐπεμβαίνειν ἄλλοις ἠρξάμην καὶ νομοθετεῖν. κλαυσάτωσαν καὶ θρηνείτωσαν ἐπ' ἐμοὶ καὶ αὐτοὶ οἱ ἀναίσθητοι λίθοι, κινδυνεύοντι κατὰ πᾶσαν ὥραν καὶ ῥήσσοντι τὸ ποίμνιον τοῦ Χριστοῦ, ἀναξίως μοι παραδεδομένον. τοσαῦτά μοι προήχθη κελεύοντί σοι, ὦ θεοτίμητε, ἀνταποκριθῆναι. αὐτὸς δέ, ἐρηρεισμένος ὢν τῇ δυνάμει τοῦ πνεύματος καὶ τῇ περιλήψει τῶν νομίμων καὶ πατρίων ἐντολῶν, ἀκίνητος μένοις καὶ ἄσαλος καὶ ἀκαταπτόητος ἐκ τῶν παρά τινων πολυτρόπως προσεπεισφρησάντων σοι, οἷα ἀνέμων ἢ τρικυμιῶν λογυδρίων, βαίνων ἐν τῇ βασιλικῇ ὁδῷ τῆς ἀκραιφνοῦς πολιτείας καὶ τὴν ἐφ' ἑκάτερα παρατρέχων ματαιολογίαν τῶν ἀνθρώπων εὐχόμενός τε ἀδιαλείπτως ὑπὲρ τῆς ταπεινώσεως ἡμῶν τὰ κράτιστα.

50 Ps. 148,6 60 ἀναγωγικῶς: cf. Dion. Ar. coel. hier. 2,1 (PG 3,137 B) 66 Eph. 4,13 67 cf. 2 Thess. 3,6

50 ἔστησε VPS Sirm 58 τερατουργουμένων VPS^{pc} Sirm 59 μέρος P Sirm 62 τοιγὰρ οὖν C 64 ἄλλην post πᾶσαν add S 66 ἄνδρας S 68 κἂν CSV: καὶ Sirm 71 τιμιώτατε: ἁγιώτατε S 76 ἀντ' ἀποκριθῆναι C 78 πατρίων καὶ νομίμων S ἄσαλος CS: ἀσάλευτος VP Sirm 82 τῶν ἀνθρώπων ante ματαιολογίαν transp S

9. Γελασίῳ μαθητῇ

Ὦ τέκνον μου, ἀββᾶ Γελάσιε, πῶς ποτέ σε ἐξωστράκισεν ὁ ἀρχέκακος σατανᾶς ἐκ τοῦ κοινοβιακοῦ σου παραδείσου, ὥς ποτε τὸν Ἀδὰμ ἐκ τῆς Ἐδέμ, πεισθέντα τῇ βουλῇ τοῦ ὀφιογνώμονος Ἀμμοῦν; καὶ ἄρτι αὐλίζῃ ἐν τόποις, οὓς οὐκ ἐπισκοπεῖ ὁ Κύριος, ἀκανθοφορῶν καὶ ἐργαζόμενος ἐν ἱδρῶτι τοῦ προσώπου σου τὰ πάθη τῆς ἀτιμίας. τί γὰρ καλὸν ἐξεληλυθὼς ἢ εἰργάσω ἢ ἐργάζῃ; τί δὲ οὐ μᾶλλον πονηρὸν καὶ ἀπευκτόν; ἐξέλιπέν σου τὸ νοερὸν φῶς τῆς ὁδηγίας, ἐσβέσθη ὁ σπινθὴρ τῆς πνευματικῆς φιλίας. οἱ φίλοι σου καὶ οἱ πλησίον (οὐ μόνον λέγω τοὺς ποθεινούς σου ἀδελφούς, ἀλλὰ καὶ τοὺς τοῦ θεοῦ ἀγγέλους) ἐξ ἐναντίας σου ἀπὸ μακρόθεν ἔστησαν, καὶ ἤγγισαν οἱ δαίμονες, ἐκζητοῦντες ἀπολέσαι σου τοὺς προειργασμένους ἀσκητικοὺς καμάτους. ποῦ ποτέ σου ἡ καθαρὰ προσευχή; ποῦ ποτέ σου ἡ ἀκράδαντος ὁμολογία, ἡ φωτοποιὸς ἐξαγόρευσις, ἡ ἀγγελικὴ χοροστασία, ἡ θεομίμητος ὑπακοή, ἡ χριστοφόρος ταπεινοφροσύνη, ἐκεῖνο τὸ καλὸν καὶ τερπνόν, ὃ ᾄδει ὁ ᾀσματογράφος Δαυίδ, ἡ ἐπὶ τὸ αὐτὸ συνοίκησίς σου τῶν ἀδελφῶν;

Τούτων πάντων ἐπεὶ ἔρημος γέγονας, τέκνον μου, ἔχεις ἀντεισαχθέντα σοι τὰ ἐναντία, σκοτασμὸν νοός, ἀναλγησίαν ψυχῆς, πώρωσιν καρδιακήν, δυσπιστίαν, ἀνελπιστίαν, ὀλιγωρίαν, φόβον θανάτου, τρόμον ἀπολογίας. καὶ τί δεῖ καταλέγειν ἕνα ἕκαστον, ὅτι στένων καὶ τρέμων καϊτικῶς πάντως διαβιοῖς; καὶ οὔπω λέγω τῶν σαρκικῶν / παθῶν τὸν ἑσμόν, ἀναρριπίζοντά σου τὰ ἐντὸς καὶ ἀναφλέγοντα τὴν ἁμαρτίαν. διὸ δή, τέκνον μου, ἐπιγνοὺς τὸ ἀληθὲς διὰ τῆς ταπεινῆς μου ἐπιστολῆς καὶ ἀναβλέψας πρὸς τὸ φῶς καὶ κατανυχθεὶς θεϊκῶς καὶ πληγεὶς φιλικῶς καὶ ἀναπολήσας καὶ ἀναγνωρίσας ὅθεν καὶ ἐξέπεσας καὶ ἐν ποίοις ἧς δεινοῖς καὶ ποῦ παροικεῖς, ὡς εἰπεῖν, μετὰ τῶν σκηνωμάτων Κηδάρ, ἀνάσφηλον καὶ ἀναπήδησον καὶ ἀνεγέρθητι καὶ ἀνανεώθητι καὶ ἀναθερμάνθητι καὶ μὴ ὥραν, μὴ ἡμέραν,

---

9. ante mens. Ian. a. 809? 4 Ἀμμοῦν: de eius defectione cf. Theod. Stud. catech. magn. 10 (p. 67 sq. Papadopulos-Kerameus); p. 406* adn. 795

3 Gen. 3,23 6 Gen. 3,19 Rom. 1,26 9 Ps. 37,12 16 Ps. 132,2 27 Ps. 119,5

C V PS

2 μου om V 3 σου om V Sirm 4 Ἀμοῦν V 6 σου om Sirm 8 ἐξέλειπεν C: ἐξέλιπε cett Sirm 10 σου post πλησίον add VP ποθινοὺς C 11 ἐξεναντίας CVPS: corr Sirm ἀπομακρόθεν CS Sirm 18 ἐπεί: ἐπειδὴ VP Sirm 21 ἓν PS Sirm 22 Καϊνικῶς Mi 23 ἑσμὸν omnes: correxi 25 κατανυγεὶς S[pc] 26 ἀναπωλήσας C: ἀναπλήσας Sirm 27 καὶ[1] om VP Sirm: cancell S ἧς C: εἶ cett Sirm

μὴ ἑβδομάδα, ἀλλὰ θᾶττον χαίρειν πᾶσιν εἰπὼν ἧκε ἐρρωμένως καὶ ἀνενδοιάστως πρός με τὸν δύστηνόν σου πατέρα καὶ πρὸς τὴν καλήν σου ἀδελφότητα καὶ πρὸς τὸν μέγαν πατέρα μου καὶ πατέρα σου.

Καὶ πρὸς τοῦτο ἐβουλόμην μέν, ἡνίκα ἔμαθον ὅτι αὐτόθι ἐξεπελάσθης, καὶ ἀδελφὸν πέμψαι σὺν τοῖς γράμμασιν, ἵνα σε ἀναρρύσηται· ἐπεὶ δὲ ὁ γραμματηφόρος καὶ πρεσβύτερος ἐβεβαιώσατό με πάντως ἐκ μόνων τῶν γραμμάτων ἥκειν σε, διὰ τοῦτο ἠρκέσθην τῇ ἐπιστολῇ. καὶ δὴ πάντως, τέκνον μου, καθὼς εἴρηται, οὐ μόνον ἐγὼ ὁ τάλας καὶ ὁ πατήρ μου, ἀλλὰ καὶ οἱ δεσπόται ἡμῶν, ὁ Πρόδρομος καὶ ὁ Θεολόγος, ἐγκελεύονταί σοι τάχιστα ἀποκινῆσαι, πρὶν ἀπροσδοκήτου θανάτου καταλάβῃ τέλος. εἰ δ' ἔτι, ὃ οὐχ ὑπολαμβάνω, σκληρυνόμενος σκληρυνθῇς καὶ αὐθαδιάσεις, γίνωσκε ἀκοινώνητόν σε εἶναι καὶ ἐκ πάντων τῶν ἁγίων καὶ ἐξ ἡμῶν τῶν ἁμαρτωλῶν, ἕως ἂν ὄψῃ τὸ πρόσωπον ἡμῶν. εἰ δὲ ἀποκινήσεις, καθὼς ἐνετειλάμεθα, ἤδη ἐρχόμενος λελυμένος εἶ καὶ τῶν θείων δώρων καὶ τῶν ἄλλων βρωμάτων.

10. Νικολάῳ μαθητῇ

Ἐπειδὴ εὐδοκίᾳ θεοῦ προεβιβάσθης, τέκνον πνευματικὸν Νικόλαε, εἰς τὸ τῆς ἡγουμενείας ἀξίωμα, δέον παραφυλάξαι σε πάντα τὰ ἐντεταλμένα σοι ἐν τῷ παρόντι γραμματίῳ. οὐ διαλλάξεις οὖν ὅνπερ παρέλαβες τύπον καὶ κανόνα παρὰ τῆς πνευματικῆς σου μονῆς ἐν ἅπασιν ἄνευ ἀνάγκης. οὐ κτήσῃ τι τοῦ κόσμου τούτου οὐδὲ ἀποθησαυρίσεις ἰδιορίστως εἰς ἑαυτὸν μέχρι καὶ ἑνὸς ἀργυρίου. οὐ διαμερίσεις τὴν ψυχὴν καὶ τὴν καρδίαν σου ἐν σχέσει καὶ φροντίδι παρὰ τοὺς πεπιστευμένους σοι ὑπὸ θεοῦ καὶ γενομένους σοι πνευματικῶς υἱοὺς καὶ ἀδελφοὺς οὔτε εἰς τοὺς ποτὲ ἰδίους κατὰ σάρκα ἢ

---

32 μέγαν πατέρα: Platon 38 ὁ Πρόδρομος καὶ ὁ Θεολόγος: Ioannes Baptista et Ioannes Evangelista, hic monasterii Saccudionis, ille monasterii Studiensis praeses

---

33 αὐτόθι S[sscr] 35 ἐπειδὲ C γραμματοφόρος Sirm 40 σε ante καταλάβῃ add S καταλάβει C τὸ ante τέλος add VP Sirm δ' ἔτι V: δέ τι cett Sirm 41 σκληρυνθεὶς C ἀπαυθαδιάσεις S 42 καὶ[1] C[sscr]: om S 43 ὄψει VPS Sirm

---

10. a. 801–806? 6–90 regulas recepit Athanasius in typicum Laurae; cf. Ph. Meyer, Die Haupturkunden für die Geschichte der Athosklöster. Leipzig 1894, 112 sq.

4–87 = Theod. Stud. test. (1817 C – 1821 C) 7 cf. Hebr. 4,12

VM (ll. 55–87) PS

---

9 γεννωμένους VP (sed cf PG 99,1817 C)

συγγενεῖς ἢ φίλους ἢ συνεταίρους. οὐ χρήσῃ τοῖς τῆς οἰκείας σου μονῆς οὔτε ζῶν οὔτε μετὰ θάνατον ἐλεημονητικῶς ἢ κληρονομικῶς εἰς τοὺς ποτὲ προειρημένους ἰδίους καὶ φίλους (οὐ γὰρ ἐκ τοῦ κόσμου εἶ, ἵνα μετέχῃς τῶν ἐκ τοῦ κόσμου, πλὴν εἰ μή που μετάβοιέν τινες ἐκ τοῦ κοινωνικοῦ βίου εἰς τὸ καθ' ἡμᾶς τάγμα) καὶ οὕτω φροντίσεις κατὰ μίμησιν τῶν ἁγίων πατέρων. οὐ κτήσῃ δοῦλον οὔτε εἰς οἰκείαν χρείαν οὔτε εἰς ἣν ἐπιστεύθης μονὴν οὔτε εἰς ἀγρούς σου τὸν κατ' εἰκόνα θεοῦ γεγονότα ἄνθρωπον· τοῦτο γὰρ μόνοις τοῖς ἐν τῷ βίῳ συγκεχώρηται. σοὶ δὲ χρεὼν ἑαυτὸν παρασχεῖν τοῖς ὁμοψύχοις σου ἀδελφοῖς δοῦλον τῇ προθέσει, κἂν τῇ ἔξω ἐπι/φανείᾳ ὡς δεσπότης λογίζῃ καὶ διδάσκαλος. οὐ σχοίης ζῷον τῶν ἐκ τοῦ θήλεος γένους εἰς χρείαν ὑπουργικήν, ὁ τῷ θήλει παντάπασιν ἀποταξάμενος, οὔτε ἐν τῇ μονῇ οὔτε ἐν τοῖς ἀγροῖς, καθὼς οὐδεὶς τῶν ὁσίων καὶ ἁγίων πατέρων ἡμῶν ἐχρήσατο οὔτε ἡ φύσις αὐτὴ ἐπιτρέπει. οὐκ ἐποχούμενος ἔσῃ ἵπποις καὶ ἡμιόνοις ἄνευ ἀνάγκης, ἀλλὰ χριστομιμήτως πεζοπορήσεις· εἰ δ' οὖν, πῶλός σοι τὸ ὑποζύγιον ἔσται. παραφυλάξεις πάντως τὸ τὰ πάντα τὰ ἐν τῇ ἀδελφότητι κοινὰ εἶναι καὶ ἀμέριστα καὶ μηδὲν κατὰ μέρος τοῦ καθ' ἕκαστον εἰς ἐξαυθέντησιν μέχρι καὶ ῥαφίδος· σοῦ δὲ καὶ τὸ σῶμα καὶ ἡ ψυχή, μή τί γε ἄλλο, ἔστωσαν διαμεμερισμένα ἐν ἰσότητι ἀγάπης πᾶσι τοῖς πνευματικοῖς σου τέκνοις καὶ ἀδελφοῖς. οὐκ ἐξουσιάσεις ἐπὶ τοῖς δυσὶν ἀδελφοῖς σου καὶ τέκνοις μου οὔτε πρὸς ἀρχὴν οὔτε πρὸς χειροτονίαν πρᾶξαί τι πάρεξ τῆς πατρικῆς σου ἐντάλσεως. οὐ σχοίης μετὰ κοσμικῶν ἀδελφοποιίας ἢ συντεκνίας, ὁ φυγὰς τοῦ κόσμου καὶ τοῦ γάμου· οὐ γὰρ εὕρηται ἐν τοῖς πατράσιν, εἰ δὲ καὶ εὕρηται, σπανιάκις, καὶ τοῦτο οὐ νόμος.

Οὐ συνεστιαθῇς μετὰ γυναικὸς πλὴν τῆς κατὰ σάρκα μητρὸς καὶ ἀδελφῆς, οὐκ οἶδα εἰ μή τις βία καὶ ἀνάγκη ⟨καλοίη⟩, καθὼς παρακελεύονται οἱ ἅγιοι πατέρες.

Οὐ σχοίης τὸ πολυπρόοδον καὶ πολυγύρευτον ἄνευ ἀνάγκης ἐγκαταλιμπάνων τὸ οἰκεῖον ποίμνιον, ὅπου γε καὶ ἐγκαθημένου σου

21 ἐκ τοῦ θήλεος γένους: cf. J. Pargoire, Une loi monastique de St. Platon. BZ 8 (1899) 99 sq.; Dobroklonskij I 334 sq.; De Meester, De statu 168 adn. 7 28 μέχρι καὶ ῥαφίδος: cf. Leroy, Mönchtum 31 et adn. 118

16 cf. Theod. Stud. laud. Plat. 23 (825 A) ἄτερ δούλων 21 cf. ibid. ἔξω τοῦ θήλεος ζῴου 38 Bas. const. mon. 3 (PG 31,1344 C)

14 μεταβαῖεν Sirm 15 κοινωνικοῦ: κοινοῦ Athan typ p. 113,1 (cf app test) 20 κὰν S 22 θήλεϊ V 24 αὔτη V 26 οὖν: οὗ Sirm 33 παρὲξ Sirm 35 καὶ[1] om S 37 γυναικῶν PS Sirm 38 καλοίη coll Theod Stud testam (PG 99,1820 B) inserui

μόλις διασῴζοιντο τὰ πολυτροπώτατα καὶ πολυδιεξόδευτα λογικὰ πρόβατα.

Παραφυλάξεις πάντως τὸ ποιεῖσθαι τρισσάκις τὴν κατήχησιν τῇ ἑβδομάδι καὶ καθ' ἑσπέραν, ἐπειδὴ πατροπαράδοτον τοῦτο καὶ σωτήριον.

Οὐ δοίης ὅπερ λέγουσι μικρὸν σχῆμα, ἔπειτα μετὰ χρόνους ἕτερον ὡς μέγα· ἓν γὰρ τὸ σχῆμα ὥσπερ καὶ τὸ βάπτισμα, καθὼς οἱ ἅγιοι πατέρες ἐχρήσαντο.

Οὐ παραβῇς τοὺς νόμους καὶ κανόνας τῶν πατέρων, πρό γε πάντων τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, ἀλλὰ πᾶν ὅ τι ⟨ἂν⟩ ποιῇς ἢ λέγῃς ὡς μαρτυρίαν ἔχων ἐκ τῶν Γραφῶν πράξεις ἢ ὡς ἐκ πατρικῆς σου συνηθείας, ἄνευ παραβάσεως ἐντολῆς θεοῦ.

Οὐ καταλείψεις τὸ ποίμνιόν σου καὶ εἰς ἕτερον μετάβοις ἢ πρὸς μείζονα ἀξίαν ἐπαναδράμοις ἄνευ πατρικῆς σου διαγνώσεως.

Οὐ φιλιάσεις μετὰ κανονικῆς οὐδὲ παραβάλῃς ἐν γυναικείῳ σεμνείῳ οὐδὲ κατὰ μόνας ὁμιλήσεις μοναζούσῃ ἢ κοσμικῇ, εἰ μή που ἀνάγκη ἕλκοι, καὶ τότε δύο παρόντων ἐξ ἑκατέρου μέρους προσώπων· τὸ γὰρ ἕν, ὥς φησιν, εὐεπηρέαστον.

Οὐκ ἀνοίξεις τὴν θύραν τῆς ποίμνης ἐπὶ εἰσόδῳ παντοίας γυναικὸς ἄνευ μεγάλης ἀνάγκης· εἰ δὲ δυνατὸς εἶ ἀσυμφανῶς δέχεσθαι, οὐδὲ τοῦτο ἀπόβλητον.

Οὐ ποιήσεις σεαυτῷ καταγώγιον ἢ τοῖς πνευματικοῖς σου τέκνοις, οἶκον κοσμικόν, ἐν ᾧ εἰσι γυναῖκες, ἐπὶ συχνῷ παραβάλλων, ἀλλ' ἐκλέξῃ εἰς ἀνδρῶν εὐλαβῶν τὰς παροδικὰς καὶ ἀναγκαίας χρείας ποιεῖσθαι.

Οὐ κτήσῃ μαθητὴν εἰς τὸ κελλίον σου μειράκιον προσπαθῶς, ἀλλ'

---

42 λογικὰ πρόβατα: cf. Sym. N. Th. hymn. 21,331 (p. 180 Kambylis) 44 κατήχησιν: intellige catechesin parvam; cf. Auvray lvii; Leroy ibid. 46; REB 15 (1957) 74; cf. eundem, Catéchèses 354 sq.; Vie quotidienne 47 45 πατροπαράδοτον: cf. adn. ad ep. 71,62 47 οὐ δοίης – 49 ἐχρήσαντο: verba afferuntur in cod. suppl. gr. 284 f. 336; iuris publici primum fecit Allatius, De consensione 1151; ad praeceptum cf. De Meester l. l. 82 56 οὐ φιλιάσεις – 59 εὐεπηρέαστον: cf. De Meester l. l. 175 60 οὐκ ἀνοίξεις – 62 ἀπόβλητον: cf. ibid. 171

---

44 τρισάκις S Sirm (sed cf I. Ševčenko, in: K. Treu, Studia codicologica. Berlin 1977, 441,4 a. f.) 51 ἂν coll Theod Stud testam (PG 99,1820 C) inserui ποιεῖς omnes: correxi λέγεις omnes: correxi 54 μεταβῇς V: μεταβήσῃ Sirm 55 διαγνώσεως: hic inc epist in M 56 κανονικοῦ M 57 καταμόνας Sirm 63 σεαυτῷ: ἑαυτῷ PS

ἐκ προσώπου ἀνυπόπτου καὶ ἐκ διαφόρων ἀδελφῶν τὴν ὑπουργίαν σου ποιήσεις.

Οὐ κτήσῃ ἱματισμὸν ἐξηλλαγμένον καὶ πολύτιμον ἄνευ τοῦ ἱερατικοῦ, ἀλλὰ τοῖς ταπεινοῖς πατρομιμήτως καὶ ἐνδύσῃ καὶ ὑποδήσῃ.

Οὐκ ἔσῃ ἁβροδίαιτος οὔτε ἐν τῇ οἰκείᾳ σου δαπάνῃ οὔτε ἐν / ταῖς ὑποδοχαῖς τῶν ξένων· τοῦτο γὰρ τῆς μερίδος τῶν ἀπολαυστικῶν τοῦ παρόντος βίου.

Οὐ θησαυρίσεις χρυσίον ἐν τῇ μονῇ σου, ἀλλὰ τὸ κατὰ περίσσειαν ἐπὶ παντὸς εἴδους μεταδοίης τοῖς πενομένοις ἐν ἀνοίξει τῆς αὐλῆς σου καθὼς καὶ οἱ ἅγιοι πατέρες. οὐ κρατήσεις τόπον ἠσφαλισμένον καὶ τὴν οἰκονομικὴν φροντίδα, ἀλλ' ἔστω σοι πᾶσα ἡ φροντὶς ἀνήκουσα περὶ τῶν ψυχῶν· τὸ δὲ χρυσίον καὶ τὰ κατὰ χρείαν ἐγχειρίσεις τῷ οἰκονόμῳ, τῷ κελλαρίτῃ καὶ ὡς ἐπιβάλλει ἐν ἑκάστῃ διακονίᾳ, σοῦ προδήλως πάντων τὴν ἐξουσίαν ἔχοντος καὶ μεταφέροντος ὡς ἂν βούλῃ ἑκάστην διακονίαν ἐν τῷ τυχόντι προσώπῳ καὶ ἀπολαμβάνοντος τὸν λόγον ἑκάστης διοικήσεως καθὸ ἐντέλλῃ. οὐ ποιήσεις τι ἢ πράξεις κατ' οἰκείαν γνώμην ἐν παντὶ πράγματι οὔτε ἐν προόδῳ οὔτε ἐν πράσει καὶ ἀγορασίᾳ οὔτε ἐν δοχῇ ἢ ἐν ἀποκρίσει ἀδελφοῦ οὔτε ἐν ὑπαλλαγῇ διακονίας οὔτε ἐν ἄλλῳ τινὶ τῶν σωματικῶν, ἀλλ' οὖν οὐδὲ ἐν τοῖς ψυχικοῖς σφάλμασιν, ἄνευ βουλῆς προεχόντων ἐν γνώσει καὶ εὐλαβείᾳ, ἑνὸς ἢ δύο ἢ καὶ τριῶν ἢ καὶ πλειόνων κατὰ τὴν ὑποκειμένην ὑπόθεσιν, ὥσπερ ἐντέταλται πατρικῶς. ταῦτα πάντα καὶ ὅσα ἕτερα παρέλαβες φυλάξοις καὶ φρουρήσοις, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ κατευοδούμενος ἐν Κυρίῳ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· τὸ γὰρ ἐναντίον ἀπείη καὶ λέγειν καὶ ἐννοεῖν.

---

80 κελλαρίτῃ: ad officium cf. Dobroklonskij I 550; De Meester l. l. 283 sq.; Grossu 98
83 οὐ ποιήσεις – 84 γνώμην: cf. De Meester l. l. 267 adn. 1

---

91 De. 5,16; cf. Eph. 6,3 92 Bas. ep. 262,2 (PG 32,973 B = III 120,4 Courtonne)

---

70 ἱερατικοῦ coll Theod Stud testam (PG 99,1821 A) scripsi: ἱερατεύειν σε codd Sirm 71 ὑποδήσῃ: ὑποδύσῃ VP 72 τῇ om Sirm 77 καὶ om S οἱ om V 78 φροντίδα om M 80 τῷ κελλαρίτῃ: τοῖς κελλαρίταις Theod Stud testam (PG 99,1821 B); cf Athan typ p. 113,26 82 διακονίαν: διάνοιαν M 83 καθ' ὃ M 85 ἢ: οὔτε M 87 οὖν: hic desin epist in M inscr in marg manu rec λείπει 90 παραφυλάξῃς Theod Stud testam (PG 99,1821 C) φρουρήσῃς ibid (sed cf Ševčenko l. l. 442,7)

11. Ἀναστασίῳ ἐπισκόπῳ Κνωσίας

Τί σοι γένονεν, ὦ ἱερώτατε πάτερ, καὶ τί τοσοῦτον μετὰ μίαν καὶ δευτέραν παραίτησιν ἔτι παραβιάζῃ, ὥστε παρ' ἐμοῦ τοῦ ἀμαθοῦς καὶ περιπαθοῦς λόγον εἰληφέναι ὠφελείας; ἔγωγε μᾶλλον ἔχω χρείαν ὑπὸ σοῦ φωτισθῆναι, ὁ καὶ τῇ τάξει δεύτερος καὶ τῷ βίῳ ἐσκοτισμένος, οὐ τὰ περὶ ἐπισκοπῆς ὀφειλόμενα (φεῦ γὰρ τῆς ἐμῆς ἀνικανίας), ἀλλὰ τὰ περὶ μοναχικῆς εἴτουν ἡγουμενικῆς καταστάσεως, τὸ πῶς ἄρα ἀφηγησάμενος κατὰ λόγον τὸ ἐμπιστευθέν μοι ἀναξίως ποίμνιον εὕροιμι θεὸν ἵλεω ἐν ἡμέρᾳ τῆς φρικτῆς ἀπολογίας μου.

Ἀλλὰ τοῦτο πέπονθας πάντως ἐξ ἄκρας μετριοφροσύνης· ἐκπειράζειν γάρ μου τὴν ἀπαιδευσίαν οὐ θέμις με ὑπονοεῖν τὴν ἀρχιερωσύνην σου. ἐγὼ τοίνυν δέδοικα τὰ τοῦ οἰκείου βαθμοῦ, ὦ ἱερὰ κεφαλή, καὶ ἰλιγγιῶ περὶ τὴν ψυχικὴν κυβέρνησιν τῷ ὄντι, πῶς δὴ οὖν ἐκ τῆς πολυταράχου καὶ ἀεικυμάντου νοητῆς θαλάσσης ἀποσώσαιμι τὸ ἐγχειρισθέν μοι τοῦτο βραχύτατον καὶ λογικὸν πλοιάριον εἰς λιμένα σωτηρίας· ὅτι πρὸς τοῦτο καὶ πολιτείας ἀκραιφνοῦς χρεία καὶ γνώσεως ἱκανῆς ἐπιτυχία, ἵν', ὡς ἐν δυσὶν αὐχῆσι πηδαλιουχῶν, γρηγόρως καὶ ἐπιστημόνως ἀκαταβάπτιστον τοῖς ὕδασι τῆς ἁμαρτίας ἐμαυτόν τε καὶ τοὺς ἑπομένους μοι διαφυλάττω.

Αὕτη τοίνυν ἡ ἐμὴ ἀπολογία τοῦ ταλαιπώρου. ἐπεὶ δὲ τὸ τῆς ὁσιότητός σου κέλευμα οὐκ ἀκίνδυνον πάντῃ καταλιπεῖν, εἰ καὶ ὑπὲρ δύναμίν μου, ἀνυπήκοον, ἄλλως τε καὶ ἐκ τοῦ οἰκείου μου πατρὸς τὴν ἐπιταγὴν δεξάμενος, πεποιθὼς τῇ ἀμφοτέρων εὐπειθείᾳ τοῦτό σοι, ὦ θειότατε πάτερ, ἐν εἴδει ὑπομνήσεως ἐπιφθέγγομαι, ὅτι μεῖζον κατὰ πολὺ καὶ ὑπερβάλλον τὸ πλοῖον τῆς σῆς τελειότητος πρὸς τὸ ἐμὸν νηάριον (φημὶ δὴ τὸ ἐπισκοπικὸν / ὕψωμα πρὸς τὸ ἡγουμενικὸν ἀξίωμα) καὶ τοσοῦτον, ὅσῳπερ ἂν καὶ πλειόνων ἄρχειν ἠξιώθης, καὶ ταῦτα οὐχ ἑκόντων ἴσως οὐδὲ ὁμογνωμόνων οὐδὲ τῆς αὐτῆς φύσεως

---

11. ante mens. Ian. a. 809? 22 πατρὸς: Platon

---

2 Tit. 3,10

C V PS

---

1 κνοσίας CS (lectio ex nummis orta? cf B. de Montfaucon, Palaeographia graeca. Parisiis 1708, 132) 4 λόγον post εἰληφέναι transp V Sirm 6 ἀνικανίας: ἀνοίας Sirm 7 εἴτ' οὖν CPS Sirm 8 ἄρα VP Sirm 9 θεὸν om V ἵλεων S 10 ἐξάκρας C 13 τῳόντι S 14 ἀεικυμάντου: ἀκυμάντου V 15 post τοῦτο voculam τὸ eras V καὶ λογικὸν om V 17 ἵνα S αὐχέσι VPS Sirm 21 κέλευσμα VPS[pc] Sirm post πάντῃ voculam καὶ eras V καταλειπεῖν C 23 ἐπιταγὴν: ὑποταγὴν Mi 24 ἐπιφθέγξομαι VP Sirm 27 τοσούτῳ S[pc] 28 οὐκ C

καὶ ἀξίας, ἀλλὰ καὶ ἀρρένων καὶ θηλείων, μοναστῶν τε καὶ μιγάδων, ἀρχόντων τε καὶ ἀρχομένων, γημώντων τε καὶ ἀγάμων, δούλων τε καὶ ἐλευθέρων, ὀρφανῶν τε καὶ χηρευόντων, πλουσίων τε καὶ πενήτων, δυναστευόντων τε καὶ καταπονουμένων, χρεωφειλετῶν τε καὶ δανειστῶν, ἁβροδιαιτούντων τε καὶ λιμοκτονουμένων, πολυκτημόνων τε καὶ ἀνεσθήτων, μαλακοφορούντων τε καὶ ῥακοδυτούντων. ταῦτα γὰρ καὶ πλείω τούτων οὐκ ἐπιφαίνεται τῷ ἡμετέρῳ βίῳ, ὁ δὲ σὸς ἐμπέπλησται. καὶ οὐδὲ πᾶς ὁ λαός σου ὑπὸ μιᾶς φροντίδος δεδιοίκηται οὐδὲ πάντων τὰ πρόσωπα καὶ τὰ ὀνόματα οἶσθα οὐδὲ ἑκάστου τὰς μεθόδους τῆς ζωῆς διαγινώσκεις, ἀλλὰ ἄλλοι ἄλλως κατὰ πολὺ τὸ διάφορον ἔχουσιν· οἱ μὲν γὰρ ἴσως γεωπονοῦσιν, οἱ δὲ ναυτίλλουσιν, οἱ δὲ ποιμενεύουσιν, οἱ δὲ ἀπρακτοῦσιν, οἱ δὲ πρακτορεύονται, καὶ πολὺς ὁ λόγος τῆς ἐφ' ἑκάστῳ ὁρωμένης ἐργασίας.

Ἐπὶ τούτοις δὲ πᾶσιν ὅσος καὶ ὁπηλίκος ὁ κόπος, καθὰ λογίζομαι ὁ ἀλόγιστος, ὅσος ὁ ἱδρώς, ὁ ἀγών, ὁ δρόμος, ἡ εὐτονία, ἡ φροντίς, ἡ μέριμνα, ἡ ἔκτηξις τῆς σαρκός, ἡ ὀδύνη τῆς ψυχῆς, ἡ τῆς διανοίας κατακοπή. ὥσπερ οὖν ὁ ἀπευθύνων τὴν ναῦν ἐν μεγάλῃ ζάλῃ καὶ καταιγίδι θαλάσσης ὅλος νήφων ἐστὶ καὶ ἀπερίτρεπτος, ἀνύστακτον ἔχων τὸν ὀφθαλμὸν (οὐδὲ γὰρ εἰς βραχὺν φέρει κίνδυνον τὸ μικρῶς πως παρεμπεσεῖν ἀπειρίαν καὶ ἀμέλειαν), οὕτω πολλῷ μᾶλλον ὁ κυβερνήτης τῶν ψυχῶν ἀγωνιστικώτερον καὶ ἀκριβέστερον ὀφείλει εἰδέναι τὸ τῆς προστασίας ἔργον, ἵνα μὴ ὑποβρύχιος γένηται τῷ βυθῷ τῆς ἀπωλείας. διὰ ταῦτα, ὡς οἶμαι, ἁγιώτατε, ἐβόα ὁ μέγας ἀπόστολος τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι; καὶ πάλιν ὅτι ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος, ἀλλ' ἔννομος Χριστοῦ. τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα τοὺς πάντας κερδήσω. ἰδοὺ οὕτως καὶ οἱ κατ' αὐτὸν κανόνες καὶ ὅροι ἐπισκοπῆς καθάπερ καὶ αὐτοὶ οἱ θεσπέσιοι πατέρες ἡμῶν διαγορεύουσιν.

Λοιπὸν ἀναγνοὺς καὶ διαγνοὺς τὰ τῶν ἁγίων καὶ ἐπὶ χεῖρας ἔχων

---

53 2 Cor. 11,29   54 1 Cor. 9,20   56 1 Cor. 9,22

29 θηλειῶν VPS Sirm   30 γημάντων VPS Sirm   τε² om VP Sirm   34 ἀνεσθήτων: ἀνεστίων V Sirm (quod in simili opponentium catena legitur apud Theod Stud epigr 110,3 [p. 286 Speck])   ῥακκοδυτούντων C   37 δεδιῴκηται V   τὰ ὀνόματα καὶ τὰ πρόσωπα S   38 οὐδ' Sirm   μεθοδείας V   39 γαιοπονοῦσιν C   40 ποιμαινεύουσιν VPS Sirm   43 ὁπηλίκος CS^ac: πηλίκος cett Sirm   κόπος: λόγος V   καθὼς V   44 ὁ¹ om V Sirm   47 νηφῶν C   48 βραχὺ CP   49 πῶς C   50 εἰδέναι ante ὀφείλει transp V Sirm   52 ἐβόα post ταῦτα transp S   55 ὑπὸ νόμον: ὑπονόμον C (bis)   56 Χριστῷ S Sirm   58 ἡμῶν ante πατέρες transp S   διαγορεύουσι VPS Sirm

τὰ θεοπαράδοτα λόγια, τί πρὸς ἐμοῦ τοῦ τάλανος τοιοῦτόν τι ἐπιζητεῖς; ἐγὼ δοκῶ τὸν ἐπίσκοπον εἶναι ἔφορον καὶ ὑπεύθυνον τῆς ἐπὶ πᾶσι τῶν ἀρχομένων γενομένης διαπράξεως, ἄγγελον ἀσίγητον, τὰ τοῦ θεοῦ δικαιώματα κηρύσσοντα, ὄμμα ἀκοίμητον τὰς ἑκάστου ὁδοὺς τῶν ὑπ' αὐτοῦ ἐξαγομένων ἐπιβλεπόμενον, μίμημα Χριστοῦ, εἰς ὃν οἱ ἑπόμενοι προσέχοντες τὴν ἑαυτῶν ζωὴν εὐαγγελικῶς χαρακτηρίζουσιν, φωστῆρα ἀειλαμπῆ τοῖς ἐξ ἀγνοίας καὶ ἁμαρτίας νυκτομαχοῦσιν γνωριζόμενον, τὸν λόγον τῆς διδασκαλίας ἐπομβρίζοντα τοῖς διψῶσι τὰ σωτήρια, οἰκονόμον μέγιστον, τὸν ἑκάστου βίον λογοθετεῖσθαι μέλλοντα ἐν καιρῷ ἀνταποδόσεως. οὔτε οὖν μεῖζόν τι τῆς πρὸς θεὸν ἐγγύτητος καὶ ἀγάπης οὔτ' ἂν εὐ/μισθότερον ὡς ἡ τηλικαύτη ἐπιστασία (καθώς φησιν αὐτὸς ὁ Χριστὸς πρὸς τὸν κορυφαῖον ἀπόστολον, εἰ φιλεῖς με, Πέτρε, πλεῖον τούτων, ποίμαινε τὰ πρόβατά μου) οὔτε ἐπικινδυνότερον καὶ ὀλεθριώτερον τοῖς ἀναξίως ταύτην ἀσπαζομένοις.

Ἀλλ' αὐτὸς εὖ οἶδα, πατέρων ἄριστε, ὅτι ὡς ἀγαθὸς ποιμὴν τὴν ψυχήν σου ἀεὶ τεθεικὼς εἶ ὑπὲρ τῶν σῶν προβάτων, προκινδυνεύων ὑπὲρ ἑνὸς ἑκάστου, μὴ πτοούμενος ἀπειλὰς ἀνθρωπίνας, μὴ ὑποστελλόμενος τὸν τῆς ἀληθείας λόγον ἐξ ἐναντίας τῶν ἀντιδιατιθεμένων, τὸ τοῦ μόνου βασιλέως θέλημα ἀποθεραπεύων· πρὸς τούτοις ἐλέγχων μετὰ παρρησίας, ἐπιτιμῶν μετὰ συμπαθείας, εἰρηνεύων καὶ καταλλάσσων τοὺς διισταμένους, ἀφορίζων μετὰ εὐκρισίας τὸ βέβηλον ἀπὸ τοῦ ὁσίου, τὸ ὑγιὲς ἀπὸ τοῦ νενοσηκότος, ὡς ἂν μὴ μεταδοίη τῆς οἰκείας ἀρρωστίας τὸ πλησιάζον, τὸ πλανώμενον ἐπιστρέφων, τὸ ἠσθενηκὸς ἐνισχύων, τὸ συντετριμμένον καταδεσμεύων.

Ὡς πολύ σου ὄντως τὸ ἔργον· ἡγουμένων ἐπίσκεψις, κελλιωτῶν ἐπίκρισις, πρεσβυτέρων καὶ διακόνων χειροτόνησις καὶ βίου τούτων πάντων ἐπιτήρησις, χηρῶν προστασία, ὀρφανῶν ἐπικουρία, καταπονουμένων ἐκδίκησις, ἀδικουμένων ὑπερμάχησις καὶ μέντοι καὶ ὑπεροχῆς διατήρησις. ἐπειδὴ ὅταν μηδὲν ᾖ τὸ βλάπτον καὶ κωλῦον εἰς θεοσέβειαν, ὑποτάσσεσθαι καὶ ἡμᾶς πάσῃ ἀρχῇ καὶ ἐξουσίᾳ προσήκει καὶ φιλιάζειν, εἰ δυνατόν, πρὸς ἅπαντας διὰ τῆς εὐμεταδότου καὶ φιλοφρόνου δεξιώσεως καὶ προεπιδόσεως. ἀπείη γὰρ περὶ

63 1 Cor. 4,16 sq. 68 1 Cor. 4,1 72 Joh. 21,15 sq. 75 Joh. 10,11 78 2 Tim. 2,25 81 cf. Ez. 22,26 83 Matth. 18,12

65 χαρακτηρίζουσι VPS Sirm 67 νυκτομαχοῦσι VPS Sirm 70 ἂν: αὖ Mi (fort recte) 76 τεθηκὼς C 78 ἐξεναντίας CSV 83 τῷ πλησιάζοντι VPS[pc] Sirm 89 ὅτ' ἂν C κωλύον καὶ βλάπτον S 91 voces διὰ παντὸς post φιλιάζειν add V Sirm 92 προεπιδώσεως (ubi προ-[sscr]) C

τῆς μακαριότητός σου τὰ τῆς ἐναντίας μερίδος τῶν κακῶν ποιμένων διαγορεύειν, οἷον τῶν αἰσχροκερδῶς ποιμαινόντων τὸ ποίμνιον, τῶν εἰς ἀφορμὴν βίου λογιζομένων τοιαύτην ἀξίαν καὶ εἰς σαρκὸς ἀνάπαυσιν καὶ εἰς ἐπιθυμίας ἀπόλαυσιν, εἰς κατάσχεσίν τε πλούτου τοῦ ῥέοντος καὶ εἰς κτῆσιν πλέθρων γῆς τόσων καὶ τόσων, ἀγέλης τε ἀνδραπόδων καὶ βοσκημάτων πληθύος, καὶ διὰ τοῦτο ἀνθρωπίνως καὶ οὐ θεϊκῶς ἐπιπηδώντων τῷ ὕψει τῆς προστασίας εἰς τὸ αἴρειν τὴν ὀφρῦν κατὰ τῶν ὑποδεεστέρων καὶ προκαθέζεσθαι σοβαρῶς κατὰ τῶν ὑπερτίμων. καὶ ἐῶ λέγειν περὶ τῶν διαμαχομένων ἴσα καὶ τῶν δεκανικῶν ὑπὲρ τῶν ἀπολλυμένων πραγμάτων καὶ οὐκ ἀνθισταμένων ὑπὲρ τῶν τῆς εὐσεβείας δογμάτων ἤ, τὸ πολὺ χεῖρον τούτων, περὶ τῶν ὑποσπώντων καὶ ὑπωπιαζόντων τὰ τῶν ὑποχειρίων κἀκ τούτου συναθροιζόντων δύναμιν καὶ περιουσιασμόν. οἷς γὰρ μᾶλλον ἔδει χεῖρα ὀρέγειν πενομένοις, τούτους κατὰ μικρὸν ἐκθλίβειν οὐ παραιτούμενοι, τίνι ὁμοιωθήσονται; Πέτρῳ καὶ Ἰωάννῃ ἆρα καὶ τοῖς ὀπαδοῖς αὐτῶν; οἷς, φησίν, ἀργύριον καὶ χρυσίον οὐχ ὑπῆρχεν, ἀλλ' ἡ τοῦ θείου πνεύματος χάρις; ἢ Σίμωνι τῷ μάγῳ καὶ Ἰούδᾳ τῷ προδότῃ καὶ Γιεζῇ τῷ φιλαργύρῳ καὶ τοῖς λοιποῖς πλουσίοις τοῦ αἰῶνος τούτου; ἐκείνων δὲ λέγω, τῶν τὸ παρὸν μόνον ὅπως αὐτοῖς εὖ ἕξει σκοπούντων καὶ σάρκα θεραπευόντων καὶ τῷ χρυσῷ τῇ καρδίᾳ προστιθεμένων καὶ τοῦτον ἴσως τοκιζόντων ἢ ἐπὶ πλεονασμῷ διανειμόντων τοῖς ἐνδεέσιν καὶ πρὸς τὰ οἰκεῖα θελήματα κατακρατούντων καὶ προσπαθῶς τοῖς οὐκ / ἀξίοις ἢ τοῖς ἀγχιστεύουσι χρωμένων. οἵτινες ὅλην φροντίδα κέκτηνται τάχα ἐπὶ τοῦ σπεῖραι πολλὰ καὶ ἀμήσασθαι καὶ ἐπὶ τοῦ φυτεῦσαι τοσαῦτα καὶ καρπώσασθαι καὶ ἐπὶ τοῦ προσθεῖναι καὶ πληθύναι βουκόλια ἢ ποίμνια, ὥσπερ τινὲς γεωργοὶ καιροσκοποῦντες καὶ καταπραγματευόμενοι τὰς ἐνδείας πρὸς τὸ πωλεῖν καὶ ἀγοράζειν ταῦτα καὶ ἐκεῖνα, πραγματευτικῶς καὶ ἐμπορικῶς οἱονεὶ πολιτευόμενοι, ἀλλ' οὐκ ἐπισκοπικῶς καὶ ἱερατικῶς, πρὸς τὸ μόνον πτερῶσαι ψυχὴν καὶ ἁρπάσαι κόσμου καὶ δοῦναι θεῷ καὶ ὅλον τὸ ποίμνιον διασώσασθαι ἐκ θανάτου ἁμαρτίας, καὶ οὕτως κατὰ δεύτερον λόγον καὶ τὰ ἐπιτήδεια τῆς παρούσης ζωῆς δι' οἰκονόμων καὶ ἐπιτρόπων πορίζεσθαι.

Ἀλλ' οὐαί μοι, ὅτι ἐμαυτῷ ταῦτα κατέλεξα, ἐκ τῶν οἰκείων παθῶν τὰ οὐκ ὄντα τοῖς ἄλλοις διαγραφόμενος. σὺ δέ, ὦ πανσεβάσμιε πάτερ,

---

94 1 Petr. 5,2 **108** Act. 3,6 **109** Act. 8,18 sq. **110** 4 Reg. 5,25 sq.

95 τὴν ante τοιαύτην inser Sirm **97** κτῆσιν: κτίσιν P γῆς ante πλέθρων transp S τῆς ante γῆς add V **100** ὀφρὺν C **101** ἴσα VP Sirm **102** δικανικῶν VPS Sirm **104** ὑποπιεζόντων V (fort recte) **110** Γιεζὶ C **111** δὲ: δὴ S **113** τούτων Sirm **114** διανειμάντων VPS Sirm ἐνδεέσι VPS Sirm **116** οἵ τινες Sirm **118** προσθῆναι C πληθῦναι Mi

καθαρὸς ὢν ἀπὸ τῶν τοιούτων, ταῖς ἱεραῖς εὐχαῖς τοὺς νοητοὺς λύκους ἀποσοβοίης ἐκ τῆς χριστοσφραγίστου ἐπαύλεώς σου, εὖ οἶδ' ὅτι, καὶ ταῦτα ἄγοις καὶ διεξάγοις εἰς τὰ χωρία τῶν ἀρετῶν, ἐκτρέφων καὶ λιπαίνων τῇ πόᾳ τῆς ἐμμελοῦς σου διδασκαλίας καὶ τῷ ὕδατι τῆς καθαρᾶς πίστεώς σου, καὶ ἑκάστοτε προσάγοις θύματα δεκτὰ ταῖς λογικαῖς σου καὶ ἡγνισμέναις τῷ θεῷ λατρείαις. ἀλλὰ ταῖς ἱκετηρίαις προφθάνων ποιμαίνοις κἀμὲ τὸν τληπαθέστατον καὶ πολυαμάρτητον, δέομαι καὶ ἀντιβολῶ. καὶ σύγγνωθι, εἴ τι ὤφλησα γέλωτά σοι ἀμαθίας μου· πλὴν ὅτι οὐχ ἑκών, ἀλλ' ἐκβιασθεὶς ὑπὸ τῆς ἱερᾶς σου καὶ πνευματικῆς ἀγάπης, μᾶλλον δὲ κελεύσεως, καθῆκα ἐμαυτὸν εἰς τοῦτο, οὐ πρὸς ὄνησίν σού τινα φθεγξάμενος, ἀλλὰ πρὸς ἔνδειξιν, ὡς εἴρηται, ὑπακοῆς ἀνυποκρίτου σου.

Ἔρρωσο ἐν Κυρίῳ, ὑπερευχόμενος ἡμῶν τῶν μόνων ἁμαρτωλῶν, τὰ πάντα ὁσιώτατε πάτερ.

12. Θωμᾷ δισυπάτῳ

Ποία πρόσρησις ἢ τίς λόγος παρακλήσεως εὑρεθείη πρὸς ἡμῶν τῶν ταπεινῶν τῇ σῇ κυριότητι πρὸς τὰ ἐνόντα αὐτῇ λυπηρά, ὦ δέσποτα; ἐξενώθης τῆς ἐνεγκαμένης σε καὶ θρεψάσης πόλεως, ἀπεστερήθης τῆς μεγίστης ἑστίας, ἀπεγυμνώθης τῆς λαμπρᾶς ἀξίας, προσθήσω δὲ καὶ τῆς ὑπάρξεως, ἀποδιέστης τῶν φίλων, τῶν συνήθων, τῶν φιλτάτων σου τέκνων, ὑπερωρίσθης ὧδε κἀκεῖσε· τὰ δὲ τῆς ὑπερορίας ὅσα εἰς κακοπάθειαν τῷ ἀήθει σου σώματι, ἔνδεια βρωμάτων, πομάτων, λοετρῶν, ἐρημία ὁμιλούντων, εὐπορία προσεπεμβαινόντων, προσπλησσόντων. οἱ γάρ ποτε εὐγνώμονες νῦν ἴσως ἀγνώμονες καὶ οἱ φίλοι καὶ γνώριμοι τετράφθωσαν τὰ πρόσωπα, ἢ ἐγγύθεν ἢ μακρόθεν ὄντες, ἀπὸ τοῦ γνωρίζειν καὶ φιλεῖν καὶ κήδεσθαι. φροντὶς ἐπὶ τούτοις τῶν ἔτι ἐπιλελειμμένων ὑπηρετῶν δούλων, καὶ πρό γε τούτων τῶν καλλίστων / παίδων· καὶ τὸ δύνασθαι οὐ πρόσεστι. καὶ ἐπὶ τούτοις καθέζῃ πρὸ τοῦ ἄστεος, οἷον ἐπὶ τῶν

132 Rom. 12,1

129 χριστοφραγίστου P 130 ταῦτ' Sirm 133 καὶ post ἀλλὰ add V

12. a. 804 – 806

15 Ps. 136,1

V PS

1 παραμυθητικός titulo add P: παραμυθητική add S[pc] 9 λούτρων Sirm

ποταμῶν Βαβυλῶνός ποτε ἀπαγόμενος εἰς Ἀσσυρίους Ἰσραήλ· ἐν ᾧ, φησίν, ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τὴν Σιών.

Στεναγμοῦ τοίνυν καὶ κατηφείας καὶ δακρύων τὰ σά. ἀλλ' ἐπεὶ πρόσεστί σοι γνώσεως χάρισμα καὶ φρονήσεως δώρημα, οὐ πάντως καταπίπτειν οἰόμεθά σε ἐν τούτοις, εἰδότα ὅτι πειρατήριον ὁ βίος ἀνθρώπου, κατὰ τὸν ἀοίδιμον Ἰώβ, ὃς ὅσα πέπονθεν οὐκ ἀγνοεῖ σου ἡ πολυπειρία οὐδὲ τὴν ἄλλην ἄστατον φορὰν τῆς παραυτίκα ζωῆς, ἄλλοτε ἄλλως ἐχούσης κατὰ πᾶσαν σχεδὸν ἡμέραν τε καὶ ὥραν· ῥοῇ γὰρ καὶ ἀπορροῇ ἔοικεν, ἄνθεσί τε καὶ ὀνείρασι καὶ οἷστισιν ἄλλοις, κατὰ τὰς θείας φωνὰς τῶν ἁγίων. ἀναλογιζέσθω γάρ σου ἡ τιμία ψυχή, πόσα ἐν τῷ μεταξὺ χρόνῳ τῆς ἀπαγωγῆς πέπρακται, τῶν μὲν ἀποπεπτωκότων, τῶν δὲ ἀνυψωθέντων, ἄλλων τεθνηκότων, ἑτέρων εὐπραγησάντων, ἄλλων δυστυχησάντων. καὶ οὐδεμία στάσις ἐν τῷ ἀστάτῳ καὶ εὐκινήτῳ δρόμῳ τοῦ βίου ἡμῶν.

Ἐκεῖνό τε πάλιν ἀληθὲς ὄν, ὅτι πάντες ἄνθρωποι ἐν ἐξορίᾳ ἐσμέν, κατὰ τὸ ἀποικισθῆναι ἡμᾶς διὰ τοῦ πρωτοπλάστου ἐκ τοῦ παραδείσου, ὡς ὁ λόγος, καὶ εἰς τόδε τὸ θανατηφόρον χωρίον ἐναυλίζεσθαι, ἕως ἂν τὸ ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου ᾄδωμεν, μεταβαίνοντες ἐκ παροικίας εἰς ἐλευθερίαν. ὥστε οὐδὲ ἐξορίζειν δύναιντ' ἂν ἄνθρωποι τοὺς ὁμογενεῖς, κατὰ τὸ ἀκριβὲς τοῦ λόγου, ἐξόριστοι ὄντες καὐτοί. ἐπεὶ πάντες πάροικοι καὶ παρεπίδημοι περιγεγράμμεθα.

Εἴ τι τοιοῦτον φάρμακόν σοι παρηγορίας, παραμύθιον παρακλήσεως, αἰτοῦμεν, ἀντιβολοῦμεν εἰς τὸ ἐνεγκεῖν μακροθύμως τὰ συμβάντα, εὐχαρίστως τὰ λυπηρά, ὅπερ πεπείσμεθα ἐσχηκέναι σε. ἐπεὶ πόθεν ἄλλοθεν οἴσομεν τὴν ἐπιφοράν; εἶτα ὅτι κἀντεῦθεν τὰ μεγάλα κερδανοῦμεν, δι' ἀπραξίας εὐπραξίαν τὴν μείζονα, διὰ πενίας πλοῦτον τὸν ἀμετάπτωτον, δι' ἀδοξίας δόξαν τὴν ἀκήρατον. καὶ τάχα παρακληθήσονται καὶ αὐτοὶ οἱ κρατοῦντες εὐσεβεῖς ἡμῶν βασιλεῖς ὀψέ ποτε ἐπαναγαγεῖν σε εἰς τὰ οἴκοι καὶ ἀποδοῦναι τὰ δέοντα. ἴσμεν γὰρ αὐτῶν τὸ φιλάνθρωπον καὶ εὐμετάμελον, ᾧπερ κιχρῶνται με-

45 βασιλεῖς: Nicephorus I et Stauracius

21 Jb. 7,1 34 Ps. 141,8 37 Ps. 38,13

17 τὴν: τῆς V Sirm 28 ἑτέρων εὐπραγησάντων in marg V 29 οὐδὲ μία P 31 τε: δὲ V ἀληθές: ἀληθινὸν V 36 οὐδὲ V^{sscr} voculam οὐδὲ post ἐξορίζειν eras V 47 κιχρῶνται: καὶ χρῶνται V^{pc}

γάλως ἐπὶ τοῖς τοιούτοις. ἕως δ' ἂν ἐπιμένῃς, παρακαλέσαι σε κύριος ὁ θεὸς παρακλήσει ὑπομονητικῇ καὶ εὐχαριστηρίῳ, ἀλλὰ καὶ πείσειεν αὐτοὺς τοὺς κρατοῦντας τὸ προειρημένον ἡμῖν πρᾶξαι ἐπὶ σοὶ καὶ ἀποδοῦναί σε τὸν περιπόθητον τοῖς φιλοῦσι σε.

13. Εἰς τὴν διακονίαν τῶν ἀπρονοητῶν

Ὅτι κατ' εἰκόνα θεοῦ καὶ ὁμοίωσιν ὁ ἄνθρωπος ἔκτισται, ἀναγκαῖον τῇ ἀνθρωπίνῃ φύσει, καθόσον ἐφικτόν, ὡς εἰκόνι τὰ τοῦ ἀρχετύπου μιμήματα ἐν ἑαυτῇ περιφέρειν. ἐπεὶ οὖν τὸ θεῖον ἐπὶ πάντα διήκει τὴν τῆς οἰκείας ἀγαθότητος πρόνοιαν, δίκαιον ἂν εἴη ἐκμιμεῖσθαι τὸ ἀνθρώπινον τὴν τῆς ἀρρήτου σοφίας προνοητικὴν ὡς δυνατὸν διοίκησιν. ὅθεν / καὶ ἡμεῖς οἱ ταπεινοὶ καὶ ἐλάχιστοι, εὐλαβῶς εἰς τὸ θεῖον ἀπιδόντες καὶ πρὸς τὸ ὁμόφυλον τὴν ἀγαπητικὴν διάθεσιν ἀναλαβόντες, καθήκαμεν ἑαυτοὺς εἰς τόδε τὸ εὐσεβὲς σύστημα, καθὼς ὑποτέτακται, πρόνοιαν ποιούμενοι τῶν ἀπρονοητῶν σκηνωμάτων, εἴτουν νενεκρωμένων καὶ ἐκ πενίας ἢ ἐκ ξενιτείας μὴ ἐχόντων πῶς ἐκκομίζεσθαι καὶ ἐνθάπτεσθαι ἐν ταύτῃ τῇ βασιλευούσῃ τῶν πόλεων.

Τῷ τοίνυν θείῳ τούτῳ τύπῳ ἐπερειδόμενοι ἑκάστῳ τε ἐνιαυτῷ ἐκ τῶν προσόντων παρὰ θεῷ δωρεῶν, ὁ καθεὶς ὡς ἔχει δυνάμεως, καταβολὴν ποιούμενοι πρός τε ἀγορασίαν ἐνταφίων καὶ [τὰ] τῶν εἰς ταφὴν ἄλλων συντελούντων, διορίζομεν ἐν Κυρίῳ τάδε, τούτων μηνυομένων ἢ θεωρουμένων κατὰ περίοδον πρὸς ἑκάστου τῶν συνειλεγμένων ἐν τῇ ἀδελφότητι. νεκρὸν ἄνθρωπον, τοῦτον τοῖς προσήκουσιν ἐνταφίοις ἐκκομίζεσθαι καὶ ἀποτίθεσθαι ἐν ταῖς ἀποτεταγμέναις ἡμῖν ὁσίαις θήκαις. καὶ μὴν διὰ τοῦ ἐνιαυτοῦ, ἀρχῇ τε ἰνδίκτου καὶ διὰ τῆς ἐν τῇ Πεντηκοστῇ πολυημερίας ἐπιτελεῖν ἡμᾶς κοινῶς τὰ μνημόσυνα πάντων τῶν κηδευθέντων, ποιούντων ἡμῶν ἐν

---

48 ἐπιμένοις PS   51 σε: σοι σὲ V

---

13. a. 803 – 806?

2 Gen. 1,26

C V PS

1 ἀπρονοήτων VPS Sirm (fort recte; cf ep 109,21)   9 ἀσεβὲς Mi   10 ἀπρονοήτων VPS Sirm (fort recte)   11 εἴτουν S: ἤγουν V: εἴτ' οὖν P Sirm: ἦτ' οὖν C   14 τούτῳ θείῳ V Sirm   τύπῳ τούτῳ S   15 θεοῦ V Sirm   16 τὰ uncis inclusi   17 συντελοῦντα VPS Sirm   διορίζωμεν C   τούτων: τὸ τὸν V   18 μηνυόμενον V   θεωρούμενον V   20 καὶ om Mi   21 ὑμῖν omnes: correxi   ἀρχὴ CP[ac]   22 πολυημερίας V: πολυμερίας CV[ac]: πολυμερείας PS Sirm   23 ὑμῶν CP

ταὐτῷ ἐκ τῆς συνεισφορᾶς καὶ ἀγάπην παρακλήσεως σωματικῆς, μὴ μέντοι ἔξω τῶν νενομισμένων τῆς αὐταρκείας ὅρων, ὡς ἢ πολυοινίᾳ ἢ πολυφαγίᾳ ἐξορχεῖσθαι ἡμᾶς τὰ ἐπιτελούμενα μνημόσυνα· ἀλλὰ μετ' εὐλαβείας ἀναφερόντων ἡμῶν δοξολογίαν τῷ καταξιώσαντι ἡμᾶς θεῷ τὴν ὁσίαν ταύτην τελετὴν ποιήσασθαι, οὕτως ἐπὶ τὴν τῆς τραπέζης ἰέναι χρείαν, προσαναγινωσκομένου ἤδη τοῦ τόμου, ὡς ἂν καὶ ἐπ' αὐτῆς τῆς τροφῆς ἡμῶν τὰ ἀρεστὰ Κυρίῳ μεταδιώκειν, τὸ κατὰ περισσείαν διανεμόμενον πτωχοῖς, μὴ ἐμπολιτευομένων ἀργῶν ῥημάτων ἐν τῇ ἑστιάσει μηδὲ γελοιασμάτων, πολλοῦ γε εἰπεῖν παιγνίων, ὅπου γε οὐδὲ τῷ τυχόντι χριστιανῷ ἐνεργεῖν δέχεται ὁ λόγος. εἰ δὲ καὶ λαλεῖν δεήσειεν, ταῦτα ὅσα πρέπει χριστιανοῖς, τοῦ φυλάττεσθαι ἡμᾶς ὅρκον, τὸ ἀγάπην ἔχειν ἐν ἀλλήλοις, ἀλήθειαν ἐκ τοῦ στόματος προφέρειν, δόλου καὶ φθόνου ἀποδιδράσκειν, εὐποιίας τὸ κατὰ δύναμιν ἀντέχεσθαι, ἐπισκέψεις ποιεῖσθαι τῶν ἐν φυλακαῖς, τῶν ἐν ἀρρωστίαις, προσέχειν ταῖς ἀναγνώσεσιν καὶ ταῖς ἐν ἐκκλησίαις προεδρίαις, ἀλλήλους τῇ τιμῇ προηγεῖσθαι καὶ μάλιστα ἱερεῖς τε θεοῦ καὶ μοναστάς, φιλοξενίαν μεταδιώκειν, πορνείας καὶ μέθης τὸ καθόλου ἀπέχεσθαι, τὴν ὀρθόδοξον πίστιν κατέχειν, αἱρετικῶν κοινωνίας ἀποφεύγειν. καὶ γὰρ ἡ τῶν τοιούτων λαλιὰ καὶ μελέτη πολλῶν ἀγαθῶν πρόξενος γένοιτ' ἂν ἡμῖν.

Ταύταις ταῖς θείαις συνθήκαις συγκατατιθέμενοι καὶ συνεπόμενοι ἐπεδώκαμεν ἑαυτοὺς ὡς τῷ Κυρίῳ τῷδε τῷ συστήματι (φησὶ γάρ· ὁ ποιήσας ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ πεποίηκεν), μηδὲν τῶν κειμένων ἀθετοῦντες μηδὲ παραμελοῦντες, ὡς ἐάν ποτε ὀφθείη τις τῶν ἀδελφῶν ἢ παρορῶν τὸν κείμενον νεκρὸν καὶ μὴ ἀναφέροι τῷ τὰ πρῶτα φέροντι τῆς ἀδελφότητος ἢ ἐν τοῖς ἀρίστοις φθεγγόμενος ἃ μὴ θέμις καὶ πράττων τὰ οὐχ ὅσια, ὡς ἐντεῦθεν τὸν θεὸν παροργίζεσθαι, ἐπιτιμίῳ ὑποβάλλεσθαι παρὰ τοῦ προκαθηγουμένου, τριῶν ἡμερῶν ἀποχὴν οἴνου ἢ ἀργυρίου ἑνὸς καταβολήν, εἶθ' οὕτως αἰτεῖν πρὸς τὸ ἑξῆς / βελτίωσιν. πρὸς τούτοις φυλάττεσθαι ἡμᾶς καὶ τό, ὅταν τύχῃ ἑνὶ τῶν ἀδελφῶν ἡμῶν ὁ κοινὸς θάνατος,

---

35 Joh. 13,35 38 1 Tim. 4,13 39 Rom. 12,10 40 Rom. 12,13 1 Thess. 4,3 46 Matth. 25,40

---

27 ὑμῶν CP δοξολογίας V κατ' ἀξιώσαντι C 28 ὑμᾶς C 29 πρὸς ἀναγινωσκομένου C 30 τὸ CP^{ac}S^{ac}: τοῦ cett Sirm 31 καταπερισσείαν P περισσίαν C διανεμώμενον C: διανεμόμενον P^{ac}S^{ac}: διανεμομένου cett Sirm 34 δεήσειε VPS Sirm τοῦ CS: τὸ cett Sirm 35 ὑμᾶς CP 38 ἀναγνώσεσι VPS Sirm 39 προσεδρίαις S 40 φιλοξενίας V 42 ἡ om VP Sirm 43 ὑμῖν CP 45 ὡς τῷ: ἐν S 46 πεποίηκε VPS Sirm 47 ὅτι αἱ ἀδελφότητες τῶν ἀπρονοήτων ὑπὸ τούτου τοῦ μεγάλου πατρὸς ὡρίσθησαν in marg P 52 ἀποχῇ P Sirm: ἀποχὴ S^{pc} ἤ: καὶ Sirm καταβολῇ P Sirm: καταβολὴ S^{pc} 54 ὑμᾶς omnes: correxi ὑμῶν CP

πάντας συναθροίζεσθαι ἐπὶ τὸ αὐτὸ καὶ τὴν ἐκκομιδὴν καὶ ἐνταφίασιν αὐτοῦ ποιεῖσθαι, ὥστε καὶ ἐκ τούτου τὸ καλὸν ἡμῶν σύναγμα ἐπαινεῖσθαι πρὸς δόξαν καὶ αἶνον τοῦ μεγαλοδώρου θεοῦ ἡμῶν.

Πίστει οὖν καὶ φόβῳ τῷδε τῷ γραμματείῳ συντάξαντες ἑαυτοὺς καὶ τὰ ἑαυτῶν ὀνόματα ὑπεσημηνάμεθα σὺν τοῦ ποσοῦ, τὴν μισθαποδοσίαν ταύτης ἡμῶν τῆς ἐλαχίστης προθέσεως ἀπεκδεχόμενοι ἐν τῷ μέλλοντι αἰῶνι παρὰ τοῦ μισθαποδότου δικαίου κριτοῦ τῶν ὅλων Ἰησοῦ Χριστοῦ τοῦ κυρίου καὶ θεοῦ ἡμῶν.

14. Ἰγνατίῳ ἡγουμένῳ

Πρὸ παντὸς ἄλλου τὸ τῆς προσηγορίας χρέος ἀποτιννύω τῇ πατρικῇ σου ἁγιωσύνῃ (ὤφελον γάρ), εἶθ' οὕτως τὴν αἰτίαν τῶν γραμμάτων ἀπαγγελῶ. πρόβατον ἡμῶν λογικόν, ὁ δεῖνα ὁ ἀδελφός, δελεασθεὶς ὑπὸ τῆς πολυμεθόδου πανουργίας τοῦ ψυχοφθόρου λύκου, ἀπεξεώθη τῆς ταπεινῆς ἡμῶν ποίμνης καί, ὡς ἔγνωσται ἡμῖν, προσεδέχθη ἐν τῇ μονῇ τῆς ὁσιότητός σου. καὶ εἰ μὲν παρευθὺ δεξαμένη νενουθέτηκεν τὰ πρὸς ὑποστροφήν, ὑποδεικνύουσα τὴν ἀπάτην καὶ τὸν ὄλεθρον ὃν πέπονθεν, εἶτα βελτιώσασα ἀνθυπήγαγεν πρὸς τὴν εὐτέλειαν ἡμῶν, οὐδὲν τὸ ἀπεικός, ἀλλὰ καὶ τὸ ἐφαρμόζον αὐτῇ, ὡς ἐντετάλμεθα ὑπὸ τῶν ἁγίων. ἐπεὶ δὲ τοσοῦτος χρόνος παρίππευσεν καὶ οὐδαμοῦ ἡ ἀνάλυσις, ἐρωτηθῆναι βούλομαι, ποίῳ τρόπῳ τὸν μαθητήν μου ἐπικρατεῖ ἡ θεοφιλία σου. ὡς ἀγνοοῦσα; ἀλλ' ἔδει μετ' ἐπιγνώσεως ὃν οὐκ ἀπέκειρεν ἀποπέμψασθαι. ὡς γινώσκουσα; πολὺ τὸ ἐπιβλαβές· ἐπίσταται γὰρ τί νομοθετεῖ ὁ θεῖος καὶ μέγας Βασίλειος, τοῦ ἀπρόσδεκτον εἶναι ἐν πάσαις ταῖς ἀδελφότησι τὸν ἀποπηδῶντα τῆς τῶν οἰκείων ἀδελφῶν συναφείας. πῶς γὰρ ἂν καὶ συσταίησαν τὰ κοινόβια, εἰ μὴ τοῦτο παρατηρηθείη πρό γε πάντων

---

61 cf. Hebr. 11,6

55 πάντες V   ἐκκομιδὴν καὶ om V   56 ὑμῶν CVP Sirm   σύνταγμα VPS[pc] Sirm   59 τῷ ποσῷ VS Sirm   62 verba τοῦ κυρίου καὶ θεοῦ ἡμῶν om S

---

14. post a. 798 – 799

16 Bas. reg. fus. 36 (PG 31,1009 A)

C VM PS

2 προπαντὸς C   3 ὤφειλον S   6 cave legas ἀπεξενώθη coll ep 538,56   8 νενουθέτηκε VMPS Sirm   9 ἀνθυπήγαγε VMPS Sirm   10 καὶ om VM Sirm   11 παρίππευσε VMPS Sirm   12 ἐρωτῆσαι S   13 θεοφίλεια VMP Sirm

τὸ κεφάλαιον; εἰ γὰρ ἐπὶ τῶν παιδοδιδασκάλων τοῦ κόσμου τούτου οὐχ οἷόν ἐστι δέξασθαι ἐν τοῖς μαθήμασί τινα τὸν ἐν ἑτέρᾳ σχολῇ προπαραδοθέντα παῖδα ἢ τοῦτο ποιοῦντα ὑποβάλλουσι συνηθροισμένοι οἱ πάντες ἐπιτιμίοις ζημίαν, πόσῳ γε μᾶλλον ἐφ' ἡμῶν, ἁγιώτατε πάτερ, τῶν ἐκκλησίας θεοῦ κατεχόντων καὶ ψυχῶν καθηγουμένων κατὰ μίμησιν τοῦ πρώτου διδασκάλου καὶ ποιμένος ἡμῶν Ἰησοῦ Χριστοῦ; οἶδα τοίνυν ὅτι πεπληρωμένος εἶ σοφίας καὶ γνώσεως, ἀλλὰ δέομαί σου ἐπιγνῶναι τὸ πραττόμενον ἔκτοπον, καὶ μάλιστα αὐτὸς ὁ προέχων τῶν ἄλλων καὶ βρίθων ἐν ἱερᾷ ἀδελφότητι· ἢ οὐκ οἶδας, ὁσιώτατε, ὅτι καὶ αὐτῷ τῷ ποιμνίῳ σου ἐπιβλαβές ἐστι συνάπτειν πρόβατον ἑτεροδέσποτον;

Τοσούτου οὖν ὄντος λοιπὸν ὁμολογουμένως τοῦ κακοῦ ἀντιβολοῦμεν, ἡνίκα δέξηται ἡμῶν τὰ εὐτελῆ γράμματα, παραδοῦναι αὐτὸν τοῖς πρὸς αὐτὸ τοῦτο πεμφθεῖσιν ἀδελφοῖς ἡμῶν, ἵνα ἀγάγωσιν αὐτὸν πρὸς τὴν ἰδίαν ποίμνην μεθ' ὧν ἐσφετερίσατο πραγμάτων τῆς ἐκκλησίας. εἰ δὲ ἀπειθείᾳ χρῆται ὁ ἀδελφός, ἀποσκορακίσαι αὐτὸν θελήσει τῆς ἱερᾶς αὐτοῦ ποίμνης παραυτίκα. εἰ δέ, ὅπερ οὐκ οἰόμεθα, μετὰ τὴν γνῶσιν ταύτην ἐπικατέχειν αὐτὸν βούλεται, γινωσκέτω ὅτι δεδεμένος ἐστὶ / παρ' ἡμῶν οὐκ ἀλόγως, ἀλλὰ καὶ λίαν ἐγκεκριμένως, μᾶλλον δὲ ὑπὸ τῆς Ἁγίας Τριάδος καὶ πάσης θεσμοθεσίας ἱερατικῆς τοῦ ἀκοινώνητον αὐτὸν εἶναι τῶν θείων δώρων, ἐπεὶ καὶ ἀμέτοχον τῶν ἐξωτέρων βρωμάτων, ἕως ἂν ἀνθυποστρέψας εἰσοικισθῇ ἐν τῇ μάνδρᾳ αὐτοῦ. ὥσπερ δὲ οὐ θέμις, ὃν δεσμοῖ οἰκεῖον μαθητὴν ἡ ἁγιωσύνη σου, λύειν τινὰ τὸ καθόλου (παρανομίας γὰρ τοῦτο ἔργον καὶ ἐκ ψήφου κοινοῦ τῆς ὅλης ἐκκλησίας καταδίκη ὁμοιοπαθείας), οὕτω πάντως οὐδὲ πρὸς τὴν ἡμετέραν ἐξουσίαν, ἣν ἀναξίως δέδωκεν ἡμῖν ὁ Κύριος, οὐκ εἰς καθαίρεσιν ἀλλ' οἰκοδομὴν ψυχῶν ἐπιβάλλει ἑαυτὴν ἡ ἁγιωσύνη σου· φρικτὸν γὰρ τὸ κρίμα. διὰ τοῦτο, παρακα-

---

44 2 Cor. 10,8

---

20 τε post οἷόν add Mi 21 προπαραδοθέντα CS: παραδοθέντα cett Sirm τὸν ante τοῦτο dubitanter add P. Speck, Die kaiserliche Universität von Konstantinopel, 49 ἐπιβάλλουσιν M ἐπιτιμίοις ζημίας συνηθροισμένοι οἱ πάντες M 22 ζημίας M: ζημίᾳ VP: ξημίᾳ (sic) Sirm 28 ἐστιν M 29 ἐπισυνάπτειν M 30 λοιπὸν om M ὡμολογημένου V Sirm 31 verba τὴν ἁγιωσύνην σου inter ἀντιβολοῦμεν et ἡνίκα excidisse susp Kambylis δέξεται P[pc]: δέξῃ V[pc] Sirm αὐτὸ Mi 33 ἐσφετερήσατο C 34 θελῆσαι M 35 δ' VMP Sirm 36 ταύτην: τούτων M ἐπικατέχειν: ἔτι κατέχειν M αὑτὸν V 39 τοῦ: τῷ M ἐπεὶ: ἔτι S[pc] 40 ἀνθ' υποστρέψας C εἰς οἰκισθῇ C 41 δεσμεῖ VMP[pc]S Sirm 43 κοινῆς M Sirm 45 ψυχῆς M ἐπιβαλεῖ VMPS[pc]: ἐπιβαλῇ Sirm 46 κρῖμα Mi παρακαλοῦμεν CP[ac]S[ac]: παρακαλουμένη VM Sirm

λοῦμεν, πάντως γε τὸ πνευματικὸν ἡμῶν τέκνον παραδώσει τοῖς ἀδελφοῖς, εὐχομένη ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν ἀδιαλείπτως.

15. Θεοδούλῳ κιονίτῃ

Ἐκ χρόνου πολλοῦ ἐπιθυμίαν ἔχοντι ἕως τοῦ παρόντος, ἁγιώτατέ μου πάτερ, ἐλθεῖν καὶ κομίσασθαί σου τὰς ἁγίας εὐχὰς οὐκ ἐξεγένετό μοι ὁδὸς πάντως διὰ τὰς ἁμαρτίας μου, ὥσπερ καὶ νῦν. διὸ ἠναγκάσθην ἀποστεῖλαι τὸν ἀδελφὸν ἡμῶν τὸν Καλόγηρον, ἀναπληροῦντα τῆς ταπεινώσεως ἡμῶν τὴν ἀπουσίαν· ἐπεὶ καὶ ἡμεῖς ἐλευσόμεθα προσκυνήσοντες τὰ τίμιά σου ἴχνη, θεοῦ εὐοδοῦντος.

Σύγγνωθι δέ μοι, πάτερ, ὃ μέλλω λέγειν, ὅτι ἐν ἁπλότητί ἐστι καὶ ἐξ ἀγάπης εἰλικρινοῦς καὶ ἐκ τοῦ ἐφίεσθαί με τὸ ἀμώμητον τῆς πολιτείας σου. τινὲς ὑπέκρουσαν ὡς ἐπιστάμενοί με γνήσιόν σου εἶναι καὶ ὁμόψυχον τέκνον καὶ φίλον, ὄντες καὶ αὐτοὶ φίλοι διαφερόντως, ὅτι παρὰ τὸ δέον πράττει ἡ ἁγιωσύνη σου· κἀμοῦ πρὸς τοῦτο δυσχεράναντος καὶ ἐνισταμένου καὶ ἐπιφθεγγομένου τὰ μέγιστα κατορθώματα τοῦ ὑψηλοῦ σου βίου συνείροντό μοι ἐν τούτῳ. πρὸς δὲ ῥήματά τινα καὶ πράγματα καταιτιῶντο· καί, ἵνα ἓν εἴπω, ἔφασαν ὅτι „ἀγγέλους ἀνιστόρησεν, καὶ τούτους ἰσότυπον τοῦ Χριστοῦ ἐν τοῖς φεγγίοις ἐσταυρωμένους, αὐτὸν δὲ τὸν Χριστὸν καὶ τοὺς ἀγγέλους γηραλέους“. καὶ πολλὰ πρὸς τοῦτο φιλοπευστῶν οὐκ ἠδυνήθην αὐτοῖς ἀντιφθέγξασθαι· εἴροντο γὰρ ξένον τι καὶ ἀλλότριον τῆς παραδόσεως τῆς ἐκκλησίας εἰργάσθαι καὶ πάντως οὐχ ὑπὸ θεοῦ ἀλλ' ὑπὸ τοῦ ἐναντίου εἶναι τὸ πρᾶγμα, ἐπὰν ἐν τοσούτοις ἔτεσιν καὶ τοσούτοις θεοφόροις καὶ ἁγίοις πατράσιν οὐχ ὑποδειγματίσθη τοῦτο τὸ ἰδίωμα. τὸ γὰρ νῦν καινοτομούμενον, κἂν ἐξ ἀγγέλου ἐστίν, ἀσφαλίζεται ἡμᾶς ὁ ἀπόστολος μὴ δέχεσθαι, λέγων που, κἂν ἡμεῖς

---

15. a. 803 – 806?

23 Gal. 1,8

C VM (ll. 1 – 9) PS

1 θεοδούλῳ: θεοδώρῳ MP κιωνίτῃ C 5 καλόγηρων VP 8 καὶ om Mi 9 ἀγάπης: hic desin epist in M vocibus λείπει πολύ manu rec in marg scriptis 10 με: γε Mi 11 φίλον καὶ τέκνον VP Sirm 14 συνείροντος S 15 τινὰ ῥήματα V κατ' αἰτιῶντο C: καταιτιῶντο S[ac]: κατητιῶντο cett Sirm 16 ἀνιστόρησε VPS Sirm 17 καὶ τοὺς ἀγγέλους S[sscr] 18 γηραλαίους CS 19 ἤροντο VP Sirm 21 ἐπὰν CP: ἐπεὶ S[pc] ἔτεσι VPS Sirm 22 ὑπεδειγματίσθη VPS Sirm 23 κὰν C ἐξαγγέλου C 24 ποῦ CP καν C

αὐτοὶ ἢ ἄγγελος εὐαγγελίζεται (προσθήσω, καὶ παραδίδωσιν) παρ' ὅ εὐηγγελισάμεθα, ἀνάθεμα ἔστω.

Τί οὖν, πάτερ μου ἅγιε, πρὸς ταῦτα φῆσαι οὐκ ἔχω· καὶ τῇ ἀπορίᾳ συνεχόμενος ἠναγκάσθην γράψαι σοι, ἵνα ἀπολύσωμεν ἑαυτοὺς πάσης βλάβης πρὸς τοὺς ἐν λόγῳ ἐγκαλοῦντας καὶ ὡς ἐκ πάσης τῆς ἐκκλησίας. καὶ διὰ τὸν θεὸν δέξαι με ὡς τέκνον σου, πονοῦντα ὑπὲρ σοῦ καὶ ἡγούμενον τὴν δόξαν σου δόξαν μου καὶ μὴ θέλοντα ἀκούειν μῶμόν σου ἔν / τινι, τοῦ ὄντως ἀμωμήτως βιοτεύοντος. φώτισον, ὁδήγησον, ἐπάκουσον, πρόσσχες, ἐπίστησον, λῦσον πάσης διχονοίας τοὺς ὁρῶντάς σου τὸν ὑψηλὸν βίον.

16. Νικηφόρῳ βασιλεῖ

Ἔμελλεν ὁ ἀγαθὸς θεὸς ἡμῶν, τῆς ἑαυτοῦ ἐκκλησίας φροντίζων, τὴν ὑμετέραν εὐσέβειαν ἐπὶ τῆς παρούσης γενεᾶς προστήσασθαι βασιλεύειν τῶν Χριστιανῶν, ἵνα μὴ μόνον ἡ κοσμικὴ ἀρχὴ εὖ διατεθῇ, κακῶς διακειμένη, ἀλλὰ καὶ ἡ κατὰ τὴν ἐκκλησίαν ἡγεμονία, εἴ τι ἐνδεῶς ἔχει, ἀνορθωθείη καὶ νέον πως φύραμα γένηται ἐν ἀμφοτέραις· ὅπερ τῇ αὐτοῦ χάριτι κατώρθωκεν ἐν τῷ ἑνὶ μέρει ἡ φιλόχριστος ὑμῶν βασιλεία, ἀλλὰ καὶ ἔτι κατορθώσειεν, ταῖς ἄνωθεν ῥοπαῖς δυναμουμένη. λειπόμενον οὖν ἐστιν ἄρτι καὶ τὸ ἕτερον τῆς ἴσης ἀπολαῦσαι προμηθείας καὶ θεραπείας. τοῦτο δ' ἂν εἴη μετὰ θεὸν καὶ σὺν θεῷ πρὸς ὑμῶν δωρηθῆναι διὰ τῆς κατ' εὐαρέστησιν νομίμου ἐκλογῆς τοῦ μέλλοντος ἀρχιερατεύειν.

Ἐπεὶ δὲ καὶ παρ' ἡμῶν ἐπεζήτησας μαθεῖν, τῶν ἁμαρτωλῶν καὶ ἀναξίων, τὸ παριστάμενον ἡμῖν ὡς ἐνώπιον Κυρίου τοῦ μέλλοντος εὐθύνειν ἡμᾶς, περὶ οὗ μέλλομεν λέγειν ἐν ἡμέρᾳ κρίσεως, οὕτως ἔχει. οὐ γινώσκομεν οὐδὲ ἐπιστάμεθά τινα, οὐχ ὅτι ἀπέλιπον οἱ διαλάμποντες ἐν βίῳ καὶ λόγῳ (εἰσὶ γὰρ καὶ θεῷ φαινόμενοι καὶ

---

25 εὐαγγελίζηται VPS Sirm   παραδίδωσι VPS Sirm   παρῶ C: παρὸ S   29 πάσης βλάβης in marg V   30 σύμβουλον ante τέκνον add V Sirm (fort recte)   33 πρόσχες omnes: correxi   λύσον codd

---

16. inter diem 18 mens. Febr. ac diem 12 mens. Apr. a. 806   3 προστήσασθαι βασιλεύειν: cf. Spanheim, Historia imaginum 538 sq.

---

6 1 Cor. 5,7   15 Matth. 12,36

C V PS

---

1 ἡ τῆς ψήφου in marg C   6 ἔχει: ἕξει Mi   ἀνορθωθῇ V Sirm   πῶς C   7 ἀμφοτέροις VP Sirm   κατόρθωκεν C   8 κατορθώσειε VPS Sirm   ἄνω V   11 πρὸς ὑμῶν S sscr   15 εὐθύναι V Sirm: εὐθῦναι Mi

ἀνθρώποις, εἰ καὶ οὐκ ἴσῳ λόγῳ, καὶ μάλιστα τῇ σῇ φωτεινῇ ψυχῇ), ἐπεὶ δὲ τοιοῦτον ζητεῖ ὁ λόγος καὶ ὁ πόθος τῆς ὑμῶν βασιλείας, τὸν ἐν τελείᾳ καρδίᾳ δυνάμενον ἐκζητῆσαι τὰ τοῦ θεοῦ δικαιώματα, τὸν βαθμῷ καὶ τάξει ἐκ τοῦ κατὰ μικρὸν εἰς τὸ ὑψηλότερον προανηγμένον, τὸν πεπειραμένον κατὰ πάντα, ὅς γε ἐξ ὧν πέπονθεν τοῖς πειραζομένοις δύναιτ' ἂν βοηθήσειν. καὶ τί δεῖ πολλὰ λέγειν πρὸς σὲ τὸν εὖ εἰδότα καὶ ἐκ τῆς οἰκείας καταστάσεως καὶ προκοπῆς τὸν τηλικοῦτον ἀνιστοροῦντα; τῶν πολλῶν ὀφείλει προλάμπειν ὡς ἐν ἄστρασιν ἥλιος.

Ἡνίκα τοίνυν οὐχ ὁρῶμεν τοιοῦτον, οὐδὲ ἀποτολμῶμεν ψηφίσασθαι. τοῦτο δὲ ὡς ἐν ὑπομνήσει μετὰ συστολῆς καὶ αἰδοῦς ὑποτιθέμεθα, ὅπερ ἀλάθητόν ἐστι πάντως τῇ πολυπείρῳ καὶ θείᾳ μεγαλονοίᾳ σου, ἵνα ἀπό τε τῶν ἐπισκόπων ἀπό τε τῶν ἡγουμένων ἀπό τε τῶν στυλιτῶν ἀπό τε τῶν ἐγκλειστῶν, εἶτα τοῦ κλήρου ὑποδεχόμενος ἐκλογὴν ἐξ αὐτῶν τε τῶν ἐπιδεδωκότων λαβὼν τοὺς ἐν συνέσει καὶ φρονήσει καὶ βίῳ τῶν ἄλλων προέχοντας (καταβάτωσαν γὰρ καὶ στυλῖται ἐκβαινέτωσάν τε καὶ ἐγκλειστοί, ἐπείπερ κοινῇ καὶ συμφέρον τὸ ζητούμενον) ἐπικρίνῃ καὶ συγκρίνῃ καὶ σὺν αὐτοῖς ἀποδείξῃ τὸν ἀξιώτερον. καὶ μακάριος εἴη, μᾶλλον δὲ καὶ τρισμακάριοι, ἐὰν τοῦτο ὅλον ἀπεργάσησθε, χριστομίμητοι ἡμῶν δεσπόται. καὶ ἐν τούτῳ ἔτι μᾶλλον κρατυνθήσεται ὑμῶν ἡ / βασιλεία μεγαλυνθήσεταί τε τὸ ὄνομα ὑμῶν ἀπὸ γενεῶν εἰς γενεάς, αὐξηθήσεται δὲ καὶ τὰ τοῦ κράτους ὑμῶν ἔτη. ἐπειδὴ δύο ταῦτα δέδωκεν ὁ θεὸς τοῖς Χριστιανοῖς δωρήματα, ἱερωσύνην καὶ βασιλείαν, δι' ὧν θεραπεύεται, δι' ὧν κοσμεῖται ὡς ἐν οὐρανῷ τὰ ἐπίγεια· ὁποτέρως οὖν ἀναξίως ἔχει, καὶ τὸ ὅλον ἀνάγκη συγκινδυνεύειν.

Ὥστε εἰ βούλοισθε τῇ βασιλείᾳ ὑμῶν συγκροτεῖν τὰ μέγιστα καὶ διὰ τῆς βασιλείας ὑμῶν πᾶσι τοῖς Χριστιανοῖς, ἰσόρροπον τὸ ὅσον εἰς δύναμιν τῆς κατὰ τὴν βασιλείαν ἀρετῆς ὑμῶν δέξηται καὶ ἡ ἐκκλησία τὸν ἑαυτῆς πρόεδρον, ἵνα ἀγαλλιάσηται τὰ οὐράνια καὶ

---

34 στυλῖται: ut Symeon Mytilenaeus; cf. Bury, Eastern Roman Empire 33 adn. 1   ἐγκλειστοί: ut Platon

20 Ps. 118,145   22 Hebr. 4,15   Hebr. 2,18

18 οὐχ CS^{ac} 22 πέπονθε VPS Sirm   23 βοηθῆσαι S Sirm   πολλὰ λέγειν: πολλῶν λόγων V   31 ἐγκλείστων VPS Sirm (sed cf epp 34,3; 48,34; Theod Stud catech parv 38,24 [p. 140 Auvray])   33 καταβάτω V   34 στυλίται CP Sirm: στυλίτης V   ἔγκλειστοι PS Sirm: ἔγκλειστος V   καὶ^{2} om VP Sirm   35 ἐπικρίνει CS   συγκρίνῃ καὶ om Mi   συγκρίνει CS   καὶ^{2} C^{sscr} ἀποδείξει CS   36 εἴη: εἶ V Sirm   τρισμακάριος V   39 εἰς γενεὰν καὶ γενεάν V Sirm: ἀπὸ γενεᾶς εἰς γενεὰς S^{pc} 42 ὁπότερον V Sirm   43 συνκινδυνεύειν C   44 συγκροτῆσαι V   45 ἰσόροπον CV   46 ὑμῶν ἀρετῆς V   δέξεται V   47 οὐράνια: ἐπίγεια S

ᾄσῃ τὰ ἐπίγεια. εἴη ἡ χεὶρ τοῦ θεοῦ, ἐν ᾗ καὶ ἡ καρδία ὑμῶν ἐστιν, εἰς ὁδηγίαν καὶ ἀποκάλυψιν τοῦ κρείττονος· καὶ ἀπολήψεσθε παρ' αὐτῆς τοὺς ὑπὲρ τοῦ ἔργου τούτου καταβαλλομένους ὑμῖν πόνους καὶ μερίμνας καὶ φροντίδας, τὴν βασιλείαν τὴν ἀδιάδοχον.

17. Ἰωάννῃ σπαθαρίῳ

Θεῖόν τι δρᾶμα ἀκηκοότες πεπρακέναι σου τὴν κυριότητα τεθαυμάκαμεν ἐπὶ τῇ μεγάλῃ σου ὡς ἀληθῶς πίστει, ἄνθρωπε τοῦ θεοῦ. φασὶ γὰρ ὁ διδάξας χρήσασθαί σε τῇ ἱερᾷ εἰκόνι τοῦ μεγαλομάρτυρος Δημητρίου ἀντὶ ἀναδόχου τινὸς καὶ οὕτως ἐπιτελέσαι τὸ φώτισμα τοῦ θεοφυλάκτου σου τέκνου. καὶ ὢ τῆς πεποιθήσεως· οὐδὲ ἐν τῷ Ἰσραὴλ εὗρον τοσαύτην πίστιν ὁ Χριστὸς οὐ μόνον τότε τῷ ἑκατοντάρχῃ δοκῶ ἐπιφθέγξασθαι, ἀλλὰ καὶ σοὶ ἄρτι τῷ ἐφαμίλλῳ τῇ πίστει. εὕρατο τοίνυν ἐκεῖνος ὃ ἐπεζήτησεν, ἐπέτυχες καὐτὸς οὗ πέποιθας. ἐκεῖ τὸ θεῖον πρόσταγμα ἀντὶ τῆς σωματικῆς παρουσίας, κἀνταῦθα ἡ σωματικὴ εἰκὼν ἀντὶ τοῦ πρωτοτύπου· ἐκεῖ συμπαρῆν τῷ λόγῳ ὁ μέγας λόγος ἀοράτως τῇ θεότητι τὸ παράδοξον τῆς ἰάσεως ἐργασάμενος, κἀνταῦθα δὲ συνῆν ὁ μεγαλομάρτυς πνεύματι τῇ οἰκείᾳ εἰκόνι τὸ βρέφος δεχόμενος.

Ἀλλὰ βεβήλοις μὲν ἀκοαῖς καὶ ἀπίστοις ψυχαῖς ταῦτα ἀπαράδεκτα ὡς ἄπιστα, καὶ μάλιστα τοῖς εἰκονομάχοις, τῇ δὲ σῇ εὐσεβείᾳ ἐναργῆ τὰ γνωρίσματά τε καὶ ὑποδείγματα πεφανέρωται. τί γὰρ τῷ θεῷ ἀδυνατεῖ παρέχειν τοῖς πιστεύουσιν; καὶ πῶς οὐχὶ ἐν τῇ εἰκόνι ὁ εἰκονιζόμενος ὁμωνύμως ὁρᾶταί τε καὶ εἶναι πιστεύεται; ἡ γὰρ τῆς εἰκόνος, φησὶν ὁ Μέγας Βασίλειος, τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. ὥστε σαφῶς ὁ μάρτυς ἦν διὰ τῆς οἰκείας εἰκόνος τὸ βρέφος εἰσδεχόμενος, ἐφ' ὅσον οὕτω πεπίστευκας. ἀλλὰ τίς ἡ εὐδοξία τῆς

---

48 ἐπίγεια: ἐπουράνια S

---

17. 5 ἀντὶ ἀναδόχου: cf. epist. Michaelis II et Theophili ad Ludovicum Pium (XIV 420B Mansi) plerique autem linteaminibus easdem imagines circumdabant et filiorum suorum de baptismatis fontibus susceptrices faciebant 2–22 πεπίστευκας: laudavit Hennephof 88

---

6 Matth. 8,10 17 Gen. 18,14 19 Bas. spirit. 18,45 (PG 32,149 C)

C V PS

---

2 δράμα CVP Sirm πεπραχέναι VPS Sirm 4 φασὶ C: φησὶ cett Sirm 6 ὦ C 8 σὺ CS 9 εὕρετο P^{pc} Sirm καὶ αὐτὸς V Sirm 13 μεγαλόμαρτυς V Sirm τῷ ante πνεύματι S^{sscr} 14 an ἀναδεχόμενος scribendum? 18 πιστεύουσι VPS Sirm 22 ἐφόσον CSP

μεγαλωσύνης σου ὅτι τηλικοῦτον, τὸ δὴ λεγόμενον, σύντεκνον προσεκτήσω, οὐ τὸν δεῖνα ἢ τὸν δεῖνα ἄρχοντα τυχὸν ἢ δυνάστην, εἴποι δ' ἂν οὐδ' αὐτὸν τὸν τὸ διάδημα περικείμενον· μείζων γὰρ καὶ ὑπέρτερος ὁ ἐξευρημένος. τῶν γὰρ μαρτύρων ὁ κράτιστος, τῶν θαυματουργῶν ὁ διαπρύσιος, τῶν φίλων Χριστοῦ ὁ γνήσιος, τῶν ἀγγέλων ὁ συμπολίτης, τοσαῦτα καὶ τηλικαῦτα καὶ δυνηθεὶς καὶ δυνάμενος ἐν τοῖς ὑπὸ τὸν οὐρανόν, ὥστε ἀπ' ἄκρου / τῆς γῆς ἕως ἄκρου γῆς τῇ σάλπιγγι τῶν θαυμάτων αὐτοῦ διαθρυλλεῖσθαι.

Μακάριος ὄντως εἶ, ἄνερ εὐσεβέστατε, ὅτι τοιούτου τετύχηκας ἀναδόχου, τρισμακάριός σου καὶ ὁ γόνος, ἔχων τὸν δεξάμενον τηλικοῦτον τῷ κλέει καὶ δυνάμει. ἀλλ' ἴδοιμεν τὸν υἱόν σου καὶ ὁμώνυμον τοῦ Ἁγίου Δημητρίου, εἴπερ συγκατέρχῃ, ἵνα ὡς υἱὸν αὐτοῦ προσπτυξάμενοι τὰ εἰκότα μὲν προσφθεγξώμεθα καὶ ἡμεῖς ὡς ἁμαρτωλοί, ἔχωμεν δὲ τὸ διήγημα καὶ εἰς ἑτέρους παραπέμπειν· δεῖ γὰρ τὰ καλὰ μὴ σιωπᾶσθαι, ἀλλὰ προκεῖσθαι τοῖς ἄλλοις εἰς πίστεως εὐσεβοῦς ἐναργῆ ὑποδείγματα.

18. Σταυρακίῳ σπαθαρίῳ

Τὴν μὲν αἰτίαν τῆς ταπεινῆς ἀπουσίας ἡμῶν ἤδη εἴπομεν καὶ οὐ χρή τι πλέον ἀπολογεῖσθαι. πῶς δὲ ἀρξόμεθα, ἢ τίς δύναμις ἐξευρεθείη εἰς τὸ συμβὰν πάθος ταῖς τιμίαις ὑμῶν ψυχαῖς; καθάπερ γάρ τις ἰατρὸς ἐπὶ δυσιάτῳ νόσῳ ἐρχόμενος ἀμηχανίᾳ περιίσταται ὅπως ἐπιβάλῃ τὴν ἐγχείρησιν, οὕτως ἰλιγγιῶμεν, πῶς τὸν παρακλητικὸν λόγον ἐπὶ τῷ βαρυτάτῳ ὑμῶν πάθει προσενέγκασθαι. ὢ τῆς συμφορᾶς, ὢ τῆς συμβάσεως· ᾤχετο ὑμῖν παῖς καλὸς καὶ ὡραῖος, αὐτὸς ὁ τὰς πρώτας μητρικὰς ὠδῖνας διαλύσας, δι' οὗ ὑμῖν τὸ τῶν γονέων ὄνομα κεχρημάτικεν, ἡ ἀρχὴ τῆς διαδοχῆς τοῦ γένους, ἡ ῥίζα τῆς τεκνοποιίας, ὁ ὅρπηξ τῆς λογικῆς βλαστοφορίας, τὸ οἱονεὶ πρωτοφυὲς ῥόδον τῆς πατρικῆς καρποφορίας. καὶ τί ἂν εἴποιμι παριστῶν

---

29 Jud. 11,21

23 τὸ: τῷ CS[ac] 24 εἴποις VS (attamen est ἡ μεγαλωσύνη subiectum) 25 οὐδ' CP Sirm: οὐδὲ V: καὶ S μεῖζον CS[ac] 29 τοῖς: τῇ V ἀπάκρου C 32 σοι V 34 συνκατέρχῃ C 35 προσφθεγξόμεθα CS[ac] 36 ἔχομεν C

18. C VM (ll. 7 – 64) PS

1 παραμυθητικὴ in marg C: post titulum add S 3 τί CSP: om V ἀρξώμεθα S 6 οὕτως S 7 ἡμῶν S πάθει: hic inc epist in M ὦ C 8 ὦ C ἡμῖν S 9 ὠδίνας CV: ὀδύνας M διαλύσας: διακύψας M 11 ὅρπηξ VP: ὅρπιξ C

τὸ τοῦ γόνου κάλλος; ἢ ὅτι τὸ παιδίον ηὔξανεν καὶ προέκοπτεν ἡλικίᾳ καὶ συνέσει καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτῷ, ὅσον ἐκ μικροῦ καὶ ἡμεῖς πεπειράμεθα; πῶς τοίνυν τὸ τοιοῦτον καὶ τηλικοῦτον, ἐκτμηθὲν τῇ θανατικῇ μαχαίρᾳ ἐξ αὐτῆς εἰπεῖν τῆς ὀσφύος ὑμῶν, οὐ κατεργάσειεν ἂν ἀπαραμύθητον ἄλγος ἐν ταῖς καρδίαις ὑμῶν; ἢ τίς οὐ συμποτνιάσειεν καὶ συναλγυνθήσεται ἐπὶ τῷ τεμνομένῳ διὰ ξίφους κατά τι τῶν ὑπαρχόντων αὐτῷ μελῶν ὡς ἐφ' ὑμῖν; στενάξειεν δ' ἂν εἰκότως καὶ πατέρες, τοιούτου καλλίστου παιδὸς ἀποβολὴν θεώμενοι, θρηνήσειεν δ' ἂν καὶ μητέρες, τηλικούτου ὡραίου σπλάγχνου ἐκτομὴν προσβλέπουσαι. τέτμηται γὰρ ἀληθῶς μέλος ὑμῶν, ἐκκέκοπται σὰρξ ὑμῶν· τὸ ὀδυνηρὸν πολύ, τὸ θεραπευτικὸν φάρμακον δυσεξεύρητον. κατήφεια ἐπὶ τῆς οἰκίας, ὀδύνη ἐπὶ τοὺς οἰκέτας, λύπη ἐπὶ τοὺς συγγενεῖς, μᾶλλον δὲ πρὸ τούτων ἐπὶ τὸν προπάτορα κύριον πατρίκιον καὶ τὴν προμήτορα κυρίαν πρωτοσπαθαρέαν. πάντοθεν δεινὰ καὶ περίλυπα.

Ἀλλὰ δεῦρό μοι, ἄνερ χρηστέ, ὁ πολὺς ἐν συνέσει, ὁ σοφὸς ἐν φρονήσει, ὁ πλείστην συνειληχὼς ἐκ πολλῶν τῶν χρόνων τὴν γνῶσιν, σαυτὸν θεράπευσον, σαυτὸν ἴασαι. ἐπίβαλέ σου, παρακαλῶ, τὸν ὀφθαλμὸν τῆς διανοίας εἰς τὴν τῆς κτίσεως θεωρίαν, ἔμβλεψον εἰς ἀρχαίας γενεὰς ἀπ' αὐτοῦ τοῦ προπάτορος ἡμῶν Ἀδὰμ καὶ ἴδε καὶ γνῶθι, τίς ἐν/έμεινεν τῷ αἰῶνι τούτῳ εἰς φῶς ἐλθών, ἀλλ' οὐχὶ δίκην ἀνατέλλοντος χόρτου θᾶττον ἐξήνθησεν καὶ ἀπεξηράνθη διὰ θανάτου, ἢ ὡς ἐν ῥεύματι ποταμιαίῳ, ὅτι τὸ μὲν ὑπεξῆλθεν, τὸ δὲ ἀντεισῆλθεν, τοῦ κατὰ διαδοχὴν γένους μὴ ἱσταμένου, ἀλλὰ παρατρέχοντος καθ' ἑκάστην ἡμέραν· οὕτως οἱ γεννήσαντες τοὺς ἡμᾶς γεννήσαντας καὶ οἱ ἐκείνων ἀνώτεροι. καὶ ἀναποδίζων ὁ λόγος εἰς τὸ καταρχὴν ἐλεύσεται καὶ κατιὼν πάλιν εἰς τὴν συντέλειαν τοῦδε τοῦ παντὸς καταντήσει. καὶ οὐκ ἔστιν ὃς ζήσεται, κατὰ τὸ γεγραμμένον, καὶ οὐκ ὄψεται θάνατον. τὸ δὲ παρὸν λειτουργία τις διωρισμένη καὶ πραγματεία ἡμερήσιος, καὶ αὐτίκα εἰς τὰ οἰκεῖα ἐπανέλευ-

13 Luc. 2,40 34 Is. 44,4 35 Ps. 36,2 40 Ps. 88,49

13 τοῦ om VMP Sirm ηὔξανε VMPS Sirm 14 ἐπ': ἐν VM καὶ ἡμεῖς ἐκ μικροῦ M 16 ὀσφῦος C 17 τῇ καρδίᾳ VM Sirm 18 συμποτνιάσειε PS: συμποτνιάσεται V Sirm: συμποτνιάσηται M 19 στενάξειαν VMPS Sirm 20 θεόμενοι C 21 θρηνήσειαν VMPS Sirm post ἂν tres litt eras S 22 ἐκτομὴν S[pc]: ἐκνομὴν Sirm προβλέπουσαι M 26 πρωτοσπαθαρίαν VP Sirm (sed cf ea, quae disseruit Hatzidakis, BZ 2 [1893] 278) 27 δεινὴ M περίλυπος M 28 ἀνὴρ Sirm 30 ἐπίβαλόν V 33 ἐνέμεινε VMPS Sirm 34 ἐξήνθησε VMPS Sirm ante διὰ vocem παραυτίκα add M 35 ὑπεξῆλθε VMPS Sirm 36 ἀντεισῆλθε VMPS Sirm 38 ἀνωτέρω V 39 τὸ: τὴν V Sirm τὸ κατ' ἀρχὰς M 41 διορισμένη C

σις, τῆς τῶν ἐνθένδε λέγω πρὸς τὰ ἐκεῖσε μεταβάσεως. πατριάρχαι, καὶ παρῆλθον, προφῆται, καὶ μετῆλθον, πατέρες καὶ μητέρες, καὶ ἀπεγένοντο, ἀδελφοὶ καὶ φίλοι καὶ συγγενεῖς, καὶ παρέδραμον. τί δὲ βασιλεῖς; τί δὲ σατράπαι; τί δὲ ἄρχοντες; τί δὲ πᾶσα ἡλικία καὶ πᾶν γένος ἀνθρώπου; οὐχὶ πάντες ὑπὸ γῆν γεγόνασιν καὶ γενήσονται μικρὸν ὕστερον ἐκ γῆς φύντες; ἀλλ' ὧδε τὸ ζητούμενον, ἵνα καλῶς τὰ ἐνταῦθα ἀμείψαντες καὶ πρὸς τὸ βούλημα τοῦ πεποιηκότος θεοῦ ἐμπολιτευσάμενοι τοῦ ἐκεῖσε φοβερωτάτου κριτηρίου τὴν παράστασιν ἀκατάκριτον εὑρήσομεν. ὅπερ τὸ ὑμέτερον τέκνον ἀσφαλῶς καὶ βεβαίως ηὕρατο καὶ ἐπιτετύχηκεν· μακάριος γάρ, φησίν, ὁ ἐν γεννητοῖς γυναικῶν ὀλιγόβιος καὶ ὃν Κύριος ἐξελέξατο καὶ προσελάβετο ἐν πρώτῃ ἡλικίᾳ, μὴ πειραθέντα τῶν πικρῶν ἁμαρτημάτων τοῦ τῆδε βίου.

Ἐξῆλθεν καὶ ἀπῆλθεν ὁ κύριος Σωτήριχος φερωνύμως ἐν σωτηρίᾳ, ἤχους ἑορταζόντων καταξιούμενος, ἀγαλλιάσεως ἀνεκλαλήτου, συναριθμήσεως τῶν ἐν κόλποις Ἀβραὰμ ἀναπαυομένων βρεφῶν ἁγίων, μηκέτι δουλεύων φθορᾷ καὶ σαρκί, ἀιδιότητι συνών. ἐντεῦθεν βουλόμεθά σε λαμβάνειν τὰς ἀφορμὰς τῆς παρηγορίας, ἐντεῦθεν τὰς παρακλήσεις. γενοῦ δημιουργὸς εὐφροσύνης καὶ θεραπευτὴς οὐ μόνον σαυτοῦ ἀλλὰ καὶ τῆς κυρίας τῆς σπαθαρέας, τῆς μάλιστα δεομένης ἰατρείας καὶ παρακλήσεως πολλῆς διὰ τὸ μικρὸν περιπαθές, εἶτα καὶ τῶν λοιπῶν διαφερόντων σοι· ὡς ἂν δειχθείης τὰ θεῖα πεπαιδευμένος καὶ θεοῦ νόμῳ κρατούμενος καὶ εἰδὼς ποῦ ποτε ἀπήει ὁ μεθιστάμενος (καὶ μάλιστα ἐπὶ τοῦ σοῦ γλυκείου τέκνου), ὅτι οὐκ εἰς θάνατον οὐδὲ εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς ζωὴν αἰώνιον καὶ εἰς θεὸν τὸν τὰ πάντα ποιήσαντα, καὶ ὡς ἂν παραδειχθείης πατράσι καὶ πᾶσι τοῖς γνωρίμοις καὶ συνειλεγμένοις ἐν τῇ κηδείᾳ ὑπόδειγμα καλόν, μετὰ σωφροσύνης καὶ εὐχαριστίας διαφέρειν τὰς τῶν τέκνων ἀποβολὰς καὶ μὴ ἀντιτείνειν θεοῦ προστάγμασιν.

---

52 Jb. 11,2 53 Ps. 64,5 57 Ps. 41,5 58 Luc. 16,23

43 ἐκεῖσε: ἐκεῖθεν M: οἰκεῖα S 47 γεγόνασι VMPS Sirm 50 φοβερωτέρου M 51 εὑρήσωμεν MS Sirm 52 ηὕρατο C: εὕρατο VMS Sirm: εὕρετο P ἐπιτετύχηκε VMPS Sirm 53 ὁ ante Κύριος add VMPS[sscr] Sirm ἐξελέξατο: προσελέξατο M 54 πειρασθέντα Sirm 56 ἐξῆλθε VMPS Sirm 57 ἤχους C: ἦχους P: ἤχου cett Sirm (cf tamen Luc 21,25) 58 ἀβραὰμ VMP 59 σαρκὸς M 62 σπαθαρίας P Sirm 63 πολλῆς om VMP Sirm μικρὸν: cave legas μακρόν; est enim matris exigua tolerantia ad dolorem ob filium mortuum intelligenda 64 δειχθῇς VMP Sirm τὰ: hic desin epist in M 65 ἀπίει C 66 σου Sirm γλυκείου CS: γλυκίου P: γλυκυτάτου V 70 μετ' εὐχαριστίας καὶ σωφροσύνης V Sirm 71 τοῖς post θεοῦ add V Sirm

19. Πρὸς τὸ κοινὸν τοῦ λαοῦ Ἀντισάρχου

Γράμματα ἐδεξάμεθα παρὰ τῆς τιμιότητος ὑμῶν περὶ τοῦ μαθητοῦ ἡμῶν, τοῦ πάλαι ἀποδράσαντος καὶ ἐν τοῖς αὐτόθι οὐκ οἶδ' ὅπως ἀμαθίᾳ καὶ ἀνοσιότητι προσδεχθέντος, καὶ ἐν ἑνὶ ἄντρῳ οὐχὶ μονα-/στήριον ἀλλὰ ληστήριον παθῶν ἀναδειμαμένου, ἵνα τοῦτον λύσεως ἀξιώσωμεν. καὶ σύντομος ἡ ἀπόκρισις. Μαρκιανὸς ὁ μαθητὴς ἡμῶν, ἕως ἂν ὑποστρέψῃ ἐν τῷ οἰκείῳ μοναστηρίῳ, ἐν ᾧ τὰς συνθήκας ἔθετο ὑπὸ μάρτυρι θεῷ τῆς ἀποταγῆς αὐτοῦ, ἐστὶ δεδεμένος καὶ κατακεκριμένος καὶ ἀνάξιος τῆς κοινωνίας, καθ' οὓς ἔγραψε θεοκελεύστους κανόνας· οὐ γὰρ ἐξ ἡμῶν ἡ ἐπηρτημένη ἀπειλή, ἀλλ' ἐκ θεοπνεύστων πατέρων.

Τοῦτον τοίνυν, εἴπερ ἀγαπᾶτε σῴζεσθαι, νουθετήσατε ἀνθυπονοστῆσαι εἰς τὰ οἰκεῖα, ὃν ἡμεῖς μεταμελόμενον καὶ ὑποστρέφοντα πατρικοῖς σπλάγχνοις ἕτοιμοί ἐσμεν ὑποδέξασθαι καὶ συγχωρῆσαι πάντα τὰ ἡμαρτημένα αὐτῷ· ὡς γὰρ οὐκ ἔστι πρόβατον ἐκ τῆς ἰδίας μάνδρας ἀποσπασθὲν καὶ ἀποπλανηθὲν μὴ θηριάλωτον γενέσθαι, οὕτως τὸν ἀπὸ μοναστηρίου ἐξερχόμενον ἀνόμως ἐν τῷ οἰκείῳ θελήματι καὶ ἐν τόπῳ οὗ οὐκ ἐπισκοπεῖ ὁ Κύριος καθεζόμενον μὴ ὑπὸ δαιμόνων ἁλῶναι. τὸ οὖν κελλίον αὐτοῦ φωλεός ἐστι δαιμόνων, ἀγρευτήριον ψυχῶν, παγιδευτήριον γυναικῶν, πάσης ἀνομίας ἐργαστήριον, κἂν ὁποίοις ἂν λόγοις καὶ τρόποις ἢ αὐτὸς ἢ ὑμεῖς μεθοδεύειν πειρᾶσθε τὰ λεγόμενα.

Εἰ οὖν ὑπακούει καὶ ὑπακούετε, εὖ ἂν ἔχοι ἀμφοτέροις, φυγοῦσι τὰς θείας ὀργὰς καὶ ἀπειλάς· εἰ δὲ μή γε, ὄψεσθε ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν τοὺς τῆς παρακοῆς ὑμῶν καρπούς. ὁ δὲ ἁγιώτατος ἐπίσκοπος εὐλογημένος ἐστὶν ὑπὸ Κυρίου, τηρῶν τοὺς νόμους καὶ τὸν ἀνόσιον πόρρω που διώκων. οὐ γὰρ χειροτονίας ἄξιος τὸ καθόλου, κἂν ἐνταῦθα ὑποστρέψῃ· οἶδα γὰρ τὰ αὐτοῦ ὑπὲρ ἐκεῖνον αὐτόν, πατὴρ αὐτοῦ γεγονώς.

---

19. a. 806 – 807? 11 πατέρων: ut Basilius Magnus 20 ἀγρευτήριον ψυχῶν: cf. Haldon l. l. 334 sq.

16 Ex. 22,13

V PS

8 ἔστι PS: ἔσται V Sirm 10 ἀπηρτημένη Sirm 15 ἡμαρτημένα: ἁμαρτήματα V ἐκ τῆς ἰδίας: ἀπὸ τῆς οἰκείας V 18 τόπῳ: τύπῳ Mi ὁ S^{sscr} 20 παγιδευτήριον: παιδευτήριον Sirm 24 εἰδεμή P 27 τοκαθόλου S 28 κἂν V: κὰν S

20. Πινουφίῳ καὶ Μάρῃ τέκνοις

Οὐκ ἐβουλόμην ὑμῖν ἐπιστεῖλαι διὰ τὸ τὰ δεύτερα γράμματα ὑμῶν μὴ συμφωνεῖν τοῖς προτέροις (τὰ μὲν πρότερα ἐπαγγελίαν εἶχον ταχίστης μεταγνώσεως καὶ ἐλεύσεως πρὸς ἡμᾶς, τὰ δὲ δεύτερα ἀνάνευσιν καὶ ἀνατροπὴν) καὶ ὅτι ἐπαφορμίζεσθε τοῦτο καὶ ἐκεῖνο καὶ οὐχὶ μᾶλλον ἐν ἀληθείᾳ ὁμολογεῖτε τὸ πταῖσμα ὑμῶν, θρηνοῦντες καὶ μεταμελούμενοι ἐφ' οἷς κακῶς πεπράχατε. εἰ οὖν μετανοεῖτε καὶ ἔστιν ἐν ὑμῖν σπινθὴρ φόβου θεοῦ, ἀνακαίων τὰς καρδίας ὑμῶν εἰς ἃς δεδώκατε ὁμολογίας καὶ συνθήκας θεῷ τε καὶ ἡμῖν ἐπὶ τοῦ φοβεροῦ βήματος αὐτοῦ ὑπὸ μάρτυσιν ἀγγέλων καὶ πάσης τῆς ἀδελφότητος, εὖ ἂν ἔχοι· καὶ μηδὲ ἐντεῦθεν μηδὲ ἐντεῦθεν ἐπιβλέψησθε, ἀλλὰ συντόμως διαρρήξαντες τὴν ἐκ τοῦ δαίμονος συμπλοκὴν τῆς προσπαθείας ὑμῶν καὶ ἰδιορρυθμίας, ᾗ πεπλάνηκεν ὑμᾶς ἐκβαλὼν τοῦ κοινοβίου καὶ περιάγων ὑμᾶς εἰς τόπους, εἰς οὓς οὐκ ἐπισκοπεῖ Κύριος (πῶς γὰρ ἂν καὶ ἐπισκοπήσῃ ἐπ' ἀθετήσει τῶν ἁγίων αὐτοῦ ἐντολῶν;), ἥκατε πρὸς ἡμᾶς, ἥκατε ἐν συντετριμμένῃ καρδίᾳ καὶ λόγῳ τεταπεινωμένῳ πρὸς τὸ ἄλλον ὑμᾶς βίον ἀναλαβέσθαι ὑπὲρ τὸν πρότερον. ὁ γὰρ πρότερος σκαιὸς ἦν ἐκ τῆς κατὰ μικρὸν χαυνώσεως, θρασύτητος ὑμῶν καὶ ἀντιλογίας, ὑπαγαγὼν ὑμᾶς ἐν τῷ τῆς ἀποστασίας πτώματι. καὶ ἡμεῖς, κἂν ἁμαρτωλοί ἐσμεν, ἀλλ' οὖν σπλάγχνοις πατρικοῖς προσδεξόμεθα ὑμᾶς καὶ τὴν / ἑαυτῶν ταπεινὴν ψυχὴν μέχρι θανάτου ὑποτιθέντες εἰς τὸ ἀναβαστάξαι ὑμῶν τὰ ἀσθενήματα κατὰ ψυχὴν καὶ σῶμα· οὐ γὰρ ἐξ ὅτε ἀπωλισθήσατε ἐν ἀμεριμνίᾳ γεγόναμεν, ὥσπερ οὐδὲ ἐπὶ τῶν ἄλλων, ἀλλὰ τηκομένην ἔχομεν ἐν ἑαυτοῖς τὴν καρδίαν καὶ πρὸς τὸν θεὸν αἴροντες φωνὴν ἡμῶν οἰκτρὰν καὶ βέβηλον, ἵνα ἀνθυπονοστήσῃ ὑμᾶς πρὸς τὴν μάνδραν ὑμῶν ἐμπνεύσει λογισμοῦ μετανοίας. καὶ ἐάνπερ οὕτως πράξοιτε, θεραπεύοιτε πάλιν τὸν θεὸν καὶ ἡμᾶς τοὺς ἁμαρτωλούς· οὐ γὰρ ζητεῖ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.

---

20. 14 cf. De. 11,12 16 Ps. 50,19 22 Rom. 15,1 29 Ez. 33,11

C V PS

6 πταίσμα C 7 μεταμελόμενοι VS[pc] Sirm 8 ὑμῖν: ἡμῖν S 10 ἀγγέλων CS[ac]: ἀγγέλοις cett Sirm πάσῃ τῇ ἀδελφότητι VPS[pc] Sirm 11 μηδὲ[1]: μὴ V 12 ἐκ: ἀπὸ V Sirm 13 ἰδιορυθμίας CVPS[ac] Sirm 14 εἰς[2] om VS Sirm 16 πρὸς – ἥκατε in marg V 18 τὸν: τὸ CP ἐκ: ἀπὸ V καταμικρὸν S 19 ἐν τῷ: αὐτῷ Mi 20 καν C: κἂν V 21 ταπεινὴν om V 22 ἀναβαστάσαι V Sirm 23 ἀσθενήματα: ἀσθενῆ V ἐξότε CS: ἐξότου P: ἐξ ὅτου V Sirm 27 ἡμῶν S 28 θεραπεύητε S

Ἐπιστρέψατε οὖν, ἐπιστρέψατε, πρὶν ἄφνω ἐπιστῇ ὑμῖν ὁ ὄλεθρος, καθὼς τῷ Πετρωνίῳ, καὶ εὑρεθῆτε κενὰ καὶ ἀνόνητα μεταμελούμενοι, ὅτε τῆς μετανοίας κέρδος οὐδέν. ποῦ τοίνυν εἰσὶν οἱ λόγοι σου, Πινούφιε, καὶ σοῦ, Μάρη; μαρτυρίου ἀγῶνας ὑποδέχεσθαι διὰ τὴν ταπείνωσιν ἡμῶν προεθυμεῖσθε, μᾶλλον δὲ διὰ τὴν σωτηρίαν τὴν δι' ὑπακοῆς, καὶ τοῦτο πολλάκις· καὶ μικρά τις αὖρα ἐλθοῦσα ἐρρίπισεν ὑμᾶς ὡς ἄν τινα ἀνέμην. ἀνανήψατε, ἐπιβλέψατε εἰς θεόν, φοβήθητε ἀπὸ τῶν κριμάτων αὐτοῦ καὶ ἐξ ὧν συνεπίστασθε πράξεων ὑμῶν, ὅτι ἐν ἐκείναις μόνον οὐκ ἀρκετὸς ὑμῖν πᾶς ὁ βίος εἰς μετάνοιαν. τί λοιπὸν προσθήκας ἁμαρτημάτων προστίθεμεν ἐπὶ ἁμαρτήμασι χαλεποῖς;

Πρὸς δὲ τὸ γράψαι ἡμᾶς εἰς οὓς εἰρήκατε, ἀσμένως προσδεχθέντες καὶ ξενοδοχούμενοι ὑπ' αὐτῶν, τοῦτο μὲν οὐ ποιοῦμεν· οὐ γὰρ ἐξ ἡμῶν ἐξήλθατε διὰ λόγου ὑπακοῆς, ἵνα κρίνωμεν ἀξίους ὑποδοχῆς, τοὐναντίον δὲ καταλογιζόμενοι ὁριζόμεθα ὑμῖν οὕτως. ἀφ' ἧς οὖν ἡμέρας δέξησθε τὰ γράμματα, ἀποκινήσατε καταλαβόντες τὰ ἐνταῦθα. εἰ δὲ ἀπειθοῦντες ἐπιμένοιτε, ὅπερ μὴ δῴη ὁ θεός, ὃ ἀπεύχομαι, ἐστὲ ἀκοινώνητοι, κατακεκριμένοι τε καὶ καταδεδικασμένοι παρὰ ἀληθείᾳ δικαζούσῃ, νενεκρωμένοι τε τὴν ψυχὴν καὶ ἐστερημένοι τοῦ πνεύματος, καθὼς ὁ μέγας καὶ θεῖος Βασίλειος ἀπεφήνατο· ἀλλ' οὔτε οἱ ὑποδεχόμενοι ὑμᾶς ἔξω κατακρίσεώς εἰσιν, ὡς μὴ τοὺς θείους κανόνας φυλάττοντες.

21. Συμεὼν μονάζοντι

Ἔγνωμεν, ὦ πάτερ, καὶ διὰ τῶν προλαβόντων οἷος καὶ ἡλίκος γέγονας πρὸς τὴν ταπείνωσιν ἡμῶν, ἐν πᾶσι τοῖς συμβεβηκόσι θλιβεροῖς ὁμαλίζων καὶ διευθετῶν πάντα πρὸς τὸ λυσιτελές· ᾔσθημεν

---

36 Bas. ep. 46,2 (PG 32,373 A = I 118,44 Courtonne) ἀλλὰ νῦν ὀλίγην αὖραν δεξαμένη 49 Bas. const. mon. 21,2 (PG 31,1396 B) 51 cf. Conc. Nic. II can. 21 (XIII 438 E sq. Mansi)

---

31 ἐπιστεῖ C ὁ om V Sirm 32 εὑρεθεῖτε C μεταμελόμενοι VP Sirm 35 ὑμῶν PS^{pc} προθυμεῖσθε C^{ac} 39 ὑμῖν om V 40 προστίθεσθε Sirm 42 γρᾶψαι Mi 44 ἐξήλθατε CS^{ac}: ἐξήλθετε cett Sirm ἀξίους: ὅτι οὐκ ἄξιός ἐστιν ὑποδοχῆς ὁ παρὰ γνώμην τοῦ προεστῶτος ἔν τισι παραβάλλων in marg P 46 δέξεσθε VPS^{pc} Sirm τὰ^{2} om S 47 ἐπιμένητε Sirm 48 κατακεκριμμένοι S

---

21. a. 808

C·VT PS

---

1 περὶ μοιχειανῶν post titulum add T περὶ ἰωσὴφ τοῦ καθηρημένου in marg CSP 2 καὶ C^{sscr}S^{sscr} 4 ἶσθημεν C: ᾔσθημεν T: ἴσμεν VPS^{pc} Sirm

δὲ καὶ νῦν περίλυπόν σε διὰ τῆς ἐπαγγελίας τοῦ ἀδελφοῦ γεγενῆσθαι ἐν τοῖς παρισταμένοις. ἀλλὰ τί πάθωμεν; ὅτι ἐντολὴ θεοῦ πρόκειται καὶ κανόνες πατρικοὶ οἱ ἀπείργοντες ἡμᾶς ἐκ τῆς τοιαύτης κοινωνίας. ὧδε δὲ φθάσειε ἡ ταχεῖα ῥοπή σου καὶ ἡ εἰλικρινής σου πρὸς θεὸν καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς σχέσις, ἵν' ὥσπερ τινὰ τρικυμίαν μεταγάγοις τὸν πειρασμὸν καὶ γαληνιάσῃς τὴν ταραχὴν τῶν εὐσεβῶν / ἡμῶν δεσποτῶν. οὐ γὰρ πρὸς αὐτοὺς ἡμῖν ὁ λόγος τῆς ἀκοινωνησίας οὐδὲ ἡ αἰτία τῆς ἀμφισβητήσεως (μᾶλλον δὲ ἡ τιμὴ καὶ ἡ προσκύνησις, ἡ φιλία καὶ ἡ ἔντευξις κατὰ τὸ ὀφειλόμενον), πρὸς δὲ τὸν ἀνόμως στεφανώσαντα τὸν μοιχεύσαντα κατὰ τὸν λόγον τοῦ Κυρίου, πρὸς τὸν τολμήσαντα τηλικούτου κακοῦ ὑπουργὸν γενέσθαι καὶ βεβαιωτὴν ἐπὶ τοῦ κόσμου παντός, ὃν καθῆρεν αὐτὸς ὁ Χριστὸς δυσὶ κανόσιν ὑποπεσόντα (ἐπεὶ καὶ ἄλλοις), κατὰ μὲν τὸν πρῶτον, ὅτι οὐδὲ ἑστιαθῆναι εἰς διγαμοῦντος γάμον παραχωροῦντος τὸν πρεσβύτερον (εἰς γὰρ μοιχοῦ οὐδὲ ἐτόλμησεν ὁ κανὼν γράψαι), πόσῳ γε μᾶλλον στεφανῶσαι; κατὰ δὲ τὸν δεύτερον, ὅτι τὸν ὑποπεσόντα ἔν τινι σφάλματι καὶ διὰ τοῦτο ἀφορισθέντα, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ ἐπαγωνίσηται τῇ οἰκείᾳ συστάσει, οὐκ ἐξὸν ἔτι φωνὴν αὐτοῦ προσδεχθῆναι· ὁ δὲ ἐννέα χρόνους ὑπερβὰς εἰσεπήδησεν ἐν τῇ ἐκκλησίᾳ. εἰ οὖν οὗτος ἀναίτιος, πολλῷ γε μᾶλλον ὁ μοιχεύσας· εἰ δὲ ἐκεῖνος ἔνοχος τῆς ἁμαρτίας, τίς ἀμφιβάλλει περὶ τοῦ συζεύξαντος καὶ κατὰ τοῦ Ἁγίου Πνεύματος δυσφημήσαντος ὡς οὐχὶ ἐναγέστερος καὶ βεβηλότερος;

Ταῦτά ἐστι, πάτερ ἅγιε, τὰ φοβοῦντα καὶ συστέλλοντα ἡμῶν τὴν καρδίαν. καὶ διὰ ταῦτα πρὸς τὸ μὴ κοινωνῆσαι αὐτῷ τε καὶ τῷ προηγησαμένῳ πατριάρχῃ, ἐπὰν μετεδίδοι τῷ μοιχεύσαντι, ἀπεκλείσθην ἐγὼ μὲν ἐν ᾧ καθέζῃ τόπῳ, ὁ ἡγούμενος δὲ καὶ οἱ λοιποὶ ἐν

---

11 δεσποτῶν: Nicephorus I et Stauracius 14 στεφανώσαντα: oeconomus Josephus 24 μοιχεύσας: Constantinus VI

---

17 Conc. Neoc. can. 7 (II 542 B Mansi) 20 Conc. Afric. can. 46 (IV 493 E Mansi [latine]) 28–63 = ep. 22,111–151

---

6 ἀλλὰ τί πάθωμεν in marg V πάθομεν CT 7 οἱ om V ἐκ: ἀπὸ V 8 φθάσειε scripsi: φθάσοι Mi: φθάσει codd Sirm ταχεία CS 9 τὸν ante θεὸν add VPS[sscr] Sirm: τε T 10 μεταγάγῃς TS: μετάγοις V[ac] γαληνιάσεις C 12 τῆς ἀμφισβητήσεως ἡ αἰτία V (cf tamen ep 22,5) 16 καθεῖρεν C 18 παραχωροῦντα VT Sirm 22 ἐπαγωνίσεται P: ἀγωνίσεται V: ἐπαγωνίζεται Sirm ἐπαγωνίσηται – αὐτοῦ om T 23 εἰς ἐπίδησεν C: εἰς ἐπηδησεν S 24 γε om V Sirm 25 βλασφημήσαντος κατὰ τοῦ ἁγίου πνεύματος V: δυσφημήσαντος κατὰ τοῦ ἁγίου πνεύματος Sirm 28 τὰ συστέλλοντα ἡμῶν τὴν καρδίαν καὶ φοβοῦντα V (cf tamen ep 22,111) 29 κοινωνεῖν V Sirm (sed cf ep 22,112) 30 μετεδίδου VPS[pc] Sirm ἀπεκλείσθημεν Sirm 31 ἐγὼ μὲν in marg V καθέζῃ: καθέζομαι S[pc] σὺν τῷ ἀρχιεπισκόπῳ post λοιποὶ add T (fort recte; cf ep 22,114)

Θεσσαλονίκῃ ὑπερορισθέντες. ἀλλ' ὁ θεὸς πάλιν ἐπισυνήγαγεν ἡμᾶς εὐχαῖς σου· καὶ οὐδ' οὕτως ὡς ἔτυχεν ἡνώθημεν τῷ πατριάρχῃ, εἰ μὴ ὡμολόγησεν καλῶς ἡμᾶς πεποιηκέναι. ἐὰν οὖν, ὅτε ἡ μοιχεία ἦν καὶ ἡ τῶν κανόνων παράβασις, οὐχ ὑπεστάλημεν δυνάμει θεοῦ, πῶς οὖν ἄρτι, ὅτε εὐσεβοῦσά ἐστιν ἡ βασιλεία, ἕνεκεν ἑνὸς πρεσβυτέρου ὑποσταλησόμεθα καὶ προδώσομεν τὴν ἀλήθειαν, κινδυνεύοντες κατὰ ψυχήν; οὐδαμῶς, ἀλλὰ πάντα ἡμῖν φορητὰ μέχρι θανάτου ἢ μετασχεῖν τῆς ἐκείνου κοινωνίας καὶ τῶν ἐκείνῳ συλλειτουργούντων, ἕως ἂν παύσῃ τῆς ἱερουργίας, ὥσπερ ἐπὶ τοῦ προτέρου. ἔστω οἰκονόμος· τί καὶ ἀναξίως ἱερουργεῖ; ἐξέλιπεν πρεσβύτερος; εἰ δὲ οὐδὲν δοκεῖ τοῖς συλλειτουργοῦσιν αὐτῷ, ὄψονται ἐφ' οἷς πράττουσιν. φείσονται τῆς ἡμῶν ταπεινώσεως, στεργόντων καὶ μηδὲν ἕως τοῦ παρόντος λαλησάντων, ἀλλ' οἰκονομησάντων ἐν τοῖς δυσὶν ἔτεσι τούτοις, ἐξ ὅτε εἰσῆλθεν, ἵνα οὕτως εἰρηνικώτερον διεξέλθωμεν, οἱ δεσπόται ἡμῶν οἱ ἀγαθοί, μεσῖται καὶ κριταὶ τοῦ δικαίου, φιληταὶ τῶν παρρησιαζομένων ἐν ἀληθείᾳ, ὡς αὐτὸ τὸ τίμιον αὐτῶν στόμα πολλάκις διαγορεύει. ἐνέγκωσιν οἱ ἱερεῖς ἱερῶς, ἢ πείσωσιν ἢ πεισθήσονται. εἰ δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ καὶ τὸ γρύξαι μόνον ἡμᾶς οὐκ ἀνεκτόν, θεὸς ἐφορᾷ, οὗ μείζων οὐδείς, οὗ μόνος ὁ φόβος φοβερὸς καὶ τὸ ἐκεῖ δικαστήριον, ᾧ πάντες παραστησόμεθα εὐθυνόμενοι κατὰ πάντα.

Ἀλλὰ δεόμεθά σου τῆς ἀγαθότητος καὶ ὡς προκυλινδούμενοι τοῖς τιμίοις σου ἴχνεσιν παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν ποιῆσαι ἔλεος μεθ' ἡμῶν / καὶ κοινὸν ὄφελος αὐτοῖς τε τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσιν τῷ τε ἁγιωτάτῳ πατριάρχῃ καὶ πάσῃ τῇ ἐκκλησίᾳ, οὐ τῇ καθ' ἡμᾶς μόνον, ἀλλὰ καὶ τῇ ἀνὰ πάσῃ τῇ οἰκουμένῃ, ἵνα παύσῃ ὁ εἷς εἰς δόξαν θεοῦ καὶ μὴ ταραχθῇ ἡ αὐτοῦ ἐκκλησία. εἰ δὲ μή γε, ἀλλὰ τό γε δεύτερον τὸ ἐπιμεῖναι ἡμᾶς ἐν τῷ αὐτῷ καθάπερ ἐν τοῖς

---

51 Rom. 14,10

---

32 πάλιν om V 34 ὡμολόγησε VPTS Sirm 36 post πρεσβυτέρου exc fort vox καθῃρημένου (cf ep 22,120) 38 τὴν ante ψυχὴν add V 40 τῆς om Sirm καίπερ ὄντος χαλεπωτέρου τοῦ δευτέρου· οὐδὲ γὰρ συνελειτούργησεν αὐτῷ καθάπαξ ὁ προηγησάμενος. καὶ ἐκεῖ μὲν συνελθεῖν ἄτοπον ἦν, πλὴν οὐ τοσοῦτον κακόν, ὧδε (sic) δὲ καθαίρεσις ἡμῶν τῆς ἱερωσύνης, ἐὰν συλλειτουργήσωμεν post προτέρου add T (cf ep 22,124 sq) 41 ἐξέλειπεν C: ἐξέλιπε cett Sirm 42 πράττουσι VTPS Sirm φείσωνται Sirm 43 ἡμῶν τῆς ταπεινώσεως T 44 ἔτεσι: ἑτέροις V ἐξότε CT: ἐξότου PS: ἐξ ὅτου V Sirm 45 εἰσῆλθον V 46 μεσίται CVT Sirm φιλητὰ V 48 πίσωσιν C: πείσουσιν VP Sirm: πείσονται T πεισθήσονται ἢ πείσουσιν V 49 ἡμᾶς μόνον T 50 μεῖζον C ἐκεῖ: ἐκεῖθεν ep 22,138 52 προκυλινδόμενοι Sirm 53 ἴχνεσι VTPS Sirm 54 βασιλεῦσι VTPS Sirm 56 πᾶσαν τὴν οἰκουμένην VPS Sirm ἵνα παύσῃ ὁ εἷς ὁ μοιχοζεύκτης ἵνα στῇ τοῦ ἱερουργεῖν in marg P 58 γε τὸ T

δέκα ἔτεσι τούτοις. οἱ γὰρ λοιποὶ κἂν μυρίοι ὦσιν ἱεράρχαι καὶ ἱερεῖς καὶ ἡγούμενοι οἱ κοινωνοῦντες αὐτῷ οὐ θαυμαστόν· ἐπεὶ αὐτοὶ καὶ συνῆλθον τῷ μοιχεύσαντι καὶ οὐδείς τι λελάληκεν. ταῦτα θεὸς δι' ἡμῶν, εἰ καὶ τολμηρὸν εἰπεῖν, καὶ παρακαλεῖ καὶ προσφθέγγεται καὶ ὡς κελεύεις.

22. Τῷ αὐτῷ

Καὶ πάλιν παρακαλέσαι σου τὴν πατρικὴν ἁγιωσύνην καλὸν ἡγησάμεθα ἐπιβαλέσθαι ἑαυτὴν πρὸς τὸ κοινῇ συμφέρον καὶ λυσιτελοῦν κράτιστα. οὐ γὰρ πρὸς τοὺς εὐσεβεῖς ἡμῶν δεσπότας ὁ λόγος τῆς ἀκοινωνησίας οὐδὲ ἡ αἰτία τῆς ἀμφισβητήσεως, καθὰ προγεγράφαμεν (μᾶλλον δὲ ἡ τιμὴ καὶ ἡ προσκύνησις, ἡ ὑπόπτωσις καὶ ἡ ἔντευξις κατὰ τὸ ὀφειλόμενον), πρὸς δὲ τὸν ἀνόμως στεφανώσαντα τὸν μοιχεύσαντα κατὰ τὸν λόγον τοῦ Κυρίου, πρὸς τὸν τολμήσαντα τηλικούτου κακοῦ ὑπουργὸν γενέσθαι καὶ βεβαιωτὴν ἐπὶ τοῦ κόσμου παντός.

Καὶ ἵνα ἐκδηλότερον εἴη τὸ λεγόμενον οὐ πρὸς διδαχήν, ἀλλὰ πρὸς ὑπόμνησιν αὐτήν, εἰ κελεύεις, τὴν κατὰ τὴν στεφανικὴν συνάφειαν ἱερὰν προσευχὴν παραθήσομεν καὶ καθίδωμεν ἐντεῦθεν, ὅπως ἐξ ἐναντίας αὐτῷ τῷ Χριστῷ, εἰ καὶ τολμηρὸν εἰπεῖν, ἀντεφθέγξατο καὶ ἀπεμαχήσατο διὰ τοῦ ἐναγοῦς αὐτοῦ στόματος ὁ ἀνένοχον ἑαυτὸν ἀποδεικνύς. τοῦ γὰρ Χριστοῦ μοιχὸν ἀποκαλέσαντος τὸν ἀφιέντα τὴν νομίμως συναφθεῖσαν ἀνδρὶ γυναῖκα (μοιχεία δέ, ὡς οἶσθα, τὸ χαλεπὸν ἁμάρτημα καὶ ἰσοδύναμον φονέως, ἀρρενοφθόρου τε καὶ ἀλογευομένου, φαρμακοῦ τε καὶ εἰδωλολάτρου κατὰ τὸν κανόνα τοῦ θείου Βασιλείου) αὐτὸς τοῦτον τῷ θυσιαστηρίῳ παραστήσας ἐνυπήκοον παντὸς τοῦ λαοῦ ἐτόλμησεν ῥῆξαι τὰς βεβήλους φωνὰς ἐκείνας.

---

59 καν C: κὰν V: κἂν P 60 αὐτοὶ καὶ coll ep 22,148 scripsi: καὶ αὐτοὶ codd Sirm 61 τί CPS λελάληκε VTPS Sirm 62 καὶ εἰ VP Sirm

---

22. a. 808 4 δεσπότας: cf. adn. ad ep. 21,11 5 προγεγράφαμεν: cf. ep. 21,11 – 12

16 Matth. 5,32 18 Bas. ep. 188,7 (PG 32,673 C = II 126 Courtonne; cf. III 1189 D Mansi)

C VM (ll. 97 – 151) T (ll. 1 – 111) PS

9 βεβαιωτὴν: βεβαίωσιν τὴν T ἐπὶ παντὸς τοῦ κόσμου S (ubi ἐπὶ[sscr]) 13 κατίδωμεν VPS Sirm 14 ἐξεναντίας CVT 15 ἀντεμαχήσατο V Sirm (sed cf ep 31,72) 16 Χριστοῦ γὰρ V (ubi γὰρ[sscr]) Sirm 17 ἀνδρὶ: αὐτῷ T 19 φαρμάκου C 20 ἐνυπήκοον C: εἰς ἐπήκοον T: ἐν ἐπηκόῳ cett Sirm 21 ἐτόλμησε VTPS Sirm ἐναγεῖς ante βεβήλους add T (cf ep 31,78)

Καὶ σκοπήσωμεν, πάτερ, παρακαλῶ, τὸ φοβερὸν καὶ ἔκτοπον· ἔχει γὰρ οὕτως· ‚αὐτός, δέσποτα, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἅρμοσον τῷ δούλῳ σου τὴν δούλην σου. σύζευξον αὐτοὺς ἐν ὁμοφροσύνῃ, ἕνωσον αὐτοὺς εἰς σάρκα μίαν, οἷς εὐδόκησας συναφθῆναι ἀλλήλοις· τίμιον τὸν γάμον ἀνάδειξον, ἀμίαντον αὐτῶν τὴν κοίτην διατήρησον, ἀκηλίδωτον αὐτῶν τὴν συμβίωσιν διαμεῖναι εὐδόκησον‘. οὐκ ἄρα φρικτὸν καὶ ἀκουόμενον καὶ ἐννοούμενον; πόσον ἐστὶν ἐνταῦθα ὑπολαβεῖν τὸν παροξυσμὸν τοῦ Ἁγίου Πνεύματος ἐν τῇ τοιαύτῃ βλασφημίᾳ συνοργισθῆναί τε τοὺς ἁγίους ἀγγέλους ἐν ταῖς τηλικαύταις δυσφημίαις; ἢ πῶς οὐ παραυτίκα, ὡς τὸν Δαθὰν καὶ Ἀβειρών, ὑπέλαβεν ἡ γῆ χάνασα τὸν ὑφηγητὴν τοῦ ψεύδους καὶ δεικνύντα τὸ σκότος φῶς καὶ τὸν Χριστὸν εἰς ἐναν/τιολογίαν περιπεσεῖν πειρώμενον; πάντως γάρ, ὅσα ὁ ἱερεὺς ὑποφαίνει, ταῦτα καὶ θεὸς κυροῦν ἐπαγγέλλεται κατὰ τὸν μέγαν Διονύσιον. ἀλλὰ μακροθυμῶν ἤνεγκεν, ὑπανοίγων θύραν μετανοίας τῷ ἐνόχῳ τῆς ἁμαρτίας. εἶτα ἀντὶ τοῦ κλαίειν καὶ πενθεῖν τὸν τοιοῦτον μέχρι θανάτου, ἀπόπτυστόν τε εἶναι καὶ ἀποτρόπαιον εἰς ὑπόδειγμα ταῖς μετέπειτα γενεαῖς θείας ζηλοτυπίας πάλιν ἐν τῇ ἐκκλησίᾳ εἰσελθεῖν καὶ πάλιν ὑπάρχειν ἱερέα ἀναφανδόν; οὐκοῦν ὡς καλόν τι πεπραχὼς εἰσελήλυθεν καὶ Χριστὸς ἥττηται κατ' αὐτὸν παραλόγως διαγορεύων; καὶ δέον διὰ τῆς ἐν τῷ κοινῷ ἱερουργίας αὐτοῦ διαδοθῆναι εἰς πᾶσαν τὴν καθ' ἡμᾶς ἐκκλησίαν καὶ συγκατανεῦσαι πάντας ἐπὶ τῷ τοιούτῳ ἔργῳ; τί γὰρ ἄλλο καὶ οὐ τοῦτο γενήσεται;

Ἀλλὰ μὴ γένοιτο. δεῖ δὲ τάχα ἐκ παραζήλου ἀπὸ τοῦ δεῦρο τὸ τοιοῦτον γίγνεσθαι· καὶ στεφανούσθωσαν μοιχοί, καὶ οἱ στεφανοῦντες, ὡς μέγα τι κεκατωρθωκότες καὶ τοὺς πολλοὺς ὠφελεῖν καὶ ἐνάγειν εἰς ὁμοτροπίαν δυνάμενοι, ἀσπαζέσθωσαν ὑπὸ τῶν πολλῶν. ἀλλὰ μὴ γένοιτο· οὔτε γὰρ ἐκεῖνος ἱερεὺς οὔτε οἱ ἐκεῖνον μιμούμενοι. μὴ γὰρ ἐν ἐκείνῳ ἀπατάσθω, ὡς ὅτι βασιλεὺς ἦν ὁ μοιχεύσας· ἄρχουσι γὰρ οἱ τοῦ θεοῦ νόμοι πάντων κατὰ τὸ γεγραμμένον. ἀλλ'

23 prec. nupt. (p. 317 Goar) 32 Num. 26,10 33 Luc. 11,35

22 πάτερ om T 25 οἷς CP: οὓς VTS Sirm 26 εὐδοκήσας S 27 διατήρησον: διαφύλαξον T (sed cf ep 31,84) 28 ἆρα VT 29 παροξυσμὸν: παρολυσμὸν (sic) Sirm: παροργισμὸν Mi (cf tamen ep 31,86 παροξυνθῆναι) 31 δυσφημίαις: βλασφημίαις VT 33 δεικνῦντα CVT 34 ἐναντιλογίαν T 36 ὑπ' ἀνοίγων C 40 οὐκ οὖν CT 41 τι: τε T εἰσελήλυθε VTPS Sirm 43 συνκατανεῦσαι C 47 γίνεσθαι V Sirm 48 κεκατορθωκότες CT: καὶ κατωρθωκότες P: κατωρθωκότες V[pc] Sirm 51 ὡς om VP Sirm

ὅμως τοῦτο δράσας τὸ παγχάλεπον ἔτι φιλονεικεῖ τὴν ἀνομίαν δικαιοσύνην γνωρίσαι καί, τὸ δὴ λεγόμενον, ἀποδεῖξαι ἑαυτὸν τοῦ Προδρόμου καὶ Βαπτιστοῦ ὁσιώτερον· ἐκείνου γὰρ ἐλέγχοντος τὴν τοῦ Ἡρώδου μοιχείαν καὶ ὑπὲρ ἀληθείας θνήσκοντος, οὗτος τὸν δεύτερον Ἡρώδην ὡς ἀληθῶς τῇ ὁμοτρόπῳ μοιχείᾳ δεδειγμένον καὶ ἐστεφάνωσεν καὶ κατησπάσατο μέχρι θανάτου, λόγοις μέν οὔ, αὐτοῖς δὲ ἔργοις φθεγγόμενος ὡς πεπλάνηται Ἰωάννης ὁ Πρόδρομος, ἀκαίρως καὶ ἀνόμως διελέγξας καὶ ἀποθανών.

Ἀλλὰ μὴ γένοιτο· ὁ μὲν γὰρ τοῦ νόμου ὑπερασπιστὴς καὶ τοῦ μύσους ἐλεγκτής, ὁ δὲ τῶν θείων μυστηρίων καταπατητὴς καὶ τῆς ἀθέσμου συμπλοκῆς συναπτὴς καὶ κατασφραγιστής. καὶ ὁ μὲν καὶ θανὼν βοᾷ ‚οὐκ ἔξεστίν σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου', κἂν τῷ Ἡρώδου προσώπῳ ἐμβοᾷ πάσῃ τῇ οἰκουμένῃ μηκέτι τι τοιοῦτον τολμηθῆναι, ὁ δὲ ἕως τοῦ νῦν αὐτοῖς τοῖς ἔργοις ἄντικρυς κράζει τῷ δευτέρῳ Ἡρώδῃ ‚ἔξεστίν σοι ἔχειν γυναῖκα Θεοδότην τὴν μαχλῶσαν', κἂν τῷ αὐτοῦ προσώπῳ διαρρήδην προστάσσει ἕως τοῦ αἰῶνος μοιχεύειν τοὺς ἀνθρώπους καὶ τοὺς τοιούτους στεφανοῦντας εἶναι ἱερέας.

Ὢ τολμηρᾶς καρδίας· ὢ καταφρονήσεως θεοῦ κριμάτων. διατί μὴ μᾶλλον ἕκαστος καταγορεύει τῆς ὑποθέσεως καὶ διαστέλλεται τοῦ τοιούτου καὶ μέχρι βρώσεως εἴτουν συντυχίας, εἰ μὴ ἐξαγορεύει τὴν ἁμαρτίαν μετὰ τὸ παντάπασιν εἴργεσθαι αὐτὸν ἐκ πάσης ἱερουργίας; ἀλλὰ διὰ τοῦτο δεόμεθά σου τῆς θεοσεβείας καὶ τῆς κατὰ τὸ ἱερὸν ἡμῶν σχῆμα ἀκριβείας ἐνηχῆσαι εἰς τὰ ὦτα τῶν εὐσεβῶν ἡμῶν δεσποτῶν τοὺς τοιούτους λόγους. πιστεύομεν γὰρ ὅτι, εἰ τοῦτον παραστείλωσιν σὺν εὐδοκίᾳ τοῦ ἁγιωτάτου / ἡμῶν πατριάρχου, ἐπικροτῆσαι ἔχουσιν ἄγγελοι, ἀνευφημήσωσι πάντες οἱ ἅγιοι, εὐφρανθήσεται δὲ καὶ πᾶσα ἡ ἐκκλησία, γενήσεται δὲ καὶ τῷ κράτει αὐτῶν

57 δεύτερον Ἡρώδην: Constantinus VI 78 πατριάρχου: Nicephorus

53–60 = ep. 31,63–70 55 Luc. 3,19 64 Marc. 6,18 67 ibid.

53 ὅτι οὐ τοσοῦτον τὸ ἀνομῆσαι, ὅσον φιλονεικεῖν τὴν ἀνομίαν δικαιοσύνην γνωρίζεσθαι in marg P 56 τοῦ om V Sirm (sed cf ep 31,65) 57 ὡσαληθῶς S 58 ἐστεφάνωσε VTPS Sirm 62 ἐλέγκτης V 63 συναπτῆς C: συναπτὴς T: συνάπτης cett Sirm καὶ[3] om T 64 ἔξεστι VTPS Sirm τὴν om V 65 καν C: κἂν T Sirm 66 τι om VPS Sirm αὐτοῖς ἕως S τοῖς om V Sirm 67 ἔξεστι VTPS Sirm 68 καν C: κἂν T Sirm προστάσσῃ C 69 an τοὺς τοὺς τοιούτους scribendum? τοιούτους: τούτους V 71 ὦ C (bis) διὰ τί T Sirm 73 εἴτ' οὖν CV Sirm 74 εἵργεσθαι T ἐκ πάσης: τῆς θείας S 76 ἡμῶν[1] om Sirm ἐν ἠχῆσαι C εἰς om V δεσποτῶν ἡμῶν V 78 παραστείλωσι VPS Sirm 79 ἀνευφημήσωσιν T: ἀνευφημήσουσι VPS Sirm

θείας ἄνωθεν ἐπικουρίας προσθήκη πολλὴ ἔν τε προσλήψει ἐχθρῶν τε καὶ πολεμίων καὶ ἐν εἰρηναίᾳ καὶ μακροημέρῳ αὐτῶν ζωῇ.

Ποῦ δὲ καὶ θήσομεν, πάτερ ἅγιε, τοὺς ἱεροὺς κανόνας, εἴργοντας αὐτὸν τοῦ ἱερατεύειν; τὸν μὲν πρῶτον μὴ παραχωροῦντα μηδὲ εἰς διγαμοῦντος γάμον ἑστιαθῆναι τὸν πρεσβύτερον, καίπερ ὄντος ἐκ θεοῦ παρακεχωρημένου. εἰ δὲ ὅτι μὴ τὸν παρακεχωρημένον γάμον οὗτος, ἀλλ' εἰς τὸν ἀποκήρυκτον καὶ μοιχικὸν ὅλαις τριάκοντα ἡμέραις εὐωχήσατο, καὶ οὐ μόνον τοῦτο, ἀλλ' ὅτι καὶ τοὺς νικητικοὺς ἐπὶ τῇ παρθενίᾳ στεφάνους ἐπιτέθεικε τοῖς μοιχοῖς καὶ ἀκαθάρτοις, τίνος εἴη ἄξιος; μικρὸν τάχα ἡ καθαίρεσις. εἰ δὲ τοῦτο ἀνεκδίκητον, παίγνια τὰ θεῖα καὶ ἕωλοι οἱ κανόνες. κατὰ τὸν δεύτερον πάλιν κανόνα, ὅτι ὁ ὑποπεσὼν ἔν τινι σφάλματι καὶ διὰ τοῦτο ἀφορισθείς, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ ἐπαγωνίσηται τῇ οἰκείᾳ συστάσει, οὐκ ἐξὸν ἔτι φωνὴν αὐτοῦ προσδεχθῆναι. ὁ δὲ ἐννέα χρόνους ὑπερβὰς εἰσεπήδησεν ἐν τῇ ἐκκλησίᾳ.

Εἰ δὲ λέγοι παρὰ τοῦ προηγησαμένου λαβεῖν τὴν ἐπιτροπὴν καὶ ἀνέγκλητον εἶναι τὴν ὑπόθεσιν, τί δήποτε οὐχ ὁ ἐπιτρέψας αὐτούργησεν στεφανώσας; ἔστι γὰρ πάντως πατριάρχαις βασιλεῖς στεφανοῦν, οὐχ ἱερέα τινά· οὐ γὰρ πώποτε γεγένηται. ἀλλὰ δῆλον ὅτι κινδύνου αὐτῷ κειμένου εἰς αὐτὴν τὴν ἀρχιερωσύνην καθαιρέσεως εὑρὼν τοῦτον προθυμούμενον (ἦν γὰρ συναλιζόμενος εἰς τὰ βασίλεια) παρέπεμψεν εἰς τὸ ἐκείνου πρόσωπον τὸν κίνδυνον (εἴπερ καὶ ἀληθὲς ὅτι καὶ ἐπέτρεψεν· οὐ γὰρ πιστεύομεν ἡμῖν τε καὶ ἄλλοις πολλοῖς πεπληροφορηκώς). εἰ δὲ πάλιν λέγοι μὴ εἶναι ἀφωρισμένος ὑπὸ τοῦ προηγησαμένου, τί δήποτε οὐκ ἐλειτούργει ἐν τοῖς ἐννέα ἔτεσιν; τί δήποτε ὑπὸ συνόδου, ὥς λέγει, νῦν λέλυται; δῆλον ὅτι ὁ δεδεμένος λέλυται, οὐχ ὁ ἄδετος. ὥστε ἑαυτῷ περιπίπτει κἀνταῦθα εἰργμένος εἶναι, ἐφόσον οὐκ ἐντὸς τοῦ ἐνιαυτοῦ κατὰ τὸν κανόνα ὑπέδειξεν

96 προηγησαμένου: Tarasius

84 Conc. Neoc. can. 7 (II 542 B Mansi) 91 Conc. Afric. can. 46 (IV 493 E Mansi [latine])

83 θήσωμεν S 85 τὸν om V Sirm 86 εἰ om V Sirm: εἰς CS ὅτι δὲ V Sirm μὴ τόν: εἰς τὸν μὴ V Sirm: τὸν μὴ P ὅτι μὴ – 87 ἀλλ' om Mi οὗτος: οὕτως CT 88 ἀλλ' ὅτι: ἀλλὰ T 90 ἡ καθαίρεσις: ἢ καθαιρέσεως V 91 αἴολοι C: αἴωλοι T δὲ post κατὰ add V Sirm 93 ἐπαγωνίσεται VTPS Sirm 95 ἐν V[sscr] 96 λέγει T προηγησαμένου CS: προηγουμένου cett Sirm, quod ex ἡγουμένου corr V (sed cf infra l. 105) 97 οὐχ: hic inc epist in M αὐτούργησε VMTPS Sirm 99 δηλονότι T 101 τοῦτον: τοσοῦτον Sirm συναλιζόμενος C: συναυλιζόμενος cett Sirm 103 ὑμῖν V[pc] Sirm 104 πεπληροφορηκόσιν perperam susp Sirm λέγει VMS ἀφορισμένως T 105 ἔτεσι VMTPS Sirm 106 δηλονότι T 107 κἀντεῦθεν V εἰργομένος CS 108 ἑαυτὸν ὑπέδειξεν S

ἑαυτὸν ἀθῶον καὶ ἔλαβεν τὴν λύσιν ἐμφανῶς, εἴπερ ἦν λύσις τῷ ὁλοδεσμίῳ, κἂν μυρίους παριστᾷ ψευδομάρτυρας.

Ταῦτά ἐστι, πάτερ ἅγιε, τὰ φοβοῦντα καὶ συστέλλοντα ἡμῶν τὴν καρδίαν. καὶ διὰ ταῦτα πρὸς τὸ μὴ κοινωνῆσαι αὐτῷ τε καὶ τῷ προηγησαμένῳ πατριάρχῃ, ἐπὰν μετεδίδοι τῷ μοιχεύσαντι, ἀπεκλείσθην ἐγὼ μὲν ἐν ᾧ καθέζῃ τόπῳ, ὁ ἡγούμενος δὲ καὶ οἱ λοιποὶ σὺν τῷ ἀρχιεπισκόπῳ ἐν τῇ Θεσσαλονίκῃ ὑπερορισθέντες. ἀλλ' ὁ θεὸς πάλιν ἐπισυνήγαγεν ἡμᾶς εὐχαῖς σου· καὶ οὐδ' οὕτως ὡς ἔτυχεν ἡνώθημεν τῷ πατριάρχῃ, εἰ μὴ ὡμολόγησε καλῶς ἡμᾶς πεποιηκέναι. ἐὰν οὖν, ὅτε ἡ μοιχεία ἦν καὶ ἡ τῶν κανόνων παράβασις, οὐχ ὑπεστάλημεν δυνάμει θεοῦ, πῶς οὖν ἄρτι, ὅτε εὐσεβοῦσά ἐστιν ἡ βασιλεία, ἕνεκεν ἑνὸς πρεσβυτέρου καθῃρημένου ὑποσταλησόμεθα καὶ προδώσομεν τὴν ἀλήθειαν, κινδυνεύοντες κατὰ ψυ/χήν; οὐδαμῶς, ἀλλὰ πάντα ἡμῖν φορητὰ μέχρι θανάτου ἢ μετασχεῖν τῆς ἐκείνου κοινωνίας καὶ τῶν ἐκείνῳ συλλειτουργούντων, ἕως ἂν παύσῃ τῆς ἱερουργίας, ὥσπερ ἐπὶ τοῦ προτέρου, καίπερ ὄντος χαλεπωτέρου τοῦ δευτέρου· οὐδὲ γὰρ συνελειτούργησεν αὐτῷ καθάπαξ ὁ προηγησάμενος. καὶ ἐκεῖ μὲν συνελθεῖν ἄτοπον ἦν, πλὴν οὐ τοσοῦτον κακόν, ὧδε δὲ καθαίρεσις ἡμῶν τῆς ἱερωσύνης, ἐὰν συλλειτουργήσωμεν. ἔστω οἰκονόμος· τί καὶ ἀναξίως συλλειτουργεῖ; ἐξέλιπεν πρεσβύτερος; εἰ δὲ οὐδὲν δοκεῖ τοῖς συλλειτουργοῦσιν αὐτῷ, ὄψονται ἐφ' οἷς πράττουσιν. φείσονται ἡμῶν τῆς ταπεινώσεως, στεργόντων καὶ μηδὲν ἕως τοῦ παρόντος λαλησάντων, ἀλλ' οἰκονομησάντων ἐν τοῖς δυσὶν ἔτεσι τούτοις, ἐξ ὅτε εἰσῆλθεν, ἵνα οὕτως εἰρηνικώτερον διεξέλθωμεν, οἱ δεσπόται ἡμῶν οἱ ἀγαθοί, μεσῖται καὶ κριταὶ τοῦ δικαίου, φιληταὶ τῶν παρρησιαζομένων ἐν ἀληθείᾳ, ὡς αὐτὸ τὸ τίμιον αὐτῶν στόμα πολλάκις διαγορεύει. ἐνέγκωσιν οἱ ἱερεῖς ἱερῶς, ἢ πείσωσιν ἢ πεισθήσονται. εἰ δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ καὶ τὸ γρύξαι ἡμᾶς μόνον οὐκ ἀνεκτόν, θεὸς ἐφορᾷ, οὗ μείζων οὐδείς, οὗ μόνος ὁ φόβος φοβερὸς καὶ τὸ ἐκεῖθεν δικαστήριον, ᾧ πάντες παραστησόμεθα εὐθυνόμενοι κατὰ πάντα.

111–151 = ep. 21,28–63 **138** Rom. 14,10

109 ἔλαβε VMTPS Sirm **110** καν C: κἂν V **111** συστέλλοντα: hic desin epist in T **113** ἐπᾶν P μετεδίδου VMPS Sirm ἀπεκλείσθημεν Sirm **114** μὲν ἐγὼ V καθέζομαι S δὲ S: τε cett Sirm (cf tamen ep 21,31) **116** οὐδ' om Sirm **118** οὐδ' post οὖν add Sirm καὶ om M **121** προδώσωμεν C **128** ἐξέλειπεν C: ἐξέλιπε cett Sirm **130** πράττουσι VMPS Sirm φείσωνται Sirm καὶ – **131** λαλησάντων om Mi **132** τούτοις om M ἐξότε C: ἐξότου PS: ἐξ ὅτου VM Sirm εἰσῆλθον V **133** μεσίται CSVM Sirm **135** πείσουσιν V Sirm: πεισθῶσιν M **137** μόνον om M μεῖζον C

Ἀλλὰ δεόμεθά σου τῆς ἀγαθότητος καὶ ὡς προκυλινδούμενοι τοῖς τιμίοις σου ἴχνεσιν παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν ποιῆσαι ἔλεος μεθ' ἡμῶν καὶ κοινὸν ὄφελος αὐτοῖς τε τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσιν τῷ τε ἁγιωτάτῳ πατριάρχῃ καὶ πάσῃ τῇ ἐκκλησίᾳ, οὐ τῇ καθ' ἡμᾶς μόνον ἀλλὰ καὶ τῇ ἀνὰ πάσῃ τῇ οἰκουμένῃ, ἵνα παύσῃ ὁ εἷς εἰς δόξαν θεοῦ καὶ μὴ ταραχθῇ ἡ αὐτοῦ ἐκκλησία. εἰ δὲ μή γε, ἀλλὰ τό γε δεύτερον τὸ ἐπιμεῖναι ἡμᾶς ἐν τῷ αὐτῷ καθάπερ ἐν τοῖς δέκα ἔτεσι τούτοις. οἱ γὰρ λοιποὶ κἂν μυρίοι ὦσιν, ἱεράρχαι καὶ ἱερεῖς καὶ ἡγούμενοι κοινωνοῦντες αὐτῷ, οὐ θαυμαστόν· ἐπεὶ αὐτοὶ καὶ συνῆλθον τῷ μοιχεύσαντι καὶ οὐδείς τι λελάληκεν. ταῦτα θεὸς δι' ἡμῶν, εἰ καὶ τολμηρὸν εἰπεῖν, καὶ παρακαλεῖ καὶ προσφθέγγεται καὶ ὡς κελεύεις.

23. Τῷ αὐτῷ

Οὐδὲν ὧν δεδήλωκας ἡμῖν τὸ παρόν, ἅγιε πάτερ, λυπηρόν, ὅσον τὸ μὴ θέλειν τοὺς εὐσεβεῖς ἡμῶν δεσπότας ἐλθεῖν ἡμᾶς κατὰ τὸ σύνηθες καὶ ἀξιωθῆναι τῆς τιμίας αὐτῶν προσκυνήσεως καὶ τοὺς προπεμπτικοὺς καὶ εὐκτηρίους ὡς πᾶς τῶν ἀνθρώπων κατὰ τὴν ἔξοδον αὐτῶν ἀποδοῦναι λόγους. ἀλλ' οὐ πάντως ἡ εὐμείλικτος καὶ ἀμνησίκακος καὶ χριστομίμητος αὐτῶν καρδία τοῦτο ὅλον ποιήσειεν εἰς τὴν ἡμετέραν ταπείνωσιν· ἐπεὶ καὶ τοῖς ἐχθροῖς οἶδεν διαλλάττεσθαι, οὐχὶ δὲ ἡμᾶς, τοὺς ἀληθινῇ καρδίᾳ / φιλοῦντας καὶ σέβοντας αὐτούς. ἄριστα δὲ ὑπέβαλεν ἡ ἁγιωσύνη σου τὰς τῆς εὐτελείας ἡμῶν ἀποκρίσεις ἐν ταῖς ἱεραῖς αὐτῶν ἀκοαῖς. καὶ ὅτι κατένευσαν, τῆς αὐτῶν εἴη μεγαλόφρονος θεοσυνεσίας· καὶ γὰρ ἴσασι τὰ θεῖα κρίνειν εὐθυβόλως, ὡς σοφίας μεμεστωμένοι καὶ γνώσεως θεοῦ ἀνάπλεοι. κελεύει δὲ ἐρωτᾶν, τίνος χάριν ἐπεδώκαμεν ἑαυτοὺς εἰς τὴν ἱεραρχίαν, ἐγνωσμένου ὄντος τοῦ σφάλματος. καὶ πρὸς τοῦτο μετ' αἰδοῦς ἀποκρινόμεθα ὅτι, ὅσον τὸ καθ' ἡμᾶς, οὐκ ἐβουλόμεθα, τὸ μὲν διὰ

141 ἴχνεσι VMPS Sirm   καὶ ἀντιβολοῦμεν ante καὶ κοινὸν transp V: om M   142 βασιλεῦσι VMPS Sirm   144 πᾶσαν τὴν οἰκουμένην VMPS Sirm   145 εἰς δόξαν θεοῦ S^{sscr} 147 μύριοι M   148 ante κοινωνοῦντες exc fort vocula οἱ (cf ep 21, 60)   καὶ ante αὐτοὶ add M   149 τί CPSM   λελάληκε VMPS Sirm   151 κελεύει Sirm

23. a. 808   3 δεσπότας: cf. supra   5 ἔξοδον: cf. adn. ad ep. 26,24

C VM PS

2 post λυπηρὸν exc fort vox τόσον   8 οἶδε VMPS Sirm   10 ὑπέβαλεν: ὑπέλαβεν V^{ac}M   14 ἐπιδεδώκαμεν VMP Sirm

τὸ ἐπικίνδυνον τοῦ ἀξιώματος, τὸ δὲ δι' αὐτὸ ἤδη τὸ λεγόμενον τοῦ οἰκονόμου. ἐπεὶ δὲ ἐλήλυθαν οἱ Θεσσαλονικεῖς, ἱκετεύοντες ὡς ἐκ πάσης τῆς πόλεως, οἵ τε δεσπόται ἡμῶν οἱ ἀγαθοὶ συνεπιτιθέμενοι τῷ ψηφίσματι, δέος ἡμῖν ἐγένετο μὴ ὑπακοῦσαι καὶ ἀντιφέρεσθαι θεῷ τε καὶ τοῖς εὐσεβέσιν ἡμῶν δεσπόταις, λογισάμενοι ὅτι δυνατός ἐστιν, ἡνίκα ὑπὸ τῶν οἰκείων ἐπισκόπων ἡ χειροτονία γίγνεται, φυγεῖν τὸν προκείμενον κίνδυνον. πρὸς γὰρ τὸ μετὰ ταῦτα, τὸ μὲν ὅτι πόρρω τῶν ἐνταῦθα ἀποικίζεται, τὸ δὲ ὅτι ἐγχωρεῖ καὶ ἐπιδημοῦντα φυλάττεσθαι κατὰ πολλοὺς τρόπους, εἶτα ὅτι καὶ θάνατοι συμβαίνουσιν καὶ ἐκ μέσου γίνεται τὸ σκάνδαλον, ὥσπερ καὶ ἐφ' ἡμῶν αὐτῶν τῶν ταπεινῶν ὧδε καθημένων συνέβη διαφυλαχθῆναι ἕως τοῦ παρόντος οἰκονομίᾳ χρωμένων· δεῖ γὰρ ἐφ' ὅσον οἷόν τε ὑποχωρεῖν τοὺς πειρασμούς, ἄλλως τε καὶ μὴ ἐπισκοπῆς ἐχόντων ἀξίωμα.

Διὰ ταῦτα ὡς ἐπὶ μάρτυρι θεῷ ἐπεδώκαμεν ἑαυτούς, δοκοῦντες, ἵνα καὶ τοῦτο εἴπωμεν, μηδὲ ἠγνοημένον εἶναι πάντως τοῖς εὐσεβέσιν ἡμῶν δεσπόταις, εἰδόσι τὰ πόρρω καὶ μακρὰν δι' ἄκραν ἀγχίνοιαν, ἀλλὰ μὴν οὐδὲ αὐτῷ τῷ ἁγιωτάτῳ πατριάρχῃ, ἐπεὶ κἀκείνῳ τηνικαῦτα γεγράφαμεν τὴν ὑπόθεσιν· ὡς ἡμεῖς γε τούτου χάριν, ὑπὲρ τοῦ μὴ κοινωνῆσαι τῷ στεφανώσαντι τὸν μοιχὸν καὶ τῷ προηγησαμένῳ πατριάρχῃ, ἡνίκα μόνον μετεδίδοι αὐτῷ, διαφόρως τὴν ἐξορίαν ὑπέστημεν. πλὴν ὅτι πολλαχῶς καὶ αὐτὸ τὸ τίμιον αὐτῶν στόμα ἐπανέκρινεν καὶ διέγνω ταῦτα οὕτως ἔχειν.

Αὕτη ἐστὶν ἡ ἀπολογία, καὶ ταύτην ὡς κελεύεις ἀνάγαγε τῷ εὐηκόῳ αὐτῶν κράτει.

---

18 οἰκονόμου: Josephus 34 πατριάρχῃ: Nicephorus 35 γεγράφαμεν: ep. 25 37 πατριάρχῃ: Tarasius

---

18 ἐληλύθασιν M 21 δυνατός: δυνατόν perperam coni Sirm; cf p. 163* adn 87b 22 γίνεται V Sirm 23 προκείμενον CSP: προειρημένον cett Sirm 24 ἀπῳκίζεται C: ἀποικ//ίζεται S 26 συμβαίνουσι VMPS 28 ἐφόσον CP οἷόν τε: οἴονται C 31 ἐπιδεδώκαμεν VMP Sirm 37 μετεδίδου VMPS Sirm 39 ἐπανέκρινε VMPS Sirm

24. Θεοκτίστῳ μαγίστρῳ

Ὅτιπερ πονουμένη ἐστὶν τὰ καθ' ἡμᾶς ἡ μεγίστη σου ὑπεροχὴ ἐξ ὑπερβαλλούσης φιλοθεΐας ἔδειξεν μὲν καὶ τὰ διὰ τοῦ εὐλαβεστάτου ἡγουμένου ῥήματα, ἐφανέρωσε δὲ καὶ νῦν τὰ διὰ τοῦ ἀδελφοῦ ἡμῶν πρὸς τὰ σταλέντα δηλώματά τε καὶ ἀνταποκρίματα. καὶ τῆς ὑπὲρ τηλικαύτης σου ἀγαθῆς διαθέσεως πρὸς τὸ κοινῇ συμφέρον τοὺς μισθοὺς / λογιεῖται αὐτῇ πάντως καὶ ἡμῶν μὴ λεγόντων ὁ πάντα μέτρῳ καὶ σταθμῷ διορίζων θεός. τίνα δὲ δεῖ οἰκονομίαν γενέσθαι, ὦ δέσποτα, ὅσον τὸ καθ' ἡμᾶς πλέον ἧς πεποιήκαμεν; ὅτι ἕως τοῦ παρόντος ὑπεστείλαμεν ἑαυτοὺς σιωπὴν ἄγοντες ἐγώ τε καὶ ὁ ἀρχιεπίσκοπος (ἐπεὶ καὶ καιρὸς τοῦ λαλεῖν καὶ τοῦ σιγᾶν), πάντα τρόπον μεθοδεύοντες εἰς τὸ μὴ εἰς προῦπτον ἐκβεῖν τὴν ὑπόθεσιν. ἀλλ' ὁ ἀνακρίνων ἀνέκρινεν καὶ ὁ εἰπὼν οὐ διέψευσται, ὅτι οὐκ ἔστι κρυπτὸν ὃ οὐ φανερωθήσεται· ὡς καὶ ἡμῶν μὴ αἱρουμένων οὕτω φύσεως ἐχόντων τῶν πραγμάτων, μὴ ἐπὶ πολὺ παρ' ὅ εἰσιν ἕτερόν τι φαίνεσθαι.

Καὶ νῦν δὲ οἰκονομίᾳ χρώμενοι δύο ταῦτα λέγομεν, ὅτι ἢ παύσει ὁ καθῃρημένος τῆς ἱερουργίας, καὶ παραυτὰ κοινωνοῦμεν τῷ ἁγιωτάτῳ πατριάρχῃ, ὃ καὶ λυσιτελὲς κατὰ κοινοῦ, ἤ, εἰ μὴ ἀνεκτόν, καὶ ἐσμὲν ὑπὸ τῆς αὐτῆς συστολῆς κατὰ τὸ πρότερον, τῷ Κυρίῳ τὴν ὑπὲρ τοῦ τοιούτου κεφαλαίου ἐκδίκησιν παραχωροῦντες. τὸ δὲ μεῖζον τούτου, οὐκέτι, σύγγνωθι, οἰκονομίας τρόπος, ἀλλὰ παρανομίας καὶ παραβάσεως τῶν θείων κανόνων ὄφλημα. οἰκονομίας γὰρ ὅρος, ὡς οἶσθα, μήτε τι τῶν κειμένων ἀθετεῖν καθόλου, μήτε ἐφ' ᾧ οἷόν τε μικρὸν ὑφεῖναι κατὰ καιρὸν καὶ λόγον, ὡς ἐντεῦθεν εὑρεῖν τὸ ζητούμενον ἀτεχνῶς, πρὸς τὸ σφοδρότερον ὑπάγεσθαι τῷ πράγματι καὶ

---

24. a. 808 10 ἀρχιεπίσκοπος: Josephus 18 καθῃρημένος: oeconomus Josephus 19 πατριάρχῃ: Nicephorus

---

7 Sap. 11,20 11 Eccl. 3,7 13 Marc. 4,22

C VMT PS

---

1 μαγίστρῳ ex μαγγίστρῳ corr P 2 ὅτιπερ πονουμένη CS^{ac}T: ὅτι περιπονουμένη cett Sirm (fort recte; cf app cr ad 1 Cor 4,13) ἐστὶ VMTPS Sirm 3 ἔδειξε VMTPS Sirm 5 ὑπὲρ τῆς M 7 καὶ om M 11 καιρὸς ante τοῦ σιγᾶν add T (fort recte; cf ep 219,17) 12 ἐκβῆναι VMPS^{pc} Sirm 13 ἀνέκρινε VMTPS Sirm 15 ἐχόντων: ἐχούσης T ἐπιπολὺ S παρό S: παρῶ C 18 παρ' αὐτὰ T Sirm κοινωνοῦμεν CS: συγκοινωνοῦμεν cett Sirm ἁγίῳ τάτῳ V: ἁγίῳ τούτῳ Sirm 20 ὑπό: ἐπὶ T τὴν αὐτὴν συστολὴν S^{pc} 22 οὐκ ἔτι V 23 ὅρος CS

ζημιοῦσθαι τὰ τελεώτερα. καὶ τοῦτο δεδιδάγμεθα ἐν μὲν τοῖς ἀποστόλοις παρὰ τοῦ Παύλου, ἁγνισαμένου καὶ περιτεμόντος τὸν Τιμόθεον, ἐν δὲ τοῖς πατράσι παρὰ τοῦ Μεγάλου Βασιλείου, προσηκαμένου τὸ λῆμμα τοῦ Οὐάλεντος καὶ ὑποσιωπήσαντος πρὸς καιρὸν τὴν ‚θεός' φωνὴν γυμνὴν ἐπὶ τοῦ Πνεύματος. ἀλλ' οὔτε ὁ Παῦλος ἔμεινεν ἁγνιζόμενος οὔτε Βασίλειος ἔτι προσηκάμενος τὸ τοῦ Οὐάλεντος δῶρον καὶ μὴ κηρύττων θεὸν τὸ Πνεῦμα· τοὐναντίον μὲν ἀμφότεροι ὑπὲρ ἑκατέρων θανάτους αἱρησάμενοι φαίνονται.

Οὕτως τις ἐκ τοῦ αἰῶνος οἰκονομῶν οὐ διέσφαλται τοῦ καλοῦ· θᾶττον γὰρ ἐπεδράξατο, ὃ μικρὸν ἐνέλιπεν, ὡς ἐπὶ οἰακοστρόφου, ὑπανέντος μικρὸν τὸ πηδάλιον διὰ τὴν ἀντιπνεύσασαν καταιγίδα. ἑτέρως δὲ ἐνεχθεὶς διήμαρτεν τοῦ σκοποῦ, ἀντὶ οἰκονομίας παράβασιν τελέσας. καὶ τὰ παραδείγματα πολλά, ἃ παρέλκον ἐστὶ γράφειν διὰ τὸ μακρηγορές. τὸ δὲ τὴν κυριότητά σου φῆσαι ἐπὶ τοῦ κανόνος τῶν ἀποστόλων περὶ τῶν ἐν χρήμασι χειροτονούντων καὶ χειροτονουμένων ὕφεσίν τινα πεποιηκέναι τὸν Χρυσόστομον ἐφ' ὧν καθῆρεν ἕξ ἐπισκόπων, οὐδὲν τὸ παραλλάττον, εἰ καὶ δοκεῖ, ἡνίκα κἀκείνους πάσης ἱερωσύνης ἀλλοτριώσας μόνην τὴν εἰς τὸ θυσιαστήριον μετάληψιν αὐτοῖς παρεχώρησεν. δῶμεν δὲ καὶ παραλλάττειν καὶ ὕφεσιν ἔχειν. μιμείσθωσαν οἱ βουλόμενοι, καὶ οὐδεὶς ὁ κωλύσων· στόμα γὰρ θεοῦ καὶ οὗτος καὶ τῶν ἀποστόλων ὁμόσκηνος, ὃν καὶ πολλοὶ μέμνηνται ἕως τοῦ παρόντος καὶ οὐδεὶς περὶ τούτου διήνεκται. ἀλλ' οὐχ ὡδὶ οὕτως ἔχει· ὁ γὰρ τὸν μοιχὸν στεφανώσας, ὡς μηδὲν πεπραχὼς ἄτοπον, ἱερουργῶν πάλιν ἐστὶν καὶ οὐδὲ ἐν ἀποβύστῳ που εἰσερχόμενος, / ἀλλ' ἐπ' αὐτῆς τῆς καθολικῆς ἐκκλησίας ὡς εἰς ὑπόδειγμα καλὸν τοῖς ἱερεῦσι προκείμενος.

Τίς δὲ ἡμῖν ἡ τοῦ Βαλεντινιανοῦ δυογαμία ἐθνική; καὶ τίς αὐτὸν στεφανώσας ἐπὶ τούτῳ ἀνακηρύττεται ἅγιος καὶ οὐχὶ παράνομος, εἴπερ καὶ ἐστεφάνωται; καὶ τίς τηνικαῦτα τῶν θεσπεσίων πατέρων

---

28 Act. 16,3 29 cf. Bas. ep. 236,6 (PG 32,884 B = III 53 sq. Courtonne) 42 Pallad. vita Jo. Chrys. 15 (PG 47,51) 53 Βαλεντινιανοῦ δυογαμία: cf. Theoph. chron. a. m. 5860 (I 56 De Boor); Socr. hist. eccl. 4,31 (PG 67,548 A sq.)

---

30 λεῖμμα C 32 προσηκάμενος ἔτι VP Sirm τοῦ om M 33 οὖν post μὲν add VMP Sirm 34 ἐρησάμενοι C: αἱρετισάμενοι V 36 ἐνέλειπεν C: ἔλιπεν T τοῦ ante οἰακοστρόφου add VMPS[sscr] Sirm ὑακοστρόφου T 38 δὲ S[sscr] ἐνεχθεὶς CS[ac]T: διενεχθεὶς VMP Sirm διήμαρτε VMTPS Sirm 39 ἐστὶ γράφειν διὰ: ἐστὶν ἰδίᾳ γραφῇ M 42 ἐφῶν C 43 ἐξ' C 45 παρεχώρησε VMTPS Sirm παραλλάττειν: παραφυλάττειν T 47 καὶ[1] om T ὅν: οὗ V Sirm καὶ[3] om T πολλοὶ: πολλὰ V Sirm 48 τουπαρόντος S διήνεγκται S 49 οὐχὶ V[pc] Sirm ὁδὶ S: ὧδε VT: ὧδε M Sirm 50 ἐστὶ VMTPS Sirm ἀποβύστῳ: παραβύστῳ T (sed cf ep 30,33) ποῦ CM 51 εἰς om T 53 Οὐαλεντινιανοῦ VT[pc] Sirm διγαμία VS[pc]: δυγαμία T[pc] 54 τοῦτο T 55 θεσπεσίων: ἁγίων S

γραφῇ παρέδωκεν ὡς ὁσίως Βαλεντινιανὸς πεποίηκεν δύο γυναῖκας ἀγόμενος καὶ χρεὼν ἐκ τοῦ δεῦρο τοῦτο πράττεσθαι; πολλοὶ τοίνυν καὶ ἄλλοι, ἐπειδὴ τὸ βούλεσθαι καὶ αὐτοῖς νόμος ἐστὶν οὐ θεῖος, ἀλλὰ ἀνθρώπινος καὶ κατηγορούμενος, δεδράκασι καὶ δράσωσι τυχὸν ἕως τοῦ αἰῶνος. ἀλλ' ἡ τοῦ θεοῦ ἐκκλησία μεμένηκεν ἀπήμαντος, κἂν πολλοῖς ἐβλήθη τοξεύμασι, καὶ πύλαι ᾅδου κατισχῦσαι αὐτῆς οὐ δεδύνηνται. οὐδὲ παρὰ τοὺς κειμένους ὅρους καὶ νόμους πράττειν τι καὶ λέγειν ἀνέχεται, κἂν πολλοὶ πολλαχῶς ποιμένες ἠφρονεύσαντο· ἐπεὶ καὶ συνόδους συνεκρότησαν μεγάλας καὶ παμπληθεῖς καὶ ἐκκλησίας θεοῦ ἑαυτοὺς ὠνομάκασιν καὶ ὑπὲρ κανόνων ἐφρόντισαν τὸ δοκεῖν, κατὰ κανόνων τὸ ἀληθὲς κινούμενοι. τί δὴ θαυμαστόν, εἰ καὶ νῦν πέντε καὶ δέκα τυχὸν ἐπίσκοποι συναχθέντες τὸν ὑπὸ τῶν κανόνων καθῃρημένον κατὰ δύο αἰτίας ἠθῴωσαν, λύσαντες τοῦ ἱερουργεῖν; σύνοδος τοίνυν, δέσποτα, οὐ τὸ ἁπλῶς συνάγεσθαι ἱεράρχας τε καὶ ἱερεῖς, κἂν πολλοὶ ὦσιν (κρείσσων γάρ, φησίν, εἷς ποιῶν τὸ θέλημα τοῦ Κυρίου ἢ μυρίοι παραβαίνοντες), ἀλλὰ τὸ ἐν ὀνόματι Κυρίου ἐν τῇ ἐρεύνῃ καὶ φυλακτικῇ τῶν κανόνων καὶ τὸ δεσμεῖν καὶ λύειν οὐχ ὡς ἔτυχεν, ἀλλ' ὡς δοκεῖ τῇ ἀληθείᾳ καὶ τῷ κανόνι καὶ τῷ γνώμονι τῆς ἀκριβείας. ἢ δείξωσιν οἱ συνελθόντες τοῦτο πεποιηκότες, καὶ ἡμεῖς σὺν αὐτοῖς, ἤ, ⟨εἰ⟩ οὐ δεικνύουσιν, ἐκβαλέτωσαν τὸν ἀνάξιον, ἵνα μὴ εἰς κατηγόρημα αὐτοῖς καὶ ταῖς μετέπειτα γενεαῖς παραδοθήσεται· ὁ λόγος γὰρ ὁ τοῦ θεοῦ δεδέσθαι φύσιν οὐκ ἔχει, καὶ ἐξουσία τοῖς ἱεράρχαις ἐν οὐδενὶ δέδοται ἐπὶ πάσῃ παραβάσει κανόνος ἢ μόνον στοιχεῖν τὰ δεδογμένα καὶ ἕπεσθαι τοῖς προλαβοῦσιν (οὐκ οἶδα, εἰ μή τι ἀκανόνιστόν ἐστι καὶ παρεωραμένον). καὶ πρὸς τοῦτο κανὼν τοῦ Ἁγίου Βασιλείου εἰς ἱερέα ὀμωμοκότα ἐπ' ἀληθείᾳ τοῦ ἀρκεῖσθαι μόνον τῇ οἰκείᾳ ἐκκλησίᾳ

61 Matth. 16,18 63 Jer. 10,21 70 Sir. 16,3 77 2 Tim. 2,9 81 Bas. ep. 199,17 (PG 32,716 D sq. = II 155 Courtonne; cf. III 1197 C Mansi)

56 Οὐαλεντινιανὸς VT Sirm πεποίηκε VMTPS Sirm 57 χρεὸν CT 58 καὶ om Sirm 59 ἀλλ' VMT Sirm δράσωσι CT: δράσουσι VMPS: δράξουσι Mi 61 καν C: κὰν V: καὶ M ἐβλήθη: ἐθλίβη T κατισχύσαι CSVP Sirm 63 τι: τε T καν C: κὰν V 65 ἐκκλησίαν Sirm ὠνομάκασι VMTPS Sirm 66 τὸ: τῷ VMP Sirm τοαληθὲς S καὶ post δὴ add T 67 πέντε καὶ δέκα S Sirm: πεντεκαίδεκα cett (attamen dicendi seu enumerandi genus indefinitum esse posset; cf app cr ad ep 381,94; 555,46; aliter Thomas 79, Dobroklonskij I 607 aliique) 68 τίς ἐστι σύνοδος καὶ τί τὸ δεσμεῖν καὶ λύειν in marg P 70 καν C: κὰν V ὦσι VMTPS Sirm φησι VMTPS: φησί Sirm εἷς φησι VM 71 μύριοι T ἐνονόματι C 72 ἐρεύνῃ: εἰρήνῃ Sirm φυλακτικὴ C: φυλα//κῆ S: φυλακῇ cett Sirm 74 δείξουσιν V 75 εἰ supplevi 76 ἐκβαλλέτωσαν CS 77 παραδοθῇ M 79 δεδομένα T: τοῖς δεδογμένοις V

καὶ μηδαμοῦ ἀλλῆ προσφέρειν δῶρον. καὶ πάλιν τῆς ἐν Καρθαγένῃ ἐπὶ τῶν χειροτονούντων τοὺς ἐκ τῶν μοναστηρίων ἀποστατοῦντας τὸ τοὺς τοιούτους μὴ δεῖν εἰς ἑτέραν ἐκκλησίαν παρ' ἣν κατέχει ἕκαστος ἐπισκοπὴν ἱερουργεῖν, τοὺς δὲ χειροτονηθέντας εἶναι καθῃρημένους.

Εἰ τοίνυν ἐπὶ τούτων τῶν ψιλῶν καὶ τοῖς πολλοῖς οὐδὲ δοκούντων τι εἶναι ἐφάμαρτον οὐκ ἀνεκδίκητα τὰ κρίματα καὶ τὰ τοῦ θεοῦ δικαιώματα, πόσῳ γε μᾶλλον ἐπὶ τοῦ παρόντος; οὐκ ἔστιν οὖν, οὐκ ἔστιν, ὦ δέσποτα, οὔτε τὴν καθ' ἡμᾶς ἐκκλησίαν οὔτε ἑτέραν παρὰ τοὺς κειμένους νόμους καὶ / κανόνας ποιεῖν τι. ἐπεί, εἰ τοῦτο δοθείη, κενὸν τὸ εὐαγγέλιον, εἰκῇ οἱ κανόνες, καὶ ἕκαστος κατὰ τὸν καιρὸν τῆς οἰκείας ἀρχιερωσύνης, ἐπειδὴ ἔξεστιν αὐτῷ ὡς δοκεῖ μετὰ τῶν σὺν αὐτῷ πράσσειν, ἔστω νέος εὐαγγελιστής, ἄλλος ἀπόστολος, ἕτερος νομοθέτης. ἀλλ' οὐδαμῶς· παραγγελίαν γὰρ ἔχομεν ἐξ αὐτοῦ τοῦ ἀποστόλου, παρ' ὃ παρελάβομεν, παρ' ὃ οἱ κανόνες τῶν κατὰ καιροὺς συνόδων καθολικῶν τε καὶ τοπικῶν ἐάν τις δογματίζῃ ἢ προστάσσῃ ποιεῖν ἡμᾶς, ἀπαράδεκτον αὐτὸν ἔχειν μηδὲ λογίζεσθαι αὐτὸν ἐν κλήρῳ ἁγίων· καὶ τὸ δύσφημον παρῆμεν λέγειν, ὃ αὐτὸς εἴρηκεν. ἡμῖν οὖν τοῖς ἔξω κόσμου οὐδὲν ἄλλο ὀφείλεται ἢ τὸ τὰ τοιαῦτα ζητεῖν καὶ πράσσειν, ἐξ ὧν καὶ ὑμῖν τὸ συνεπαίρεσθαι καὶ ζηλοῦν. καὶ εἰ μὲν ἐν τούτοις ἡ ζωή, εὖ ἂν ἔχοι· εἰ δὲ μή, συμφέρον καὶ ἀοίκους εἶναι καὶ ἀνεστίους καὶ τὴν ὑπ' οὐρανὸν περιέρχεσθαι μετὰ πᾶσαν θλῖψιν καὶ στενοχωρίαν. βοηθησάτω τοίνυν τὰ κατὰ δύναμιν ἡ θεοφιλής σου ψυχὴ καὶ ζηλοτυποῦσα τὰ θεῖα.

25. Νικηφόρῳ πατριάρχῃ

Παραπετάσματί τινι χρώμενοι τῷ εὐτελεῖ ἡμῶν γραμματείῳ αἰδοῖ τοῦ ἀγγέλου τῆς μακαριότητός σου ἐμφανίζομεν ἑαυτοὺς οἱ ταπεινοὶ

83 Conc. Carth. can. 13 (III 971 A Mansi = Conc. Afric. can. 47 [IV 493 E sq. Mansi] [latine]) 97 Gal. 1,9 105 Rom. 8,35

83 ἀλλῆ C: ἄλλῃ cett Sirm (sed cf epp 31,21; 133,30 etc) 83 καρταγένῃ VMP σημείωσαι in marg S 84 καὶ εἰς ἡγουμενίαν προβαλλομένους post ἀποστατοῦντας add T 86 ἱερουργεῖν ἐπισκοπὴν M 97 παρῶ C (bis) κατακαιροῦς T 99 προστάσσει C 100 παρῶμεν S 102 ἐξῶν C ἡμῖν VMTPS Sirm (sed cf infra σου ... ζηλοτυποῦσα) 103 εἰδεμὴ C 105 πάσης θλίψεως V Sirm θλῖψιν CS στενοχωρίας V Sirm

25. a. 808

C VMT PS

2 γραμματίῳ VMP Sirm

τῇ ἱερωτάτῃ αὐτῆς κορυφῇ κατὰ τὸ ἀναγκαῖον. ἤδη γὰρ τὸ παρὸν ἀπήγγειλεν ἡμῖν Ἰωάννης ὁ σύνδουλος καὶ μαθητὴς ἡμῶν, ὡς ἀξιωθεὶς τῆς σεπτῆς σου προσκυνήσεως ἀκήκοεν παρ' αὐτῆς ξένα τινὰ καὶ ἀπευκταῖα· ‚ἀποσχίσται γάρ', φησιν, ‚ἐστὲ τῆς ἐκκλησίας'. πόσον οὖν ἐπὶ τούτοις, ὦ μακαριώτατε, οὐκ εἰκότως ἦν ἡμῶν διατεθῆναι τὴν ψυχὴν λυπηρῶς; πῶς δὲ οὐκ ἐκλαλῆσαι ἀπολογητικῶς τῇ ἁγιωσύνῃ σου καὶ μὴ τῇ σιωπῇ κυρῶσαι τὴν κατηγορίαν;

Ἐγὼ δὲ πρὸ τῆς ἀπολογίας ἐκεῖνο μετ' αἰδοῦς προσαναφέρω, ὅτι οὐχ ὡς ἔτυχεν δεῖ τὰ ὦτα ἀνοίγειν παντὶ τῷ βουλομένῳ κατά τινός τι λέγειν, οὐδ' οὐ μὴν ἀποφαίνειν ἀκρίτως εἰς τὸ διαβληθὲν πρόσωπον· μὴ γὰρ ὁ νόμος ὑμῶν, φησί, κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον καὶ γνῷ τί ποιεῖ. ὥστε ἀκουσάσης τῆς μακαριότητός σου τοῦτο τὸ δύσφορον καὶ ἐλεεινὸν περὶ τῆς εὐτελείας ἡμῶν (τί γὰρ μεῖζον κακὸν τοῦ τῆς ἐκκλησίας χωρισμοῦ καὶ τοῦ τὸν ἀρχιποίμενα τὸ πρόβατον ἀπολέσαι εἴτουν τὸν συμποιμένα; ἔστι γάρ, εἰ καὶ ἀναξίως, καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς χρῖσμα καὶ ὄνομα παρὰ θεοῦ ποιμένος, τολμῶ λέγειν), ἐνεγκεῖν, ἀνακρῖναι, νουθετῆσαι, πῇ μὲν ἰδίᾳ, πῇ δὲ δημοσίᾳ κατὰ τὴν ὑπὸ τοῦ Κυρίου ὑπαγορευομένην μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου ἢ μετὰ δύο διδασκαλίαν καὶ εἶθ' οὕτως τῇ ἐπιμονῇ, ὡς αὐτός φησιν, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. ἡμεῖς δὲ μέχρι τοῦ δεῦρο οὔτε δι' ἀποστόλου οὔτε αὐτοψεί τι τοιοῦτον πρὸς τῆς ἁγίας σου ψυχῆς ἀλλ' οὔτε ἀκηκόαμεν οὔτε νενουθετήμεθα· καὶ οὕτως τὸ ἐνεγκεῖν ἀπόφασιν σκοπησάτω ἡ τελειότης σου, εἰ οὐκ ἀξίως λυπηρὸν γεγένηται τοῖς τέκνοις σου.

/Ἴημεν δὲ ἐπ' αὐτῆς τῆς ἀπολογίας, θεῷ τε τῷ παντεφόρῳ καὶ τῇ ἀρχιερωσύνῃ σου ποιούμενοι τὸν λόγον. οὐκ ἐσμὲν ἀποσχίσται, ὦ ἁγία κεφαλή, τῆς τοῦ θεοῦ ἐκκλησίας, μήποτε τοῦτο πάθοιμεν. ἀλλ'

---

7 cf. Theoph. chron. a. m. 6298 (I 481,24 De Boor) σχίσμα μελετήσαντες; Cedr. hist. II 34,10 (Bekker) σχίσμα ἐποίησαν 14 Joh. 7,51 22 Matth. 18,15 23 Matth. 18,17 29–32 = ep. 28,25–28

---

5 τὸ παρὸν post ἡμῖν transp VM 6 ἀκήκοε VMTPS Sirm 7 ἀποσχισταὶ Mi: ἀπεσχίσθαι M ἐστὲ: ἀπὸ M post ἐκκλησίας rasuram circiter octo litt exhibet V πόσον: πῶς MT 8 τὴν ψυχὴν ante διατεθῆναι transp T 11 πρὸς ἀναφέρω C 12 ἔτυχε VMTPS 13 οὐδ' οὐ: οὐδὲ M 14 κρίνῃ T 18 εἴτ' οὖν VMP Sirm συνποιμένα C: συμποίμενα VMST Sirm 19 καὶ ante χρῖσμα add VM χρίσμα VP Sirm 20 ἀνακρίναι omnes: correxi 22 δύο: τῶν πατέρων δευτέραν (ubi τῶν πατέρων in marg) T δευτέραν T^{pc} 23 ὥσπερ S: ὡς VMP Sirm 24 αὐτοψὶ CST (fort recte) 25 τί VPS ἀλλ' cancell S 28 ἴωμεν VMS αὐτὴν τὴν ἀπολογίαν V τε om T 29 ἀποσχισταὶ Mi 30 ἁγία: ἱερὰ T

εἰ καὶ ἄλλως ἐν πολλοῖς ἁμαρτήμασιν ὑπάρχομεν, πλὴν ὀρθόδοξοι καὶ τῆς καθολικῆς ἐκκλησίας τρόφιμοι, πᾶσαν αἵρεσιν ἀποβαλλόμενοι καὶ πᾶσαν καθολικὴν καὶ τοπικὴν σύνοδον ἐγκεκριμένην ἀποδεχόμενοι, οὐ μὴν ἀλλὰ καὶ τὰς παρ' αὐτῶν ἐκφωνηθείσας κανονικὰς διατυπώσεις· μηδὲ γὰρ τέλειον εἶναι ὀρθόδοξον, ἀλλ' ἐξ ἡμισείας, τὸν τὴν πίστιν ὀρθὴν οἰόμενον ἔχειν τοῖς δὲ θείοις κανόσι μὴ ἀπευθυνόμενον. καὶ τὴν μακαριότητά σου, ἡνίκα προεβλήθη, ἀπεδεξάμεθα, καθὰ εἰς ὑπήκοον αὐτῆς ἀπελογησάμεθα. καὶ ἔκτοτε καὶ μέχρι τοῦ δεῦρο ἐν τῇ μυσταγωγίᾳ ὡς καθήκει ἀναφέρομεν καί, ὡς μάρτυς θεός, εἰ κατ' αὐτὴν τὴν ἡμέραν ἐζήτησεν κοινωνῆσαι ἡμᾶς, συνεκοινωνοῦμεν ἂν αὐτῇ μηδὲν διακρινόμενοι, ἐπεὶ καὶ ποθητὴ ἡμῖν ἐξ ἀρχῆς.

Οὗ χάριν δὲ τὸ θρυλλούμενον; διὰ τὸν οἰκονόμον, ὃν καθῆρεν αὐτὴ ἡ ἀλήθεια, πολλοῖς κανόσιν ὑποπεσόντα· ἐπειδὴ καὶ πρὸ τῆς ἐμφανοῦς μοιχείας, μοιχεύοντι τῷ προβεβασιλευκότι ἐν διαφόροις προσώποις, οὐ μόνον ἦν λειτουργῶν καὶ μεταδιδοὺς καὶ συνεστιώμενος, ἀλλὰ καὶ τὴν μερίδα μετ' αὐτοῦ τιθέμενος, ἐξ οὗ καὶ πρὸς τὴν ἀναφανδὸν ἀσέλγειαν πρόθυμος γέγονεν, καταφρονήσας θεοῦ καὶ τῶν θείων κριμάτων. καὶ ἵνα ἐκδηλότερον εἴη τὸ λεγόμενον, οὐ πρὸς διδαχήν, ἄπαγε, ἀλλ' ἢ μόνον πρὸς ὑπόμνησιν, αὐτήν, εἰ κελεύει, τὴν κατὰ τὴν στεφανικὴν συνάφειαν ἱερὰν μυσταγωγίαν ἀναλήψεται καὶ κατίδοι πόσον ἐστὶν ἐνταῦθα ὑπολαβεῖν τὸν παροξυσμὸν τοῦ Ἁγίου Πνεύματος ἐν ταῖς τοιαύταις ἐναντιολογίαις· πάντως γὰρ ὅσα ὁ ἱερεὺς ὑποφαίνει, ταῦτα καὶ θεὸς κυροῦν ἐπαγγέλλεται κατὰ τὸν μέγαν Διονύσιον.

Ἀλλὰ διὰ τοῦτο δεόμεθά σου τῆς τελειότητος τὸν ὑπὸ τῶν κανόνων καθῃρημένον καὶ ὑπὸ τοῦ προηγησαμένου τὴν ἁγιωσύνην σου εἰρχθέντα ἐν ὅλοις ἐννέα ἔτεσιν παῦσαι τῆς ἱερουργίας, παραλόγως εἰσελθόντα. ἄρτι γὰρ τὸ ταπεινὸν ἡμῶν στόμα ἠνοίξαμεν,

---

37 ἡνίκα προεβλήθη: die 12 mens. April. a. 806 43 οἰκονόμον: Josephus 56 ὑπὸ τῶν κανόνων: cf. ep. 21,16 sq. 57 προηγησαμένου: Tarasius

---

32–35 = ep. 30,8–11

---

34 ἐκφωρηθείσας T 35 ὅρα τῶν ὀρθοδόξων τὰ ἰδιαίτατα γνωρίσματα in marg P ἐξημισίας C: ἐξημισείας P 37 προσεβλήθη Sirm 38 ἐπήκοον VMPS Sirm ἔκ τοτε Sirm: ἐκ τότε Mi 39 καθήκει: προσήκει T ἀναφέρομεν ὡς καθήκει M 40 ἐζήτησε VMPST: ἐζίτησε (sic) Sirm 42 ἐξαρχῆς CS 46 συνεσθιόμενος CST 47 ἐξοῦ C 48 γέγονε VMPST Sirm 54 κυροῦν: πληροῦν VM 56 διατοῦτο MP 58 εἱρχθέντα C ἐν om VMP Sirm ἔτεσι VMPST Sirm 59 στόμα ἡμῶν VMP Sirm

ἡνίκα ἐνεκλήθημεν· ὁπηνίκα γὰρ ἐγεγόνει ἡ συνέλευσις ἐκείνη ἡ μικρὰ καὶ οὐκ οἶδ' ὁποία εἰπεῖν ἐκ τῆς φυλακῆς ἤμην καταυτὰ ἐξεληλυθώς. καὶ ἐπεὶ ἑώρων τούτους συνηθροισμένους, τοὺς καὶ πρότερον τὴν μοιχείαν καταδεξαμένους καὶ τὸν μοιχοζεύκτην ἀσπασαμένους, ἐμνήσθην τοῦ προφητικοῦ ἐκείνου, ὅτι ὁ συνιῶν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρός ἐστιν. ἀλλ' ἐπεὶ ὁ αὐτὸς λέγει· ἐσιώπησα· μὴ καὶ ἀεὶ σιωπήσομαι; διὰ τοῦτο ἐν καιρῷ εὐθέτῳ συκοφαντηθεὶς ἀνένεγκα τὰ παριστάμενα· ἐπεὶ τὸ ὅσον ἐν ἐμοὶ παντὶ τρόπῳ ἐφυλαξάμην ἐν τοῖς δυσὶν ἔτεσι τούτοις μὴ εἰς προῦπτον ἐκβεῖν τὴν ὑπόθεσιν, ἐκεῖνο ἐν ἐμαυτῷ λέγων, ὅτι, ἐπεὶ οὐκ εἰμὶ ἐπισκόπου ἔχων ἀξίωμα δυνάμενος ἐλέγχειν, ἀρκετόν μοι ἡ οἰκεία φυλακὴ καὶ τοῦ μὴ μετασχεῖν με τῆς τε ἐκείνου κοινωνίας καὶ τῶν ἐκείνῳ ἐν γνώσει συλλειτουργούντων, ἕως ἂν ἐκ μέσου γένηται τὸ / σκάνδαλον.

Τοῦτο τοίνυν παρακαλοῦμεν καὶ δεόμεθα, δυσωπηθῆναί σου τὴν ἁγίαν ψυχὴν παρασταλῆναι τὸν ἄνδρα πρὸς τὸ μὴ μωμεῖσθαί σου τὴν ἄληπτον ὁσιότητα μηδὲ χραίνεσθαι τὸ θεῖον θυσιαστήριον καθῃρημένου λειτουργίᾳ μηδὲ εἶναι αἰτίας εὐλόγους σχισμάτων· γινωσκέτω γὰρ ἀψευδῶς καὶ ἀκραιφνῶς ἡ μακαριότης σου ὅτι, εἰ μὴ τοῦτο γένηται νεύσει καὶ τῆς φιλοθέου ψυχῆς τῶν εὐσεβεστάτων καὶ καλλινίκων ἡμῶν βασιλέων (ζηλωταὶ γάρ εἰσιν), τὸ μὲν ἡμέτερον ὅπως ἂν ἕξει, ὑπὲρ τῆς ἐντολῆς ἐνισταμένων, θεῷ ἐγνωσμένον, σχίσμα δὲ μέγα ὑπὸ μάρτυρι θεῷ καὶ τῶν ἐκλεκτῶν αὐτοῦ ἀγγέλων γενήσεται ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ. ἀλλ' ἐλέησον, ὁ ποιμὴν ὁ καλός, ἀλλὰ βοήθησον, ὁ ἰατρὸς ὁ ἐπιστήμων, τὴν ποίμνην σου, τὰ πρόβατά σου, τὰς ἐκκλησίας σου, τρόποις σοφίας σου, λόγοις συνέσεώς σου, φαρμάκοις ἰατρείας σου τὸ ἓν πρόβατον ἀπεῖρξαι μόνης τῆς ἱερουργίας καὶ τὰ ὅλα κερδῆσαι, καὶ μὴ τῇ τοῦ ἑνὸς ψώρᾳ λυμανθῆναι τὴν ἐκκλησίαν, ἣν περιεποιήσατο ὁ Κύριος καὶ θεὸς ἡμῶν τῷ οἰκείῳ αἵματι.

---

60 συνέλευσις: synodus a. 806 convocata 61 ἐκ τῆς φυλακῆς: cf. Theod. Stud. laud. Plat. 35 (837 D); Thomas 80 adn. 8; p. 167* adn. 98 68 ἐν τοῖς δυσὶν ἔτεσι: a. 806 – 808

---

64 Amos 5,13 66 Is. 42,14 83 Joh. 10,11 86–89 = ep. 30,52 – 55 87 Act. 20,28

---

60 ἀνεκλήθημεν T 61 κατ' αὐτὰ PT: παραυτὰ M: κατἀυτὰ Sirm: κατ' αὐτὸ Mi 63 ἀσπαζομένους VMP Sirm 64 συνιὼν P Sirm (συνίων LXX l. l.) 67 ἀνήνεγκα VMPST Sirm 69 ἐκβεῖναι T^pc: ἐκβῆναι VMPS^pc Sirm 70 ἡ om M 71 τοῦ: τὸ VMP Sirm τε om ST ἐκείνων M 72 ἐκ μέσου γένηται: ἐκφένηται T 79 σου ante ψυχῆς add V καὶ ante τῶν add Sirm 80 εἰσι VMPST Sirm 81 ἕξῃ C 82 τῶν om Sirm τοῖς ἐκλεκτοῖς M ἀγγέλοις M 84 ὁ² om T τῇ ποίμνῃ VM^ac Sirm 86 ἀπῆρξαι C 88 Κύριος: χριστὸς VM

26. Συμεὼν ἡγουμένῳ

Ἀξίαν τῆς ἡγιασμένης καὶ θεοφόρου σου ψυχῆς ἐχάραξεν ἡμῖν τὴν ἐπιστολὴν ἡ τιμία σου πατρότης, ὁμοῦ μὲν σημαίνουσαν τὴν ἀγαπητικὴν πρὸς ἡμᾶς τοὺς ἁμαρτωλοὺς διάθεσιν, ὁμοῦ δὲ δηλοῦσαν τὴν ἰσόρροπον καὶ ταὐτόγνωμον αὐτῆς περὶ τῶν θείων ἐντολῶν συμφωνίαν, καὶ μὴν ἐκδιδάσκουσαν τὰ κρείττονα καὶ συμπροθυμοῦσαν εἰς τοὺς προκειμένους ἀγῶνας ἀκλονητὶ ἐνίστασθαι καὶ μηδαμόθεν τῇ τῶν ἑτεροδόξων καὶ εἰκαιολόγων ἀνατρέπεσθαι κενοφωνίᾳ. καὶ γέγονεν ἡμῖν τὸ τίμιόν σου γράμμα ὡς ἀληθῶς ἐμψύχωμα ἀνδρείας καὶ χαράκωμα δυνάμεως, ὡς δοξάσαι ἡμᾶς τὸν ἀγαθὸν ἡμῶν Κύριον, τὸν μὴ τελείως τὴν ταπεινὴν ἡμῶν γενεὰν ἐγκαταλιπόντα, ἀλλὰ δόντα σπινθῆρας ζωτικοὺς τοῖς ἐθέλουσιν ἀναζωπυρεῖσθαι πρὸς τὴν τῆς εὐσεβείας ἀγαθοεργίαν.

Ἔχει μὲν οὕτω ταῦτα. καὶ εὐχὴν εὐχόμεθα ὡς ἁμαρτωλοὶ ἐπιμένειν σου τὴν τῆς ἁγιωσύνης ζωὴν εἰς σωτηρίας ὑπόδειγμα ἡμῖν τε καὶ οἷστισιν ἄλλοις βουλομένοις· οὐ γὰρ πάντως οἱ τοὺς κανόνας στρεβλοῦντες καὶ τοὺς γνώμονας σκελίζοντες εὐθύτητα βλέπουσιν ἐν τοῖς ὀρθοτομοῦσι τὸν λόγον τῆς ἀληθείας, ἀλλὰ καὶ γέλωτα ἀνάπτουσι καὶ ὀνειδισμοὺς προσάπτουσι. καὶ τί ἄλλο ἢ τὸ ἐντεῦθεν μᾶλλον στερεοῦσθαι ἡμᾶς, μανθάνοντας τὸ σαθρὸν καὶ ἐπισφαλὲς τῶν τοιούτων; ὑφ' ὧν ὅτι ἡ σὴ ὑψηλὴ διάνοια οὐχ ἁλίσκεται, ἀξιάγαστον καὶ ἡμῖν πολύευκτον. ζητεῖ δὲ μαθεῖν ὅ τι γέγονε καινότερον πρὸς τὴν ἐνισταμένην ὑπόθεσιν· καὶ οὐκ ἔχομεν λέγειν διὰ τὸ τοὺς κρατοῦντας τὸ νῦν φοσσατεύειν. πρὸς γὰρ τὸν ἀρχιερέα τί δεῖ καὶ λέγειν, μήτε λόγον διαπέμψαντα μήτε ἐθέλοντα ἀκοὴν παραδέξασθαι, ταμιευόμενον πάντα Καίσαρι; ὁ γὰρ κύριος Συμεὼν ἀμφοτερόγλωσσος, πῇ μὲν οὕτως, πῇ δὲ ἄλλως μεταβαλλόμενος. πλὴν ὅτι καὶ πάλιν

26. a. 808 24 φοσσατεύειν: hoc Nicephori bellum silentio praeteriisse videtur Theophanes; cf. chron. a. m. 6301 (I 484 De Boor); ad vocem cf. Psaltes, Grammatik 130 ἀρχιερέα: Nicephorus 26 ταμιευόμενον – Καίσαρι: cf. Alexander, Nicephorus 73; Hussey, Church 53

18 2 Tim. 2,15

VM PS

3 σημαίνουσα VM 4 δηλοῦσα VM 5 αὐτῆς scripsi: τῆς P: cancell S: τὴν VM Sirm 6 ἐκδιδάσκουσα VM συμπροθυμοῦσα VM 9 ἀνδρίας V 11 ταπεινὴν S[pc] (quod iterum in marg) καταλιπόντα VM 18 καὶ om V 19 ὀνειδισμὸν VM 24 τονῦν S

συνήραμεν λόγον καὶ οὐχ ὑφήκαμεν τῆς ἀληθείας. καὶ μικρὸν μὲν μαλάσσε/ται, μένει δὲ ὁ αὐτός, ἐκεῖνα φρονῶν καὶ ζητῶν, ἃ ἐφετὰ πάντως τοῖς κρατοῦσιν. ἐν δὲ τῷ ἐξέρχεσθαι τὸν εὐσεβῆ ἡμῶν δεσπότην πάλιν γεγράφαμεν, ἐκζητήσαντος αὐτοῦ τοῦτο· καὶ ὅμως οὐκ ἠθέλησεν ἡμᾶς εἰς ὄψιν αὐτοῦ ἐλθεῖν. μένομεν δὲ ἡμεῖς οἱ ἁμαρτωλοί, εἴπερ γρηγορεῖ ἡ εὐχὴ ὑμῶν, ὡσαύτως, μὴ βουλόμενοι προδοῦναι τὴν ἀλήθειαν μηδὲ μετασχεῖν τῆς κοινωνίας αὐτῶν, κἂν ἐξορία πρόκειται, κἂν ξίφος στιλβοῦται, κἂν πῦρ ἀνάπτηται. ἀλλ' οὐκ ἂν τοῦτο δυνηθείημεν, ἀνάξιοι τυγχάνοντες τοῦ καὶ ὀνομάζεσθαι μόνον μοναχοί, εἰ μὴ προσσχὼν Κύριος ταῖς ὑμετέραις ἱεραῖς προσευχαῖς δυναμώσειε τὸ ἡμῶν ἀσθενὲς καὶ σαθρόν.

Διὸ γρηγορεῖτε, πατέρες ἅγιοι, εἰς αὐτὸ τοῦτο, ὑμέτερον ἡγούμενοι, ὅπερ καὶ ἐστί, τὸ κοινωφελὲς πρόβλημα. θεοῦ δὲ κελεύσει ἐξερχόμενος ὁ αἰδεσιμώτατος ἀδελφὸς ἡμῶν καὶ οἰκονόμος τῆς ἁγίας ἡμῶν μονῆς ἀγάγῃ τῇ ἁγιωσύνῃ σου ἀντίγραφα τῶν διαπεμφθέντων ἐπιστολῶν πρὸς ἑκάτερα πρόσωπα, ἵνα κἀντεῦθεν ἐναργέστερον μανθάνουσα τὰ καθ' ἡμᾶς τὸ μὲν βοηθῇ γράμμασι, τὸ δὲ ἐπικουρῇ ἱκετηρίαις. καὶ ἄλλον δέ τινα παρεθέμεθα τῷ ἀδελφῷ λόγον, καὐτὸν πάντως ἀναγγελεῖ καὶ ἀποδώσει, ὁπηνίκα φθάσει ἰδεῖν τὸν τίμιόν σου χαρακτῆρα.

Προσαγορεύει σὺν ἡμῖν καὶ ὁ ἀρχιεπίσκοπος, ὁ Καλόγηρος, ὁ ἀββᾶς Λεόντιος καὶ ἡ λοιπὴ ἡμῶν ἀδελφότης. τὴν ἁγίαν σου συνοδίαν προσειπεῖν ἐξ ἡμῶν καταξίωσον.

27. Νικήτᾳ πατρικίῳ

Τοὺς μὲν ἄλλους τυχὸν χάρις ἀνθρωπίνη ἀναβιβάζειν πέφυκεν ἐπὶ τὸ ὕψος τῶν ἀξιωμάτων· σὲ δὲ τὸν εὐσεβέστατον καὶ παμπόθητον

---

42 διαπεμφθέντων ἐπιστολῶν: cf. adn. ad ep. 34,90   48 ἀρχιεπίσκοπος: Josephus

28 Matth. 18,23   35 Ps. 7,12

33 ἡμῶν Sirm   ὑμῶν ἡ εὐχὴ VM   36 τυγχάνοντες: ὄντες S[ac]   37 προσχὼν PS Sirm   39 ἡμέτερον S   40 ἔστι Mi   41 ἡμῶν ἀδελφὸς VM   42 ὑμῶν omnes: correxi   διαπεμφθεισῶν V[pc] Sirm (sed cf ep 34,90 φθασάντων παρανομιῶν; ep 48,148 προλεχθέντων ἐξοριῶν aliaque id genus)   48 καλόγηρως codd (cf tamen epp 15,5; 72,23)   καὶ ante ὁ ἀββᾶς add VM Sirm

27. a. 808

C VM PS

ἡμῶν δεσπότην ἀρετὴ ὡς ἀληθῶς καὶ οὐ χάρις τις ἀνήγαγεν ἐν τῷ μεγέθει τοῦ ἀξιώματος, οὐ μὲν οὖν κατά τινα χρόνον καὶ ἐν μιᾷ ἐξουσίᾳ, ἀλλὰ διὰ παντὸς καὶ ἐν πολλαῖς, ὥσπερ τινὰ χρυσὸν μεταχειριζομένη καὶ εἰς πᾶν ὁτιοῦν κόσμον τῇ εὐσεβεῖ ἡμῶν βασιλείᾳ προβαλλομένη. καὶ τὰ πράγματα δῆλα, κἂν ἡμεῖς μὴ λέγωμεν, ὥστε καὶ τὸ νῦν ἀξιολόγως οἱ χριστομίμητοι ἡμῶν βασιλεῖς ἀντιπρόσωπον τῆς ἑαυτῶν καλοκἀγαθίας ἔθεσάν σε ἐν ταύταις ταῖς ἡμέραις τῇδε τῇ βασιλευούσῃ πόλει. αὕτη ἐστὶν ὑπὲρ τῆς πεμφθείσης προσηγορίας παρὰ τῆς εὐσεβείας σου τὸ νῦν διὰ τοῦ γραμματηφόρου ἀντιπροσφώνησις. καί γε Κύριος ὁ θεὸς ἡμῶν διαφυλάξειέν σε ἀπήμονα ψυχῇ τε καὶ σώματι πρὸς τὸ ἑξῆς ἐν τῷ ἄρχειν τε καὶ ἐξουσιάζειν, ὡς ἂν ὑπὸ θεοῦ σοι δι' αὐτῶν τῶν πραγμάτων μεμαρτύρηται ἡ ἐξουσία δεδόσθαι.

Ἐπειδὴ δὲ φειδοῖ τῆς ταπεινώσεως ἡμῶν (οὕτω γὰρ πιστεύομεν καὶ οὐκ ἄλλως) διελέχθη σου ἡ εὐσέβεια τῷ ἀδελφῷ περὶ τῆς ὑποθέσεως τῶν τριχῶν, τοῦτο καὶ ἐκεῖνο ποιησάντων ἡμῶν, καὶ ὡς δέον καὶ καιρὸν σκοπεῖσθαι καὶ κανονικῶς πράττειν καὶ ἐν τοῖς οἰκείοις ὅροις μένειν, ἐπειδὴ καὶ πατριάρχης προκαθεζόμενος ὧδε, τἀληθῆ ἀπολογούμεθα, πρότερον ἀπευχαριστοῦντες αὐτῇ ὅτι πονοῦσά ἐστι καὶ κηδομένη τῶν καθ' ἡμᾶς. καὶ δέον· ἰδίωμα γὰρ αὐτὸ τοῦτο / καὶ μαρτυρία τῆς ἧσπερ ἀναγγέλλομέν σου καλοκἀγαθίας, τάχα δὲ καὶ διὰ τὴν ἀγχιστείαν ὀφείλει τις εἶναι ἰδικωτέρα παρὰ τοὺς πολλοὺς διάθεσις.

Νόμοι τοιγαροῦν, ὦ δέσποτα, θεῖοι καὶ κανόνες εἰσὶν οἱ ἄγοντες πάντα τὸν εὐσεβοῦντα, παρ' οὓς οὐκ ἔστιν οὔτε πρόσθεσιν οὔτε ὕφεσιν ποιεῖσθαι. αὐτοὶ καὶ ἡμᾶς τοὺς ταπεινούς, εἰ καὶ μυριάκις σφαλλόμεθα πρὸς ταῖς ἄλλαις ὑποθέσεσι, καὶ εἰς τὸν τῶν κομώντων ἴσχουσιν. καὶ ὥσπερ ἡ ἐξουσία σου τὰ διατεταγμένα πρὸς τῶν εὐσεβῶν ἡμῶν δεσποτῶν φυλάττειν διαγωνίζεται, πῇ μὲν ἀναγγέλλουσα τὰ συμβαίνοντα, πῇ δὲ ἐκπληροῦσα τὰ προστασσόμενα, εἴργουσά τε καὶ ἀφορίζουσα καὶ ὅσα ἄλλα ἐπισυμβαίνει, οὐ δυσωπουμένη προσ-

5 οὔμεν οὖν VMP: οὔμενουν S 6 διαπαντὸς MS 7 πᾶν ὅτι οὖν C: πᾶν ὁτιοῦν cett: πάντα ὁντινοῦν Sirm κόσμου V γράφεται πάντα ὁντινοῦν κόσμον in marg V ἡμῶν om M 8 καν C: κὰν V 12 ἀντί προσφώνησις S: προσφώνησις M[ac] 13 διαφυλάξειέ VMPS Sirm 19 περὶ τῶν κομώντων ταῖς θριξίν in marg CP 20 σκοπῆσθαι C 21 ἐπεὶ C δὲ ante καὶ add V 22 πρότερον: πρῶτον S ἐπευχαριστοῦντες S 23 αὐτὸ om S 25 πολλοὺς: ἄλλους Sirm 27 τοιγὰρ οὖν C θεῖοι S[sscr] 28 οὓς C: οἷς cett Sirm 30 τὸν CV[ac]MP[ac]S[ac]: τὴν cett Sirm 31 ἴσχουσι VMPS Sirm 32 δι' ἀγωνίζεται C 34 πρόσωπα V Sirm

ώπῳ τινὶ οὔτε μικρῷ οὔτε μεγάλῳ (ἅπαξ γὰρ ὃ ἤκουσεν καὶ ἐνετάλθη ἐκπληροῦν κατασπεύδεται· κίνδυνος γὰρ οὐχ ὁ τυχὼν κἂν πρὸς μικρὸν ἀναβάλλεσθαι), οὕτω τοίνυν καὶ πολλῷ μᾶλλον ἐφ' ἡμῖν τοῖς λαχοῦσι τὸ ἱερατεύειν μείζων καὶ ὀλεθριώτερος ὁ κίνδυνος μὴ ἀποπεραιώσειν πάντα τὰ διὰ τῶν θείων κανόνων καὶ θεσπεσίων πατέρων παρὰ τοῦ βασιλέως τῶν ὅλων θεοῦ προστασσόμενα. ὅτι δὲ πρόσταγμα θεῖον, πρῶτον μὲν φανεροῖ ὁ ἀπόστολος, ἔπειτα αἱ διατάξεις, εἶτα ὁ Χρυσόστομος, κατασκευάζων ἁμάρτημα ὁμολογούμενον εἶναι τὸ κομᾶν τοὺς ἄνδρας, τελευταῖον ὁ παρὰ τῇ ἕκτῃ ἁγίᾳ συνόδῳ κανών, προστάσσων καὶ ἀφορισμὸν τοῖς μὴ πειθομένοις· ὃν καὶ ἀπέστειλα, ἵνα αὐτήκοος γενομένη γνοίη μηδὲν ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἀκανονίστως ποιεῖν.

Ἡμεῖς δὲ τούτου τοῦ κανόνος οὐκ ἐπικρατεῖς νῦν γεγόναμεν, ἀλλὰ πάλαι, καὶ γνωστὸν γέγονε καὶ τῷ προηγησαμένῳ πατριάρχῃ· ἐπεὶ καὶ διελέχθη ἡμῖν τὰ εἰκότα, οὐκ ἐγκαλῶν, ἀλλ' ἀποδεχόμενος (πῶς γὰρ ἂν καὶ ἠδύνατο, κανόνος κειμένου;) λέγων τε ὅτι ‚γέγονε κἀμοὶ ὑπόμνησις περὶ τούτου, κἂν οὐκ ἠκούσμεθα'. ἀλλ' ἐκείνῳ μὲν τὴν οἰκονομίαν οὐκ ἠκριβολογούμεθα, ἡμεῖς δὲ ἕως τοῦ νῦν οὕτω διήλθομεν, οὐ δημοσίως διαγορεύοντες (ἐπεὶ μηδὲ ἐπισκοποῦμεν), ἐν δὲ τῇ οἰκείᾳ ἐκκλησίᾳ φυλαττόμενοι, διότι ἱερατεύομεν, καὶ προέσθαι τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τοῖς ὁμολογουμένως κρατουμένοις ὑφ' ἁμαρτήματος οὐχ οἷόν τέ ἐστι, κἂν ὁστισοῦν τυγχάνῃ, οὐκ οἶδα, εἰ μὴ ἐπαγγέλλεται τὴν διόρθωσιν· καὶ γὰρ πολλοῖς καὶ συνεχωρήσαμεν καὶ παραχωροῦμεν μέχρι μιᾶς καὶ δευτέρας ὑπομνήσεως ἢ καὶ τρίτης, τὸ δὲ πλέον ἀδιαφορία καὶ τῶν κανόνων καταφρόνησις, μᾶλλον δὲ θεοῦ, παρ' οὗ ἐδόθησαν.

Αὕτη ἡμῶν ἡ ἀπολογία, δέσποτα, πρὸς τὴν ὑπερφυῆ σου ὑπεροχήν. καὶ δεόμεθα αὐτῆς, ὅπουπερ ἂν ἐπιρρυῇ λόγος, τὰ δέοντα ὡς ὑπὸ θεοῦ ἀνακρινομένη καὶ μισθαποδοτουμένη ὑποβαλεῖν· περὶ γὰρ ὅτι χειρὶ ἐποιήσαμεν ἡμεῖς ἐνταῦθά τινι, γελοῖόν ἐστι καὶ τὸ πιστεύεσθαι

---

48 πατριάρχῃ: Tarasius

41 cf. 1 Cor. 11,14 42 Jo. Chrys. hom. in 1 Cor. 4 sq. (PG 61,217 sq.); cf. ibid. prooem. (PG 61,11) 43 Conc. quin. can. 96 (XI 984 E sq. Mansi)

35 τινὶ: τινα V μικρῷ: μικρὰ V Sirm μεγάλα V Sirm ἤκουσε VMPS Sirm ἐντετάλθη C (fort recte) 36 κὰν CV 38 ἀποπεραιοῦσι V 43 ἁγίᾳ ἕκτῃ VM ἁγίᾳ S[sscr] 49 ἡμῖν: ἡμῶν Mi 51 κὰν CV 54 voces καὶ προέσθαι τὸ σῶμα post ἱερατεύομεν iterum scriptas cancell S 56 κὰν CV 57 τυγχάνει C 62 ἐπιρροιῇ C 63 τοῦ ante ὅτι add VS[sscr] Sirm ὅ τι V 64 fort exc ante τινι vocula τί καὶ om Mi

πρός τινος τῶν εὖ φρονούντων. οὐδαμῶς· ἀλλὰ τὸ παρ' ἡμῶν μετὰ πάσης παρακλήσεως καὶ τῶν καταδεχομένων μετὰ πάσης συγκαταθέσεως γέγονεν, καὶ τότε ἀκρωτηριασμὸς τῶν ὑπερκομώντων σχεδὸν / μέχρι ζώσεως καὶ καταβλακευομένων, ἵνα δόξωμεν μικρόν τι τοῦ κανόνος μὴ ἀποπίπτειν· καὶ ἴσως ἐκ τούτου γένηταί τις πρὸς τὸ βέλτιον ἐπαναδρομή.

Εὔχου τοίνυν, ὦ δέσποτα, ἐννόμως καὶ εἰρηνικῶς ἡμᾶς ζῆν, συμβάλλων καὶ τὰ παρ' ἑαυτοῦ ἐν τοῖς καθ' ἡμᾶς κατὰ τὸ δυνατόν, ἵνα, ἐάν τι ἀγαθόν, συμμεθέξει καὶ ἡ τιμία σου ψυχὴ τοῦ καλοῦ.

28. Βασιλείῳ μονάζοντι

Ἐδεξάμεθά σου τὰ γράμματα τῆς ἀδελφικῆς ἀγάπης καὶ ἐθαυμάσαμεν ἐπὶ τῇ ἀθρόᾳ μεταβολῇ αὐτῆς. τὰ μὲν πρότερα (ἵνα τὰ ἄλλα ἐάσω λέγειν), οὐκ ἀναγκαῖα ὄντα κατὰ τὸ παριστάμενον, Ἰωσὴφ τοῦ οἰκονόμου κατηγορίαν εἶχον, ὡς κακῶς εἰσελθόντος αὐτοῦ εἰς τὴν ἐκκλησίαν, τὰ δὲ δεύτερα τοὐναντίον ἀθώωσιν ἐμφαίνοντα παντάπασιν. καὶ ὁ τὸν αὐτὸν κατὰ τὸ αὐτὸ πρᾶγμα ποτὲ μὲν ἐπαινῶν ποτὲ δὲ ψέγων ὅ τι λέγει τις τῶν ἁγίων γινώσκειν ὀφείλει ἡ θεοσέβειά σου. ἀλλ' ἔστω τοῦτο εἰς μηδέν, καίπερ ὂν ἐναντιολογίας ὄφλημα. τί δὲ ὅτι οὕτως ἀκρίτως προήχθη, πρὶν ἐξεταστικῆς καὶ μαθηματικῆς πείρας, ἀποφήνασθαι κατὰ τῆς ταπεινώσεως ἡμῶν ἀποσχισμὸν τῆς καθ' ἡμᾶς ἐκκλησίας καὶ διὰ τοῦτο ἀναθεματισμόν; πρόσεχε σεαυτῷ, φησὶν ὁ λόγος, καὶ πρὶν ἐξετάσεις, μὴ μέμψῃ καὶ νόησον πρῶτον, καὶ τότε ἐπιτίμα. αὐτὴ δὲ μηδὲν τούτων παρατηρήσασα μηδὲ ὑπολογισαμένη ὅτι πρόσεστι καὶ ἡμῖν πάντως τὸ κατὰ λόγον λέγειν καὶ πράττειν οὕτως ὡς ἀπαιδεύτοις καὶ ἀλόγοις καὶ ἀρτιγεύστοις τῆς μοναδικῆς πολιτείας καὶ ἐν μαθητευομένοις τελοῦσιν ἐπετίμησας. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἐπέπληξας. καὶ εἴθε τοῦτο· ἀλλὰ καὶ

---

65 εὐφρονούντων Sirm 67 γέγονε VMPS Sirm 69 ἀπὸ πίπτειν C 73 συμμεθέξῃ P Sirm καὶ om Mi

---

28. a. 808

12 Ex. 34,12 13 Sir. 11,7

C VM (ll. 1 – 69) PS

6 παντάπασι VMP Sirm 8 γιγνώσκειν P 9 μηδὲν CS: οὐδὲν cett Sirm ἐναντιολογίας ὂν VMP Sirm 10 προήχθης Mi 11 ἀποσχοινισμὸν VMPS[pc] Sirm 12 διατοῦτο VMP σημείωσαι in marg C 13 πρῶτον νόησον VM Sirm 14 αὔτη VM 15 καταλόγον C

ἀναθεματισμῷ παρέπεμψας. καὶ φεῦ τὰ τῶν ἀνθρώπων· πῶς οὐκ ἐπὶ πολὺ διασῴζει τοὺς τῆς φιλίας ὅρους ἀμετακινήτους; εἰ γὰρ τοῦτο ὑπῆρχεν τῇ τιμιότητί σου ἀκραιφνές, οὐκ ἂν οὕτως ἀπροόπτως τὴν εὐτέλειαν ἡμῶν κατεκερτόμει. πλὴν ἄξιοι τῶν τοιούτων, καὶ οὐ θαυμαστόν, εἰ καὶ ὑπὸ τῆς φιλίας σου προυπηλακιζόμεθα.

Ἡμεῖς δὲ ὅ ἐσμέν, θεῷ μὲν πεφανερώμεθα, δίκαιον δὲ καὶ τῇ συνέσει σου, ἐπὰν προσκόπτῃ καὶ σκανδαλίζεται, ἐπιδηλῶσαι. οὐκ ἐσμὲν ἀποσχίσται, ὦ θαυμάσιε, τῆς τοῦ θεοῦ ἐκκλησίας, μήποτε τοῦτο πάθοιμεν· ἀλλ' εἰ καὶ ἄλλως ἐν πολλοῖς ἁμαρτήμασι τυγχάνομεν, ὅμως ὁμόσωμοι αὐτῆς καὶ τρόφιμοι μετὰ τῶν θείων δογμάτων καὶ τοὺς κανόνας αὐτῆς καὶ διατυπώσεις γλιχόμενοι φυλάττεσθαι. τὸ δὲ ταράττειν καὶ ἀποσχίζειν ἀπ' αὐτῆς, τῆς μηδεμίαν ἐχούσης ἀληθῶς κηλῖδα ἢ ῥυτίδα κατά τε τὸν τῆς πίστεως λόγον καὶ τὸν τῶν κανόνων ὅρον ἀπ' ἀρχῆς αἰῶνος καὶ μέχρι τοῦ δεῦρο, ἐκείνων ἐστίν, ὧν ἡ πίστις τὸ ἐνδιάστροφον ἔχει καὶ ὁ βίος τὸ ἀκανόνιστον καὶ ἄθεσμον· ὧν εἷς ἐστι καὶ ὁ Ἰωσὴφ ὁ τὸν μοιχὸν στεφανώσας οἵ τε τούτῳ ὡς ἀμέμπτῳ ἀνεχόμενοι συλλειτουργεῖν, καὶ μὴν καὶ οἱ συνιστῶντες αὐτὸν ὡς ἀθώως ἱερουργοῦντα. πῶς γὰρ κανονικῶς ἡμῖν γράφουσα ἡ εὐλάβειά σου οὐ τοὺς θείους κανόνας ἐπίσταται, ὅτι κατ' αὐτοὺς καθῃρημένος ἐστὶν ὁ ἀνήρ; εἰ γὰρ εἰς διγαμοῦντος / γάμον οὐκ ἐῶσι τὸν πρεσβύτερον ἑστιαθῆναι, τί πρὸς τὸ τὸν δίγαμον στεφανῶσαι; τί δὲ τὸ εἰς μοιχικὸν γάμον ἑστιαθῆναι ὅλαις τριάκοντα ἡμέραις; τί δὲ (τὸ ὀλεθριώτερον) τὸ καὶ στεφανῶσαι μοιχὸν κατὰ τὸν λόγον τοῦ Κυρίου, τὴν ἐπὶ τῇ συναφείᾳ ἱερὰν προσευχὴν λέγοντα τὸν μοιχοζεύκτην καὶ προσκαλούμενον τὴν θείαν χάριν ἀθέως ἐπὶ τοὺς βεβήλους; ἀπόπτυστός ἐστι παρὰ θεῷ κατὰ τὸν θεῖον Διονύσιον καὶ ἀνίερος ὁ τοιοῦτος· παρέλκον γάρ ἐστι τοὺς ἐπ' αὐτῷ ἄλλους κειμένους κανόνας ὧδε γράφειν. ὅτι δὲ καὶ ὑπὸ τοῦ προηγησαμένου πατριάρχου ἀφωρισμένος ἐνναετῆ χρόνον ἔτυχεν καὶ ὁ κανών, εἰ μὴ ἐντὸς ἐνιαυτοῦ λυθῇ, οὐκ ἀνέχεται ἔτι τὴν λύσιν, ποῦ θήσομεν;

---

47 πατριάρχου: Tarasius

---

30 Eph. 5,27   38 Conc. Neoc. can. 7 (II 542 B Mansi)   42 cf. prec. nupt. p. 317 (Goar)   44 vocem ἀπόπτυστος apud corpus Dionys. non inveni   47 cf. Conc. Afric. can. 46 (IV 493 E Mansi)

---

20 διασώζεις VMP Sirm   21 ὑπῆρχε VMPS Sirm   23 προπηλακιζόμεθα VMS Sirm   25 προσκόπτει CS   σκανδαλίζηται VMP Sirm   26 ἀποσχισταὶ Mi   28 διδαγμάτων V   29 τὰς ante διατυπώσεις add MS[sscr] (fort recte)   γλιχόμεθα V   30 τῆς: τὴν Sirm   μηδὲ μίαν CVP   ἐχούσης ἀληθῶς: ὡς ἀληθῶς ἐχούσης VM   31 κιλίδα CP: κηλίδα cett Sirm   32 ὅρον S: ὅρων CP[ac]   ἀπαρχῆς C   40 τὸν πρεσβύτερον ante ὅλαις add S   ἡμέραις τριάκοντα V   44 τὸν βέβηλον V   verba παρὰ θεῷ post Διονύσιον transp VM   45 ἄλλως VM   47 ἔτυχε VPS Sirm: ἐτύγχανε M   48 λυθεῖ C

πάντως δὲ ἡ ἀπάντησις, ὅτι ἐλέλυτο. καὶ εἰ ἐλέλυτο, πῶς οὐχ ἱερούργει; καὶ εἰ ἐλέλυτο, πῶς ἄρτι ἐζήτησεν λύσιν ὑπὸ συνόδου; δῆλον ὅτι ὁ δεδεμένος ζητεῖ λυθῆναι, οὐχ ὁ ἄδετος· ὥστε κἀνταῦθα περιπίπτει ἑαυτῷ ὁ θέλων κατὰ τῆς ἀληθείας κινεῖσθαι.

Βεβήλωσις οὖν τῶν ἁγίων ἐστίν, ὦ ἀδελφέ, τοῦτον ἱερουργεῖν, καὶ σύγχυσις παντελὴς τῶν κανόνων τὸ μὴ τὰ τοιαῦτα φυλάττεσθαι. τί γὰρ λέγει καὶ ὁ Χρυσόστομος; ὅτι οὐκ ἀκίνδυνόν ἐστι τὸ ἀνεξέταστον ἐπὶ τοῦ ἱερέως, οὐ περὶ πίστεως, ὡς οἴει, τοῦτο λέγων, ἀλλὰ περὶ τῆς κατὰ τὸν βίον ἀκριβείας. ἐκζητεῖν τοίνυν καὶ ἀνερευνᾶν ἕκαστον ὅπως ἔχει οὐ δέον· ἡ χάρις γὰρ καὶ ἐπὶ τοὺς ἀναξίους διὰ τοὺς προσιόντας κάτεισιν. εἰς δὲ τοὺς προδήλως κατεγνωσμένους, ὧν ἐστιν εἷς καὶ ὁ Ἰωσήφ, μάλα ἀνομίαν μεγάλην συνάψας ἀναφανδὸν τῆς οἰκουμένης, ἣν ὁ Κύριος ἀπέφηνεν, καὶ ἐναγέστερος τοῦ μοιχεύσαντος χρηματίσας ὁ τοῦτον συζεύξας, τὸ μὴ διαστέλλεσθαι κατὰ τὸν Θεολόγον προδοσία τῆς ἀληθείας σαφὴς καὶ τῶν κανόνων παράλυσις.

Ἢ οὐκ οἶδέν σου ἡ φιλία ὅτι αὐτὸ τὸ θεῖον αὐτεκδίκητον γέγονεν, ἡνίκα οὐ διανέστη ὁ ἰθύνων τὴν ἐκκλησίαν τὸ τηνικάδε, ὡς Σαμουὴλ πάλαι ἐπὶ τοῦ ἄφρονος Σαούλ, διαρρῆξαι τὴν τοῦ νέου Ἡρώδου κατὰ τὸν τῆς μοιχείας τρόπον βασιλείαν; ταῦτα γὰρ πέπονθεν καὶ Ἡρώδης ἐκεῖνος, ὑπὸ τοῦ οἰκείου λαοῦ ἀνασοβευθεὶς καὶ ἀποκτανθείς, ἐπὰν εἴασεν τὴν τοῦ Ἀρέτα βασιλέως θυγατέρα, νόμιμον αὐτοῦ οὖσαν γυναῖκα, ἀγαγόμενος παρανόμως τὴν τοῦ ἀδελφοῦ Φιλίππου Ἡρωδιάδα. εἰ δὲ ταῦτα οὐ δέον ἐκδικεῖσθαι, ἡμαρτηκὼς ἐνώπιον τῆς ἀγάπης σου γέγονεν, εἰ καὶ τολμηρὸν εἰπεῖν, ὁ Πρόδρομος Ἰωάννης, ἐλέγξας τὸν Ἡρώδην καὶ θανὼν ὑπὲρ τοῦ ἐλεγμοῦ· ὡσαύτως καὶ ὁ Χρυσόστομος, ὑπὲρ τοῦ ἀγροῦ τῆς χήρας ἔνστασιν ἀθλητικὴν ἐπι-

---

67 νέου Ἡρώδου: Constantinus VI

52 cf. Herod. 1, 108, 4 μηδὲ σοὶ αὐτῷ περιπέσῃς 55 Jo. Chrys. sacerd. 2,4 (PG 48,635) 66 1 Reg. 15,10 sq. 71 Matth. 14,3 73 Marc. 6,18 75 Theod. Trimith. vita Jo. Chrys. 15 (PG 47, lxvii)

49 ἱερουργεῖ Mi 50 ἐζήτησε MPS: ἐξῄτησε V Sirm (fort recte; cf Theod Stud catech parv 71 [p. 246,2 Auvray]; Euagr h. e. 2,18 [p. 85,6 Bidez-Parmentier]) 51 δηλονότι V Sirm λυθῆναι: λύσιν S 52 περιπέπτωκεν V 56 οἴῃ C: οἴ//ει V 58 τοὺς: τὸν V ἀνάξιον V 60 ἐστιν om V 61 ἀπέφηνε MPS Sirm: ἀπέφησε V ἐναργέστερος V^{pc}PS^{ac} Sirm: ἐναργέστερον M 62 τὸ: τῷ V Sirm verba τὸ μὴ διαστέλλεσθαι post συζεύξας iterum scripta cancell S 65 οἶδε VMPS Sirm 66 τὸ: τῷ CS 67 τῷ ἄφρονι V Sirm διαρρήξαν C^{ac} τὴν: τὰ M 68 τῆς om VM τρόπον: τύτον (sic) M βασιλείαν: βασιλεύσαντος M πέπονθε VMPS Sirm 69 ἀνασοβευθεὶς: hic desin epist in M ἐπὰν CP 70 εἴασε VPS Sirm 74 ὡς αὔτως C

δειξάμενος (ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ, φησίν, τάχα τις καὶ τολμᾷ ἀποθανεῖν), ἵνα μὴ λέγω τὰς τῶν ἄλλων ἁγίων ὁμοτρόπους ὑπὲρ τῶν τοιούτων ἐνστάσεις. ἢ πάλιν ἀγνοεῖ ἡ τιμιότης σου ὅτι ἐκ δύο συνισταμένου τοῦ χριστιανισμοῦ, λέγω δὴ πίστεως καὶ ἔργου, εἰ θάτερον λείπει, οὐδὲ τὸ ἕτερον ὀνίνησι τῷ ἔχοντι;

Ζηλούτω τοίνυν, παρακαλοῦμεν, τὰ θεῖα, καὶ πρῶτον μὲν ὡς τοῦ κοινοῦ πατρὸς τέκνον χρηματίζουσα συνεπαιρέσθω πρὸς τὰ δέοντα, δεύτερον ὡς τῷ μακα/ρίτῃ Σάβᾳ μαθητευσαμένη ἀκρίβειαν οὐ μόνον κατὰ τὴν πίστιν, ἀλλὰ καὶ κατὰ τοὺς κανόνας ἀσπαζέσθω, τρίτον τὰ ἀδελφὰ ἡμῖν φρονείτω ὡς ὁμάδελφος οὖσα καὶ (ὑπομιμνήσκομεν) τὸ οἰκεῖον κάθισμα ἐπιτηρείτω, μήπως ἐντεῦθεν σκάζωμεν περὶ τὰ κάλλιστα. σύγγνωθι ἀδελφικῶς ὑπομνήσκουσιν, ὥσπερ καὶ αὐτῷ ἡμεῖς· καὶ οὐ χρεὼν ἡμᾶς ἀγανακτεῖν ὑπομνησθέντας, μηδὲ ἡ σὴ τιμιότης δριμυσσέσθω, ἀλλὰ ἀναπτέσθω μᾶλλον εἰς ἀγάπην καὶ ἐπιστελλέτω ὁσάκις ἂν καὶ βούληται τὰ τοιαῦτα. οὐδὲν γὰρ παρὰ τούτου βλαβησόμεθα ἢ τὸ βιοῦν ἀσφαλέστερον.

Περὶ δὲ τοῦ πάπα, τίς ἡμῖν λόγος οὕτως πράσσοντος ἢ ἐκεῖνο, ὡς τοῖς οἰκείοις, συγχώρησον, ἑάλω πτεροῖς κατὰ τὸ λόγιον; μηδὲν γὰρ περὶ τῶν ἐκδήλων ἁμαρτημάτων τοῦ ἱερέως φροντίζειν φάμενος οὐ τόν τινα ἱερέα, ἀλλὰ τὴν κεφαλὴν τῆς ἐκκλησίας κατεκωμῴδησεν τοσαῦτα καὶ ἀπεμυσάξατο, ὡς ἡμᾶς αἰδεσθῆναι καὶ ἀκοῦσαι. εἰ δὲ ἀληθῶς οὕτως ἐστί, φεῦ τῆς ἱεραρχίας. πλὴν νουνεχῶς κινοῦμεν τὴν γλῶτταν, παρακαλοῦμεν, ἐπὶ τὰς κεφαλὰς καὶ μὴ οὕτω σφοδρῶς ἀποφαινώμεθα. εἰ δὲ ὅτι οἱ ἄνθρωποι μέλλουσιν ἀνοίγειν τὰ στόματα, ὡς γέγραφας, ἐπὶ τὸ λέγειν ὅτι ἐκπεσόντες τῆς ἐνταῦθα πατριαρχίας εἰς ἑτέραν ὑπόθεσιν μετεπέσαμεν, μὴ φροντιζέτω σου ἡ τιμιότης. οἶδεν ὁ θεὸς καὶ τὴν πρώτην κίνησιν καὶ τὴν δευτέραν, ἀλλὰ μὴν καὶ τὴν τρίτην αὐτὸς δοκιμάσει, αὐτὸς διελέγξει, αὐτὸς παραστήσει

---

78 ἢ πάλιν – 80 ἔχοντι: verba primum edidit Allatius, De consensione 1327   83 μακαρίτῃ: hegumenus Sabas etiam inter vivos moratur in ep. 3,76

---

76 Rom. 5,7   79 Jac. 2,17   83 cf. Bas. ep. 188,1 (PG 32,669 C = II 123,80 Courtonne; cf. III 1188 A Mansi) δουλεύειν ἀκριβείᾳ κανόνων   93 Aesch. fr. 139 (p. 45 Nauck = TrGF III 252 Radt; collectio omnium locorum ibid. 252 sq.); cf. Macar. 8,57 (CPG II 222) 103 Rom. 14,10

---

76 γὰρ post τάχα transp V Sirm   φησὶ ante καὶ transp V Sirm   τις post τολμᾷ transp V Sirm   ὑπὲρ τοῦ ἀγαθοῦ γάρ φησι P   79 ἔργων V Sirm   80 τὸν ἔχοντα VPS[pc] Sirm   83 δὲ post δεύτερον add VS Sirm   σάββα V   84 καὶ om P   85 ἡμῶν VP Sirm   86 σκάζομεν CS   87 ὑπομιμνήσκουσιν VPS Sirm   88 χρεὸν C   ὑμᾶς V   89 ἀλλ' V Sirm   92 ἐκείνως VS Sirm   ὡς: ὃς V Sirm   94 τοῦ ἱερέως ἁμαρτημάτων V   95 κατεκομῴδησεν C: κατεκωμῴδησε cett Sirm   96 ἀπεμυσάψατο C   97 κινῶμεν Sirm   99 ἀποφαινόμεθα CS

ἐπὶ τοῦ φοβεροῦ βήματος, αὐτὸς ἀποδιδοὺς καθὼς διεθέμεθα καὶ πεπράχαμεν· τὸ γάρ, εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην, οὐ πρὸς ἡμῶν τῶν ἁμαρτωλῶν φθέγγεσθαι.

Ἡμεῖς τοίνυν καὶ τοῦ ἁγιωτάτου πατριάρχου μνημονεύομεν, ὡς καθήκει, ἐν τῇ μυσταγωγίᾳ, ὥσπερ καὶ τῶν εὐσεβῶν ἡμῶν βασιλέων, καὶ ἐκ παντὸς ἱερέως ἀδιαβλήτου κοινωνεῖν οὐ παραιτούμεθα. γεγράφαμέν τε αὐτῷ τῷ ἀρχιερεῖ, ἐπεὶ καὶ τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσιν γνωστὸν γέγονεν, ὅτι ἐν οὐδενὶ διαφερόμεθα ἢ μόνον διὰ τὸν Ἰωσήφ, καὶ ἡνίκα οὗτος ὑποσταλῇ τῆς ἱερουργίας, εὐθὺς συγκοινωνοῦμεν αὐτῷ. καὶ ποθητὸς ἡμῖν ὁ ἀνήρ, οὐ μόνον ὅτι κορυφὴ τῆς καθ' ἡμᾶς ἐκκλησίας γέγονεν, ἀλλ' ὅτι καὶ σεβαστὸς ἡμῖν ἦν ἔκπαλαι· καὶ ὅσα τοῦ βίου αὐτοῦ καλά, ἀποσεμνύνειν οὐ παυόμεθα.

Εἰ δὲ φθάσει ὅτι καὶ αὐτὸς ἀποδέχεται τὸν ζῆλον (ἐῶ γὰρ λέγειν ἐπισκόπους ἁγίους ἡγουμένους τε καὶ μονάζοντας καὶ πλῆθος λαϊκῶν), τί φαίη ἡ σὴ φιλότης; διὸ ἴσθι μὴ εἶναι σχίσμα τῆς ἐκκλησίας, ἀλλ' ἀληθείας ἐπικράτησιν καὶ τῶν θείων νόμων ἐκδίκησιν· ἑτέρως δέ, ὡς ἔφθη εἰποῦσα ἡ τιμιότης σου, τῆς ἀληθείας ῥῆξις καὶ τῶν κανόνων παράλυσις. καὶ ἐκεῖνο ἔχοι καλῶς λέγεσθαι, οἱ ἱερεῖς ἠθέτουν νόμον μου καὶ ἐβεβήλουν τὰ ἅγιά μου· βεβήλοις καὶ ὁσίοις οὐ διέστελλον, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. τὸ γὰρ μὴ ἔχειν σπίλον ἢ ῥυτίδα, ἵνα καὶ πάλιν εἴπωμεν, οὕτω νοείτω, τὸ μὴ προσιεμένην τά τε ἀσεβῆ δόγματα καὶ τὰ ἀκανόνιστα ἐγχειρήματα, οὐ μὴν ἀλλὰ καὶ τὰ ἐν τοῖς αὐτουργοῦσι τὰ ἀπηγορευμένα συμφρονήματα, ὥς πού φησιν ὁ θεῖος Βασίλειος· πρὸς ἃ Παῦλος ὁ μέγας οὐδὲ συνεστιᾶσθαι τοῖς τοιούτοις παραχωρεῖ. ἐπεὶ ἀπὸ τῶν / ἀποστόλων καὶ κατόπιν πολλαχῶς πολλαὶ αἱρέσεις προσερράγησαν αὐτῇ καὶ ῥυπάσματα ἄθεσμα καὶ ἀκανόνιστα ἐπεπόλασαν, ὥσπερ καὶ τὸ νῦν· ἀλλὰ μὴν αὐτὴ τῷ προειρημένῳ τρόπῳ ἄσχιστος καὶ ἀμώμητος διαμεμένηκεν

---

109 γεγράφαμεν: ep. 25 **128** ἐπεὶ – **134** κύματα: edidit Allatius ibid. 1328

---

105 Gal. 1,10 **121** Ez. 22,26 **122** Greg. Naz. or. 2,65 (PG 35,476 B = p. 178 Bernardi) **123** Eph. 5,27 **126** vocem συμφρονήματα apud Basilii opera non inveni; videant alii **127** 1 Cor. 5,11 **129** Bas. ep. 199,50 (PG 32,732 C = II 164 Courtonne; cf. III 1209 D Mansi)

---

109 ἱερέως om Mi **110** βασιλεῦσι VPS Sirm **112** συνκοινωνοῦμεν CS: κοινωνοῦμεν C^{ac}VP^{pc} Sirm (sed cf epp 25,41; 31,14; 32,30 etc) **114** ἦν om Mi **118** λαϊκὸν PS **119** ante νόμων rasuram duarum litt exhibet C **120** ἑτέρως scripsi: ἕτερος C: ἕτερον cett Sirm **121** ἡ ante παράλυσις add V Sirm ἔχει V Sirm σοι ante καλῶς inser V Sirm **123** σπῖλον PS Sirm **124** νοήτω C **126** ποῦ C **128** παραχωρεῖ τοῖς τοιούτοις S **129** πρὸς ἐρράγησαν C **130** ἐπεπόλεσαν C τανῦν S **131** διαμεμένηκε VMPS Sirm

καὶ διαμενεῖ ἕως τοῦ αἰῶνος, ὑπεξαιρουμένων καὶ ἀποπεμπομένων πάντων ἀπ' αὐτῆς τῶν κακῶς φρονησάντων ἢ πραξάντων, ὥσπερ ἐξ ἀσείστου καὶ παραλίου πέτρας τὰ προσρήσσοντα κύματα.

Εἰς ἑαυτοὺς οὖν γενώμεθα, ὦ ἀδελφέ, καὶ ἀπίδωμεν πρὸς τὸ φῶς τῆς ἀληθείας, καὶ τῶν ἱερῶν κανόνων ὥσπερ καὶ τῶν δογμάτων ἐγκρατεῖς φαινοίμεθα μάλιστα ἡμεῖς οἱ μονάζοντες, μάλιστα ἡμεῖς οἱ δοκοῦντες εἶναί τι. εἰ γὰρ τὸ ἐν ἡμῖν φῶς σκότος, τὸ σκότος πόσον; καὶ εἰ τὸ ἅλας μωρανθήσεται, ἐν τίνι ἁλισθήσονται οἱ λαϊκοί; ἡμεῖς οἰόμεθά σε καὶ εὐχόμεθα τῶν αὐτόθι σωτῆρα εἶναι καὶ φωστῆρα καὶ λύχνον εὐσεβείας καὶ ἀκριβείας, οὐκ ἐκ τοῦ πᾶσι τὰ πάντα γίγνεσθαι, ἀλλ' ἐκ τοῦ τῆς ἀρετῆς ὕψους καὶ ἐκ τοῦ κεκανονισμένου βίου καὶ ἐκ τοῦ ἱεροπρεποῦς πολιτεύματος. καὶ φέρε ἀδελφοῦ σου ὑπόμνησιν, ἀγαπητικὴν οὖσαν καὶ φιλαλήθη καὶ θεόκριτον. καὶ τὰ πλείω λέγειν ἡ ἐπιθυμία με ἕλκει, ἡ ἀμετρία δὲ τοῦ γράμματος συνέλκουσα ἐνταῦθα ἡμᾶς καταπαύει. ἀπεδεξάμεθά σου τοίνυν τὴν εὐλογίαν τὴν πλουσίαν· καὶ ὅτι ἐφρόντισας περὶ τῆς ταπεινώσεως τοῦ μοναστηρίου σου, δεῖγμα μὲν τοῦ φείδεσθαι καὶ πονεῖν ὑπὲρ αὐτοῦ, κόπος δέ σου ἱκανός.

'Αλλ' ὁ Κύριος ἀνταμείψεταί σε οἷς χρήζεις, τὴν τῶν ἀρετῶν ἐπανάληψιν καὶ τὴν τῶν αἰωνίων αὐτοῦ ἀγαθῶν ἀπόλαυσιν.

29. Λέοντι ὀρφανοτρόφῳ

'Εβουλόμεθα ἡμεῖς αὐτοὶ παρεῖναι καὶ κοινωνῆσαι τῆς ἐνούσης ὑμῖν συμφορᾶς περὶ τὸ μακάριον ὑμῶν τέκνον, κύριέ μου ποθεινότατε, οὐχ ὅτι διὰ γράμματος θρηνῳδῆσαι τὸ πάθος καὶ συμμετασχεῖν ὑμῖν τοῦ λυπηροῦ. πῶς γὰρ οὐκ ἐλεεινόν, πῶς δὲ οὐκ ἐκστατικόν, παιδὸς ἐπὶ παιδὶ στέρησιν παθεῖν καὶ οἷον ἀπολέσαι τὸν ἔμψυχον θησαυρόν, τὸν πλοῦτον τῆς γονικῆς διαδοχῆς, τὸν πολύευκτον καρπὸν τῆς μητρῴας θηλῆς, τὸν περικαλλῆ ὀφθαλμὸν τῆς οἰκίας, τῆς προμήτορος τὸ ἀγαλλίαμα, τῆς ὅλης συγγενείας τὸ σεμνολόγημα;

---

138 Matth. 6,23 139 Matth. 5,13 141 1 Cor. 9,22

132 ὑφ' ἐξαιρουμένων C ἀπὸ πεμπομένων C 133 πάντων om VP Sirm 140 εὐχώμεθα C 141 ἀκριβείας καὶ εὐσεβείας VP Sirm 142 γίνεσθαι VP Sirm 150 ἀνταμείψαιτο V

---

29. C V PS

1 παραμυθητικὴ in marg P 2 ἑνούσης C 5 ἡμῖν PS[ac]

ἧκεν ὁ πρῶτος καρπός, καὶ ἄωρος ἐκ τῶν γονικῶν χειρῶν ἀνηρπάσθη. ἔφυ ὁ δεύτερος, καὶ τοῦτον ἐλυμήνατο ὁ πικρὸς θάνατος. τέθηλε τὸ τρίτον βλάστημα, παραμυθία τῶν προτέρων, εὐανθές, περικαλλές, ἄγον τὸ βιώσιμον εἰς τριετῆ χρόνον, ἐν ᾧ αἱ ψυχαὶ ἀπεκρέμαντο τῶν τεκόντων· καὶ φεῦ τῆς συμφορᾶς (ἐγκόπτει γὰρ τὸ πάθος καὶ τὸ φθέγγεσθαι), ᾤχετο καὶ τοῦτο ἐξ ὀφθαλμῶν ὑμῶν καί, τό γε ἐλεεινότερον, μηδὲ ἐπ' ὄψεως τῆς πατρικῆς παρουσίας. καὶ τί δεῖ ἐκτραγῳδεῖν τὴν συμφοράν; τέτμηται ὑμῶν ἡ καρδία, τοῦ πατρός, τῆς μητρός, τῆς κυρίας τῆς πατρικίας, καὶ ῥομφαία διὰ μέσου ἀμφοτέρων διελήλυθεν. καὶ τὸ ἄλγος θεραπεύσει οὐ / λόγος, οὐ παραμύθιον, οὐκ ἐξ ἀνθρώπου, οὐκ ἐξ ἀγγέλου, ἀλλ' ἐκ μόνου θεοῦ, τοῦ οὕτως διαθεμένου τοὺς τῆς ζωῆς ἡμῶν ὅρους· αὐτὸς γάρ ἐστι, δέσποτά μου, ὁ τὸ τριπόθητον ὑμῶν τέκνον προσλαβόμενος, ὥσπερ καὶ τὰ προλαβόντα προσληψάμενος.

Λυπηρὸν μὲν καὶ λίαν τὸ καθ' ὑμᾶς, οὐ πάντως δὲ καὶ τοῖς προσληφθεῖσιν, ἐπειδὴ ἄχραντοι καὶ ἀκηλίδωτοι ἐξ ἁμαρτιῶν διὰ τῆς ἀρτιγενείας ἐκχωρήσαντες τῶν ἐνθένδε πρὸς τὸν μακάριον καὶ ἀπαθῆ βίον ἐν κόλποις Ἀβραὰμ χορεύουσιν, μετὰ ἁγίων νηπίων συναλίζονται, μετὰ παίδων χριστοφόρων ἀναμέλπουσιν. ὥστε οὐκ ἀπόλωλεν τὰ κάλλιστα τέκνα, ἀλλὰ σέσωσται ὑμῖν καὶ διαμένει· καὶ ἐπόψεσθε αὐτὰ μικρὸν ὕστερον, ἡνίκα τέλος δέξηται ἡ χρονικὴ ζωὴ αὕτη, χαίροντα καὶ ἀγαλλιώμενα οὐκ ἐν βραχείᾳ ἡλικίᾳ, ἀλλ' ἐν τελειότητι τοῦ πληρώματος τοῦ Χριστοῦ, καθὼς γέγραπται. διὸ παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν τοῖς λογισμοῖς τούτοις κατεπᾴδειν ἑαυτοῖς κατὰ τὸ ἀληθὲς καὶ ἐντεῦθεν ἐξαίρειν τὸ ἄμετρον λυπηρὸν τῆς ψυχῆς. μέτρα γὰρ ἔδωκεν ἡμῖν ὁ Κύριος, ἵνα καὶ τὰ φυσικὰ σπλάγχνα ἐνδεικνύμεθα καὶ τοὺς τῆς αὐταρκείας ὅρους μὴ ὑπερβαίνωμεν· τὸ μὲν γὰρ εἰς ἔλεον κινεῖ τὸ θεῖον, τὸ δὲ ἀντιφέρεσθαι ποιεῖ τοῖς τῆς προνοίας διατάγμασιν. καὶ τὸ μὲν εὐφραίνει τοὺς ἀπελθόντας, τὸ δὲ

---

10 cf. Bas. ep. 5,1 (PG 32,237 C = I 16 Courtonne) ἐκ μέσου τῶν πατρικῶν χειρῶν ἀναρπασθείς 13 cf. Bas. ep. 300 (PG 32,1045 A = III 175;25 Courtonne) αὐτὸ τῆς ἡλικίας ἄγων τὸ βιώσιμον 27 Luc. 16,23 31 Eph. 4,13

---

13 ἄγων S 16 ἐπόψεως C 18 τῆς[2] om V 19 διελήλυθε S: ἐλήλυθε VP Sirm ἄλγος: ἄλογος Sirm: ἄλογον Mi 20 ἐξ[2] om Mi τοῦ ante θεοῦ add V Sirm 24 καθυμᾶς C 26 ἐγχωρήσαντες Mi 27 ἀβραὰμ VP χορεύουσι VPS Sirm συναλίζονται scripsi, coll ep 22,101 συναλιζόμενος, ubi VMPS συναυλιζόμενος exhibent: συναυλίζονται codd Sirm; cf etiam catech magn 43 (p. 122 Cozza-Luzi); Act ap 1,4, ubi συναυλίζεσθαι v. l.; J. Leroy, in: Scriptorium 15 (1961) 47 28 ἀπόλωλε VPS Sirm σημείωσαι in marg C 30 ἂν post ἡνίκα inser VP Sirm 31 ἀγαλλιώμενα CS: ἀγαλλόμενα cett Sirm ὡραῖον in marg C 36 ὑπερβαίνομεν C 38 διατάγμασι VSP Sirm

λυπεῖν εἴωθεν αὐτοὺς τοὺς ἀναπαύσεως λαχόντας· πᾶς γάρ τις βούλεται χαίρειν ἐπὶ τῇ οἰκείᾳ χαρᾷ, ἀλλ' οὐχὶ λυπεῖσθαι τοὺς φιλεῖν ὁμολογοῦντας.

Ἡμεῖς δὲ πιστεύομεν καὶ πάλιν ἐν γαστρὶ ἕξειν τὴν κυρίαν τὴν χαρτουλαρέαν καὶ τέξεσθαι υἱὸν οὐκέτι ταχύμορον, ἀλλὰ μακροημερεύοντα εἰς διαδοχὴν γένους, μόνον ἐὰν μετριώσωμεν τὸ πάθος καὶ τὰς ὑπὲρ τοῦ παιδὸς ἀποδῶμεν ἔργῳ καὶ λόγῳ προσφορὰς εὐχαρίστους τῷ δεσπότῃ Χριστῷ.

30. Νικηφόρῳ πατριάρχῃ

Οὐκ ἀναγκαῖον διὰ γράμματος σημᾶναι τῷ ἀγγέλῳ τῆς μακαριότητός σου ἃ διὰ στόματος προανηγγέλθη, εἰ καὶ μὴ δι' ἀμφοτέρων ἡμῶν τῶν ταπεινῶν· ἀλλ' ἵνα μὴ ἡ χθὲς κατὰ τὴν κέλευσίν σου συνέλευσις τῶν ἐπισκόπων, ἕτερόν τι διδάξασα παρὰ τὰ ἐν αὐτῇ ὑφ' ἡμῶν ῥηθέντα, ἐπιθολώσῃ τὰς ἱεράς σου ἀκοάς, ἁρμόζον ἡγησάμεθα ἀνενεγκεῖν ἐν κεφαλαίῳ τὴν ὅλην τῆς ἀπολογίας ἡμῶν σύστασιν. ἡμεῖς τοίνυν, ὦ μακαριώτατε, ὀρθόδοξοί ἐσμεν κατὰ πάντα, πᾶσαν αἵρεσιν ἀποβαλλόμενοι καὶ πᾶσαν σύνοδον οἰκουμενικήν τε καὶ τοπικὴν ἐγκεκριμένην ἀποδεχόμενοι, οὐ μὴν ἀλλὰ καὶ τὰς παρ' αὐτῶν ἐκφωνηθείσας ἱερὰς καὶ κανονικὰς διατυπώσεις ἀσφαλῶς κατέχομεν· μηδὲ γὰρ ὀρθοτομεῖν ἔστι τελείως τὸν λόγον τῆς ἀληθείας τὸν τὴν πίστιν ὀρθὴν οἰόμενον ἔχειν, τοῖς δὲ θείοις κανόσι μὴ ἀπευθυνόμενον. καὶ μὴν καὶ τὰς ἐνθέσμους ὑπὸ τῶν ἁγίων κατὰ καιρὸν οἰκονομίας προσιέμεθα, ἐπεὶ καὶ ἡμῶν τῶν ταπεινῶν νῦν τὸ τὴν ἁγιωσύνην σου διὰ τὴν ἐκβολὴν τοῦ οἰκονόμου ἀσπάζεσθαι οὐ

---

43 χαρτουλαρέαν: ex hac appellatione uxoris Leonem titulum quoque chartularii possidere constat

39 τοὺς om V λαχόντας CS: τυχόντας cett Sirm 43 χαρτουλαρέαν CS: χαρτουλαρίαν cett Sirm (cf tamen adn ad ep 18,26) ταχύμωρον P προμακροημερεύοντα Mi **44** μετριάσωμεν VPS Sirm

30. mens. Ian. a. 809 5 συνέλευσις: synodus mens. Ian. a. 809 convocata **16** οἰκονόμου: Josephus

8–11 = ep. 25,32–35 12 2 Tim. 2,15

C VT PS

2 σημάναι CVPT 3 παρηγγέλθη Mi 6 ἐπιθολώσει CS^{ac}T 12 ἐστι CVTP Sirm: corr Mi 13 τοῖς δὲ: τοῖσδε C **14** τὰς ante ὑπὸ add T

τῶν ἀκριβευομένων ἐστίν, τῶν δὲ λίαν / οἰκονομούντων καὶ συνερχομένων. καὶ τὸν προηγησάμενον τὴν ἁγιωσύνην σου ὁσιώτατον πατριάρχην τῷ λόγῳ τούτῳ ἐδεξάμεθα εἰς τὴν προκειμένην ὑπόθεσιν, ἡνίκα ἐπανήλθομεν τῆς ἐξορίας, διαρραγείσης μὲν τῆς μοιχικῆς συναφείας, εἰρχθέντος δὲ τοῦ οἰκονόμου τῆς ἱερουργίας, ὅτι ‚μὴ ἔστω ἡμῖν μέρος ἕνεκεν τοῦ ἀδιαφόρως ὑπὸ τῆς ὁσιότητός σου μεταλαμβάνειν τὸν μοιχεύσαντα, μήτε ἐν τῷ νῦν αἰῶνι μήτε ἐν τῷ μέλλοντι'. ἤδη εἰπόντος αὐτοῦ ὅτι ‚οἰκονομίᾳ ἐχρώμην καὶ αὐτῷ τῷ μεταδιδεῖν ἕως καιροῦ', εἶτα καὶ οὕτως δηλώσαντος, ὅτι ‚αἱ χεῖρές μου κεκομμέναι ἂν ὑπῆρχον εἰς τὸ μοιχικὸν στεφάνωμα ἢ ἐγὼ ὅλως ἐστεφάνουν', ἐπὶ τούτοις τοίνυν κεκοινωνήκαμεν αὐτῷ μέχρι κοιμήσεως αὐτοῦ. καὶ τὴν ἁγιωσύνην σου πάλιν ἀπεδεξάμεθα εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα, καθὼς καὶ μνημονεύομεν αὐτὴν ἐν τῇ ἱερουργίᾳ καθ' ἑκάστην. καὶ ἐν οὐδενὶ τὸ ἀμφιβάλλον ἢ διὰ τὸν οἰκονόμον, καθῃρημένον ὄντα ὑπὸ τῶν ἱερῶν κανόνων πολυτρόπως καὶ μάλιστα μετὰ τὸν ἀφορισμὸν τῆς ἐνναετίας πάλιν ἱερουργεῖν καὶ οὐκ ἐν ἀποβύστῳ που (ἦν γὰρ ἂν φορητόν, μὴ κοινωνούντων ἡμῶν τῷ πράγματι), ἀλλ' ὅτι ἐν αὐτῇ τῇ πηγῇ τῆς καθ' ἡμᾶς ἱερωσύνης, τὸ δὴ λεγόμενον, μετὰ τῆς εἰλικρινοῦς σου πολιτείας συνεισιέναι καὶ συλλειτουργεῖν εἰς τὸ ἀεί.

Τὸ μὲν οὖν δίκαιον καὶ ὅσιον καὶ ἀσκανδάλιστον τοῖς λαοῖς τοῦ θεοῦ, καὶ μάλιστα τῷ καθ' ἡμᾶς τάγματι, ἐκβληθῆναι τῆς ἱερουργίας τὸν ἀναξίως εἰσελθόντα, ἡμῶν μνημονευόντων τῆς ἁγιωσύνης σου καὶ ἐκ παντὸς ἱεράρχου καὶ ἱερέως κοινωνούντων, μὴ προδήλως ὄντων κατεγνωσμένων κατὰ τὸν Θεολόγον. εἰ δὲ τοῦτο οὐδαμῶς διὰ τὰς ἁμαρτίας ἡμῶν, μὴ ἵνα τι γένηται (οὐκ ἐκ φόβου ὁ λόγος, ἀλλ' ἐξ οἴκτου τοῦ κατακοινοῦ) ἐν τῇ ταπεινώσει ἡμῶν παρὰ τῆς ὁσιότητός σου ἀκανόνιστον καὶ ἄθεσμον· ἐπεὶ ἡμεῖς μὲν ὑποστησόμεθα δυνάμει θεοῦ ὅπερ ἂν καὶ συμβαίη παραχωρήσει αὐτοῦ, μαρτυρού-

19 πατριάρχην: Tarasius

30–31 = ep. 32,25–27 40 Greg. Naz. or. 40,26 (PG 36,396 B = p. 258 M.-G.)

17 ἐστι V: ἐστὶ PS Sirm 18 τῆς ἁγιωσύνης P ὁσιώτατον: ἁγιώτατον VP Sirm 20 τῆς ἐξορίας om T 21 εἱρχθέντος C 22 ὁσιότητός: ἁγιότητος Sirm 24 αὐτῷ τῷ: αὐτὸ τὸ CST 25 μεταδιδόναι VPS Sirm οὕτω VP Sirm 26 ἢ C: εἰ S^{pc}T: ἢ Mi 29 αὐτῆς VPS Sirm 30 καθεκάστην CSVP Sirm 32 τὸν om V 33 ποῦ C 34 ἐν ante τῷ add T 35 συνιέναι V^{ac}: εἰσιέναι T 39 an τὴν ἁγιωσύνην scribendum? cf l. 29 supra αὐτὴν 40 τοῦ ante ἱεράρχου add T ἱερέων Mi 41 ἀπεγνωσμένων VP Sirm 42 ἵνα τι: ἱνατί T 43 κατὰ κοινοῦ VPST: κατὰ τοῦ κοινοῦ Sirm 45 μαρτυρόμεθα PS^{pc} Sirm: μαρτύρομαι V

μεθα δὲ τῇ ἁγιωσύνῃ σου κατενώπιον Χριστοῦ ἐν ἀκροάσει τῶν ἁγίων ἀγγέλων ὅτι μέγα σχίσμα ἐργάζῃ ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ. καὶ εἰ ἐξουσίᾳ χρώμεθα ἄνθρωποι ὄντες, ἀλλ' ὑπὸ τῆς ἐξουσίας τῶν ἱερῶν καὶ θείων κανόνων νοητῶς καὶ μὴ βουλόμενοι καὶ ἀρχόμεθα καὶ πεισόμεθα.

Ἀλλὰ δεόμεθά σου τῆς ὁσιότητος, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον τῆς φωνῆς ἡμῶν ὡς ἰατρὸς ἐπιστήμων, ὡς ποιμὴν ἀγαθὸς τὸ ἓν πρόβατον εἶρξαι τῆς ἱερουργίας καὶ τὰ ὅλα ἀσκανδάλιστα κερδῆσαι, καὶ μὴ τῇ τοῦ ἑνὸς ψώρᾳ λυμανθῆναι τὴν καθ' ἡμᾶς ἐκκλησίαν, ἣν περιεποιήσατο ὁ Κύριος καὶ θεὸς ἡμῶν τῷ οἰκείῳ αἵματι. περὶ γὰρ φλυαριῶν φλυαρείτωσαν οἱ βουλόμενοι καὶ συκοφαντείτωσαν οἱ συκοφάνται· ἕτοιμοί ἐσμεν πρὸς πᾶσαν ἀπολογίαν, πρὸς πᾶσαν διάλυσιν προτάσεως κατηγορητικῆς. φίλοι καὶ ὑμνηταί σου ὑπάρχομεν, καὶ μάλα γε τῶν εὐσεβεστάτων καὶ καλλινίκων ἡμῶν δεσποτῶν. καὶ ὄντων ἡμῶν οὕτως, τίνος ἕνεκεν ἡ ταραχή; οὗτινος χάριν συμβήσεται ἃ συμβήσεται, εἴπερ ἐναντία τῶν τοῦ θεοῦ προσταγμάτων; χάρισαι ἡμῖν τὴν ἱεράν σου προσευχήν.

/31. Τοῖς ἐν τῷ Σακκουδίωνι ἀδελφοῖς

Ἕως μὲν ἦν καιρὸς τοῦ οἰκονομεῖν καὶ κρύπτειν τὴν ὑπόθεσιν τῆς ἀκοινωνησίας Ἰωσὴφ τοῦ οἰκονόμου, ἐποιοῦμεν τοῦτο, τέκνα καὶ ἀδελφοί, οὐκ ἐκ φόβου κρατούμενοι, κἂν ἁμαρτωλοὶ τυγχάνωμεν, ἀλλ' ἐξ οἰκονομικῆς συγκαταβάσεως, ἐκμιμούμενοί πως τοὺς ἁγίους πατέρας ἡμῶν, καθὰ κἀκεῖνοι ἐν καιρῷ τῷ δέοντι χρώμενοι ταύτῃ ὑπεξήγαγον ἑαυτοῖς τὸν πειρασμόν, τὸ μὲν φειδόμενοι τῶν ἀσθενε-

---

52–55 = ep. 25,86–89 54 Act. 20,28

46 κατ' ἐνώπιον VPT 49 θείων καὶ ἱερῶν T 51 κλίνον V 53 εἶρξαι P: εἴρξαι C ὅλα: ἄλλα T 56 συκοφαντήτωσαν CT 58 σου post φίλοι add T 59 καὶ[2] C[pc] 61 εἴπερ ἐναντία: εἰ ἐναντίον T

---

31. a. 808 2 οἰκονομεῖν – 3 οἰκονόμου: ludit in vocibus

C VT PS

1 κατηχητικὴ post titulum add T: in marg P 4 καν C: κὰν V: κἀν P 5 πῶς C 6 δέοντι: προσήκοντι T 7 ἑαυτοὺς V Sirm τῶν πειρασμῶν V Sirm ἀσθενούντων T

στέρων καὶ κακούντων, τὸ δὲ μικρὸν ὑπενδιδοῦντες κυβερνητικῶς, ἵνα τὸ ζητούμενον μικρὸν ὕστερον ἀντιλάβωσι κατόρθωμα. ἐπὰν δὲ νῦν ηὐδόκησεν ὁ ἀγαθὸς ἡμῶν θεὸς εἰς προῦπτον ἐκβῆναι τὴν ὑπόθεσιν, φανερῶς ἄρτι καὶ γράφομεν. πῶς δέ; διὰ τῆς τοῦ λογοθέτου τοῦ δρόμου ἐπερωτήσεως καὶ τῆς πρὸς αὐτὸν τοῦ ἀρχιεπισκόπου ἀποκρίσεως.

Φησὶ γάρ, ‚διατί ἕως τοῦ παρόντος οὐ συνεκοινώνησας ἡμῖν καὶ τῷ πατριάρχῃ, τοσούτων ἑορτῶν διελθουσῶν; καὶ ὅτι ‚εἰπὲ παρρησίᾳ τὸ αἴτιον‘. καὶ ὡμολόγησεν ὁ ἀρχιεπίσκοπος καὶ οὐκ ἠρνήσατο, καὶ ὡμολόγησεν ὅτι ‚οὔτε πρὸς τοὺς εὐσεβεῖς ἡμῶν βασιλεῖς ἔχω τι οὐδ’ αὖ πρὸς τὸν πατριάρχην, ἀλλὰ πρὸς τὸν οἰκονόμον τὸν στεφανώσαντα τὸν μοιχὸν καὶ διὰ τοῦτο καθῃρημένον παρὰ τῶν ἱερῶν κανόνων‘. πρὸς οἷς ἡ ἀπόκρισις τοῦ λογοθέτου ὅτι ‚οἱ εὐσεβεῖς ἡμῶν βασιλεῖς χρείαν σου οὐκ ἔχουσιν οὔτε ἐν Θεσσαλονίκῃ οὔτε ἀλλῇ‘.

Ἕως τούτου μήτε εὐθὺς ἀνταποκρίσεως δοθείσης μήτε ἑτέρας ἐρωτήσεως προταθείσης ἕως τοῦ παρόντος διελθουσῶν ἡμερῶν δεκατριῶν, ἢ μόνον ὅτι πεπόμφαμεν γράμματα πρὸς τὸν κῦριν Συμεών, ἃ ἔνδον τῶν γραμμάτων ἐστείλαμεν, πρὸς τὸ διαγνῶναι ὑμᾶς τὴν ὅλην δύναμιν τοῦ πράγματος. ἐξηχήθη δὲ ἡ ὑπόθεσις ἐπί τε τοῦ πατριάρχου καὶ πάσης τῆς πόλεως σχεδόν, καὶ εἰσὶ μὲν πολλοὶ συνθλιβόμενοι καὶ συμφθεγγόμενοι ἡμῖν, ἀλλὰ νυκτερινοὶ θεοσεβεῖς, μὴ δυνάμενοι ἐν φωτὶ παρρησιασθῆναι.

Ἡμεῖς δέ, τέκνα καὶ ἀδελφοί, τῇ εἰς θεὸν πεποιθήσει καὶ τῇ τῆς ἀληθείας ἑδραιώσει αὐτῇ τε τῇ προγεγενημένῃ καὶ ἀποφανθείσῃ ἐκβάσει τοῦ δικαίου κατὰ τὰ ὑποδειχθέντα ἐν τῷ κόσμῳ εἴς τε τὸν μοιχεύσαντα καὶ τοὺς συνεργήσαντας ἀκλινεῖς ἐσμεν τῆς ἐντολῆς καὶ τῶν πατρικῶν κανόνων· καὶ οὐκ ἐνδώσομεν οὐδὲ προδώσομεν τὴν εὐσέβειαν, οὐδ’ οὐ μὴν καταλύσομεν ἃ καλῶς προῳκοδομήσαμεν διὰ τῆς κατὰ τὴν ἐξορίαν ἐνστάσεως, ἵνα μὴ ἀποδειχθῶμεν παρα-

---

11 λογοθέτου τοῦ δρόμου: cuius nomen non traditur 12 ἀρχιεπισκόπου: Josephus 21 χρείαν – ἔχουσιν: cf. Alexander, Nicephorus 91 adn. 1 24 γράμματα: epp. 21 – 23 28 νυκτερινοὶ θεοσεβεῖς: cf. Bury, Eastern Roman Empire 36 adn. 1

8 cf. ep. 24,37 ὑπανέντος τὸ πηδάλιον 20 1 Cor. 12,21 36 Rom. 2,25

8 ὑπενδιδόντες VPS^{pc}T Sirm (sed cf ep 555,43) 9 ἐπὰν P 10 εὐδόκησεν VP Sirm ὁ om Sirm 11 γράφωμεν C 12 post αὐτὸν spatium duarum litt eras S vocis ἀρχιεπισκόπου partem (-επι-) in marg C 14 διὰ τί VT Sirm 15 τοσούτων V^{sscr} 20 ἡ om Mi 21 Θεσσαλονικῆ (sic) Mi ἀλλή CT: ἄλλῃ V Sirm 22 τούτου: τοῦ T ἑτέρας om S 23 δεκατριῶν: ΙΓ T 24 κυριν C: κύριν S 28 θλιβόμενοι P^{ac} συνφθεγγόμενοι C 29 καὶ ante μὴ add V Sirm 31 προσγεγενημένῃ Sirm ἀποφανθείσῃ: ultimam -σῃ C^{sscr} 35 οὐδ’ οὐ: οὐδὲ V (fort recte)

βάται νόμου. νόμῳ δὲ θείῳ κρατούμενοι κρατοῦμεν, ὡς προκεκρατήκαμεν, πάντα στέργοντες, πάντα ὑπομένοντες, εἴπερ καὶ παραχωρήσει θεός, ἢ τῆς ἐκείνου καὶ τῶν αὐτῷ συλλειτουργούντων μετέχοντες κοινωνίας, ἕως ἂν παύσηται ὁ καθῃρημένος τῆς ἱερουργίας.

Πολλὰ οὖν βαττολογήσουσιν οἱ ἄνθρωποι, ἐμπαίξουσί τε καὶ ἐπιγελάσονται, καί γε τὸ ἐλεεινότερον, τῶν ὁμοσχή/μων καὶ ὁμοταγῶν καὶ δοκούντων εἶναι φίλων οὐκ ὀλίγοι. ἀλλ' οὐδὲν ξένον· γέγραπται, καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. καὶ ὅτι αὐτοὶ ἐμαστρόπησαν καὶ συνήργησαν καὶ συνέφαγον καὶ συνέπιον τῷ μοιχικῷ γάμῳ καὶ τὸν κάλαμον ἔβαψαν ἐπὶ τῇ ἐξορίᾳ ἡμῶν. ἀλλ' ὁ ἐξεγερθεὶς Κύριος τότε εἰς ἐκδίκησιν τοῦ νόμου αὐτοῦ καὶ ῥήξας μὲν τὴν τοῦ μοιχεύσαντος βασιλείαν τῇ ἐκτυφλώσει, καταισχύνας δὲ τοὺς συλλήπτορας ὡς τοὺς τοῦ Βαὰλ ἱερεῖς, ἐπισυνάγων δὲ τὴν ἡμετέραν ταπείνωσιν εἰς τὸ ἴδιον μοναστήριον παρ' ἐλπίδας, αὐτὸς καὶ νῦν πάρεστιν, αὐτός. εἰ καὶ πρὸς μικρὸν παρεχώρησεν πάλιν τὴν ἀθέμιτον συμπλοκήν, ἀλλ' αὖθις ηὐδόκησεν ἀποδοκιμασθῆναι τὴν ἐπιχαρμονὴν τῶν μοιχοζευκτῶν καὶ μοιχοφίλων Ναζιραίων διὰ τῆς τῶν εὐσεβῶν ἡμῶν βασιλέων δικαιοκρισίας, ἀποδωσάντων μετὰ θάνατον τὸν μοιχὸν τῇ νομίμῳ γαμετῇ αὐτοῦ, ἀποκαλεσάντων δὲ τὴν μαχλῶσαν μοιχαλίδα καὶ τὸ μοιχογέννητον τέκνον ἐασάντων ἄκληρον ὡς ἀθέμιτον καὶ ἀνομώτατον, ὡς ἐνυπήκοόν μοι τὸ τίμιον αὐτῶν στόμα λελάληκεν κατὰ τοὺς ῥωμαϊκοὺς νόμους.

Ἀλλ' ὅμως οἱ ἀνομήσαντες οὐκ ἐγκαλύπτονται οὐδὲ ὁ κατὰ τοῦ Ἁγίου Πνεύματος δυσφημήσας ἐν τῇ κατὰ τὴν στεφανικὴν συνάφειαν ἱερᾷ προσευχῇ καταδύεται, ἀλλ' εἰσπηδήσας ὡς αἴλουρος ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ πάλιν ἅλλεται καὶ πάλιν ἄρχεται μιαίνειν τὰ ἅγια διὰ τῆς ἱερουργίας, καὶ φιλονεικεῖ τὴν ἀνομίαν δικαιοσύνην

---

40 καθῃρημένος: oeconomus Josephus 55 γαμετῇ: Maria 56 μαχλῶσαν: Theodote 57 ἀθέμιτον καὶ ἀνομώτατον: cf. P. Speck, in: Ποικίλα βυζαντινά, 9. Bonn 1988, 445 adn. 966

---

38 1 Cor. 13,7 2 Tim. 2,10 44 Matth. 10,36 49 Jer. 2,8 sq. 63–70 = ep. 22,53–60

---

37 τοῦ ante νόμου add V 40 τῆς ἱερουργίας ὁ καθῃρημένος T 41 βαττολογήσωσιν T ἐμπαίζουσί Mi 42 τῶν: καὶ T καὶ[2] om T 43 οὐκ: οὐ CVPS[ac] 44 γὰρ post γέγραπται S[sscr] οἰκειακοὶ VPS[pc] Sirm 48 μὲν om T 49 τοῦ om T βαὰλ C[pc]: βά/αλ S[pc]: βάαλ cett (sed cf Theod Stud catech magn 24 [p. 67 Cozza-Luzi] etc) 50 παρελπίδας CS: παρ' ἐλπίδα T 51 παρεχώρησε VPST Sirm 52 εὐδόκησεν VPT Sirm 53 ναζηραίων T 54 βασιλέων in marg C ἀποδοσάντων ĊVPS τὸν ante θάνατον add Sirm 55 αὐτοῦ γαμετῇ VP Sirm ἀποκαλεσάντων: an ἀποκληρωσάντων scribendum? 57 ἐν ἐπήκοόν S[pc]: ἐν ἐπηκόῳ VP Sirm 58 λελάληκε VPST Sirm 61 ἔλουρος CPT 63 φιλονικεῖ T

γνωρίσαι καί, τὸ δὴ λεγόμενον, ἀποδεῖξαι ἑαυτὸν τοῦ Προδρόμου καὶ Βαπτιστοῦ ὁσιώτερον· ἐκείνου γὰρ ἐλέγχοντος τὴν τοῦ Ἡρώδου μοιχείαν καὶ ὑπὲρ ἀληθείας θνήσκοντος, οὗτος τὸν δεύτερον Ἡρώδην τῇ μοιχείᾳ δεδειγμένον καὶ ἐστεφάνωσεν καὶ κατησπάσατο μέχρι θανάτου, λόγοις μὲν οὔ, αὐτοῖς δὲ ἔργοις φθεγγόμενος ὡς πεπλάνηται Ἰωάννης ὁ Πρόδρομος, ἀνόμως καὶ ἀκαίρως διελέγξας καὶ ἀποθανών.

Καὶ τί δὴ λέγω Ἰωάννην, τὸν μείζω πάντων ἁγίων; αὐτῷ τῷ Χριστῷ, εἰ καὶ τολμηρὸν εἰπεῖν, ἀντεφθέγξατο καὶ ἀπεμαχήσατο διὰ τοῦ ἐναγοῦς αὐτοῦ στόματος· τοῦ γὰρ Χριστοῦ μοιχὸν ἀποκαλέσαντος τὸν ἀφιέντα τὴν νόμιμον γυναῖκα (μοιχεία δὲ τὸ χαλεπὸν ἁμάρτημα καὶ ἰσοδύναμον φονέως καὶ ἀρρενοφθόρου καὶ ἀλογευομένου καὶ φαρμακοῦ καὶ εἰδωλολάτρου, ὡς ὁ κανὼν τοῦ ἁγίου Βασιλείου) αὐτὸς τοῦτον τῷ θυσιαστηρίῳ παραστήσας μέσον παντὸς τοῦ λαοῦ ἐτόλμησεν ῥῆξαι τὰς ἐναγεῖς φωνὰς ἐκείνας κατὰ τοῦ Ἁγίου Πνεύματος, λέγων οὕτως (καὶ σκοπεῖτε τὸ φοβερὸν καὶ ἔκτοπον)· ‚αὐτός, δέσποτα, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἅρμοσον τῷ δούλῳ σου τὴν δούλην σου. σύζευξον αὐτοὺς ἐν ὁμοφροσύνῃ, ἕνωσον αὐτοὺς εἰς σάρκα μίαν, οἷς ηὐδόκησας συναφθῆναι ἀλλήλοις· τίμιον τὸν γάμον ἀνάδειξον, ἀμίαντον τὴν κοίτην αὐτῶν διατήρησον, ἀκηλίδωτον αὐτῶν τὴν συμβίωσιν διαμεῖναι εὐδόκησον ἐν καθαρᾷ τῇ καρδίᾳ‘.

Οὐκ ἄρα ἐφρίξατε συνιέντες; πόσον δοκεῖτε παροξυνθῆναι τὸ Πνεῦμα τὸ Ἅγιον ἐν τῇ βλασφημίᾳ ταύτῃ καὶ συνοργισθῆναι τοὺς ἁγίους ἀγγέλους; ἢ πῶς οὐ παραυτίκα, ὡς τὸν Δαθὰν καὶ Ἀβειρών, ὑπέλαβεν ἡ γῆ χάνασα τὸν ὑφηγητὴν τοῦ ψεύδους καὶ δεικνύντα / τὸ σκότος φῶς καὶ τὸν Χριστὸν εἰς ἐναντιολογίαν ἑαυτῷ περιπίπτειν πειρώμενον; πάντως γάρ, ὅσα ὁ ἱερεὺς ὑποφαίνει, ταῦτα καὶ θεὸς κυροῦν ἐπαγγέλλεται κατὰ τὸν μέγαν Διονύσιον. ἀλλ᾽ ὅμως τοιοῦτον δράσας πονηρὸν καὶ δοὺς ὑπόδειγμα κακίας τοῖς ὑποχειρίοις εἰς

66 δεύτερον Ἡρώδην: Constantinus VI

65 Marc. 6,18 71–92 = ep. 22,14–36 73 Luc. 16,18 75 Bas. ep. 188,7 (PG 32,673 C = II 126 Courtonne; cf. III 1189 D Mansi) 79 prec. nupt. (p. 317 Goar) 88 Num. 26,10 89 Luc. 11,35

65 ἰωάννου post βαπτιστοῦ add T 67 ἐστεφάνωσε VPST Sirm κατεσπάσατο C (sed cf ep 22,58) 68 ἔργοις δὲ αὐτοῖς V Sirm (cf tamen ep 22,58) 76 φαρμάκου C δηλοῖ post βασιλείου add T 77 ἐτόλμησε VPST Sirm 78 ἐκείνας φωνὰς V Sirm (sed cf ep 22,21) 82 οἷς: οὓς S[pc] εὐδόκησας VPT Sirm 87 τοὺς ἁγίους ἀγγέλους S[sscr] 89 χανοῦσα VP Sirm (cf tamen ep 22,32) δεικνῦντα PST 91 πειρόμενον CT ὁ ante θεὸς add Sirm (sed cf ep 22,35)

ὁμοτροπίαν (ὃ καὶ γέγονεν, μᾶλλον δὲ καὶ τοῖς πόρρω κρατοῦσιν καὶ ἄρχουσιν, ὃ καθ' ὁμοίωσιν καὶ ἐτελέσθη ἐν τῇ Λογγιβαρδίᾳ καὶ Γουτθίᾳ καὶ τοῖς κλίμασιν αὐτῆς· οὐδὲ γὰρ ἐν τοῖς ἔθνεσι τοιοῦτόν τι τετόλμηται) καὶ οὐ καταισχύνεται ὁ δείλαιος, ἀλλ', ὡς εἴρηται, ἱερουργεῖ ὁ ἀνίερος καὶ τοὺς καλῶς αὐτὸν ἀποστρεφομένους ἐξορίζειν κατεπείγεται. Κύριος δὲ βοηθὸς τῶν ὑπὲρ τῆς ἐντολῆς αὐτοῦ ἐνισταμένων, ὃς παρακαλέσει τὰς καρδίας τῶν εὐσεβῶν ἡμῶν βασιλέων ποιῆσαι τὴν ἐκδίκησιν τῆς ἐκκλησίας αὐτοῦ, καθάπερ ἐπὶ τοῦ μοιχοῦ, ἵνα καὶ τοῦτον εὐδοκήσῃ ἐκβληθῆναι τῆς ἱερουργίας ἐπί τε λυσιτελείᾳ τοῦ ἁγιωτάτου πατριάρχου καὶ πάσης τῆς καθολικῆς ἐκκλησίας.

Διὸ θαρσεῖτε, τέκνα καὶ ἀδελφοί, καὶ μὴ δείσητε, μηδὲ καταπέσητε. καιρὸς ὁμολογίας, καιρὸς ἐνστάσεως, καιρὸς ἀθλήσεως τυχὸν καὶ ἄλλων παθημάτων, ἀλλὰ καὶ στεφάνων καὶ δόξης ἐπουρανίου· φησὶ γάρ, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ ὁ ἐξουθενῶν με ἀτιμασθήσεται· καί, μακάριοι οἱ μὴ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν αὐτοῦ. διὸ χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν τοῖς ὑπομένουσιν πολὺς ἐν τοῖς οὐρανοῖς. τῶν ἔργων ὑμῶν ἔχεσθε, τῶν βασιλέων ἡμῶν ὑπερεύχεσθε, τοῦ ἀρχιερέως, τοῦ ἐκβληθῆναι τὸν Ἰωσὴφ ἐκ τοῦ θυσιαστηρίου, τὴν εἰρήνην τῆς ἐκκλησίας πορευόμενοι ἐν ὁδῷ ἀμώμῳ ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσαντες σφόδρα, ἐν πάσῃ καλῇ καταστάσει καὶ κανονικῇ διαβιώσει, ἕως ἂν ἀκούσητέ τι πλέον ἢ καὶ ἡμεῖς ἐπισημανοῦμεν. ὁ Χριστὸς μεθ' ὑμῶν, ἡ Θεοτόκος σκέπουσα ὑμᾶς, ὁ Πρόδρομος καὶ ὁ Θεολόγος φρουροῦντες ὑμᾶς, οἱ ἅγιοι πάντες τῇ εὐχῇ τοῦ πατρός μου καὶ πατρὸς ὑμῶν. πάντας προσαγορεύω κατ' ὄνομα· ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔστω μετὰ πάντων ὑμῶν, τέκνα ἠγαπημένα. ἀμήν.

---

96 κλίμασιν: cf. E. Honigmann, Die sieben Klimata. Heidelberg 1929, 4sq. 117 ὁ Πρόδρομος καὶ ὁ Θεολόγος: cf. adn. ad ep. 9,38

---

95 cf. vitam B (252 D) οὕτω γὰρ ὁ τῆς Λογγιβαρδίας ῥήξ, οὕτως ὁ τῆς Γοτθίας 108 1 Reg. 2,30 109 Ps. 118,21 110 Matth. 5,12 113 Ps. 100,6 114 Ps. 111,1 119 2 Thess. 3,18

---

94 γέγονε VTPS Sirm κρατοῦσι VTPS Sirm 95 ἄρχουσι V καθομοίωσιν C καί[2] om VP Sirm Λογγοβαρδίᾳ Sirm ἐτελέσθη – 96 κλίμασιν om T Γοτθίᾳ VTPS Sirm κλήμασιν C 97 καὶ om P: cancell S οὐ καταισχύνεται: οὐκ αἰσχύνεται T 98 ἱερουργεῖ CTS: λειτουργεῖ cett Sirm 110 ὑμῶν: ὑμῖν VS Sirm ὑπομένουσι VTPS Sirm 111 ἐν om T ἔχεσθε: εὔχεσθαι T ἡμῶν: ὑμῶν T 113 τῆς εἰρήνης VPS Sirm 116 σημανοῦμεν Sirm

32. Νικολάῳ χαρτουλαρίῳ

Ὑπελάβομέν πως ἀπεχθῶς ἔχειν τὴν μεγάλην σου εὐσέβειαν, παμπόθητε ἡμῶν δέσποτα, πρὸς τὴν ταπείνωσιν ἡμῶν διά τινα παρεμπίπτουσαν ὑπόθεσιν· ἀλλ' ὄντως ἔδειξας ἐν τῷ παρόντι καιρῷ καθαράν σου τὴν τιμίαν ψυχὴν πάσης δυσμενείας, οὐ μὴν ἀλλὰ καὶ πάσης θεοσεβείας πεπληρωμένην ἐν τῷ γοργὸν καὶ θερμόν σε γενέσθαι εἰς τὸ χάριν εἰρήνης τῆς ἐκκλησίας τοῦ θεοῦ εὐθὺς ἀπὸ πρώτης ἡμῶν παρακλήσεως κινηθῆναι πρὸς συνάφειαν τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου. τοῦτο γνώρισμα εἰλικρινοῦς φιλίας, τοῦτο ἰδίωμα ἀνθρώπου θεοφόβου, τοῦτο ἀπόδειξις ἐναργοῦς ζήλου ἀληθείας. καὶ γοῦν ἀποδώσειέν σοι Κύριος, εἰ καὶ μηδέν τι γένηται, / ὁλόκληρον δικαιοσύνης μισθόν· οὐδὲ γὰρ ἀπὸ τοῦ τέλους τῶν πραγμάτων, ἀλλ' ἀπὸ τῆς περὶ αὐτὰ προθέσεως, εἴτε ἐπαινετῶς εἴτε οὐχ οὕτως, εἴωθεν τὰς ἀμοιβὰς τὸ θεῖον ἐπιψηφίζεσθαι τοῖς δρῶσιν. κεκέρδηκας τοιγαροῦν ἐν μιᾷ καιροῦ ῥοπῇ οὐ χρυσίον τε καὶ ἀργύριον, ἀλλὰ θησαυροὺς ἀνεκλείπτους οὐρανίας ἀνταποδόσεως.

Ἔτι δὲ παρακαλοῦμεν καὶ δυσωποῦμεν ἐπειχθῆναί σε ἐν τῇ τοιαύτῃ ὑποθέσει, ἵνα αὐτὸς μὲν κερδήσῃς πλούσιον τὸ θησαύρισμα, ἡμεῖς δὲ οἱ εὐτελεῖς τύχωμεν τοῦ πρὸς τὸν ἀρχιερέα συναπτικοῦ, μᾶλλον δὲ ἵνα ἡ ἐκκλησία τοῦ θεοῦ, τῇ σῇ μεσιτείᾳ βραβευθεῖσα, πολλούς σου τοὺς τῶν ἐγκωμίων στεφάνους καταπλέξειεν. καὶ οὐ πλέον τι χρὴ λέγειν. ἐπειδὴ δὲ ἐκέλευσας ἐπισημᾶναι ὁπόσος ἐστὶν ὁ λόγος τῆς ταπεινώσεως ἡμῶν, ἤδη ἀψευδῶς γνωρίζομεν τῇ μεγίστῃ σου ὑπεροχῇ ὡς ἐν προσώπῳ Κυρίου τοῦ τῶν ἀδήλων γνώστου οὐκ ἔστιν ἡμῖν ἔν τινι τὸ ἀμφιβάλλον τῆς πρὸς τὸν ἀρχιερέα κοινωνίας ἢ διὰ τὸν οἰκονόμον, κατὰ τὸ καθῃρημένον αὐτὸν εἶναι ὑπὸ τῶν θείων κανόνων. καὶ ἡνίκα ὑποσταλῇ τῆς ἱερουργίας, καθὰ τὸ πρότερον

---

32. a. 808 exeunte vel a. 809 ineunte 19 ἀρχιερέα: Nicephorus

15 cf. Theod. Stud. catech. parv. 35 (p. 127,2 Auvray) καὶ τοῦτο ἐν μιᾷ καιροῦ ῥοπῇ 16 Luc. 12,33 25 – 27 = ep. 30,30 – 31

C V PS

2 ὑπελάβωμεν C πῶς CPS Mi πανπόθητε Mi 10 ἐναργοῦς: ἐναργὴς V 11 ἀποδώσειέ VPS Sirm 13 ἀλλὰ V 14 εἴωθε VPS Sirm δρῶσι VPS Sirm 15 τοιγὰρ οὖν C 17 σε ante ἐπειχθῆναί transp V Sirm 19 τύχομεν CS^{ac} συνοπτικοῦ V Sirm (sed cf ep 497,20) 21 σου CP Sirm: σοι VS καταπλέξειε VPS Sirm 22 ἐπισημάναι P 23 σου om Mi 25 ἀμφιβάλλον: ἀμφίβολον V 26 κατὰ: διὰ S^{pc} 27 καθὰ: κατὰ Mi τοπρότερον S

εὐδοκίᾳ θεοῦ τοῦ τε ἁγιωτάτου πατριάρχου τῶν τε εὐσεβῶν ἡμῶν δεσποτῶν, δῆλον ὅτι ὄντος αὐτοῦ οἰκονόμου καὶ τὴν τιμὴν ἔχοντος εὐθὺς παραυτίκα καὶ συλλειτουργοῦμεν καὶ συγκοινωνοῦμεν καὶ χειροτονούμεθα, μηδὲν ἐπιζητοῦντες περὶ τῆς ἐν τοῖς τρισὶ χρόνοις τούτοις συλλειτουργίας αὐτοῦ οἰκονομίας χάριν, οὐ διὰ φόβον, ἀλλὰ διὰ τὸ κοινωφελὲς καὶ σωτήριον.

Σιγάτωσαν γὰρ αἱ ψευδοκατήγοροι γλῶτται, κατὰ τῆς εἰρήνης τοῦ θεοῦ κινούμεναι, ὅτι, ἐπὰν εἰρχθῇ τῆς ἱερουργίας ὁ οἰκονόμος, ἐπιδραξόμεθα αἰτίας κατενεγκεῖν τὸν ἀρχιερέα ἡμῶν, ὡς ἤδη τῷ καθῃρημένῳ συλλειτουργήσαντα, ἔπειτα τὸν προηγησάμενον ἁγιώτατον πατριάρχην. χείλη δόλια, τὰ λαλοῦντα τὰ τοιαῦτα, ἀνθρώπων συκοφαντῶν καὶ φθονερῶν τὸ δρᾶμα καὶ μὴ θελόντων εἰς ἴασιν ἐλθεῖν τὸ προσπεσὸν ὄφλημα τῇ ἐκκλησίᾳ. οὐδαμῶς, μὴ γένοιτο. καὶ τὸν πατριάρχην τὸν προηγησάμενον καὶ ἐδεξάμεθα καὶ δεχόμεθα, διὸ καὶ ἕως θανάτου συνεκοινωνοῦμεν αὐτῷ, καὶ τὸν νυνὶ ἁγιώτατον ἀρχιερέα καὶ ἐδεξάμεθα καὶ δεχόμεθα· ἐπὶ τούτῳ γὰρ καὶ ἀναφέρομεν καθεκάστην. ὁ οἰκονόμος εἰρχθῇ τῆς ἱερουργίας ὁ τὸν μοιχὸν στεφανώσας καί, ὡς προδεδηλώκαμεν, συλλειτουργοῦμεν αὐτῷ, εἰ κελεύει, ἐπὶ τῆς καθολικῆς ἐκκλησίας, ἕκαστος κατὰ τὴν οἰκείαν ἡμῶν τάξιν. καὶ εἰ τοῦτο γένηται, χαρὰ ἐν οὐρανοῖς, εἰρήνη ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ τοῦ θεοῦ· τὸ σχίσμα ὑποχωρεῖ, ἡ ὁμόνοια ἀναλάμψειεν τρανῶς, ὁ ἀρχιερεὺς ἡμῶν στεφανωθήσεται τοῖς ἐπαίνοις καὶ τοσοῦτον, ὡς διαδοθῆναι αὐτοῦ τὸ ἐγκώμιον ἕως γενεᾶς, οἱ κράτιστοι ἡμῶν βασιλεῖς σὺν τοῖς πολυτιμήτοις αὐτῶν διαδήμασι καταστεφανωθήσονται τῇ ἀγγελικῇ εὐφημίᾳ, οἱ ἱερεῖς ἐνδύσονται δικαιοσύνην, ἔτι μᾶλλον οἱ ὅσιοι, τὸ μοναδικὸν λέγω τάγμα, ἀγαλλιάσει ἀγαλλιάσονται. ὁ δεσπότης ἡμῶν οἷον καὶ ἡλίκον λήψῃ τὸ βραβεῖον, τί δεῖ λέγειν; καὶ τί μᾶλλον οὐ γενήσεται; τί τερπνὸν οὐκ

---

38 πατριάρχην: Tarasius

38 Ps. 11,3 47 Luc. 15,7 52 Ps. 131,9

29 δηλονότι VS 30 συνκοινωνοῦμεν C 31 τῆς: τοῖς $CP^{ac}S^{ac}$ 33 κοινοφελὲς C 35 ἐπἂν P εἱρχθῇ C ἐπιδραξώμεθα CS 39 δράμα VP ἐλθεῖν V^{sscr} 40 πρὸς πεσὸν C: προσ πεσὸν S οὐδαμῶς CS: μηδαμῶς cett Sirm 42 συνκοινωνοῦμεν Mi νῦν V Sirm 43 τοῦτο C γὰρ om V 44 καθεκάστην CPS post οἰκονόμος exc fort vox μόνον (cf ep 28,111) εἱρχθῇ C: εἰρχθήτω $VP^{pc}S$ Sirm 48 ἀναλάμψειε S: ἀναλάμψεται P: ἀναλάμψει V Sirm 50 γενεᾶς: an γενεᾶς ⟨καὶ γενεᾶς⟩ scribendum? cf Ps 99,5 52 καταστεφανωθήσονται iterum scriptum cancell V: στεφανωθήσονται S 55 fort exc ante λέγειν vocula καὶ; cf epp 34,107; 56,4; 204,5 etc τί τερπνὸν – 57 δοξασθήσεται in marg V

εἰσαχθήσεται; εἴπωμεν καὶ τοῦτο, ὅτι καὶ αὐτὸς / ὁ οἰκονόμος εὐφημηθήσεται καὶ δοξασθήσεται καὶ κληρονομήσει διὰ τοῦτο μέγα ἔλεος καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι· ἡμεῖς τε οἱ ἁμαρτωλοὶ ἐσόμεθα ὑποπίπτοντες καὶ προσκυνοῦντες καὶ ὑπερευχαριστοῦντες, ἔργῳ καὶ λόγῳ τὰ δέοντα ὡς ἀρχιερεῖ ὑπὲρ πάντα ἄνθρωπον κατὰ τὸ ὀφειλόμενον συνεισφέροντες. πρὸς δὲ πίστωσιν τῶν εἰρημένων ποιούμεθα τὸν λόγον ἔγγραφον διὰ πλάτους, ὅτι μετὰ τὴν παῦσιν τῆς ἱερουργίας, καθὰ τὸ πρότερον, ἐὰν μὴ εὐθὺς εἰσέλθωμεν καὶ κοινωνήσωμεν, ὡς προγέγραπται, ἔστω ἡ ψῆφος καθ' ὑμᾶς, εἴ τι βούλεσθε, καὶ μὴ ἐξὸν ἔτι λαλεῖν ἡμᾶς περὶ τῆς ὑποθέσεως. καὶ ἰδοὺ οὐκ ἄνθρωπος, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ὁ δι' ἡμῶν ἕλκων καὶ συνωθῶν καὶ παρακαλῶν σε.

33. Λέοντι πάπᾳ Ῥώμης

Τῷ ἁγιωτάτῳ καὶ κορυφαιοτάτῳ πατρὶ πατέρων Λέοντι τῷ δεσπότῃ μου ἀποστολικῷ πάπᾳ Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

Ἐπειδήπερ Πέτρῳ τῷ μεγάλῳ δέδωκε Χριστὸς ὁ θεὸς μετὰ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν καὶ τὸ τῆς ποιμνιαρχίας ἀξίωμα, πρὸς Πέτρον ἤτοι τὸν αὐτοῦ διάδοχον ὁτιοῦν καινοτομούμενον ἐν τῇ καθολικῇ ἐκκλησίᾳ παρὰ τῶν ἀποσφαλλομένων τῆς ἀληθείας ἀναγκαῖον ἀναφέρεσθαι. τοῦτο τοιγαροῦν δεδιδαγμένοι καὶ ἡμεῖς οἱ ταπεινοὶ καὶ ἐλάχιστοι ἐκ τῶν ἀνέκαθεν ἁγίων πατέρων ἡμῶν, ἐπεὶ ὑπήρχθη τις καὶ νῦν καινοτομία ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ, καὶ πρότερον μὲν διὰ μέσου τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου, ἤγουν τοῦ ἀδελφοῦ καὶ συνδούλου ἡμῶν Ἐπιφανίου, καὶ νῦν διὰ τοῦ εὐ-

---

56 εἴπομεν C 57 διατοῦτο S 63 καθὰ: κατὰ Mi τοπρότερον S 65 ἐξὼν C 66 ἄγγελος οὐκ ἄνθρωπος VP Sirm

---

33. a. 809 5 τὰς κλεῖς τῆς βασιλείας: ad elocutionem cf. Mann, Lives of the Popes II 142 sq.; J. Cozza Luzi, Le chiavi di S. Pietro. Rom 1887 5 ἐπειδήπερ – 16 κεφαλή ac 51 σῶσον – 54 Πέτρῳ: primum edidit Allatius, De consensione 303

5 Matth. 16,19

C VN PS

3 πάπᾳ ἀποστολικῷ V 4 τῶν om N 7 ὅτι οὖν C κενοτομούμενον CS 9 τοιγὰρ οὖν C 11 κενοτομία CS (sed cf ep 36,81) 12 ἀρχιμανδρίτου om N

τελοῦς ἡμῶν γραμματείου ὀφειλόμενον ἡγησάμεθα τῷ ἀγγέλῳ τῆς κορυφαίας σου μακαριότητος ταύτην ἀνενεγκεῖν.

Γέγονε τοίνυν, ὦ θειοτάτη τῶν ὅλων κεφαλῶν κεφαλή, κατὰ τὸν προφήτην Ἱερεμίαν σύνοδος ὡς ἀληθῶς ἀθετούντων καὶ συνέδριον μοιχωμένων. ὅπερ γὰρ ἐκεῖσε διὰ τῆς εἰδωλικῆς ἐκπορνεύσεως λέλεκται, τοῦτο ἐνταῦθα διὰ τῆς μοιχοζευκτικῆς ἐπικυρώσεως δέδεικται· ἀμφότεροι γὰρ τὸν αὐτὸν Κύριον ἠθετήκασιν, οἱ μὲν διὰ τῆς νομικῆς, οἱ δὲ διὰ τῆς εὐαγγελικῆς παραβάσεως. καί γε οὐ μέχρι τούτου ἔστησαν, παρασυναγωγὴ διὰ προτέρας συνελεύσεως ἐν τῇ τοῦ μοιχοζεύκτου παραδοχῇ καὶ συνιερουργίᾳ κατὰ τὸν θεῖον Βασίλειον χρηματίσαντες, ἀλλ', ὡς ἂν ἑαυτοῖς αἱρέσεως τελείας ὄνομα περιποιήσωνται, δι' ἑτέρας συνόδου δημοσίας τοὺς μὴ τῇ παρανόμῳ αὐτῶν κακοδοξίᾳ συγκαταθεμένους, μᾶλλον δὲ ὅλην τὴν καθολικὴν ἐκκλησίαν, ἀναθεματισμῷ ὑποβεβλήκασι, τοὺς ἤδη φθάσαντας ἐπὶ προσώπου αὐτῶν πόρρω που οὓς μὲν ἐξοστρακίσαντες, οὓς δὲ φυλακαῖς κατέχοντες, διωγμὸν κατὰ τὸ σύνηθες τῶν ἐνταῦθα πάλιν καινουργήσαντες. καὶ τὸ δικαίωμα αὐτοῖς λόγου πονηροῦ κραταίωμα. οἰκονομίαν οὖν τὴν ζευξιμοιχείαν δογματίζουσιν· ἐπὶ τῶν βασιλέων τοὺς θείους νόμους μὴ κρατεῖν διορίζονται· τοὺς ὑπὲρ ἀληθείας καὶ δικαίου μέχρις αἵματος ἐνστάντας, / ὥσπερ τὸν Πρόδρομον καὶ Χρυσόστομον, μιμεῖσθαι ἀπαγορεύουσιν· ἕκαστον τῶν ἱεραρχῶν ἐξουσιάζειν ἐν τοῖς θείοις κανόσι παρὰ τὰ ἐν αὐτοῖς κεκανονισμένα ἀποφαίνονται.

Καὶ διὰ τοῦτο, ὁπόταν τύχῃ καὶ κρυπτῶς καὶ ἐμφανῶς ἁλῶναί τινα τῶν ἱερωμένων καθαιρετικοῖς κανόσι, τῇ τοῦ βουλομένου ἐξουσίᾳ μένειν ἀκαθαίρετον. καὶ μάρτυς τοῦ λόγου ὁ διαφόροις κανόσι σὺν ἄλλοις κεκρατημένος μοιχοζεύκτης καὶ συλλειτουργῶν αὐτοῖς δημοσίᾳ. τοὺς παρανομίας ὡς οἰκονομίας ποιοῦντας ἄλλους τε καὶ ἑαυτοὺς ἁγίους ἐν τούτῳ ὀνομάζουσι καὶ τοὺς μὴ ταύτας προσιεμένους ὡς ἠλλοτριωμένους θεοῦ ἀναθεματίζουσι· μάρτυς δὲ κἀνταῦθα τοῦ λόγου ὢν καὶ ὁ διωγμός. τί οὖν ἔστιν ἐν τούτοις, ὦ μάκαρ, εἰπεῖν ἢ τὸ

---

17 Jer. 9,1 22 Bas. ep. 188,1 (PG 32,665 A = II 121,20 Courtonne; cf. III 1185 A Mansi)

14 γραμματείου CS^{ac}: γραμματίου P Sirm: γράμματος VN 17 ὡσαληθῶς S συνεδρίων VN 25 περιποιήσονται C 26 συνκαταθεμένους C 28 πόρρω που V^{sscr}: post ἐξοστρακίσαντες transp VN Sirm ποῦ C 30 κενουργήσαντες CS^{ac} 35 κεκανονευμένα VN 37 διατοῦτο S 40 κεκρατημένοις CPS^{ac} 41 τοὺς: τὰς CS ποιοῦντες S 42 ταῦτα V^{ac}S 44 ὤν: ὢν Sirm ὁ om VN εστιν C: ἐστιν PS

ἀποστολικὸν ἐκεῖνο, ὅτι νῦν πολλοὶ ἀντίχριστοι γεγόνασιν, εἴπερ μὴ ὑπὸ τῶν θείων νόμων καὶ κανόνων πάντες ἄνθρωποι ἐξουσιαζόμεθα;

Τούτων ἤδη ἀψευδῶς ὑπὸ τῆς εὐτελείας ἡμῶν ἀνενεχθέντων ἐκείνην τὴν φωνήν, ἣν ὁ κορυφαῖος σὺν τοῖς λοιποῖς ἀποστόλοις προσήγαγεν Χριστῷ, ἡνίκα ὁ τῆς θαλάσσης κλύδων ἐπεγείρετο, προσφέρομεν τῇ χριστομιμήτῳ σου μακαριότητι· σῶσον ἡμᾶς, ἀρχιποιμὴν τῆς ὑπ' οὐρανὸν ἐκκλησίας, ἀπολλύμεθα. μίμησαί σου τὸν διδάσκαλον Χριστὸν καὶ ὄρεξον χεῖρα τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ, ὡς ἐκεῖνος Πέτρῳ, ὅσον ὁ μὲν ἀρχομένῳ καταποντίζεσθαι ἐν τῇ θαλάσσῃ, αὐτὸς δ' αὖ καταποντισθείσῃ ἤδη ἐν τῷ τῆς αἱρέσεως βάθει. ζήλωσόν σου, δεόμεθα, τὸν ὁμώνυμον πάπαν, καὶ ὡς ἐκεῖνος τηνικαῦτα τῆς Εὐτυχιανικῆς αἱρέσεως ἀναφυείσης λεόντειόν πως διηγέρθη τῷ πνεύματι, ὡς ἴσασι πάντες, ταῖς δογματικαῖς αὐτοῦ ἀποστολαῖς, οὕτω καὐτός, τολμῶ λέγειν, φερωνύμως βρύξον θείως, μᾶλλον δὲ βρόντησον κατὰ τῆς παρούσης κακοδοξίας τὰ εἰκότα. εἰ γὰρ οὗτοι ἑαυτοῖς ἐξαυθεντήσαντες αἱρετικὴν σύνοδον ἐκπληρῶσαι οὐκ ἔδεισαν καίπερ, εἰ καὶ ὀρθόδοξον, οὐκ ἄνευ τῆς ὑμῶν εἰδήσεως ἐξουσιάζοντες, ὡς τὸ ἄνωθεν κεκρατηκὸς ἔθος, πόσῳ γε μᾶλλον εὔλογον καὶ ἀναγκαῖον ἂν εἴη, ὑπομνήσκομεν φόβῳ, ὑπὸ τῆς θείας πρωταρχίας σου ἔννομον κροτηθῆναι σύνοδον, ὡς ἂν τὸ ὀρθόδοξον τῆς ἐκκλησίας δόγμα τὸ αἱρετικὸν ἀποκρούσηται καὶ μήτε ἡ κορυφαιότης σου σὺν ἅπασι τοῖς ὀρθοδόξοις ἀναθεματίζοιτο παρὰ τῶν νέων κενοφώνων μήτ' αὖ ὁρμητήριον ἀνομίας τὴν μοιχοσύνοδον εὑρίσκοντες οἱ βουλόμενοι κατολισθαίνουσιν εὐπετῶς πρὸς τὴν ἁμαρτίαν.

Ταῦτα ὡς τὸ ἀνῆκον τῇ οὐθενότητι ἡμῶν ἀναγγελκότες ὡς ἐλάχιστα μέλη τῆς ἐκκλησίας καὶ τῇ ὑφ' ὑμῶν ὑπείκοντες θείᾳ ποιμεναρ-

---

56 πάπαν: Leo I (440 – 461) 57 διηγέρθη: cf. E. Caspar, Geschichte des Papsttums I 465 sq.

---

45 1 Joh. 2,18 51 Matth. 8,25; cf. ibid. 14,30 50 cf. Bas. ep. 242,3 (PG 32,901 A = III 67,4 Courtonne) 54 Matth. 14,29 sq. 59 cf. Conc. Cpolitanum III (XI 661 D Mansi) Λέοντος τοίνυν ἡ δέλτος καθάπερ λέοντος βρύχημα ῥωμαλέον ἐκ Ῥώμης ἠχήσασα

---

46 καὶ κανόνων in marg C **50** προσήγαγε VPSN Sirm **51** ἀρχιποίμην VPSN Sirm **55** ἤδη S[sscr] **57** λεόντιον C πῶς C **58** ἐπιστολαῖς Mi **59** καὶ αὐτὸς VPN Sirm **61** ἑαυτοὺς V ἐξαυθεντίσαντες V ἐκ πληρῶσαι Sirm **62** ἡμῶν P **64** ὑπομιμνήσκομεν VPSN Sirm **65** εὔνομον N **68** an καινοφώνων scribendum? μὴτ αὖ C **69** κατωλισθαίνουσιν C: κατολισθαίνωσιν cett Sirm **71** ἀνηγγελκότες VPS[pc]N Sirm **72** ἡμῶν CPS[pc] ὑπήκοντες CS[ac]

χίᾳ, τὸ λοιπὸν ἐξαιτοῦμεν τὴν ἁγίαν αὐτῆς ψυχὴν λογίζεσθαι ἡμᾶς ὡς οἰκεῖα αὐτῆς πρόβατα καὶ ταῖς ἱεραῖς προσευχαῖς πόρρωθεν φωτίζειν καὶ στηρίζειν· εἰ δὲ καὶ διδαχαῖς, τῆς σῆς ἂν εἴη θείας συγκαταβάσεως. ἐπεὶ καὶ Χριστὸς Αὐγάρῳ ἐπέστειλεν καὶ πολλοὶ τῶν ὑφειμένων παρὰ ἀποστόλων καὶ ἁγίων γράμματα δέξασθαι κατηξιώθησαν. παρ' ἐμοῦ δὲ μόνου τοῦ ἁμαρτωλοῦ καὶ τηρουμένου ἐν φυλακῇ ἡ ἐπιστο/λὴ διὰ τὸ τὸν πατέρα καὶ σύνδουλόν μου τὸν ἐγκλειστὸν τόν τε ἀρχιεπίσκοπον Θεσσαλονίκης καὶ ἀδελφὸν ἡμῶν εἰς ἑτέρας νήσους ὡσαύτως τηρουμένους. πλὴν καὶ αὐτοὶ δι' ἐμοῦ καὶ σὺν ἐμοὶ τὰ αὐτὰ καὶ φθέγγονται καὶ προσπτύσσονται τοῖς ἱεροῖς τῆς μακαριότητός σου ἴχνεσιν.

34. Τῷ αὐτῷ

Τῷ ἰσαγγέλῳ μακαριωτάτῳ καὶ ἀποστολικῷ πατρὶ πατέρων Λέοντι πάπᾳ Ῥώμης Πλάτων ἐγκλειστὸς καὶ Θεόδωρος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

Μέγα ἡμῖν τοῖς ταπεινοῖς ὡς ἀληθῶς καὶ εὐχῆς ἔργον τῆς ἀνωτάτω, ἀξιωθεῖσι δέξασθαι παρὰ τῆς ἀποστολικῆς ὑμῶν μακαριότητος πρόσρησιν προσαγορευτικήν, καὶ μὴν ἀποσημείωσιν τῶν πνευματοκινήτων αὐτῆς ἱερῶν λογίων δι' Ἐπιφανίου τοῦ συνδούλου καὶ ἀγαπητοῦ ἡμῶν τέκνου, καὶ ταῦτα κεκλεισμένοις οὖσιν ὑπὸ τῶν κακοδόξων καὶ ὄψει θεασαμένοις τὸν γραμματηφόρον. ἐφ' οἷς ἐσκιρτήσαμεν, ἠγαλλιασάμεθα, ἀνθωμολογησάμεθα τῷ Κυρίῳ, τῷ ταῖς θείαις αὐτῆς προσευχαῖς τὰ παρ' ἐλπίδα παραδόξως ἡμῖν τοῖς ἀναξίοις χαρισαμένῳ, μονονουχὶ καὶ ὁρᾶν αὐτῆς τὸν ἱερὸν χαρακτῆρα διὰ μέσου τῶν φωνῶν φανταζομένοις.

---

81 εἰς ἑτέρας νήσους: cf. vitam B 27 (269 B)

---

77 Euseb. hist. eccl. 1, 13, 3 (p. 84 Schwartz-Mommsen) ἐπιστολῆς γοῦν αὐτὸν ἰδίας καταξιοῖ

---

76 ὁ ante Χριστὸς add V Sirm   αὐάρῳ C   ἐπέστειλε VPSN Sirm   77 ὑφημένων C   80 ἔγκλειστον VPSN Sirm (sed cf adn ad ep 16,31)   τῆς ante Θεσσαλονίκης add Sirm   81 ὡς αὔτως C   τηρουμένους: τηρουμένους εἶναι PS (ubi εἶναι in marg P : S[sscr]): τηρεῖσθαι VN Sirm

---

34. a. 809   2 ἰσαγγέλῳ: ad vocem cf. J. Gretser, Opera omnia, VII. Regensburg 1736, 287

C VMN PS

---

2 πατέρων om VMP Sirm   3 ἔγκλειστος VMPSN Sirm (sed cf adn ad ep 16,31)   6 πρόσρρησιν V   9 τέκνου ἡμῶν S   11 ἀνθομολογησάμεθα CS   12 παρελπίδα CS   13 μονονοὺχι C   14 διαμέσου P: διὰ μέσων VM

Ἀλλ' αὐτὴ μὲν χριστομιμήτως καὶ προσηγόρευκε τοὺς εὐτελεῖς καὶ ἀνεζωπύρησεν ἡμῶν τὸ πνεῦμα, ἐπέρρωσέν τε τὸ ἀσθενὲς καὶ ἐστιβάρωσεν τὸ ἀδρανές, οἱονεὶ ἐπαλείψασα τοῖς ὑπὲρ ἡμᾶς παρακλητικοῖς καὶ νουθετικοῖς φθέγμασιν στήκειν τε ἐν τῇ ὀρθοδόξῳ πίστει ἀκλινῶς μέχρι τέλους παρεγγυοῦσα (καὶ γένοιτο ἡμῖν ἱλέοις αὐτῆς ἱκετηρίαις), ἡμεῖς δὲ οἱ οὐθενεῖς καὶ πάλιν εὖ ἔχειν νενομίκαμεν, ὥσπερ τὸ πρότερον δι' αὐτοῦ τοῦδε τοῦ πιστοτάτου ἡμῶν γραμματηφόρου καὶ αὖθις δι' Εὐσταθίου τοῦ ἑταίρου αὐτοῦ καὶ ἡμῶν τέκνου, οὕτω καὶ νῦν ἀνενεγκεῖν αὐτῇ τὰ εἰκότα.

Σύνοδος γέγονεν ἐν τοῖς καθ' ἡμᾶς, ὦ μακαριώτατε, πάνδημος, συγκαθεσθέντων καὶ ἀρχόντων τῶν ἐν τέλει· καὶ ἡ σύνοδος ἐπ' ἀθετήσει τοῦ εὐαγγελίου Χριστοῦ, οὗ σὺ τὰς κλεῖς ἐδέξω πρὸς αὐτοῦ διὰ μέσου τοῦ τῶν ἀποστόλων προστάτου καὶ τῶν ἀμοιβαδὸν μέχρι τοῦ προηγησαμένου τὴν ἱερωτάτην σου κορυφήν. καὶ ὅπως ἀνάσχοιτο ἐπακηκοέναι ἡ θεομίμητος ἐπιείκειά σου, ἀρξώμεθα δὲ ἀπὸ τοῦ νόμου καὶ τῶν προφητῶν. καὶ γοῦν φησίν, οὐ μοιχεύσεις, οὐ ψευδομαρτυρήσεις, οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ. καὶ Ἱερεμίας μέν, ἄφρων καὶ ἀσεβὴς ὁ κατέχων μοιχαλίδα, Μαλαχίας δέ, χείλη ἱερέως φυλάξατε γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, διότι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν. μετέλθωμεν ἐπὶ τὸ εὐαγγέλιον· ὁ ἀπολύων, φησίν, τὴν γυναῖκα αὐτοῦ καὶ γαμῶν ἑτέραν μοιχεύει. καὶ πάλιν, οὓς ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. ὅσον δὲ τὸ διάφορον νόμου καὶ χάριτος, ἐξ αὐτῶν τῶν λόγων τοῦ Κυρίου εἰσόμεθα λέγοντος, / καὶ ἰδοὺ πλέον τοῦ ἱεροῦ ὧδε· εἶτα καὶ ἐκ τῶν τοῦ ἀποστόλου φωνῶν φάσκοντος, ἀθετήσας τις νόμον Μωσέως χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος καὶ τὴν χάριν τοῦ Πνεύματος ἐνυβρίσας;

---

15 χριστομιμήτως: cf. Hausherr, L'imitation 237 et 249 24 σύνοδος – 28 κορυφήν: verba iuris publici primum fecit Allatius, De consensione 303 sq. 28 προηγησαμένου: Hadrianus I

---

18 1 Cor. 16,13 30 Ex. 20,13 Ex. 20,16 31 Ex. 20,7 32 Prov. 18,22 33 Mal. 2,7 35 Matth. 19,9 36 Matth. 19,6 38 Matth. 12,6 40 Hebr. 10,28 sq.

---

16 τὸ πνεῦμα: τὴν διάνοιαν N ἐπέρρωσε VMPSN Sirm 17 ἐστηβάρωσεν C: ἐστιβάρωσε cett Sirm 18 φθέγμασι VMPSN Sirm ἐστήκειν N 19 παρεγγυῶσα VMPS[pc]N Sirm ἔλεος M 22 ἑτέρου VM Sirm αὐτοῦ καί: καὶ αὐτοῦ V Sirm 23 αὐτῇ ἀνενεγκεῖν S 26 τοῦ ante Χριστοῦ add VMP Sirm 27 πρωτοστάτου VMPSN Sirm 28 κορυφήν: κεφαλὴν VMPN Sirm ὅπως: ὢ πῶς M 29 σου ἐπιείκεια V 33 φυλάξεται Mi 34 ἐστί V: ἐστι MPSN Sirm 35 φησὶ VMPSN Sirm αὐτοῦ VM 38 ἴσόμεθα C 40 δυσὶ Sirm 42 τὸ om N

Τούτων τοίνυν οὕτως ἐχόντων, οἱ μετὰ γλώσσης ἀνόμου τὰ πρὸς Κύριον ἀπειθοῦντες τὴν λύσιν τοῦ τε νόμου καὶ τοῦ εὐαγγελίου (ἤγουν τὴν μοιχείαν τοῦ πρὶν κρατήσαντος ἐπὶ τῇ ἐκβολῇ τῆς νομίμου καὶ εἰσοικίσει τῆς μοιχαλίδος καὶ τὴν ταύτης μείζονα καὶ χαλεπωτέραν παρανομίαν, ἤτοι τὴν μοιχοζευξίαν, διὰ τὸ ψευδομαρτυρῆσαι κατὰ θεοῦ καὶ τὸ τούτου ὄνομα λαβεῖν ἐπὶ τῇ ἀθεμίτῳ πράξει κατὰ τὴν μυσταγωγίαν, καὶ μὴν καὶ δοῦναι τοῖς μοιχωμένοις νικητικοὺς κατὰ Χριστοῦ τοὺς στεφάνους ἐπὶ μεθέξει τῶν θείων δώρων, τῶν ὡς κοινῶν ἐνυβρισθέντων παρὰ τοῦ μοιχοζεύκτου, καὶ ἀγγέλου οὐ τοῦ παντοκράτορος θεοῦ, ἀλλὰ τοῦ κοσμοκράτορος σατανᾶ ἀποφανθέντος κατὰ τὸ ἀληθές, ἔτι μὴν καὶ πάντων τῶν διὰ συνδρομῆς καὶ εὐδοκίας ἐν τῇδε τῇ παραβάσει τὴν μερίδα θεμένων μετὰ μοιχοῦ καὶ μοιχοζεύκτου) οἰκονομίαν σωτήριον τῇ ἐκκλησίᾳ τοῦ θεοῦ προηγορεύκασιν, τοσοῦτον ὀχυρὰν καὶ θεοκύρωτον ὑπάρχουσαν, ὡς τοὺς μὴ εἴξαντας καὶ συνθεμένους αὐτοῖς ἀναθέματι συνοδικῶς ὑποβάλαι μετὰ φυλακῶν καὶ ἑτέρων παθημάτων, ὡς μὴ δεξαμένους ταύτην τὴν οἰκονομίαν ἁγιόπρακτον εἶναι.

Ἄκουε, οὐρανέ, φησὶν Ἠσαΐας, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν, ἡμεῖς δὲ οἱ εὐτελεῖς πρὸς σὲ τανῦν· ‚ἄκουε, ἡ μεγάλη τοῦ θεοῦ κεφαλή, καὶ ἐνωτίζου, ἃ ὁ σατανᾶς ἀπειργάσατο'. εἰ τοίνυν κατὰ θεοῦ βούλησιν καὶ ἀποδοχὴν ἡ συνάθροισις αὕτη ἥ τε ἀναθεματιστικὴ ἀπόφασις, οὐ θεοῦ ὁ νόμος δῆλον ὅτι οἵ τε προφῆται, μεθ' ὧν ὁ Πρόδρομος ὡς μοιχοελέγκτης, εἶτα καὶ τὸ εὐαγγέλιον, παρ' ὃ ἐκεῖνοι φίλην τὴν οἰκονομίαν αὐτῶν πεποίηνται. εἰ γὰρ φαῖεν τοῦ αὐτοῦ, δυοῖν θάτερον, ἢ ψευδήγορον τὸν Χριστόν, πάλαι μὲν ἐν τοῖς προφήταις λαλήσαντα καὶ νομοθετήσαντα, νῦν δὲ δι' ἑαυτοῦ ἐν τῷ εὐαγγελίῳ, ἀποφανοῦνται ἢ ἀληθεύοντα, ὥσπερ ἐστὶν αὐτὸς ἡ ἀλήθεια, αὐτοὺς ψεύδεσθαι καὶ θεοκατηγόρους ἐναποδειχθῆναι ἀραρότως, καὶ διὰ τοῦτο τοῦ ἀναθέματος, οὗ κατὰ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ ἀπεφήναντο, εἶναι ὑπευθύνους, βεβαιωσαμένους τὴν μοιχείαν καὶ μοιχοζευξίαν καὶ μοιχοσυνδρομίαν οἰκονομίαν θεοῦ καὶ ἁγίων.

---

61 Is. 1,2 70 Joh. 14,6


44 ἀνόμου CS: ἀθέσμου cett Sirm 50 μοιχομένοις C: μοιχευομένοις VMPN Sirm (sed cf ep 33,18) 51 ἐπιμεθέξει C 53 vocis παντοκράτορος ultima -ρος in marg C ἀποφανέντος Sirm 56 προηγορεύκασι P: προσηγορεύκασι VMSN Sirm 58 ὑποβαλεῖν VS^{pc} Sirm 62 τὰ νῦν VMP 63 σατανὰς P 64 ἥ τε: εἴτε CS^{ac} ἀναθεματικὴ N 65 δηλονότι VMPSN Sirm 66 παρὸ C: παρ' οὗ M 68 δυεῖν C ψευδηγόρον VMPS^{pc}N Sirm 72 διατοῦτο VMS χ̅υ̅ ex χ̅ν̅ corr C 73 ἀπεφήνατο Mi

Καὶ ἀλλοίως οὐκ ἔστιν· οὐ γὰρ προσωποληψία παρὰ τῷ θεῷ, ὡς ὑποδεικνύουσιν οἱ μοιχειανοί, μὴ ἐφίσης τοὺς νόμους αὐτοῦ κεῖσθαι ἐπὶ πᾶσιν, ἀλλ' ἐπὶ τῶν βασιλέων, ὥς φησιν, ὑποχωρεῖν καὶ καινοτομεῖσθαι. καὶ ποῦ τὸ τῶν βασιλέων εὐαγγέλιον; ἀλλ' ὄντως ἠσεβήκασι λίαν, μὴ συνιέντες ὅτι θεὸς πρόσωπον ἀνθρώπου οὐ λαμβάνει, καθὰ ἔφη ὁ ἱερὸς ἀπόστολος, μηδ' ὅτι ὁ αὐτὸς δι' ἑνὸς / τῶν προφητῶν, ταλανίζων αὐτούς, λέγει, ὑμεῖς οὐκ ἐφυλάξατε τὰς ὁδούς μου, ἀλλ' ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ. οὐχὶ θεὸς εἷς ἔκτισεν ὑμᾶς; οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; γράφει δὲ καὶ Σολομὼν τάδε· ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε. καὶ μεθ' ἕτερα· ὅτι ὑπηρέται ὄντες τῆς τοῦ ὑψίστου βασιλείας οὐκ ἐκρίνατε ὀρθῶς οὐδὲ ἐφυλάξατε νόμον οὐδὲ κατὰ τὴν βουλὴν τοῦ θεοῦ ἐπορεύθητε. φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν, ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται. οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ πάντων δεσπότης. πάλιν δὲ ὅτι καὶ ὅλον τὸ εὐαγγέλιον διὰ τῶν φθασάντων παρανομιῶν ἠθετήκασιν, ὦ ἱερὰ καὶ θεία κορυφή, ἐπεὶ καὶ ἓν ἀνόμημα ἀρκεῖ τὸν καθόλου νόμον ἀνατρέψαι· πᾶσαι γὰρ ἀλλήλων ἔχονται, φησὶν ὁ Μέγας Βασίλειος, αἱ ἐντολαί, ὡς ἐν τῇ λύσει τῆς μιᾶς καὶ τὰς λοιπὰς ἐξ ἀνάγκης συγκαταλύεσθαι, οὐκ ἐξ ἑαυτοῦ τοῦτο, ἀλλ' ἐκ τοῦ φθεγγομένου ἐν αὐτῷ Χριστοῦ λέγων, ὅς φησιν, πᾶς ὁ λύων μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, οὗτος ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, δηλονότι ἀπολλύμενος. καὶ ὁ θεσπέσιος Ἰάκωβος, ὅστις, φησί, τελέσει ὅλον τὸν νόμον, πταίσει δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος.

Λελύκασιν οὖν παλαιὰν καὶ νέαν διαθήκην, ὦ μάκαρ, διὰ τῆς λύσεως οὐ τῶν ἐλαχίστων, ἀλλὰ τῶν μεγίστων ἐντολῶν Κυρίου, νόμον κατὰ νόμου εὐαγγελικοῦ ἐκτεθεικότες οἱ τάλανες, τὸ βούλημα τῶν βασιλέων προκρίνειν θεοῦ, ὁπόταν βούλοιντο. βούλονται δὲ ἄλλοι ἄλλο καὶ ἄλλοτε ἄλλως. καὶ διὰ τοῦτο ἀνατροπὴ τοῦ παντὸς μέχρι τοῦ Ἀντιχρίστου, καὶ ἐντεῦθεν εἰκότως ἡ λεγομένη παρ' αὐτοῖς

90 φθασάντων παρανομιῶν: cf. Phot. epp. 2,1 ὑπερανεστηκότων εὐεργεσιῶν, 4,2 εὐχῶν ἐπαμυνόντων et Balettas 143 adn. 3; Blass – Debrunner – Rehkopf 113 adn. 4 92 πᾶσαι γὰρ ἀλλήλων ἔχονται: cf. D. Amand, L'ascèse monastique de Saint Basile. Maredsous 1949, 281 et adn. 82

76 Rom. 2,11 80 Gal. 2,6 82 Mal. 2,9 sq. 84 Sap. 6,1 85 Sap. 6,4 sq. 88 Sap. 6,7 92 Bas. reg. fus. prooem. 2 (PG 31,893 A) 95 Matth. 5,19 97 Jac. 2,10

77 ἐπίσης VMPSN Sirm 78  in marg P καὶ om VM 80 ὁ ante θεὸς add VMN 81 καθὼς M 83 πρόσωπον VM 84 καί: ὁ N 85 μεθέτερα C 95 φησι VMPSN Sirm 100 παλαιὰν in marg C 101 καὶ post ἀλλὰ add VMP Sirm τοῦ ante Κυρίου add S 102 οἱ τάλανες in marg C 104 διατοῦτο VMS

οἰκονομία προσαγορευθήσεται ἀντιχριστικὴ προδρομία. περὶ γὰρ παραβάσεως κανόνων τί δεῖ καὶ λέγειν; ὁπότε γὰρ τοῦ εὐαγγελίου ἀποτροπάδην ἦλθον, σχολὴ περὶ αὐτῶν φροντίζειν. καὶ ὁ μὲν θεὸς διὰ τοῦ προφήτου τάδε φησίν· δώσω τὴν κλεῖδα οἴκου Δαυὶδ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ ἀνοίξει, καὶ οὐκ ἔσται ὁ ἀποκλείων· καὶ κλείσει, καὶ οὐκ ἔσται ὁ ἀνοίγων. οἱ δὲ ἀντιθέως ἐφ' οἷς μὲν ἤνοιξεν, ἀπέκλεισαν, καθήραντες τοὺς ἀνευθύνους ὡς δοκεῖ αὐτοῖς, ἀλλ' οὐ θεῷ, ἐφ' οἷς δὲ ἔκλεισεν, ἤνοιξαν, προχειρισάμενοι τοὺς ὑποπίπτοντας καθαιρέσει θεοκρίτως ἅπαξ πρὸς τὸ αὐτοῖς δοκοῦν καὶ ἀρέσκον, ἀποχρώμενοι ἀεὶ δεσποτικῶς τοῖς ἱεροῖς κανόσιν ὡς ὑπηρέταις καὶ ὑποδουλίοις.

Ταῦτα τῆς μοιχειανικῆς αἱρέσεως τὰ ἄνομα καὶ ἀσεβῆ ἐγχειρήματά τε καὶ ἀποτελέσματα. καὶ ταῦτα ὡς ἐλάχιστα τέκνα τῆς καθολικῆς ἐκκλησίας σοί, τῇ πρωτίστῳ ἡμῶν ἀποστολικῇ κεφαλῇ, ἀναγγεῖλαι κατὰ τὸ ἀναγκαῖον προεθυμήθημεν. λοιπὸν αὐτῆς ἐστι τὰ ἀρεστὰ θεῷ καὶ διανοηθῆναι καὶ πρᾶξαι, ὑπὸ Πνεύματος Ἁγίου ὡς ἐπ' ἄλλοις καὶ ἐν τῷδε κινουμένης, οὐ μὴν ἀλλὰ καὶ δυσωπουμένης ἀξιῶσαι ἡμᾶς αὐτόλεκτα καὶ θεοχάρακτα αὐτῆς γράμματα δέξασθαι κατὰ μίμησιν τῶν ὁμοζήλων αὐτῆς ἁγίων, ὥσπερ νῦν τὰς πλουσίας καὶ ὑπὲρ ἡμᾶς δωρεὰς αὐτῆς καὶ εὐλογίας. /

Ἀπήγγειλεν δὲ ἡμῖν ὁ αὐτὸς ἀδελφὸς ἡμῶν Ἐπιφάνιος, θειοτάτη κορυφή, ὡς ἔγκλησιν ἐδέξατο παρ' αὐτῆς ἕνεκα Βαρσανουφίου, Ἠσαΐου τε καὶ Δωροθέου τῶν αἱρετικῶν, ὡς δεχομένων ἡμῶν αὐτοὺς ὀρθοδόξους· καὶ πάνυ ἠγάσθημεν, εἰ ἡμεῖς οἱ ταπεινοὶ ὑπὲρ ὀρθοδοξίας πάσχοντες αἱρετικοῖς προσπάσχομεν. ἐμφραγέσθω πᾶν τὸ καθ' ἡμῶν ὑποβάλλον καὶ συκοφαντοῦν στόμα. ὀρθόδοξοί ἐσμεν, κἂν ἄλλως ἁμαρτωλοί, ὦ μακαριώτατε, μηδ' ὁτιοῦν ὕφεσιν ἔχοντες ἐν τούτῳ τῆς ἀποστολικῆς πίστεως, πᾶσαν σύνοδον οἰκουμενικήν τε καὶ τοπικὴν ἐγκεκριμένην τῇ ἀληθείᾳ μετὰ τῶν ἐκτεθέντων αὐταῖς ἁγίων κανόνων ἀσπαζόμενοι καὶ πᾶσαν αἵρεσιν καὶ αἱρετικὸν μυσαττόμενοι καὶ ἀναθεματίζοντες. καὶ ἀνάθεμα Βαρσανουφίῳ, Ἠσαΐᾳ, Δωροθέῳ τε καὶ Δοσιθέῳ, τοῖς ὑπὸ τοῦ Ἁγίου Σωφρονίου ἀναθεμα-

---

109 Is. 22,22 137 cf. Sophron. ep. synod. ad Serg. (PG 87,3193 C)

106 ante οἰκονομία voces ὑπὸ τοῦ σατανᾶ add VMPN Sirm 108 σχολῇ S[pc] (fort recte) 109 φησί VMPSN Sirm 111 οἱ V[pc]M[pc]S: ὁ CP ἀντιθέως: cave legas ἀντιθέτως coll κατὰ Χριστοῦ (l. 72 supra) etc 113 ἐφοῖς C 117 μοιχιανικῆς C̣S 119 πρωτίστῃ VMP[pc]N Sirm 126 ἀπήγγειλε VMPSN Sirm 128 ἠσαῖου codd fort exc post Ἠσαΐου vox Δοσιθέου (cf l. 137 infra) 130 πρὸς πάσχομεν C ἐμφραττέσθω VMPS[pc]N Sirm 132 καν C ὅτι οὖν C 136 ἠσαΐᾳ codd 137 τοῖς ὑπό: ὑπὸ τοῖς Sirm

τισθεῖσιν. ἀλλὰ καὶ ἄλλος εἴ τις εἴη τούτοις ὁμώνυμος, ὅμως αἱρετικὸς κατὰ τὴν ἐκείνων αἵρεσιν ἢ ἑτέραν, κἂν ἐπίσκοπος, κἂν ἀσκητής, κἂν ὁστισοῦν, ἀνάθεμα ἔστω. ἀλλὰ καὶ εἴ τις μὴ ἀναθεματίζοι εὐκαίρως κατὰ τὸ ἀναγκαῖον πάντα αἱρετικόν, εἴη τῆς αὐτῶν μερίδος. ἡμεῖς γὰρ καθαροί ἐσμεν παντὸς αἱρετικοῦ φρονήματος εὐχαῖς σου ἱερωτάταις, παναγέστατε.

Ἔτι μὴν καὶ τοῦτο ἀναφέρομεν, ὅτι, εἰ καὶ ἐν τῇ ἐπιστολῇ ἡμῶν τῇ διὰ τοῦ ἀδελφοῦ Εὐσταθίου οὐ δεδήλωται ἐπιστεῖλαι ἡμᾶς τῇ ἁγίᾳ σου κορυφῇ δι' Ἐπιφανίου, οὐ διέψευσται Ἐπιφάνιος, καὶ ὁ τρόπος ἐν τούτῳ. ἦμεν ὡς ἀληθῶς ἐκδώσαντες αὐτῷ τὴν ἐπιστολήν, καὶ πάλιν φόβῳ τῶν κρατούντων ἀπαλείψαντες· ὁ δέ, ἔχων τῶν σημείων τὴν γνῶσιν, ἤγαγεν πρὸς τὰ ἅγια αὐτῆς ἴχνη εὖ φρονῶν μετὰ τὸ ἐξορισθῆναι ἡμᾶς. καὶ γάρ ἐστι στόμα τῆς ταπεινώσεως ἡμῶν καὶ λόγος ἐξερευγόμενος τῆς καρδίας ἡμῶν. καὶ μή τί γε ὑπολάβοι ἡ ἁγία σου ψυχὴ σκάνδαλον ἐν τῷ συνδούλῳ ἡμῶν, ὄντι πιστοτάτῳ κατὰ πάντα.

Ὁ ἀδελφὸς ἡμῶν καὶ ἀρχιεπίσκοπος Θεσσαλονίκης ὑπτίαις καρδίας χερσὶ καὶ ἐδέξατο τὴν τῆς μακαριότητός σου προσηγορίαν καὶ δι' ἡμῶν προσκυνητῶς κατασπαζόμενός ἐστι τὴν ἱερωτάτην σου κορυφήν.

35. [Βασιλείῳ ἡγουμένῳ]

Βασιλείῳ τῷ εὐλαβεστάτῳ ἡγουμένῳ καὶ ἀρχιμανδρίτῃ Ῥώμης Πλάτων ταπεινὸς ἐγκλειστὸς καὶ Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

Οὕτως ἀπεκαραδοκοῦμεν οἱ ταπεινοὶ δέξασθαι γράμματα τῆς πατρικῆς σου ὁσιότητος, ὡς γῆ διψῶσα τὸν ἑαυτῆς ὑετόν· καὶ ἐπειδὴ ἀπετύχομεν τῆς ἐλπίδος, ἠλγήσαμεν, ὡς τὸ εἰκός. ὅμως μαθόντες τὴν

151 Ps. 44,2

138 εἴη om VM 139 καν C (bis) 140 καν C ὅστις οὖν C 143 παναγιώτατε S 147 ὡσαληθῶς S 149 ἤγαγε VMPSN Sirm αὐτοῦ CVMPN Sirm εὐφρονῶν Mi 151 καὶ – ἡμῶν in marg P: om N μή τι CS: μήτοι cett Sirm

35. primo semestri spatio a. 809

6 Jb. 29,23

VM PS

1 Βασιλείῳ ἡγουμένῳ Sirm: uncis inclusi 3 ἐγκλειστὸς coll ep 34,3 scripsi: ἔγκλειστος codd Sirm

αἰτίαν παρὰ Ἐπιφανίου τοῦ ποθεινοτάτου καὶ πιστοτάτου ἡμῶν υἱοῦ, ὅτι ἐξ ἀναγκαίου καὶ οὐκ ἐκ καταφρονήσεως ἡμῶν τῶν εὐτελῶν καὶ λίαν ἐραστῶν τῆς θεοφιλίας σου, μετεβάλομεν τὸ ἄλγος τῆς καρδίας, χαρὰν προσκτησάμενοι ἱκανουμένην. ἀνήγγειλε γὰρ ἡμῖν τὸν αὐτὸν διαμένειν ἐν τῇ πρὸς ἡμᾶς διαθέσει τε καὶ ἀγάπῃ, οὐ μὴν ἀλλὰ καὶ προστιθέμενον μᾶλλον ἀγαθότητος ποικίλοις τρόποις. τὴν δὲ τοῦ ζήλου / τῆς εὐσεβείας διανάστασιν, ὅση ἐστὶ τῇ ἁγίᾳ σου ψυχῇ ἐξηγησάμενος, ἤχησεν ἡμῶν ἀμφότερα τὰ ὦτα. καὶ εὐλογητὸς Κύριος τῶν δυνάμεων, ὁ θέμενός σε ἐν τῇ πρωτίστῃ τῶν πόλεων, φωστῆρα θεολαμπῆ λόγον ζωῆς ἐπέχοντα ἀμφιλαφείᾳ τῶν ἀγαθῶν πράξεων, ὁ δούς σοι γλῶσσαν ἐλευθεροστομοῦσαν τὰ θεῖα τῆς ὀρθοδοξίας διδάγματα μετὰ ὑψηλοῦ κηρύγματος. ἐν ᾧ καὶ παρακαλοῦμεν βοηθεῖν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ τῇ τε οἰκείᾳ κραταιότητι καὶ τῇ πρὸς τὸν ἁγιώτατον ἀποστολικὸν μεσιτείᾳ. ἡ γὰρ ὑμῶν ἀνδρικὴ ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας ἐκδίκησις τῆς ὑπ' οὐρανὸν ἐκκλησίας ὑπάρχει στερέωσις, καὶ ὁ ἀφ' ὑμῶν ζῆλος ἀνάπτειν πέφυκεν ἀεὶ ἅπασαν τὴν οἰκουμένην εἰς τὴν διάπυρον ἐν Πνεύματι Ἁγίῳ τῆς πίστεως ἡμῶν ὁμολογίαν. ὥστε εἰκαζέτω σου ἡ θεοσέβεια, ὅσος ὁ λόγος ὑμῖν τοῦ τῆς εὐσεβείας κράτους καὶ ὁπόσος ὁ ἔπαινος ἀπὸ θεοῦ μετὰ τῶν ἀξίων ἀμοιβῶν ἐν τῇ ταύτης φυλακῇ καὶ ἀναρρήσει· ἣν καὶ φυλάττοιτε καὶ κηρύσσειν οὐ λήγοιτε, οἱ θειότατοι καὶ ἀξιάγαστοι ἡμῶν πατέρες.

Οὗ δὲ χάριν ἀπεστείλαμεν πάλιν τὸν ἀδελφὸν καὶ προσκυνητὴν τῶν ἰχνῶν σου Ἐπιφάνιον; ἵν' ἀνταναγγείλῃ ὁ αὐτὸς τὰ καθ' ἡμᾶς, ὡς εὐχαῖς ὑμῶν ἁγίαις εὖ ἔχει, χαιρομένων ἡμῶν τῶν ἁμαρτωλῶν καὶ θυμηδιώντων ἐν τῷ διωγμῷ καὶ ταῖς φυλακαῖς, ὡς τολμᾶν λέγειν, ἡμῖν ἐχαρίσθη οὐ μόνον εἰς Χριστὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν· ἵνα εἰς ὡς ἐκτενεστέραν ὑμᾶς προσευχὴν παρακινήσῃ ὑπέρ τε ἡμῶν τῶν ἀσθενῶν εὐανδρίας καὶ τοῦ κοινῇ συμφέροντος, ὑπὲρ οὗ ὁ λόγος ἡμῖν καὶ πρὸς ὑμᾶς τοὺς ἁγιωτάτους δέησις τρὶς ἄρτι γινομένη οὐχ ἵνα ἀφεθῶμεν τῆς φυλακῆς, ὅτι μηδὲ λογιζόμεθα αὐτὴν ἀδοξίαν, ἀλλὰ μέγιστον καὶ ὑπὲρ τὴν ἡμετέραν ἀναξιότητα κλέος, ἀλλ' ὅπως ἕξει τὸ ἐπωφελὲς ἐν τῷ κοινῷ, κἂν τῶν ἐσχάτων ἐσμέν. πανταχοῦ γάρ, φησὶν ὁ Θεολόγος, τὸ καθ' ἑαυτοὺς παροpατέον πρὸς τὸ τῶν πολλῶν συμφέρον. συμφέρον δ' ἂν εἴη, ὡς ὁ

34 Philipp. 1,29 40 1 Cor. 10,33 41 Greg. Naz. or.2,54 (PG 35,464 C = p. 164 Bernardi)

9 ἐξαναγκαίου S 22 τῆς ante ἐκκλησίας add P Sirm 23 τὴν οἰκουμένην ἅπασαν M 35 εἰς ὡς scripsi: ὡς codd: εἰς Sirm 39 τὴν M^{sscr}

ἡμέτερος σκοπὸς καὶ πόθος, ἐπιτιμηθῆναι συνοδικῶς διὰ τοῦ κορυφαιοτάτου ἀποστολικοῦ ὥσπερ ἐπὶ τῶν ἄνωθεν καὶ ἐξ ἀρχῆς τοὺς συνεδρεύσαντας κατὰ τοῦ εὐαγγελίου τοῦ Χριστοῦ καὶ ἀναθεματίσαντας τοὺς ἀντεχομένους αὐτοῦ καὶ μὴ τὴν μοιχείαν καὶ μοιχοζευξίαν καὶ μοιχοσυνδρομίαν δεξαμένους ὡς οἰκονομίαν τῶν ἁγίων, καθὰ οἱ μοιχειανοὶ ἐδογμάτισαν, ἀποκαλέσαντες ἐν τούτῳ τοὺς ἁγίους παρανόμους· ὅτι μηδεὶς ἅγιος τὴν μερίδα μετὰ μοιχοῦ ἔθετο, οὐχ ὅτι καὶ μοιχωμένους ἐστεφάνωσε καὶ δώρων τῶν θείων μεταδέδωκεν, ὁπότε οὐδὲ στέγης καὶ πυρὸς μεταδιδόναι αὐτοῖς, κἂν βασιλεῖς εἶεν, διηγορεύκασι. καὶ ὅτι καὶ αὐτὸ τὸ θεῖον ἐξύβρισαν ταῖς στεφανικαῖς μυσταγωγίαις, ἀνενεγκόντες τὸ ἀνάθεμα ἐπ' αὐτὸ διὰ τῆς τῶν ἀντεχομένων τοῦ νόμου αὐτοῦ ἀναθεματίσεως. εἰ δὲ τοῦτο οὔ, ἡμεῖς τὸ λοιπὸν εὐχόμεθα ὑμῶν τῶν προσευχῶν τὸ σθένος, τῶν τῆς ἀγάπης θεσμῶν τὸ κῦρος, τῶν ἀντιγράφων τὸ κράτος, ὅ πάντως παρακληθείητε ποιῆσαι, παραμυθούμενοι τοὺς ὀλιγοψύχους καὶ ἐπιρρωννύντες / τοὺς ἀνάλκιδας, ἁγιώτατοι ἡμῶν καὶ ποθητοὶ καὶ ἀεισέβαστοι πατέρες.

36. Εὐπρεπιανῷ καὶ τοῖς σὺν αὐτῷ

Εὔελπίς εἰμι, τέκνα ἠγαπημένα, περὶ τῆς εἰρηναίας καὶ θεοτάκτου διαγωγῆς ὑμῶν. διὸ μετελεύσομαι τὸν λόγον ἐπὶ τὸ κατεπεῖγον. τί δὲ τοῦτο; ὅταν ἀνακαλύψωμεν τὰ πονηρὰ αὐτῶν δόγματα καὶ ὑποδείξωμεν τὰς αἰτίας, δι' ἃς ἡμᾶς ἀνεθεμάτισαν μετὰ τῶν ἄλλων, παντάπασιν ἀποδείκνυνται οὐχ αἱρετικοὶ ψιλοί πως, ἀλλ' ἀποστάται τοῦ εὐαγγελίου τοῦ θεοῦ τῶν τε ἁγίων ἀναθεματισταὶ καὶ τῶν κανόνων καταλύται. τὸ πρῶτον, ἀντικαθιστάμενοι παλαιᾶς καὶ νέας. μὴ μοιχεύσῃς, ὁ νόμος· μὴ λήψῃ τὸ ὄνομα τοῦ θεοῦ ἐπὶ ματαίῳ· εἷς νόμος ἔστω τῷ Ἰουδαίῳ καὶ τῷ προσηλύτῳ. αὖθις τὸ εὐαγγέλιον,

---

55 τοῦτο: τὸ ἐπιτιμηθῆναι συνοδικῶς (l. 43)

57 1 Thess. 5,14

56 κύρος VM 57 παρα ante παρακληθείητε add S

---

36. a. 809 8 τὸ πρῶτον: apodosis infra 63 et 123

9 Ex. 20,13 Ex. 20,7 Ex. 12,49

VM PS

8 καταλυταί Mi 9 μοιχεύσεις Sirm 10 τῷ[1] S[sscr]

ἤτοι ὁ Χριστός, ἠκούσατε, φησίν, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις ‚οὐ μοιχεύσεις'; ἐγὼ δὲ λέγω ὑμῖν μηδὲ ἐμβλέψαι γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν· καί, ὁ λύων μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, οὗτος ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἤγουν εἰς τὸ πῦρ, ὡς οἱ πατέρες ἑρμηνεύουσιν, ἐμβληθήσεται. οἱ δὲ (ὢ τοῦ φοβεροῦ ἀκούσματος) τὴν μοιχείαν τὴν ἐκκήρυκτον νόμου καὶ χάριτος μέχρι καὶ ἐπιθυμίας ἐμβλεμματικῆς τήν τε λύσιν τῆς οὐκ ἐλαχίστης, ἀλλὰ πρώτης εἰπεῖν ἐν τῷ πρακτικῷ καὶ μεγίστης ἐντολῆς, καὶ πρὸς τούτοις τὴν οὐκ ἐπὶ ματαίῳ λῆψιν τοῦ ὀνόματος τοῦ θεοῦ, ἀλλ' ἐπὶ ἀθεμίτῳ τηλικαύτῃ πράξει πονηρᾷ, λέγω δὴ μοιχοζευξίᾳ, λῆψιν τοῦ ὀνόματος τοῦ θεοῦ καὶ μετάληψιν τῶν μυστηρίων Χριστοῦ καὶ στεφανικὴν τοῦ μοιχουργοῦ διαβόλου καὶ ὑπηρέτου αὐτοῦ θεομαχίαν, οἰκονομίαν θεοῦ προσηγόρευσαν, ἀγαθήν τε καὶ σωτήριον τῇ ἐκκλησίᾳ.

Βύσωμεν τὰ ὦτα μή ποτε τακῶμεν τῇ βλασφημίᾳ, ὦ ἀδελφοί. καὶ τὸ δικαίωμα αὐτοῖς, ἐπὶ τῶν βασιλέων φησὶ χρῆναι παραβλέπειν τοὺς εὐαγγελικοὺς νόμους. ἴδε ἄλλη ἀντιχριστικὴ προδρομία. καὶ ποῦ τὸ εἷς νόμος ἔσται; καὶ ποῦ τὸ κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι; καὶ ποῦ τὸ πρόσωπον ἀνθρώπου θεὸς οὐ λαμβάνει; καὶ τίς ὁ νομοθέτης βασιλέως; καὶ ἐπειδὴ κατὰ τὸ ἄρχον καὶ τὸ ἀρχόμενον, οὐδὲ τῶν ἀρχομένων οἱ νόμοι οἱ εὐαγγελικοί. εἰ γὰρ ἐκείνου, κἀκείνων, ἵνα μένωσιν ὡς ὑφ' ἑνὶ ταττόμενοι νόμῳ καὶ νομοθέτῃ εὐπειθεῖς καὶ ἀστασίαστοι. εἰ δὲ ἐκείνου οὔ, ὅτε βούλεται, οὐ βούλοιτο δὲ τυχὸν οὐδένα φυλάττειν, αὐτῶν δὲ ναί, δύο ταῦτα, ἢ θεὸς ὁ βασιλεὺς (μόνον γὰρ τὸ θεῖον οὐχ ὑπὸ νόμον) ἢ ἀναρχία καὶ στάσις· οὗ γὰρ νόμος μὴ ταὐτός, πῶς εἰρήνη, τοῦ βασιλέως ἄλλο θέλοντος, ἤγουν μοιχεύειν, αἱρετίζειν, καὶ τῶν ὑπὸ χεῖρα μὴ συντίθεσθαι τὴν μερίδα μετὰ μοιχοῦ νομοθετουμένων μηδὲ συναιρετίζειν μηδ' ὁτιοῦν παραβαίνειν τὸ ὑπὸ Χριστοῦ καὶ τῶν ἀποστόλων παραδεδομένον; καὶ πῶς ἐντεῦθεν οὐ συναναφαίνεται ὁ Ἀντίχριστος ἐπὶ θύραις εἶναι; οὐ γὰρ τολμήσουσι / φάναι οἱ μοιχειανοί, ‚μὴ οὐχὶ ὃ ἀνομεῖ ὁ βασιλεύς, ποιεῖ τε καὶ κελεύει ὑπείκειν τὸν λαόν'. καὶ ἴδε εἰσῆλθεν

22 μοιχουργοῦ: cf. F. Bader, Les composés grecs du type de demiourgos. Paris 1965, 48

11 Matth. 5,27 sq. 13 Matth. 5,19 14 Jo. Chrys. hom. in Matth. 16,4 (PG 57,243) 19 Ex. 20,7 25 Ps. 57,5 28 Ex. 12,49 Sap. 6,5 29 Gal. 2,6 30 cf. adn. ad ep. 544,37

11 ἐρρήθη VMP Sirm 21 τοῦ post μυστηρίων add M 34 αὐτῶν: αὐτὸν M ἐστιν post θεὸς add V Sirm 38 ὅτι οὖν Mi 41 φᾶναι M ὃ: ᾧ V

ἐν τῷ λόγῳ αὐτῶν πάντως ὁ Ἀντίχριστος· βασιλεὺς γὰρ ὢν κἀκεῖνος, τοῦτο μόνον ἐπιζητήσει, ὅ θέλει καὶ λέγει γίνεσθαι καὶ οὐδὲν τὸ διάφορον πρὸς τοὺς πρὸ αὐτοῦ ἢ τὸ μὴ τοσοῦτον θέλειν καὶ βούλεσθαι ὡς εἰ καὶ θελήσειεν καὶ ἄρτι. ἡ αὐτὴ ἐξουσία παρὰ τῶν ἱεραρχῶν συνοδικῶς ἐκπεφώνηται. καὶ πῶς συνιῶν τις καὶ οὐκ ὢν δύσερις οὐχ ὁμολογήσειεν οὕτως ἔχειν; τί δὲ ταύτης τῆς αἱρέσεως χεῖρον ἔσται ἕως ἀναδείξεως αὐτῆς τοῦ Ἀντιχρίστου; ἐγὼ οὔπω δοκῶ εἶναι, ἀλλ' αὐτὴν ταύτην εἰς πέρας ἀρξαμένην ἐκ τοῦ δεῦρο τῷ τότε καιρῷ ἀπολῆξαι· καὶ ὅσοι ἐν ταύτῃ ὑποπέσωσι, κἂν τότε ὑπῆρχον, ὑπέπεσον ἄν, καὶ ὁπόσοι δυνάμει θεοῦ ἀνταγωνιζόμενοι στῶσιν, εἶεν ἂν κἀν ταῖς ἡμέραις ἐκείναις νικῶντες τὸν Ἀντίχριστον ἐν θανάτῳ μετὰ Χριστοῦ.

Ἀλλ' ὢ τῆς ἀνθρωπίνης ταλαιπωρίας. πῶς ἀπ' ἐντεῦθεν νῶτα ἔστρεψαν; πῶς ὑποδεικνύομεν τί ἐσόμεθα; διὰ τοῦτο ὀλίγοι οἱ μέλλοντες στῆναι· διὰ τοῦτο Ἠλίας καὶ Ἐνὼχ (οὐκ οἴδαμεν εἰ καὶ ὁ Θεολόγος καὶ εὐαγγελιστὴς) ἀρωγοὶ τῆς ἀνθρωπίνης ἀσθενείας καὶ πρωτοστάται καὶ ἀθλοφόροι τῆς ὑπὲρ ὁμολογίας Χριστοῦ νίκης· διὰ τοῦτο κολοβωθήσονται αἱ ἡμέραι τῆς ἀνάγκης ἐκείνης, τῇ ἐπιφανείᾳ Χριστοῦ ἀναιρουμένης. οἱ συνιῶντες στῆτε, μὴ ἀρνήσησθε Χριστὸν ἀπὸ τοῦ δεῦρο· ἀρκτικὰ γὰρ τὰ παρόντα τῶν τότε.

Τὸ δεύτερον οὐ πολλῆς δεῖται σαφηνείας, ἐκ τοῦ προτέρου ἐπιδηλούμενον. ἀναθεματίσαντες οὖν τοὺς μὴ δεχομένους τὴν μοιχοζευξίαν καὶ τὴν μοιχείαν τοῦ βασιλέως καὶ τὴν τοῦ παντὸς εὑρεθέντος καὶ ἐν αὐτῇ τὴν μερίδα θεμένου παρανομίαν ὡς ἁγίαν οἰκονομίαν, τί ἄλλο ἢ τοὺς ἁγίους, καὶ πρῶτόν γε τὸν Πρόδρομον, ἀναθεματίκασιν; ἀληθὲς εἰπεῖν, εἰ καὶ φοβερόν, καὶ αὐτὸν τὸν τῶν ἁγίων δεσπότην· ὃς γὰρ ταῦτα ἀπηγόρευσεν, οὐ δέχεται οὐδὲ εὐδοκεῖ δῆλον ὅτι, ἀλλὰ λίαν ἠπείλησεν ἀπαραίτητον τὸ κρίμα καὶ τὸ μόνον μετὰ μοιχοῦ τὴν μερίδα θεῖναι, οὐ τοῦδε ἢ τοῦδε, ἀλλὰ παντὸς οὑτινοσοῦν, βασιλέως, δυνάστου, μικροῦ καὶ μεγάλου. εἷς γὰρ νόμος ἔσται, φησί, καὶ ἓν εὐαγγέλιον παρελάβομεν· καὶ ὃς ἐκ τοῦδε τοῦ εὐαγγελίου κἂν τὸ τυχὸν παρασαλεύσοι, κἂν ἄγγελος ἐξ οὐρανοῦ, ἀρκεῖ σοι ἡ ἀσφάλεια. μὴ βασιλεὺς μείζων ἀγγέλου; μὴ οὐχὶ ὁ κοσμοκράτωρ ἐν τῷ κόσμῳ μείζων πάντων τῶν κοσμοκρατορικῶς κρατούντων δαιμόνων

---

55 Jer. 31,39 60 Matth. 24,22 72 Num. 15,16 74 Gal. 1,8

44 ἐπιζητήσοι VMP Sirm 46 ὡσεὶ Sirm θελήσοιεν VMP Sirm 47 συνιών Mi 49 σημείωσαι in marg P 53 κἀν: κἂν Sirm: καὶ Mi 55 ἀπεντεῦθεν VMP Sirm ϳ̊ in marg VM 56 διατοῦτο VM 57 διατοῦτο VM 59 διατοῦτο VM 61 συνιόντες Mi 69 δηλονότι omnes: distinxi 70 κρῖμα PS Sirm

καὶ ἀνθρώπων, ἀλλ' οὐχὶ θεϊκῶς; καὶ τί ὁ ἀπόστολος; ἀνάθεμα ἔστω. ἄγγελοι οὐ τολμῶσι παρασαλεῦσαι, οὐδὲ σαλεύοντες μένουσι μὴ ἀναθεματιζόμενοι, ὡς ὁ διάβολος καὶ ἡ ἀποστατικὴ αὐτοῦ πληθύς. καὶ πῶς ἄνθρωπος πᾶς ἐν σαρκὶ ὤν, σαλεύων καὶ καινοτομῶν, καὶ μάλιστα τοιαύτας καινοτομίας, οὐκ ἀλλότριος θεοῦ;

Ὃς δὲ οὐ δέχεται ἃ ἀπηγόρευσεν (ἀναληπτέος γὰρ ἐξ οὗ εἰς μεταξυλογίαν μετῆλθεν ὁ λόγος), οὗτος κατὰ τοὺς μοιχειανούς, μᾶλλον δὲ ἀντιχρίστους, ἤδη ἀναθεμάτισται. εἰ δὲ / τὸν δεσπότην οὕτως, ὥσπερ οἱ Ἰουδαῖοι, ἐν Βεελζεβοὺλ ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια κεκλήκασι, τί περὶ τῶν δούλων καὶ θεραπόντων αὐτοῦ; ἢ γὰρ ὡς οὐ πειθαρχήσαντας τοῖς δεσποτικοῖς νόμοις ἐν ταῖς οἰκονομίαις αὐτῶν ἐδογμάτισαν ἰσόρροπον καὶ ἰσοκλεῆ τὴν μοιχοζευξίαν καὶ μοιχοκοινωνίαν, οἰκονομίαν αὐταῖς συντάξαντες, καὶ διὰ τοῦτο ὡς ἀνόμους τοὺς ἁγίους καὶ παραβάτας τῶν ἐντολῶν οὐκ ἀνεθεμάτισαν (καὶ ἐντεῦθεν πάντως ἀναθεματιστέοι) ἢ νομοφύλακας αὐτοὺς ὁμολογοῦντες ἑαυτοὺς ἀνεθεμάτισαν, ἀλλ' οὐ τοὺς ἁγίους, σφετερισάμενοι οἱ δείλαιοι εἰς ἑαυτοὺς τὸ τῶν ἁγίων ὄνομα ἐν τῇ λεγομένῃ αὐτοῖς οἰκονομίᾳ τῆς μοιχοζευξίας· καὶ διὰ τοῦτο πάλιν τοὺς ἁγίους ἀνεθεμάτισαν ὡς μὴ ὄντας ἁγίους. ἐπεὶ ἅγιοι κατ' αὐτοὺς οἱ κατὰ δύναμιν τῆς μοιχοζευξίας καὶ μοιχομεριδαρχίας τὰς οἰκονομίας πεποιηκότες καὶ ποιοῦντες· καὶ οὗτοι ἀλλότριοι θεοῦ καὶ ἄνομοι καὶ παραβάται ἐντολῶν καὶ ἀναθεματισμένοι παρ' αὐτοῖς, οἱ μὴ τὴν μοιχοσύστατον αὐτῶν οἰκονομίαν δεχόμενοι καὶ τὰ κατ' ἴχνος αὐτῆς οἰκονομοῦντες.

Ὅθεν οὖν βούλει, καὶ ποτέραν τῶν ἀσεβειῶν αὐτῶν φαεινὴν ἐθέλοις ἰδεῖν, νόει, ὁ ἀγχίνους, καὶ θαύμαζε, βάθος ἐκ βάθους ἀθεΐας ἀναθεωρῶν καὶ ἀναλαμβανόμενος· οὐδὲ γὰρ αἱ αἱρέσεις προφανῆ τὴν ὅλην ἀσέβειαν ἔχουσιν, ἀλλ' αἱ μὲν πόρρω τοῦ εὐαγγελίου πάντῃ γε, αἱ δὲ ὑποδυόμεναι ἐκ τοῦ εὐαγγελίου ῥήσεις τινὰς συνεισέρχονται, οὐ λέγουσαι μὴ στοιχεῖν τοῖς εὐαγγελικοῖς θεσπίσμασιν, ἀλλὰ καὶ πάνυ τῷ δοκεῖν ὑπὲρ αὐτῶν ἀντιποιούμεναι τῷ οὕτως νοεῖσθαι καὶ μὴ οὕτως, εἰς τοὺς θείους λόγους τὴν ἀμφιβολίαν ἔχουσαι. καὶ ἐπειδὴ ἀποτυγχάνουσι τοῦ ὀρθοῦ φρονήματος, αἱρέσεις κατωνομάσθησαν. ἐνταῦθα δὲ φανερὰ ἔκπτωσις πίστεως, οὐ περὶ τὸν νοῦν σφαλλόμενοι, ἀλλὰ λέγοντες· ‚καὶ εἶπεν ὁ Χριστὸς οὕτω, κἂν νόμος ἔχῃ τάδε ἐπὶ τῶν βασιλέων οὕτως γίνεσθαι, νικᾶσθαι τὸ εὐαγγέλιον'. σκόπησον πῶς τῇ ἀρχῇ τὸ τέλος ἀκολουθεῖ. ἀπὸ Χριστοῦ ἐναν-

---

77 ibid. 85 Luc. 11,15

---

89 διατοῦτο VM 90 οὐκ om Mi 100 ἀσεβῶν Mi φαεινὴν scripsi, coll linn 102–103 προφανῆ ... ἀσέβειαν: φωνὴν codd Sirm 104 ὑποδούμεναι Sirm 106 τῷ[1]: τὸ PS 110 καὶ: κἂν S κἂν: κἀν M^{pc}P

θρωπήσεως ἤρξαντο ἔξωθεν τοῦ εὐαγγελίου αἱ αἱρέσεις. εἶτα ἀποκρουσθεὶς ὁ διάβολος διὰ τῆς κατὰ μικρὸν προκοπῆς τῆς χάριτος ὑπεισῆλθε λανθανόντως ἐξ αὐτοῦ τοῦ εὐαγγελίου· γεννᾷ τὰς αἱρέσεις μέχρι τῶν εἰκονομάχων, ἀπὸ Γραφῆς καὶ τῶν κειμένων αὐτῶν ὑποδυόμενος τὸ δέλεαρ. καὶ ἐπὰν ᾔσθετο εὐηκόους αὐτῷ τοὺς ἀνθρώπους ὑπάρχειν, συνελαύνοντος καὶ τοῦ καιροῦ τῆς συντελείας, ἤρξατο ἐκ τοῦ δεῦρο ὡς τὸ ἀπ' ἀρχῆς, κατ' αὐτοῦ τοῦ εὐαγγελίου ἀνάπτειν τὸν φόνον, ὅπως καταντήσῃ εἰς τὸν Ἀντίχριστον εὐθέτως, ἐφ' ὃν κατοικήσει καὶ ἐν ᾧ ἀποκαλυφθήσεται ἡ πᾶσα αὐτοῦ πικρία καὶ ἀποστασία, ὃν ἀνελεῖ Κύριος τῇ ἐπιφανείᾳ αὐτοῦ ὅτι τάχιστα.

Περὶ τοῦ τρίτου τί καὶ φῶμεν; οἱ γὰρ τὸ εὐαγγέλιον παραβαίνειν γυμνῇ τῇ κεφαλῇ κατατολμήσαντες καὶ τοὺς μὴ παραβαίνειν αἱρετισαμένους ἀναθεματίσαντες, τί περὶ κανόνων αὐτοῖς μελήσει; καί γε καὶ τούτων ὑπὸ Πνεύματος Ἁγίου ἐσφραγισμένων καὶ ἐν τῇ λύ-/σει αὐτῶν λελυμένων ὄντων τῶν ἁπάντων εἰς σωτηρίαν ἡμῶν ἡκόντων· οὐδαμοῦ γὰρ ἱερωσύνη, θυσία, τἆλλα ἰάματα τῶν ψυχικῶν ἡμῶν ἀρρωστημάτων. τί δὲ λέγω κανόνων καὶ ποιοῦμαι διαφοράν; ταὐτόν ἐστιν εἰπεῖν καὶ ἐπ' αὐτῶν εὐαγγελίου Χριστοῦ. αὐτὸς γὰρ τὰς κλεῖς δέδωκε τῆς βασιλείας τῶν οὐρανῶν τῷ μεγάλῳ Πέτρῳ φάσκων, ὃν ἂν λύσῃς, καὶ ὃν ἂν δήσῃς, ἔσται τὸ καὶ τό. καὶ πάλιν πᾶσι τοῖς ἀποστόλοις· λάβετε πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται καὶ ἄν τινων κρατῆτε, κεκράτηνται, καὶ ἑπομένως τούτοις εἰς τοὺς μετ' αὐτοὺς διαβιβάζων τὴν ἐξουσίαν, ἐάνπερ ὡσαύτως πράξοιεν. καὶ διὰ τοῦτο Βασιλείου καὶ τῶν ἰσοστασίων αὐτῷ ἁγίων ὡς τῶν ἀποστολικῶν ὄντων κανόνων δεδεγμένων, καθότι ἐξακολουθήκασι μηδὲν καινοτομηκότες, ἀλλὰ καὶ ἐπαυξήσαντες κατὰ τὸ δέον.

Οὗτοι οὖν οἱ νέοι ψευδαπόστολοι ἀποφαίνονται ἐμπράκτως, μὴ πάντως κατὰ τοὺς κειμένους ὅρους τῶν ἁγίων, ἀλλ' οἰκείᾳ ἐξουσίᾳ καὶ διακρίσει παρὰ τὸ ὑπ' αὐτῶν διατεταγμένον ἔσθ' ὅτε ἕκαστον τῶν ἱεραρχῶν ποιεῖν, λύειν ἐν οἷς οὐ παρ' αὐτῶν λύσις καὶ δεσμεῖν ἐφ' οἷς οὐχ ὑπ' αὐτῶν ὁ δεσμός. καὶ ὁρᾶτε ταῦτα καθ' ἑκάστην γιγνόμενα· καὶ ἐβεβηλώθη τὰ ἅγια, καὶ ἐφόδιον ἁμαρτίας κρύβδην τε καὶ εἰς τοὐμφανὲς ἡ μοιχοσύνοδος. καὶ καθαίρεται ὁ ἀκαθαίρετος καὶ χειροτονεῖται ὁ διαβεβλημένος καὶ ἐᾶται ὁ ὑποπίπτων κανόσι

---

122 2 Thess. 2,8 126 Eph. 4,30 131 Matth. 16,19 133 Joh. 20,22

---

116 ὑποδούμενος Sirm 117 ἐπὰν VMP 119 ἀπάρχῆς MP: ἀπαρχῆς S 128 τἆλλα M^{pc}S Mi 130 καὶ ante εὐαγγελίου inser Mi 136 ἰσοστασίων αὐτῷ: σὺν αὐτῷ ἰσοστασίων M 137 ὄντων om Mi 138 κεκαινοτομηκότες V^{pc}M Sirm 143 ποιεῖν om M 144 ὁρᾶται S καθεκάστην P Sirm

καθαιρετικοῖς ἀνευθύνως ἱερουργῶν. καὶ ἐκ κελεύσματος ἀνθρωπίνου καὶ οὐκ ἐκ ψήφου θείας καὶ κανονικῆς αἱ προβολαί.

Καὶ φεῦ μοι τῆς ταλαιπωρίας, πάντα κατατραγῳδεῖν. καὶ τίς ἔχων καρδίαν αἰσθητικὴν οὐκ ἀλγεῖ καὶ στένει; καὶ ποῖος νοῦς ταῦτα ἀναθρώσκων καὶ συμβάλλων οὐχ ὁμολογεῖ αἱρέσεων τὴν ἀποστάτριαν εἶναι Χριστοῦ; καὶ ποῦ μοι πάντα λέγειν τὰ κατὰ νοῦν καὶ ὑπερβαίνειν μέτρον ἐπιστολῆς; εὐσύνοπτα τὰ λεγόμενα, οὐ κεκομψευμένα, οὐ δυσνόητα· τὸ μέν, ὅτι οὐδὲ ἐγὼ ὑψηγορεῖν δυνάμενος, ἀλλὰ καὶ λίαν ὀλίγος καὶ ὀλιγόλογος καὶ βραχύγνωστος, αὐτὰ ταῦτα δι' εὐχῆς τοῦ κοινοῦ πατρὸς καὶ ὑμῶν ἔχων, τὸ δέ, καὶ διὰ τὸ τινὰς ὑμῶν μὴ ἰσχύειν δογματικώτερον καταλαμβάνειν τὴν αἵρεσιν, καὶ ἅμα ὅτι καὶ ἁπλοῦς ὁ λόγος τῆς ἀληθείας ἥ τε αἵρεσις φανερὰ καὶ ἀδογμάτιστος καὶ παιδὶ εὐκατάληπτος· ᾧ γὰρ ὁ θεὸς εἶπε, σύντομος ὁ λόγος. οὗτοι οὐ στοιχοῦσιν, ἀλλὰ καὶ στοιχοῦντας ἀναθεματίζουσι.

Δῴη δὲ ὑμῖν χάριν ὁ Κύριος ἐπὶ πᾶσιν, ἀγαπητὰ τέκνα.

37. Ἰωσὴφ ἀρχιεπισκόπῳ Θεσσαλονίκης

Ἄξια τῆς ταπεινοφροσύνης καὶ σοφίας σου τῆς τε πρός με τὸν ταλαίπωρον ἀγάπης καὶ ὑπὲρ ἀξίαν μου ἀποτιμήσεώς σου τὰ νῦν μοι ἐπεσταλμένα, εἰλικρινῆ / καὶ ἀσύμφυρτον τηλαυγοῦντα ἐκ τῆς φωτοειδοῦς σου ψυχῆς, τρισόλβιέ μου ἀδελφοπάτορ, τὴν ἀλήθειαν· ἣν ἀσπασάμενος ηὐχαρίστησα τῷ ἀποπληρωτῇ τῆς ἐπιθυμίας μου Χριστῷ, τῷ τῶν καλῶν ἁπάντων δοτῆρι. καὶ πῶς γε οὐχί, γνώσεώς σε πεπλουτισμένον ὄντα καὶ ζήλου τοῦ προσήκοντος, ἄλλως τε τέκνον ἀληθινὸν τοῦ κοινοῦ πατρός, συνῳδὰ ἡμῖν τοῖς ἐλαχίστοις καὶ φρονεῖν καὶ συνδιατίθεσθαι;

Ἀλλ' εὖ γε μὲν ταῦτα, εὐκταιότερον ἔχοντός μου τοῦ ἀνακούστου τῶν ἀμφοτέρων ὁμοφωνίαν, δι' ἣν ἥ τε τῆς ἀληθείας ἀκτὶς μαρμαίρει λαμπρότερον καὶ ἡ τῶν ἀντιδιατιθεμένων αὐτῇ σκολιότης, μᾶλλον δὲ νυκταυγία, ἀπονευροῦταί τε καὶ ἀποζοφοῦται. εὑρηκὼς δὲ ἐν τοῖς

---

159 Eur. Phoen. 469 ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ; cf. Aesch. fr. 176 (p. 58 Nauck = TrGF III 290 Radt) **161** cf. Gal. 6,16

---

37. a. 809

C VM PS

2 ἄξια: διὰ Mi 5 ἀδελφοπάτωρ CS 6 μοῦ Mi 11 γε: τε C 12 τῶν CS[ac]: τὴν cett Sirm 14 νυκταυγεῖα C: νυκταυγεία S δὲ: δ' Sirm

γράμμασι τὴν τοῦ ἀναγκαίου διαίρεσιν, σύγγνωθι, ἀπηνεώθην. οὐ γὰρ αὕτη τοῦ ἀναγκαίου, τοῦ δὲ ἐνδεχομένου, ὃ διῄρηται τριχῶς, εἴς τε τὸ ἐπὶ πλέον, ἐπ' ἴσης καὶ ἐπ' ἔλαττον· τοῦ δὲ προτέρου εἴς τε τὸ παρὸν καὶ ἐσόμενον, εἶτα τοῦ παρόντος ἐπιδιαίρεσις εἰς ἀΐδιον καὶ εἰς τὸ ἔστ' ἂν ᾖ. τοῦ δὲ ἔστ' ἂν ᾖ ὑποδιαίρεσις εἰς τὸ ὑποκείμενον καὶ κατηγορούμενον, τοῦ ὡς ἐπὶ πολὺ ἐνδεχομένου χωροῦντος εἰς τὸ ὑπάρχον, τοῦ δὲ εἰς τὸ ἀναγκαῖον, οὐ μὴν ἀντιστρέφοντος, εἰ καὶ ἐκεῖθεν κατιόντας· οὐ γὰρ εἴ τι ἀναγκαῖον ἤδη καὶ ἐνδεχόμενον, εἴ τι δὲ τὸ ὡς ἐπὶ πολὺ ἐνδεχόμενον, ὁδεῦον διὰ μέσου τοῦ ὑπάρχοντος ἔστ' ἂν ᾖ ἀναγκαῖον. καὶ γοῦν πᾶς ἄνθρωπος γραμματικός, καί τις ἄνθρωπος γραμματικός. ἀλλὰ τὸ μὲν πρῶτον ἐνδεχόμενον, δυνατὸν γὰρ γενέσθαι, τὸ δὲ δεύτερον ἀναγκαῖον, ἐπὰν ἔστιν ἐνεργείᾳ· οὗ θανέντος ἀπέστη ἡ κατὰ τὸ ἀναγκαῖον ἐνέργεια. τοῦτό φησιν ἔστ' ἂν ᾖ, τὸ ἕως ἂν ᾖ ἤτοι. τὸ δὲ ἕτερον, τὸ μήποτε τοῦθ' ὅπερ ἐστὶν ἀλλοιούμενον· οἷα τὰ ἀΐδια, ἄγγελος καὶ ψυχή. καί γε ἔχομεν τὸ ζητούμενον. ὥστε τὸν ἁλόντα ἐνδεχομένῳ κανόνι πείσεσθαι ἔστιν ὅτε διὰ τὴν τοῦ ἀνδρὸς ἄλλην μοχθηρίαν τὰ τοῦ κατὰ τὸ ἀναγκαῖον κειμένου, ἀλλ' οὐχὶ τοῦδε τὰ τοῦ κατὰ τὸ ἐνδεχόμενον· οὐ γὰρ ἐνδέχεται, ἰσορροποῦντος ἤδη τῷ ἀδυνάτῳ. πᾶν γὰρ ὃ ἀδύνατον, ἀντεστραμμένως καὶ ἀναγκαῖον· οἷον, ἀναγκαῖον τὸν ἥλιον λάμπειν, ἀλλὰ καὶ ἀδύνατον μὴ λάμπειν. τὸ δὲ φάναι τὴν ἁγιωσύνην σού ποτε μὴ λάμψαι, πάντως ἐπὶ τοῦ πάθους τοῦ Χριστοῦ· ἐν νυκτὶ γὰρ οὐκ οἶδ' ὅπως. ταῦτα δὲ τέρατα καὶ οὐκ ἔννομα, οὐδὲ ἐγκάνονα, ἀλλ' ἢ ὑπὲρ φύσιν ἢ παρὰ φύσιν. καὶ τὸ μὲν πρῶτον δηλοῖ ἡ Χριστοῦ οἰκονομία, τὸ δὲ δεύτερον ἡ νῦν παρανομία, μάλιστα οὐκ ἐν ἀποβύστῳ καὶ ὡς ἐν παρεκδρομῇ γεναμένη, ἀλλ' ἐμφανῶς καὶ εἰς νόμον κρατυνθεῖσα τὸ καθ' αὑτὴν διὰ τῆς συνοδικῆς πράξεως καὶ τῆς τῶν ὑπὲρ ἀληθείας ἐνισταμένων ἐξορίσεως, ὡς ἐπί τινος τοὐναντίον θείων κανόνων παραβάσεως, τἀληθέστερον δὲ εἰπεῖν στιβαρᾶς καὶ πονηρᾶς αἱρέσεως.

---

16 cf. Arist. anal. pr. 25[a] 37 sq.   20 cf. ibid. 25[b] 14 ὅσα δὲ τῷ ὡς ἐπὶ πολὺ καὶ τῷ πεφυκέναι λέγεται ἐνδέχεσθαι ... οὐχ ὁμοίως ἕξει ἐν ταῖς στερητικαῖς ἀντιστροφαῖς   22 ibid. 32[a] 28 ἔσται ἄρα τὸ ἐνδεχόμενον οὐκ ἀναγκαῖον

---

15 σημείωσαι· περὶ τοῦ ἀναγκαίου καὶ ἐνδεχομένου in marg CVMP   17 ἐπιπλέον C   ἐπίσης omnes: disiunxi   ἐπέλαττον C   19 ἐστὰν ῆ C (bis)   22 κατιόντος VMP[pc] Sirm   23 ἐπιπολὺ CS   24 ἐστὰν C   καὶ ante πᾶς add S (fort recte)   τίς codd Sirm   26 ἐπᾶν P: ἐπ' ἂν VM Sirm   ἐστὶν CS   ἐνέργεια Sirm   27 ἐστὰν ῆ C   30 ἐστιν VM   35 φᾶναι CMP[ac]   37 ἢ om Sirm   40 γενομένη VMP[pc]S[pc] Sirm   41 καθ' αυτὴν C: κατ' αὐτὴν S: καθ' αὐτὴν Sirm   42 τοὖναντίον C

Ὢ τῆς τόλμης τῶν δρασάντων· οἷς ὅσον τὸ κατάκριμα τῆς τῶν θείων νόμων, μᾶλλον δὲ τοῦ εὐαγγελίου καὶ πάντων σχεδὸν κανόνων καθυβρίσεως, τοσοῦτον ἡμῖν τοῖς ταπεινοῖς ἐπικίνδυνον, καθυφοῦσί τι τοῦ πρέποντος. πῶς δ' ἂν εἴη οἰκονομία ἐν τοῖς συλλειτουργοῦσι τῷ μοιχοζεύκτῃ καὶ προάρξασι τῆς μοιχοκυρώτου συνόδου, ὡς ὁ θεῖος ἔφη Βασίλειος; / φησὶ γὰρ πολλάκις καὶ τοὺς τοῖς ἀνυποτάκτοις συναπελθόντας, ἐπὰν μεταμεληθῶσιν, εἰς τὴν αὐτὴν ἀποδέχεσθαι τάξιν, ἀλλ' οὐ παρ' ἡμῶν, εἴπερ ποτὲ καὶ μεταγνοῖεν, παρὰ δὲ τῶν ἰσοστασίων, ὡς ὁ θεῖος ἔφη Διονύσιος.

Τὰ πλεῖστα ἀφίημι τῇ συνέσει σου, ἱερῶς ἰσχυούσῃ ἐποπτεύειν τὰ ἡμῖν λανθάνοντα. δόξα θεῷ ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπολύσει, εἴπερ ἀληθές, δόξα θεῷ καὶ περὶ τῆς θεοσδότου σου, ἀδελφέ μου, καρτερίας ἐν τοῖς τῶν αὐτόθι σκληροῖς καὶ ἀπεριτμήτοις τῷ πνεύματι κεντήμασιν. χαρίζου μοι τὴν εἰσαεὶ ὑπόμνησιν, νηφαλεοῦσάν με τὸν νυστάζοντα, εἶτα καὶ τὴν ἱερὰν προσευχὴν πάνυ πάντων, τοῦ δὲ πατρὸς ἡμῶν καὶ σοῦ διαφερόντως χρῄζοντι. μεμάθηκα πεποιηκέναι σε χάριτι Χριστοῦ πόνημά τι, καί, εἰ κελεύεις, ἀναγνώσαιμι αὐτὸ ἐπ' ὠφελείᾳ.

38. Ἀρσενίῳ τέκνῳ

Ἡλίκον ἐχάρην καὶ τανῦν ἀναγνούς σου τὰ γράμματα, τέκνον ποθεινότατον, οὐ τοσοῦτον ἐν τῇ ἀνεῳχθείσῃ σοι μᾶλλον θύρᾳ τῆς πρὸς ἀδελφοὺς συντυχίας, εἰ καὶ αὐτὴ εὐκταία, ὅσον ἐπὶ τῇ τῆς γλώττης ἐν χάριτι θεοῦ, δι' ἧς κλείεις τὰ ἀπύλωτα στόματα τῶν αἱρετιζόντων. προσθείη σοι τοιγαροῦν ἔτι Κύριος λόγον γνώσεώς τε καὶ σοφίας διακατελέγχειν τοὺς τῆς ἀσεβείας προασπιστάς, ὡς

50 Bas. ep. 188,1 (PG 32,668 A = II 122,29 Courtonne; cf. III 1185 B Mansi) 52 cf. Dion. Ar. ep. 8,4 (PG 3,1093 C)

45 ὦ CS[ac] 47 καθ' ὑβρίσεως C καθ' υφοῦσι C: καθυφεῖσι S: καθυφιοῦσί Mi 48 τί codd 51 ἐπὰν MP: ἐπ' ἂν V Sirm μετὰ μεληθῶσιν C 54 πλείστα C: πλείω VMP Sirm 55 ἡμᾶς VM Sirm 56 ἀληθῶς S 56 θεοδότου Sirm 57 κεντήμασι VMPS Sirm 58 εἰς ἀεὶ CP νηφαλαιοῦσάν CS 59 νυστάξοντα Sirm δὲ: τε S 61 ἐπωφελείᾳ C

38. a. 809

3 2 Cor. 2,12 5 Aristoph. ran. 838

VMT (ll. 74 – 85) PS

2 τὰ νῦν VMP 3 θύρας P 5 ἐν χάριτι: εὐχάριτι Sirm 7 εὐσεβείας Sirm

ἀν ἕξει σοι εὖ μάλα τῷ θείῳ Δαυὶδ συμψάλλειν, τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην. καθ' ὧν λυττήσαντες οἱ μοιχειανίζοντες ἐκεῖνό πως τὸ γραφικὸν αὐτοῖς ἔργοις φθέγγονται, ἀπόστα ἀπ' ἐμοῦ, ὁδούς σου εἰδέναι οὐ βούλομαι· εἰ γὰρ ᾔδεισαν, οὐκ ἂν παρέβησαν τὰ τοῦ Κυρίου ἐντάλματα, οὐκ ἂν παραβάντες οἰκονομίαν σωτήριον τῇ ἐκκλησίᾳ Χριστοῦ τὰς παραβάσεις συνοδικῶς ἐδογμάτιζον ὑπ' ἀναθέματι τῶν ταύτας μὴ οὕτω προσιεμένων. ὅπερ ἀσεβὲς δόγμα τοσοῦτόν ἐστιν, ὡς μὴ μόνον τὸ ἱερὸν εὐαγγέλιον ἀνατρέπειν, κατὰ τὸ ἐκ μέρους φύσιν ἔχειν τὸ ὅλον ἀνατρέπεσθαι, ἀλλὰ καὶ αὐτὴν τὴν Χριστοῦ οἰκονομίαν ἀναιρεῖν· αἱρετικὰ γὰρ ἀλλήλων τἀναντία. ὅτι δὲ ἐναντία ἡ μοιχοζευξία, δογματισθεῖσα σωτήριος οἰκονομία, τῇ θείᾳ καὶ ἐπ' ἀναιρέσει τῆς ἁμαρτίας οἰκονομίᾳ, παντί που δῆλον. ἀλλὰ μὲν οὖν καὶ ἑτέρων ἀσεβημάτων ἐστὶν ἐπίμεστος ἡ μοιχοσύνοδος, ἅ, εἰ περιτύχοις πάλιν ἰδεῖν τὸν ἀδελφὸν Εὐπρεπιανόν, ὑποδείξειέ σοι.

Ἔρρωσο καὶ εὐσθένει, τέκνον, ἀμφοτέρωθεν, τοὺς βάλλοντας ἀοράτως ἐκβάλλων κράτει πίστεως, φόβου τε θείου καὶ ἀγάπης. ἐπειδὴ γὰρ ἔξωθεν δι' ὧν ἐπεγείρουσιν αἱρέσεων προσβάλλοντες ἀποκρούονται ὑπὸ τοῦ ὀρθοδόξου φρονήματος, ἔνδοθεν ἐπέρχονται οἱ δόλιοι, συλῆσαι τὸν τῆς ψυχῆς θησαυρὸν τεχναζόμενοι. ὧν λυτρωθείημεν τῆς θήρας, χεῖρας πρὸς θεὸν αἴροντες συνεργίᾳ τῶν τοῦ κοινοῦ πατρὸς ἡμῶν προσευχῶν καὶ πάντων τῶν εὐσεβούντων, ἐγώ τε καὶ σὺ καὶ πάντες οἱ ἀδελφοὶ ἡμῶν.

Ὁ τοῦ / Αὐλητοῦ καθηγούμενος αὐλεῖ, ἀλλὰ ἄσημα καὶ οὐ τῷ Πνεύματι τῷ Ἁγίῳ εὔρυθμα, καὶ τὸ λέγειν αὐτὸν ἀφορᾶν ἐν Ῥώμῃ ἀσθενείας λόγου καὶ πρὸς τὸ παρὸν ψευδαπολογίας καταφύγιον. καὶ τὸ φάναι αὐτὸν περὶ Σάβα τε καὶ Θεοκτίστου, τῶν εὐλαβεστάτων μοναχῶν, τοῦτο κἀκεῖνο καὶ ὡς ἡ Ῥώμη τὸ καὶ τό, οὐκ ἀληθές. οἱ μὲν γὰρ ἕνεκεν τοῦ μὴ προσδεχθῆναι τοὺς ἐκ τῆς εἰκονομαχικῆς αἱρέσεως ὑποστρέφοντας ἐπισκόπους εἰς τοὺς οἰκείους βαθμοὺς (καὶ οὐ πάντας, ἀλλὰ τοὺς ἐξόχους καὶ πρωτάρχους τῆς αἱρέσεως, κατὰ τὸν λόγον τοῦ Ἁγίου Ἀθανασίου) ἐνίσταντο, ὅπερ οὐκ ἀπεικότως.

---

31 καθηγούμενος: Antonius; cf. ep. 201,1

---

8 Ps. 118,131 9 Ps. 118,176 11 Jb 21,14 36 cf. Conc. Nic. II (XII 1030 D sq. Mansi); ibid. 1118 A 38 cf. ibid. 1030 D περὶ τῶν πρωτάρχων τῆς αἱρέσεως; Athan. ep. ad Rufin. (PG 26,1180 B sq.; cf. Conc. Nic. ibid. 1030 B)

---

10 πῶς VMP ἔργοις αὐτοῖς S: αὐτοῖς τοῖς ἔργοις Sirm 18 αἱρετικὰ V^{ac}MP: ἀναιρετικὰ V^{pc} Sirm 19 ἐπαναιρέσει P 35 μοναχῶν: ἀδελφῶν M ἡ Ῥώμη: ἐν Ῥώμῃ Sirm

ἀλλ' ἐπεὶ ἡ τηνικαῦτα σύνοδος κέκρικεν ὅλους εἰσδέξασθαι, ἔχουσα τὴν τετάρτην ἁγίαν σύνοδον παράδειγμα, συνῆλθον· οὐ γὰρ ἦν τῶν ἀναγκαίων τι παραβαινόμενον.

Περὶ δὲ τῶν Σιμωνιανῶν, τηνικαῦτα μὲν παρεκαλύφθη, ὡς μετὰ τὴν σύνοδον ἐκζητηθησομένου τοῦ κεφαλαίου. ἐπεὶ δὲ ἐζητήθη, ⟨ἕλκεται Ταράσιος⟩ τὸ πρῶτον μὲν εἰς ἐπιτίμιον ἐνιαυσιαῖον ἢ καὶ πλέον (ὢ τοῦ τολμήματος) σύν τισι μονασταῖς, ὧν ἀφίημι λέγειν τὰ ὀνόματα. ἐδόθη ὅρος ὑπ' αὐτοῦ ἐξιλεώσεως τῆς εἰς αἰῶνας καθαιρέσεως εἰς τὸ εἶναι τοὺς ὑπὸ θεοῦ διὰ Πέτρου τοῦ τῶν ἀποστόλων κορυφαίου καθῃρημένους πάλιν ἱερουργοὺς Χριστοῦ. εἶτα, ἐπεὶ οὐ συνῆλθον οἱ περὶ Σάβαν ἐν τούτῳ, ἀλλὰ καὶ διηνέχθησαν πρὸς αὐτόν, τί ποιεῖ; κακὸν καλῷ ἀπαλλάττει. ἀρνεῖται μὴ δεδωκέναι ἐπιτίμιον, μηδὲ προσίεσθαι τοὺς ἐν χρήμασι χειροτονήσαντάς τε καὶ χειροτονηθέντας· λέγων διελέγχεται ὑπὸ τῆς τηνικάδε κρατούσης, ἀφ' ἧς καὶ εἱλκύσθη δοῦναι τὸ ἄνομον ἐπιτίμιον.

Παρῆν ἡ ἡμέρα τῶν Θεοφανίων Χριστοῦ, ἐληλύθασιν ἐν ταύτῃ οἱ ἐπιτιμιασθέντες, πεπληρωκότες τὸ ἐπιτίμιον καὶ λύσιν ἐπιζητοῦντες· ὁ μὲν ἀπηξίου, ἡ βασίλισσα κατηπείγετο τὴν εἰσδοχήν. πάλιν κακῷ τὸ καλὸν διαμείβει ὁ πρόεδρος· συλλειτουργεῖ αὐτοῖς τῇ αὐτῇ ἑορτῇ εἰς προῦπτον, οὐχ ἑκουσίως δῆθεν, ἀλλ' ἑκουσίως. ἐπὰν δυνάμενος μὴ συλλειτουργεῖν καθῃρημένοις συνελειτούργησε, κἂν ὁπωσοῦν φαίη τις ἀδυνατεῖν αὐτόν, ἐντεῦθεν ἡ πρὸς αὐτὸν διαφορὰ τῶν περὶ Σάβαν, ἐντεῦθεν ἐπεπόλασεν ἡ λύσις πλειόνως τῶν θείων κανόνων. ἡ δὲ Ῥώμη ταῦτα οὐ προσήκατο (μὴ γένοιτο), ἀλλ' οὐδὲ αὐτὴν τὴν σύνοδον ὡς οἰκουμενικήν, ἀλλ' ὡς τοπικὴν καὶ τὸ ἴδιον πτῶμα τῶν τῇδε ἀνορθώσασαν· οὐδὲ γὰρ οἱ κεκαθικότες ἀντιπρόσωποι τῶν ἄλλων πατριαρχῶν. ψευδές· τοῦ μὲν Ῥωμαίων δι' ἄλλο, οὐ διὰ σύνοδον, παραπεμφθέντων ἐνταῦθα (διὸ καὶ καθῃρέθησαν, ὥς φασι, παλινοστήσαντες ὑπὸ τοῦ πεπομφότος, κἂν ἐπεκαλῶντο βεβιάσθαι), οἱ δ' ἄλλοι ἐκ μὲν ἀνατολῆς, ἀλλ' ὑπὸ τῶν ἐνταῦθα προτραπέντες καὶ ἑλχθέντες, οὐχ ὑπὸ τῶν πατριαρχῶν ἀποσταλέντες, ὅτι μηδὲ

53 κρατούσης: Eirene; cf. M.-F. Auzépy, in: Byzantion 58 (1988) 17 55 Θεοφανίων: die 6 mens. Ian. a. 789

43 cf. ibid. (XIII 466 B Mansi) 48 Act. 8,20; cf. Conc. Nic. II (XIII 466 C Mansi) 62 cf. Constit. apost. 8, 47, 29 (p. 572 Funk); Conc. Chalc. can. 2 (ACO 2, 1, 2, 158 Schwartz)

44 ἐκζητησομένου Sirm post ἐζητήθη spatium eras vel vacuum 15 ca litt exhibent codd 45 ἕλκεται Ταράσιος coll lin 54 εἱλκύσθη δοῦναι τὸ ἐπιτίμιον supplevi 49 εἶτα: καὶ Mi 50 σάββαν S 59 ἑκουσίως[1]: ἀκουσίως Sirm ἐπᾶν VM 60 κὰν MP 62 σάββαν S 66 τοῦ: τῶν Mi 68 κὰν V

ἐνόστησαν ἢ ὕστερον, διὰ τὸ τοῦ ἔθνους δέος δῆλον ὅτι. τοῦτο δὲ ἐποίουν οἱ ἐνταῦθα, ἵνα τὸν αἱρετίζοντα / λαὸν μᾶλλον πείσωσιν ὀρθοδοξεῖν ἐκ τοῦ οἰκουμενικὴν δῆθεν ἀθροισθῆναι σύνοδον.

Εἰ δὲ φαίης, πῶς ἡμεῖς οὐκ ἐνιστάθημεν τηνικαῦτα καὶ διατί χειροτονίαν ἐδεξάμεθα μετὰ τὴν σύνοδον παρὰ τοῦ κυροῦ Ταρασίου, ἀπολογούμεθα καὶ σοὶ καὶ πᾶσιν ὅτι τὸ μὲν ἐν ὑπηκόοις ἐτελοῦμεν, μὴ τὰ ὕστερον γνωσθέντα ἡμῖν πρότερον εἰδότες, τὸ δέ, δραξάμενοι αἰτίαν εὔλογον, τὸ λέγειν Ταράσιον μήτε ἐπιτίμιον δεδωκέναι μηδ' αὖ, εἰ γνοῖεν, τῶν τοιούτων συνιερουργεῖν τινι, ἀλλὰ καὶ καθαίρειν. κἂν οὐχ οὕτως ἦν τὸ ἀληθές, διὰ τὸ προφανές, ἀλλ' ὅμως ἡμεῖς, ὀρεγόμενοι τὴν ὁμόνοιαν, ἠρκέσθημεν τοῖς λεγομένοις, τοῦτο κεκρικότες, ἐπὶ τὸ φιλανθρωπότερον τῆς εἰρήνης νεῦσαι ἐν τῷ ἀμφιβόλῳ πράγματι, καθώς φησί που ὁ Θεολόγος· καὶ ἅμα, ὅτι δεδεγμένος ἦν διὰ τὴν ὀρθοδοξίαν καὶ τὸ κατ' αὐτὴν ἀνδρεῖον καὶ σπουδαῖον γενέσθαι ὑπὸ τῶν ἄλλων ἐκκλησιῶν.

Ταῦτά σοι ἐγνώρισα, τέκνον, εἰς εἴδησιν τῶν καθηκόντων καὶ ὅτι οἱ περὶ Σάβαν, εἰ διὰ τοῦτο καὶ οὐκ ἄλλοις τισὶν ἀλόγοις διεφέροντο πρὸς αὐτόν, εἶχον εὔλογον καὶ ἔχουσιν. ὡς γὰρ ὑπὸ παραπετάσματι ἡμεῖς τοῦ λέγειν μὴ δέχεσθαι τοὺς τοιούτους ἀλλὰ καὶ καθαίρειν συνήλθομεν τῷ προέδρῳ, οὕτως ἐκεῖνοι τὸ πραχθὲν ἐμφανῶς ἔχοντες δικαίωμα ἀντιποιοῦνται εἰκότως τοῦ θείου κανόνος. καὶ οὐκ ἔστιν ὁ χάριν τούτου τοῦ κεφαλαίου δυνάμενος ἀντιστῆναι αὐτοῖς, εἴ γε λέγοιεν ὅτι Ταράσιος οἰκονομικῶς ἐδέξατο τοὺς χρηματοχειροτονοῦντας, ἀλλὰ γὰρ οὐδ' ἂν Πέτρος καὶ Παῦλος ἐπιστῇ· αὐτοὶ γὰρ ἐξέθεντο τὸν κανόνα καὶ αὐτοί φασιν, ἀλλὰ κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρὸ εὐηγγελισάμεθα, ἀνάθεμα ἔστω.

---

82 Greg. Naz. or. 21,15 (PG 35,1097 B = p. 140 sq. M.-L.) 95 Gal. 1,8 sq.

---

71 ἐνόστησαν scripsi: ἐνόησαν codd Sirm ἢ M[sscr] δηλονότι omnes: distinxi 74 εἰ: hic inc epist in T titulo τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Ἀρσένιον τέκνον praecedente ἐνεστάθημεν VT 75 κυροῦ: ἁγίου T 77 δραξάμενος Mi 79 καθαιρεῖν Sirm 83 γρηγόριος post Θεολόγος add T (fort recte; cf Theod Stud catech magn 43 [p. 120 Cozza Luzi] etc) 85 καὶ ante ὑπὸ add T δεχθῆναι post ἐκκλησιῶν add T (qua voce desin fragm epist in T) 89 καθαιρεῖν Sirm

39. Θεοφίλῳ ἡγουμένῳ

Ἐβουλόμην ταχύτερον ἐπιστεῖλαι τῇ ἁγιωσύνῃ σου, ἀλλ' οὐκ εὐωδούμην, φρουρούμενος ἀσφαλῶς. ὅτε δὲ εὐδόκησεν ὁ ἀγαθὸς θεὸς χαρίσασθαι καὶ τὸν τρόπον καὶ τὸ πρόσωπον, τηνικαῦτα τὸν ἐμὸν πόθον πληρῶ ὁ ταπεινὸς καὶ προσαγορεύω καὶ ἀσπάζομαι τὸν ἐμὸν πνευματικὸν πατέρα καὶ λίαν ὄντως φιλούμενον. οὐ γὰρ ἐπειδὴ διέστησαν ἡμᾶς σωματικῶς οἱ ἄρχοντες τοῦ αἰῶνος τούτου, ἤδη διέλυσαν καὶ τὴν ἐπὶ θεὸν ἡμῶν πρὸς ἀλλήλους ὁμόνοιάν τε καὶ σχέσιν, μᾶλλον μὲν οὖν καὶ ἐβεβαίωσαν. πείθομαι γὰρ καὶ τὴν σὴν ὁσιότητα ποθεῖν τὴν ἡμετέραν ἀναξιότητα καὶ ἀκλινῆ διαμένειν τῆς ὀρθοδόξου καὶ θεαρέστου ἐνστάσεως ἐξ ὧν τε πρότερον καὶ ὕστερον ὑπέδειξεν ἑαυτὴν θεῷ τε καὶ ἀνθρώποις, ὡς συναιρεῖσθαι ἡμῖν τοῖς ταπεινοῖς καὶ τὸν ὑπὲρ εὐσεβείας διωγμόν, κἂν οὐκ ἠβουλήθησαν οἱ κρατοῦντες φειδοῖ τοῦ μὴ πολλοὺς ἐξορίζειν καὶ καθείργειν καὶ ὡς ἂν δόξωσιν ἐντεῦθεν πείθειν τὸν κόσμον εἰς ἡμᾶς μόνους περιίστασθαι τὴν πρὸς αὐτοὺς διαφορὰν καὶ μὴ εἶναι ἄλλους τοὺς ἐνισταμένους· οἳ τοσοῦτοι τῷ πλήθει ἐν τῇ ὑπ' αὐτοὺς ἐξουσίᾳ, κἂν φόβῳ εἴτε καὶ / οἰκονομίᾳ ὑποκρύπτωσιν ἑαυτούς, ὡς ἔστιν ἀκούειν τοῦ θείου Δαυὶδ κράζοντος, ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται.

Οὐδὲ γὰρ μικρόν τι καὶ λανθάνον τὸ ἀσεβούμενον, ἀλλὰ καὶ σφόδρα μέγα τε καὶ προφανὲς τοῖς νοῦν ἔχουσι. τὴν οἰκονομίαν Χριστοῦ, ὦ ἁγιώτατε, τὸ καθ' ἑαυτοὺς ἀνέτρεψαν, τὴν παράβασιν τοῦ εὐαγγελίου ἐν τῇ μοιχοζευξίᾳ καὶ μοιχείᾳ οἰκονομίαν σωτήριον τῇ ἐκκλησίᾳ δογματίσαντες ὑπ' ἀναθέματι τῶν μὴ οὕτω προσδεχομένων· τὸ εὐαγγέλιον διὰ λύσεως τῆς μιᾶς ἐντολῆς διέλυσαν, τὴν λύσιν οἰκονομίαν θεοῦ ἀποφηνάμενοι. εἰ γάρ, ὡς γέγραπται, ὅστις ὅλον τὸν νόμον πληρώσει, πταίσει δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος, οὗτοι δὲ τὸ πταῖσμα, μᾶλλον δὲ τὰ πταίσματα τοῦ τε μοιχοῦ καὶ τοῦ μοιχοζεύκτου, μοιχοσυνδρόμων τε καὶ ὅλων τῶν μετὰ μοιχοῦ τὴν μερίδα θεμένων (οὐδὲ γὰρ οἷόν τε ἐξ ἀλλήλων χωρισθῆναι τοὺς πράξαντας καὶ τοὺς συναπαχθέντας) οὐκ ἐνόχους φασίν, ἀλλ' οἰκο-

39. a. 809–811

7 1 Cor. 2,6 19 Ps. 138,18 27 Jac. 2,10

VM PS

5 ἀποπληρῶ M 17 αὐτούς: αὐτῆς Sirm 18 ἐστὶν P 31 οὐδὲ: οὐ VM Sirm

νόμους θεοῦ, ἔψευσται ὁ ἀποφηνάμενος ἐνόχους εἶναι, ἀλλοτριοῦνται δὲ καὶ οἱ ἅγιοι τῶν οἰκονόμων θεοῦ, ὅτι οὐδεὶς ἅγιος τὸν τοῦ θεοῦ νόμον παραβέβηκεν οὐδὲ παραβὰς δύναται καλεῖσθαι ἅγιος. οἱ δὲ δόγμα ἐν τῇ παραβάσει ἐκθέμενοι ἀπαράβατον ὡς νόμον θεοῦ καὶ τοὺς μὴ συναιρομένους αὐτοῖς ἐν τούτῳ ἀναθεματίζοντες (οὐ συναίρονται δὲ δῆλον ὅτι οἱ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἅγιοι τῇ μοιχείᾳ) φανερὸν ἄρα ὅτι τῇ λύσει τῆς μιᾶς ἐντολῆς τοῦ εὐαγγελίου οὐ μόνον ὅλον τὸ εὐαγγέλιον ἀνέτρεψαν, ὁρισάμενοι αὐτὴν συνοδικῶς οἰκονομίαν σωτήριον τῇ ἐκκλησίᾳ, θέντες νόμον ἀπαράβατον τὸ καθ' ἑαυτοὺς ἐπὶ πάσης ἐντολῆς παραβαινομένης οἰκονομίαν γίνεσθαι τὴν ταύτης παράβασιν ὁμοῦ τε καὶ ὀνομάζεσθαι, ἀλλὰ γὰρ καὶ τοὺς ἁγίους μὴ προσιεμένους, ὅτι μηδὲ θεός, κατ' αὐτοὺς ἀνεθεμάτισαν. καὶ ἁπλῶς τί πολλὰ λέγειν, μὴ ἐγχωρούσης τῆς ἐπιστολῆς δέχεσθαι; χαλεπὴ κακοδοξία ἐδογματίσθη ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ αὕτη ἡ μοιχειανικὴ αἵρεσις, ἅμα τῇ ἀνατροπῇ τοῦ εὐαγγελίου καὶ τοὺς θείους κανόνας διὰ τῆς ἀθωώσεως τοῦ παρ' αὐτῶν καθῃρημένου μοιχοζεύκτου διαλύσασα· εἰ γὰρ τὸ εὐαγγέλιον ἠθέτησαν, σχολὴ αὐτοῖς περὶ τῶν ἱερῶν κανόνων φροντίζειν.

Ταῦτα οὖν σὺν τῇ προσηγορίᾳ ἀναγκαῖον ἐνόμισα ὑπομνῆσαι τὴν πατρωσύνην σου, ὅπως, εἰδυῖα ὅτι αἵρεσις, φεύγῃ τὴν αἵρεσιν, ἤγουν τοὺς αἱρετικούς, τοῦ μήτε κοινωνεῖν αὐτοῖς μήτε ἀναφέρειν ἐν τῇ εὐαγεστάτῃ αὐτῆς μονῇ ἐπὶ τῆς θείας λειτουργίας· ὅτι μέγισται ἀπειλαὶ κεῖνται παρὰ τῶν ἁγίων ἐκφωνηθεῖσαι τοῖς συγκαταβαίνουσιν αὐτοῖς μέχρι καὶ ἑστιάσεως. εἰ δὲ λέγοι ἡ ὁσιότης σου, πῶς αὐτῇ πρὸ τῆς λεηλασίας τοῦτο οὐκ εἴπομεν, ἀλλ' ὅτι καὶ ἡμεῖς ἐμνημονεύομεν τῶν ἐν τῇ Βυζαντίδι, ἐκεῖνο γινωσκέτω, ὅτι οὔπω σύνοδος ἦν οὐδὲ ἐκφωνηθὲν ὑπῆρχε τὸ πονηρὸν δόγμα καὶ ἀνάθεμα· καὶ πρὸ τούτων οὐκ ἦν ἀσφαλὲς ἀποστῆναι τῶν / παρανομούντων τελείως ἢ τὸ φεύγειν μόνον τὴν προφανῆ κοινωνίαν αὐτῶν, οἰκονομίᾳ δὲ πρεπούσῃ ἀναφέρειν ἕως καιροῦ. ἐπεὶ δὲ ἐξῆλθεν εἰς προῦπτον ἡ αἱρετικὴ ἀσέβεια διὰ συνόδου εἰς τοὐμφανές, δεῖ ἄρτι καὶ τὴν σὴν εὐλάβειαν σὺν πᾶσιν ὀρθοδόξοις παρρησιάζεσθαι διὰ τοῦ μὴ κοινωνεῖν τοῖς κακοδόξοις μηδὲ ἀναφέρειν τινὰ τῶν ἐν τῇ μοιχοσυνόδῳ εὑρεθέντων ἢ ὁμοφρονούντων αὐτῇ. καί γε δίκαιον, ὅσιε πάτερ, κατὰ πάντα σε ὄντα φερωνύμως θεόφιλον, φιλεῖν καὶ ἐν τούτῳ τὸν θεόν· ἐχθροὺς γὰρ θεοῦ ὁ Χρυσόστομος οὐ μόνον τοὺς αἱρετικούς, ἀλλὰ καὶ τοὺς τοῖς τοιούτοις κοινωνοῦντας μεγάλῃ καὶ πολλῇ τῇ φωνῇ ἀπεφήνατο. καὶ ἐὰν ἡ σὴ στερρότης οὐκ ἀσφαλίσηται, τίς λοιπὸν

34 καὶ om VM   37 συναιρουμένους VM Sirm   38 συνάρονται Mi   δηλονότι omnes: distinxi   56 αὐτοῖς: αὐτῇ VM Sirm   λέγῃ Sirm   57 τοῦτο om S   58 ἐν τῇ S^{sscr} 59 ἐκφωνητὸν Sirm

σωθήσεται; καὶ ἐὰν ὁ παρρησιασάμενος δυνάμει θεοῦ ὡς ἅγιος πλὴν τελείας αἱρέσεως ἄρτι μετὰ τὴν αἵρεσιν ὑποστείληται, πῶς ἕτερος τολμήσει γρύξαι; καὶ ἐὰν τὸ μοναδικὸν τάγμα οὐχ ἡγήσηται πάντα σκύβαλα, μοναστήρια λέγω καὶ πάντα τὰ περὶ αὐτά, πῶς λαϊκὸς καταφρονήσει γυναικός, τέκνων καὶ τῶν ἄλλων;

Διὸ ὑπομιμνήσκω ὡς ἐλάχιστος ἀδελφὸς καὶ τέκνον μὴ σιγήσωμεν, ἵνα μὴ κραυγὴ Σοδόμων γενώμεθα, μὴ φεισώμεθα τῶν κάτω, ἵνα μὴ ἀπολέσωμεν τὰ ἄνω, μὴ θῶμεν σκάνδαλον τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, ἥτις ἐστὶ καὶ ἐν τρισὶν ὀρθοδόξοις ὁριζομένη κατὰ τοὺς ἁγίους, ἵνα μὴ τῇ ἀποφάσει τοῦ Κυρίου καταδικασθῶμεν. καὶ οὐ δι' ἑαυτὸν ταῦτά φημι ὁ τάλας (ἐμοὶ γάρ, εἰ καὶ τολμηρὸν εἰπεῖν, καὶ τὸ ἀποθανεῖν ὑπὲρ τῆς ἀληθείας κέρδος καὶ χαρὰ καὶ ζωή, εἴ γε δυναμωθείην ταῖς ἱεραῖς προσευχαῖς ὑμῶν), ἀλλὰ διὰ τὴν ἐν ἡμῖν ἀγάπην ἀρχαίαν καὶ πνευματικὴν καὶ τὸ κοινῇ συμφέρον· εἰ γὰρ ὁ υἱὸς τοῦ θεοῦ, ὁ κύριος καὶ δεσπότης ἁπάντων, ἑαυτὸν ἀνήνεγκεν ὑπὲρ πάντων τῷ θεῷ καὶ πατρὶ θυσίαν, τί ὀφείλομεν ἡμεῖς καὶ πόσον οὐ χρεωστοῦμεν δι' αὐτὸν παθεῖν καὶ ὑπομεῖναι, καί γε οἱ μονάζοντες καὶ τῇ ἀποταγῇ σταυρωθέντες, οἵ γε ἀληθῶς καὶ οὐκ ἀνονήτως ἀποταξάμενοι; ἐπεὶ μὴ ἀπὸ τοῦ ἔξωθεν σχήματος μόνον ἔστι κρίνειν τὰ πράγματα (πολλοὶ γὰρ οἱ προσωπεῖα ὑποδυόμενοι καὶ οὐκ ὄντες ὅπερ φαίνονται), ἀλλ' ἐκ τῶν ἔργων δῆλον ὅτι τὰ σχήματα. εἰ οὖν μοναχοί εἰσί τινες ἐν τοῖς νῦν καιροῖς, δειξάτωσαν ἐπὶ τῶν ἔργων· ἔργον δὲ μοναχοῦ μηδὲ τὸ τυχὸν ἀνέχεσθαι καινοτομεῖσθαι τὸ εὐαγγέλιον, ἵνα μὴ ὑπόδειγμα τοῖς λαϊκοῖς προτιθέμενοι αἱρέσεως καὶ αἱρετικῆς συγκοινωνίας τῆς ὑπὲρ αὐτῶν ἀπωλείας λόγον ὑφέξουσι.

Πολύ με ληρολογῆσαι τὴν ὑπόθεσιν ἡ ἄκρα ταπεινοφροσύνη τῆς ἁγιωσύνης σου ὡς δεχομένη πεποίηκε. σὺ δέ, ὦ πάτερ, εὔχου καὶ ὑπερεύχου ὑπὲρ σαθροῦ καὶ ἁμαρτωλοῦ ἀλλ' οὖν ἐραστοῦ σου ὅτι μάλιστα. ὁ συμφρουρούμενός μοι ὡσαύτως καὶ προσαγορεύει καὶ δέεταί σου τῶν ἱκεσιῶν.

---

99 συμφρουρούμενος: Studita Gregorius; cf. ep. 40,176

73 Philipp. 3,8 77 Gen. 18,20 79 Matth. 18,20 80 Matth. 18,7

71 πλὴν: πρὶν M^{pc} (fort recte) 79 ὀρθοδόξοις in marg S 82 καὶ[1] om VM 88 οὐκανονήτως S 91 δηλονότι codd Sirm τί τὸ ἔργον τοῦ ἀληθοῦς μοναχοῦ in marg P μοναχοὶ τίνες οἱ τωρινοὶ manu rec in marg M 95 ὑφέξουσι PS: ὑφέξωσι VM 96 τῆς – 97 δεχομένη in marg V: om M

40. Ναυκρατίῳ τέκνῳ

Πάλιν ἑτέρα σοι φυλακή, τέκνον ἠγαπημένον, ἀλλὰ καὶ πάλιν στήλη μὲν τῶν δυσωνύμων αἱρετι/κῶν, σοὶ δὲ προσθήκη ἄθλων τε καὶ ἐπαίνων οὐρανίων. διὰ τοῦτο ὑπὲρ μὲν ἐκείνων τὸ στένειν μοι καὶ δακρύειν, ὑπὲρ δὲ σοῦ τὸ χαίρειν καὶ εὐχαριστεῖν. ἢ οὐχὶ δοκιμώτερον ἔστι σε γίγνεσθαι τῇ μεταφρουρήσει, καθάπερ χρυσὸν διπυρούμενον ὑπὸ χωνείας; εὐριζωθείης οὖν, ὦ ἱερὲ παῖ, καὶ ὀφθείης τῷ δεσπότῃ Κυρίῳ ἐν πᾶσι καθαρὸς καὶ ἀκίβδηλος, σκεῦος ὄντως εὔχρηστον, κατηρτισμένος πρὸς πᾶν ἔργον ἀγαθόν. φέρε οὖν μακροθυμίᾳ τὸ ἄηθες τοῦ δευτέρου φύλακός σου (οὐ γὰρ ἡγουμένου οὐδὲ ἱερέως λέγοιμι· οὐδεὶς γὰρ θεοῦ λειτουργὸς καί γε μοναστὴς στρατιωτικοῖς ἔργοις ὑπουργήσειεν, ἀλλὰ μὴν οὐδὲ τῷ οὕτω ὑπουργοῦντι κοινωνήσειε), πλὴν δήλωσόν μοι ὅπως σε κρατεῖ· δοκῶ γὰρ διαφορώτερον εἶναι τοῦ προτέρου. ἀλλ' εἴ γε οὕτως ἢ ἑτέρως, σὺ δὲ ὅμως, τέκνον μου, στῆθι γενναίως, εὐμαρίζων τὰ λυπηρὰ τῇ τῶν ἐλπίδων περιχαρείᾳ καὶ κατακτώμενος ἑαυτῷ τὴν μόνωσιν ἀπαθείας εὕρεσιν διὰ τῆς ἐπὶ μόνον τὸν ὁρῶντά σε θεὸν ἀποβλέψεώς τε καὶ σχέσεως, σκυβαλίζων καὶ λικμίζων τοὺς ἐπεισαγομένους ἀχυρώδεις λογισμοὺς παρὰ τοῦ τῶν ζιζανίων σπορέως ἑκάστοτε.

Ἃ δὲ ἐπεζήτησας ἀποκριθῆναί με περί τε τῶν αἱρέσεων καὶ βαπτισμάτων κατ' ἔπος, ἐπιστολῆς ὑπερβαίνει μέτρον· καὶ πάλιν περιττολογεῖν ἐστι ταῦτα ἀφηγεῖσθαι, ἃ ὁ θεοφόρος Ἐπιφάνιος ἐξεῦρε καὶ διέγραψεν ὡς οὐδεὶς τῶν πατέρων. ἔντυχε οὖν τῇ περὶ αὐτῶν ἱερᾷ αὐτοῦ βίβλῳ, κἀκεῖσε διαγνώσειας ἃ μαθεῖν ἐφίεσαι. παράσχοι δὲ αὐτὴν ἐν χερσί σου ὁ καλὸς Εὐπρεπιανός.

Τὸ δὲ τῶν βαπτιζομένων συντομώτερον ἀποκριθήσομαι. τριχῇ

---

40. a. 809 – 811 **24** βίβλῳ: liber Epiphanii adv. haer.

8 2 Tim. 2,21 22 cf. Epiph. adv. haer. 1,1 sq. (PG 41,173 sq.)

VMT (ll. 20 – 175) PS

4 διατοῦτο S **6** ἐστί Mi γενέσθαι Sirm **7** εὐριζωθείης Sirm (quod divisim scriptum mavult Lampe s. v.): εὐρυζωθείης VMP: εὐροιζωθείης S **11** μονάστης VM **12** οὕτως V Sirm **13** κοινωνήσειεν M πλὴν: ὅμως M **20** ἃ: hic inc epist in T titulo ἐκ τῆς πρὸς ναυκράτιον τέκνον μ̄ ἐπιστολῆς κατὰ μοιχιανῶν praecedente **21** κατέπος T **23** τῇ post αὐτῶν transp P γράφεται· ἔντυχε οὖν τῇ περὶ αὐτῶν ἱερᾷ αὐτοῦ βίβλῳ in marg P **24** βίβλου P **25** εὐτρεπιανὸς VMT **26** βαπτισμάτων VMT τριχὴ Sirm

διήρηται τὸ θεώρημα. βαπτίζονται μὲν γὰρ Μαρκιωνισταί, Τασκορδιουργοί, Μανιχαῖοι καὶ οἱ σύστοιχοι αὐτῶν ὁμοῦ ἕως τῶν Μελχισεδεκιτῶν, αἱρέσεις εἰκοσιπέντε· χρίονται δὲ τῷ ἁγίῳ μύρῳ Τεσσαρεσκαιδεκατῖται, Ναυατιανοί, Ἀρειανοί, Μακεδονιανοί, Ἀπολιναρισταί, ὁμοῦ πέντε· οἱ δὲ μήτε βαπτιζόμενοι μήτε χριόμενοι, ἀλλὰ μόνον ἀναθεματίζοντες τὴν ἰδίαν καὶ πᾶσαν ἄλλην αἵρεσιν, Μελετιανοί, Νεστοριανοί, Εὐτυχιανισταὶ καὶ οἱ τούτων ὁμόστοιχοι μέχρι τῆς δεῦρο αἱρέσεως, τῷ ἀριθμῷ οὐχ ὑποβαλλόμενοί μοι κατὰ τὸ παρὸν διὰ τὸ πολυσχεδὲς τῶν Ἀκεφάλων καὶ τὸ ὑπερτενὲς τῆς ἐπιστολῆς.

Τὸ δὲ εἰρηκέναι σε μὴ διακρῖναι τὸν κανόνα, ἀλλ' ὁριστικῶς ἀποφάναι τοὺς ἀπὸ αἱρετικῶν χειροτονηθέντας ἢ βαπτισθέντας οὔτε κληρικοὺς εἶναι δυνατὸν οὔτε πιστούς, ἐκεῖνο λογίζου, ὅτι αἱρετικοὺς ὁ ἀποστολικὸς κανὼν ἐκείνους ἔφη, τοὺς μὴ εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτισθέντας ἢ βαπτίζοντας. καὶ τοῦτο ἐκ θείας φωνῆς τοῦ Μεγάλου Βασιλείου διδασκόμεθα· φησὶ γὰρ αἱρέσεις μὲν τὰς παντελῶς ἀπερρηγμένας καὶ κατ' αὐτὴν τὴν πίστιν ἠλλοτριωμένας, σχίσματα δὲ τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα πρὸς ἀλλήλους διενεχθέντας, παρασυναγωγὰς δὲ τὰς συνάξεις τὰς / παρὰ τῶν ἀνυποτάκτων πρεσβυτέρων ἢ ἐπισκόπων ⟨καὶ⟩ παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας. καὶ τοῦ μὲν πρώτου αὐτὸς ἐπιφέρων ἓν παράδειγμα φησὶ πρὸς τὸν Ἅγιον Ἀμφιλόχιον· τίνα οὖν λόγον ἔχει τὸ τῶν Πεπουζηνῶν βάπτισμα ἐγκριθῆναι, τῶν βαπτιζόντων εἰς πατέρα καὶ υἱὸν καὶ Μοντανὸν ἢ

---

31 μήτε βαπτιζόμενοι μήτε χριόμενοι: cf. J. Gouillard, in: Byzantion 31 (1961) 378 adn. 2

---

27 Μαρκιωνισταί: cf. ibid. 1, 3, 42 (696 A sq.) Τασκορδιουργοί: cf. ibid. 2, 1, 48 (856 A sq.) 28 Μανιχαῖοι: cf. ibid. 2, 2, 66 (PG 42,29 A sq.) Μελχισεδεκιτῶν: cf. ibid. 2, 1, 55 (PG 41,972 A sq.) 29 Τεσσαρεσκαιδεκατῖται: cf. ibid. 2, 1, 50 (881 D sq.) 30 Ναυατιανοί: cf. ibid. 2, 1, 59 (1017 A sq.) Ἀρειανοί: cf. ibid. 2, 2, 69 (PG 42,201 C sq.) Ἀπολιναρισταί: cf. ibid. 3, 2, 77 (641 A sq.) 32 Μελετιανοί: cf. ibid. 2, 2, 68 (184 B sq.) 39 Constit. apost. 8, 47, 49 (p. 578 Funk) 43 Bas. ep. 188,1 (PG 32,665 A = II 121 Courtonne; cf. III 1184 E sq. Mansi) 49 Bas. ep. 188,1 (PG 32,668 B = II 122,39 Courtonne; cf. III 1185 C Mansi)

---

27 Μαρκιονισταὶ VMT Sirm Τασκορδιουργοί: Τασκοδρουγῖται legitur apud Epiph l. l. II 1,48 (PG 41,856 A) 28 μελχισεθεκιτῶν T: μελχισεδεκιωτῶν V[ac] 29 εἴκοσι πέντε Sirm 30 Ἀπολιναριασταὶ Sirm 31 χριχριόμενοι T 32 ἄλλην om T 35 πολυσχιδὲς VMPS Sirm (sed cf epp 477,228; 555,76) 37 διακρίναι VTS ἀποστολικὸν ante κανόνα add T 39 ἐκείνῳ T ὅτι om T 40 ἀποστολικὸς om T 41 ἤ: καὶ Sirm 47 καὶ coll Bas ep 188 l. l. supplevi 50 ἤ: καὶ S

Πρίσκιλλαν; οὐ γὰρ ἐβαπτίσθησαν οἱ εἰς τὰ μὴ ⟨παρα⟩δεδομένα ἡμῖν βαπτισθέντες. τούτους οὖν καὶ τοὺς κατ' αὐτοὺς ὁ κανὼν καὶ οἱ πατέρες, ὥς φησιν ὁ θεῖος Βασίλειος, αἱρετικοὺς ὠνόμασαν. τοῦ δὲ δευτέρου παράδειγμα πάλιν φησὶν ὁ Ἅγιος Βασίλειος· οἱ Καθαροί, καὶ αὐτοὶ τῶν ἀπεσχισμένων εἰσίν.

Εἰ δὲ φαίης· καὶ πῶς λέγονται αἱρετικοὶ καὶ οὗτοι καὶ πάντες οἱ μεταγενέστεροι; τοῦτο λέγομεν καὶ νοοῦμεν, οἱ μὲν πρῶτοι κυρίως αἱρετικοὶ διὰ τὸ εἰς αὐτὸ τὸ καίριον τῆς τριαδικῆς ἡμῶν πίστεως ἠσεβηκέναι, οἱ δὲ δεύτεροι κατὰ κατάχρησιν καὶ ὡς ἐκ τῶν πρώτων παρηγμένοι, ὁμολογοῦντες δ' ὅμως εἰς τριάδα καὶ πιστεύειν καὶ βαπτίζειν, ἐν ἰδιώματι οἰκείῳ τῆς ἑκάστης ὑποστάσεως καὶ οὐχὶ μιᾶς τῶν τριῶν ὑπαρχούσης, κἂν ἐν ἄλλοις ᾑρέτιζον· τοῦ τρίτου παράδειγμα αὐτὸς ὁ ἅγιος πάλιν φησίν, οἷον εἴ τις ἐν πταίσματι ἐξετασθεὶς ἐπεσχέθη τῆς λειτουργίας καὶ μὴ ὑπέκυψε τοῖς κανόσιν, ἀλλ' ἑαυτῷ ἐξεδίκησε τὴν προεδρίαν καὶ τὴν λειτουργίαν. καί γε ὡς οἱ δεύτεροι ὁμώνυμοι τοῖς πρώτοις, οὕτω καὶ οἱ τρίτοι ὁμώνυμοι τοῖς δευτέροις. ἀμέλει τοὺς Μελετιανοὺς σχισματικοὺς οἱ πάλαι καλοῦσι Μελετίῳ τῷ σχισματικῷ συναπαχθέντες, καίτοι μὴ ὄντας κακοδόξους· ἀναθεματίζοντες γὰρ τὸ ἴδιον σχίσμα, ὥς φασι, δεδεγμένοι εἰσὶ τῇ καθολικῇ ἐκκλησίᾳ.

Ἔοικε δὲ σειρά τις εἶναι δαιμονόπλοκος ἡ καθόλου αἵρεσις, ἑτέρα τῆς ἑτέρας ἐχομένη καὶ ὡς ἐκ κορυφῆς μιᾶς ἐξηρτημένων ἁπασῶν τῆς ἀσεβείας καὶ ἀθεΐας, κἂν ἑτερωνυμίᾳ καὶ χρόνῳ καὶ τόπῳ καὶ ποσότητι καὶ ποιότητι καὶ δυνάμει καὶ ἐνεργείᾳ διαφέρωσιν. ἐπεὶ μηδὲ ἓν καὶ τὸ αὐτὸ σῶμα ἓν μόνον μέλος, ἀλλὰ καὶ πολλά, καὶ διάφοροι αἱ τούτων πρὸς ἄλληλα ἐνέργειαι, δυνάμεις, ἰδιότητες, θέσεις τε καὶ τιμαί.

Περὶ τῶν ἑτέρων σου ἐρωτήσεων· ἡ πρώτη, περὶ πρεσβυτέρου τοῦ ὀρθοδοξοῦντος, ἀλλ' ὅμως μνημονεύοντος φόβῳ διωγμοῦ τὸν αἱρετικὸν ἐπίσκοπον προαπεκρίθη σοι, πλὴν καὶ αὖθις· εἰ μὴ συλλει-

---

54 Bas. ep. 188,1 (PG 32,668 B = II 122,46 Courtonne; cf. III 1185 C Mansi) 63 Bas. ep. 188,1 (PG 32,665 A = II 121 Courtonne; cf. III 1185 A Mansi)

---

51 παραδεδομένα coll Bas ep 188 l. l. scripsi: δεδομένα codd Sirm 56 αἱρετικοί σοι λέγονται καὶ οἱ μεταγενέστεροι manu rec in marg M 58 ἁγίας ante τριαδικῆς add T 59 voces ἤτοι ὁμωνυμίαν post κατάχρησιν add T 60 δὲ T 63 φησὶ Sirm 64 ἑαυτὸν T 66 οἱ ante ὁμώνυμοι add T 67 Μελετιανούς: Μελητιανοὶ nominantur apud Epiph l. l. II 2,68 (PG 42,184 B) 68 συναπαχθέντας VMT Sirm καίτοι: καί τι T 71 δεμονιόπλοκος T 73 κἂν: καὶ M τόπῳ: τρόπῳ T 74 διαφέρουσιν V^{ac}M 75 ἓν om T 76 διάφορα T 80 προαπεκρίθην MPS Sirm

τουργεῖ αἱρετικῷ καὶ εἰ μὴ μεταδιδοῖ τοῖς τοιούτοις, δεκτέον τὸν τοιοῦτον εἰς συνεστίασιν καὶ ψαλμῳδίαν καὶ εὐλογίαν βρωμάτων (καὶ τοῦτο κατ' οἰκονομίαν), οὐ μέντοι εἰς θείαν μετάληψιν. δεῖ δὲ ἐπερωτᾶν τῆς αἱρέσεως κρατούσης πάντως, ὁμολογίαν δὲ δεχομένοις ἀρκεῖσθαι, οὐκ οἶδα εἰ μὴ προδήλως ψευδολόγος αὕτη· τὸ γὰρ φαίειν σε διδάσκεσθαι ἡμᾶς παρὰ τῶν πατέρων, μὴ ἐπερωτᾶν, περὶ καιροῦ οὗ μὴ ἔστιν αἵρεσις μαινομένη καὶ περὶ τῶν μὴ προδήλως κατεγνωσμένων. τοιοῦτον δὲ πρεσβύτερον σπάνιον εὑρεῖν νῦν μὴ μιγνύμενον καὶ συγκοινωνοῦντα αἱρετικοῖς.

Ἡ δευτέρα, περὶ φιλοχρίστου προσκαλουμένου εἰς τὸ εὐκτήριον αὐτοῦ ποιῆσαι παννυχίδα, καὶ εἰ δεῖ ἐν αὐτῷ λειτουργῆσαι, καὶ μεθ' ὧν χρή. ὑπακουστέον καὶ ἰτέον καὶ συμψαλτέον δῆλον ὅτι, εἰ ὀρθόδοξος ὁ προσκαλούμενος καὶ οἱ ψαλτῳδοί, φυλαττόμενοι ἀμφότεροι τῆς τῶν αἱρετικῶν κοινωνίας. καὶ μὴν καὶ λειτουργητέον ἐν τῷ εὐκτηρίῳ, εἴ γε ὁμολογοίη ὁ κατέχων μηκέτι ὑπὸ αἱρετικοῦ αὐτὸ λειτουργεῖσθαι· προείρηται γὰρ ἀναγκαῖον εἶναι τὸ ἐπερωτᾶν ἐν πᾶσι διὰ τὴν λυττῶσαν αἵρεσιν.

Ἡ τρίτη, εἰ λάβοι τις παρά τινος ἐκκλησίαν ὀρθόδοξος, ἔστι δὲ συνήθεια τοῦ κατ' ἐνιαυτὸν ἅπαξ ἢ δὶς συνηθροῖσθαι ἐν αὐτῇ λαὸν καὶ ἐν τῇ λειτουργίᾳ ἀναφέρεσθαι τὸν αἱρετικόν. τοῦ μὲν ψάλλειν ἐκεῖσε κατὰ ἀνάγκην συγχωρητέον, λειτουργεῖν δὲ οὔ· εἰ δὲ δυνατὸν διακοπῆναι τὴν συνήθειαν, καὶ λειτουργητέον.

Ἡ τετάρτη, εἰ ἐκκλησία ἐστὶν ἐφ' ᾗ ὁ λειτουργῶν ἀναφέρει τὸν αἱρετικόν, ἔχει δὲ ὁ ὀρθόδοξος θυσιαστήριον καθηγιασμένον ἐν σινδόνι ἢ ἐν σανίσι, προσήκει αὐτὸ τεθεῖναι ἐν τῇ αὐτῇ ἐκκλησίᾳ, μὴ παρόντος τοῦ ἀναφέροντος καὶ ἐν αὐτῷ συλλειτουργῆσαι τὸν ὀρθόδοξον. οὐ προσήκει, ἀλλ' ἢ μᾶλλον κατὰ ἀνάγκην ἐν κοινῷ οἴκῳ, ἐκλελεγμένῳ τινὶ καθαρωτέρῳ τόπῳ.

Ἡ πέμπτη, εἰ καθ' ὁδὸν τύχοι ὀρθόδοξον ὑπό τινος ἱερωμένου ἢ λαϊκοῦ προσκληθῆναι εἰς συνεστίασιν, εἴη δὲ καιρὸς ψαλμῳδίας· πῶς ἔστι διαγενέσθαι; εἶπον, καὶ πάλιν λέγω· αἱρέσεως ἐπικρατούσης καὶ μὴ καταβληθείσης δι' ὀρθοδόξου συνόδου, ἀναγκαῖον τὸ διερωτᾶν ἐπί τε τῆς θείας μεταλήψεως καὶ κοινῆς ἑστιάσεως, καὶ οὐδεὶς καιρὸς πρὸς ταῦτα αἰδοῦς καὶ ἀωρίας. λαβεῖν μὲν γὰρ ἄρτον ἁπλῶς παρὰ τοῦ τυχόντος οὐκ ἀναγκαῖον εἰς ἐρώτησιν καὶ παρ' αὐτῷ ἑστιαθῆναι, κατὰ μόνας τυχόν, καὶ κοιτασθῆναι, εἰ μή γε προεγνωσμένος

81 μεταδίδοι VMT 85 ψευδολόγος im marg S φαίην VMPS Sirm 91 παννυχίδα: κανόν· χίδα M 92 δηλονότι omnes: distinxi 99 συνηθροίσθαι P 100 τοῦ: τὸ MS 105 τεθῆναι Sirm 106 λειτουργῆσαι T 107 ἀλλ' ἤ: ἀλλὰ Sirm κατ' Sirm 109 καθοδὸν T 111 ἐστὶ VM: ἔστι TPS: corr Sirm 113 κοινῆς: κοινωνίας καὶ T συνεστιάσεως T 114 ἁπλῶς: συνεχῶς T 116 ἢ ante κατὰ add T καταμόνας T Sirm

ἐστὶν ἐν αἱρέσει ἢ κακίᾳ· περὶ δὲ τῶν λοιπῶν ἐξ ἀνάγκης ἐρωτητέον.

Ἡ ἕκτη, εἰ κατὰ πάροδον εὑρόντα ὀρθόδοξον ἐκκλησίαν πλησιάζουσαν πόλει ἢ κώμῃ δέον αὐτὸν εὔξασθαι ἐκεῖ ἢ καὶ καταλῦσαι, φεύγοντα ὑφέστιον γενέσθαι λαϊκοῖς. καὶ εὐκτέον καὶ καταλυτέον, εἴ γε μόνη ἐστίν· ἀλλὰ καὶ εἰς οἰκίαν λαϊκοῦ ἢ ἱερωμένου, ὡς εἴρηται, κατεπειγούσης ἀναγκαίας ὥρας ἀδιάφορόν ἐστι μεῖναι καὶ ἑστιαθῆναι καθ' ἑαυτὸν ἄνευ ἐρωτήσεως καὶ λαβεῖν τὰ πρὸς χρείαν, εἴ γε, ὡς εἶπον, μὴ εἴη ὁ ὑποδεχόμενος προεγνωσμένος τῷ ὑποδεχθέντι ἀσεβῶν ἢ ἀνομῶν. πλὴν δὲ ἀνάγκης, οὐ καλὸν ὡς ἔτυχε τὰ προρρηθέντα καταδέξασθαι, ἀλλ' ἐρωτᾶν καὶ παρὰ τῷ ὀρθοδόξῳ καταλύειν καί, εἰ χρεία, παρ' αὐτοῦ ἐφόδια αἴρειν· οὕτω γὰρ ὁ Κύριος ἐντέλλεται διὰ τῶν ἁγίων αὐτοῦ.

Τῷ πρεσβυτέρῳ καὶ ἡγουμένῳ καλῶς ἀπεκρίθης, εἰρχθῆναι τῆς λειτουργίας τοὺς νυνὶ χειροτονηθέντας ὑπὸ τοῦ εὑρεθέντος ἀρτίως ἀρχιερέως ἐν ἐκκλησίᾳ, λέγοντος δὲ ὅμως ὅτι κακῶς ἐγένετο ἡ σύνοδος, καὶ ‚ἀπολώλαμεν'. διατί γὰρ ὁμολογῶν οὐ φεύγει τὴν ἀπώλειαν, διαστέλλων ἑαυτὸν τῆς αἱρέσεως, ἵνα μένῃ παρὰ θεῷ ἐπίσκοπος; καὶ εἰσὶν αὐτοῦ δεκταὶ αἱ χειροτονίαι αὐτίκα. ἢ διατί προκει/μένης τῆς αἱρέσεως εἰς χειροτονίαν ὁ ἡγούμενος προήγαγε τοὺς ἀδελφοὺς αἱρετικήν; ἂν οὖν ὁ χειροτονήσας ὤρθωσεν, ἦν αὐτοῖς εὐθὺς ἱερουργεῖν, ὄντος δὲ ἐν τῇ αἱρέσει διὰ τοῦ ἀναφέρειν αὐτὸν αἱρετικόν, κἂν τὸ φρόνημα λέγοι ἔχειν ὑγιές, οὐχ οἷόν τε οὓς χειροτονεῖ τῇ ἀληθείᾳ εἶναι λειτουργοὺς θεοῦ. εἰ δὲ πνεῦμα ζήλου θεοῦ ἀνῆψεν ἐν τῷ καθηγουμένῳ καὶ προθυμεῖται ὁμολογίας στέφανον ἀναδήσασθαι, μηδὲ λειτουργείτω ἐν τῇ ὑπ' αὐτοῦ ἐνθρονιασθείσῃ ἐκκλησίᾳ μήτε ἀναφερέτω αὐτὸν ὡς ἐπίσκοπον. καὶ μακάριος οὗτος, πολλῶν καὶ ἄλλων παράδειγμα σωτηρίας γινόμενος. τεθέντος δὲ θυσιαστηρίου ἐν τῇ αὐτῇ ἐκκλησίᾳ οὐδὲν τὸ κωλῦον λειτουργεῖν ἐκεῖσε.

Ὃ δέ με ἔλαθεν ἀνωτέρω σημᾶναι, μνησθήσομαι ἐνταῦθα· ὅτι, ἐπειδὴ λέγει ὁ Ἅγιος Βασίλειος περὶ τῶν ἐν παρασυναγωγῇ γενομένων τάδε, ὥστε πολλάκις καὶ τοὺς ἐν βαθμῷ συναπελθόντας τοῖς

147 Bas. ep. 188,1 (PG 32,668 A = II 122,29 Courtonne; cf. III 1185 B Mansi)

117 ἐξανάγκης S 119 κώμῃ ἢ πόλει VMT Sirm καταλύσαι codd 120 εὐκταῖον PS 125 ἀνόμων Mi ἄνευ ante ἀνάγκης add T ἔτυχεν T 130 νῦν T ἀρτίως – 131 ἐκκλησίᾳ in marg T: om cett Sirm ὅτι om T 132 διὰ τί T Sirm 134 διὰ τί T Sirm 135 τῆς in marg T 136 χειροτονίσας T 137 εὐθὺς om T ὄντως T post ἀναφέρειν voces quasdam cancell T 139 ζήλου om T 143 γενόμενος VMT Sirm 144 post ἐκκλησίᾳ voces εἰ χρὴ λειτουργεῖν T^{sscr} 145 ἐκεῖ M 146 σημάναι PST Sirm

ἀνυποτάκτοις, ἐπειδὰν μεταμεληθῶσιν, εἰς τὴν αὐτὴν παραδέχεσθαι τάξιν, μὴ οἰέσθω σου ἡ εὐλάβεια ἐναντιοῦσθαι τὸν λόγον τῷ ἀποστολικῷ κανόνι λέγοντι, εἴ τις καθῃρημένῳ κληρικὸς ὢν ὡς κληρικῷ συνεύξεται, καθαιρείσθω καὶ αὐτός, ἀλλὰ νομιζέτω ὅτι, ὡς διεκρίθη παρὰ τῶν πατέρων, τίνες εἶεν αἱρέσεις πρὸς σχίσματα, οὕτω διακέκριται δηλονότι κατὰ τὴν ἀκόλουθον ἔννοιαν, τίς ἐστιν ὁ ἀπαραιτήτως καθαίρων κανὼν τὸν καθῃρημένῳ συνευξάμενον παρὰ τὸν ἐν παρασυναγωγῇ γενόμενον· ὅτι ὁ μὲν εἰδὼς ὅτι ὁμολογουμένως καθῃρημένῳ συνεύχεται εἰκότως αὐτίκα καθαίρεται, ἀδιαφόρως ἐνεχθεὶς καὶ μὴ προσεσχηκὼς τῷ κανόνι, ὁ δὲ ὡς οὐκ οἰόμενος εἶναι καθῃρημένον ᾧ συναπήχθη μετὰ πλήθους, ἐπάν, φησί, μεταμεληθῇ, εἰς τὴν αὐτὴν παραδέδεκται τάξιν. πρόσκειται δὲ καὶ τοῦτο πολλάκις ἐν τῷ λόγῳ τοῦ ἁγίου, ὥστε ἔστι καὶ μεταμελόμενον μὴ εἰς τὴν αὐτὴν τάξιν παραδεχθῆναι. καὶ οὗτος μὲν ὁ λόγος ἐνδεχομένως ἐκδέδοται, ὁ ἀποστολικὸς δὲ κανὼν ἀναγκαίως καὶ ἀπαραιτήτως.

Ὅτι ὁ ψευδώνυμος Χριστοφόρος πάλιν εἰς τὸ ἴδιον ἐξέρασμα ὑπέστρεψεν, οὐδόλως ἐθαύμασα, εἰδὼς αὐτοῦ τὸ ἄστατον καὶ ἀπαγές· ὅτι δὲ ὁ Κληδόνιος ὑπὲρ ἀληθείας μίαν μόνην ἡμέραν ἤνεγκε φυλακὴν καὶ πληγὰς παρὰ τῶν ἀσεβῶν, πάνυ ἐξέστην. ὥστε, εἰ ἕως τοῦ νῦν ἐπιμένει δυνάμει θεοῦ, μὴ ἀεργὸν γένηταί σοί τε καὶ ἄλλοις ἀδελφοῖς ὀρέγειν αὐτῷ χεῖρα, εἴπερ οἷόν τε.

Περὶ δὲ τῶν προειρημένων, βαπτιζομένων λέγω χριομένων τε τῷ ἁγίῳ μύρῳ καὶ ἀναθεματιζόντων τε τὴν αἵρεσιν, οὐχ ὡς ὁ θεῖος Ἐπιφάνιος τέταχε καὶ ἠρίθμησε τὰς αἱρέσεις γέγραφα, ἀλλ' ὡς εὗρον παρασημείωσίν τινος τῶν ἀρχαιοτέρων φιλοπόνου ἀνδρὸς καὶ ἐκ τῆς ἐν Βυζαντίδι ἐκκλησίας τὴν ἐκ βιβλίων ἔρευναν καὶ εὕρεσιν ποιησαμένου.

Ὁ ἀδελφὸς Γρηγόριος γνησίως προσαγορεύει.

---

164 εἰς τὸ ἴδιον ἐξέρασμα ὑπέστρεψεν: scil. a monachico statu defecit; cf. Officium magni habitus (p. 408 Goar)

---

151 Constit. apost. 8, 47, 11 (p. 566 Funk) 164 2 Petr. 2,22

---

149 ἐπειδὰν VMPT: ἐπεὶ δ' ἂν Sirm 155 καθαιρῶν Sirm τὸν[1]: τῷ T 157 καθαίρεται: καθαιρεῖται Sirm 159 ᾧ: ὡς T ἐπὰν M: ἐπ' ἂν Sirm 160 πρόκειται S 161 ἐστὶ Mi μεταμελούμενον M 163 δὲ ante ἀποστολικὸς transp VT Sirm 164 δὲ post ὅτι add T (fort recte) 175 ποιησαμένου: hic desin epist in T

41. Σιλουανῷ καὶ Εὐπρεπιανῷ τέκνοις

Ἐπειδὴ ζητῶ μανθάνειν περὶ τῶν ἀδελφῶν, τέκνα, / ἢ καὶ αὐτοὶ πολλάκις θέλετε δηλοῦν περὶ αὐτῶν, ἐσκόπησα καλὸν εἶναι ὁμοῦ τε διὰ τὸ συντομώτερον καὶ ἐπικρυπτότερον ἀπὸ τῶν στοιχείων, ἤγουν τῶν εἰκοσιτεσσάρων γραμμάτων, τούτους ἐπιδηλοῦσθαι. καὶ δὴ λέγω.

Τὸ ᾱ τοῦ πατρὸς ἡμῶν, τὸ β̄ τοῦ ἀρχιεπισκόπου, τὸ γ̄ τοῦ Καλογήρου, τὸ δ̄ τοῦ Ἀθανασίου, τὸ ε̄ τοῦ Βαρσανουφίου, τὸ ζ̄ τοῦ Νικολάου, τὸ η̄ τοῦ Σωφρονίου, τὸ θ̄ τοῦ Εὐθυμίου, τὸ ῑ τοῦ Ἰωάννου, τὸ κ̄ τοῦ Δομετιανοῦ, τὸ λ̄ τοῦ οἰκονόμου, τὸ μ̄ τοῦ Ἀρσενίου, τὸ ν̄ τοῦ Ἀκακίου, τὸ ξ̄ τοῦ Μελετίου, τὸ ō τοῦ Λουκιανοῦ, τὸ π̄ τοῦ Ἐπιφανίου, τὸ ρ̄ τοῦ Λιτόη, τὸ σ̄ τοῦ Βασιλείου, τὸ τ̄ τοῦ Εὐσχήμονος, τὸ ῡ τοῦ Σιλουανοῦ, τὸ φ̄ τοῦ Εὐπρεπιανοῦ, τὸ χ̄ τοῦ Γρηγορίου, τὸ ψ̄ τοῦ Εὐσταθίου, τὸ ω̄ τὸ ἐμόν.

Ὅτε τοίνυν κεῖται ἐν τῇ ἐπιγραφῇ τι στοιχεῖον, οὗτινός ἐστιν ἡ ἐπιστολὴ πάντως ἐγνωρίσθη· οἷον, τὸ ᾱ τοῦ πατρὸς ἡμῶν, καὶ ἕκαστον ὡσαύτως. πάλιν ἐρωτῶντός μου, πῶς ἔχει τὸ β̄; δῆλον ὅτι ἐγνωρίσθη περὶ τοῦ ἀρχιεπισκόπου εἶναι τὴν ἐρώτησιν. ὁμοίως ἐν τῷ πάλιν ἐρωτῆσαί με, πῶς ἔχουσιν οἱ περὶ τὸ β̄; φανερὸν ὅτι περὶ τῶν ὄντων μετ᾽ αὐτοῦ ἡ ἐρώτησις· ὡσαύτως ἐπὶ τῶν λοιπῶν στοιχείων. πάλιν ἑτέρα ἐρώτησις· τί ἀκούετε περὶ τοῦ π̄ ἢ περὶ τοῦ ρ̄ ἢ περὶ τοῦ ψ̄; πρὸς ἓν ἕκαστον στοιχεῖον ἡ ἀπόκρισις. πάλιν ἐρωτῶ, τίς ἦλθεν ἐκ τῶν ἔξω; δέον ὑμᾶς ἀποκριθῆναι κατὰ τὸ στοιχεῖον, ἢ ὅτι τὸ η̄ ἢ ὅτι τὸ ō ἢ ἐκ τῶν λοιπῶν· ἢ ⟨ὅτι⟩ οὐκ εἰσῆλθε τὸ η̄ ἢ τὸ ō, ἀλλ᾽ οἱ περὶ τὸ η̄ ἢ τὸ ō τόσοι, ὅτι γέγονε τόδε κἀκεῖνο εἰς τὸ ὁ δεῖνα στοιχεῖον. ὅτε οὖν θάνατος πάλιν, ‚ἀπέθανε τόδε τὸ στοιχεῖον' ἢ ‚ἀσθενεῖ' ἢ ‚λυπεῖται', καὶ ὅσα ἄλλα. εἰ δέ τίς ἐστιν ἐκ τοῦ περὶ τὸ στοιχεῖον παθών τι, καὶ τὸ ὄνομα δηλοῦντες, οἷον ἐπὶ τοῦ Χριστοφόρου, ὅτι ἀπέδρασεν ἀπὸ τοῦ ε̄, ὃ καὶ γέγονε.

Δεχόμενοι οὖν τὰς παρ᾽ ἡμῶν πεμπομένας ἐπιστολὰς πάντως, ἐὰν ἐστιν ἐκ τῶν στοιχείων, τὴν ἐπιγραφὴν τοῦ στοιχείου ἕξει ἡ ἐπι-

---

41. a. 809 – 811 7 πατρός: Platon ἀρχιεπισκόπου: Josephus 10 οἰκονόμου: Naucratius 28 Χριστοφόρου: cf. ep. 40,164

VM PS

---

9 Ἰωάννου: Ἰωαννικίου Sirm 12 Λητόη VM Sirm 15 οὗ τινός Mi 17 β̄: βῆτα V 19 β̄: βῆτα V^{pc} 23 τὸ om V 24 ἢ[1] M^{sscr} ὅτι supplevi 25 ὁδεῖνα VP^{ac}: δεῖνα cett Sirm 27 τοῦ: τῶν M τὸ om V 31 ἔστιν codd: corr Sirm

στολή. πέμποντες οὖν καὶ αὐτοὶ τὰς ἐκ τῶν αὐτῶν στοιχείων ἐπιστολάς, τὸ αὐτὸ στοιχεῖον θέσθε ἐν τῇ ἰδίᾳ ἐπιστολῇ· κἂν δὲ ἀγνοῶσιν οἱ πέμποντες, ὑμεῖς λειοῦτε τὴν ἐπιγραφὴν καὶ ἐντιθεῖτε τὸ στοιχεῖον τοῦ ἐπιστείλαντος. εἰ δὲ οὐκ ἔστιν ἐκ τῶν στοιχείων, μενέτω ἡ ἐπιγραφή· ὥσπερ καὶ ἐν τῷ γράφειν με, ἐὰν οὐκ ἔστιν ἐκ τῶν στοιχείων, μενέτω ἡ ἐπιγραφὴ πρὸς ὃν ἡ ἐπιστολή. πάλιν σκεπτέον ὅτι ἐφ' ἑκάστης μου ἐπιστολῆς πρὸς τοὺς ὄντας ὑπὸ τὰ στοιχεῖα οὕτως ἕξει ἡ ἐπιγραφή· τὸ ω̄ τῷ ᾱ, καὶ καθεξῆς. καὶ πεμπόμεναί μοι αἱ ἐπιστολαὶ οὕτως ἐχέτωσαν· τὸ ᾱ τῷ ω̄, ἢ ἄλλο τῶν στοιχείων.

Γνωστέον καὶ τοῦτο, / ὅτι, ἐπειδὴ καὶ ταῦτα τὰ τρία εἰσὶ γράμματα, ἅτινά εἰσιν ἔξω τῶν εἰκοσιτεσσάρων στοιχείων, τὸ ξ̄, τὸ ϟ, τὸ ϡ̄, τὸ ξ̄ δηλοῖ τοὺς ἀθετήσαντας πάντας καὶ πρότερον καὶ ὕστερόν ποτε ἀδελφοὺς ἡμῶν, τὸ ϟ τὸν πατριάρχην, τὸ ϡ̄ τὸν κρατοῦντα. ὅταν οὖν χρεία γένηται εἴτε ἐρωτῆσαί με εἴτε δηλῶσαι ὑμᾶς περὶ ἑνὸς τῶν τριῶν, διὰ τοῦ γράμματος ἔσται ἡ δήλωσις.

42. Ἄννῃ μοναζούσῃ

Ἐδόκουν τετελευτηκέναι τὴν μακαρίαν μου μητέρα, ἐκείνη δὲ ἔτι ὑπὲρ γῆς ἐστιν, ὡς ἔοικεν· τί γὰρ ἔμελλεν ἂν πλέον ποιεῖν, ὡς αὐτὴ πρός με τὸν ταπεινὸν μητρικῇ κηδεμονίᾳ φερομένη; ἀλλ' εἰ κἀγὼ ἁμαρτωλός, ὅμως πιστεύω τῷ Κυρίῳ ἀνταμείψασθαί σε τοῖς ὑπὲρ τῆς ἀναξιότητος ἡμῶν οὐ τὴν τυχοῦσαν χάριν καὶ ἐπίτευξιν ὧν ποθεῖς καὶ αἰτεῖς. πλὴν ἱκανῶς ἔχει τὰ γεγενημένα· τοῦτο γὰρ καὶ διὰ τῶν προλαβόντων γραμμάτων ἀπελογησάμην. αὐτὴ δὲ τοὐναντίον προσέθηκας μᾶλλον τοῦ ἐκδαπανᾶσθαι ἐν τῇ ἐπιδόσει. πόθεν δὲ καὶ οὐ μέλλομεν ἄρτι μνημονεύειν σου τῆς θεοσεβείας; ἐκ τῶν περιβολαίων, ἐκ τοῦ ἱεροῦ ἀναθήματος, ἐκ τῆς βρώσεώς τε καὶ πόσεως, πανταχόθεν ἡμᾶς ἐξέστησας. διὰ τοῦτο καὶ τέλος ἐπίθες τοῖς δώροις καὶ εὔελπις ἔσο περὶ τῆς θείας ἀμείψεως· ἀψευδὴς γὰρ ὁ εἰρηκὼς καὶ ὑπὲρ

39 τῷ: τὸ codd: corr Sirm 40 τῷ: ἢ τὸ omnes: correxi ω̄: ῡ Sirm ἄλλο: an ἄλλῳ scribendum? 42 εἰκοσιτεσσάρων: κ̄δ̄ VM ϡ̄: π˜ (sic) Sirm: π Mi 44 ϟ: ι Mi ϡ̄: π˜ (sic) Sirm: π Mi ὅτἄν P 46 ἡ om VM

42. a. 809 – 811

13 Matth. 10,42

C VM PS

3 ἔοικε VMPS Sirm ἂν ante ἔμελλε transp VMP Sirm 5 τοῖς: τοὺς P: τῶν V Sirm: om M 9 τοῦ: τὸ M οὐκ ἐμέλλομεν V Sirm 12 διατοῦτο S

ψυχροῦ ποτηρίου μισθοὺς ἀποδιδόναι.

Λυπεῖσθαι δὲ φαίης ἐν τῇ φροντίδι τοῦ τέκνου, ἀπασχολίαν ἐμποιούσῃ σοι τῆς δεούσης περὶ τὴν ψυχὴν μερίμνης. καὶ δυνατὸς ὁ θεὸς καὶ τὴν τοῦ καλοῦ τέκνου διοίκησιν ἀπεργάσασθαι καὶ σὲ ἐπὶ πᾶσιν σχολὴν ἄγειν περὶ τῶν ψυχωφελῶν καταστήσασθαι, ὡς ἑτοίμῃ καρδίᾳ πρὸς τὴν ἔξοδον τοῦ σώματος παρίστασθαι. νηστεύειν δὲ καὶ ταλαιπωρεῖσθαι, σῶμα ἔχουσα νοσερόν, οὐ δύνῃ, κἀν τούτῳ ἀλύπως φέρε, τὰ δυνατὰ εἰσοίσουσα τῷ Κυρίῳ καὶ τῷ πλεονασμῷ τῆς ταπεινοφροσύνης τὸ ἐκ τῆς ἀσκήσεως ἐνδέον ἀναπληροῦσα.

Προσεύχεσθαι δὲ ὅπως σε χρή, ἐπιζητεῖς ἐκδιδαχθῆναι. καὶ τοῦτο αὐτὸς ὁ Κύριος ἐξεδίδαξεν διὰ τῆς τοῦ πάτερ ἡμῶν ἐπιφωνήσεως καὶ τοῦ μηδὲν αἰτεῖν πρόσκαιρον, ἀλλὰ τὴν βασιλείαν αὐτοῦ καὶ τὴν δικαιοσύνην τὴν αἰώνιον. πλὴν ὅτι τετύπωται ὑπὸ τῶν πατέρων πρῶτον ἡ εἰς θεὸν εὐχαριστία, ἔπειτα ἡ τῶν ἁμαρτημάτων πρὸς αὐτὸν ἐξαγόρευσις, καὶ οὕτω ἡ αἴτησις τῆς αὐτῶν ἀφέσεως καὶ τῆς τῶν ἄλλων σωτηριωδῶν τρόπων ἐπιτεύξεως.

Ἐπὰν οὖν μέλλῃς προσεύχεσθαι, εὐχαρίστει τῷ Κυρίῳ καὶ δεσπότῃ, ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγέν σε, ὅτι ἐλυτρώσατό σε ἐκ πάσης πλάνης, καλέσας καὶ ἀξιώσας τῆς ἑαυτοῦ ἐπιγνώσεως μέτοχον γενέσθαι, πλάνης ἐθνικῆς, πλάνης αἱρετικῆς, εἶτα ὅτι καὶ τοῦ μοναδικοῦ καὶ ἰσαγγέλου βίου ἐντός σε παρεσκεύασεν ὑπάρξαι μετὰ τὴν τοῦ κοινωνικοῦ βίου ἀπόλαυσιν, ὧν ἡ ἔννοια ἱκανὴ καταμαλάξαι τὴν ψυχὴν πρὸς κατάνυξιν καὶ δακρύων προβολήν· ἀφ' ὧν φωτισμὸς καρδίας, γλυκύτης πνεύματος, ἐπιθυμία θεοῦ. ταύτης ἐνυπαρχούσης τῇ καρδίᾳ πάσης κακίας ἐστὶν ἀποβολή. ὅταν οὕτως εὐχαριστίας ἀναπέμψῃς τῷ θεῷ, ἐξαγόρευε αὐτῷ λέγουσα, ‚σὺ οἶδας, / δέσποτα, ὅσα σοι ἥμαρτον καὶ ὅσα ἁμαρτάνω καθ' ἑκάστην ὥραν', τήνδε τὴν ἁμαρτίαν καὶ τήνδε τὴν πλημμέλειαν καὶ τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ ἀναλογιζομένη, πλὴν μὴ ἀνιστοροῦσα ὡς ἔτυχεν τὰ βλάβην ἐκ τῆς ἐναργοῦς ὑπομνήσεως ἐμποιοῦντα τῇ ψυχῇ. κἀντεῦθεν ἀνατελεῖ σοι ταπεινοφροσύνης χάρις μετὰ συντριμμοῦ καρδίας καὶ φόβου ἀνταποδόσεως θεοῦ. μετὰ τοῦτο αἴτησον, στέναξον,

---

18 Ps. 56,8 24 Matth. 6,9 27 Bas. reg. br. 229 (PG 31,1236 A) 31 Bas. ep. 8,2 (PG 32,249 B = I 25 Courtonne)

---

15 φῇς S 18 πᾶσι VMPS Sirm 20 κὰν C: κἂν Sirm 23 σημείωσαι· πῶς δεῖ προσεύχεσθαι in marg C 24 ἐξεδίδαξε VMPS Sirm 27 εὐχαριστεία C 30 ἐπᾶν VMP: ἐπ' ἂν Sirm μέλλεις CS 31 παρήγαγε VMPS Sirm 35 ἵκανεῖ C 36 προσβολὴν M Sirm ἀφῶν C 38 ὅτ' ἂν C 41 πλημμελεῖαν C 42 ἔτυχε VMPS Sirm 44 χάρις ante ταπεινοφροσύνης transp S 45 ἀνταποδώσεως C

δεήθητι τοῦ Κυρίου σου τὴν τούτων ἄφεσιν, τὴν πρὸς τὸ μέλλον πρὸς τὸ εὐαρεστεῖν αὐτῷ ἐνδυνάμωσιν, λέγουσα, ,οὐκέτι, Κύριέ μου, Κύριε, παροργίζω σε, οὐκέτι φιλήσω ἄλλο τι παρὰ σὲ τὸν ὄντως ἀγαπητόν, κἄν τε παροργίσω πάλιν προσπίπτουσά εἰμι τοῖς οἰκτιρμοῖς σου, δοθῆναί μοι ἰσχὺν ἐν ἕξει γενέσθαι τοῦ εὐαρεστεῖν σοι', εἴ τι ἄλλο κατὰ νοῦν σοι παρίσταται ἀνυσθῆναι ἀγαθὸν θερμῶς αἰτουμένη. καὶ μετὰ ταῦτα ἐπικαλοῦ τὴν ἁγίαν Θεοτόκον ἐλεῆσαί σε, τοὺς ἁγίους ἀγγέλους καὶ ὃν ἔχεις τῆς ζωῆς σου φύλακα ἄγγελον ἵνα σε φρουρῇ καὶ σκέπῃ, τὸν Πρόδρομον, τοὺς ἀποστόλους, τοὺς ἁγίους πάντας καὶ οὓς ἔχεις ἐξαιρέτως συνήθως ἐπικαλεῖσθαι, καὶ τὸν κατὰ τὴν ἡμέραν μνημονευόμενον.

Ταῦτα οὖν μοι δοκεῖ ἔχειν τῆς προσευχῆς τὴν δύναμιν, κἂν ἕκαστος ἄλλοις λόγοις καὶ οὐχὶ τοῖς αὐτοῖς πάντως προσεύχηται· ὅτι μηδὲ αὐτὸς ἑαυτῷ ὁ προσευχόμενος τὰ αὐτὰ φθέγγεται πάντοτε, ἡ δὲ δύναμις ἡ αὐτὴ ἀναγκαία πᾶσι λελόγισταί μοι. φυλαχθείης οὖν προσευχομένη τὰ δέοντα καὶ βελτιουμένη ἑκάστοτε καὶ ὅλην ἑαυτὴν παριστῶσα διὰ τῆς ἀκριβοῦς βιώσεως ἀρέσκουσαν τῷ Κυρίῳ.

43. Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ

Καὶ ἡ πρώτη ἐπιστολὴ τῆς ἀδελφικῆς καὶ πατρικῆς σου ἁγιωσύνης, εἰ καὶ μικρὰ ἦν τῷ πλήθει τῶν συλλαβῶν, ἀλλ' οὖν γε ἀπήρτιστο τῷ πλάτει τῆς ἀλληγορικῆς διανοίας· καὶ ἡ δευτέρα πάσης γνώσεως καὶ ταπεινώσεως, ἓν ἔχουσα μόνον ψεκτόν, τοὺς περὶ ἐμὲ τὸν δείλαιον ἀναξίους ἐπαίνους. ἐγὼ δὲ οὐ κατ' ἀντίφρασιν (μὴ γένοιτο), ἀλλ' ἀληθείᾳ ἐκλάμψαι σε ἐν τῇ καθ' ἡμᾶς γενεᾷ ἐν τῷ τῆς ἀρχιερωσύνης ἀξιώματι καθ' ὁμοίωσιν τῶν ἁγίων πατέρων εἴρηκα. καὶ οὐκ ἂν ἁμάρτοιμι, στύλον καὶ ἑδραίωμα κεκληκώς σε τῆς ἐκκλησίας, κάλλιστέ μου ἀδελφέ· πᾶς γὰρ ὁ ὑπὲρ ἀληθείας ἐνιστάμενος καὶ πανθάνων ἔρεισμα καὶ ὕψωμα αὐτῆς τυγχάνει.

---

48 παροργίσω (παρογίσω sic) coni Sirm φιλήσω: ποθήσω V: om M φιλήσω ἄλλο τι: ἄλλο τι ποθήσω V 49 ἀγαπήσω post ἀγαπητόν add M παρωργίσω C πρὸς πίπτουσά C 52 μεταταῦτα S 56 τὸν om CP: S[sscr]

---

43. a. 809 – 811

9 1 Tim. 3,15

C VMT (ll. 1 – 31) PS

6 ἀναξίως Mi

Εὖ δὲ γέγονεν, ὅτι ἐπεσκέψω τὰς τετράδας. ὑπῆρξεν γὰρ ἡμῖν ἡ ὑπόμνησις, μᾶλλον δὲ κέλευσίς σου, ἐπιστασίας καὶ διαλύσεως τῆς τοιαύτης προτάσεως ἀφορμή, ἣν μεθ' ἑτέρων ὑποβληθέντων δι' ὑπομνήσεως τοῦ πατρὸς ἡμῶν ἐν ταῖς προγραφεῖσι τετράσιν ἀπέστειλα τῇ ἁγιότητί σου, μηδὲν ἐξ ἑαυτοῦ ἐν ὅλῳ τῷ συντάγματι φρόνημα εἰσκεκομικὼς (ὅτι μηδὲ θέμις τοῦ νόμου νομιμώτερον μηδὲ τοῦ κανόνος εὐθύτερον γίνεσθαι) ἢ μόνον τὸ ὑφεῖναι καὶ συνάψαι τὰ τῶν θείων πατέρων, κἂν ἀμαθῶς, διδάγματά τε καὶ παραγγέλματα εἰς ὅπερ ἡ πρότασις ἐκκαλεῖ τῆς ἀντιθέσεως. καί, εἰ μὴ παραιτήσοιτο διὰ κόπον ἀναγνῶναι, οἶδ' ὅτι λυσιτελήσειεν.

Ὅτι δὲ ἡ εἰρήνη καλὴ ὁμολογουμένως (φιλῶ γὰρ αὐτήν, κἂν ἁμαρτωλός εἰμι) καὶ ὅτι πρὸς αὐτὴν / ἀποκλιτέον, ἕως ἐξῆν, πεπράχαμεν, πολλὰ τοῦ φόρτου ἀποσκευασάμενοι κατὰ τὸν θεῖον Κύριλλον, τοῦτο μὲν ἡνίκα τὸ πρότερον ἠθῷουν τὸν μοιχοζεύκτην, παρόντος μου ἐκεῖ καί, καθὰ συνεβουλευσάμεθα, ἀποσιωπήσαντες (ἡ δὲ σιωπὴ μέρος συγκαταθέσεως· ἣν καὶ δραξάμενοι οἱ ἐξ ἐναντίας, ὡς οἶσθα, ἀποκλείειν ἡμᾶς ἐπειρῶντο τῆς ἐνστάσεως), τοῦτο δὲ ἐπειδὰν ἐκροτεῖτο ἡ δευτέρα ἀθῴωσις αὐτοῦ παρὰ τῶν πατησάντων τοὺς νόμους τοῦ θεοῦ, λεγόντων ἡμῶν ὅτι ‚στήτω μόνον τῆς ἱερουργίας, ἀπολαύων τῆς τιμῆς κατὰ τὸν κανόνα τοῦ Μεγάλου Βασιλείου, ἤδη συλλειτουργήσαντος αὐτοῦ ἐν τοῖς δυσὶν ἔτεσι τῷ πατριάρχῃ'· ὃ ἦν φοβερὸν καὶ ὑπὲρ οἰκονομίαν. ἐῶ λέγειν τὰς ψευδοπροφάσεις τῆς ἀπ' αὐτοῦ φυγῆς καὶ τὸ ὡς παρὰ πρεσβυτέρου τὰς εὐλογήσεις ἐν ταῖς ἑστιάσεσιν κοινωνεῖν, τήν τε ἀναφορὰν τοῦ πατριάρχου. ἀλλ' ὅμως, εἰ καὶ ἡμεῖς δι' οἰκονομίαν τοσοῦτον κατηγόμεθα, ἐκεῖνοι τοὐναντίον τῇ σκληρότητι συνεπαίροντο τῇ ἁμαρτίᾳ, τοῦ θεοῦ κρεῖττόν τι προβλεψαμένου, ἵνα καὶ ἡμεῖς οἱ ταπεινοὶ μὴ ἀνόνητον τὴν πρώτην ἐξορίαν ὑποίσωμεν μηδὲ ἡ τολμηθεῖσα ἐπὶ τοῦ κόσμου μοιχεία ὡς ἔτυχεν διὰ τῆς τοῦ συνάψαντος αὐτὴν περισσοτέρας οἰκονομίας κατασμικρυνθῇ.

---

23 Greg. Naz. or. 22,15 (PG 35,1148 C = p. 252 M.-L.)   31 Bas. ep. 217,70 (PG 32,801 A = II 212 sq. Courtonne; cf. III 1216 A sq. Mansi)

---

12 ὑπῆρξε VMPST: ἡπῆρξε (sic) Sirm   15 προγραφείσαις VMPS^{pc}T^{pc} 16 αὐτοῦ T   συγγράμματι T   18 ὑφῆναι CS^{pc}T   19 καν C: κἂν P   20 εἰσόπερ C   παραιτήσοιτο: παραιτήσῃ τὸ (attamen est ἡ ἁγιότης σου subiectum)   22 καν C: κἂν P   25 τοῦτο T: τοῦ CVP Sirm: τὸ MS^{pc} τὸ πρότερον ante παρόντος transp S   27 ἣν: ἧς VMPS^{pc}T Sirm   ἐξεναντίας CSP   29 ἐπειδᾶν VP   31 κανόνα: hic desin epist in T   Μεγάλου: ἁγίου VMP Sirm   35 ἐσθιάσεσιν C: ἑστιάσεσι VMP: ἑστιάσεσϊ S   40 ἔτυχε VMPS Sirm   περισσοτέρως M   41 κατασμικρυνθεῖ CS^{ac}: κατασμικρυνθῆναι V^{ac}M

Ὥστε καιρὸς ἄρτι ἐκεῖνο ἡμᾶς, ἠγαπημένε, λέγειν· ἕως πότε οἰκονομήσεις; καί, οἰκοδομῆσαί ποτε προθυμήθητι· καὶ κατὰ τὸν θεῖον Βασίλειον ἀκριβείᾳ κανόνων ἡμᾶς δουλεύειν (ἄλλοι γὰρ λόγοι πρὸ πολέμου καὶ ἄλλοι μετὰ πόλεμον) ἐν ὑπομονῇ τε διεξάγειν τὰς ἡμέρας ἡμῶν, καθὼς νενουθέτηκας, καὶ εὔχεσθαι ὑπὲρ τῶν διωξάντων. ἀσπασταὶ δέ μοι καὶ ὁμογνωμονικαὶ αἱ τρεῖς σου τιμίαι ῥήσεις, ἥ τε τοῦ δι' ἑνὸς ἀνθρώπου ὑπόπτωσιν μὴ σχίζειν τῆς ἐκκλησίας, ἥ τε τοῦ μὴ συγκοινωνεῖν τῇ λύσει τοῦ τοιούτου καὶ ἡ ἐκ παντὸς ἀδιαβλήτου ἱερέως μεταλαμβάνειν, οὕτως ἐχούσης πάντως τῆς διανοίας.

Καὶ σύγγνωθί μοι, ὦ ἀδελφέ, οὐ διδακτικῶς, ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον διατρανοῦντι τὸν λόγον. κατὰ τὴν πρώτην οὐ δι' ἕνα ἄνθρωπον ἀποσχίζομεν τῆς ἐκκλησίας τῆς ἀπὸ βορρᾶ καὶ δυσμῶν καὶ θαλάσσης, καὶ μέντοι καὶ τῆς ἐνταῦθα δῆλον ὅτι, πλὴν τῶν μοιχοκυρώτων· οὐ γὰρ οὗτοι ἐκκλησία Κυρίου. εἰ δὲ ἐκκλησία, ἀποσχίζομεν τῆς ἐκκλησίας δι' ἕνα ἄνθρωπον συνημμένον αὐτῇ, λέγω δὴ τὸν μοιχοζεύκτην μὴ προσιέμενοι. ἐπειδὴ δὲ οὐκ ἐκκλησία θεοῦ, ἀποσχίζουσιν αὐτοὶ ὡς ἀληθῶς δι' ἕνα ἄνθρωπον συνημμένον αὐτοῖς τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, ἐκείνοις παρεοικότες τοῖς ἐν τῷ χρονογράφῳ κειμένοις, ἡμῶν μὴ σχιζομένων αὐτῆς διὰ τὸν τοιοῦτον. κατὰ τὴν δευτέραν οὐ κοινωνοῦμεν τῇ λύσει αὐτοῦ δῆλον ὅτι, μὴ κοινωνοῦντες τοῖς προδήλως λύσασιν αὐτόν. εἰ δὲ ἐκείνοις κοινωνοῦμεν, συγκοινωνοῦμεν τῇ λύσει αὐτοῦ. ἀλλ' ἐπεὶ ἐκείνοις θεοπρεπῶς οὐ συγκοινωνοῦμεν λύσασιν, ἀσφαλῶς ἄρα οὐ συγκοινωνοῦμεν τῇ λύσει αὐτοῦ. κατὰ τὴν τρίτην ἐκ παντὸς ἱερέως ἀδιαβλήτου μεταλαμβάνομεν. διὰ τοῦτο δὲ ἐκ τοῦ Ἰωσὴφ οὐ μεταλαμβάνομεν, ὡς διαβεβλημένου αὐτοῦ δημοσίᾳ· διαβεβλημένοι δ' ἂν εἶεν πάντως / καὶ οἱ τούτῳ συλλειτουργοῦντες καθῃρημένῳ ὄντι. εἰ δὲ ἐκ τῶν τοιούτων μεταλαμβάνομεν ὡς ἐξ ἀδιαβλήτων, ἀδιάβλητος ἂν εἴη καὶ ὁ Ἰωσὴφ συλλειτουργῶν αὐτοῖς. ἐπεὶ δὲ διαβεβλημένος ὡς ἀληθῶς καὶ παρ' αὐτοῦ οὐ μεταλαμβάνομεν, δῆλον ὅτι οὐδὲ ἐκ τῶν συνιερουργούντων αὐτῷ, ὡσαύτως ὄντων διαβεβλημένων.

---

44 ἀκριβείᾳ κανόνων: cf. Dobroklonskij I 360 sq.

44 Bas. ep. 188,1 (PG 32,669 C = II 123,80 Courtonne; cf. III 1188 A Mansi) 59 cf. Paral. 26,21

---

42 ἐκεῖνο om S 46 ἡμᾶς post διωξάντων add S 47 τίμιαι MP[ac]S: τίμιε P[pc] τοῦ: τὸ CS 48 τῆς: τὰς V[pc] Sirm 49 τοῦ ante ἐκ add M 54 δηλονότι VMPS Sirm 55 μοιχοκυρωτῶν Sirm (fort recte) 57 δὴ: δὲ Mi 61 οὐ κοινωνοῦμεν: ἐκοινωνοῦμεν M δηλονότι VMPS Sirm 64 ἄρα C 66 διατοῦτο MPS 67 αὐτοῦ om S 68 καθημένῳ Mi 71 δηλονότι VMPS Sirm 72 ὡς αὔτως C

῎Ερρωται τοίνυν ὁ λόγος τῆς ἁγιωσύνης σου, καὶ οὕτως συμφρονοῦμεν. καὶ ἔστω ἡμῖν τὸ ἀδιάσπαστον διὰ τῆς ἐνταῦθα ἀληθοῦς συμφωνίας ἐν τῷ μέλλοντι αἰῶνι, φίλτατέ μου ἀδελφέ, ὡς ἂν ἀξιωθείημεν καὶ ἡμεῖς οἱ ταπεινοὶ ἀπενέγκασθαί τι ἴχνος κατορθώματος τοῖς πατράσιν ἡμῶν ἀκόλουθον. περὶ δὲ τῆς πόλεώς σου στύλον ἀνῆψας εὐσεβείας, οὐ σβεννύμενον παρὰ ἀνθρώπου ἕως αἰῶνος. καὶ οὐ λυπεῖσθαι χρή, ἀλλὰ μᾶλλον χαίρειν, ὥσπερ κἀγὼ ὁ τάλας ἐν τῇ διαλύσει τοῦ ταπεινοῦ μου μοναστηρίου, ὅτι διὰ Κύριον ἡ διάλυσις. καὶ οὐχ ὅτι τοσοῦτοι ἔστησαν μὴ κατακαμφθέντες μέγα τὸ κλέος, ἀλλ' εἰ καὶ εἷς· κρείσσων γὰρ εἷς ποιῶν τὸ θέλημα Κυρίου ἢ μυρίοι παραβαίνοντες. καὶ οὐκ αἴτιος αὐτὸς τῆς λύσεως αὐτῶν, εἰ καὶ φλυαρῶσί τινες, ἀλλ' ἐγὼ ὁ δύστηνος. εἴη δὲ ἡμῖν κοινωνία, εἴπερ ἀνέχῃ, ἐπ' ἀμφοτέροις. καὶ τοσοῦτον ἕξοις αὐτὸς τὸν μισθὸν ἐν τῇ ἐνθέῳ διαλύσει τῶν ἀδελφῶν, ὅσον ἐγὼ εὕροιμι ἐν τῇ κατὰ νόμον θεοῦ καταλείψει τῆς Θεσσαλονίκης.

Περὶ δὲ τοῦ φυλακίτου μου οὐδεὶς λόγος, τοιούτου αὐτοῦ ἀνθρώπου ὄντος καὶ συμψύχου τοῦ Ἰωσήφ. μὴ διαλείποις ὑπερευχόμενος τῆς ταπεινώσεώς μου κραταιῶς, ἀδελφοπάτορ μου καλὲ καὶ ὁσιώτατε. γίνωσκε ἐνσταθέντα τὸν Θεόσωστον τοῦ μὴ κοινωνῆσαι αὐτὸν ἐκ τοῦ ἀνιέρως ἀνελθόντος εἰς τὸν θρόνον σου, καὶ ἐκδιωχθέντα νεανικῶς ἐκ τοῦ μοναστηρίου αὐτοῦ. οἱ περὶ τὸν Ἀθανάσιον ἀδελφοὶ ἡμῶν ἀκμὴν κρατοῦνται περιωρισμένοι ἐκεῖσε. ὁ φυλακίτης μου ἐξελθὼν ἤγαγέν μοι προσκύνησιν ἐκ τοῦ πατριάρχου, λέγοντος ὅτι ‚ὁ θεὸς συγχωρήσει σοι τοῦ, ⟨ὅτε⟩ εἴχομεν ⟨χρείαν⟩ ἔχειν σε ὧδε εἰς βοήθειαν ἡμῶν, ἐξῆλθες καὶ ἐκάθισας αὐτοῦ' καὶ ὅτι ‚φθονῶ σε'. καὶ ἀκούσας ἐγέλασα· οὐ γὰρ ἦν χρεία τέως ἀποκριθῆναί με ἢ μόνον ὅτι, ἐὰν φθονῇ, ἐξέλθῃ κἀκεῖνος. ἐχαύνωσεν δὲ καὶ τὴν φυλακὴν προτρεπόμενος εἰς ἀνάπαυσιν. ἐξήγαγεν γάρ μοι καὶ ἐκ τοῦ Συμεὼν προσκύνησιν καὶ ὅτι ‚βούλεται λαλῆσαι τῷ βασιλεῖ ὅτι κεκοπίακας ἐν τῇ φυλακῇ'. καὶ ἐκ τοῦ Λεοντίου τεταπεινωμένην προσκύνησιν,

---

92 τοῦ ἀνιέρως ἀνελθόντος: cf. ep. 51,14 sq.

---

82 Sir. 16,3

---

73 συμφωνοῦμεν VM 76 ἴχνος VMP 82 κρεῖσσον CS[ac] μύριοι Mi 84 φλυαροῦσί VMPS Sirm 85 ἐπαμφοτέροις C ἕξεις S 89 διαλίποις VM: διαλίπῃς S 90 μου[1] post ὑπερευχόμενος transp S ἀδελφοπάτωρ CS 94 περιορισμένοι CS 95 ἤγαγε VMPS Sirm 96 ὅτε supplevi εἴχομεν: ηὐχόμεθα Sirm χρείαν supplevi ὧδε om S τοῦ, ὅτε – 97 ἡμῶν om M αὐτοῦ: αὐτόθι P Sirm: αὐ//// M 99 ἐξέλθοι VM ἐχαύνωσε VMPS Sirm 100 ἐξήγαγε VMPS Sirm

λέγοντος ὅτι ‚ἀνάγκην ἔπαθον, καὶ μὴ χωρίσῃ με ὁ θεὸς τοῦ λόγου σου'. καὶ εἶπον ὅτι οὐ χρῄζω ταῦτα ἀπ' αὐτοῦ. ἠνάγκασαν δὲ αὐτὸν ἀπελθεῖν εἴς τε τὸν οἰκονόμον καὶ τὸν Ἀρσένιον καὶ τὸν Ἰωάννην, λέγοντα ὅτι ὁ κῦρις Ταράσιος ἀπέλυσεν αὐτὸν καὶ ὅτι ‚ἄρτι ἀνέβλεψα'. καὶ ἀπερράπισαν αὐτὸν τῷ ὄντι.

Ὁ σὺν ἐμοὶ προσαγορεύει πόθῳ πολλῷ τὸν ποιμένα μου ἐξ ἐμοῦ.

44. Σεργίῳ ὑπάτῳ

Αὐτὸς μέν, ὡς μανθάνω, ἀμείβεις ἀρχὰς ἐξ ἀρχῶν / παρὰ τῷ κάτω Καίσαρι καὶ παρὰ προαίρεσιν, ἠγαπημένε μοι ὁμοῦ καὶ τιμιώτατε, ἐγὼ δὲ ὁ ταπεινὸς οὐ διαλιμπάνω ⟨προσεύχεσθαι⟩ τῷ ἄνω καὶ πάντων βασιλεῖ φίλον οἰκεῖόν σε δι' εὐσεβείας ὑπάρχειν· διότι κρεῖσσον καὶ τὸ πολλοστὸν τετάχθαι κατὰ τὸ ἀκρότατον ἔσχατον τῷ οὐρανίῳ ἢ κατὰ τὸ πρώτιστον τῷ ἐπιγείῳ. πιστεύω δὲ εἰδώς σου τὸ φιλομέριμνον τῆς σωτηρίας μηδὲν παραζημιοῦσθαι εἰς ψυχήν, ἀλλὰ καὶ παρακερδαίνειν ἐκ τοῦ ἀξιώματος, ὄντων τρόπων οὐκ ὀλίγων εἰς λυσιτέλειαν. ἤρκεσε γὰρ τῷ πτωχῷ ὑποτελεῖ οὐ μόνον ἀνοχὴ φόρων, ἀλλὰ καὶ ὄψις εὐμενὴς τοῦ τὰ βασιλικὰ χρήματα αἴροντος καὶ φωνὴ ἠπία καὶ φθόγγος χαιρετιστικός. καὶ οὔπω λέγω λύσιν συνδέσμου ἀδικίας, ἄλλα τε ὅσα ἐπακολουθοῦσιν εὐχερῶς ποιεῖν τῷ ἄρχοντι τῷ ἀρχομένῳ.

Μὴ τοίνυν ἐφ' ὧν δύνῃ εὖ ποιεῖν σαυτὸν διὰ τῆς εἰς ἑτέρους χρηστότητος ἀμελοίης, κύριέ μου, ἀλλ' ὡς συνετὸς καὶ εἰδὼς μικρὸν ὕστερον ἐξελεύσεσθαι ἡμᾶς τοῦδε τοῦ βίου, μηδὲν ἄλλο συναίροντας ἢ τὰς πράξεις, ταύταις καὶ προσκείμεθα, τάσδε καὶ θησαυρίζοιμεν δῆλον ὅτι, τὰς ἐφόδιον ἡμῖν ζωῆς αἰωνίου καὶ ἀπολαύσεως ἀπορρήτων ἀγαθῶν μελλούσας ἔσεσθαι. ναί, παρακαλῶ τὸ ἐμὸν αἷμα,

---

105 Ἰωάννην: abbas monasterii Cathara; cf. epp. 271,3; 272,3   108 ὁ σὺν ἐμοί: Studita Gregorius

103 χωρήσῃ C: συγχωρήσῃ V[ac]MP Sirm   104 χρῄζων Sirm   ἠνάγκασε VM   106 κύρις CS   ταράσσιος C   107 τῳόντι S

44. a. 809 – 811?

5 Eph. 2,19   12 Is. 58,6   17 cf. Theod. Stud. catech. magn. 30 (NPB IX 2,85) μηδὲν ὧν ἐκέκτητο συνάρας ἢ τὰς πράξεις

VM PS

4 προσεύχεσθαι supplevi   12 φθόγγος: φθέγμα M   χαιρετιστικὸν M   15 σεαυτὸν Mi   18 ταύταις: τοιαύταις Mi   τὰς δὲ omnes: correxi

τὸ ἐμὸν πόθημα, τὸ ἀγαθῆς ὄντως ῥίζης βλάστημα, Ἄννης ἐκείνης, τῆς ἐμοὶ μὲν σεβασμίας καὶ ἐρασμιωτάτης ὅτι μάλιστα, πᾶσι δὲ τοῖς γνωρίμοις ἐπαινουμένης διὰ σεμνότητα, τῆς ἐμῆς ὡς ἀληθῶς μακαρίας μητρὸς ἀμφοτέρωθεν.

45. Ναυκρατίῳ τέκνῳ

46. Ἄννῃ ἡγουμένῃ

47. Ναυκρατίῳ τέκνῳ

48. Ἀθανασίῳ τέκνῳ

Ἐνέτυχόν σου τοῖς γράμμασιν, ἀδελφὲ ἠγαπημένε, μακροθύμως, καὶ ἐξέστην ἐπὶ τῇ ἀθρόᾳ σου μεταβολῇ λίαν. ἀφήσω τὸ πρότερον, ὅτι συνοψισθείς μοι ὡμοφώνησας αἵρεσιν εἶναι τὴν μοιχειανικὴν ψευδοδοξίαν, ἄγνοιαν προβαλλόμενος καὶ τὴν ἀπ' ἄλλων συντυχίαν, ἀλλ' ὅτι γε καὶ μετὰ ταῦτα ἀναγνοὺς τὴν Πεντάλογον ἀπέφηνας αὐτὴν πεντάφωτον εἶναι. νῦν δέ, ὡς ἔοικεν, ἀντιθέτως αὐτὴν ὑπολαμβάνεις, ὅλην σου τὴν ὁμιλίαν ὁμοίαν σοι τῆς πρὶν ἀγνοίας, μᾶλλον δὲ καὶ πλέον ἀπεχθανομένην τοῖς ὑπὸ τῆς ταπεινώσεώς μου ῥηθεῖσι πνεύσας. καὶ εἰ μὲν ἐμοῦ λόγια, ἐπειδὴ σκοτεινός, οὐδὲν θαυμαστόν· ἐπειδὴ δὲ διὰ φωνῆς Κυρίου, ἀποστόλων τε καὶ προφητῶν, πρὸς καὶ θεοφόροις πατράσιν ἐναποδέδεικται, ὅτι αἵρεσις

---

21 Ἄννης: Theodori matertera, soror Theoctistae; cf. Theod. Stud. laud. Plat. 3 (805 B); Dobroklonskij I 286 sq.; Speck, Jamben 311 sq.

22 μὲν om Sirm 24 post ἀμφοτέρωθεν spatium septem fere linn cancell S: spatium trium fere linn cancell P epistula in mediis verbis abrumpi videtur; adv ἀμφοτέρωθεν ab antecedentibus interpunctione disiunxerunt VPS

---

45. titulum tantum servavit V in indice (f. 89)

---

46. titulum tantum servavit V in indice (f. 89)

---

47. titulum tantum servavit V in indice (f. 89)

---

48. a. 810 – 811

CA VM (ll. 1 – 285) PS

5 ἀπάλλων C 6 μεταταῦτα SM ἀναγνοὺς om A 7 πεντάφωτον: πεντάφωνον A 8 σου om VM 9 ἀπεχθανόμην VM 12 πρὸς C: πρὸς δὲ SA: om V: cancell M: πρὸς τούτοις δὲ P Sirm

χαλεπωτάτη, βλεπέτω σου ἡ σύνεσις καὶ εἰτινοσοῦν ἄλλου ὁμογνωμονοῦντός σοι ποῦ προσκρούειν μέλλετε. αἱ γὰρ παρ' ὑμῶν προτάσεις περὶ τοῦ μὴ εἶναι αἵρεσιν, σύγγνωτε, οὐκ ἐκ φωνῆς Κυρίου οὐδὲ ἐκ στόματος ἁγίου, προφητικῶς δὲ εἰπεῖν ἐκ γῆς φωνούντων καὶ ἐκ νόμων ἀλλοκότων, πληθύος τε τῆς φόβῳ ἀνθρωπίνῳ πάντα / λέγειν ἐπιτρεπομένης. φαίης γὰρ ὅτι πάντες φίλοι καὶ εὐσεβεῖς, γνωστικοί τε καὶ ἰδιῶται ἐκμαίνονται ἀκούοντες ὅτι αἵρεσις, παράστασιν ταῦτα προβαλλόμενοι, ὅτι ‚μηδενὸς ἀνθισταμένου καὶ διδάσκοντος τοῦ μοιχεύειν καὶ λύειν τοὺς ἀνιέρους, πῶς καλέσομεν αὐτοὺς αἱρετικούς; παραβάτας γὰρ τῶν ἐντολῶν τοῦ Κυρίου καὶ καταπατητὰς τῶν θείων κανόνων καὶ ἀνιέρους δίκαιον'.

Πῶς οὖν οὐκ ἔστιν ἐκπλαγῆναι πρῶτον εἰς τὴν ὑμῶν ἐμμέλειαν, τὰ αὐτὰ πολλάκις δῆθεν ἐκείνων προσάγουσαν καὶ ἀντακούουσαν τἀληθῆ, ἃ καὶ παῖδας πείθειν δύναιτ' ἄν, εἶτα αὖθις τὰ αὐτά, ὥσπερ ἐπιλαθομένην τὰ πρότερον ἀκουσθέντα, ἐπάγουσαν μετὰ σφοδροτέρας τῆς ἀπορίας καὶ καθάψεως ἡμῶν, ὡς ἀλόγως λεγόντων αἵρεσιν; οὕτω μέν μοι τὸ περὶ ὑμᾶς ἐκπληκτικόν. περὶ δὲ τῶν ἐναντίων ἐκεῖνα εἰμὶ λέγων· πῶς, ὃ ἐκήρυξαν συνοδικῶς καὶ ἐβεβαίωσαν ὑπ' ἀναθέματι τῶν ἀντιπιπτόντων τῷ δόγματι, ἤτοι τῇ οἰκονομίᾳ αὐτῶν, καὶ ἔτι καθ' ἑκάστην ἐμπράκτως διδασκόντων, μὴ κηρύσσειν μηδὲ διδάσκειν λέγουσιν; ὑπὲρ τίνος ἐγὼ ὁ ταπεινὸς ἐνταῦθα ἀπόκλειστος; ὑπὲρ τίνος ὁ πατήρ μου ὁ ἐγκλειστὸς τεταλαιπώρηται, μεμονωμένος τὸ πρίν, ἔπειτα παραρρεριμμένος ἐν ᾧ περιώρισται τόπῳ; ὑπὲρ τίνος ὁ ἀρχιεπίσκοπος ὡς κατ' αὐτοὺς καθῃρημένος καὶ ἐν πολλῇ στενοχωρίᾳ παραγγελίᾳ τε καὶ ἀσφαλείᾳ, ὡς καὶ τροφὴν μέτρου λαμβάνειν αὐτὸν παρακελευσθέντων τῶν τροφοδοτῶν, εἶτα ἐν τῷ παλατίῳ μετεγκλεισθείς, ἄρτι τε ἐν ξενίᾳ παραρριφείς; ὑπὲρ τίνος ἡ τιμιότης σου σὺν τοῖς ἀδελφοῖς ἐν Θεσσαλονίκῃ φρουρουμένη, Θεόσωστός τε ὁ ἡγούμενος διωκόμενος σὺν τοῖς φοιτηταῖς ἐκ τῆς αὐτῆς πόλεως, ἕτερός τε ἡγούμενος ἀμέτρως μαστιγωθεὶς τῶν ἐκεῖσε; ὑπὲρ

---

40 Θεόσωστος: ad quem epist. perdita scripta; cf. ep. 51,7 sq.

---

16 Is. 29,4

---

13 εἴ τινος οὖν C: οὑτινοσοῦν S[pc]: εἰτινοσοῦν cett 14 σοι: σου A 19 ἐκμαίνονται: λυμαίνονται A: ἐκμείνονται Sirm 21 καλέσωμεν CS 22 τοῦ om S 24 ἡμῶν Mi 25 ἐκείνων δῆθεν M ἀντ' ἀκούουσαν C 26 τὰ αὐτά post ἐπιλαθομένην transp A 27 ἐπιλαθομένην ὥσπερ A 29 μοι: τοι Mi 30 εἰμὶ: ἡμὶ C 32 καθεκάστην CSPA Sirm 33 ἐνταῦθα ante ἐγὼ transp A 34 ἔγκλειστος VMPSA: ἐγκλειστος Sirm (cf tamen adn ad ep 16,31) 35 τοπρὶν SA παρεριμμένος P: παρερριμμένος VMSA Sirm 36 ὡς om VM 37 μέτρῳ VMS[pc] λαμβάνειν: λαβεῖν A 38 τροφοδοτῶν ex τροδοτῶν corr C

τίνος Ναυκράτιός τε καὶ Ἀρσένιος οἱ ἀδελφοὶ ἕως δεῦρο ἀσφαλῶς καταφρουρούμενοι, Βασίλειός τε καὶ Γρηγόριος ὡσαύτως; ὑπὲρ τίνος Στέφανος ὁ ἐνάρετος ἡγούμενος σὺν πεντήκοντα μαθηταῖς μετανάστης ἐκ τοῦ οἰκείου φροντιστηρίου, σὺν ἑκατόν τε δέκα ἅμα ἐπισκόπῳ, πρότερον ἀναθεματικῶς τὴν μοιχοσύνοδον ὡς τὸ εὐαγγέλιον λύσασαν, καθὰ περιέχει τὸ ἀποσταλὲν παρ' αὐτοῦ γραμματεῖον; ὑπὲρ τίνος Ἀντώνιος ὁ εὐλαβέστατος ἡγούμενος ἐν φρουρᾷ εἰς τὸ Ἀμόριν, ὁμοίως τοῦ προτέρου σὺν τῇ κατ' αὐτὸν ἀδελφότητι ἀναθεματικῶς τὴν μοιχοσύνοδον; ὑπὲρ τίνος οἱ περὶ τὸν ἀδελφὸν Αἰμιλιανὸν ἐν Θυνίᾳ παρὰ τοῦ Νικομηδέως δεθέντες καὶ ἀχθέντες, πεῖράν τε μαστίγων καὶ ἐμπαιγμῶν λαβόντες, καταληϊσαμένων τῶν ἐπιπεσόντων αὐτοῖς τὰ τῆς μονῆς ὡς πολεμικὰ λάφυρα; ὑπὲρ τίνος ἐν Χερσῶνι δεδιωγμένος Λέων ὁ θεοσεβέστατος ἐπίσκοπος τὸ ἐπίκλην Βαλελάδης, Ἀντώνιός τε ὁ τετιμημένος ἡγούμενος σὺν δυσὶν ἄλλοις πεφρουρισμένος; ὑπὲρ τίνος ἐν Λιπάρει τῇ ὑπερέκεινα Σικελίας ἀδελφοὶ ἡμῶν ἐν φυλακῇ τηρούμενοι; ὑπὲρ τίνος οἱ περὶ Λιτόιον ἐν Χερσῶνι παραφυλαχθέντες κἀκεῖθεν ἐν φυλακῇ παραπεμφθέντες πρὸς τὸν βασιλέα, εἶτα φυλακι/σθέντες ἐν τῷ Βυζαντίῳ καὶ συντηρούμενοι ἐν μοναστηρίοις;

Εἴπω πάλιν τὰ εἰς ἡμᾶς τοὺς τρεῖς; ὑπὲρ τίνος εἰς τὰ Ἀγαθοῦ τὰ παρὰ τοῦ βασιλέως διὰ τῶν σπαθαρίων δηλωθέντα ἡμῖν, ὡς ‚ὑμεῖς ἀναθεματισμένοι ἐστὲ καὶ καθῃρημένοι παρὰ τῆς συνόδου'; ὑπὲρ τίνος ἡ εἰς τὸν Ἅγιον Μάμαντα φυλακὴ μεμονωμένων τῶν τριῶν; ὑπὲρ τίνος ἡ ἐκεῖσε παρουσία τῶν αὐτῶν σπαθαρίων σὺν τρισὶ τοῖς παρὰ τοῦ ἀντιδόξου ἐπιφερομένοις ὑπαναγνωστικὸν καθαιρέσεως καὶ ἀναθεματίσεως ἡμῶν πάλιν; καὶ ἐπεὶ περιεφράξαμεν τὰ ὦτα καὶ τοῦ ἀκοῦσαι, ὑπὲρ τίνος ἡμεῖς μὲν ἐξόριστοι ἄλλος ἀλλαχοῦ καὶ ἐναπόκλειστοι, ὅ τε οἰκονόμος καὶ ὁ Ἀρσένιος οἱ ἀδελφοί, διωγμὸς δὲ τῶν ἄλλων ἀπὸ δυοκαίδεκα μιλίων τῆς Κωνσταντινουπόλεως, ὡς τοὺς μὲν ἐν σπηλαίῳ κατακρυβῆναι διὰ τὴν πρὸς ἡμᾶς λανθανόντως

49 Ἀντώνιος: ad quem ep. 56 scripta 52 Νικομηδέως: Theophylacti superior; cf. ep. 175,13 62 τὰ Ἀγαθοῦ: cf. Janin, Églises et monastères 23 65 Ἅγιον Μάμαντα: cf. Janin, Géographie 314 sq.

44 φρουρούμενοι A: καταφρονούμενοι P 45 μεταναστὰς Sirm 46 τε om S 47 ἐπισκόπῳ: ἐπισκόποις A 48 γραμμάτιον VM 50 ἀμῶριν CA: ἀμόριον S[pc]: Ἀμμόριον cett Sirm: correxi 52 αἱμιλιανὸν VMSA θηνίᾳ S 53 ἐμπαιγμῶν καὶ μαστίγων S 54 ἐπιπεσόντων CSA: ἐπεισπεσόντων cett Sirm 57 πεφρουρημένος VMPSA Sirm (sed cf epp 125,10; 177,60) λείπαρι A 59 λιτόϊον CS[ac]A: Λητόϊον cett Sirm 62 τὰ[3] om Sirm 63 τῶν σπαθαρίων: τοῦ σπαθαρίου VM (sed cf infra) 64 ἀνατεθεματισμένοι A παρὰ: ἀπὸ A 66 ἐκεῖσε: ἐκεῖ VM 67 ὑπ' ἀναγνωστικὸν C 68 ἐπεὶ: ἡμεῖς A 70 ὁ om VMSA 71 δύο καὶ δέκα Sirm

διακονίαν, μεταμφιασαμένων ἐσθῆτα λαϊκῶν, τῶν δὲ ὅλην ἡμέραν ὑπὸ πλάκαν ὑποδύντων καί, ἐπειδὴ οὐκ ἦν ἐν ἡμέρᾳ ἐμφανίσαι, νυκτὶ εἰς ἀλλήλους περιτρεχόντων; ὑπὲρ τίνος οἱ εὑρισκόμενοι κρατούμενοι ὑπὸ στρατιωτῶν καὶ ἐν τῷ πραιτωρίῳ φυλακισθέντες, εἶτα ἐξορισθέντες τῆς πόλεως;

Καὶ ἵνα τὰ κατ' ἀρχὰς εἴπω, ὑπὲρ τίνος τὰ Στουδίου ὑπὸ στίφους στρατιωτῶν ἄφνω ἐπελθόντων φρουρούμενα, ὡς μηδὲ ἀναπνεῖν ἡμᾶς, τήν τε ἐκεῖσε ἄφιξιν τοῦ Νικαίας καὶ Χρυσοπόλεως εἰς τὸ δέξασθαι ἡμᾶς τὸν μοιχοζεύκτην, ὡς παρὰ τοῦ προηγησαμένου πατριάρχου ἐπιτραπέντα ποιῆσαι τὴν μοιχοζευξίαν; καὶ ,ἐπεί', φησίν, ,ἅγιος ὁ ἐπιτρέψας ὡς ὁ Χρυσόστομος, ἁγίου ἐστὶν οἰκονομία, καὶ δέξασθε ταύτην'. ὑπὲρ τίνος ἡ ἐν νυκτὶ ἄρσις ἡμῶν τῶν τεσσάρων ἐκ τῶν ἐκεῖσε δι' ἄρχοντος καὶ στρατιωτῶν καὶ ἀπαγωγῆς πρὸς τὸν Συμεών, τὸν οὐκ οἶδ' ὅπως εἴπω, καὶ τὰ δι' αὐτοῦ παρὰ τοῦ βασιλέως δηλωθέντα εἰς τὸ δέξασθαι ἡμᾶς μετανενοηκότας καὶ εἰς ὅπερ ἕως δεῦρο ἐνέστημεν, ὡς οἰκονομίας γεναμένης; ὑπὲρ τίνος πάλιν κατάκλειστοι εἰς τὸν Ἅγιον Σέργιον καὶ πάλιν τοῦ Συμεὼν ἐκεῖσε παρὰ τοῦ βασιλέως ἄφιξις εἰς αὐτὸ τοῦτο; ὑπὲρ τίνος ἡ δι' ἀρχόντων παράστασις ἡμῶν ἐν τῇ πολυανθρώπῳ συνόδῳ, συγκαθεζομένων καὶ τριῶν τῶν μεγίστων ἀξιωμάτων; ὑπὲρ τίνος ἐγὼ ὁ ταπεινὸς ἐκεῖσε ὑβριζόμενος καὶ κυκλόθεν περιστοιχιζόμενος καὶ ἀκούων, ,οὐκ οἶδας τί φλυαρεῖς, τί λαλεῖς'; βοῶντός μου, ,πίπτει ὁ Πρόδρομος, λύεται τὸ εὐαγγέλιον, οὐκ ἔστιν οἰκονομία', κἀκείνων τὸ ἐπιλέγειν πολύ, ὅτι ,οἰκονομία' καὶ ,οὕτως οἱ ἅγιοι ᾠκονόμησαν καὶ ὁ ἐν ἁγίοις προηγησάμενος· ἴδε μάρτυρες, ὅτι ἐπέτρεψεν τὴν μοιχοζευξίαν', κἂν οὐκ ἔλεγον αὐτὴν οὕτως, ἀλλὰ καὶ τὸ εἰπεῖν μοιχοζεύκτην διεπρίοντο τοὺς ὀδόντας τοῦ οἱονεὶ ῥοφῆσαι. ὑπὲρ τίνος τὸ ἀνάθεμα τοῖς μὴ

80 τοῦ Νικαίας: Petrus? cf. J. Pargoire, in: EO 4 (1900 – 1901) 351 89 Ἅγιον Σέργιον: cf. Janin, Géographie 451 sq. Συμεών: ad quem epp. 21 – 23 scriptae 97 προηγησάμενος: Tarasius

98 Act. 7,54

73 μεταμφιασαμένους VMA Sirm 74 πλάκα VMPSA Sirm (sed cf A. N. Jannaris, An Historical Greek Grammar 542) 75 περιτυχόντων A 76 καὶ om A 78 καταρχὰς S 80 τήν: ἡ S ἄφιξις S χρυσουπόλεως VM 81 προηγησαμένου: προειρημένου M 82 ὁ ante ἅγιος add M 83 ἐστὶν om A δέξασθαι CA 84 αὐτήν A 85 ἐκεῖ VM ἀπαγωγή A 86 εἴπω in marg C 87 μετὰ νενοηκότας C καὶ ante δεῦρο transp A 88 γενομένης VMPSA Sirm 89 ἐκεῖ M 90 διαρχόντων C 92 τριῶν τῶν: τῶν τριῶν A ἐγὼ post ταπεινὸς transp A 97 ἐπέτρεψε VMPSA Sirm καν C 98 fort exc post διεπρίοντο voces καὶ ἔβρυχον; cf Act l. l.

δεχομένοις τὰς οἰκονομίας τῶν ἁγίων διαβοήτως ἀνακραχθέν, καὶ ἐγὼ σὺν τῷ πατρί μου καὶ Καλογήρῳ ὑπ᾽ ἀρχοντικῆς χειρὸς ἀφορισθεὶς ἐκ μέσου, ὁ δὲ ἀρχιεπίσκοπος ἐναπολειφθεὶς καί, διότι μόνον ἐλειτούργησεν ὑπ᾽ ἐμοῦ παρακληθεὶς εἰς τὰ Στουδίου, ὡς κοινὸς πρεσβύτερος καθαιρεθεὶς κατ᾽ αὐτούς; τὸν γὰρ ὑπ᾽ αὐτοῦ Χριστοῦ καθαιρεθέντα καὶ τῶν θείων κανόνων μοι/χοζεύκτην ἠθώωσαν, ἀνένοχον ἀποφηνάμενοι κατὰ πάντα καὶ συνιερουργὸν αὐτοῖς ὄντα καὶ πρότερον, τὸν δὲ ἀκαθαίρετον ἐκ κανόνων καθαιρέσει ὑπέβαλον, ἔργῳ τὸν λόγον αὐτῶν βεβαιούμενοι, ὡς ἐξουσίαν ἔχειν τοὺς ἱεράρχας κατὰ τὸ αὐτοῖς δοκοῦν κεχρῆσθαι τοῖς κανόσιν. ὅπερ ἐνεργοῦσιν εἰς τὸ ἀεί, οὐδὲ ἐκεῖνο συνιδεῖν βουλόμενοι, ὅτι, εἰ τοῦτο ἔστιν, ἱεράρχην καθαίροντες, ὑπ᾽ αὐτοῦ οὗ καθαίρουσι δυνατὸν αὐτοὺς ἐκείνους καθαιρεθῆναι, πληρουμένου τοῦ τῶν ἀποστόλων λογίου· ταῦτα καὶ περὶ κανόνων διατετάχθω ὑμῖν παρ᾽ ἡμῶν, ὦ ἐπίσκοποι· ὑμεῖς δὲ ἐμμένοντες αὐτοῖς σωθήσεσθε καὶ εἰρήνην ἕξετε, ἀπειθοῦντες δὲ κολασθήσεσθε καὶ πόλεμον μετ᾽ ἀλλήλων ἀίδιον ἕξετε, δίκην τῆς ἀνηκοΐας τὴν προσήκουσαν τιννύντες. ὑπὲρ τίνος τὰ μετὰ τὴν σύνοδον, ἥ τε πάντων τῶν ἀδελφῶν ἀνάκρισις ὑπὸ τοῦ βασιλέως, λέγοντος ἡμᾶς μὲν καθηρημένους, τὴν δὲ σύνοδον ἁγίαν, ἐπισφραγισθεῖσαν ὑπ᾽ αὐτοῦ ὡς οἰκονομίας οὔσης ἁγίων τῆς μοιχοζευξίας καὶ ἀκαταγνώστου τοῦ ταῦτα τετελεκότος; καί, ἐπειδὴ οὐ προσεδέξαντο, ἡ ἑνὸς ἑκάστου ἢ καὶ ὁμοῦ δύο ἢ τριῶν ἢ καὶ πλειόνων ἔν τε τοῖς μοναστηρίοις καὶ τοῖς κάστροις κατάκλεισις, τινῶν δὲ καὶ μαστιγώσεις καὶ κουσπισμοί, πανταχοῦ γῆς τε καὶ θαλάττης διατεθρυλλημένων τούτων;

Ὑπὲρ τίνος οὖν ταῦτα πάντα, ἵνα συνελὼν εἴπω; οὐχ ὑπὲρ τοῦ μὴ καταδέχεσθαι εἰπεῖν ἢ συγκαταθέσθαι τὴν παράβασιν τοῦ εὐαγγελίου οἰκονομίαν, ἣν ὡς σωτήριον καὶ ἰσάγιον οἱ ἐναντίοι ἐξεβόησαν ἐμπράκτως καὶ τῷ λόγῳ εἰς τὸν κόσμον καὶ εἰσέτι καὶ ἕως ἂν ἐπιμένωσιν οὕτως λέγοντες καὶ πράττοντες διὰ τὸν διωγμόν; πῶς οὖν φασιν ὅτι ‚μηδενὸς ἀνθισταμένου καὶ διδάσκοντος καλέσομεν αὐτοὺς

101 πατρί: Platon 102 ἀρχιεπίσκοπος: Josephus

113 Constit. apost. 8, 48, 1 sq. (p. 592 Funk)

100 διαβοήτως om S 101 ἀφορισθεὶς ἐκ μέσου ante ὑπ᾽ transp A 104 πρέσβυς A 108 αὐτῶν: ἐκ τῶν A 110 εἰστοαεὶ S συνειδεῖν C 111 καθαιροῦντες S^{pc} Mi καθαιροῦσι S^{pc} Mi 113 περὶ: παρὰ M 114 δὲ: μὲν A 116 μετὰ: κατὰ A 117 πάντων post ἀδελφῶν transp M 119 ἁγίων: ἁγίας A 121 ἡ VMP: ἢ cett καὶ ante τριῶν add VM 122 καὶ^2 om MP Sirm 126 ἢ: καὶ Sirm 129 οὕτω A 130 τοῦ μοιχεύειν post διδάσκοντος excidisse susp (coll linn 20 et 141) Kambylis καλέσωμεν CS

αἱρετικούς‘; φαντασία τὰ προλεχθέντα καὶ ὄνειροι ἢ ἀληθῆ; ἐπειδὴ δὲ ἀληθῆ, πῶς οὐχὶ διδάσκουσιν ἑκάστοτε καὶ κηρύττουσιν ἔργῳ καὶ λόγῳ; ἢ πῶς οὐχ ὑμεῖς πειθόμενοι αὐτοῖς μικροῦ δεῖν μετ' αὐτῶν τῶν λεγόντων ἵστασθε (ἀλλὰ καὶ ἐὰν ἡμεῖς σιωπῶμεν, τὰ πέρατα βοᾷ τὴν ἀλήθειαν), τὸ φοβερὸν τῆς σιωπῆς κρίμα ἐφ' ἑαυτοῖς ἐπισπώμενοι; δι' ἣν αἰτίαν ἐγὼ ὁ ταπεινὸς τοῦ μὴ σιγᾶν ἀναγκάζομαι ἐγγράφως τε καὶ ἀγράφως κατὰ τὴν ἐνοῦσάν μοι δύναμιν, μετὰ φόβου καὶ τρόμου, μετὰ παρασκευῆς θανάτου, κἄν τις ὑμῶν ἴσως οὐκ ἀναγκαίως, εἴπω δ' ὅτι καὶ περιττολόγως, οἴεται ταῦτα ἐνεργεῖν με.

᾿Αλλ' ἐπὶ τὸ προκείμενον ὁ λόγος. ἔφης, ‚μηδενὸς ἀνθισταμένου καὶ διδάσκοντος τοῦ μοιχεύειν καὶ λύειν τοὺς ἀνιέρους, πῶς εὐλόγως καλέσομεν αὐτοὺς αἱρετικούς;‘ μοιχεύειν οὖν καὶ λύειν τοὺς ἀνιέρους τῷ λόγῳ, ἀληθές, οὐ διδάσκουσιν, ἐπεὶ μηδὲ τὰ ἔθνη τὰ μὴ νόμον ἔχοντα μοιχεύειν διδάσκει. καὶ οὐδὲ ἡμεῖς γυμνῶς τοῦτο ἐκφωνεῖν αὐτοὺς ἐξεθέμεθα ἢ ὅτι, τὴν μοιχοζευξίαν κυρώσαντες καὶ τὰ σὺν αὐτῇ καὶ δι' αὐτῆς ἑτέρας παραβάσεις τοῦ εὐαγγελίου σὺν ταῖς τῶν θείων κανόνων λύσεσιν οἰκονομίαν εἶναι σωτήριον ὑπ' ἀναθέματι καὶ τοῦτο καθ' ἑκάστην ἐκδικοῦντες διὰ τῶν προλεχθέντων ἐξοριῶν καὶ φυλακῶν, τὸ εὐαγγέλιον λελύκασιν κατὰ τὴν φωνὴν τῶν ἁγίων καὶ δυνάμει ἐπὶ πάσης παραβάσεως οἰκονομίαν γίνεσθαι ὑποτίθενται, τὰς ἀναλ/λοιώτους ἐντολὰς τοῦ θεοῦ ἀλλοιώσαντες καὶ τρεπτὰς ἀποδεικνύοντες. καὶ πῶς δ' ἂν οὐκ εἶεν ἀλλοιωταὶ καὶ τρεπταί, εἴ γε παραβαινόμεναι οἰκονομίαι σωτήριοι ἔργῳ καὶ λόγῳ συνοδικῶς δογματίζονται; μὴ γὰρ εἰς τοσοῦτον ψεῦδος προκόψωσιν, ὥστε μὴ λέγειν αὐτοὺς πεποιηκέναι σύνοδον ἢ μὴ τὴν μοιχοζευξίαν ὀνομάσαι οἰκονομίαν ἰσόρροπον ἁγίων ἢ μὴ ἀναθεματίσαι τοὺς μὴ προσιεμένους αὐτήν. εἰ δὲ λέγουσιν μὴ ἀναθεματίσαι, ὑπὲρ τίνος ἀνεβόησαν ‚τοῖς μὴ δεχομένοις τὰς οἰκονομίας τῶν ἁγίων ἀνάθεμα ἔστω‘; δῆλον γὰρ ὅτι ἐνισταμένων τινῶν μὴ δέχεσθαι ἡ ἐκφώνησις, εἰ μὴ μεθύομεν. περὶ ποίας δὲ ὑποθέσεως ἄλλης ἡ ἔνστασις ἢ τῆς μοιχοζευξίας; οὐκοῦν ἀσφαλῶς αὐτῆς ἕνεκα ὁ ἀναθεματισμὸς ὡς οὔσης κατὰ τὰς τῶν ἁγίων οἰκονομίας. καὶ εἰ μὲν ἐφάμιλλος αὐταῖς, αἱ τῶν ἁγίων

137 2 Cor. 7,15 143 Rom. 2,14 159 Greg. Naz. or. 29,6 (PG 36,81B = p. 188 G.-J.) εἰ μὴ μεθύομεν

133 οἱ post ὑμεῖς add A 135 κρῖμα PA Mi ἑαυτοὺς VMP Sirm 139 οἴηται P με: μόνον V: μὲν M 140 ἀνθισταμένου: ἐνισταμένου Mi (ἐνθισταμένου Sirm) 142 καλέσωμεν CS οὖν: μὲν A 145 τά: τὰς SA 148 καὶ om A καθεκάστην CPSA Sirm 149 λελύκασι VMPSA Sirm 150 γίνεσθαι om A 151 ἐντολὰς post θεοῦ transp A 154 προκόψουσιν A 155 ἢ CSA: εἰ cett Sirm ὀνομάσαι ante τὴν transp A 156 ἢ CSA: εἰ cett Sirm 157 λέγουσι VMPSA Sirm ἐξεβόησαν A 159 ὅτι: ὡς A 161 οὐκ οὖν CV

οἰκονομίαι παράνομοι· εἰ δὲ οἱ ἅγιοι οὐ παράνομοι, ὅπερ ἀληθές, αὐτοὶ ἀνεθεματίσθησαν μὴ προσιέμενοι τὴν μοιχοζευξίαν, κἂν τέχναις σοφίζωνται τὰ ἐναργῆ ἀφανῆ δεικνύειν. ἀλλ' ἀμήχανον κρυβῆναι τὸ γεγονός.

Ὅτι δὲ ἀμετάβλητοι αἱ ἐντολαὶ τοῦ εὐαγγελίου ἄκουε τοῦ Μεγάλου Βασιλείου βοῶντος· τάχα τονῶσαί μου τὴν ψυχὴν καὶ νηπτικωτέραν πρὸς τὸ ἐφεξῆς καταστῆσαι ὁ Κύριος ἠβουλήθη, ὡς μὴ προσέχειν ἀνθρώποις, ἀλλὰ διὰ τῶν εὐαγγελικῶν ἐντολῶν καταρτίζεσθαι· αἳ οὔτε καιροῖς οὔτε περιστάσεσιν ἀνθρωπίνων πραγμάτων συμμεταβάλλονται, ἀλλ' αὐταὶ διαμένουσιν, ὡς προήχθησαν ἀπὸ τοῦ ἀψευδοῦς καὶ μακαρίου στόματος οὕτω διαιωνίζουσαι. οἱ δὲ δι' ἐναντίας κηρύξαντες τὴν μοιχοζευξίαν οἰκονομίαν σωτήριον τί ἄλλο ἢ τρεπτὰς τὰς ἐντολὰς τοῦ θεοῦ ἀπεφήναντο, πῇ μὲν μεταβαλλομένας, πῇ δὲ οὐ μεταβαλλομένας ἀλλ' ἐνεργούσας ἀτρέπτως, καιροῖς δέ τισι καὶ περιστάσεσιν ἀνθρωπίναις, ὥσπερ ἔφασαν αὐτοὶ περὶ τῶν κρατούντων, μεταβαλλομένας καὶ μὴ εἰς ἀνομίαν λογιζομένας, ἀλλὰ γὰρ καὶ τοσοῦτον ἰσχὺν ἐχούσας, ὡς καὶ τοὺς μὴ προσιεμένους αὐτάς, ἤγουν τὰς παραβάσεις τὰς (ὥς φασιν) οἰκονομίας ἁγίων, ἀναθεματισμένους παρὰ τῇ ἐκκλησίᾳ εἶναι;

Συνῆκται οὖν ἐντεῦθεν οὐδὲν ἕτερον ἢ τὸ τὸν θεὸν τρεπτὸν εἶναι καὶ ἀλλοιωτόν, ὁμοιουμένου τοῦ λέγοντος τῷ οἰκείῳ λόγῳ, τό τε εὐαγγέλιον ἀόριστον πρός τε σωτηρίαν καὶ ἀπώλειαν. ἆρα γὰρ ἐπὶ πάντων ἀνθρώπων καὶ ἐπὶ πάσης ἐντολῆς παραβάσεως οἰκονομία ἢ ἔν τισι καί τινι; καὶ τίς ἡ ἀποκλήρωσις τοῦ ἐπί τισι μὲν καί τινι εἶναι, ἐπὶ δέ τισι καί τινι οὐδαμῶς; καὶ πρὸς τίνων ἄρα καὶ παρὰ πόσων τὸ οἰκονομεῖν; παρὰ ἱεραρχῶν μόνων ἢ καὶ ἱερέων; συνοδικῶς ἢ καὶ ἰδικῶς ἕκαστον; καὶ εἰ ἐπὶ τῶν βασιλέων μόνων, ἐπὶ τῆς μοιχείας μόνης ἢ καὶ ἐφ' ἑκάστης παρανομίας; καὶ πῶς ἐπὶ τῶν βασιλέων ὑποχωροῦσιν αἱ τοῦ θεοῦ ἐντολαί; ἢ πάντως ὡς τῆς βασιλείας αὐτοῦ τέλος ἐχούσης, ὅτι μηδὲ βασιλέως ὑποχωρεῖ νόμος, μὴ ἑτέρου βασιλέως αὐτὸν διαδεχομένου; ἀλλὰ γὰρ καὶ τοῦτο ἀπορητέον· ἐπειδή φησιν ὁ θεῖος ἀπόστολος, οἱ ἄνδρες ἀγαπᾶτε τὰς ἑαυτῶν

---

168 Bas. ep. 244,8 (PG 32,921 C sq. = III 82 Courtonne) 191 Luc. 1,33 194 Eph. 5,25 sq.

---

164 μὴ om A καν C 165 σοφίζονται C 167 ἀμετάβλητοι post εὐαγγελίου transp VM 168 μου: με M 172 αἱ ante αὐταὶ inser Mi (cf Bas l. l.) αὐτοὶ P 173 δι' αἰωνίζουσαι C 180 τῶν ante ἁγίων inser Sirm 183 ὡμοιωμένου A 184 ἄρα S 186 μὲν om A 187 ἄρα PSA 188 μόνον CSA 189 μόνον CSA 190 καὶ[1] om A 194 γυναῖκας ἑαυτῶν A

γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς / ἠγάπησεν τὴν ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. πῶς ἆρα νῦν μὲν τὴν μοιχείαν καὶ μοιχοζευξίαν προσηκαμένη, ἐν δὲ τοῖς πέριξ χρόνοις ἑτέρας ἐφαμίλλους, διαμείνοιεν ἂν ἄσπιλός τε καὶ ἀρρύτιδος, ἀλλ' οὐχὶ βεβορβορωμένη (ὃ καὶ φρίττω λέγων), διακρινέτωσαν ἡμῖν οἱ νῦν εὐαγγελισταί· ἑαυτοὺς γὰρ ταύτας προσηκάμενοι ἐκκλησίαν θεοῦ ὀνομάζουσιν, ἀντιθέτους αὐτῇ τοὺς μὴ προσιεμένους αὐτὰς διακρίναντες. ἀλλ' ὄντως κατὰ τὸν προφήτην, ὁ μωρὸς μωρὰ λαλήσει καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει, τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς τὸν θεὸν πλάνησιν.

Χαλεπωτάτη οὖν αἵρεσις αὕτη, καὶ τὸ τοῦ μακαριωτάτου ἀποστόλου ἔστιν ἐνταῦθα λέγειν· θαυμάζω ὅτι οὕτως ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον εὐαγγέλιον· ὃ οὐκ ἔστιν ἄλλο, εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. ἀλλὰ καὶ ἐὰν ἡμεῖς αὐτοὶ ἢ ἄγγελος ἐξ οὐρανοῦ ὑμῖν εὐαγγελίζηται παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. παρ' ὃ δὲ εὐηγγελίσατο οὐχ ὁ ἀπόστολος, ἀλλ' αὐτὸς ὁ Χριστός, εὐηγγελίσατο ἡ μοιχοσύνοδος τὴν μοιχοζευξίαν, ἐξ ἧς ἡ μοιχεία, καὶ τὴν πρὸς τοὺς μοιχωμένους πολυτρόπως ἀπαγωγὴν οἰκονομίαν σωτήριον· καὶ τοῦτό ἐστιν εὐαγγελιζομένη ἑκάστοτε ἔργῳ καὶ λόγῳ, κἂν προσποιῆται δολερῶς ὑπολωφεῖν, ἵνα μετὰ τὴν θήραν τῶν ἀπατηθέντων τὸν ἑαυτῆς κορύβαντα αὖθις ἐπανυψώσῃ. ἧς τὴν πεῖραν φύγοιμι μὲν ἐγὼ ὁ τάλας, φυγεῖν τε εὔχομαι ὑμᾶς ὡς ἁμαρτωλός, κἂν οὐ βούλοισθε προσέχειν μοι.

Ἰδοὺ οὖν ἐγώ, ἀδελφέ, εὐαγγελικῶς τε καὶ ἀποστολικῶς ὁμοῦ τε καὶ πατρικῶς παρέστησά σοι, εἴπερ βούλοιο πείθεσθαι λόγοις ἀληθείας, ὅτι αἵρεσιν ἀναμφιβόλως πεπλήρωκεν ἡ μοιχοσύνοδος, ἀρχθεῖσα ἀπὸ τῆς μοιχείας, εἰ καὶ διὰ μέσου ὑπελώφησεν, ἐκ μόνου τοῦ ὀνομάσαι, μᾶλλον δὲ κηρύξαι τὴν μοιχοζευξίαν οἰκονομίαν ἐν

205 Is. 32,6   208 Gal. 1,6 sq.

195 ἠγάπησε VMPSA Sirm   198 σπῖλον VPA Sirm   ῥυτῖδα A   199 ἄρα PSA Sirm   200 πέριξ: cave corrigas πάρεξ coll Arist Int 16b18 τὸν πέριξ (χρόνον)   διαμείνειεν SA   202 νῦν om A   203 ταύτας: ταῦτα A   204 αὐτὰς: αὐτὰ MA   διακρίνοντες A   207 τὸ om CA   208 οὕτω M   210 ἐθέλοντες VMP Sirm   212 ὑμῖν om S: post εὐαγγελίζηται transp A   215 ἐξῆς C   217 πρὸς ποιῆται C   δολερῶς: ἡ δολερὸς A   ὑπολωφᾶν S   218 ἐπανυψώσει C   220 βούλησθε A   221 ὦ ante ἀδελφέ add A   222 θείοις ante λόγοις add A   223 ἀρθεῖσα A   224 διαμέσου CP

τῇ ἐκκλησίᾳ τοῦ θεοῦ γίνεσθαι. καὶ μὴ θαυμάσῃς, εἰ μία φωνὴ τίκτει αἵρεσιν, ἀκούων τοῦ Κυρίου λέγοντος· ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. μηδὲ δόξῃ σοι λέγειν, ‚τίς χρεία πολυπραγμονεῖν καὶ διὰ μιᾶς λέξεως ἀνασειράζειν τὰς γνωστικὰς θεωρίας καὶ συνάγειν τοῦτο κἀκεῖνο;‘, ἵνα μὴ ἐμπέσῃς εἰς τὴν λεγομένην τῶν γνωσιμάχων αἵρεσιν, περὶ ἧς φησιν ὁ συγγράφων· γνωσιμάχοι οἱ πάσῃ γνώσει τοῦ χριστιανισμοῦ ἀντιπίπτοντες, ἐν τῷ λέγειν αὐτοὺς ὅτι περισσόν τι ποιοῦσιν οἱ γνώσεις τινὰς ἐκζητοῦντες ἐν ταῖς θείαις Γραφαῖς· οὐδὲν γὰρ ἄλλο ζητεῖ ὁ θεὸς παρὰ χριστιανοῦ, εἰ μὴ πράξεις καλάς. ἀγαθὸν οὖν ἐστι μᾶλλον ἁπλουστέρως τινὰ πορεύεσθαι καὶ μηδὲν δόγμα γνωστικῆς πραγματείας πολυπραγμονεῖν.

Οὕτω μὲν οὖν οἱ γνωσιμάχοι. / δὸς αὐτός, εἴπερ ἔχοις, ἐκ θείων φωνῶν ὅτι οὐχ αἵρεσις, καὶ μή μοι πλῆθος ἐποίσῃς μηδὲ τοὺς νυκτερινοὺς θεοσεβεῖς αὔχει, γνωστικούς τε οὓς λέγεις καὶ ἰδιώτας καὶ φίλους. εἰ γὰρ θεοσεβεῖς, ποῦ ἡ παρρησία; καὶ εἰ γνωστικοὶ (καὶ οὐχ ὅτι οὐκ εἰσὶ λέγω· ὁμολογῶ γὰρ πολλοὺς καὶ ὑπὲρ ἐμὲ τὸν ἰδιώτην), ἀλλ’ εἴπερ ἔχουσιν ἀλήθειαν, δείξωσι γνωστικῶς ἐξ αὐτῆς τῆς ἀληθείας, καὶ μὴν καὶ ἐκ παραδειγμάτων, ἐξ ἁρμοζόντων δέ, ἀλλὰ μὴ ἐξ ἀσυμβάτων καὶ ὑπεναντίων τῇ ἀληθείᾳ καὶ τοῖς ἀποστολικοῖς καὶ πατρικοῖς κανόσιν. καὶ εἰ φίλοι κατὰ θεόν, πῶς τῇ κοινωνίᾳ τῶν ἑτεροδόξων κοινωνοῦντες; οὐ γὰρ φίλοι οἱ τοιοῦτοι ἀληθινοὶ καὶ πιστοί.

Πρόσεχε οὖν, ἀδελφέ, τί ὁ θεῖος Βασίλειος λέγει πρὸς τοὺς ἐν πλήθει κρίνοντας τὴν ἀλήθειαν. ὁ μὴ τολμῶν, φησί, δοῦναι λόγον τῆς προκειμένης ζητήσεως μηδὲ εὐπορῶν ἀποδείξεως καὶ διὰ τοῦτο καταφεύγων εἰς πλῆθος ὁμολογεῖ τὴν ἧτταν, ὡς οὐδὲν ἔχων παρρησίας ἐφόδιον. καὶ μεθ’ ἕτερα· δειξάτω μοι κάλλος ἀληθείας κἂν εἷς καὶ σύντομος εὐθὺς ἡ πειθώ· πλῆθος δὲ χωρὶς ἀποδείξεως αὐθεντοῦν φοβῆσαι μὲν ἱκανόν, πεῖσαι δὲ οὐδαμοῦ. ἢ πόσαι μυριάδες πείσουσί με τὴν ἡμέραν νύκτα νομίσαι ἢ τὸ χαλκοῦν νόμισμα χρυσοῦν εἰδέναι,

227 Matth. 5,18 232 Jo. Damasc. haer. 88 (PG 94,757 A = IV 57 Kotter) 250–293 = (Ps.-)Athan. confut. 1 (PG 28,1340 C – 1341 D)

228 δόξει A 233 ὅτι om A 238 οὖν post δὸς add PA Sirm ἔχεις VMSA Sirm 239 ἐποίσῃς VM: ἐπίσης C: ἐποίσεις S^{pc}A μηδὲ: μήτε A 243 ἔχουσιν: ἔθουσιν Sirm 244 ἐξαρμοζόντων C 245 ἐξασυμβάτων C 246 κανόσι VMPSA Sirm 247 καὶ ante ἀληθινοὶ add A 251 διατοῦτο MSA 253 καὶ μεθ’ ἕτερα om A κἀν C 254 ἀθετοῦν C^{ac} 255 οὐδαμῶς A πείσωσι CA 256 νομίζειν S

καὶ οὕτω δέχεσθαι ἢ προσίεσθαι δηλητήριον πρόδηλον ἀντὶ καταλλήλου τροφῆς; εἶτα γηίνων μὲν ἕνεκα πραγμάτων οὐκ αἰδεσθησόμεθα πλῆθος ψευδομένων, οὐρανίων δὲ χάριν δογμάτων νεύμασιν ἀναποδείκτοις ἀκολουθήσω, τῶν πάλαι καὶ πρόπαλαι μετὰ πολλῆς συμφωνίας καὶ τῆς τῶν ἁγίων Γραφῶν μαρτυρίας παραδοθέντων ἀναχωρήσας; οὐκ ἠκούσαμεν τοῦ Κυρίου λέγοντος, πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί; καὶ πάλιν· στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. τίς οὖν τῶν εὖ φρονούντων οὐκ εὔχεται τῶν ὀλίγων εἶναι τῶν διὰ τῆς στενῆς εἰσιόντων εἰς σωτηρίαν ἢ τῶν πολλῶν τῶν διὰ τῆς πλατείας εἰς ἀπώλειαν ὠθουμένων; τίς δ' οὐκ ἂν ἐπεθύμησεν, εἰ κατὰ τὸν καιρὸν ἔτυχεν τῆς ἀθλήσεως τοῦ μακαρίου Στεφάνου, τῆς ἐκείνου μερίδος γενέσθαι, τοῦ μόνου τοῦ λίθοις βαλλομένου, τοῦ πᾶσιν εἰς γέλωτα προκειμένου, ἢ τῶν πολλῶν τῶν οἰομένων τὸ ἀξιόπιστον ἔχειν ἐκ τῆς κακῆς αὐθεντίας; εἷς εὐδοκιμῶν εἰς τὸ θεῖον προτιμότερος ὑπὲρ μυριάδας αὐθαδείᾳ σεμνυνομένας, ὡς καὶ ἐπὶ τῆς παλαιᾶς διαθήκης εὑρίσκομεν, ἐν ᾗ χιλιάδες ἔπιπτον τοῦ λαοῦ θεηλάτῳ πληγῇ, μόνος δὲ Φινεὲς ἔστη καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. εἰ δὲ εἶπεν ἐκεῖνος, ‚πῶς τολμήσω πρὸς τὰ συμφώνως ὑπὸ τοσούτων γινόμενα; πῶς ἐναντίως ὑπόθωμαι ψῆφον τῶν οὕτως κρινάντων ζῆν;', οὔτ' ἂν αὐτὸς ἠρίστευσεν οὔτ' ἂν τὸ κακὸν ἔστησεν οὔτ' ἂν οἱ λοιποὶ διεσώθησαν οὔτ' ἂν θεὸς τὴν εὐμένειαν ἐχαρίσατο. καλὸν οὖν, καλόν, καὶ τὸ ἕνα καὶ δικαίως παρρησιάζεσθαι, καὶ τὴν τῶν πολλῶν συμ/φωνίαν ἄδικον λύεσθαι.

Ἀλλὰ σὺ μὲν προτίμησον, εἰ δοκεῖ, τοῦ σῳζομένου Νῶε τὸ ὑποβρύχιον πλῆθος, ἐμοὶ δὲ συγχώρησον τοῖς ὀλίγοις τῇ κιβωτῷ προσδραμεῖν· καὶ πάλιν, εἰ βούλει, τάξον σαυτὸν μετὰ τῶν πολλῶν ἐν Σοδόμοις, ἐγὼ δὲ συνοδεύσω τῷ Λώτ, κἂν μόνος τῶν ὄχλων συμφερόντως χωρίζεται. πλὴν ἐμοὶ καὶ πλῆθος αἰδέσιμον, οὐ τὸ φεῦγον

262 Matth. 22,14 263 Matth. 7,14 266 Matth. 7,13 268 Act. 7,58 sq. 274 Ps. 105,30 281 Gen. 6,14 sq. 284 cf. Gen. 19,22 sq.

259 δογμάτων: πραγμάτων A 266 voces εἰς ἀπώλειαν ante διὰ transp A 268 ἂν post ἔτυχεν add V Sirm 269 τοῦ[2]: τοῖς P Sirm 270 προκειμένουν P 273 ἔπιπτον τοῦ: ἐπίπτοντο VM (an ἐτύπτοντο scribendum?) 276 ἀπόθομαι C: ἀπώθομαι A οὕτω A 279 σημείωσαι· ἔνθα ἡ τῶν πλειόνων ψῆφος ἀνίσχυρος in marg C καὶ[2] om VMPA Sirm 282 τῆς κιβωτοῦ M 284 καν C τῶν ὄχλων ὄχλων C 285 χωρίζηται VMPA Sirm φεῦγον: hic desin epist in M

ἐξέτασιν, ἀλλὰ τὸ παρέχον ἀπόδειξιν, οὐ τὸ πικρῶς ἀμυνόμενον, ἀλλὰ τὸ πατρικῶς διορθούμενον, οὐ τὸ χαῖρον καινοτομίᾳ, ἀλλὰ τὸ φυλάσσον πατρῴαν κληρονομίαν. ποῖον δέ μοι καὶ πλῆθος λέγεις; τὸ μιστωθὲν κολακείᾳ καὶ δώροις; τὸ κλαπὲν ἀμαθίᾳ τε καὶ ἀγνοίᾳ; τὸ πεπτωκὸς δειλίᾳ καὶ φόβῳ; τὸ προτιμῆσαν πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν τῆς αἰωνίου ζωῆς; ἃ πολλοὶ φανερῶς ὡμολόγησαν; πλήθει τὸ ψεῦδος κρατύνεις, ἔδειξας τοῦ δεινοῦ τὴν ἐπίτασιν· ὅσῳ γὰρ πλείους ἐν τῷ κακῷ, τοσούτῳ μείζων ἡ συμφορά.

Οὕτω μὲν δὴ ταῦτα. ἰέναι δὲ ἐπὶ τὰς ἑτέρας σου προτάσεις παρέλκον ἂν εἴη, ἀγαπητέ, διὰ τὸ ἐκβαίνειν τοῦ μέτρου τῆς ἐπιστολῆς, καὶ ἄλλως ὅτι τοῖς εὐαισθήτως δεχομένοις τοὺς λόγους εὐαπάντητα εἶεν τὰ λεγόμενα.

49. Ναυκρατίῳ τέκνῳ

Φθέγγῃ καὶ διήγησαί μοι ἑκάστοτε, τέκνον μου περιπόθητον, οὐδέν τι περιττὸν καὶ εἰκαιομυθές, ἀλλ' εὔκαιρον καὶ πρεπῶδες καὶ φέρον εἰς ὄνησιν ψυχῆς, ὥσπερ καὶ τανῦν. ἐγὼ δέ σου τὸ εὔτονον ἐπαινῶν ἀποδέχομαι καὶ τὴν προκόπτουσαν διάλεξιν, ἣν ὅτι μάλιστα καλλυνεῖς, ἐὰν τῆς γραμματικῆς σχόλια δυνηθῇς ἐπιέναι· δεῖ γὰρ καὶ τῆς ἐν λόγῳ δυνάμεως καὶ πείρας μετέχειν τὸν ὀρθοδοξίας ἀντεχόμενον καὶ ἀντιφέρεσθαι τοῖς κακοδόξοις βουλόμενον. ἐπειδὴ γὰρ ἐκεῖνοι τῇ ἐντεῦθεν εἰδήσει δοκοῦντές τι μέγα ἔχειν κατακομπάζουσι, τοὺς κνηθομένους τὰς ἀκοὰς γαργαλίζοντες, κάλλιστον τοῖς ὀρθόφροσι μηδὲ τῇ τοῦ λόγου ἰσχύι ἐλλιπῶς ἔχειν καὶ καταβάλλειν αὐτῶν τὰς εὐθυβόλους ἑλεπόλεις. οὕτω μοι φίλον δυναμοῦσθαί σε,

---

290 Hebr. 11,25

288 καὶ om A 289 μισθωθὲν VPS Sirm κολακίᾳ A 293 τοσοῦτο C μεῖζον CS 296 ἂν post εἶεν add A

---

49. a. 810 – 811

10 2 Tim. 4,3

VM (ll. 22 – 89 et 122 – 149) T (ll. 57 – 149) PS

2 διηγῇ V 3 εἰκαιόμυθες V 4 φέρων S τὰ νῦν P Sirm 6 καλυνεῖς Mi τὰ post ἐὰν add V σημείωσαι in marg P

τέκνον. οὐ πάντως δὲ ὃ ἐπὶ σοὶ βούλομαι καὶ ἐπὶ παντὸς διὰ τὸ ἄλλον ἄλλως ἔχειν κατὰ ἕξιν καὶ συμφέρειν.

Κεκοίμηται δέ, ἔφης, ὁ ἀδελφὸς Φίλιππος καὶ Φίλων. καὶ εὖγε, εὖγε, ὅτι ἀμφότεροι τέλει ἀγαθῷ, οὐχ ὅτι τὰ προτέλεια ψεκτὰ (πῶς γὰρ οἱ ἀπειπάμενοι κόσμῳ σάρκα καὶ αἷμα καὶ εὐαφῆ τὴν τῆς ὑποταγῆς ζεύγλην ἑαυτοῖς ὑποθέμενοι;), ἀλλ' ὅτι τοῦ ἀκροτάτου μακαρισμοῦ τετυχήκασι, διὰ Κύριον δεδιωγμένοι, θλιβόμενοι καὶ στενοχωρούμενοι. καὶ πρὸς ταῦτα οὐδεὶς ὁ ἀντιλέγων ἢ οἱ τὸ εὐαγγέλιον ἠθετηκότες δυσώνυμοι μοιχειανοί. καὶ τῷ μὲν Φίλωνι φίλον μέχρι τοῦδε στῆσαι τὸν ἔπαινον, τὰ δὲ τοῦ καλοῦ Φιλίππου πολλὰ κατορθώματα, ἃ αὐτὸς προκατέλεξας. ἐγὼ δὲ πρὸς τοῖς εἰρημένοις καὶ τὸ ἄπλαστον αὐτοῦ καὶ ἀκέραιον θαυμάζω, τό τε ἀόργητον καὶ ἀμνησίκακον, φιλοσυμπαθές τε καὶ φιλάδελφον, εὐήκοόν τε καὶ ἀνολίγωρον καί, συντόμως εἰπεῖν, ἀπαθές, ἐξ οὗ καὶ τὸ εὐκατάνυκτον, / μισόκοσμόν τε καὶ φιλόθεον καὶ ἀπαρρησίαστον. λέγε σύ, ὡς καὶ προύφηνας, τὸ πολύδακρυ τοῦ ἀνδρός, τὸ φιλοπάτριον καὶ φιλακόλουθον, κἀν τοῖς κινδύνοις τὸ ἀγωνιστικὸν καὶ σπουδαῖον καὶ ἀγόγγυστον καθόλου, καὶ τὸ οἱονεὶ ἀειθαλὲς τῆς πολυανθοῦς αὐτοῦ ψυχῆς τῶν ἀρετῶν.

Καλῶς ἔχει καὶ τὰ τοῦ στερροῦ Γαϊανοῦ, διελθόντος ἐν παντὶ τόπῳ σχεδόν, ἔνθα ἡ διασπορὰ τῶν ἀδελφῶν. καὶ ὅτι ὑγιαίνουσι, χάρις τῷ δεσπότῃ θεῷ· ὅτι οὐ καταπίπτουσιν ἐν ταῖς θλίψεσιν, ἀλλὰ μᾶλλον ἀνδρειοῦνται, δόξα τῷ ἐνδυναμοῦντι αὐτοὺς Χριστῷ· ὅτι ἀπελαύνονται μηδὲ σκέπης ἀξιούμενοι παρά τινων μοναστῶν, μάλιστα πανδημινῶν συμπεφωνηκότων ὁμοῦ ἐν τούτῳ, μὴ θαυμάσῃς. γέγραπται· καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ αὐτοῦ. μὴ γὰρ τὸν ταῦτα φήσαντα Χριστὸν τὸν θεὸν ἡμῶν οὐκ ἀπώσαντο οἱ τάλανες; καὶ γοῦν φησὶν ὁ τῆς βροντῆς υἱός· εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.

Τί οὖν ἐστι τὸ διάφορον, εἰ οἱ μὲν Χριστὸν οὐχ ὑπεδέξαντο, τὸν λυτρωτὴν τοῦ κόσμου, οἱ δὲ τοὺς ἕνεκεν ἐκείνου καὶ τοῦ αὐτοῦ

28 φιλακόλουθον: ad vocem cf. M. Landfester, Das griechische Nomen „Philos“ und seine Ableitungen. Hildesheim 1966, 168 sq.

19 2 Cor. 4,8 28 Aristoph. ran. 414 φιλακόλουθός εἰμι 35 1 Tim. 1,12 38 Matth. 10,36 40 Joh. 1,11

17 κόσμον coni Sirm 22 τὰ δὲ: hic inc epist in M 25 φιλοσύμπαθές Sirm 29 κἀν VP: κἂν MS: καὶ Sirm 34 δεσπότῃ om VM 36 πανδημίων Sirm (an πανδημὶ νῦν scribendum?)

εὐαγγελίου διωγμοὺς καὶ φυλακὰς ὑπομείναντας; οὐδὲν ἢ τὸ σταυρῶσαι καὶ θανατῶσαι. μὴ αὐτοῖς λογισθῇ ὁ σύνδεσμος τῆς ἀνομίας, ἀλλ', ὡς εἴρηκας, μὴ φέροντες τὰς τῶν ὑποτασσομένων αὐτοῖς προσκρούσεις καὶ ὡς ἂν μὴ ἀνάψῃ αὐτοῖς φῶς ἀληθείας, ἀλλ' ἐν σκότει ἀγνοίας διαπορεύωνται, ἀποπέμπονται τοὺς ἀδελφοὺς ἡμῶν, μή πως λόγος ὅσιος ἀληθείας καὶ δικαιοσύνης ἀκουστὸς αὐτοῖς, ἤγουν ὑπομνηστικός, γένηται. οὐκ ἔσται, οὐδὲ μὴ μείνῃ ἡ βουλὴ αὐτῶν αὕτη, ἀλλ' ὁ λόγος τοῦ θεοῦ, ὃν πεπατήκασι, λαληθήσεται καὶ στερεωθήσεται εἰς αἰῶνα. ὁ οὐρανὸς γάρ, φησί, καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. καὶ πρὸς ταῦτα τίς ἱκανὸς ἀντιφέρεσθαι, εἰ μὴ ὁ τύραννος σατανᾶς καὶ οἱ τούτου ὑποφῆται, τὴν μοιχείαν οἰκονομίαν σωτήριον τῇ ἐκκλησίᾳ Χριστοῦ κεκυρωκότες, οἱ ματαιόφρονες ὄντως καὶ ἐχθίστατοι;

Ἐπὶ τὰς ἐρωτήσεις σου τρεπτέον τὸν λόγον. ἔφης ἀνθ' ὅτου ὁ θεῖος Κύριλλος ᾠκονόμει μὴ ἀποσχίζεσθαι τῶν τῆς ἑῴας ἐν διπτύχοις ἀναφερόντων τὸν Θεόδωρον τὸν Μοψουεστίας, αἱρετικὸν ὄντα, ἐπὰν ὀρθότατα καὶ καιριώτατα τὰ τῆς εὐσεβείας δόγματα παρ' αὐτοῖς ἐσέσωστο· οὕτω γὰρ γέγραπται καὶ ὁ ὑπομνηματίζων ταῦτα, ὁ ἐν ἁγίοις Εὐλόγιος ἀρχιεπίσκοπος Ἀλεξανδρείας, ἐν τῷ Περὶ οἰκονομίας αὐτοῦ λόγῳ, οὗ καὶ χρῆσιν ἐνεθέμεθα ἐν τῇ ὑφ' ἡμῶν πονηθείσῃ ἰδίως Περὶ τῆς καθόλου οἰκονομίας πραγματείᾳ. τὴν λύσιν οὖν αὐτὸς δέδωκεν ὁ καὶ ἱστορήσας (οὐ γάρ πω ἀλλαχόσε λέλεκται, καὶ ἱκανὸν μὴ ἐπιζητεῖν ἄλλο, σαφηνείας δὲ ἕνεκεν ἔστω τὰ παρ' ἡμῶν ἐχόμενα τῆς αὐτῆς ἐννοίας) ὅτι τῶν οἰκονομιῶν αἱ μὲν πρὸς καιρὸν γεγόνασι παρὰ τῶν πατέρων, αἱ δὲ τὸ διηνεκὲς ἔχουσιν. οἷον διηνεκὲς μέν, ὡς ἀντὶ τῶν ὑποστάσεων παραχωρεῖσθαι τὰ πρόσωπα πρὸς τοῦ Ἁγίου Ἀθανασίου τοῖς Ἰταλοῖς· πρὸς καιρὸν δέ, οἷον τοῦ ἀποστόλου ἐπὶ τῆς περιτομῆς, / τοῦ Μεγάλου Βασιλείου ἐπὶ τοῦ Ἁγίου Πνεύματος, οἷον καὶ τὸ νῦν τοῦ θείου Κυρίλλου· ἃ μέχρι τινὸς καιροῦ γινόμενα, οὐδὲν ἔχει τὸ μεμπτὸν οὐδὲ τὸ κατά τι ἀπηχὲς καὶ ἔκνομον, ὑφειμένον

---

52 Matth. 24,35   58 cf. Cyr. ep. 72 (PG 77,344 C sq.)   62 Περὶ οἰκονομίας: opus perditum ut videtur   70 cf. Act. 16,3   71 cf. Bas. ep. 236,6 (PG 32,884 B = III 53 sq. Courtonne)

---

48 διαπορεύονται S   52 αἰῶνας V   57 ἐπὶ: hic inc epist in T titulo τοῦ αὐτοῦ ἐκ τῆς μ̄θ̄ ἐπιστολῆς πρὸς ναυκράτιον τέκνον praecedente   ἀνθότου PS   59 τὸν[1] om T (fort recte)   60 ἐπὰν VMP: ἐπ' ἂν Sirm   61 ἐπέσωστο VM: ἐπεσέσωστο T   ἐν ἁγίοις: ἅγιος T   62 σημείωσαι τί φησιν ὁ ἅγιος περὶ οἰκονομιῶν, ὅτι αἱ μὲν πρὸς καιρὸν παρὰ τῶν ἁγίων πατέρων γεγόνασιν, αἱ δὲ τὸ διηνεκὲς ἔχουσιν in marg P   63 ἀνεθέμεθα VMT   64 καθ' ὅλου T   65 πω: που T   68 παρὰ: διὰ T   69 ὡς post πρόσωπα add T   70 προσκαιρὸν S   72 οἷος Sirm

δ' οὖν ὅμως καὶ οὐκ ἄγαν ἀκριβές· τοῦτο γὰρ ἡ οἰκονομία ἡ πρὸς καιρόν. μηδὲ γὰρ δυνατὸν ἰατρὸν τὸν ἠρρωστηκότα θᾶττον ἀπαλλάξαι τῆς νόσου μήτ' αὖ ἵππον ἀκρατῆ ἢ ξηρὸν πτόρθον τὸν μὲν εὐχάλινον, τὸ δὲ εὐθύτομον ἐξαυτῆς καταστήσασθαι, εἰ μὴ τοῖς κατὰ μικρὸν ποππυσμοῖς τε καὶ κολακεύμασι, μαλαγαῖς τε καὶ ἐπικλήσεσι χρώμενον τὸν τῶν τοιούτων ἐμπειρότατον. οὕτω κἀν τοῖς ἁγίοις ἐν ταῖς οἰκονομίαις, ὡς καὶ Κυρίλλῳ τῷ μεγάλῳ ἐν τῷδε· μικρὸν γὰρ πάντως ἀνέμενε τῶν ἀνατολικῶν τὸ βραδύνουν ἢ προσπαθὲς πρὸς τὸ αἱρετικὸν μὴ ὑπολαμβάνειν τὸν ὄντως αἱρετικόν. τί γὰρ ἦν ἄλλο τὸ μεσολαβοῦν, ἐπὰν ὀρθοδόξως ἐκήρυττον τὴν πίστιν κἂν τούτῳ αὐτὸν τὸν μνημονευόμενον αὐτοῖς ἀναθεματίζοντες; ἐπειδὴ πᾶς ὀρθοδοξῶν κατὰ πάντα πάντα αἱρετικὸν δυνάμει, κἂν οὐ ῥήματι, ἀναθεματίζει. ἔπειτα, ὅτε αὐτοῖς ἀνῆψεν ὁ τέλειος νοῦς, τότε αὐτοῖς συναφθέντος κατὰ πάντα τοῦ ἁγίου ἴσως. ἢ οὐχὶ καὶ ἡμεῖς τὸ αὐτὸ ποιοῦντες φαινόμεθα; ἔσθ' ὅτε τινῶν ὁμογνωμόνων ἡμῖν κατά τι διαφερομένων, ἔνθα οὐ πολὺ τὸ λυποῦν ἢ ἐξιστῶν τῆς ἀκριβείας, καὶ ὅμως καταδεχόμεθα τὴν πρὸς αὐτοὺς κοινωνίαν, ἵνα μὴ διὰ μικρόν τι, μικρὸν ὕστερον δυνάμενον κατορθωθῆναι, ἀπολέσωμεν τὸ πᾶν· τοῦτο δὲ ἀτέχνων καὶ οὐ μυστηρίων θεοῦ οἰκονόμων.

Τοιοῦτον μὲν τὸ πρὸς καιρὸν οἰκονομεῖν τοὺς λόγους καὶ τοὺς τρόπους ἐν κρίσει καὶ ἀληθείᾳ καὶ νόμῳ, ἀλλ' οὐκ ἐν παρανομίᾳ καὶ ψεύδει τὸ καθόλου. μὴ προβαλλέσθωσαν τὰς γλώσσας οἱ μοιχειανοὶ ἐνταῦθα, μηδὲ τὸν χειραγωγὸν κρημνιστὴν οἰέσθωσαν, μηδὲ τὸν κυβερνήτην καταποντιστήν, μηδ' αὖ τὸν ἰατρὸν νοσοποιόν· ᾧπερ αὐτοὶ ὡμοιώθησαν, τῷ μοιχῷ συμμοιχεύσαντες, τῷ μοιχοζεύκτῃ συζεύξαντες, τῷ θεοκατηγόρῳ συνθεοκατηγορήσαντες, τῷ εὐαγγελιολύτῃ συνευαγγελιολυττήσαντες κυνικῶς· οὕτω γὰρ φράσαι οἰκειότερον. Διόσκορον δὲ ποῦ ἢ πῶς, τὸν Ἀλεξανδρείας αἱρετικόν, Κύριλλος ὁ θεῖος ἐδέξατο, ὥς φασιν οἱ μοιχειανοί, οἱ περὶ τὸ φῶς σκοτεινοί, οἱ κατήγοροι τῶν ἁγίων; οὔτε ἠκούσθη οὔτε φύσιν ἔχει

---

98 συμμοιχεύσαντες etc.: cf. E. v. Dobschütz, in: RPTK 19 (1907) 606 sq.

---

74 προσκαιρὸν S 77 εὐχάλινον: ἀχάλινον M τὸ PS: τὸν cett Sirm ἐξ αὐτῆς codd: corr Sirm τοῖς: τῆς T 78 μαλακαῖς Mi 79 κἂν M Sirm 82 ἄλλο: ἄλλῳ T 83 ἐπὰν VMP: ἐπ' ἂν Sirm κἂν MS 85 κἂν P 88 ὅτε: ὅτι M 89 λυποῦν: hic desin epist in M 92 οὐ V[sscr] 93 προσκαιρὸν S 96 οἰέσθωσαν – 97 καταποντιστήν om T αὖ: ἂν Mi 98 συζεύξαντες: an συσυζεύξαντες scribendum? 100 συνευαγγελιολυτήσαντες Sirm, Lampe s. v. (cf tamen κυνικῶς)

τὸ ψεῦδος αὐτῶν· διότι μεταγενέστερός ἐστι τοῦ θείου Κυρίλλου. πῶς οὖν τὸν μετὰ κοίμησιν τοῦ ἁγίου γνωρισθέντα αἱρετικὸν ἐν καιρῷ τῆς ληστρικῆς συνόδου ἐν Ἐφέσῳ μετὰ τὴν τρίτην καὶ ἁγίαν αὐτὸς ὁ ἅγιος ἐδέξατο, τὰ ὑπερκόσμια λαχών; οὕτω ψευδοεποῦσι μυθαρευόμενοι, ὅπως θηρεύσωσι ψυχὰς ἀφελότητι πορευομένας.

Διὰ τοῦτο τεχνοῦσθε καὶ γνωσίζεσθε κατὰ πάντα, ἵνα τὸν ὄφιν καὶ τοὺς ὀφιοφώνους φεύγοιτε, ἐφ' οἷς ὠλέκοντο ὅτι μάλιστα πλεῖστοι ἀπὸ γενεῶν εἰς γενεάς. περὶ δὲ τῶν ἄλλων πεύσεων (εἰ ὁ ἐπίσκοπος οὐχ εὕρηται εἰς τὴν μοιχοσύνοδον, καλοίη δὲ αὐτὴν / ψευδοσύλλογον, μνημονεύοι δὲ τὸν ἐν αὐτῇ εὑρεθέντα μητροπολίτην αὐτοῦ ἐκ τοῦ πρεσβυτέρου τοῦ ἐπισκόπου ὀρθοδοξοῦντος, εἰ χρὴ κοινωνεῖν) ἀπεκρίθην καὶ δι' ἑτέρων, τῶν πρὸς Εὐόδιον γραμμάτων, ὅτι ναί, οἰκονομίας χάριν, μόνον μὴ συλλειτουργοῦντος αὐτοῦ αἱρετικοῖς. εἰς οὐδὲν γάρ ἐστι, μνημονευομένου τοῦ ἐπισκόπου ὀρθοδόξου ὄντος, κἂν ἐκείνου φόβῳ αἱρετικὸν ἀναφέροντος τὸν οἰκεῖον μητροπολίτην. τοῦ τοιούτου πρεσβυτέρου καὶ εἰς παννυχίδα προσκαλουμένου, ἰτέον, καὶ ἐκκλησίαν παρ' αὐτοῦ δεδομένην ληπτέον καὶ εἰς αὐτὴν ἐρχομένου αὐτοῦ λειτουργῆσαι παραχωρητέον ἢ καὶ μνημονεῦσαι νεκρόν, ὀρθόδοξον μέντοι, συγχωρητέον καὶ ἐν αὐτῇ λειτουργεῖν τὸν λαβόντα οὐδὲν κωλυτέον. εἰ δὲ αἱρετικὸν ἀναφέρει ὄντα ἐπίσκοπον, κἂν μακαρίζῃ, κἂν ὀρθοδοξῇ, τῆς μὲν θείας κοινωνίας ἀφεκτέον, τῆς δὲ κοινῆς τραπέζης, ἐπὰν ἐκεῖ δέει μνημονεύοι, ὧδε δεκτέον τάχα καὶ εὐλογοῦντα αὐτὸν καὶ συμψάλλοντα, ἐάνπερ μήτε αἱρετικῷ ἢ τῷ οἰκείῳ ἐπισκόπῳ εἴτε τινὶ ἄλλῳ συνιερουργῇ ἢ ἐν γνώσει μεταδίδοι. εἰ ἐσθίει τις μετὰ τοῦ μοιχοζεύκτου ἢ μεθ' ἑτέρου αἱρετικοῦ ἀδιαφόρως, φυλακτέον μὴ συνεστιᾶσθαι τοῖς τοιούτοις, κἂν ὑποκρίνωνται ὀρθοδοξεῖν· οὐ γὰρ φυλάσσουσι τὸ πρόσταγμα

---

105 κοίμησιν: a. 444 106 ἐν Ἐφέσῳ: synodus a. 449 convocata τρίτην καὶ ἁγίαν: synodus a. 431 convocata 115 γραμμάτων: epistula perdita ut videtur

---

105 τὴν ante κοίμησιν add T 106 σύνοδον post ἁγίαν add T 109 γνωσίζεσθε: γνωρίζεσθε T Sirm 113 καὶ ante τὸν add VT αὐτοῦ V 115 τῶν: τὸν T εὐώδιον T 117 ἔστιν T 118 τὸν post φόβῳ add T 122 (συγχω)|ρητέον: hic inc denuo epist in M 123 τὸν post ὄντα add VT 125 ἐπὰν VMP: ἐπ' ἂν Sirm δέει S: δέοι cett Sirm μνημονεύοι P[pc]S: μνημονεύειν cett Sirm 127 συνιερουργεῖ T 130 κἀν P ὑποκρίνονται T

τοῦ ἀποστόλου, τοῖς τοιούτοις, λέγοντος, μηδὲ συνεσθίειν. πλέον οὐκ ἐξερευνητέον, εἰ μετὰ τοῦ συνεστιαθέντος τῷ αἱρετικῷ ὅσδε συνεστιάθη, ζητεῖν, καὶ μετὰ τοῦδε ἕτερος, κἀντεῦθεν ἀνασειράζειν τὸν λόγον καὶ ἀφίστασθαι πάντων. ἐθελόγνωμον τὸ χρῆμα καὶ οὐ τῶν ἁγίων· μέχρι γὰρ τούτου, φησί, στῆθι καὶ οὐχ ὑπερβήσῃ. μὴ γὰρ οὐκ ᾔδεισαν ταῦτα ἐξερευνᾶν καὶ διαγγέλλεσθαι ἡμῖν; ἀλλ' οὐδαμῶς. διὸ οὐκ ἐσθλὸν μεταβαίνειν ὅρια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν. μεθ' οὗ δὲ οὐκ ἐσθίομεν, οὐδὲ δῶρον τούτου δεκτέον, εἴπερ διδαχθεὶς ἅπαξ καὶ δὶς ἀδιαφοροίη καὶ οὐ πείθεται ἡμῖν. οὐκ οἶδα, εἰ μὴ παρὰ τῶν φυλάκων τὰς οὐχ ὡς εὐλογίας, ἀλλ' ὡς χρείας λαμβάνειν ἢ οἰκονομίας ἕνεκεν· καὶ τὰ παρὰ τῶν ἄλλων, φευγόντων μέντοι τὸ συνεστιᾶσθαι αἱρετικοῖς ἀδιαφόρως, οὐκ οἶδα, εἰ μὴ τύχῃ κατὰ περίστασιν καὶ δέξασθαι καὶ συνεστιαθῆναι καὶ τοῖσδε. δοῦναι δὲ τοῖς τοιούτοις καὶ τοῖς φύλαξι βρῶμα καὶ πόμα οὐ διακριτέον, ὅτι καὶ παντὶ ἀνθρώπῳ μεταδοτέον. εἰς δὲ τὴν ἐκκλησίαν τοῦ κυρίου Γρηγορᾶ, τοῦ τέκνου ἡμῶν, οὐ τολμῶ εἰπεῖν λειτουργῆσαι πρεσβύτερον ἡμῶν διὰ τὸ μετὰ τὴν μοιχοσύνοδον ἐνθρονιασθῆναι καὶ ὑπὸ τοῦ συλλειτουργοῦντος καὶ συλλειτουργήσαντος τῷ μοιχοζεύκτῃ διὰ τοῦ πρωτομοιχειανοῦ καθιερωθῆναι.

---

146 Γρηγορᾶ: cf. p. 220* adn. 260

131 1 Cor. 5,11 135 Jb 38,11 137 Prov. 22,28

132 συνεσθιαθέντος T ὃς δὲ V[ac]M 133 μετὰ τοῦδε: μετ' αὐτοῦ δὲ T (fort recte) ἕτερον M 134 τουτέστιν ἀνατρέπειν ἢ ἀνακόπτειν post λόγον add T 135 φησί ante τούτου transp T 142 συνεστιαθῆναι T τύχοι S: om T 143 καὶ[3] om T 145 κυρίου: κυροῦ T 149 καθιερωθῆναι: καθαιρεθῆναι M

50. Ναυκρατίῳ τέκνῳ

Θερμὸς εἶ, τέκνον ἠγαπημένον, περὶ τοῦ ἐρωτᾶν καὶ μανθάνειν τὰ χρήσιμα. καὶ τὸ μὲν χρῆμα ἐπαινετόν, οὐχ ἱκανὸς δὲ ἐγὼ λύειν τὰς ἀπορίας σου· / ὅμως διὰ τὸ κοινῇ συμφέρον εἰσενεκτέον καὶ νῦν τὰ κατὰ δύναμιν.

Ἡ ἐρώτησίς σου περὶ τῶν διγάμων· ὅτι ἀμφισβητούμενόν ἐστι περὶ τῆς συναφείας αὐτῶν, ἆρα στεφανοῦσθαι αὐτοὺς ὡς ἐπὶ τῶν μονογάμων ἢ μή; καὶ πῶς, ἐὰν τοῦτο γενήσεται, εἴη συνάφεια, μὴ ὑπὸ τοῦ ἱερέως ζευγνυμένων αὐτῶν; ὅτι φέρεται λόγος ἀπὸ τῶν ἡμερῶν τοῦ ἀσεβοῦς Κωνσταντίνου κρατῆσαι τὴν συνήθειαν τοῦ διγαμικοῦ στεφανώματος ἐκ τοῦ κατ' αὐτὸν τριγαμήματος· ἐπεὶ μὴ εἶναι ἐν τοῖς πρὸ αὐτοῦ χρόνοις. ἐγὼ δὲ ἔχειν μὲν τὸν λόγον τὸ πιστὸν ἐντεῦθεν οὐκ ἀποδοκιμάζω· δεῖ δὲ ὅμως τοῖς ἀληθείας ἐρασταῖς μὴ ἐκ φορᾶς, ὡς ἔτυχεν, λόγου ἢ συνηθείας ἀνθρωπίνης

---

50. a. 809 – 811 10 Κωνσταντίνου: Constantinus V

C VM PS YBEeWKIam (ll. 1 – 50)

1 ναυκρατίῳ τέκνῳ C: τῷ αὐτῷ περὶ τῶν διγάμων V: τῷ αὐτῷ ναυκρατίῳ περὶ τῶν διγάμων M, ubi ναυκρατίῳ[sscr]: τῷ αὐτῷ P: τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν θεοδώρου καὶ ἡγουμένου τῶν στουδίου καὶ ὁμολογητοῦ πρὸς ναυκράτιον περὶ διγάμων B: θεοδώρου ἀδελφοῦ ἡγουμένου τῶν στουδίου καὶ ὁμολογητοῦ πρὸς ναυκράτιον πρεσβύτερον περὶ διγάμων E: ἐπιστολὴ τοῦ ὁσίου πατρὸς ἡμῶν θεοδώρου τοῦ ἡγουμένου ὁμολογητοῦ τῶν στουδίων πρὸς ναυκράτιον μοναχόν W: τοῦ μακαρίου πατρὸς ἡμῶν θεοδώρου πρεσβυτέρου καὶ ἡγουμένου τοῦ στουδίου καὶ ὁμολογητοῦ ἀντίγραφον ἐπιστολῆς πρὸς ναυκράτιον τὸν μαθητὴν αὐτοῦ, ἐρωτηθέντος παρ' αὐτοῦ περὶ τοῦ εἰ δεῖ στεφανοῦσθαι τοὺς διγάμους, ἀπολογία ἐκ τῶν θείων κανόνων καὶ τῆς γραφῆς e: ἐπιστολὴ τοῦ ὁσίου πατρὸς ἡμῶν θεοδώρου τοῦ ὁμολογητοῦ ἡγουμένου τῶν στουδίων (στουδίου Y) πρὸς ναυκράτιον ἀδελφόν (μοναχόν Im) YKIm: τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν νικηφόρου (sic!) πατριάχου κωνσταντινουπόλεως πρὸς ναυκράτιον περὶ τῶν διγαμούντων a: τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ ὁμολογητοῦ καὶ ἡγουμένου τῶν Στουδίων ἐπιστολὴ πρὸς Ναυκράτιον μοναχόν b περὶ τῶν διγάμων in marg CP: περὶ διγάμων in marg K: περὶ διγάμου m 2 τέκνον ἠγαπημένον: τέκνον S: ἠγαπημένον μοι τέκνον E: ἠγαπημένον τέκνον Be τοῦ: τὸ BE 3 τὸ μὲν χρῆμα: τοῦτο e καὶ – ἐπαινετόν om BE 4 κοινῇ: κοινὸν K εἰς ἐνεκτέον C τὰ: τὸ e 6 ἦν post διγάμων add E 7 τῆς om B ἄρα PBE ἆρα στεφανοῦσθαι: ἀναστεφανοῦσθαι e χρὴ post ἆρα add E ὡς om e τῶν μονογάμων: τὸν γάμον B 8 γενήσεται: προγενήσεται I: μὴ γένηται a μὴ post τοῦτο add K in marg ἢ ante συνάφεια add Be μὴ: καὶ a 9 ζευγνυμένου B: ζευγνύμενον W αὐτῶν: αὐτὸν W ὅτι: καὶ γὰρ E ὅτι post λόγος add BYKWIem 10 ἀσεβοῦς: εὐσεβοῦς W: εὐσεβεστάτου I 11 διγαμικοῦ: διγαμῆσαι I σημείωσαι in marg P μὴ ante κατ' add B τριγαμήσαντος B: τριγαμήτου Wl 12 δὲ: γὰρ I τῶν λόγων m τὸ om a: τὸν e 13 τοῖς: τῆς Y_m^{ac} τῆς post τοῖς add Be 14 φορᾶς: φθορᾶς Ba ἔτυχε VMPSEKY Sirm

πιστοῦσθαι τὰ πράγματα, ἀλλ' ἐξ αὐτῆς τῆς θεοπνεύστου Γραφῆς καὶ τῆς πατρικῆς καὶ κανονικῆς ἐκδόσεως.

Ἡ μὲν οὖν διγαμία παρακεχώρηται δῆλον ὅτι ὑπὸ τοῦ ἱεροῦ ἀποστόλου καὶ δι' αὐτοῦ παρὰ Χριστοῦ, οὐ μὴν νόμος, ὥσπερ ὁ Θεολόγος Γρηγόριος, ἀλλὰ συγχώρησις· συγχώρησις δὲ οὐκ ἐπὶ ἀμέμπτου καὶ ἀπταίστου γένοιτ' ἂν (πῶς γὰρ καὶ διατί;), ἀλλ' ἐπὶ ἥττης τινὸς καὶ ἁλωσίμου δράματος. αὐτὸ γὰρ τοῦτο ὁ θεῖος ἀπόστολος ᾐνίξατο εἰπών, εἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν. ἡ δὲ ἀκρασία, τὸ κράτος τῆς ἀνδρείας ἀπολέσασα, ἥττης ἐστὶν καὶ ἀποπτώσεως ἔκγονον. ἐντεῦθεν ὁρμηθέντες οἱ θεῖοι πατέρες ἐπιτιμίῳ ὑπέβαλον τοὺς διγάμους, οἱ μὲν τῆς ἐν Λαοδικείᾳ συνόδου ἀορίστως διὰ τοῦ εἰπεῖν, ὀλίγου χρόνου παρελθόντος καὶ σχολάσαντας ταῖς προσευχαῖς καὶ νηστείαις κατὰ συγγνώμην ἀποδίδοσθαι αὐτοῖς τὴν κοινωνίαν ὡρίσαμεν, ὁ δὲ Μέγας Βασίλειος ὡρισμένως· φησὶ γάρ, περὶ τριγάμων καὶ πολυγάμων τὸν αὐτὸν ὥρισαν κανόνα, οἱ πατέρες δῆλον ὅτι, ὃν καὶ ἐπὶ τῶν διγάμων ἀναλόγως· ἐνιαυτὸν μὲν γὰρ ἐπὶ τῶν διγάμων, ἄλλοι δὲ δύο ἔτη.

Δέδεικται τοίνυν ἐκ τῶν ῥηθέντων ὡς ὑπὸ τὸ πταιστὸν γεγονυῖα ἡ διγαμία εἰλήφει τὸ ἐπιτίμιον. διὰ τοῦτο γὰρ καὶ οἱ τῆς ἐν Νεοκαι-

---

15 2 Tim. 3,16 17 1 Cor. 7,39 18 Greg. Naz. or. 37,8 (PG 36,292 B = p. 286 M.-G.) 22 1 Cor. 7,9 26 Conc. Laod. can. 1 (II 563 A Mansi) 29 Bas. ep. 188,4 (PG 32,673 A = II 125 Courtonne; cf. III 1189 A Mansi)

---

15 πιστοῦσθαι: πιστευθῆναι BE αὐτῆς: αὐτῶν BEe θεοπνεύστων BEe γραφῶν BEe 16 κανονικῆς: πνευματικῆς b 17 ἡ: εἰ E παρακεχώρηται: πᾶσι (πᾶσα B) συγκεχώρηται BE δῆλον ὅτι C: om a: δηλονότι cett Sirm ὑπὸ: ἀπὸ E 18 τοῦ post παρὰ add BEe οὐ μὴν: οὐκ ἔστι E νόμος: νόμιμος K ὥσπερ: ὥς φησιν K 19 οὐκ ἐπὶ: οὐκέτι BEe 20 ἀμέμπτῳ W ἀπταίστῳ W ἐπεὶ Ym 21 δράγματος m: πράγματος BEe αὐτὸ: αὐτὸς YKWIm 22 γαμησάτωσαν: γαμείτωσαν SBEe 23 ἥττης: ἥτις I ἐστὶ VMSEK: ἐστι P τῆς ἀνδρείας – 24 ἐντεῦθεν om Y ἀπὸ πτώσεως BW: οὐκ ἀποπτώσεως e ἔγγονον Ye voces οἱ θεῖοι πατέρες iterum scripsit E 25 ὑπέβαλον: καθυπέβαλον a ἐν Λαοδικείᾳ: λαοδικείας B σύνοδον Mi 26 post διὰ τοῦ easdem voculas iteratas cancell K τοῦ: τὸ WI σχολάσαντος Ma: σχολάσασι E ἐν ante ταῖς inser Sirm 27 προσευχαῖς: πρὸς εὐχαῖς B ταῖς προσευχαῖς: προσευχῇ I ταῖς post καὶ add BEe κατασυγγνώμην Ce γνώμην m ἀποδιδόσθαι YKW 28 voces διετίαν λέγει post ὡρισμένως add E φησὶ: φασὶ WI 29 τῶν ante τριγάμων add B καὶ πολυγάμων om a κανόνα om K 30 δῆλον ὅτι C: om BE: δηλονότι cett Sirm ἀναλόγως – 31 διγάμων om BE ἀναλόγως: εὐλόγως e ἀναλόγως – ἐπὶ: καὶ πολυ m μὲν om e ἔτη om BEe 32 τὸ om K: τῶν e 33 εἴληφε BEe τὸ om K διατοῦτο VMSEYWIam

σαρείᾳ συνόδου ἅγιοι πατέρες ἀπεῖρξαν καὶ τοῦ ἑστιαθῆναι πρεσβύτερον εἰς διγαμοῦντος γάμον, λέγοντες· ἐπεὶ μετάνοιαν αἰτοῦντος τοῦ διγαμοῦντος, τίς ἔσται ὁ πρεσβύτερος ὁ διὰ τῆς ἑστιάσεως συγκατατιθέμενος τοῖς γάμοις; τί οὖν τὸ συμπεραινόμενον ἐξ ἀναγκαίου; ὅτι ὁ μὲν πρῶτος γάμος ὡς κυρίως ὢν νόμος εἰκότως ἐστεφάνωται ὑπὸ τῆς ἱερωσύνης ὡς ἀνέπαφος, ὡς ἄρρυπος, ὡς ἀνάλωτος πορνικῷ πάθει καὶ διὰ τοῦτο ὡς νικητὴς τῆς ἁμαρτίας κατεστεμμένος. ἐφ' ᾧ ἕπεται καὶ ἡ τῶν ἁγιασμάτων μετάληψις, καὶ ἡ τοῦ στεφανώσαντος καὶ παντὸς ἄλλου ἱερατικοῦ ἐν τῷ τοιούτῳ γάμῳ ἑστίασις. καθὰ καὶ ὁ Κύριος καὶ θεὸς ἡμῶν ἐν Κανᾷ τῆς Γαλιλαίας ἠξίωσεν ἀριστῆσαι, διὰ τῆς ἐκεῖσε ἑστιάσεως πάντα γαμικὸν ἄριστον κατευλογήσας. ἀλλὰ καὶ τῆς στεφανικῆς ἁρμογῆς αὐτὸς προλαβὼν τὴν εὐλογίαν ἔθετο ἐπὶ τοῦ ἀρχιπάτορος ἡμῶν Ἀδάμ· πῶς; καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. καὶ εὐλόγησεν αὐτοὺς ὁ θεός, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πλη/ρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτήν.

Αὕτη οὖν ἡ εὐλογία τῆς γαμικῆς συναφείας, ἀφ' ἧς πᾶσα εὐλογιστία μονογαμικῆς συζεύξεως· ἐπεὶ καὶ μονόγαμος Ἀδάμ. ἐπιτηρητέον δὲ ὅτι καὶ ἡ στεφανικὴ ἐπίκλησις ἐκεῖθεν ὥρμηται, τὴν τοῦ πρώτου ἀνθρώπου διάπλασιν καὶ πρὸς τὴν ἐκ πλευρᾶς αὐτοῦ γυναῖκα σύζευξιν ὑπομνηματίζουσα. ὁ δὲ δεύτερος γάμος, εἰ καὶ συγκεχώρηται, ἀλλ' ἐπιτετίμηται. πῶς γὰρ ἂν καὶ εἴη στεφανώσεως ἄξιος, ἡττηθεὶς ἀλλ' οὐ νικήσας; τίς δὲ καὶ ὁ στεφανώσων τοῦτον πρε-

---

35 Conc. Neoc. Can. 7 (II 542 B Mansi) 43 cf. Joh. 2,1 sq. 46 Gen. 1,27 sq.

34 κανὼν ζ' in marg a ἀπεῖξεν m καὶ om YKWIm τοῦ: τὸ E: τούτου B: τοῦτο e ἐσθιαθῆναι m: συνεστιαθῆναι VMBE 35 γάμον: γάμου B λέγοντες om E 36 ἔσται: ἐστὶν B 37 συγκατατιθέμενος: συγκαταθέμενος BI γάμοις: διγάμοις B 38 ὅτι om Y νόμος: γάμος a στεφανοῦται BEe 40 πορνικῷ πάθει: σαρκικῶν παθῶν BE διατοῦτο VMSEYWIa 41 καὶ ante ἕπεται add BE καὶ[1] om VMPB Sirm 42 τοιούτῳ om BEe 43 ὁ ante θεὸς add W τῆς Γαλιλαίας – 44 τῆς om a κατ' ευλογήσας C 45 αὐτὸς om E 46 ἔθετο: ἔσται, τὸ E: ἴθετο B ἡμῶν K[sscr] καὶ om K 48 ηὐλόγησεν I καὶ εὐλόγησεν αὐτοὺς om Y 50 αὐτήν: hic desin epist in m αὐτῆς VMPS[pc]BEeWKIam Sirm 51 ἀφ' ἧς: ἀφῆς C εὐλογιστία: εὐλογία VMBEae συναφείας: συζεύξεως W συναφείας – 52 μονογαμικῆς om YK: in marg I ἐπεὶ — Ἀδάμ om W ὁ ante Ἀδάμ add Ea ἐπεὶ – 55 σύζευξιν om B 53 ὅτι: ὅτε I ἡ om E τὴν K[sscr] 54 πρὸς om W 55 σύζευξιν: διάζευξιν Y ὑπομνηματίζουσαν CYI δὲ K[sscr]: om Y: ante γάμος transp W συγχώρηται YK 56 οὖν post ἀλλ' add E ἂν καὶ om W καὶ om YKI εἴη om VM Sirm: ἢ e 57 οὐχὶ BE νικήσας: νικήσων Y τίς: τί K καὶ om E στεφανώσων: στεφανώσας Y

σβύτερος, ὃς καὶ τὸ ἁπλῶς ἑστιαθῆναι ἐν τῷ κατ' αὐτὸν ἀρίστῳ πατρικῶς κεκώλυται; πῶς δὲ καὶ μεθέξει τῆς θείας κοινωνίας ὁ δι' αὐτὸ τοῦτο εἰργόμενος χρόνῳ ἑνὶ καὶ δυσὶ τῶν ἁγιασμάτων; τίνος δὲ ἢ οἵας τῆς εὐλογητικῆς προσευχῆς γινομένης ἐπὶ τῆς συναφείας αὐτοῦ, μὴ οὔσης ἄλλης παρὰ τὴν μίαν τῆς μονογαμικῆς καὶ πρώτης;

Συνῆκται οὖν ἐκ πάντων γραφικῶς τε καὶ πατρικῶς ἀμέτοχον εἶναι στεφανώματος τὴν δευτερογαμίαν, διὰ τοῦτο οὐδὲ ὑπὸ τοῦ ἱερέως ζευγνυμένην, ἀλλὰ μὴν οὐδὲ παραδεδομένην, τότε δὲ προσδεδεγμένην, ὁπηνίκα εἴη πλήρωσις τοῦ ὁπωσοῦν κατὰ ἱερατικὴν δοκιμασίαν δοθέντος ἐπιτιμίου· μεθ' ἣν ἕξει καὶ τῶν θείων δώρων τὴν μετάληψιν, ἐντεῦθεν εὐλογουμένους αὐτοὺς οἱονεὶ ὡς ἐπὶ στεφανώματος, κατὰ δεύτερον λόγον μετὰ συγχώρησιν. εὐλογία γὰρ τὸ δῶρον τηνικαῦτα καὶ συναφείας παρὰ τοῦ ἱερέως δεῖγμα, ἔκτοτε μὴ κεκωλυμένου αὐτῷ συνεστιαθῆναι τοῖς διγαμήσασιν ὡς ἐπὶ τῶν μονογάμων. καὶ οὕτω νόμῳ ὁρμᾶται συγχωρητικῷ ἡ διγαμία κατὰ τὸν ἀπόστολον, γινώσκουσα τὰ δευτερεῖα ἔχειν τῆς μονογαμίας καὶ μὴ ἀλόγως τῆς πρώτης ἐπιζητοῦσα τὰ δικαιώματα, ἅπερ προαπήλαυκεν.

Φαίης δ' ἄν· καὶ πῶς ἔλθωσιν ἐπὶ τὴν συνάφειαν; τοῖς ἀνθρωπίνοις καθήκουσιν, ὥσπερ καὶ οἱ τρίγαμοι καὶ πολύγαμοι (οὕτω γὰρ κέκληται ἡ μετὰ τὴν τρίτην πρὸς τῶν πατέρων), ἢ στεφανούσθωσαν κά-

72 1 Cor. 7,8 sq.

58 τὸ: τοῦ EBP^{pc}: om K αὐτὸν: αὐτῷ K 59 πατρικῶς post κεκώλυται transp B μεθέξει: μετάσχῃ E τῆς om S θείας om BE 60 voces τῆς κοινωνίας ante εἰργόμενος add B: ante χρόνῳ add e εἰργομένος CE: εἰργμένος P Sirm δυσὶ: δυὶ I 61 εὐλογητικῆς SEa: εὐλογιτικῆς CB: εὐλογίας WI: εὐλογιστικῆς cett Sirm προσευχῆς om YKWI 62 τῆς om K 63 οὖν om E γαμικῶς ante γραφικῶς add I γραφικῶς: γαμικῶς, γραμικῶς W 64 διατοῦτο VMPSEYWIa ὑπὸ: ἀπὸ K: παρὰ W τοῦ om E 65 ἀλλὰ μὴν: ψαλμὴν K προσδεδεγμένην CSEK: προσδεχομένην cett Sirm 66 εἴη: ἡ E: καὶ ἡ B: ᾖ e τοῦ: τὸ B ὅπως οὖν C τὴν post κατὰ add VMP Sirm: S^{sscr} ἱερατικὴν: ἐρατικὴν Sirm 67 ἣν: ὧν KI δώρων: δωρεῶν BEe 68 ἐντεῦθεν – αὐτοὺς om B εὐλογουμένων αὐτῶν E ὡς om KWI ἐπὶ: ἐπεὶ Sirm ὡς ἐπὶ στεφανώματος om B στεφανώματι E 69 εὐλογία: εὐλογίας BEe 71 συνεστιαθῆναι C: συνεστιᾶσθαι cett Sirm διγαμήσασιν: γαμήσασιν E: διγάμοις K 72 οὕτως Ee ὁρμάτω E συγχωρητικῶν Y: συγχωρητικῶς BE: συγχωρεῖται W voces ἡ διγαμία ante συγχωρητικῷ transp VMBE 73 δευτέρια C: δεύτερα K μονογαμίας: διγαμίας W 74 ἀλόγως: ἀναλόγως V^{ac}M: εὐλόγως Wa voces τῆς πρώτης post ἐπιζητοῦσα transp YKWI προαπήλαυκεν C: προαπέλαβε E: πρὸς ἀπήλαυκεν B: προαπήλαυκε cett Sirm 75 φαίης δ': φαίη δὲ B καὶ om a τὴν post συνάφειαν add E ἀνθρωπίνοις: ἀνθρωπίνης W 76 καθήκουσιν: καθήκουσαν E: καθίκουσιν K κέκληται ἡ om BE 77 τρίτην: τριετίαν E πρὸς – ἢ om E πρὸς – πατέρων om B ἢ: εἰ K

κεῖνοι. ἀλλ' ὄντως ἡ ἄγαν διάλυσις τῶν κανόνων, μᾶλλον δὲ τοῦ εὐαγγελίου, οὐ διγάμους νῦν καὶ τριγάμους, ἀλλὰ καὶ μοιχοὺς στεφανοῦσθαι ὑπὸ τῶν ἱερέων πεποίηκεν, ὡς καὶ τοὺς τῇ ἀντοχῇ τοῦ θείου νόμου μὴ ἐν τούτῳ συναιρουμένους διώκουσα καὶ ἀναθεματίζουσα ὡς ἀλλοτρίους Χριστοῦ, τοὺς ὑπὲρ ἐντολῆς καὶ ἀληθείας αὐτοῦ ἐνισταμένους. ἔκστηθι, οὐρανέ, ἐπὶ τούτῳ· τὰ ἄνω κάτω, ἡ δικαιοσύνη ἀνομία, τὸ φῶς σκότος, ἐξ ὧν οἱ μοιχειανοὶ λέγουσιν καὶ πράττουσιν, δείκνυνται, τοῦτο τοῖς τυφλοῖς καὶ κωφοῖς κατὰ ψυχήν, καὶ ἐντεῦθεν τοῦ Ἀντιχρίστου τὰ πρόλαβα φέρουσιν.

Τάχα δ' ἂν κἀκεῖνο εἴποις· εἰ τὸ ἓν μέρος εἴη παρθένον, πῶς λέγουσί τινες ὡς τὸ μὲν στεφανοῦται ἐν τῇ κεφαλῇ, τὸ δὲ ἀπὸ γάμου ἐν τῷ ὤμῳ γενομένης τῆς στεφανικῆς εὐχῆς; καί μοι πρὸς τῇ ἀτοπίᾳ ἔτι καὶ γελοῖον φαίνεται. δεδόσθω γὰρ τριγαμεῖν· καὶ ποῦ τεθείη ὁ στέφανος, ἐν τῇ χειρὶ ἢ εἰς τὸ γόνυ; εἴ γε καὶ ἡ γημωμένη εἶεν ἀπὸ χηρείας, ἐν τῷ ὤμῳ τὸν στέφανον δέξεται; ἄτοπα ταῦτα. / τίς δὲ ὁ στεφανῶν καὶ πῶς ἡ ἀμέριστος εὐχὴ μερισθήσεται; θάτερον τῶν μερῶν, ὡς ἀκηλίδωτον καὶ νικῆσαν, εὐλογούμενον, θάτερον δὲ μή; τῶν γελοίων καὶ ἀμηχάνων. πῶς τὸ μὲν ἓν μεθέξει τῆς κοινωνίας, τὸ δὲ ἕτερον οὔ; ἐπείπερ ἐν ἐπιτιμίοις; εἴ γε καὶ εἴη τοῦτο ὁ ἀνήρ, ἀνὴρ κεφαλὴ γυναικὸς καὶ εἰς ἓν σῶμα ἄμφω τὰ συνελθόντα· μεταλήψεται τὸ λοιπὸν σῶμα, ἡ κεφαλὴ δὲ οὔ; τμηθήσεται τὸ ζευχθὲν εὐθὺς ὑπ' αὐτοῦ τοῦ συνάπτοντος ἱερέως, τοῦτό γε κατὰ συγχώρησιν δοθέντος

---

83 Jer. 2,12 96 1 Cor. 11,3

78 ὄντως: οὕτως B μᾶλλον – 80 ἱερέων om K 79 νῦν om W 80 ὡς – 83 ἐνισταμένους om BEe 80 τοὺς om WK ἀντοχῇ: ἐντολῇ a 81 συναιρουμένους: συναιρομένους SWIa 83 οὖν post ἔκστηθι add WI καὶ ante ἐπὶ add K τὰ ante κάτω add K καὶ ante ἡ add BE 84 ἡ ante ἀνομία add K ἡ – σκότος om a τὸ ante σκότος add K voces γέγονεν ἐκ τῆς τῶν πραττομένων (πραγμάτων B) καταφρονήσεως post σκότος add BEe ἐξ ὧν – 86 φέρουσιν om BEe λέγουσιν C: ἄγουσί a: λέγουσι cett Sirm 85 πράττουσιν C: πράττουσι cett Sirm πράττουσι καὶ λέγουσι S 86 τοῦ om K φέρουσιν C: φέρουσι cett Sirm 87 κἀκεῖνο: ἐκεῖνο K εἴποις: εἴπῃς W^{pc} τὸ: γὰρ V εἴη: ἦν Be: om E 89 γινομένης Ea τῆς om YKWI 90 γέλοιον CBY δεδόσθω CSEK: δεδόσθαι W: διδόσθω cett Sirm τεθῇ BEK: τεθεῖ YWI 91 γε: δὲ E γημωμένη CS^{ac}YKIe: γαμωμένη VM: γημαμένη cett Sirm εἶεν: εἴη BE: εἰ a 92 δέξεται: ἐπιδέξηται YWI γὰρ post ἄτοπα add Y 93 μερισθήσεται: ὡρισθήσεται a 94 νικῆσαν: νικήσαντα E εὐλογουμένους E θάτερον: θατέρου E 95 μὲν om K ἓν: ἐν a τῆς om I 96 καὶ post ἐπείπερ add B γε: δὲ E εἴη om Ba: ᾖ e ἀνὴρ[2] om SK 97 γὰρ ante κεφαλὴ add Eae εἰς om a καὶ ante ἄμφω add B 98 τοίνυν post τμηθήσεται add E 99 γε om BEe

τυχὸν ποιεῖν αὐτὸν (κεφάλαιον γὰρ καὶ τέλος τῆς ζεύξεως τὸ ἅγιον καὶ ἑνιαῖον σῶμα καὶ αἷμα Χριστοῦ), ἢ ἀμφοῖν μεταδοίη;

Καί γε ἀπηλλάγμεθα ἀδολεσχίας. ἔσται γὰρ ἀριδήλως ὁ τοιοῦτος οὐχ ἱερεύς, ἀλλὰ παραβάτης τῶν θείων διατάξεων καὶ διὰ τοῦτο καὶ τῆς ἱερωσύνης ἔκπτωτος, ὁπότε οὐδὲ ἑστιαθῆναι τῷ τοιούτῳ γάμῳ παρακεχώρηται, οὐχ ὅτι τοσοῦτον ἀνομῆσαι. τί οὖν, φαίης, ἀπόλλυσι τὸ παρθενικὸν μέρος τὸν νικητικὸν στέφανον σὺν τῇ εὐλογίᾳ καὶ οὐκ ἐκνικᾷ τὸ μὴ ἡττηθὲν μᾶλλον συνευλογῆσαι καὶ συστεφανῶσαι καὶ συμμεθέξαι τῆς κοινωνίας ἑαυτῷ τὸ ἡττημένον διὰ τῆς διγαμίας μέρος; εἰ ἦν τοῦτο, ἐτυπώθη ἂν παρὰ τῶν πατρικῶν κανόνων· ἀλλ' οὐκ ἐγεγόνει τις διαφορά. ὃ δὲ ὑπὸ πατρικῆς μαρτυρίας μὴ ᾖ διευκριθὲν καὶ ὑποτυπωθέν, κενεμβατεῖν ἐστι καὶ ἐννοεῖν καὶ λέγειν καὶ πράττειν. ἐγὼ δὲ ἐκεῖνό φημι, ὅτι εἰκότως ἂν τὸ παρθενικὸν μέρος ἀποτυγχάνῃ τῆς μονογαμικῆς παραδόσεως· ἐξὸν γὰρ δι' ὁμοταγοῦς ἀπόνασθαι ταύτης, ἐπειδὴ καθαρὸν καθαρῷ συναπτέον καὶ παρθένον παρθένῳ καὶ νικῶν νικῶντι. ἀποπίπτει δέ τις μὴ παρθένῳ ἐθελήσας συναφθῆναι, κἀντεῦθεν ἀτιμάζοι τὸ παρθενικὸν κλέος, ὃ μηδὲ εἶχεν τυχόν, ἢ καὶ ἔχων τῇ προσπαθητικῇ σχέσει τοῦ διγαμοῦντος καθ' οἱονοῦν τρόπον κατέβαλεν· κἀκ τούτου οὐ μᾶλλον ἀνάξει, ἀλλὰ κατάξει αὐτὸν εἰς τὸ ἐπιτίμιον τοῦ διγαμοῦντος μέρους.

---

114 Tit. 1,15

100 τυχὸν: τυχεῖν B: om a   ἁγίας ante ζεύξεως add E   τέλος τῆς ζεύξεως: ζεύξεως τῆς ἁγίας τέλος B   **101** καὶ αἷμα om BEae   ἢ: εἰ K   **103** οὐχ: οὐχὶ B   ἱερεύς: ἀρχιερεὺς K   διατοῦτο VMPSEYWIa   καὶ² om Ee   **105** παρακεχώρηται: συγκεχώρηται K   ἀνομῆσαι: ἠνόμησε Ee: ἠνόμησαν B   **106** νικητικὸν: παρθενικὸν BEe   εὐλογίᾳ CS: εὐλαβείᾳ E: εὐλογιστίᾳ cett Sirm   **107** μὴ ἡττηθὲν: τιμηθὲν E: μὴ τιμηθὲν B   συνευλογῆσαι: συλλογῆσαι Mi   συστεφανῶσαι: στεφανῶσαι C^{ac}Kae: στεφανοῦσαι B   **108** συμμεθέξαι: συμμετασχεῖν E   ἑαυτῷ: αὐτῷ B   τὸ ἡττημένον: τῷ ἡττημένῳ CS^{ac}YWKPV^{ac}e   διγαμίας: ἀγαμίας WI   **109** καὶ ante εἰ add W   **110** διαφορά: διαφθορὰ B   ὃ: τὸ BE   διευκριθὲν CSP: εὐκρινηθὲν a: διακριθὲν KVM Sirm: διευκρινηθὲν e   ᾖ διευκριθέν: ἤδη εὐκρινηθὲν BE   **111** ἐννοεῖν: νοεῖν WI   **112** καὶ ante ἐκεῖνο add B   **113** ἀποτυγχάνει CWI: ἀποτυγχάνοι E   ἀποτυγχάνει ante μέρος transp WI   ἐξῶν C: ἐξ ὧν a^{ac} γὰρ V^{sscr}: om M   δι' ὁμοταγοῦς: δημοταγοῦς B   **114** ἀπόνασθαι: ἀποτυγχάνῃ Y: ἀποτυγχάνει WI   καὶ ante καθαρῷ add K   **115** νικῶν CSEKP: νικὸν WI: νικῶντες B: νικῶντα VM Sirm   τῷ ante νικῶντι inser Sirm   ἀποπίπτοι Ce   δέ om E   τις: ταύτης a   ἐθελήσαν CYWIa   **116** ἀτιμάζει EW: ἀτιμάζῃ a   μηδὲ: μὴ YKWI   εἶχεν C: ἔχει BE: εἶχε cett Sirm   **117** ὁ ante ἔχων add E   πρὸς παθητικῇ C   διγαμοῦντος om B   **118** οἷον οὖν CY   κατέβαλεν C: κατέλιπε K: κατέλαβε W: κατέβαλε cett Sirm   κἀκ: καὶ ἐκ BE   οὐ: οὖν Y   **117** καθ' – **119** διγαμοῦντος om a: in marg I   καὶ ante κατάξει add BE   κατάξει: καὶ τάξει e   αὐτὸν SV: ἑαυτὸν M: αὐτὸν cett   ἐπιτίμιον: ἐπὶ YKW   μέρους: μέρος WIK: μέρει Y

Ταῦτά μοι κατὰ τὸ δυνατὸν εὕρηται καὶ λέλεκται, ὦ παῖ καλέ. εἰ δέ σοι ἑτέρως ἔχειν δοκεῖ τἀληθὲς ἤ τινι ἄλλῳ, μόνον ἐκ γραφικῆς καὶ πατρικῆς καὶ κανονικῆς παραστάσεως, συνεπομένης τούτοις καὶ τῆς οἴκοθεν διανοηματικῆς ἐπιδόσεως, καὶ ἡμεῖς γε ποδηγηθῆναι ἕτοιμοι καὶ ἐλλαμφθῆναι πρόθυμοι τῆς παρ' ἄλλων δᾳδουχίας, ἐνδεεῖς φωτὸς ὑπάρχοντες ὅτι μάλιστα.

51. Τῷ αὐτῷ

Τρία ταῦτα πέπονθα ἐν τοῖς παροῦσί σου γράμμασι, ποθητὸν τέκνον· ὁμοῦ τε ἐξεπλάγην, ἠγάσθην τε καὶ ᾖσα, τὸ μὲν διὰ τοὺς παρανόμους, τὸ δὲ διὰ τοὺς εὐνόμους, τὸ τρίτον διὰ τὸν δυναμοῦντα θεὸν τοὺς ἐν τῷ νόμῳ αὐτοῦ ἐπερειδομένους. καὶ περὶ μὲν τοῦ ἱεροῦ μου Ἀθανασίου καὶ τῶν σὺν αὐτῷ τριποθήτων, ἔτι μὴν καὶ τοῦ ἀνδρικωτάτου μου Θεοσώστου τῆς τε αὐτοῦ δυοπεντεκαιδεκάδος θεοσθενοῦς συνοδίας, ὡς ἐν τοῖς πρὸς αὐτούς μοι γραφεῖσιν ἱκανοῦ ὄντος, ἐατέον ἐνταῦθα λέγειν, εἰ καὶ ὅτι πλειόνων δέοιντο λόγων καὶ ἐπαίνων, θείως καὶ / ἀθλητικῶς διηγωνισμένοι καὶ ἔτι ἐναγωνιζόμενοι.

Ἐπὶ δὲ τὸν κολοφῶνα τοῦ λόγου μέτειμι. τίς οὕτω ἀκήκοε σχεδὸν παράνομα καὶ ἔκτοπα χριστιανός, ἃ ὑπὸ τῶν δυσωνύμων μοιχειανῶν γεγένηται, λεγομένων μὲν ἱεραρχῶν, ὄντων δὲ ἀνιέρων ὑπὸ πάσης ἀποστολικῆς καὶ πατρικῆς φωνῆς καὶ ἄνευ τῆς αἱρέσεως; τύπτων οὕτω τίς τέτυφεν ἀνθρώπων (οὐ λέγω χριστιανικὴ χείρ, ἀλλὰ βαρβαρική), δὶς ἑκατοντάσι πρὸς ἑξήκοντα καὶ ἓξ μαστίγων, εἶτα μετ' οὐ πολὺ δὶς δύο ἑκατοντάσι βουνεύρων ἐπὶ τὸν νῶτον, ὡς ὁ γενναῖός γε ἀρχιεπίσκοπος, μᾶλλον δὲ ἀλλοτριοεπίσκοπος Θεσσαλονίκης,

---

120 Plat. Euthyd. 289 b ὦ καλὲ παῖ

120 μοι: μὲν B   λέλεκται: hic desin epist in BE   ἐκλέλεκται K   καλὲ παῖ Y   121 σοι: τι a   122 καὶ[1] – 123 διανοηματικῆς in marg. a   διανοητικῆς M[ac]: ἐπινοηματικῆς W   γε om a   125 φωτὸς om K   φωτὸς post ὑπάρχοντες transp WI

---

51. a. 810 – 811   8 γραφεῖσιν: cf. epp. 48 et 562   19 ἀρχιεπίσκοπος: cuius nomen non traditur; cf. Le Quien II 44

12 Zenob. prov. 2,1 (IV 54 Bühler)   19 1 Petr. 4,15

VM PS

4 διὰ[1] S[sscr]   6 post ἔτι μὴν easdem voces iteravit M   8 μοι: μου VM   18 τὸν νῶτον: τῶν νώτων V[pc] Sirm   19 ἀλλοτριεπίσκοπος VM

καὶ οὐ τῶν ἀγελαίων τινά, ἀλλὰ μονάζοντα, καὶ τοῦτον ἡγούμενον καὶ μάλα τὸν εὐλαβέστατον, τοὔνομα Εὐθύμιον, τὸν τῆς εὐθυμίας ὄντως φερώνυμον; ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανὸς καὶ ἔφριξα ἐγὼ ὁ τάλας, οἶμαι δὲ καὶ πᾶς τις τῶν ἀνθρώπων, τὴν φυσικὴν ἡμερότητά τε καὶ ἐλεημοσύνην ἔχων καὶ ἀκούων. ὃς εἰς τύπον Χριστοῦ ὀφείλων κεῖσθαι καὶ τυπτόμενος μὴ ἀντιτύπτειν, καὶ τῶν θηρίων ὠμότερος γέγονεν, οὔ τί που ἴχνος χριστιανικὸν φέρων, πολλοῦ γε εἰπεῖν ἱεραρχικόν.

Καὶ ὑπὲρ τίνος ὁ δαρμός; ἵνα τὸν τοῦ Χριστοῦ ἀθλητὴν πείσῃ συνθέσθαι ἀναφέρειν αὐτὸν ὡς ἱεράρχην. ἀλλ' ὢ τῆς γενναιότητος καὶ κραταιότητος τοῦ μάκαρος (οὕτω γὰρ δίκαιον εἰπεῖν), ὅτι καὶ μετὰ τοσαύτας πληγὰς καὶ αἵματος ἁγίου ῥύσιν, ὡς φοινίσσεσθαι τὰ πέλματα τῶν ποδῶν τῶν ἐκεῖσε παρόντων καὶ οἱονεὶ πηλοποιεῖσθαι τὸ πορφύρεον κονίαμα εἰς οἰκοδομὴν τῆς τοῦ θεοῦ ἐκκλησίας, κείμενος ἤδη βραχὺ ἄπνους καὶ ἄφωνος καὶ ἐρωτηθεὶς παρὰ τῶν κολαστῶν μνημονεύειν τὸν τύραννον, φημί, ἀλλ' οὐκ ἀρχιεπίσκοπον, ‚οὔ', φησὶν ὁ μακάριος, οὕτω μέχρι θανάτου σχεδὸν οὐ παρατρέψας τὸν νοῦν, οὐ παρεκκλίνας τι τῶν ὀρθοδόξως ἐγνωσμένων αὐτῷ.

Μικροῦ δὴ παρέδραμέ με ἀναγκαῖόν τι, ὅτι καὶ ὁ ναὸς τοῦ θεοῦ πραιτώριον γέγονε Πιλατικόν. ἐκεῖσε γάρ, ἔφης, ἤτοι εἰς τὸν λεγόμενον τοῦ Ἀρχαγγέλου ἱερὸν δόμον, τετύφθαι τὸν μάρτυρα· ὃν οἱ μὲν ἀτίθασσοι τιμωροὶ εἴασαν ἡμιθνῆτα, τὶς δὲ χριστομίμητος λαβὼν ἐπὶ τὸν ἴδιον οἶκον καὶ ταῖς αἱμορραγίαις καὶ ξεσμοσαρκίαις προσπλάσας κώδιον ἀρνοῦ ἀρτισφαγοῦς ἐζωοπύρησε τὸν ἄνδρα, μικρὸν δὲ καὶ κατὰ βραχὺ ἀναρρώσας ἐξαπέστειλε λάθρᾳ διὰ τὴν καλοῦσαν ἐντολήν, πεφευγότος τοῦ θανέντος ἤδη καὶ παραδόξως ἐξεγερθέντος εἰς στήλην ὀρθοδοξίας καὶ θρίαμβον τῶν κακοδόξων.

Τί τούτων ἀσεβέστερον; τίς δὲ παρὰ ὀρθοδόξων εἰς αἱρετικὸν τοιαῦτα πέπραχεν; ἀλλ' ἵνα φανῇ κἀντεῦθεν αὐτῶν ἡλίκη ἡ ἀσέβεια τῶν μοιχειανιζόντων καὶ τίς τίνος μαθητής, Χριστοῦ μὲν ὁ τυπτόμενος κατ' αὐτὸν καὶ φέρων, διαβόλου δὲ ὁ τύπτων οὕτω ἱεράρχης καὶ ἔνθεν ἐκφοβεῖν βουλόμενος καὶ ἐκδικῶν τὰ κατ' αὐτόν· οὗ ῥυσθείημεν τῆς μερίδος, ἀδελφέ, τοῦ δὲ πρώτου εἴημεν σὺν πᾶσιν

22 Dion. Ar. ep. 8,4 (PG 3,1093 D) 25 Plat. Crit. 51 a 33 1 Cor. 14,12 39 Matth. 27,27 41 Luc. 10,30 44 Luc. 10,37

36 οὔ: οὐ Mi 41 ἡμιθνῆτα PS: ἡμιθνῆ VM Sirm: ἡμιθανῆ Mi τίς codd: corr Sirm 44 καταβραχὺ S 46 τῶν: an κατὰ τῶν scribendum?

εὐσεβέσι. καὶ ἴδε, Κύριε, Κύριε, τὴν κάκωσιν ταύτην καὶ φεῖσαι τοῦ λαοῦ σου, πρυτανεύων εἰρήνην ὀρθοδοξίας τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ· οὐδὲν γὰρ ἡμῖν λέγειν ἄλλο πρὸς τὰ παρόντα, μετὰ τοῦ καὶ πάντα φέρειν ῥᾴως ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ. /

Σὺ δέ, ὦ τέκνον μου ἠγαπημένον, εἰ καὶ μετεφρουρήθης ἑτέρωθι, καθὰ ἐσήμανας, χαῖρε, ὅτι οἱ στέφανοί σου πλείους πλέκονται. καὶ εἰ καὶ Λεόντιος ὁ ποτὲ μαθητής, νῦν δὲ ἀρνητής, ἡγουμενεύσει τῶν ἐν οἷς εἶ κεκλεισμένος, μὴ θαυμάσῃς· καιρὸς ὁ παρὼν μακροθυμίας θεοῦ, καὶ ὅπως οἱ δόκιμοι φανῶσι καὶ ἵνα ἄρξῃ ὁ υἱὸς Ταβεὴλ τῆς Βηθλεέμ. περὶ τοῦ ἐξαγορεύσαντος καὶ αἰτησαμένου τὸ ἐπιτίμιον, καλῶς δέδοται. σύμφημι δέ σοι εἰπόντι αὐτῷ, εἰ μὴ βούλοιτο ἐπιτιμιάζεσθαι ἐν τῷ κτένειν ἐχθρούς, μηδὲ ἀφιστάσθω τοῦ κτένειν, καὶ ἡμεῖς γε ἔξω κρίματος. εἰ δὲ ἕλοιτο ὑποπίπτειν τοῖς τῆς ἐκκλησίας κανόσιν, ἓν τοῖν δυοῖν αἱρετὸν αὐτῷ· ἢ κτένοντι ἐπιτιμᾶσθαι ἢ μὴ μένειν ἀνεπιτίμητον. καὶ οὐ διὰ τοῦτο τὸ πρῶτον διαβλητέον· ἐπαίνων γὰρ ἄξιοι, ὡς ὁ θεῖός φησι πατήρ, ἀλλὰ ληπτέον αὐτοῖς καὶ τὸ ἐπιτίμιον. ἐπεὶ καὶ πάλαι Μωσῆς ὁ θεόπτης, ὑποστρέψαντα τὸν Ἰσραὴλ ἐκ τοῦ κατὰ τῶν Μαδιανιτῶν πολέμου μετὰ νίκης, ἀφορίζει ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας, ἐκ θεοῦ δῆλον ὅτι κινούμενος, λέγων οὕτως· πᾶς ὁ ἀνελὼν ψυχὴν καὶ ἁπτόμενος τοῦ τετρωμένου ἁγνισθήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ὑμεῖς καὶ ἡ αἰχμαλωσία ὑμῶν. ὅθεν μοι δοκεῖ ὁ Μέγας Βασίλειος ἀφορμηθείς, μᾶλλον δὲ θεοπνευσθείς, δίδωσι τὸ τῆς τριετίας ἐπιτίμιον καὶ ὡς ἂν οἰκονομήσῃ ὁ διδούς· ἐνδεχομένη γὰρ καὶ οὐκ ἀναγκαίως κατὰ τὸ κείμενον πάντως ἡ τῶν τοιούτων δόσις.

Ἔρρωσο ἐν Κυρίῳ, υἱέ μου ποθητέ, εὐχόμενος περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ τοῦ συμπροσαγορεύοντός σε ἀγαπητοῦ τέκνου μου, σοῦ δὲ ἀδελφοῦ, Γρηγορίου.

---

80 Γρηγορίου: cf. p. 238* adn. 325

53 Joel 2,17 61 Is. 7,6 72 Num. 31,19 75 Bas. ep. 188,13 (PG 32,681 C = II 130 Courtonne; cf. III 1196 B Mansi)

64 μηδὲ cancell S (fort recte) 66 κτενόντι Sirm 67 διατοῦτο VMS 70 κατὰ τῶν in marg S 71 δηλονότι omnes: distinxi 75 ὡσὰν S 76 ἀναγκαία V

52. Φιλίππῳ διακόνῳ

Μὴ οἴου με, ὦ ἱερὲ ἄνερ, κλείειν τὴν πύλην τῆς μετανοίας (Ναυατιανῶν γὰρ τὸ ἔργον), ἀλλὰ μὴ βούλεσθαι ἀνοίγειν θύραν τῆς ἁμαρτίας τοῖς βουλομένοις. ἦ γὰρ οὐχὶ τοιοῦτον, ὅπερ διὰ τῶν προτέρων σου γραμμάτων δεδήλωκας, τὸ τὴν νεάνιδα εὐξαμένην εὐχήν, εἰ ἀναρρωσθείη ὁ μνήστωρ, νυμφευθῆναι Χριστῷ, εἶτα, ἐπειδὴ ἀνέσφηλεν ἐκεῖνος, ἐθέλουσαν αὐτῷ συναφθῆναι ἐπ' ἀθετήσει τοῦ δευτέρου, ζητεῖν πρὸς τοῦτο ἴαμα; κάλλιστα τοίνυν ἀπεκρίθημέν σοι, καὶ οὐχ οἷόν τε ἄλλως ἀποδιδόναι λόγον τὸν ἀνθρώπων τὰ θεοῦ προκρίνοντα. τίς γὰρ ἂν καὶ δοίη ἐπιτίμιον τὸν μήπω ἡμαρτηκότα πλὴν τοῦ βούλεσθαι; ἢ τίς ἰατρὸς πρὸ νόσου μοτοῖ, καὶ οὐχὶ μᾶλλον εἴργει μὴ νοσηλεῦσαι τὸν ἐπὶ τοῦτο ῥέποντα; καί γε ἰατρείας ὅρος, ἢ τὴν ὑπάρχουσαν ὑγιείαν περιφυλάξαι ἢ τὴν ἀποῦσαν ἀνακαλέσασθαι. ἄλογον δέ, σύγγνωθι, τὸ μὴ ἤδη παροῦσαν, ἀλλὰ μελετωμένην ⟨νόσον⟩ ἰατρεύειν ὡς οὖσαν· οὐ γὰρ ἰητροῦ, ἀλλὰ πτωματιστοῦ τὸ δρᾶμα, ὑφελκομένου προσεμπαρῆναι εἰς πάθος αὐτὸ τὸ ἔτι ἀπαθές. τοιοῦτον οἴου καὶ τὸ τῆς παιδός. καὶ οὔπω λέγω ὅτι καὶ τὸ ἀγαθόν τι ἐνθυμηθῆναί τινα, μὴ τοῦτο εἰς πέ/ρας ἄγοντα ὑφέξειν κρίμα, καθὰ ὁ θεῖος Βασίλειος διωρίσατο. ἐνταῦθα δὲ οἱονεὶ καὶ ἔργον προύβηκεν τὸ βουλευθὲν διὰ τῆς αἰτήσεως καὶ θείας συντεύξεως.

Φείδοισθε οὖν, ὦ φιλούμενοι, τὰ τοιαῦτα παίζειν, ἀκούοντες τοῦ λέγοντος, ἀγαθὸν μὴ εὔξασθαι ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι. οὐχὶ μένον ἔμενέν σοι; φησίν· τί ὅτι ἐψεύσω τῷ Πνεύματι τῷ Ἁγίῳ; καὶ τὸ ἑξῆς πάρειμι διὰ τὸ δύσφημον. καὶ οὐχ ὅτι καταφρονητικῶς ἔχω

52. 8 ἀπεκρίθημεν: epistula perdita?

17 locum non inveni 22 Eccl. 5,4 Act. 5,4 23 Act. 5,3

C VM PS

2 Ναυατιανῶν: ναυτιανὸν CS 6 καὶ post εἰ add VMPS Sirm 9 οἷόν τε: οἴονται C ἄνθρωπον CV^{pc}M τὰ: τοῦ M 10 τὸν CS^{ac}: τῷ cett Sirm ἡμαρτηκότι VMPS^{pc} Sirm 11 μωτοῖ C: μοττεῖ S^{pc} 12 εἴργει C τοῦτο: τούτῳ CS 13 ὑγιεῖαν C: ὑγίειαν cett Sirm 14 τὸ: τὴν S 15 νόσον inserui ἰατροῦ Sirm 16 δράμα CV πρὸς ἐμπαρῆναι C 18 κρῖμα Sirm (sed cf app cr ad ep 5,8) 19 προύβηκε VMPS Sirm 20 συντεύξεως CS^{ac}P: συντάξεως cett Sirm 23 ἔμενέ VMPS Sirm φησὶ VMPS Sirm 24 πάρειμι: παρίημι S^{pc}

τῆς παιδὸς (φείδομαι γὰρ αὐτῆς ὡς τῆς κόρης μου τοῦ ὀφθαλμοῦ, καὶ δι' ἑαυτὴν ἐφιεμένην ἐκ τῆς εὐτελείας μου θεραπεύεσθαι καὶ διὰ τὴν κυρίαν τὴν μητέρα, ἣν σέβω καὶ περιέπω ὡς τὴν ἐμὴν ὁσίαν μητέρα), ἀλλὰ τὸ κρίμα δεδοικώς, ὃ παρασταίη ἐν ἡμέρᾳ κρίσεως ἑκάστῳ, τῷ τε ἐρωτῶντι καὶ τῷ ἀποκρινομένῳ· ὡς οὐκ ἐκφευκτέον μέχρι καὶ ἀργοῦ τοῦ τυχόντος ῥήματος μὴ δώσειν ἡμᾶς λόγον τῷ ἀδεκάστῳ κριτῇ. εἰ μὲν οὖν μήπω ἔζευκται ἡ νεᾶνις, ὁ αὐτὸς ἡμῖν λόγος καὶ οὐκ ἄλλος ἐναντίον θεοῦ καὶ ἀνθρώπων, ὃν καὶ ὑμᾶς εὐλαβεῖσθαι χρεών. εἰ δὲ συνέζευκται (φεῦ τῆς ἐμῆς ταλαιπωρίας), δηλωτέον, καὶ τότε δώσομεν τὸ ἐπιτίμιον· οὐδὲν γὰρ ἀθεράπευτον τοῖς ἰαθῆναι βουλομένοις.

53. Στεφάνῳ ἀναγνώστῃ καὶ τοῖς σὺν αὐτῷ

Γράμματα ἐδεξάμην τῆς θεοζήλου ἀγάπης σου, τῇ μὲν ἐπιγραφῇ ἐξ ἑνός, τῇ δὲ δυνάμει ἐκ διαφόρων μοι προσώπων ἐπεσταλμένα. εἴτε γοῦν ἐξ ἑνὸς εἴτε ἐκ πλειόνων, ὀφειλέτης εἰμὶ ἐρωτηθείς, καθ' ὅσον οἷόν τε τῇ ἀμαθίᾳ μου, ἀξιόλογον τὴν ἀπόκρισιν ἀποδοῦναι. ἐκεῖνο δέ μοι πρῶτον, ὅτι, ὧν κατεπᾳδόμην παρὰ τῆς πολυυμνήτου γλώττης σου, ξένος ἐγὼ ἐπαίνων, ἁμαρτωλὸς ὑπάρχων καὶ ἀκατόρθωτον τὸν βίον κεκτημένος. εἰ δέ τι γέγονεν, θεοῦ τὸ δῶρον, διὰ μὲν τῆς τοῦ γεννήσαντός με πνεύματι πατρὸς εὐχῆς κεχαρισμένον, δι' ὑμῶν δὲ τῶν τῆς εὐσεβείας ἐραστῶν ἱκετηρίας πρὸς τὸ ἑξῆς φυλαχθησόμενον ἀπήμαντον. δεύτερον, οὐκ οἶδ' ὅπως τὴν ἐξηγορίαν ποιήσομαι, μὴ

---

25 Ps. 16,8 28 1 Joh. 4,17 30 Matth. 12,36

28 κρῖμα C Sirm 29 οὐκ om Mi 31 νεάνις CVMP 32 ἡμᾶς S[pc] 34 δώσωμεν CS

---

53. a. 809 – 811

8 Eph. 2,8

C VMT (ll. 1 – 102) PS O (ll. 75 – 85)

1 τοῦ ἁγίου θεοδώρου τοῦ στουδίτου πρὸς στεφάνῳ ἀναγνώστῃ καὶ τοῖς σὺν αὐτῷ T 3 μοι om VMP Sirm ἀπεσταλμένα T 4 γ' οὖν C καθόσον CS 5 οἷόν τε: οἴονται C ἀμαθείᾳ CS 7 τὸν om T 8 γέγονε VMTPS Sirm θεοῦ post τοῦ add T 9 εὐχῆς in marg T: om cett Sirm (χάριτος olim conieci)

εὐκρινῶς προαχθείσης τῆς πεύσεως· ὅλως τὸ ζητούμενον εἰς Ταράσιον τὸν πατριαρχήσαντα περιίστασθαι ὑπολελόγισμαι.

Ἐγὼ μὲν οὖν καὶ ἔκπαλαι περὶ τοῦ προταθέντος οὐκ ἀμελῶς ἔσχον, πολλὰ συστραφεὶς ἐν ἐμαυτῷ καὶ ἀναθεωρήσας τῶν πραγμάτων τὰς ἐκβάσεις. καὶ μέντοι καὶ τοὺς ὑπὲρ τοῦ καλοῦ ἐνισταμένους καὶ πολλοῖς χρόνοις τληπαθήσαντας ἐν ἐπαίνῳ καὶ ἀποδοχῆς λόγῳ ἔχω, οὐ μὴν παντάπασιν, ὡς δηλώσων ἔρχομαι. καὶ τὸ κτήσασθαι ὁμογνώμονας ἐφίεμαι (πῶς γὰρ οὔ;) τηλικούτους ἀνδρικοὺς ἐπ' εὐσεβείᾳ δεδειγμένους, ἀλλὰ μετὰ τοῦ τῆς ἀληθείας λόγου καὶ τῆς ἐνδεχομένης καὶ προσηκούσης δυνάμεως.

Τοιγαροῦν ὧδε φαίημι· τί τὸ τὴν διαφορὰν πρὸς Ταράσιον / ποιοῦν ὑμῖν; πίστις; καὶ ὅσον ἐκ τοῦ προφανοῦς ὀρθόδοξος, ταῖς τε ἁγίαις συνόδοις ἠκολουθηκὼς καὶ ὁμοφρονήσας τοῖς ἄλλοις πατριάρχαις, ἀγωνισάμενος μάλιστα ὑπὲρ πίστεως τὸ πρότερον. ἡ τῶν ἐξ αἱρέσεως ὑποστρεψάντων παραδοχή; καὶ οὐχ ὑπ' αὐτοῦ καινοτομηθεῖσα· πρὸς γὰρ τῶν ἁγίων πατέρων, τριχῶς παραδεχομένων, ἢ διὰ ἀναβαπτισμοῦ, ὡς ἡ τῶν Πεπουζηνῶν, ἢ διὰ χρίσεως μύρου, ὡς ἡ τῶν Ἀρειανῶν, ἢ διὰ ἀναθεματισμοῦ τῆς οἰκείας δόξης, ὡς ἡ τῶν Νεστοριανῶν. ἡ ἐν χρήμασι χειροτονία, ἥτις ὑποπίπτει κατὰ τὸ ἀναγκαῖον καθαιρέσει; ναί, πανάληθες· καὶ γοῦν τηνικαῦτα ποιμένες λύκοι βαρεῖς ὤφθησαν, κατεσκάφη θυσιαστήρια, ἠτιμώθη θεῖα λείψανα, βίβλοι ἱεραὶ ἐνεπρήσθησαν. τί πλέον; αὐτὴ ἡ εἰκὼν τοῦ Χριστοῦ πρὸς ἄλλαις σεπτοτάταις ἐνύβριστο καὶ κατεπεπάτητο. καὶ τίς ἂν ἐν ὀλίγῳ διεξέλθοι τὰ μακρᾶς ἱστορίας δεόμενα; ἀλλὰ τί; ὅτι ὁ μετέπειτα πρόεδρος, ἐκ τῆς κοσμικῆς ὕλης θᾶττον εἰς τὸ τῆς ἱεραρχίας ἀξίωμα προβάς, οὐχ οἷός τε γέγονεν ὑπερμαχῆσαι ἱκανῶς τοῦ πνεύματος. ἐντεῦθεν τὰ σκάνδαλα, ἐκεῖθεν καὶ τὰ ἤδη ταράττοντα τὴν αἰτίαν εἴληφεν.

Ὑμεῖς μὲν οὖν, ὅπως τὰ πρὸς αὐτὸν ἔχοιτε, ἴστε. ἡμεῖς δέ, ἐπειδὴ ἐν τῷ μέρει τῶν ἐν χρήμασι χειροτονηθέντων ἠκούομεν παρ' αὐτοῦ

31 Act. 20,29

12 ὅλως: ὅλος C ταράσσιον C 16 τοῦ S^{sscr} 18 κτίσασθαι T 19 τηλικούτους – 20 δεδειγμένους om T 22 τοιγαρ οὖν CT φαίοιμι S ταράσσιον C σημείωσαι· περὶ τῆς τῶν κεντουκλάδων δόξης in marg CP 23 ἡμῖν $VMT^{pc}S$ (sed cf infra 40) 25 τοπρότερον S ἐξαιρέσεως TP 26 κενοτομηθεῖσα S 27 διὰ: δι' T 29 διὰ: δι' VMT Sirm 30 ἡ: ἢ ἡ T 31 γ' οὖν C 32 κατεσκάφη CS: κατεσκάφθησαν T: κατεσκάφθη cett Sirm 33 ἐνεπρίσθησαν CS αὐτὴ: αὕτη M 34 ἐν ὕβριστο C καταπεπάτητο VM ἐνολίγῳ S 35 διεξέλθῃ T 37 ὑπὲρ μαχῆσαι C 40 αὐτὸν: αὐτοὺς M ἔχοιτε: ἔχοντες M

μὴ προσίεσθαι αὐτοὺς εἰς κοινωνίαν, κἂν οὐχ οὕτως ὑπενοεῖτο, συμφέρον ἡγησάμεθα διὰ τὸ τῆς εἰρήνης καλὸν τὴν πρὸς αὐτὸν ὁμόνοιαν· ἐπείπερ φησὶ καὶ ὁ Θεολόγος, ἕως ἐξῆν, ἀποκλιτέον πρὸς ταύτην. καὶ οὗ τὸ λυποῦν ὑπόνοια, βέλτιον τῆς αὐθαδείας ἡ συγκατάθεσις. καὶ οὔτε ἡμεῖς καθέλκομεν ὑμᾶς τῆς συνειδήσεως, μηδ' αὐτοὶ ἀπαιτοίητε ἡμᾶς τῆς οὐ προφανοῦς ἡμῖν διαγνώσεως, ἐπειδὴ καὶ πρόσωπον καὶ χρόνος καὶ πεῖρα διαλλάττειν ποιεῖ τοὺς μὴ ἐπὶ τῶν αὐτῶν ὡσαύτως φθάσαντας.

Ἀλλὰ τίς ὁ πρὸς τὸν θεῖον Γερμανὸν ἀναποδισμὸς καὶ τὸ ἐκεῖθεν ἐκ παντὸς ζητεῖν τὴν χειροτονίαν; τί γὰρ καὶ οἱ ἐν μέσῳ τρεῖς αἱρετικοί; οὐκ ἔστιν τις μὴ ὑπ' αὐτῶν χειροτονηθεὶς ἢ ἐκ τῶν πρὸς αὐτῶν χειροτονηθέντων, κατὰ κάθοδον μέχρι Ταρασίου ἀμειβομένης τῆς χειροτονίας. πόσοι ἐξ ἀνατολῶν καὶ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης ἥκασιν ἐν τῷ μεταξὺ καὶ συνήφθησαν διὰ κοινωνίας τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ ἱερωμένοι; καὶ ὅσοι ἄνευ χρημάτων τηνικάδε κεχειροτόνηνται καὶ κεχειροτονήκασι, κἂν ᾑρέτιζον; ταῦτα πάντα θεοῦ μόνου γινώσκειν καὶ οὐκ ἀνθρώπου διαβεβαιοῦσθαι, καὶ διὰ τοῦτο πάντας καθῃρημένους ὑπολαμβάνειν. ἀλλ' ἐπεὶ ἄνθρωποι, ὡς ἄνθρωποι, παρακαλῶ, τὰ πράγματα κατίδωμεν. διότι ἄνθρωπος εἰς πρόσωπον, θεὸς δὲ εἰς καρδίαν ὁρᾷ, καὶ ἡ διὰ στόματος ὁμολογία μόνον ἀπαιτείσθω, ἡνίκα μὴ προφανῶς διαψεύδηται· καθ' ἣν καὶ Ταράσιος τὴν χειροτονίαν ἐδέξατο, ἐφ' ᾗ καὶ οἱ τότε ζηλωταὶ καὶ ἀκριβεῖς καὶ συνῆλθον Ταρασίῳ καὶ ὡμογνωμόνουν, κἂν θᾶττον μετὰ τὴν σύνοδον διηνέχθησαν πρὸς τῇ παραδοχῇ κατ' αὐτοὺς τῆς ἐν χρή/μασι χειροτονίας καὶ δι' ἄλλα τινὰ ζητήματα. ἂν τοῦτό γε οὕτω δοκοίη εὖ ἔχειν καὶ ὑμῖν, καὶ πρὸς τὸ ἑξῆς βαδιούμεθα· ταῦτα γὰρ καὶ ἀπὸ Ταρασίου μέχρι τοῦ δεῦρο λεχθήσεται. τί δὲ τὸ συμπέρασμα; τὸ ἀπὸ παντὸς ἱερέως ἀδιαβλήτου κατὰ τὸν Θεολόγον καὶ Χρυσόστομον μετέχειν. ὁ μὲν γάρ φησίν, ἔστω σοι πᾶς ἀξιόπιστος εἰς τὴν

---

51 τρεῖς: patriarchae Anastasius Constantinus II Nicetas I **63** ζηλωταὶ καὶ ἀκριβεῖς: cf. Dobroklonskij I 156; Ostrogorsky, Geschichte 149

---

44 Greg. Naz. or. 22,15 (PG 35,1148 C = p. 252 M.-L.) **60** 1 Reg. 16,7 **70** Greg. Naz. or. 40,26 (PG 36,396 B = p. 256 sq. M.-G.)

---

44 ὁ γρηγόριος post Θεολόγος add T ἐξὴν CS[ac]: ἐξὸν cett Sirm ὑποκλιτέον T **48** πεἰρα CTVM **49** ὡς αὕτως C **51** καὶ om T **52** ἔστι VMTPS Sirm πρὸς: πρὸ V[ac]M **53** ταρασσίου CS **57** χειροτονίκασι T καν C: κἀν P **58** διατοῦτο VMS **62** ἂν post ἡνίκα add VMTP καθὴν C **63** ταράσσιος CS καὶ[2] om T **64** ταρασσίῳ CS ὁμογνωμόνουν CS[ac]T καν C: κἂν PS: καὶ cett Sirm **65** τῆς: τοῖς T **68** ταρασσίου CS

κάθαρσιν, μόνον ἔστω τις τῶν ἐγκρίτων καὶ μὴ προδήλως κατεγνωσμένων, μηδὲ τῶν τῆς πίστεως ἀλλοτρίων· ὁ δέ, περιεργάζου, πολυπραγμόνει· οὐ γὰρ ἀκίνδυνος ἡ ἀνεξέταστος κοινωνία. περὶ γὰρ μεγάλων ὁ κίνδυνος.

Ἐκζητήσωμεν τοίνυν καὶ πολυπραγμονήσωμεν, παρ' οὗ ὀφείλομεν κοινωνῆσαι. εἰ τὴν πίστιν ὁμολογοίη ὀρθήν, εἰ μὴ χρήμασι κεχειροτόνηται, εἰ μή τι ἄλλο τῶν κατὰ τὸν βίον αὐτοῦ ὑποπτευομένων καὶ ἠκουσμένων σφαλερῶν ἀληθές. εἰ δὲ ὅτι τὴν χειροτονίαν καταγομένην ἔχει ἀπὸ τοῦ δεῖνος, εἴτε ἐξ αἱρετικοῦ εἴτε ἐκ χρηματοχειροτονήτου, αὐτὸς δὲ οὔτε αἱρετικὸς οὔτε ἐν γνώσει ἐκ χρηματολήπτου εἴτουν Σιμωνιανοῦ κεχειροτονημένος, ὁμολογοίη δὲ ὅμως τὴν πᾶσαν ἀλήθειαν, τήν τε πίστιν φυλάττειν καὶ τοὺς κανόνας ἀπαρατρώτους, τούς τε κατ' ἀμφότερα παρατετραμμένους ἀποβαλλόμενος, οὐδεὶς ἡμῖν λόγος ἀποχῆς πρὸς αὐτόν· ἀκατάγνωστος γὰρ ὁ τοιοῦτος κατὰ τοὺς προδεδηλωμένους ἁγίους, καὶ δι' αὐτῶν κατὰ πάντας.

Οὕτω τοίνυν καὶ κοινωνοῦμεν, καὶ ὑμῖν ταὐτὸ ποιεῖν συμβεβουλεύμεθα, εἴπερ ἀκουοίμεθα. ἐπεί, εἰ περισσότερον διηρεύνηται, ἀποκρούεται μέν, ὡς δέδεικται, τὰ τῶν πατέρων παραγγέλματα, ἐκλιμπάνει δὲ τοσοῦτον τὸ τῆς ἱερωσύνης δῶρον, ἐφ' ᾧ τὸ χριστιανοὶ καλεῖσθαι ἔχομεν, ὡς εἰς ἐθνικὴν ἡμᾶς μεταπεσεῖν λατρείαν (ὅπερ ἄτοπον), πρός τό γε καὶ ἀκριβευομένους οὕτω μηδὲ ἐν δύσει καὶ ἀνατολῇ ἀφικομένους εὑρίσκειν τὸ ζητούμενον, ἀναδρομάδην καθαιρομένων πάντων διὰ τῆς ἀλληλούχου συλλειτουργήσεως· ἐπειδὴ προφανῶς τῷ Ῥωμαίων προέδρῳ ἐπὶ Ταρασίου συνιεράτευσαν οἱ ἐκ τῶνδε ἀποκρισιάριοι ἀποσταλέντες, κἀκεῖνοι τάχα τοῖς τῆς ἑῴας, καὶ φροῦδα ἐντεῦθεν τὰ τῆς ἱερωσύνης· ὃ ἀπαγορεύσαντες πάντως καταδεξόμεθα ἐν τῷ προειρημένῳ κατὰ τοὺς ἁγίους μέτρῳ στῆναι.

71 ἐκκρίτων T τῶν post μὴ add T 75 ἐκζητήσωμεν: hic inc epist in O titulo τοῦ ἁγίου θεοδώρου τοῦ στουδίτου ἐκ τῆς πρὸς τὸν στέφανον τὸν ἀναγνώστην καὶ τοῖς σὺν αὐτῷ ἐπιστολῆς αὐτοῦ praecedente ζητήσωμεν O 76 ὁμολογοίει C 77 ἐποπτευομένων O 78 σφαλερῶν: φανερῶν O καταγομένην om S 79 ἐξαιρετικοῦ C χρηματοχειροτονίτου T: χρηματοχειροτονητοῦ O 81 εἰτοῦν C: εἴτ' οὖν VMTPSO Sirm ἐκ post εἴτουν add O σιμονιανοῦ T δὲ: δ' O 83 καταμφότερα C 84 οὐδ' εἷς T 85 τοιοῦτος: hic desin epist in O 87 καὶ[1] om VMT τ' αὐτὸ CT 88 εἴπερ ἀκουοίμεθα: εἰ οὐκ ἀκουσόμεθα coni Mi 89 ἐκλειμπάνει C 90 ἐφῷ C 91 μετὰ πεσεῖν C 93 ἀφηκομένους CT καθαιρουμένων MS Mi 95 τῶν post τῷ add T ταρασσίου CS^{ac} 96 κἀκείνου VMTP Sirm 98 καταδεξώμεθα CS^{ac}

διότι πολλὰ συνέβη καὶ συμβαίνει τοιαῦτα παραπτώματα ἐν τῇ ἐκκλησίᾳ, ἃ οὐδεὶς τῶν ἁγίων ηὕρηται οὕτω διερευνήσας (ὅτι μηδὲ οἷόν τε) οὔτε μὴν ἐκδέδωκεν φυλάττειν ἡμᾶς.

Ἔχει μὲν ταῦθ' οὕτως. περὶ δὲ τοῦ προὐργιαίτερον ἡμῖν εἶναι τῆς μοιχοκυρώτου συνόδου τὴν καθ' ὑμᾶς ἔνστασιν, τεθαύμακα ἀκούσας· τοσοῦτον γὰρ προτιμοτέρα, ὅσον ἀποστολικῆς φωνῆς ἡ κυριακή. καὶ οὔπω λέγω ὅτι Ταράσιος οὐκ ἐκήρυξεν ἐν χρήμασι χειροτονεῖσθαι, ἀλλὰ καὶ τοὺς τοιούτους ὁμολογῶν μὴ δέχεσθαι κατὰ τὸ προφανές. ὧδε δὲ δόγμα κατά τε τοῦ εὐαγγελίου τοῦ τε Προδρόμου τῶν τε / κανόνων συνοδικῶς διὰ τῆς τοῦ μοιχοζεύκτου παραδοχῆς ἐκπεφώνηται, βεβαιοῦν τὴν παρανομίαν οἰκονομίαν, τούς τε ἱεράρχας καὶ ἱερεῖς ὁπόταν βούλωνται ἐξουσιάζειν τῶν κανόνων καὶ τοὺς μὴ ταὐτὸ φρονοῦντας ἀναθεματίζον τε καὶ ἐκσκορακίζον, καθάπερ ἴστε. τοῦτο τῆς εἰκονομάχου αἱρέσεως εἰ καὶ δεύτερον, ἀλλ' οὐκ ἔλαττον τοῖς εὐσεβῶς ἀναθεωροῦσιν. ὧν ὁ Κύριος ταῖς εὐχαῖς ἐκποδὼν τὸ κακὸν ἄρας πρυτανεύσοι εἰρήνην ὡς τὸ ἀπ' ἀρχῆς τῇ αὐτοῦ ἐκκλησίᾳ. πλὴν ὅτι, καθὰ γέγραφας, θάτερον ὑπὸ θατέρου βάλλεται, καὶ διάλληλος ἡ ἐπίγνωσις καὶ λύσις τῆς ἀνομοδέσμου πράξεως.

Ἐρρωμένον καὶ εὐχόμενον ὑπὲρ τῆς ταπεινώσεως ἡμῶν πανέστιον ὁ Κύριός σε διαφυλάξειεν, φίλων πρώτιστε καὶ ζηλωτῶν κράτιστε.

54. Ἄννῃ ἡγουμένῃ

Τί ὑπεστείλω τοῦ γράφειν καὶ γνωρίζειν ἡμῖν τὰ τῆς ὁσιότητός σου; ἡμεῖς δὲ διὰ τοῦτο μᾶλλον οὐ διαλείψομεν, τὸ μὲν διὰ τὸ ἅπαξ

---

117 Bas. ep. 176 (PG 32,653 C = II 113 Courtonne) ἐρρωμένος καὶ εὔθυμος ἐν Κυρίῳ ὑπερευχόμενός μου διαφυλαχθείης μοι

99 συνέβη καὶ om T 100 εὕρηται VMTPS Sirm 101 ἐκδέδωκε VMTPS Sirm ἡμᾶς in marg S 102 οὕτως: hic desin epist in T προυργιέτερον CS^{ac} 103 ἧμας S Sirm 105 ταράσσιος C 109 παρανομίαν: παράνομον M 111 ταὐτὸν VMP Sirm ἀναθεματίζων CS τε om Sirm ἐκσκορακίζων CS 112 καὶ post τοῦτο add VMPS Sirm: S^{sscr} 113 ἐκποδῶν CVMP τὸ κακὸν ante ἐκποδὼν transp S 114 ἀπαρχῆς CSP 118 διαφυλάξειε V^{pc}MS: διαφυλάξοιε P Sirm

---

54. a. 809 – 811?

VM PS

3 διατοῦτο VMS

ἡμᾶς ἀνοῖξαι τὸ ταπεινὸν στόμα, τὸ δὲ διὰ τὸν κατὰ θεόν σου ζῆλον καὶ πυρίπνουν εὐσέβειαν· πυνθάνομαι γάρ σε ἄληκτον ἔχειν τὸ περὶ τοὺς ἀδελφοὺς ἡμῶν εὐποιές, ἔνθεν κἀκεῖθεν περιθέουσαν καὶ ἕκαστον τὸν παρατυγχάνοντα δεξιουμένην φιλανθρώπως καὶ τοῖς εὐκταίοις ῥήμασι παραπέμπουσαν ὡς Χριστοῦ διάκονον.

Ὦ τῆς καλλίστης σου ταύτης πραγματείας· ὢ τῆς γρηγορούσης σου περὶ τὰ θεῖα ἱερᾶς ψυχῆς· οὐ γὰρ ὀρφανικὰ ταῦτα, ἀποκυήματα δὲ ἑτέρων ἀρετῶν, ἤγουν προβλήματα τῆς πνευματικῆς σου πολυκαρπίας. ἐπεὶ οὐδὲ οἷόν τε μὴ εὐωδεῖν τὸν ἐπιφερόμενον ἀρώματα μηδὲ λαμπαδουχεῖν τὸν φωτοφόρον. διαδείκνυνται τοίνυν ἐντεῦθεν πάντοτε καὶ πάντως, καὶ μάλιστα ἐν τοῖς ὑπὲρ Χριστοῦ διωγμοῖς, τίνες οἱ τῆς ὁσιότητος ἐρασταὶ καὶ θεόλβιοι καὶ τίνες οἱ φαυλότητος καὶ ἀμοιράγαθοι, κἂν τῷ ἔξω σχήματι τὰ ἔνδον καλῶς ἔχειν ὑποπλαττόμενοι.

55. Εἰρήνῃ πατρικίᾳ

Φιλτροποιόν τι πρᾶγμα ἡ γραμματικὴ προσφώνησις, σχέσιν ἐμποιοῦσα ταῖς ψυχαῖς τῶν ἐρώντων, καὶ τοσαύτην, ὅσῳπερ ἂν καὶ πυκνάζῃ ἡ ὁμιλία, οἱονεὶ ἀνασκαλεύουσα τοὺς ἐναποκειμένους ἐρωτικοὺς σπινθῆρας καὶ πολλὴν τὴν ἀγαπητικὴν διάθεσιν ἀνακαίουσα. τοιοῦτόν τι καὶ ἐν ἡμῖν τοῖς ταπεινοῖς ἀπειργάσατο ἡ ἐπιστολὴ τῆς ἐμμελείας σου, πολυπλασιάσασα τὴν πνευματικὴν φιλίαν αὐτῆς καὶ τὰ τῆς μνήμης ἐμπυρεύματα ἀκμαιότερα ἐνιζάνουσα. χρῶ τοιγαροῦν, θεοσεβεστάτη κυρία, τῷ ἀγαπητικῷ τῷδε φαρμάκῳ καὶ γνώριζε ἡμῖν τὰ τῆς εὐεξίας καὶ εὐπραξίας σου (ἴσμεν γὰρ τὸ κατ' ἀρετήν σου ἀειθαλὲς καὶ ποριστικὸν εἰς εὐσέβειαν ἐξ ὧν τε ἀκηκόαμεν καὶ εἰσέτι ἀκούομεν καὶ ἀφ' ὧν ἡμεῖς αὐτοὶ εὖ πεπόνθαμεν καὶ πανθάνομεν), / εἴτε δανειζομένη τὴν φωνὴν εἴτε καὶ ἐξ οἰκείας γλώττης φθεγγομένη· ὡς ἡμεῖς γε ἡδείᾳ ταύτην μᾶλλον ἐπαΐομεν διαθέσει, οὐ ψιλῷ ἤχῳ προσέχοντες καὶ ἅμα ἐκεῖνο γινώσκοντες, ὡς

6 εὐποιές: εὐποιητικὸν Mi 15 φαυλότατοι M 16 post ὑποπλαττόμενοι spatium 15 fere linn eras S, 7 fere linn eras P

55. a. 811 – 815?

VM PS

1 πατρικίῳ Sirm 3 τοσοῦτον V Sirm 6 τοιοῦτόν: τοσοῦτόν Sirm 13 πανθάνομεν: πάσχομεν Mi

οὐδεὶς οὕτως εἰκονίσειε ψυχὴν ὡς ὁ παρ' αὐτῆς προϊὼν λόγος, κἂν ὁποῖός ποτ' ἂν εἴη.

Περὶ τῆς κυρίας τῆς θυγατρός σου, ὅτι γέγονεν οὕτω μαθόντες, ἠνιάθημεν· εὐχὴν δὲ ἢ ἀπομύρισμα ποίαν ἢ οἷον δῶμεν, ἁμαρτωλοὶ τυγχάνοντες; πλὴν ἐκεῖνο πέπεισο, ὅτι οὐδὲν ἰσχύουσιν αἱ τοιαῦται περιεργίαι, εἰ μή γε ἡμεῖς δῶμεν χώραν ἀπροσεξίᾳ τινί· ὡς γὰρ οὐχ οἷόν τε τόπον τινὰ ἡλίῳ περιλαμπόμενον τὸ ἀντίθετον σκότος εἰσδέξασθαι, οὕτως οὐδὲ ἄνθρωπον θείῳ φωτί, ἤγουν συνέσει καὶ ἀρετῇ ἐπερειδόμενον, παθεῖν τι τῶν σκαιῶν καὶ δαιμονικῶν μαγγανευμάτων. ἰαθείη τοίνυν ἡ παῖς ἐν ὀνόματι Κυρίου, τοῦ θεραπεύοντος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, καὶ ἔστω χεὶρ θεοῦ περιιπταμένη καὶ ἐπισκιάζουσα τὴν αὐτῆς κεφαλὴν καὶ ἀποσοβοῦσα πᾶσαν ἐνέργειαν βλαπτικήν, ὡς ἂν εὐεκτοῦσα σὺν μητρὶ θεοφόβῳ ἀποδοίη τὰς εὐχὰς αὐτῆς χαριστηρίως τῷ Κυρίῳ.

56. Ἀντωνίῳ ἡγουμένῳ τοῦ Ἁγίου Πέτρου καὶ τοῖς σὺν αὐτῷ

Τὰς ἐκ πολλῆς συνοχῆς καὶ θλίψεως καρδίας γραφείσας ἡμῖν ἐπιστολὰς παρὰ τῆς πατρικῆς ὑμῶν ἁγιωσύνης δεξάμενοι, ὅσον κατεστενάξαμεν, τί δεῖ καὶ λέγειν, ἀδελφικοῖς σπλάγχνοις κινούμενοι, εἰ καὶ ἀνάξιοι τυγχάνομεν, καὶ ἐκ ταὐτοπαθείας τὴν περιπόνησιν ὑμῶν στοχαζόμενοί τε καὶ συνυφιστάμενοι; οὐδὲ γὰρ ἄλλοις ἔστι γνωρίζεσθαι τὸ ὀδυνηρὸν ἢ τοῖς ὁμοιοπαθῶς τοῖς αὐτοῖς ἐνεχομένοις λυπηροῖς. ἀλλ' αἱ ἁμαρτίαι ἡμῶν τοσοῦτον ἐπλήθυναν ἐν τῇ παρούσῃ γενεᾷ τὴν ἀνομίαν, ψυγείσης τῆς ἀγάπης κατὰ τὸν τοῦ Κυρίου λόγον, ὥστε, τοὺς ὀφείλοντας διαλύειν τὰ σκῶλα καὶ προσκόμματα, τούτους

---

25 Matth. 4,23

16 κἂν: καὶ V 19 ἢ — ἢ: ποίαν ἢ ἀπομύρισμα V Sirm 26 θεοῦ: κυρίου S 28 ὡσὰν S 29 αὐτῆς V χαριστηρίους S

---

56. a. 812 ineunte

2 2 Cor. 2,4 8 Matth. 24,12

C VM PS

1 καὶ — αὐτῷ om M 6 ἐστὶ VMP 9 τῆς ἀνομίας Sirm

τὰ ἴσα ἢ τάχα καὶ δεινότερα τοῖς ἐν ταῖς ἔξωθεν ἀρχαῖς ἔστιν ὁρᾶν πράττουσι.

Δεσμωτήριά φατε, ἀπαγωγάς, ὀνειδισμούς, διωγμοὺς καὶ περιστάσεις ὑφιστάναι καὶ ἔτι ὑφίστασθαι παρὰ τῶν κρατούντων τὰς ἐκκλησίας τοῦ θεοῦ. καὶ οὐχ ὅτι ὑπὲρ ἐντολῆς θεοῦ ἐνιστάμενοι, ἀλλὰ καὶ εἰ ἑαλωκότες ἦτε ἐν παραπτώμασιν ἀνθρωπίνοις, οὐδαμῶς τὰ τοιαῦτα πανθάνειν ἐξὸν ἦν ὑμῖν παρὰ ποιμένων θεοῦ, μὴ ὅτι γε ὑπὲρ ἀληθείας διαθλοῦσιν, οἷς τὸ ἐπαινεῖσθαι καὶ μακαρίζεσθαι κεχρεώστηται, καὶ ταῦτα τῷ μοναδικῷ κατακεκοσμημένοις ἐπαγγέλματι. ἐκ τῶν ἔργων αὐτῶν ἐπιγνώσεσθε αὐτούς, ἔφη ὁ Κύριος. οὐ δήπου τοιοῦτον παρὰ τοῖς ἁγίοις ἐγνωρίσθη, τοὐναντίον δὲ αὐτοὶ μᾶλλον πεπονθότες ἐδείκνυντο, διδασκόμενοι παρὰ τῆς ἀποστολικῆς φωνῆς, ἥ φησι περὶ τοῦ Κυρίου· ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεῖχεν δὲ εὐμενῶς τῷ παίοντι καὶ τὴν θείαν σιαγόνα. ἐντεῦθεν οἱ ποιμένες Χριστοῦ γνώριμοι κἀκεῖθεν οἱ ἀλλοτριοεπίσκοποι.

Ἀλλὰ τί δεῖ παθεῖν κατὰ τὴν ἐνσκήψασαν ἐν τῇ / ταπεινῇ ἡμῶν γενεᾷ μοχθηρίαν τῶν ἀνθρώπων, ἣν καὶ ὡς αὔχημα ποιούμενοι σεμνύνονται, τὸ παράνομον ἔννομον λογιζόμενοι, κατ' ἐναντιότητα τῶν θείων προσταγμάτων τὴν προστασίαν μετερχόμενοι; ἐκεῖνοι μὲν οὖν ἃ δεδράκασι καὶ δρῶσιν εὕροιεν, μᾶλλον δὲ συγχωρηθεῖεν παρὰ τοῦ ἀδεκάστου κριτοῦ, τοῦ μὴ ὁτιοῦν ἀνεξέταστον καὶ ἀνεύθυνον παραβλέπειν μέλλοντος ἐν ἡμέρᾳ κρίσεως. ὑμεῖς δέ, ὦ ἀδελφοὶ τιμιώτατοι καὶ πατέρες σεβασμιώτατοι, χαίρετε καὶ εὐφραίνεσθε, ὅτι τοῦ θείου μακαρισμοῦ τὸ κλέος ἀπηνέγκασθε καὶ τὰ τῆς ἀτιμίας τοῦ Χριστοῦ ἐντίμως ὑπεδέξασθε, μικροῖς κόποις καὶ ἀγῶσιν μέγιστα καὶ αἰώνια ἀνταμειβόμενοι. καὶ ἐπειδή, καθὰ καὶ προγεγράφαμεν, εὐδοκίᾳ τοῦ ὑπεραγάθου θεοῦ ἐκποδὼν γέγονε, δι' οὗ ἡ διχόνοια ἐν

36 προγεγράφαμεν: epistula perdita ut videtur 37 ἐκποδὼν γέγονε: oeconomus Josephus; cf. Ostrogorsky, Geschichte 165

20 Matth. 7,16 23 1 Petr. 2,23 24 Luc. 6,29 25 1 Petr. 4,15

11 ἶσα VMP Sirm 12 πράττοντας VM 13 ὀνειδισμούς ante ἀπαγωγάς transp VM 14 ὑφεστάναι P Sirm ὑφίστασθε C 15 θεοῦ[2] om Sirm 16 ἦτε: εἴτε C 24 παρεῖχε VMPS Sirm 25 τοῦ ante Χριστοῦ add S 31 μή: an μηδ' scribendum? ὅτι οὖν C: ὅτι οὖν S 35 κόποις: πόνοις S ἀγῶσι VMPS Sirm 37 ὑπὲρ ἀγάθου C ἐκποδῶν CS[ac]

τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ ὑπήρχθη, βεβράβευται ἡ εἰρήνη νεύμασι καὶ ῥοπαῖς καὶ εὐμενείαις, προσθείην δ' ἂν καὶ παρακλήσεσι, τῶν καλλινίκων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, συνεργίᾳ τε καὶ ἀπολογίᾳ τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου· δεῖ γὰρ ἀπὸ τοῦ νῦν οὕτω καλεῖν. δεξάσθω καὶ ἡ ὑμετέρα ὁσιότης τὰ παρ' ἡμῶν τῶν ταπεινῶν σὺν πολλῇ σκέψει τε καὶ διερευνήσει ἀναθεωρήσει τε τῶν πατρικῶν ἀναστροφῶν, τῶν τε ἔσθ' ὅτε ὑποπεπτωκότων σκανδάλων ἐκκλησιαστικῶν ἐγκριθέντα καὶ περαιωθέντα, ἵνα οὕτω καὶ ἐν τῇ καθ' ὑμᾶς ἐκκλησίᾳ τοῦ Χριστοῦ ἡ εἰρήνη τοῦ θεοῦ βραβεύσῃ τὰς καρδίας τῶν ἁπάντων· οὐδὲ γάρ, εἰ μὴ τοῦτο πράξοιμεν, ὅσιον τῷ θεῷ λογισθήσεται, οὔτε ἡμῖν νῖκος γενήσεται, προσαπόλλυμεν δὲ τάχα, ζητοῦντες περισσότερον τὸ δεξιόν, καὶ ὃ τοῖς προλαβοῦσι κόποις διηνύκαμεν ἀγαθόν.

Δέξασθε τοιγαροῦν, παρακαλοῦμεν, καὶ ἀποδέξασθε τὸν ἁγιώτατον ἡμῶν πατριάρχην, κοινωνοί τε ἔσεσθε, ἐν οἷς οὐ πρόδηλος ἡ παρανομία, καὶ τῷ καθ' ὑμᾶς ἐπισκόπῳ, τὰ διὰ μέσου παραχωροῦντες τῷ Κυρίῳ, τῷ ἐξεταστῇ καὶ ἀποδότῃ τῶν πρακτέων, τῶν ῥητέων. πρὸς τοῦτο γὰρ αὐτὸ δεήσει χρησάμενοι, παρωρμήσαμεν καὶ τὸν ἁγιώτατον ἡμῶν πατριάρχην ἐπιστεῖλαι, ὡς ἂν ἀφεθῆτε καὶ αὐτοὶ τῶν φυλακῶν, εἰρήνης τε σύνθημα πρὸς ἀλλήλους ποιησάμενοι, κἂν τι ἀμφιβαλλόμενον ᾖ, αὐτίκα διαλυθείη ἤ, ἀνιάτως ἔχον, διὰ τῆς ἐνταῦθα ὑμῶν τε καὶ τοῦ τιμιωτάτου ἐπισκόπου εἰσελεύσεως ἐπὶ παρουσίᾳ τοῦ αὐτοῦ οἰκουμενικοῦ πατριάρχου θεραπευθείη τὰ ἀρρωστήματα καὶ συνδράμοιεν τὰ πάντα πρὸς θυμηδίαν εἰρήνης καὶ ὁμονοίας εἰλικρινότητα.

---

40 βασιλέων: Michael I et Theophylactus

---

38 ἡ: δὲ S 40 συνεργείᾳ C 41 ἀποτουνῦν S 43 τε om VMP Sirm 45 ἡμᾶς S Sirm 46 Χριστοῦ VM: θεοῦ cett βραβεύσει C 48 νίκος VM πρὸς ἀπόλλυμεν C 51 τοιγαρ οὖν C 52 πρόδηλος CS: προδήλως cett Sirm 53 ἡμᾶς S τὰ: τὸ Sirm διαμέσου PS 55 παρορμήσομεν VM 56 τῆς φυλακῆς V 57 κάν C 58 ἔχων C 59 ἡμῶν S Sirm (cf Janin, Églises et monastères 207 adn 4) 60 θεραπευθῇ VMP Sirm 61 θυμηδείαν CS

57. Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς Πλάτωνα τὸν ἑαυτοῦ πατέρα περὶ προσκυνήσεως τῶν σεπτῶν εἰκόνων

Ἑαυτοὺς παραμυθούμεθα, προσλαλοῦντες τῇ ἱερᾷ κεφαλῇ ἡμῶν· τί γὰρ ἂν καὶ εἴη παρακλητικώτερον παιδὶ ἢ πατρὶ διαλέγεσθαι, καί γε τοιούτῳ καὶ τηλικούτῳ, οὗ τὴν ἀρετὴν ᾄδουσι πολλαὶ πόλεις, χῶραί τε καὶ νῆσοι. οὗτος ὁ ἐμὸς ποθεινὸς πατήρ, κἂν ὁ καρπὸς τῷ δένδρῳ οὐκ ἐοικὼς διὰ τὸ ἄχρηστον τῆς ταπεινώσεώς μου, ἀλλ᾽ ὅμως τῷ προκεῖσθαί σε κανόνα εὐσεβείας ἔχομεν οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ οἵπερ ἂν ἕλοιντο θεοσεβεῖν, πτεροῦσθαι εἰς ἀνδρείαν καὶ διανίστασθαι πρὸς εὐδρομίαν. ἐπειδὴ δὲ ἀπὸ χρόνου πολλοῦ ἐπεζήτησέ σου ἡ ἁγιωσύνη δοῦναί με λόγον, πῶς δεῖ τὴν σεπτὴν Χριστοῦ εἰκόνα προσκυνεῖν (οὐκ ἀγνοοῦσα, ἀλλὰ βουλομένη κἀντεῦθεν τὸν ἄλογόν μου λόγον κινεῖν), τηνικαῦτα μὲν οὐκ ἐξεγένετό μοι ἀποκριθῆναι, νυνὶ δὲ ἐπιμνησθεὶς δέον ἡγησάμην τὸ ἐνταλθέν μοι ἐφ᾽ ὅσον οἷόν τέ ἐστι τῇ συνεργίᾳ τῶν ἱερῶν σου προσευχῶν ἀποπληρῶσαι, εἰ καὶ ὅτι ἄλλοθί που περὶ τοῦδε αὐτοῦ τάχα ἱκανῶς ἐξεῖπον.

Πᾶσα τοίνυν τεχνητὴ εἰκὼν ὁμοίωσίς ἐστιν οὗ ἂν ᾖ εἰκὼν καὶ ἐν ἑαυτῇ τὸν χαρακτῆρα τοῦ ἀρχετύ/που μιμητικῶς δείκνυσι, καθώς φησιν ὁ πολὺς τὰ θεῖα Διονύσιος, τὸ ἀληθὲς ἐν τῷ ὁμοιώματι, τὸ ἀρχέτυπον ἐν τῇ εἰκόνι, τὸ ἑκάτερον ἐν ἑκατέρῳ, παρὰ τὸ τῆς οὐσίας διάφορον· ὥστε ὁ προσκυνῶν τὴν εἰκόνα προσεκύνησε τὸν ὅπερ

---

57. ante diem 4 mens. April. a. 814 6 νῆσοι: ubi Platon in exsilium eiectus? **16** ἄλλοθί που: nempe in Antirrheticis suis; cf. PG 99, 428 B sq.

19 Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C)

CH V PS G (ll. 1 – 117)

1 ἐπιστολὴ om S θεοδώρου τοῦ ὁσίου πατρὸς ἡμῶν τοῦ στουδίτου ἐπιστολὴ περὶ τῶν ἁγίων καὶ ἱερῶν εἰκόνων G: τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ θεοδώρου τοῦ στουδίτου ἐπιστολὴ περὶ τῶν θείων καὶ ἱερῶν καὶ πανσέπτων εἰκόνων H τῆς post περὶ add V Sirm **3** ὑμῶν GH **4** καὶ[1] om Sirm **6** κἂν V **8** τὸ omnes: correxi προσκεῖσθαί G **9** ἀνδρίαν VPGSH **10** δὲ om G **11** σεπτὴν om SG εἰκόνα Χριστοῦ V Sirm **14** τὸ ἐνταλθέν: τὰ ἐνταλθέντα G ἐφόσον P[pc]H **15** συνεργείᾳ Mi (fort recte) συνεργίᾳ post προσευχῶν transp G σου om G **16** αὐτοῦ om S τάχα post ἐξεῖπον transp S **17** τεχνιτὴ H: τεχνικὴ CG (sed cf infra lin 42) τοίνυν post εἰκὼν transp H ᾖ: εἴη G **20** παρὰ: περὶ G **21** ὅπερ C: ὅνπερ cett Sirm

ἐμφαίνει ἡ εἰκὼν ἀσφαλῶς. οὔτε γὰρ τὴν τῆς εἰκόνος οὐσίαν, ἀλλὰ τὸν ἐν αὐτῇ γεγραμμένον προσεκύνησεν, οὔτε μὴν τοῦ ἀρχετύπου τὴν εἰκόνα διέσχισε κατὰ τὸ ταὐτὸν τῆς προσκυνήσεως· ταὐτὸν γὰρ ἡ εἰκὼν τῷ ἀρχετύπῳ τῇ ὁμοιώσει. οὕτω τοιγαροῦν καὶ ὁ Μέγας Βασίλειος, ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκὼν καὶ οὐ δύο βασιλεῖς· οὔτε γὰρ τὸ κράτος σχίζεται οὔτε ἡ δόξα μερίζεται. ὡς γὰρ ἡ κρατοῦσα ἡμῶν ἀρχὴ καὶ ἐξουσία μία, οὕτω καὶ ἡ παρ' ἡμῶν δοξολογία μία καὶ οὐ πολλαί, διότι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. εἰ δὲ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, οὐκ ἄλλη καὶ ἄλλη, ἀλλὰ μία καὶ ἡ αὐτὴ τιμητικὴ προσκύνησις, ὥσπερ ἓν καὶ ταὐτὸν τὸ προσκυνούμενον κἀν τῇ εἰκόνι πρωτότυπον.

Ἄλλο δὲ φυσικὴ εἰκὼν καὶ ἄλλο μιμητική, ἡ μὲν οὐ φυσικὴν διαφορὰν ἔχουσα πρὸς τὸ αἴτιον, ἀλλ' ὑποστατικήν, ὡς ὁ Υἱὸς πρὸς τὸν Πατέρα (ἄλλη γὰρ ὑπόστασις τοῦ Υἱοῦ καὶ ἑτέρα τοῦ Πατρός, μία δὲ φύσις δῆλον ὅτι), ἡ δὲ τὸ ἀνάπαλιν, φυσικὴν διαφορὰν ἔχουσα, ἀλλ' οὐχ ὑποστατικήν, ὡς ἡ εἰκὼν τοῦ Χριστοῦ πρὸς τὸν Χριστόν· ἄλλη μὲν γὰρ φύσις ὑλογραφίας καὶ ἕτεραι τοῦ Χριστοῦ, οὐκ ἄλλη δὲ ὑπόστασις, ἀλλὰ μία καὶ ἡ αὐτὴ τοῦ Χριστοῦ κἀν τῇ εἰκόνι γεγραμμένη, τοῦ αὐτοῦ θείου Βασιλείου πάλιν λέγοντος· ὃ οὖν ἐστιν ἐνταῦθα μιμητικῶς ἡ εἰκών, τοῦτο ἐκεῖ φυσικῶς ὁ Υἱός· καὶ ὥσπερ ἐπὶ τῶν τεχνητῶν κατὰ τὴν μορφὴν ἡ ὁμοίωσις, οὕτως ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου φύσεως τῇ κοινωνίᾳ τῆς θεότητος ἡ ἕνωσις.

Ὅρα οὖν τὸ διάφορον· ὅτι ἐπὶ τῆς φυσικῆς εἰκόνος καὶ τοῦ αἰτίου, ἤγουν τοῦ Υἱοῦ καὶ τοῦ Πατρός, ἡνίκα μία φύσις, μία καὶ προσκύνησις κατὰ τὸ ταὐτὸν τῆς φύσεως, οὐ τῆς ὑποστάσεως (ἐπειδὴ ὡς μίαν φύσιν, μίαν καὶ προσκύνησιν καὶ δοξολογίαν ὁμολογοῦμεν τῆς Ἁγίας Τριάδος, τρεῖς δὲ ὑποστάσεις, Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος), ἐπὶ δὲ τῆς μιμητικῆς εἰκόνος καὶ τοῦ ἀρχετύπου, ἤγουν τῆς εἰκόνος Χριστοῦ καὶ τοῦ Χριστοῦ, ἡνίκα μία ὑπόστασις Χριστοῦ,

---

26 Bas. spirit. 18,45 (PG 32,149 C); cf. Conc. Nic. II (XIII 72 C Mansi) 40 ibid.

---

24 τὸ om Sirm 27 μερίζεται: διαμερίζεται G 28 ὡς: ὥσπερ G ἀρχὴ καὶ om H 29 οὕτω post ἡμῶν transp H 32 κἂν CSH Sirm τῇ om Mi 34 ὁ om Sirm 35 ἑτέρα: ἄλλη H 36 δηλονότι C[pc]VPGSH Sirm 38 γὰρ om G ἕτεραι: ἑτέρα G Sirm (sed cf infra lin 52) 39 κἂν CH 40 θείου: μεγάλου G πάλιν post λέγοντος transp H ἐστιν om G 42 τεχνητῶν: τεχνικῶν G 43 κοινωνίᾳ: κοινώσει G ὅρα in marg P 45 τοῦ[2] om S 46 δὲ post ἐπειδὴ add G 48 καὶ[1] om S σημείωσαι in marg V 50 τῆς – Χριστοῦ: χριστοῦ καὶ τῆς χριστοῦ εἰκόνος V: χριστοῦ καὶ εἰκόνος δηλαδὴ τῆς χριστοῦ P (ubi voces εἰκόνος· δηλαδὴ in marg)

μία καὶ ἐνταῦθα προσκύνησίς ἐστι, κατὰ τὸ ταὐτὸν δῆλον ὅτι τῆς μιᾶς ὑποστάσεως, οὐ τὸ ἑτεροῖον τῶν φύσεων Χριστοῦ καὶ τῆς εἰκόνος. εἰ δὲ ὥσπερ κατὰ τὸ ταὐτὸν τῆς ὑποστάσεως οὕτω καὶ κατὰ τὸ ταὐτὸν τῆς φύσεως μίαν φαίημεν εἶναι τὴν προσκύνησιν τῆς εἰκόνος πρὸς τὸ πρωτότυπον, οὐκέτι διαφορὰν εἰκόνος καὶ εἰκονιζομένου γνωριοῦμεν, ἀλλ' ἔσται ὡς μία ὑπόστασις οὕτω καὶ μία φύσις τῆς εἰκόνος Χριστοῦ καὶ αὐτοῦ δὴ Χριστοῦ, καὶ ἐμπίπτομεν εἰς ἑλληνικὴν πολυθεΐαν, πᾶσαν ὕλην εἰς Χριστοῦ εἰκόνα χαρακτηριζομένην θεοποιοῦντες. κἀντεῦθεν ἀνοίξομεν γλῶσσαν τοῖς εἰκονομάχοις κατηγορεῖν ἡμῶν, τὸν ἕνα θεὸν ἐν τρισὶν ὑποστάσεσι προσκυνούντων, πολλοὺς θεοὺς προσκυνεῖν τε καὶ σέβειν οὐκ ἀπεικότως. εἰ δὲ μήτ' αὖ κατὰ τὸ ταὐτὸν τῆς / ὑποστάσεως μήτε κατὰ τὸ ταὐτὸν τῆς φύσεως λέγοι τις εἶναι τὴν τῆς εἰκόνος πρὸς τὸ ἀρχέτυπον προσκύνησιν, δῆλον ὅτι ἔσχισε τὸ κράτος καὶ ἐμέρισε τὴν δόξαν τοῦ ἀρχετύπου ἀπὸ τῆς εἰκόνος, καὶ οὕτως προσκυνῶν τὴν εἰκόνα Χριστοῦ εἰδωλολατρεῖ φανερῶς, οὐ μίαν ἀλλὰ δύο προσκυνήσεις εἰσφέρων· ὅπερ ἀποδεικνύναι σπεύδουσιν οἱ εἰκονομάχοι, ἀναιροῦντες ἐντεῦθεν ὡς τὸ εἰκὸς Χριστὸν σαρκὶ περιγράφεσθαι, ἴσα τοῖς ἐν δοκήσει καὶ φαντασίᾳ ἐπιδεδημηκέναι θεὸν τοῖς ἐν γῇ ἀσεβεῖν ἀπελεγχόμενοι.

Ἀλλ' ἐρρίφθω τὸ ἀμφοτέρων ἐπίσης ἀσεβὲς ἐν τῷ οἰκείῳ σκότει. ἡ δὲ ἀληθὴς τῶν χριστιανῶν πίστις, καθὼς προείρηται, ὡς μίαν ἐπὶ τῆς Ἁγίας Τριάδος τῇ κοινωνίᾳ τῆς θεότητος ὁμολογεῖ προσκύνησιν, οὕτω καὶ ἐπὶ τῆς εἰκόνος Χριστοῦ μίαν καὶ τὴν αὐτὴν προσκύνησιν ὁμολογεῖ κατὰ τὴν ταὐτότητα τῆς ὑποστάσεως τοῦ Χριστοῦ· ἡ αὐτὴ γάρ ἐστι προσκυνουμένη, κἂν γεγραμμένη εἴη. ἐπεὶ οὐκ ἂν εἴη εἰκών, εἰ μεσολαβεῖται καὶ διασχίζεται τῇ τιμῇ ἀπὸ τοῦ πρωτοτύπου, ἀλλ' ἰδιοϋπόστατόν τι πρᾶγμα τυγχάνει. καὶ οὕτω λοιπὸν κἀν τῇ τῆς εἰκόνος τοῦ Χριστοῦ προσκυνήσει μία ἡ προσκύνησις καὶ δοξολογία τῆς πολυυμνήτου καὶ μακαρίας Τριάδος.

---

71 Ep. Jer. 70

---

51 δηλονότι VPGSH Sirm 52 ἀλλ' ante οὐ add G 53 αὐτοῦ ante εἰκόνος add G 56 ἀλλ': ἀλλὰ G[pc] 59 ἀνοίξωμεν H γλῶσσαν (quod in marg): θύραν V 60 τὸν: τῶν VP Sirm 61 τε om G 62 τὸ[1] G[sscr] 64 δηλονότι VPGSH Sirm 65 ἀπὸ: καὶ G οὕτω G 67 ἀποδεικνῦναι C[ac]SVPH 68 ἶσα codd Sirm: correxi 71 ἐπίσης post ἀσεβὲς transp H 74 τοῦ ante Χριστοῦ add S 75 ὁμολογεῖ: ὁμολογοῦμεν G τοῦ om G 76 κὰν V ἐπειδὴ G 77 εἰ: εἴπερ G μεσοσυλαβεῖται H ἀλλὰ G 78 κἂν C[pc] 79 τοῦ om H 80 μακαριωτάτης G

Δόξειε δ' ἄν τις κἀκεῖνο λέγειν· ‚οὐκοῦν, ἐπειδὴ ἡ προσκύνησις λατρεία, συλλατρεύεσθαι συμβαίνει τὴν εἰκόνα Χριστοῦ τῇ Ἁγίᾳ Τριάδι'. ἀλλ' ἔοικεν ὁ τοιοῦτος μὴ εἰδὼς διαφορὰν προσκυνήσεως· ἐπεὶ προσκυνοῦμεν ἁγίοις, ἀλλ' οὐ λατρεύομεν αὐτοῖς, καὶ ἄρχουσι κατὰ νόμον θεοῦ, ἀλλ' οὐδ' αὐτοῖς λατρεύομεν. ἔπειτα μανθανέτω αὖθις ὅτι οὐ τῆς οὐσίας τῆς εἰκόνος ἐστὶ προσκύνησις (τοῦτο γὰρ ἔκτοπον καὶ τῶν λατρευόντων τῇ κτίσει παρὰ τὸν κτίσαντα ἔργον), ἀλλὰ τοῦ ἐν τῇ εἰκόνι προσκυνουμένου Χριστοῦ, ἀκοινωνήτου μενούσης παντάπασι τῆς εἰκονικῆς ὕλης πρὸς τὸν προσκυνούμενον ἐν αὐτῇ Χριστὸν τῷ ὁμοιώματι· ὅπερ ἐστὶν ἴδιον τῆς ὑποστάσεως Χριστοῦ, κεχωρισμένον τῆς ὕλης, κἂν ἐν αὐτῇ ὁρᾶται. καί μοι δοκεῖ τῷ ἐν κατόπτρῳ παραδείγματι ἐοικέναι· κἀκεῖ γὰρ οἱονεὶ διαγράφεται τοῦ ὁρῶντος τὸ πρόσωπον καὶ μένει ἔξω τῆς ὕλης τὸ ὁμοίωμα. κἂν δόξειεν ἀσπάσασθαι τὴν ἑαυτοῦ ἐκεῖσε εἰκόνα, οὐ τὴν ὕλην προσεπτύξατο, ὅτι μηδὲ δι' αὐτὴν πρόσεισιν, ἀλλὰ τὸ ἐν αὐτῇ ἀπεικονισθὲν αὐτοῦ ὁμοίωμα, δι' ὃ καὶ προσέφυ τῇ ὕλῃ. ἀμέλει μεταστάντος αὐτοῦ τοῦ ἐσόπτρου συναπέστη αὐτῷ ἅμα καὶ τὸ ἴνδαλμα, ὡς μὴ κοινωνοῦν τι τῇ τοῦ ἐσόπτρου ὕλῃ, ὥσπερ οὖν καὶ ἐπὶ τῆς εἰκονικῆς ὕλης, ὅτι ἀφανισθέντος τοῦ ἐν αὐτῇ ὁρωμένου ὁμοιώματος, ἐφ' ᾧ ἡ προσκύνησις, ἔμεινεν ἡ ὕλη ἀπροσκύνητος, ὡς μηδὲν κοινωνοῦσα τῷ ὁμοιώματι.

Ἔστω πάλιν δακτύλιος ἐγκεχαραγμένος βασιλικὴν εἰκόνα, εἶτα ἐκτυπούσθω ἐν κηρῷ, ἐν πίσσῃ, ἐν πηλῷ. ἡ μὲν οὖν σφραγὶς μία καὶ ἡ αὐτὴ ἀπαράλλακτος ἐν ἀμφοτέραις ταῖς ὕλαις, αἱ δὲ πρὸς ἀλλήλας διαφορούμεναι· οὐκ ἂν δὲ ἐν ταῖς διαφορουμέναις ἀπαράλλακτος ἔμεινεν ἢ παρὰ τὸ μηδὲν ταῖς ὕλαις κοινωνεῖν, ἀλλ' εἶναι αὐτὴν τῇ ἐπινοίᾳ τούτων κεχωρισμένην, μένουσαν ἐν τῷ δακτυλίῳ. οὕτως οὖν καὶ τὸ τοῦ Χριστοῦ ὁμοίωμα, κἂν ἐν ὁποιαοῦν ὕλῃ / κεχαρακτήρι-

---

87 Rom. 1,25

---

81 δόξει G: δόξῃ H οὐκοῦν om H 82 συνλατρεύεσθαι G τοῦ ante Χριστοῦ add S 83 post προσκυνήσεως exc fort voces καὶ λατρείας 84 ἐπειδὴ G ἀλλ' οὐ λατρεύομεν om G 85 οὐδὲ G μανθάνεται P 86 ἐστὶ V: ἔστι CS: ἐστὶν G ἡ ante προσκύνησις add G 87 τῇ κτίσει H^{sscr} 88 vocem Χριστοῦ post εἰκόνι add V Sirm 91 καν C: κἀν V ὡραῖον in marg P 92 διαγράφεται: συνδιαγράφεται G 93 κἀν V: κὰν P 94 δόξῃ G εἰκόνα ἐκεῖσε VP Sirm 95 πρόεισιν G 96 διὸ C^{ac}G μεταστάντος: ἀποστάντος S 97 κοινωνοῦν τί CS: κοινωνοῦντι VG Mi 102 δὲ post ἔστω add G βασιλικῇ εἰκόνι G 103 κηρῷ: καιρῷ Mi 105 διαφορούμεναι: διαφέρουσιν V οὐκὰν V 108 κἂν PH ὁποίᾳ οὖν CS

σται, ἀκοινώνητόν ἐστι τῇ ἐν ᾗ δείκνυται ὕλῃ, μένον ἐν τῇ τοῦ Χριστοῦ ὑποστάσει, ᾗσπέρ ἐστι καὶ ἴδιον. καὶ ἁπλῶς εἰπεῖν, οὐ λατρεύεται ἡ εἰκὼν τοῦ Χριστοῦ, ἀλλ' ὁ ἐν αὐτῇ προσκυνούμενος Χριστός, καὶ προσκυνητέον αὐτῇ κατὰ τὸ ταὐτὸν τῆς ὑποστάσεως τοῦ Χριστοῦ, παρὰ δὲ τὸ τῆς οὐσίας τῆς εἰκόνος διάφορον.

Οὕτω τοιγαροῦν, ὡς ἐμὲ γοῦν εἰδέναι, τῇ τῶν ἁγίων πατέρων διδασκαλίᾳ ἐπερειδόμενον, ἡ τῆς εἰκόνος τοῦ Χριστοῦ προσκύνησις. ἧς ἀναιρουμένης ἀνῄρηται δυνάμει καὶ ἡ Χριστοῦ οἰκονομία, καὶ ἧς μὴ προσκυνουμένης ἀνῄρηται ὡσαύτως καὶ ἡ Χριστοῦ προσκύνησις. καὶ διὰ τοῦτο, ὦ θεῖε πάτερ, σὺν φόβῳ καὶ εὐλαβείᾳ προσιτέον καὶ προσκυνητέον αὐτῇ, ὡς τῆς προσκυνήσεως ἐπὶ τὸν Χριστὸν διαβαινούσης, καὶ πιστευτέον χάριν θείαν ἐν αὐτῇ ἐπιφοιτᾶν καὶ ἁγιασμοῦ αὐτὴν ὑπάρχειν μεταδοτικὴν τοῖς πίστει προσιοῦσιν. ἐπεὶ καὶ ἐπὶ τοῦ τύπου τοῦ ζωοποιοῦ σταυροῦ, τῆς εἰκόνος τῆς τε παναγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων πάσης ἁγιωτικῆς εἰκόνος προσκυνήσεως διὰ μέσου τῶν κατ' αὐτὰς πρωτοτύπων ἐπὶ θεὸν ἀναβαινούσης καὶ διὰ τοῦτο μιᾶς καὶ μόνης οὔσης λατρευτικῆς προσκυνήσεως τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, δι' ἣν ἐπὶ τῶν ἄλλων αἱ διάφοροι προσκυνήσεις καὶ πρὸς ἣν ἡ ἀναφορὰ τῶν ἁπασῶν προσκυνήσεων ἑνιαία. εἰ δέ τι ἀγνοίᾳ ἐσφαλμένως εἴρηκα ἢ τοῦ καθήκοντος ἐνδεῶς ἢ πέρα, ὡς πατὴρ ἀγαθὸς τὸ μὲν ἐπανορθοῦν, τὸ δὲ ἀναπληροῦν, τὸ δὲ καὶ περιελεῖν ἀξίωσον, εὐχόμενος καὶ ὑπερευχόμενος τῆς ταπεινώσεώς μου καὶ νοεῖν ὀρθῶς καὶ λέγειν ἀπταίστως καὶ πράττειν ἀνεπιψόγως.

---

124 Bas. spirit. 18,45 (PG 32,149 C)

---

109 δέδεικται H **110** σημείωσαι in marg V **112** ταὐτὸν: αὐτὸν Sirm **116** τοῦ post ἡ inser Sirm **117** ἡ: τοῦ Mi τοῦ post ἡ inser Sirm προσκύνησις: hic desin epist in G **122** τε post εἰκόνος transp VS Sirm **123** πάσης – προσκυνήσεως: πᾶσα ἁγιαστικὴ εἰκόνος προσκύνησις S^{pc}VP Sirm ἁγιωτικὴ in marg V: ἁγιωτάτης H εἰκόνων Sirm **124** ἀναβαινούσης: ἀναβαίνει S^{pc}V Sirm **125** μιᾶς – προσκυνήσεως: μία καὶ μόνη ἐστὶν ἡ λατρευτικὴ προσκύνησις S^{pc}VP Sirm **126** vocem καὶ ante ἐπὶ add H **128** ἐσφαλμένον H εἴρηται H **129** ἐπανορθῶσαι H ἐπανορθοῦν – **130** ἀναπληροῦν: ἀναπληροῦν, τὸ δὲ ἐπανορθοῦν S καὶ' om V Sirm **131** καὶ ante τῆς add H

58. Τοῖς ἁγίοις μου πατράσι καὶ ὁμολογηταῖς Χριστοῦ, Ἰωάννῃ, Μιχαὴλ καὶ Βασιλείῳ

Καὶ νῦν ἐπιστεῖλαι εὖ ἔχειν ἐδοκίμασα τοῖς ἐμοῖς πατράσι, καὶ ἐπιστεῖλαι ὁμοῦ, ὡς τῆς αὐτῆς ἀρετῆς καὶ ὁμονοίας, μᾶλλον δὲ μαρτυρίας Χριστοῦ ἠξιωμένοις. ἐπειδὴ γὰρ εὐδόκησεν ὁ ἀγαθὸς θεὸς ἡμῶν ἀφεθῆναι καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς τῆς φυλακῆς τῇ μεσιτείᾳ τοῦ ἀγαθοῦ βασιλέως, ὥσπερ τι ἕδνον προσφέρω ὑμῖν τὸ γράμμα, χαίρων καὶ συγχαίρων / ὑμῶν τῇ πατρωσύνῃ καὶ τῇ, οἷον εἰπεῖν, κατὰ Χριστὸν νίκῃ. καὶ γὰρ νενικήκατε τὸν πονηρόν, ὦ θαυμάσιοι, καὶ ἔνδον διὰ τῆς πάλης τῶν λογισμῶν καὶ ἐκτὸς διὰ τῆς ἐνθέου ὑπομονῆς, μὴ κάμψαντες γόνυ τῷ ὑπηρετοῦντι δράκοντι. ἐκείνου γὰρ ἀριδήλως ὑπουργὸς Λέων ὁ παγκάκιστος, ἐκείνου θεραπευτής, ὁ τῆς εἰκόνος Χριστοῦ ὑβριστὴς καὶ τῶν ἁγίων φονευτής, ἑκάτερος ἑκατέρῳ συμφωνήσας καὶ συνθήκην ἄμφω ποιησάμενοι περιελεῖν τὸ ὄνομα Χριστοῦ δι' ἀφαιρέσεως τοῦ θείου καὶ προσκυνητοῦ αὐτοῦ χαρακτῆρος· ἐπεὶ μὴ πέφθακεν ὁ καιρὸς τῆς δευτέρας θείας ἐπιφανείας, ἵνα ὁλοφανῶς Χριστὸς ἀρνηθείη.

Ἀλλ' εὐλογητὸς ὁ θεός, ὅς καὶ τὸν διώκτην ὤλεσεν θανάτῳ περιβοήτῳ καὶ ἀξιολόγῳ τῆς ἀποστασίας (ἔδει γὰρ τὸν τεμόντα τὸ κυριακὸν σῶμα ξίφει κατατμηθέντα ἀπορρῆξαι τὴν ζωὴν) καὶ ὑμᾶς στεφανίτας ἀναδείξας κλέος τῇ ἑαυτοῦ ἐκκλησίᾳ περιεποιήσατο, ἀρετῆς ἀλείπτας, ἔρεισμα πίστεως, ἑδραιώματα ἀληθείας, ὑποδείγματα καρτερίας, τῷ ὄντι καθηγητάς, ὡς ἀληθῶς μοναστάς, ἀπεικονίσματα τῶν μακαρίων ἐκείνων καὶ πάλαι ἁγίων· οἳ ἐν τοῖς ὁμοίοις ἀνδρικοὶ γεγονότες τῷ ἀμαράντῳ τῆς δικαιοσύνης στεφάνῳ κατεκοσμήθησαν, χορεύοντες αἰώνια.

Τοιοῦτοι ὑμεῖς, καὶ ὑμῶν ὁ ἔπαινος ὑπέρτερος τῆς ἐμῆς οὐδαμινῆς γλώττης, τοσοῦτον δὲ μόνον ᾀδούσης, ὅσον τὸν καιρὸν ἀφοσιώσα-

---

58. a. 821 ineunte 7 βασιλέως: Michael II

8 Philipp. 2,17 11 Rom. 11,5 22 1 Tim. 3,15 25 2 Tim. 4,8

C VM PS

1 μου om S 5 ἐπειδὴ CS: ἐπεὶ cett Sirm 7 ἡμῶν post βασιλέως add S ἔδνον omnes: correxi 8 καὶ² om M 14 τὸ χριστοῦ ὄνομα M 15 τοῦ ante Χριστοῦ add S 18 ὤλεσε VMPS Sirm 21 ἀναδείξας: ἀποδείξας V 22 ἐρείσματα V Sirm (ἐρείματα) ἑδραίωμα M 23 τῳόντι S ὡσαληθῶς S μονάστας P 24 οἱ Sirm 27 καὶ ante ὑμεῖς add M οὐδαμεινῆς C 28 ἀφοσιώσασασθαι M

σθαι καὶ τὸν πόθον θεραπεῦσαι καὶ τὸ πνεῦμα ἀναζωπυρῆσαι εἰς ἄληκτον δέησιν τοῦ ἐπικληθῆναι θεὸν τέλειον ἡμῖν τὸ τῆς εἰρήνης ἀγαθὸν ἐξανατεῖλαι. ὁρᾶτε γάρ, ὦ σεβάσμιοι, ὅπως ἔτι κραδαίνει τὰ πράγματα; δυνατὸς δὲ ἐστὶ τῇ ἀρχῇ καὶ τὸ τέλος δεξιὸν συναναφάναι.

Εὔχεσθαι παρακλήθητε περὶ τῆς ταπεινώσεώς μου, ἀεισέβαστοι.

59. Τῇ ἡγουμένῃ τῶν Γόρδινα

Ἀπήτησεν ἡμᾶς ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Ἀντώνιος τὸ παρὸν γραμματεῖον, λέγων ὅτι τοῦτο ὑπεσχόμην πάλαι ποιῆσαι. καὶ δι᾽ αὐτὸ οὖν τοῦτο καὶ διὰ τὰς ἀποστολὰς ὑμῶν ἰδοὺ προσφθέγγομαι καὶ προσαγορεύω ὑμᾶς ὡς μητέρας, ὡς ἀδελφὰς ἐν Κυρίῳ, μεμνημένος τῆς ὑπαντῆς ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διαφυγοῦσαι τὴν κοινωνίαν τῶν αἱρετικῶν καὶ διατηρήσασαι ἀσπίλους ἑαυτὰς ἀπὸ τοῦ κόσμου.

Βλέπετε οὖν καὶ πρὸς τὸ ἑξῆς, ἅγιαι. ἐπειδὴ ἔτι ἐνίσταται ἡ ἀσέβεια, τηρήσατε τὴν παρακαταθήκην τῆς πίστεως ἄσυλον, ὡς, εἰ δέοι καὶ ἀποθανεῖν, μετὰ χαρᾶς προέσθαι ἑαυτὰς ἢ τῆς ζύμης μετασχεῖν τῶν ἑτεροδόξων. καὶ μὴν καὶ κατὰ τὸν βίον παρακαλῶ ὑμᾶς ὁσίως πολιτεύσασθαι. μὴ γίνεσθε κλέπτριαι δούλης ἡδονῆς, ἀλλὰ τῇ παρθενίᾳ, ᾗ Χριστὸς ὑμᾶς ἐνυμφεύσατο, ἁγνίζετε καρδίας καὶ σώματα, φεύγουσαι ἀρρένων ὄψεις ὁρᾶν, ὅσον δυνατόν· ἐκ γὰρ τοῦ βλέπειν πῦρ ἀνάπτεται καὶ φλέγει ἁμαρτία. ἡ ἡγουμένη ὡς ἡγουμένη ἔστω, ὑποτύπωσις ἀγαθοεργίας προκειμένη, αἱ μαθήτριαι ὡς / μαθήτριαι, ἓν θέλημα ἔχουσαι, μίαν καρδίαν, μὴ ἐρεσχελοῦσαι, μὴ βαττολογοῦσαι, μὴ ἰδιοκτημονοῦσαι, ἀλλὰ τὴν διδάσκαλον ἀναπνέουσαι, τὰ παρ᾽ αὐτῆς ἐγκεκριμένα φυλάττουσαι ἐν νόμῳ Κυρίου. εἰ δὲ ταῖς μαθητρίαις ταῦτα ἀνήκει, πόσῳ μᾶλλον τῇ καθηγουμένῃ, ἧς ὅσος ὁ μισθὸς τῆς προστασίας, τοσοῦτος καὶ ὁ κίνδυνος τῆς διαμαρτησίας. τὸ ἐμὸν καὶ τὸ σὸν λέγειν ἐν κοινοβίῳ οἰχέσθω, ὡς

---

30 ἐπικλιθῆναι C τέλεον VMP Sirm 32 σὺν ἀναφάναι C: συναναφῆναι S

---

59. a. 821 – 826 2 Ἀντώνιος: ad quem ep. 56 scripta

C VM PS (VMP ll. 1 – 9)

3 γραμμάτιον VMPS 9 ἔτι om VMP Sirm ἐνίσταται: hic desin epist in VP ἡ: hic desin epist in M 11 πρόεσθαι C

μυρίων πολέμων αἴτιον· τὸ ἰδιορρυθμεῖν καὶ ἰδιοπραγεῖν ἐξοριζέσθω, ὡς διαλυτικὸν εὐταξίας· τὸ γλωσσομαχεῖν καὶ θορυβοποιεῖν ἀπεληλάσθω, ὡς ἀνόσιον μοναζούσαις. ἀλλ' εἴ τι σιωπηλόν, εἴ τι εὐκτικόν, εἴ τι ψαλμικόν, εἴ τι ἐργαστικόν, ταῦτα πράσσετε, καὶ ὁ θεὸς τῆς εἰρήνης καὶ τῆς ἀγάπης ἔσται μεθ' ὑμῶν.

Προσεύχεσθε περὶ ἡμῶν τῶν ἁμαρτωλῶν, ἵνα καὶ ἡμεῖς σῳζοίμεθα. ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν.

60. Βασιλείῳ ἡγουμένῳ

Ἐν οἷς γέγραφεν ἡ τιμιότης σου, ἀδελφέ, ὑπέδειξεν ἑαυτὴν εὐδοκοῦσαν ἐν τοῖς ἐπιτιμίοις καὶ ἐπειγομένην πρὸς τὰ κρείττονα, καθὰ ἐξεδίδαξεν οὐ μόνον ὁ γραμματηφόρος, ἀλλὰ γὰρ καὶ πρὸ αὐτοῦ ὁ τιμιώτατος ἀδελφὸς ἡμῶν Πέτρος, ὁ καὶ σοὶ φιλούμενος· ἐφ' οἷς ἥσθην ὁ ταπεινὸς καὶ εὐχαρίστησα. οὐ γάρ τοι μικρόν τι καὶ εὐκαταφρόνητον ὃ πεπόνθαμεν, ὦ τᾶν, ἐπὶ τῇ ἀρνήσει τῆς εἰκόνος Χριστοῦ κεκοινωνηκότες, ἀλλὰ καὶ λίαν ἔκτοπον καὶ ἀρνητικὸν ἀριδήλως τῆς πίστεως, διότι ἡ τῆς εἰκόνος ἄρνησις ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει· καὶ ταὐτῇ τῇ ἀρνήσει Χριστοῦ πάντες οἱ ὁπωσοῦν κεκοινωνηκότες κεκοινωνήκασιν. ἐπεὶ δὲ πάλιν ἐξηγόρευκας καὶ ἐπιτρέψαι δέει τοῦ διώκοντος ἀφανίσαι εἰκόνας, χαλεπώτερον τὸ ἀνόμημα· ὅτι δὲ καὶ ὑπογράψαι ἔφης, ὁλόσωμος ἡ ἁμαρτία καὶ ἡ ἄρνησις.

Τί οὖν δεῖ ποιεῖν, ὅτι καὶ ἐπιζητοίης τὸ τῆς ὑγείας φάρμακον, καὶ οὐ φέρειν πάλιν φῂς τὴν κατ' ὀλίγον ἐπίθεσιν, ἀσθένειαν προβαλλόμενος καὶ τοῦτο κἀκεῖνο μᾶλλον εἰσδέξασθαι προαιρούμενος; στενά μοι ἑκατέρωθεν, καὶ ἐῶντι διὰ τὸ φιλάδελφον καὶ σμικρύνοντι

---

30 2 Thess. 3,18

24 πολέμων: σκανδάλων S

60. a. 821 – 826 5 Πέτρος: ad quem epp. 205 et 353 scriptae

9 Bas. spirit. 18,45 (PG 32,149 C)

C VM PS (VMP ll. 1 – 26)

6 ἥσθην C ηὐχαρίστησα VMP Sirm τοι CS: τι cett Sirm τι CPS: τε V Sirm: om M 7 τὰν S Χριστοῦ εἰκόνος VMP Sirm 10 ταυτῇ C: ταύτῃ cett Sirm πάντες om V ὅπως οὖν C 11 ἐξηγόρευσας V Sirm 15 ὑγιείας VP Sirm 16 κατολίγον CS

τὸ φάρμακον διὰ τὸ τῆς ἁμαρτίας μέγεθος. ὅμως συμπιεζόμενος μᾶλλον τῇ ἀγάπῃ ὁρίζω σὺν φόβῳ καὶ τρόμῳ τάδε· ἓν ἔτος ἄλλο ἀπόσχου, ἀδελφέ, τῶν ἁγιασμάτων, ἐφ' ἑκατέροις τοῖς συμπτώμασι, τῆς τῶν ἁγίων εἰκόνων κατενέξεως λέγω καὶ ἀσεβοῦς ὑπογραφῆς (ὑπογραφὴ γὰρ κἂν ὅτι μόνον ἑάλως σταυρὸν χαράξαι) ποιῶν καὶ τὰς προσευχὰς τὰς αὐτὰς καὶ γονυκλισίας ἄνευ ἀσθενείας. ἐπειδὴ δὲ ὀλίγον λίαν τὸ ἐπιτίμιον, ἐπιδόσει ἐλεημοσύνης ἱκανῆς ἀντισηκοῦσαν συνεισένεγκε τὴν ἀντιστάθμησιν. ὁπόσης δὲ ταύτης δηλώσει ὁ ἀδελφὸς Εὐσέβιος, ὃν σὺν ἑτέροις δυσὶν ἀδελφοῖς κατὰ τὴν αἴτησίν σου εἴασα εἶναι ἐν τοῖς αὐτόθι οἰκονομίας τρόπῳ, τοῦ τε ἐκείνους καταπαῦσαι ἀλωμένους ὧδέ τε κἀκεῖσε καὶ τοῦ σὲ σχεῖν παραμύθιον εὐψυχίας, οὐ μὴν τοῦ ἐν ᾧ τόπῳ καθέζῃ μοναστηρίου, ἀλλαχῇ δέ που, ὑποτελοῦντι τῇ μονῇ ἀγριδίῳ.

Φύλαξαι οὖν, ἀγαπητέ, πρὸς τὸ ἑξῆς, καθὰ καὶ ὑπέσχου, τοῦ μηδόλως ἔτι ὑποπεσεῖν μήτε μὴν ἀπιέναι εἰς ὄψιν τοῦ Ἀντωνίου, ἀλλ' ἑτοίμως ἔχειν ἐκστῆναι οὐ μόνον μοναστηρίου, ἀλλὰ καὶ τῆς σαρκὸς εἵνεκα τῆς ἀγάπης Χριστοῦ.

61. Γρηγορίῳ ἡγουμένῳ

Ἤδη ἐπεστείλαμέν σοι κατὰ τὴν ὑπόσχεσιν ὡς ἡμετέρῳ υἱῷ ποιμαίνειν τὸ αὐτόθι ποίμνιον μετ' ἐπιστήμης κατ' ἐντολὴν τοῦ Κυρίου, μηδὲν παραθεωροῦντι τῶν συντεινόντων εἰς ὠφέλειαν τῶν ἀδελφῶν. εἰ γὰρ ὁ τὰ ἄλογα πρόβατα ἐμπιστευθεὶς οὐ καθεύδει, ἀλλ' ἀγρυπνεῖ, οὐδὲ ἀμελεῖ, ἀλλὰ πυκτεύει νύκτωρ καὶ μεθ' ἡμέραν μήτε θηριάλωτόν τι ἐργάσασθαι μήτε ἀλίπαντον, ἀλλὰ καὶ κλέπτας καὶ λῃστὰς κατασκοπεῖ καὶ θῆρας ἀποσοβεῖ καὶ προσλαλεῖ τοῖς θρέμμασιν, καὶ ἔμπροσθεν αὐτῶν πορευόμενος τὰς τροφὰς αὐτοῖς περιποιεῖται, ἐφ' ὕδωρ

27 Εὐσέβιος: ad quem ep. 212 scripta 33 Ἀντωνίου: cf. adn. ad ep. 59,2

23 κὰν C: κἂν P καὶ τὰς om M 25 ἀντισήκουσαν C 26 ἀντεισένεγκε M δηλώσει: hic desin epist in VMP 27 εὐσέβειος C 30 μοναστηρίῳ C ἀλλαχὴ C 33 μηδ' ὅλως C

61. a. 821 – 826? 2 ἐπεστείλαμεν: ep. 64 an epistula perdita?

C VM PS

6 μεθημέραν VPS Sirm 8 θρέμμασι VMPS Sirm 9 αὐτῶν: αὐτοῖς S ἐφύδωρ C

ἀναπαύσεως καὶ σκιαδίων περιορίζων, καὶ ὅσα ἄλλα ἔστιν ὁρᾶν ἐν ποιμαντικῇ ῥάβδῳ, τί δεῖ καὶ πόσον εἶναι τὸν ψυχῶν λαχόντα προστατεῖν, ὧν τὸ αἷμα, εἰ κατά τι ἀμελὲς γίνοιτο, ἐκ τῶν χειρῶν αὐτοῦ ἐκζητηθήσεται, καθὰ γέγραπται;

Ἐπίστηθι οὖν λοιπόν, ὦ τέκνον, γρηγορῶν τῇ ποιμνιαρχίᾳ, ἴασαι τοὺς ἠσθενηκότας, ἐπίστρεφε τοὺς πεπλανημένους, παρακάλει, νουθέτει, ὑπομίμνησκε τὴν ἐπηγγελμένην βασιλείαν τοῖς ἁγιοπρεπῶς πορευομένοις καὶ ἐκ τοῦ ἐναντίου τὴν ἀτελεύτητον κρίσιν τοῖς ἐμπαθῶς διαζῶσιν, ἵνα οὕτως καὶ σεαυτὸν σώσῃς καὶ τοὺς ἀκούοντάς σου. ὁ ἀγαπῶν ἐπιμελῶς παιδεύει, ὁ δὲ μισῶν ἐᾷ ἀδιαφορεῖν τοὺς ἑπομένους. ἀλλὰ καὶ ὑμεῖς, ἀδελφοὶ καὶ τέκνα ἐν Κυρίῳ, ὡς πρόβατα Χριστοῦ ἔσεσθε, φιλοῦντες τὰς ἐντολὰς αὐτοῦ ἐργάζεσθαι καὶ μοναχικῶς ἀναστρέφεσθαι, ἀλλὰ μὴ κοσμικῶς. ἓν ἔστω θέλημα πάντων, μία καρδία, μία ψυχή, μὴ τὸ ἐμὸν καὶ τὸ σόν, πάντα κοινά, πάντα καθαρὰ διὰ τῆς ἐξαγορεύσεως· εἰ δὲ μὴ οὕτως, καὶ τὸν κοσμικὸν ἀπωλέσατε καὶ μοναχοὶ μὴ ὄντες ἀληθινοὶ ὑπόδικοι γενήσεσθε κατακρίσεως δικαίας.

Ἀγαπῶντες ὑπεμνήσαμεν. ὑμεῖς δὲ εὖ πράξοιτε καὶ τῷ θεῷ εὐαρεστήσοιτε, εὐχόμενοι καὶ περὶ ἡμῶν τῶν ἁμαρτωλῶν, ὧν διδάσκομεν, τούτων ἐργάται εἶναι ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα. ἀμήν.

62. Εἰρήνῃ καὶ Εὐφροσύνῃ μοναζούσαις

Εἰσερχομένου τοῦ ἀδελφοῦ καὶ παροικονόμου εὔ/καιρον ἡγησάμεθα χαράξαι ὑμῖν βραχεῖαν συλλαβήν, ταῖς κατὰ Κύριον ἀδελφαῖς. καὶ δὴ ἐρωτῶμεν, πῶς ἔχει ἡ ἁγία δυὰς ὑμῶν, αἱ πᾶσαι ἀδελφαί. ὁρᾶτε πῶς ὡς οὐκ ἄλλαις ἀδελφαῖς ὑμῖν προσκείμενοι κατὰ θεὸν ἐρωτῶμεν καὶ διαλεγόμεθα; καὶ εἰκότως· οὗ γὰρ πίστις, ἐκεῖ καὶ

---

12 Ez. 3,18; cf. Luc. 11,50 18 1 Tim. 4,16 19 cf. Prov. 3,12; Hebr. 12,6 23 Act. 4,32

10 voces καὶ σκιαδίων post περιορίζων transp M ἐστὶν CMS 11 τόν: τῶν C Sirm 12 ἀμελὲς CS: ἀμιγὲς cett Sirm 18 ζῶσιν M^{ac} 23 τὸ ἐμὸν καὶ τὸ σόν: καὶ τὸ ἐμὸν τὸ σὸν Sirm 24 εἰδεμὴ 30 ἀμὴν om V

62. a. 821 – 823

C VM PS

3 post συλλαβὴν abbrev $κν^{sscr}$ cancell V 4 ἁγία in marg C 5 ὡς: καὶ Sirm

πόθος, ἕλκων καὶ ἀνθελκόμενος διὰ Πνεύματος Ἁγίου, οὗ δὲ ταῦτα, ἐκεῖ καὶ φροντὶς σώσματος. διὰ τοῦτο γράφομεν παρακαλοῦντες ὑπὲρ Χριστοῦ οἱ ἀνάξιοι ἔχεσθαι ὑμᾶς τῆς καλῆς ὁμολογίας, ἧς ὡμολογήσαμεν ἅπαντες ἐνώπιον θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ζῆσαι ἐν Κυρίῳ ἐν τῇ ἀποθέσει τοῦ σαρκικοῦ φρονήματος, ὅπερ ἐστὶ τὸ ῥαγῆναι τῶν δεσμῶν τῆς προσπαθείας τοῦ τῆδε αἰῶνος καὶ μετὰ θεοῦ γενέσθαι, ὃν καὶ ἠγαπήσαμεν, ᾧ καὶ ἐνυμφεύθημεν, μεθ' οὗ καὶ συνεσόμεθα εἰσαεί. τοῦτον, ἀδελφαί, ἀναπνέομεν ἀεί, τοῦτον ἐρωτευόμεθα τὸν ἀληθινὸν ἔρωτα, τὸν ἀπρόσιτον πόθον, τὸν μόνον δεσπότην οὐρανοῦ καὶ γῆς· οὗ ἡ πρὸς ἀνθρώπους ἀγάπησις τοσαύτη, ὡς δούλου μορφὴν αὐτὸν ἀναλαβεῖν εἰς τὸ ἀνακαλέσασθαι ἡμᾶς τῆς φθορᾶς καὶ θεοὺς ἀπεργάσασθαι. ὡς μεγίστη ἡ ἐπαγγελία· ὡς ἐξαίσιον τὸ ἐν οὐρανοῖς ἀπάντημα. ἐκεῖ ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος· ἐκεῖ αἱ τὴν παρθενίαν ἐνδεδυμέναι τῷ ἀφθάρτῳ νυμφίῳ συναφθήσονται· ἐκεῖ αἱ τὴν ὑποταγὴν καὶ ὑπακοὴν ἐξασκήσασαι ὡς ἄρχουσαι Χριστοῦ χορεύσουσιν αἰώνια, αἱ δὲ ἐναντίαι τὰ ἐναντία δῆλον ὅτι πείσονται.

Ὥστε, ἀδελφαὶ σταυροφόροι, μὴ λάθωμεν ἑαυταῖς ἀντὶ ζωῆς καὶ χαρᾶς ἀπείρου κόλασιν καὶ πῦρ αἰώνιον θησαυρίζουσαι δι' ἀμελείας καὶ φθορᾶς σαρκός, παρακοῆς τε καὶ ἐμπαθοῦς ἀναστροφῆς. ἡ ἀρετὴ ἐκ θεοῦ καὶ θεία, ἡ κακία ἐκ σατανᾶ καὶ σατανᾶς· οἱ τὴν πρώτην ἑλόμενοι θεοῦ καὶ θεοί, οἱ τὴν δευτέραν δαίμονες καὶ τοῦ σατανᾶ. οὕτως ὑμᾶς καὶ νῦν δεξιούμεθα. καὶ μὴ βαρὺς ὑμῖν λογισθείην ὡς φορτικὰ λαλῶν, ἀλλὰ μᾶλλον ἡδὺς ὡς ὑπὲρ θεοῦ παραινῶν. καὶ οὐ πρὸς τὰς κυρίας ὁ λόγος (αὐταὶ γὰρ διδάσκαλοι καὶ ἑτέρων), ἀλλὰ πρὸς τὸ τῆς ἀδελφότητος πλήρωμα, ὅπερ φυλαχθείη ἔτι τε καὶ ἔτι εὐεκτοῦν, εὐθηνοῦν εἰς καύχημα καὶ ἐμοὶ ὡς παρακλήτορι εἰς ἡμέραν Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

---

32 ἀδελφότητος: virgines monasterii Clubii; cf. p. 205* adn. 213

---

17 Philipp. 2,7 19 Matth. 13,43

---

8 σώσματος C: σώματος cett Sirm (sed cf ep 463,13) 9 ἡμᾶς MP Sirm 10 τῶν ἐκλεκτῶν om M 13 μεθοῦ C 14 εἰς ἀεὶ C ἀδελφαὶ – τοῦτον om VMP Sirm ἐρωτευώμεθα VMP Sirm 17 δούλου – ἀναλαβεῖν: ἀναλαβεῖν δούλου μορφὴν αὐτὸν V 21 ὑποταγὴν καὶ om M 22 χορεύουσιν P 23 δηλονότι VMPS Sirm 24 λάθομεν C ἑαυτὰς S 25 ἀποθησαυρίζουσαι VMP Sirm 26 σαρκὸς φθορᾶς S 28 θεοὶ καὶ θεοῦ VMP Sirm 33 εὐθηνὸν M[ac] ἡμέραν P[pc]

63. Ἀβολίῳ καὶ Ἰωάννῃ μονάζουσιν

Προσηγορίαν ὑμῶν τῶν ἁγίων κομισάμενος παρὰ Ἠσαΐου τοῦ θεοφιλεστάτου ἐπισκόπου καὶ πνευματικοῦ πατρὸς οὐ μόνον ἐξεδιδάχθην, τίς ἡ ὁσία καὶ πατρικὴ ὑμῶν δυάς, ἀλλὰ γὰρ καὶ προετράπην χαράξαι ὑμῖν τήνδε τὴν οἰκτρὰν συλλαβήν. ἡμεῖς δὲ ταπεινοὶ μὲν καὶ ἁμαρτωλοί, ὅμως φιλοῦντες ὑμᾶς ἀνάψαι εἰς ἀγάπην, ἧς οὐδὲν προτιμότερον, ἄλλως τε καὶ ὑπακοὴν πληροῦντες, ἐπεδώκαμεν ἑαυτοὺς τῷ γράμματι. καὶ δὴ εὐχαριστοῦμεν τῷ θεῷ ὅτι καὶ ὑμεῖς ἐν τῷ σεισμῷ τῆς εἰκονομαχικῆς αἱρέσεως ἄσειστοι διεμείνατε, ἅγιοι πατέρες, μὴ ἁλόντες τῇ κατ' αὐτὴν ψυχοφθόρῳ κοινωνίᾳ, ἀλλὰ τῇ φυγῇ τὸν τοῦ διωγμοῦ θεομακάριστον στέφανον κομισάμενοι, ἄξιον ὄντως τῆς ἀρετῆς καὶ κατάδηλον τῶν προδιηνυσμένων ὑμῖν ἀσκητικῶν ἀγώνων· διότι ἐκ τῶν ἤδη φθασάντων ἀπόδειξιν ἐκφέρει πᾶς τις τοῦ προτέρου βίου. εὖ τε καὶ ὡς ἑτέρως ἔχει· οἱ τὴν ὁσιότητα ἀμπεχόμενοι ἐνεδύσασθε καὶ τὴν ὁμολογίαν Χριστοῦ, ἀμφικαλλεῖς γενόμενοι. ὁμολογία γὰρ Χριστοῦ, πατέρες, ἡ τῆς ἁγίας αὐτοῦ εἰκόνος ὑπερμάχησις, ὡς καὶ ἔμπαλιν ἀθετῶν ἐστι Χριστὸν ὁ ταύτην ἐξαρνούμενος· διότι, φησὶν ὁ Μέγας Βασίλειος, ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, καὶ ἐν ἑκατέρῳ ἑκάτερον καὶ ὁρώμενόν ἐστι καὶ προσκυνούμενον, κἂν Λέων ὁ θηριώνυμος καὶ τοῦ σατανᾶ ὑπηρέτης / ζήλῳ τῆς τοῦ πάλαι Κωνσταντίνου δυσσεβείας μανεὶς ἐμάνη κατὰ Χριστοῦ, τῆς τε ἁγίας μητρὸς αὐτοῦ καὶ παντὸς ἁγίου· οὗ τὸ μνημόσυνον ὄλοιτο μετ' ἤχους ἀναθέματος αἰωνίου. ὑμεῖς δὲ φυλαχθείητε τῇ τοῦ θεοῦ ἐκκλησίᾳ στῦλοι καὶ ἑδραιώματα, ἡμῖν τε τοῖς ταπεινοῖς πρὸς θεὸν τὸν ἀγαθὸν προασπισταί τε καὶ παρακλή-

---

63. a. 821 – 826 2 Ἠσαΐου: cf. ep. 538,3 20 θηριώνυμος: de Leone V legitur etiam apud Georg. Mon. hist. 1,22 (p. 776 Bekker) aliosque; cf. E. Follieri, in: EEBS 39 – 40 (1972 – 1973) 350 adn. 12 23 ἤχους: ad vocem cf. Blass – Debrunner – Rehkopf 41

7 cf. 2 Cor. 10,6 14 cf. Aristid. or. 13,166 (I 274 Dindorf) εὖ τε καὶ ὡς ἑτέρως χωροῦσιν 18 Bas. spirit. 18,45 (PG 32,149 C) 24 1 Tim. 3,15

C (S_1) PS_2

1 περὶ ἁγίας εἰκόνος titulo add PS_2 2 Ἡσαΐου codd Mi 3 πνευματικοῦ S_2^{sscr} 11 θεομακάριστον: τρισμακάριστον praeter necessitatem coni Sirm 19 διαβαίνει PS_2 inscr γράφεται ἀναβαίνει in marg 20 καν C 22 ἐμάνει C 23 μετήχους C: μετ' ἤχου S 24 ὑμῖν S^{ac}

τορες, ὡς ἂν τὴν πίστιν ἐνεργουμένην δι' ἀγάπης ἔχοντες σωθείημεν ἀπὸ τοῦ πονηροῦ.

Ἐπειδὴ δὲ ἐπεστείλαμεν, τὸ τῆς ἀγάπης ἔργον πληροῦντες, καὶ ἀντιδεξοίμεθα λόγον ἐγγράμματον, ἵνα μᾶλλον καὶ γνωρίσωμεν ἀλλήλους καὶ ὡς ὁρῶντες ὁρώμενοι τῇ γραμματικῇ προσφωνήσει διαμενοῦμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· οὗ ἡ ἄχραντος εἰκὼν σωτηρία κόσμου, τῆς εἰδωλικῆς πλάνης ἀντίθετος.

64. Τῇ περὶ τὸν πνευματικὸν υἱὸν Γρηγόριον ἀδελφότητι

Ἀδελφοὶ καὶ πατέρες, παρακληθεὶς ὑπὸ τοῦ πατρὸς ὑμῶν ὡς πατὴρ κἀκείνου καὶ ὑμῶν δι' ἐκείνου λαλῆσαι ὑμῖν τὰ πρὸς σωτηρίαν, καὶ ἐπείσθην εἰκότως καὶ φθέγγομαι ὁ ταπεινός, ἔνθεν ἑλών. ἡ / σωτηρία ἡμῶν, τέκνα ἀγαπητά, πιστεύειν ὀρθῶς εἰς τὴν Ἁγίαν Τριάδα καὶ ἔργα ἔχειν μαρτυρούμενα ὑπὸ τῶν ἁγίων ἐντολῶν τοῦ θεοῦ. ἐν γὰρ Χριστῷ Ἰησοῦ, καθώς φησιν ὁ ἀπόστολος, οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη· καὶ ὁ μὲν τῆς πίστεως λόγος εἰς τὸ τῆς ὀρθοδοξίας δόγμα, ὁ δὲ τῆς ἀγάπης εἰς τὸ τῆς εὐπραξίας θεώρημα ἀναφέρεται.

Πιστεύομεν οὖν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἅπερ ἐστὶ τρία πρόσωπα, μία φύσις, μία δύναμις, μία ἀρχικὴ τῶν ἁπάντων βασιλεία, ἐν ἑνὶ ὡς φύσει καὶ θελήσει καὶ ἐνεργείᾳ προσκυνουμένη κράτει καὶ κλέει. πιστεύομεν ὡς ὁ εἷς τῆς Ἁγίας Τριάδος, ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ καὶ πατρός, δι' ἄκραν ἀγαθότητα κενώσας ἑαυτόν, μορφὴν δούλου ἔλαβεν ἐν τῷ καθ' ἡμᾶς εἴδει ὀφθείς· τοῦτο γάρ ἐστιν, ὅ φησιν ὁ Θεολόγος, καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ὅ φησιν ὁ μέγας ἀπόστολος, θεὸς ἐφανερώθη ἐν σαρκί. καὶ ἔστιν εἷς καὶ ὁ αὐτὸς ἐν δυσὶ φύσεσιν, τέλειος θεὸς καὶ τέλειος ἄνθρωπος, καὶ ἐν ἑκατέρῳ

---

26 ὡσὰν S

---

64. a. 821 – 826?

6 Gal. 5,6 15 Philipp. 2,7 17 Joh. 1,14 18 1 Tim. 3,16

C (S_1) VM PS_2 (ll. 2 – 12)

1 titulum epistulae erasit S_2 πνευματικὸν: Πατρίκιον V Sirm Γρηγόριον om V Sirm δογματικὴ περὶ θεολογίας καὶ περὶ τῆς (om Sirm) τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ἰησοῦ χριστοῦ παναχράντου καὶ ἱερᾶς εἰκόνος titulo add P: in marg Sirm 2 ὑπὸ: παρὰ Sirm 5 ἀγαπητά: ἠγαπημένα Sirm 7 τι om Sirm 12 μία[1]: hic desin epist in S_2 19 φύσεσι VMPS Sirm

τελείῳ οὐχ ὑφείς τι ἰδίωμα ἀπρόσληπτον, ἔχων δὲ μᾶλλον πάντα τὰ τοῦ πατρὸς θεϊκῶς καὶ πάντα τὰ τῆς μητρὸς ἀνθρωπικῶς, ὡς υἱὸς γνήσιος. ὡς οὖν ἐκ πατρὸς ἀπερίγραπτος, οὕτως ἐκ μητρὸς περιγραπτός, ἤγουν ἐξεικονιζόμενος μητρομοίως.

Οἱ οὖν εἰκονομάχοι, περὶ ὧν καὶ τὸ ταῦτα δογματίζειν, μὴ ὁμολογοῦντες αὐτὸν περιγράφεσθαι εὑρίσκονται ἀσφαλῶς μηδὲ ὁμολογεῖν αὐτὸν γνήσιον υἱὸν τῆς μητρός· ποῦ γὰρ τὸ γνήσιον καὶ οὐ πάντῃ μᾶλλον ἀλλότριον, ἂν μὴ κατὰ τὴν γεννήσασαν ἐν πᾶσι τοῖς φυσικοῖς ἰδιώμασιν εἶεν ἂν καὶ τὸ γέννημα; ὡς γὰρ κατὰ τὴν περιγραφὴν οὐδεμίαν κοινωνίαν ἔχει πρὸς τὸν πατέρα, ἀλλὰ πρὸς τὴν μητέρα, οὕτως οὐδὲ κατὰ τὴν ἀγραφίαν τὸ ἔμπαλιν· πρὸς τὸν γεννήσαντα γὰρ ἡ κοινωνία, οὐ πρὸς τὴν τεκοῦσαν. οὕτως τὸ ὀρθὸν δόγμα τῆς ἀληθείας, αὕτη ἡ ἀποστολικὴ πίστις, περιγραπτὸν ὁμολογεῖν τὸν Χριστὸν ἐν σαρκί. καὶ γοῦν ὁ Μέγας Βασίλειος, ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός, καὶ τὴν ἐγγεγραμμένην εἰκόνα τιμᾶν, ὡς ἐν αὐτῇ προσκυνουμένου Χριστοῦ. ἐν γὰρ τῇ εἰκόνι βοᾷ ὁ χρυσοῦς Χρυσόστομος ἰδεῖν ἄγγελον· καὶ εἰ τὸν ἀσώματον ἐν εἰκόνι, πόσῳ οὖν μᾶλλον τὸν ἐνσώματον λόγον; καὶ εἰ ὁρᾷ, δῆλον ὅτι καὶ προσκυνεῖ ἐν εἰκόνι τὸν ἄγγελον ὥσπερ καὶ τὸν Χριστόν· τὸ γὰρ ἀξιωθῆναι ἰδεῖν ἐν γραφῇ ἴσον ἐστὶ τῷ προσκυνεῖν. ἐπείπερ καὶ ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, ὡς πάλιν φαίη ὁ θεῖος Βασίλειος. ἀρνηταὶ τοιγαροῦν εἰσι Χριστοῦ οἱ τῆς εἰκόνος αὐτοῦ ὑβρισταί, διὰ τῆς ἐπ' αὐτῇ ἀθετήσεως εἰς αὐτὸν τὴν ἀθέτησιν ἀναφέροντες, κἂν λέγωσιν ὁμολογεῖν Χριστόν· ἐπεὶ καὶ τὰ δαιμόνια ὁμολογοῦσι, φησί, θεόν, τοῖς δὲ ἔργοις ἀρνοῦνται.

Μέγα οὖν, ἀδελφοί, τὸ ἀσέβημα αὐτῶν καὶ μεγάλη ἡ ὁμολογία ἡμῶν καὶ οὔ τί που ἀποδέουσα τῶν πάλαι μαρτύρων. στῆτε οὖν / κραταιοί, μηδόλως ὀκλάζοντες περὶ τῶν ἤδη ἀποδεικτικῶς ἠληθευμένων, ἀλλὰ ταύτῃ τῇ πίστει μέχρις αἵματος, εἰ καλοίη καιρός,

33 Bas. in Barl. 3 (PG 31,489 B); cf. Conc. Nic. II (XIII 80 D Mansi) 35 Jo. Chrys. de legisl. 6 (PG 56,407); cf. Conc. Nic. II (XIII 9 A Mansi) 40 Bas. spirit. 18,45 (PG 32,149 C) 44 Tit. 1,16 48 Hebr. 12,4

20 τὰ ante πάντα transp Sirm πάντα om VM 22 τοῦ ante πατρὸς inser Sirm τῆς ante μητρὸς inser Sirm 28 περὶ γραφὴν C 31 οὐ: οὐχὶ VM 33 γοῦν: γὰρ VM 38 δηλονότι S 39 τὸ: τοῦ S ἴσον VMP τῷ: τὸ CS 41 φαίη: φησὶν VM Sirm θεῖος: μέγας V Sirm τοιγὰρ οὖν C 42 αὐτῇ: αὐτῆς Sirm 43 κἂν – Χριστόν om VM 44 θεόν: χριστὸν VM 46 οὐτίπου Sirm 47 κραταιῶς V Sirm μηδ' ὅλως CS 48 μέχρις αἵματος om VM

ὑποδυόμενοι τοὺς ἀγῶνας. ἐντεῦθεν ἀνατέλλει καὶ ὁ φαεινὸς βίος, ἐξ ἡλίου ἥλιος, ἐπείπερ θάτερον θατέρου μαρτύριον ὁ ἀδελφόθεος ἀποδέδειχεν εἶναι. ἀγαπᾶτε τὸν θεὸν ἐξ ὁλοκλήρου τῶν τριῶν δυνάμεων, καθὼς ἡ ἐντολὴ κελεύει, ἀγαπᾶτε καὶ ἑαυτοὺς ὡς μέλη Χριστοῦ· ἐν τούτῳ γάρ, φησί, γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. διὰ πίστεως ἄγετε τὸν καθηγούμενον ὑμῶν. μηδεὶς ἔστω ἀνεξαγόρευτος αὐτῷ· ὁ γὰρ τοιοῦτος ὀφιοτρόφος. μηδεὶς χλιαρόπιστος· ὁ γὰρ τοιοῦτος ἀμέτοχος τῆς τοῦ Ἁγίου Πνεύματος ζέσεως. μηδεὶς κρυφιοκτήμων· ὁ γὰρ τοιοῦτος ἰουδοκλέπτης. μηδεὶς ἰδιόγνωμος· ὁ γὰρ τοιοῦτος ἐξωμόναχος. μηδεὶς παρρησιοποιός· ὁ γὰρ τοιοῦτος φθορεργάτης. μηδεὶς κλεψιφάγος· ὁ γὰρ τοιοῦτος δουλόμοιος. μηδεὶς ἐν μηδενὶ διδοὺς προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ὡς βοᾷ ὁ ἀπόστολος, ἀλλ' ἐν παντὶ συνιστῶν ἑαυτὸν ὡς θεοῦ διάκονος ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν στενοχωρίαις καὶ τοῖς λοιποῖς, οἷς αὐτὸς ἀπηριθμήσατο, καταρτίζων τὸν ἀληθινὸν χριστιανόν. εἰ δὲ ὁ ὑπήκοος οὕτως, τί καὶ πόσον ἀπαιτοῖτο ὁ καθηγούμενος, τύπος ἀγαθὸς ὢν διδάσκει ὀφείλων προκεῖσθαι;

Μέγας ὁ ἀγών, ἀλλὰ καὶ ὁ μισθὸς ἀπειροπλάσιος, βασιλεία οὐρανῶν, ἧς ἀξιωθείημεν καὶ ἄρχοντες καὶ ἀρχόμενοι, θείως βιοτεύοντες ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

65. Κανονικαῖς Πριγκίπου

Χθὲς ἰδὼν ὑμᾶς, τὰς ἐν Κυρίῳ ἀδελφάς, ἐπεὶ κατεπεῖγον ἦν διὰ τὴν τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου ἀσθένειαν, ἐκωλύθην ὑμῖν

---

50 Jac. 2,17 f. 52 1 Cor. 6,15 53 Joh. 13,35 60 2 Cor. 6,3 sq.

50 μαρτύριον post ἀδελφόθεος transp S 51 ἀποδέδεικται VM ἐξολοκλήρου C: ἐξ ὁλοκλήρων VM 54 ἔχετε Mi 55 γὰρ V^{sscr} 57 κρυφοκτήμων VM 58 ἐξομόναχος CS 62 διάκονον M Sirm 71 τῶν αἰώνων om M

65. a. 821 – 826 1 κανονικαῖς: cf. p. 207* adn. 219; adn. ad ep. 141,1 3 ἀρχιεπισκόπου: Josephus

C VM PS

1 πριγκίπου titulo add VMP Sirm: om CS

λαλῆσαι ὅσον ἐχρῆν· νυνὶ δὲ διὰ τοῦ γράμματος τὸ ἐλλιπὲς ἀναπληρῶσαι καλῶς ἔχειν ἐνόμισα. εἶδον ὑμῶν τὴν ἀδελφότητα ὅση καὶ ἡλίκη, ὅτι τε καὶ πλήθει ηὐξημένη καὶ συνέσει διαφέρουσα, καὶ ἐδόξασα τὸν ἀγαθὸν θεὸν ἡμῶν, ὃς συνήγαγεν ὑμᾶς τοσοῦτον πλῆθος ἐπὶ τὸ αὐτὸ τῷ σταυροφόρῳ βίῳ δουλεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. τίνα οὖν ἐπαινέσω, τὴν καθηγουμένην πλέον ἢ ὑμᾶς τὰς ἑπομένας καὶ ὑποτασσομένας; ἀμφότεραι ἐγκωμίων πλήρεις, αἴνων καὶ ἐπαίνων· καὶ οὐ μόνον κατὰ τὸ συναφὲς τῆς πνευματικῆς ζωῆς, ἀλλ' ὅτι καὶ βίῳ ἠκριβωμένῳ κατά τε ἐγκράτειαν καὶ τὴν ἐφ' ἑαυταῖς δουλείαν καὶ πᾶσαν διακονίαν, καθὰ μεμάθηκα, διατηρεῖσθε.

Εὐλογημέναι ὑμεῖς ἐν Κυρίῳ· μακάριον τὸ σύνταγμα ὑμῶν· αἰνετὸν τὸ πολίτευμα / ὑμῶν. πᾶσαι νύμφαι Χριστοῦ· ἑκάστη παρθένος, ᾀσματικῶς εἰπεῖν, κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη, ῥόδον εὐοσμίας θεοῦ, κρῖνον ἀχραντίας. ὢ καλοῦ παραδείσου· ὢ λειμῶνος θεοτερποῦς. Χριστὸς ἐν μέσῳ ὑμῶν, ὅς ἐστι τὸ ξύλον τῆς ζωῆς.

Ἀλλ' ἐπειδὴ πρὸς πεῖραν καὶ δοκιμὴν ἀρετῆς ἔστι καὶ τὸ φυτὸν τὸ ἀπειρημένον, ὅπερ ὡραῖον εἰς κατανόησιν, οὐ μὴν ὅπερ φαίνοιτό ἐστιν, ἀλλὰ πικρὸν καὶ θανάσιμον τῇ μεταλήψει (καὶ τί τοῦτο ἀλλ' ἡδονή, ὑφ' ἧς ἑάλω Εὔα ἡ προμήτωρ;), ὑπομνήσκομεν καὶ παραινοῦμεν μήποτε ἅψασθαι ὑμᾶς τοῦ θανασίμου καρποῦ, ἀλλὰ μεταλαμβάνειν τῆς ἐντολῆς τοῦ πανωραίου καὶ ἀληθινοῦ ὡς ἀληθῶς καρποῦ, ὑπακοῇ καὶ ταπεινοφροσύνῃ κεχρημένας, ἀγάπῃ τῇ εἰς ἀλλήλας καὶ ἀφθονίᾳ, ἀκτημοσύνῃ καὶ εἰρηνοποιΐᾳ. οὕτω γὰρ βιοῦσαι δοξάσοιτε τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι, καθὰ βοᾷ ὁ ἱερὸς ἀπόστολος· οὕτω καὶ μᾶλλον πληθυνθήσεσθε· οὕτω κἀνταῦθα ὀνομασθήσεσθε ὀνόματι ὁσιότητος καὶ ἐν τῷ μέλλοντι αἰῶνι συνδοξασθήσεσθε· εἴπερ γὰρ συμπάσχομεν, καὶ συνδοξασθησόμεθα, γέγραπται. καὶ τί λοιπὸν ὡραιότερον ὑμῶν; τί δὲ σεβασμιώτερον θυγατέρας θεοῦ καλεῖσθαι, ἀναθήματα ἱερά, ναοὶ παρθενίας;

Ἐπεὶ οὖν ταῦτα, χαίρετε, ἀδελφαί, ἐν Κυρίῳ, χαίρετε, μισοῦσαι τὴν χαρὰν τοῦ κόσμου, μισοῦσαι τὸ πρὸς τοὺς κατὰ σάρκα ἰδίους

---

5 ἀδελφότητα: in monasterio insulae Principi

7 Act. 15,30 8 Luc. 1,75 16 Cant. 4,12 18 Gen. 2,9 26 1 Cor. 6,20 30 Rom. 8,17 33 Philipp. 4,4

4 τὸ ἐλλιπὲς post ἀναπληρῶσαι transp M 5 ἶδον C 6 καὶ[2] om VMP Sirm 8 ἐπιτοαυτὸ VMPS 14 σύνταγμα: an σύναγμα scribendum? 17 ὦ CS (bis) 18 θεοπρεποῦς M 19 ἀρετῆς om S 21 ἀλλ': ἀλλὴ S ἢ post ἀλλ' add MS Mi 22 εὔα CS ὑπομιμνήσκομεν VMPS Sirm 23 μετὰ λαμβάνειν C 27 καθὰ: καθὼς M 32 ναοὺς VMS Sirm

προσπαθές, μισοῦσαι τὸ κλῆρον ἔχειν ἐπὶ γῆς, μισοῦσαι τὰ κατὰ κόσμον ἐραστὰ ἅπαντα. ἐπείπερ ὑμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς, καὶ κληρουχία ἡ βασιλεία τῶν οὐρανῶν, καὶ νυμφίος αὐτὸς Χριστός, ὁ κεκληκὼς ὑμᾶς ὀπίσω αὐτοῦ ἀκολουθεῖν καὶ εἰσάξων διὰ τελειώσεως εἰς τὸν ἐπουράνιον νυμφῶνα μετὰ τῶν φρονίμων παρθένων.

Ταῦτα δὴ ἐπ' ὀλίγον, ὡς ἂν γνῶτε ὅτι ἐν Πνεύματι Ἁγίῳ ὡς ἀδελφὰς ὑμᾶς λελογίσμεθα καὶ ἐπευχόμεθα τὰ κρείττονα.

66. Μαρίᾳ παρθενευούσῃ

Ἐπειδὴ καὶ ἅπαξ καὶ δὶς ἀποστολὰς ἐφθάσαμεν παρὰ τῆς τιμιότητός σου δέξασθαι, ἀναγκαῖον ἐκρίναμεν μὴ μόνον ψιλῇ προσρήσει, ἀλλὰ καὶ διὰ γράμματος προσαγορεῦσαι τὴν σεμνοπρέπειάν σου· καὶ οὐ τοσοῦτον διὰ τὰς ἀποστολάς, ὅσον διὰ τὴν σεμνότητά σου· μανθάνομεν γὰρ ὅτι τὸν ἐν παρθενίᾳ βίον εἱλαμένη δουλεύειν τῷ Κυρίῳ κατεδέξω ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. τί γὰρ κρεῖττον παρθενίας, ἧς ἡ μέριμνα πῶς ἀρέσει τῷ Κυρίῳ, πῶς ἐπιτεύξεται τῶν μελλόντων ἀγαθῶν, πῶς δυνηθείη διαδράσαι τὰς πολυπλόκους μεθοδείας τοῦ διαβόλου; ἡ δὲ ὑπὸ γάμον τελοῦσα τοὐναντίον, πῶς ἀρέσει τῷ ἀνδρί, πῶς τὰ τοῦ κόσμου εὖ διαθείη, ἡ περικλυζομένη τοῖς ἁλμυροῖς κύμασι τοῦ βίου ἐν τῷ φροντίζειν περὶ τέκνων τε καὶ δούλων καὶ δουλίδων καὶ πρό γε τούτων τὰ περὶ ἀρέσκειαν τοῦ ἀνδρός, οὔπω δυναμένη ὑπερανεστάναι τῶν στροφῶν τοῦ κόσμου καὶ τῷ τῆς διανοίας πτερῷ κουφίζεσθαι πρὸς Κύριον.

Σὺ οὖν, ὦ καλλίστη γυναικῶν, μακαρία ὡς ἀληθῶς καὶ τρισμακαρία, ὅτι τὴν ἀγαθὴν μερίδα ἐξελέξω μετὰ Μαρίαν ἐκείνην τὴν ἀοίδιμον, οἱονεὶ παρακαθεζομένη παρὰ τοὺς πόδας Ἰησοῦ καὶ ἀκούουσα δι' ἀπραγμονεστέρου βίου τὸν λόγον αὐτοῦ. ἡγίασας ἑαυτὴν ὡς κειμήλιον θεῷ ἀναθεμένη τὴν ζωήν σου. ἐξευγένισας τὸ αἷμά σου

---

36 Philipp. 3,20 38 Matth. 10,38

35 προσπαθές: συμπαθές M 38 εἰς ἄξων C 40 δή: δὲ Sirm

---

66. a. 815 – 820?

8 1 Cor. 7,32 10 1 Cor. 7,34 17 Luc. 10,42 18 Luc. 10,39

C VM (ll. 1 – 26) PS

2 καὶ¹ om M 6 ἑλομένη VMPS Sirm 8 ἀρέσει post Κυρίῳ transp M 11 τά: τὰς Sirm 18 τούς: τοῦ P (corr R) τοῦ post πόδας add M Sirm 19 τὸν λόγον: τῶν λόγων M

ἐν Πνεύματι Ἁγίῳ, καλὸν ὑπόδειγμα ἑαυτὴν προθεμένη. τί γὰρ καὶ κερδήσουσιν αἱ ὑπὸ ζυγόν, εἰ μή τι ἄρα ἐκζητήσοιεν καὶ ψηλαφήσοιεν καὶ αὐταὶ τὸν θεὸν καθ' ὅσον οἷόν τε; οὐχὶ πᾶσαι συζυγίαι ἀποζεύγνυνται διὰ θανάτου; οὐχ ὡς ὄναρ τὰ ὡραῖα τοῦ τῇδε βίου ἀπέρχονται; ὅσα δὲ περὶ τὸν γάμον ἐλεεινά. οἱ μὲν ἄπαιδες, οἱ δὲ κακόπαιδες. πενίαι καὶ πλοῦτοι, αἱ μὲν πιέζουσαι καὶ οἱονεὶ ἀποτηγανίζουσαι, οἱ δὲ μεταρριπτούμενοι ὡς ἐν κύβοις ἐκ τῶνδε εἰς τόνδε. παστάδες ἐγειρόμεναι, ἀλλὰ καὶ μετὰ θρήνους καταλυόμεναι, θρῆνοι καὶ κοπετοί, ἀλλεπάλληλοι συμφοραί, ὧν πλήρης ὁ βίος καὶ τὰ παραδείγματα πρὸ ὀφθαλμῶν.

Σὺ δὲ τούτων πάντων ἀπέφυγες, καλλιπάρθενε, κατοικοῦσα μονοτρόπως ἐν οἴκῳ, φυλαττομένη ὡς ῥόδον εὐωδίας Κυρίῳ τῇ παρθενίᾳ, ἔχουσα μὲν οὖν γε πάντως καὶ θλιπτικὰ ἔκ τε ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν· ἐπειδὴ ὅπου ἀνάθημα Κυρίῳ, ἐκεῖ ὁ λῃστὴς ἐφεδρεύει κλέψαι καὶ συλῆσαι τὸ ἱερόν. ἀλλὰ θάρσει ἐν Κυρίῳ, ἐν ᾧ πέποιθας, ἐν ᾧ στέργεις τοὺς κόπους, ὅτι αὐτὸς φύλαξ τῆς ζωῆς σου, ἐπίκουρος / καὶ βοηθὸς ἐν ταῖς θλίψεσιν· ὃς καὶ τελειῶν σου τὸν δρόμον ἀξίαν σε ποιήσει τῆς οὐρανίου βασιλείας αὐτοῦ.

Ταῦτά σοι παρ' ἡμῶν τῶν ἁμαρτωλῶν προσπεφώνηται, ἵν' εἰδείης ὅτι, ἡ τοῦ Κυρίου δούλη, καὶ ἡμᾶς τοὺς σπεύδοντας δουλεύειν τῷ Κυρίῳ ἔχεις κατὰ πνεῦμα ἀδελφούς σου ὥσπερ καὶ ὁμοδούλους κατὰ φύσιν, ὑπερευχομένους σου τῆς τιμιότητος.

67. Τῇ ἀδελφότητι Κιζάρων

Ἡ ἀγγελία τῆς κοιμήσεως τοῦ πνευματικοῦ ἡμῶν καὶ ὑμῶν πατρός, ἠγαπημένοι ἀδελφοί, ἐθρόησεν ἡμῶν τὴν ψυχήν, ὡς τὸ εἰκός, καὶ εἰς στεναγμὸν ἤγαγεν θλιπτικόν, οὐ διὰ τὸν κοιμηθέντα (μακάριος γὰρ ἐκεῖνος μακαρίῳ βίῳ τελειωθείς, ἐπειδὴ καὶ μονάζων δόκιμος

22 Act. 17,27 37 Act. 20,24

22 ἆρα CS 23 καθόσον PS 25 παρέρχονται S 26 ἀποτηγανίζουσαι: hic desin epist in M (exciso quaternione) 27 τῶνδε: τοῦδε V τόνδε: τούσδε S 29 ἀλλ' ἐπάλληλοι C 33 μενοῦνγε VPS Sirm 39 ἵνα VPS Sirm 40 ὅτι om S

67. a. 815 – 820

C V PS

2 ὑμῶν καὶ ἡμῶν S 3 ὡστοεικός S[pc] 4 ἤγαγε VPS Sirm

καὶ ἕως γήρους ἐξησκηκὼς ἄριστα καί, τὸ κεφάλαιον, πεφυλαγμένῃ καὶ ὀρθοδόξῳ πίστει μετὰ διωγμῶν καὶ τῶν ὑπὲρ τοῦ καλοῦ ταλαιπωριῶν ἐξεληλυθὼς τῶν ἐνθένδε καὶ οἱονεὶ ἐστεφανωμένος τῆς ὑπὲρ Χριστοῦ ὁμολογίας δικαιοσύνῃ), ἀλλὰ δι' ἡμᾶς, μᾶλλον δὲ ὑμᾶς αὐτούς, τοὺς καὶ ἐναφεθέντας ὡς ποίμνιον ἠπορημένον τῇ τοῦ καλοῦ ποιμένος μεταστάσει. καὶ γὰρ ἕλκει πρὸς οἶκτον καὶ συντριμμὸν καρδίας ἡ τοῦ προεστῶτος μνήμη, ἀναθεωρουμένη κατὰ τόπον καὶ τρόπον τῆς ἐν Κυρίῳ ἀφηγήσεως· πῶς ὃν μὲν παρεκάλει συμπίπτοντα, ὃν δὲ ἐπέπληττεν θρασυνόμενον, ἕτερον προσεκαλεῖτο ἀφηνιάζοντα καὶ ἄλλον διύπνιζεν νωθρευόμενον, πραότητι καὶ ἐπιεικείᾳ διέπων κατὰ μίμησιν αὐτοῦ τοῦ εἰπόντος δεσπότου, μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ ἁπλῶς ἐν πᾶσιν οἷς δι-/έπρεπεν ἐν μέσῳ ὑμῶν ὡς ἑωθινὸς ἀστήρ. ἄλλως τε καὶ τῷ πολυχρονίῳ ἔθει βαρύνειν εἴωθεν τὴν ψυχὴν σφόδρα ὁ τοῦ πατρὸς χωρισμός.

Ἀλλὰ τί ποιήσωμεν, ἀδελφοί, πρὸς νόμον θεοῦ οὕτω κελεύοντα, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ; μᾶλλον δὲ ἐκδημία πρὸς Κύριον ἡ διάζευξις. ἐπετράπη τὴν μετάστασιν καὶ ἐξῆλθεν τοῦ σώματος. ἐχωρίσθη ἀφ' ὑμῶν καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καλὸν ὑπόδειγμα τὸν ἑαυτοῦ βίον τῆς ἀρετῆς ὁμοίωσιν ἐγκαταλελοιπὼς ὑμῖν. τί οὖν λοιπόν ἐστι τὸ ζητούμενον; εἰς ἑαυτοὺς ὑμᾶς γενέσθαι καὶ παρακαλέσαι ἀλλήλους ἐν Πνεύματι Ἁγίῳ. καὶ καθὼς ὑμῖν εἴασεν τὸν κύριον Ἀντώνιον καθηγούμενον, τῷ αὐτῷ κανόνι καὶ τοῖς αὐτοῖς ἴχνεσιν τῆς εὐσεβείας ἀπάρξασθαι ὑμᾶς πολιτεύεσθαι, φρουροῦντας τὴν πίστιν καὶ ὑπὲρ αὐτῆς κακοπαθεῖν, εἰ δέοι, μέχρι θανάτου κατὰ τὸν παρόντα διωγμὸν καὶ μηδαμῶς προδοῦναι τὴν ἀλήθειαν, τήν τε ἀγάπην πρὸς ἀλλήλους καὶ τὴν πρὸς τὸν καθηγούμενον ὑπακοὴν παντὶ σθένει ἀσπάσασθαι. τοῦτο γὰρ πρὸς τὴν ὑμῶν σωτηρίαν, τοῦτο καύχημα καὶ τῷ μακαρίῳ ἐκείνῳ εἰς ἡμέραν Χριστοῦ, τοῦτο καὶ ἡμῖν τοῖς φίλοις καὶ ἀδελφοῖς ὑμῶν ἐρασμιώτατον. οὕτω γὰρ περιπατοῦντες κάλλιστα ἕξετε ἡμᾶς συνεπομένους ὑμῖν, ὅσον οἷόν τε, εἰς τὰ πρὸς Κύριον, ἀδελφοὶ τιμιώτατοι.

27 καθηγούμενον: monasterii Auletu? cf. ep. 201,1

16 Matth. 11,29 18 cf. Plat. epigr. 6,1 (I 103 Diehl) ἀστὴρ μὲν πρὶν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος 21 Gen. 3,19

10 αὐτούς om PS τοὺς V^{sscr} καὶ τοὺς CPS: om Sirm: τοὺς καὶ correxi καὶ om V 14 ἐπέπληττε VPS Sirm 15 δι' ὕπνιζεν C: διύπνιζε cett Sirm 19 εἴωθε VPS Sirm 20 ποιήσομεν VP Sirm θεοῦ S^{sscr} 22 ἐξῆλθε VPS Sirm 27 εἴασε VPS Sirm 28 ἴχνεσι VPS Sirm 35 σὺν επομένους C

68. Ἐφραὶμ καὶ Ἀγάθωνι καὶ τοῖς λοιποῖς τέκνοις

Ὅτι ἐκοιμήθη ὁ μακάριος Λαυρέντιος, ἐκείνῳ μὲν ἀνάπαυσις ὁ θάνατος· ἀνδρὶ γὰρ ἀγαθῷ πῶς οὐχὶ τοῦτο ἀπαντήσεται, ἀπὸ κόπων ἀσκητικῶν μεταβάντι τοῦ βίου, μᾶλλον δὲ ἀπὸ τοῦ κατὰ δικαιοσύνην διωγμοῦ ἐνδημήσαντι πρὸς Κύριον, οὗ τῶν ἀρετῶν μάρτυρες πολλοί; ὑμῖν δὲ συνέβη, ἀδελφοὶ τιμιώτατοι, ἐπεὶ καὶ ἡμῖν τοῖς ταπεινοῖς, τὸ λυπηρόν, ἀπολέσασι δόκιμον μοναστήν, τίμιον ἀδελφόν, εἰς κεφαλὴν καθιστάμενον τῆς κατὰ ψυχὴν ὁδηγίας. ἀλλ' ὅμως τὸ λυπηρὸν εἰς χαρὰν ἀμφοτέροις περιετράπη, διότι ἐκλεκτὸς θεοῦ ὁ ἁρπασθεὶς ἀφ' ὑμῶν κελεύσει θεοῦ τοῦ ἀγαθοῦ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. διὸ κἀγὼ ὁ ταπεινὸς χαίρω καὶ συγχαίρω ὑμῖν, ὅτι παρεπέμψαμεν πρὸς τὸν Κύριον τηλικοῦτον σκεῦος. ἐκλογῆς γὰρ σκεῦος ὁ ἀληθῶς Λαυρέντιος, πρῶτον μὲν διὰ τῆς ἀψευδοῦς ἀποταγῆς καὶ ὑποταγῆς, δεύτερον διὰ τῆς φιλαρέτου σπουδῆς τε καὶ προκοπῆς· ἐξ ὧν καὶ ἱερωσύνης ἠξίωται καὶ πολλῶν ἀδελφῶν ἐπιστασίας ἀνεδέξατο ἀξίωμα, φιλητῶς ποιμαίνειν χρήσιμος τῇ ποίμνῃ, ζῶν θεῷ καὶ τῷ καθηγουμένῳ ὡς ἀληθῶς, ἀλλ' οὐ κόσμῳ καὶ τοῖς κατὰ κόσμον πράγμασιν. οὗ καὶ ἐξορίαι διὰ Κύριον καὶ διωγμοί, καὶ πρότερον καὶ ὕστερον, οὗ καὶ οἱ πόδες ὡραῖοι, γραφικῶς εἰπεῖν, ὧδέ τε κἀκεῖ περιιόντος καὶ εὐαγγελιζομένου τοῖς ἀδελφοῖς τὰ σωτήρια ἐπαγγέλματα. μύρον ὁ πνευματικὸς αὐτοῦ ἱδρώς, δρόσος ἱερὸς ὁ ἐναγώνιος αὐτοῦ δρόμος τῆς ἀρετῆς. ὃς προσληφθεὶς ἐν αὐτῷ τῷ παρόντι διωγμῷ, τί ἄλλο ἢ τὸν ὑπὸ Κυρίου μακαρισμὸν ἀνεδήσατο; καὶ νῦν ἐκεῖνος μέν ἐστιν ἐν οὐρανῷ, συμπολεύων τοῖς ὁμοταγέσιν, ἡμεῖς δὲ ἔτι ἐπὶ τοῦ ἀγῶνος ἱστάμενοι καὶ ἐπὶ φόβον τροπῆς κείμενοι· οὐ γάρ ἐστι μακαρισμὸς τέλειος ἀνθρώπου ἕως ἀποβιώσεως διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως.

Διὸ παρακαλῶ ὑμᾶς, ἀδελφοί, γρηγορεῖν καὶ νήφειν, ἀνδρίζεσθαι καὶ κραταιοῦσθαι ἐν τῷ προκειμένῳ ἀγῶνι τοῦ τε νοητοῦ καὶ αἰσθη-

68. a. 815 – 820

5 2 Cor. 5,8 12 Act. 9,15 19 Rom. 10,15 23 Matth. 5,10 25 cf. Herod. 1,32

C VM PS

1 Εφραῖμ Sirm 3 γὰρ in marg C τούτῳ CMP 6 ἀδελφοὶ ante συνέβη transp M 10 ἡμῶν VMPS Sirm (fort recte) θεοῦ post ἀγαθοῦ transp S 12 κύριον C: θεὸν cett Sirm ὁ C: ὡς cett Sirm (fort est ὁ ὡς scribendum) 16 φιλητὸς VM 19 περιόντος VP Sirm 20 μῦρον PS 21 ἱερὰ S 24 συμπολιτεύων M 25 ἑστάμενοι C 26 ἀνθρώπῳ VMPS Sirm ἀπὸ βιώσεως C

τοῦ διωγμοῦ· δεδίωκται γὰρ ἀεὶ ὁ κατὰ θεὸν ζῶν ὑπὸ τοῦ ἀοράτου διώκτου εἰς κατάληψιν ἁμαρτίας. ὃν φύγωμεν, γενναῖοι στρατιῶται Χριστοῦ. πῶς δὲ ἔστι φυγεῖν; τῷ ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ γενέσθαι διὰ τῆς εἰς ἅπαν εὐαρεστήσεως αὐτοῦ. ἔσται δὲ τοῦτο, ἐὰν μὴ ἰδιοβούλως, ἀλλὰ κοινοβιακῶς ζήσητε, δηλονότι ἔχοντες τὸν ἀδελφὸν Ἐφραὶμ προκαθηγούμενον, καθὼς κἀκεῖνος εἴασεν καὶ ἡμεῖς συνευδοκοῦμεν καὶ ὁ χρόνος καὶ ὁ τρόπος ἀπαιτοίη. ἔστωσαν πάντα κοινά, τὸ ἐμὸν καὶ τὸ σὸν ἐξοριζέσθω, ἡ ἀγάπη χαρα/κτηριζέτω, ἡ ὑπακοὴ φυλαττέτω· καί, εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, φησίν, ἐὰν ποιῆτε αὐτά.

69. Προκοπίῳ μονάζοντι

Ἄρτι ἐπιστέλλω τῇ τιμιότητί σου, ὁπότε τὸν διάκονον τοῦ γράμματος ἐμόν τε καὶ σὸν εὗρον, οὐ μὴν ἀλλὰ καὶ παρορμήσαντά με εἰς αὐτὸ τοῦτο, ὡς καὶ τῆς εὐσεβείας σου οὕτως ἐπιζητούσης καὶ φιλούσης. ἀλλὰ χαῖρε, ὦ ἄνθρωπε τοῦ θεοῦ, χαῖρε, φίλων ἄριστε καὶ μάλα τῶν ἀρχαίων, χαῖρε, ὁ εὐλαβείᾳ περιβόητος καὶ ἐν γνώσει ἐξακουτιζόμενος. ποῦ ποτε ἀπολέλοιπας ἡμᾶς, τοσούτοις χρόνοις ὑποκρύψας σου τὸ τίμιον πρόσωπον; τίς δὲ ὁ τρόπος τῆς κατὰ τὴν ἑστίαν περιορίσεώς σου, μήπω προϊόντος καὶ ἐμφανιζομένου δημοσίᾳ; καὶ τρίτον, ἵνα παρρησιαστικώτερον φήσω, μᾶλλον μὲν οὖν ἀγαπητικώτερον (ἀγάπης γὰρ ἴδιον τὸ μὴ ὑποστέλλεσθαι ἐν ταῖς ὠφελίμοις πρὸς τὸν ἀγαπώμενον ὑπομνήσεσιν), τίς ἡ ἐργασία σου αὕτη, πεφευγότος κόσμον διὰ τῆς μοναχικῆς τελειώσεως καὶ οἴκαδε πάλιν ἀναστρέψαντος, λυθέντος δεσμῶν προσπαθείας (τοῦτο γὰρ ἡ ἀποταγὴ) καὶ αὖθις δεθέντος τῇ συνοικήσει τῆς κυρίας τῆς ὁμοζύγου καὶ τῶν θεοφυλάκτων τέκνων; καί, ὃ ἔτι ξενικώτερον, ἀποκαρθέντος

---

30 2 Tim. 2,3   35 Act. 4,32   37 Joh. 13,17

30 τοῦ post στρατιῶται add M   31 ἐστι codd Sirm: corr Mi   τῷ: τὸ C   33 ζήσετε MP   δῆλον ὅτι C   34 Εφραῖμ Sirm   κἀκεῖνος: ἐκεῖνος M   εἴασε VMPS Sirm   36 τὸ[2] om VMPS Sirm   ἡ ἀγάπη χαρακτηριζέτω om M   37 φυλαττέσθω M (fort recte)   38 ἐὰν: ἂν M

---

69. post a. 817 – 818?

C VM PS

3 καὶ[2] om M   6 ὁ: ὦ Sirm   12 ὑπομνήσεσι VMPS Sirm   13 τῆς om M   14 προπαθείας Mi

τῷ τῆς ἑνιαίας ζωῆς ἰδιώματι καὶ τελειωθέντος τῷ θείῳ μυσταγωγήματι, καὶ αὖθις καρηκομῶντος ἐρημικοειδεῖ πολιτεύματι; ἕκαστος, φησὶν ὁ ἀπόστολος, ἐν τῇ κλήσει ᾗ ἐκλήθη μενέτω· καὶ πάλιν ἑτέρωθι, ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ· καὶ ἀλλαχοῦ πάλιν αὐτὸς περὶ ἑαυτοῦ, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. καὶ ἕκαστος ἐκ τοῦ ἰδίου σχήματος γνώριμον ἑαυτὸν καθίστησιν, στρατιώτης ἐκ τοῦ φορεῖν μάχαιραν, ἀστικὸς ἀπὸ τοῦ φορεῖν περιβόλαιον. καὶ ἁπλῶς ἕκαστος σχεδὸν τῶν ἐν ἀρχαῖς ἢ τέχναις ἢ μεθόδοις τὰ προσήκοντα αὐτῷ σκεύη ἐπιφέρεται· οὔτε γὰρ ἰατρὸς ποιμαντικὴν ῥάβδον ἕλοιτο βαστάζειν οὔτε ποιμὴν ἰατρικὸν ὄργανον ἐπὶ χεῖρα ἔχοι. εἰ δὲ ταῦτα οὕτως, πολλῷ γε μᾶλλον ἐπὶ τῶν πνευματικῶν καὶ μεγίστων οὐκ ὀφείλει τις παρὰ τὰ οἰκεῖα τῆς καταστάσεως οὔτε ζῆν οὔτε μετασχηματίζεσθαι, ἵνα μὴ τὸ ἐπηρτημένον παρὰ τοῦ Κυρίου κρίμα ὡς τὸν κόσμον σκανδαλίζων ἀποίσῃ. οὗ φύγοιμεν, ὦ τριπόθητε, καὶ μάλιστα ἡμεῖς οἱ καὶ γνώσει καὶ βαθμῷ τῶν πολλῶν διαφέροντες· ἐπειδὴ κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσιν, ὁ δὲ ἐλάχιστος σύγγνωστος, καθὰ / γέγραπται. καὶ πάλιν ὁ Κύριος· ᾧ παρέθετο πολύ, περισσότερον ἀπαιτήσουσιν.

Μὴ οὖν, παρακαλῶ, ἡμεῖς οἱ ὀφείλοντες φῶς εἶναι τῶν ἐν σκότει τοὐναντίον ὦμεν, μηδὲ οἱ ἁλίζειν εὐαγγελικῶς τεταγμένοι μωρανθείημεν ἐξ ἀπροσεξίας. πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω, βοᾷ ὁ ἀπόστολος, πάντα πρὸς ὠφέλειαν τοῦ πλησίον, ἀλλὰ μὴ πρὸς βλάβην. κἂν ἐπ' αὐτῶν τῶν συγκεχωρημένων ἡμῖν σκινδαλμὸς γίνοιτο, τοῦτο πάλιν βοᾷ ὁ Μέγας Βασίλειος, καὶ πᾶσα ἁπλῶς ἥ τε παλαιὰ καὶ νέα διαθήκη ἐν τοῖς ἰδίοις ὅροις καὶ τρόποις ἕκαστον διαμένειν ἐγκελεύεται. καὶ μή με νομίσῃς, δέσποτα, κατεπαρτικῶς σοι ἐνεχθῆναι, ἀλλὰ καὶ λίαν ἀγαπητικῶς καὶ πεπονημένως, ἀναδεχόμενον τὰ σὰ ἐν ἐμοὶ κατὰ τὴν τῆς ἀγάπης ἀνάκρασιν καὶ ἐφιέμενον τὸ σωτήριον τῆς τιμίας σου ψυχῆς ὡς τὸ ἐμαυτοῦ. εἰ δέ τι ἔξω τοῦ εἰκότος ὁ λόγος ἔχει, ὁ παρὰ σοῦ λόγος διδαξάτω καὶ πεισάτω τὴν ἐμὴν ταπείνωσιν τὰ εἰκότα σε πράττειν ἐν τοῖς ἀπελεγχθεῖσιν ἐκτόπως ἔχειν.

---

18 1 Cor. 7,20 **20** 1 Cor. 10,32 **21** 1 Cor. 8,13 **31** Matth. 18,7 **33** Sap. 6,5 **34** Luc. 12,48 **37** Matth. 5,13 **38** 1 Cor. 14,40

---

19 φησὶ Mi 23 καθίστησι VMPS Sirm 26 αὑτῷ M 28 ἔχει S[pc]: ἔχειν M γε in marg C 30 τοῦ om M 31 κρῖμα PS Sirm 32 τῶν πολλῶν S[sscr] 34 συγγνωστὸς VMPS Sirm 35 ἀπαιτήσουσι VMPS Sirm 38 γενέσθω Sirm **40** καν C: κἂν P ἡμῖν post αὐτῶν transp M σκινδαλμὸς: σκανδαλισμὸς M **41** ἁπλῶς πᾶσα V 42 ὅροις C Mi

70. Θεοδώρῳ διακόνῳ

Ἥκω τῇ ἐπιτροπῇ τῆς ἀγάπης σου ἐπὶ τῇ ἀπαν/τήσει τῶν αἱρετικῶν προβλημάτων. καὶ εἰ μὲν εὖ ἀπαντήσοιμι, ἐπίθες τὴν σφραγῖδα τῷ λόγῳ, εἰ δὲ μή γε, σαφηνίσειας αὐτὸς εὐκρινέστερον. ἐπεὶ δὲ οὐχ οἷόν τέ ἐστιν εὖ μάλα διαλῦσαι τὸ αἱρετικὸν φρόνημα, εἰ μὴ αὐτὴ ἡ πρότασις ὑποδείκνυτο, πρῶτον κείσθω αὕτη, καὶ εἶθ' οὕτως ἡ ὀρθόδοξος λύσις.

Πρόβλημα αἱρετικοῦ.

Μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην ὁμολογοῦντες ὅλον τι τὸν Χριστόν, ἤγουν μίαν ὁλότητα ἐκ μερῶν, θεότητός τε καὶ ἀνθρωπότητος δῆλον ὅτι, λέγετε. πυνθανόμεθα οὖν, τί συναριθμεῖτε τῇ Ἁγίᾳ Τριάδι, τὸ ὅλον ἢ τὸ μέρος; καὶ εἰ μὲν τὸ ὅλον, οὐκ ἔσται ὁμοούσιος ἡ Ἁγία Τριάς· εἰ δὲ τὸ μέρος, ἢ τὴν θεότητα συναριθμοῦντες ἐκτὸς τῆς Ἁγίας Τριάδος τὴν ἀνθρωπότητα προδήλως καταλιμπάνετε ἢ τὴν ἀνθρωπότητα συναριθμοῦντες ἁλώσεσθε τῆς Τριάδος ἐκτὸς τὴν θεότητα λέγοντες.

Λύσις πρὸς τοῦτο.

Μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην ὁμολογοῦντες οὐχ ἁπλῶς ὅλον τι τὸν Χριστόν, ἀλλ' ἐκ δυοῖν ὁλοτήτων συνενηνεγμένων, θεότητός τε καὶ ἀνθρωπότητος, ὁμολογοῦμεν· καθ' ἃς ὁλότητας, τὰς ὡς μέρη πρὸς τὴν σύνθεσιν εἰλημμένας, ὅλος ἐστὶν ὡς θεὸς τῷ πατρί τε καὶ πνεύματι φυσικῶς συνημμένος καὶ ὅλος ὡς ἄνθρωπος τῇ μητρὶ καὶ ἡμῖν οὐσιωδῶς συντεταγμένος, τῷ μοναδικῷ χαρακτῆρι τὰ ἄκρα πρὸς ἑαυτὸν συνδέων καὶ τοὺς τῶν ἄκρων ὅρους ἀλωβήτους καὶ ἀσυγχύτους ἐν τῇ ἑνώσει διαφυλάττων. ἐφ' ᾧ ἡ Τριὰς μένει Τριάς, ἀσυμφυές τι εἰς προσθήκην μὴ προσιεμένη, καὶ ἡ ἀνθρωπότης μένει ἀνθρωπότης, τῆς ἑνωθείσης αὐτῇ θεότητος μήπω διαιρουμένη. ὥστε

---

70. post a. 815? **8–48** laudavit Hennephof 87 sq.

C VMN PS

1 δογματικὴ ἀναιρετικὴ αἱρετικῶν προβλημάτων titulo add PS: in marg Sirm 3 σφραγίδα VMNS Sirm 4 εἰδεμὴ S εὐκρινέστερον: ἀκριβέστερον M 5 ἐστιν om VMN Sirm διαλύσαι VMNPS φρόνημα: πρόβλημα VMN Sirm 6 ὑποδείκνυτο: ἀποδείκνυται VMN Sirm 7 λύσις: πίστις VMN Sirm 10 καὶ ἀνθρωπότητος om N 11 δηλονότι VMNPS Sirm 13 εἰ: ἡ C 17 λύσις πρὸς τοῦτο in marg VMNP 19 δυεῖν C συνενηνεγμένον C 20 καθὰς C 21 ἔστιν CPS 22 τε om VMN τῷ post καὶ add VMN Sirm 23 μοναδικῶν N 25 ἐφ': ἐν VMN

σου ἀλογῶδες τὸ πρόβλημα, ἐκ τῆς τῶν Ἀκεφάλων συγχυτικῆς αἱρέσεως ἀποζευγνύμενον.

Τοῦ αὐτοῦ αἱρετικοῦ ἕτερον πρόβλημα.

Οὗτος ὁ Χριστὸς ὁ παρ' ὑμῶν ὁμολογούμενος συναριθμεῖται τῇ Ἁγίᾳ Τριάδι ἢ οὔ; καὶ εἰ μὲν συναριθμεῖται τῇ Ἁγίᾳ Τριάδι, πῶς ἔσται λοιπὸν ἡ Τριὰς ὁμοούσιος; εἰ δὲ οὐ συναριθμεῖται, οὐδὲ θεὸς ἔσται, ἀλλὰ μόνον ψιλὸς ἄνθρωπος. οἷς τοίνυν ὑμεῖς τὴν ἀπορίαν ἐπιλύσοισθε λόγοις, τὴν περὶ ἑνὸς Χριστοῦ φυλάττοντες δόξαν ἀπήμαντον, οὗτοι καὶ ἡμῖν πρὸς ταύτην ἀρκέσουσιν.

Λύσις πρὸς τοῦτο.

Οὗτος ὁ Χριστὸς ὁ παρ' ἡμῖν ὁμολογούμενος, οἷς λόγοις ἀληθότητος ἐξεκρούσατο τὴν προτέραν πρότασιν, τούτοις καὶ τὴν παροῦσαν συνεκκρούσειεν, ὡς ἰσορρόπως τὸ ἀσεβὲς ἔχουσαν. ὃν δὲ ὑμεῖς Χριστόν, ἤγουν μίαν ὁλότητα φυσικὴν ἐκ μερῶν, θεότητός τε καὶ ἀνθρωπότητος, πρεσβεύετε, οὔτε ὁμοούσιος ἂν εἴη τῷ πατρί, εἴπερ ὁ πατὴρ θεὸς μόνον, ἀλλ' οὐχὶ καὶ ἄνθρωπος, οὔτε ὁμοούσιος τῇ μητρί, εἴπερ ἡ μήτηρ ἄνθρωπος μόνον, ἀλλ' οὐχὶ καὶ θεός. καὶ ὥρα ὑμῖν ζητεῖν ἑτέρους Χριστούς, οἷς οὗτος ἂν εἴη ὁμοούσιος· ἐπεὶ μὴ οἷόν τε μονοπρόσωπον φύσιν γνωρίζεσθαι. εἰ δὲ οὐχ εὑρίσκοιτε, τοῖς ἰδίοις προβλήμα/σιν ἑαλωκότες, τῷ κενῷ ἀναπλασμῷ οὐ Χριστὸν εἶναι ὅλως δοξάζοιτε.

30 τοῦ — πρόβλημα: ἕτερον πρόβλημα αἱρετικόν in marg M 31 ἡμῶν V^{ac}M Sirm Χριστὸς post ὁμολογούμενος transp M 35 ἐπιλύσησθε C: ἐπιλύσεσθε cett Sirm: correxi 37 λύσις πρὸς τοῦτο in marg M 38 ἡμῖν CVM: ἡμῶν cett Sirm 40 συνεκρούσειεν Sirm: συγκρούσειεν Mi ἡμεῖς V^{ac}MNS 42 οὔτε om N 44 ὥρα: ὅρα C 47 κενῷ: an καινῷ scribendum?

ΑΡΧΗ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ ΘΕΟΔΩΡΟΥ ΗΓΟΥΜΕΝΟΥ ΤΩΝ ΣΤΟΥΔΙΟΥ ΕΠΙΣΤΟΛΑΙ ΔΙΑΦΟΡΟΙ ΕΞΟΡΙΑΣ ΤΡΙΤΗΣ

71. Τῇ εἰκονομαχικῇ συνόδῳ ὡς ἐκ προσώπου πάντων τῶν ἡγουμένων

Νόμοις θείοις καὶ κανονικοῖς θεσπίσμασιν ἑπόμενοι τοῦ μὴ δεῖν παρὰ τὴν τοῦ οἰκείου ἐπισκόπου γνώμην πράττειν τι ἢ λέγειν τῶν ὅσα εἰς ἐκκλησιαστικὴν φέρει εὐταξίαν, πολλοῦ γε εἰπεῖν εἰς δογματικὴν ἐξέλκει συζήτησιν, τούτου χάριν τῆς ὑμετέρας ἐξουσίας ἅπαξ καὶ δὶς ἐκκαλεσάσης πρὸς τὰ τοιαῦτα τὴν καθ' ἡμᾶς εὐτέλειαν, οὐκ ἐτόλμησεν ἔξω τι τῶν νενομισμένων πράττουσα παραγενέσθαι ὡς ὑπὸ τὴν ἱερὰν χεῖρα Νικηφόρου τοῦ ἁγιωτάτου πατριάρχου πνεύματι θείῳ τελοῦσα. ἐπειδὴ δέ τινες τῶν ὁμοταγῶν ἡμῖν ἡγουμένων, ἀπόπειράν τινα ποιούμενοι, κεκρίκασιν ἀφικέσθαι, εἴς τε λόγους ἐλθεῖν ἀντιθετικούς, τί ἄλλο ἢ ἐκεῖνα ἡμᾶς ἀκουτισθῆναι, ἃ ἐξίστησιν ἡμῶν τὴν ταπεινὴν καρδίαν; φασὶ γὰρ τὴν πρόσκλησιν εἶναι ἐπὶ καταστροφῇ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον ἁγίας συνόδου, τὸ δὴ λεγόμενον ἐπ' ἀναιρέ/σει τοῦ προσκυνεῖσθαι τὴν σεπτὴν εἰκόνα τοῦ

---

71. mens. April. a. 815

3–9 = vita B 36 (285 CD)

C VMN P_2 P_1S

tit. τοῦ ὁσίου — ἐξορίας τρίτης C: ἀρχὴ τοῦ πρώτου βιβλίου. τοῦ αὐτοῦ (om R) ἐκ τῶν διαφόρων αὐτοῦ ἐπιστολῶν ἐκλογὴ τῆς τρίτης ἐξορίας P_1P_2, ubi ἀρχὴ τοῦ πρώτου βιβλίου om P_2R: τοῦ αὐτοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ θεοδώρου ἡγουμένου τῶν στουδίου ἐκ τῶν διαφόρων αὐτοῦ ἐπιστολῶν ἐκλογὴ τῆς τρίτης ἐξορίας VM Sirm 2 δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm 4 ἐπὶ σκόπου C 7 ἐκκαλεσαμένης vita B l. l. 9 θείῳ πνεύματι VMN 14 ἁγίας om N 15 ἐπαναιρέσει CP_1

Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς τε Θεοτόκου καὶ πάντων ὁμοῦ τῶν ἁγίων. ὢ τίς ἐνηχηθεὶς ταῦτα οὐκ ἂν στενάξειεν πικρὸν ἐκ βάθους καρδίας, ὡς ἀνατρεπομένης ἤδη ἐν τούτοις τῆς σωτηρίου οἰκονομίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, βοάτω μεθ' ἡμῶν ὁ μεγαλοφωνότατος Ἡσαΐας, καὶ ὅσα τούτοις ἐπιφερόμενα κατὰ συνέχειαν· μᾶλλον δέ, ἵν' οἰκειότερον φθεγξώμεθα, ἄκουε ἀνατολὴ καὶ δύσις, βορρᾶ τε καὶ ἡ κατὰ θάλασσαν λῆξις, ἐν οἷς νῦν τὰ καθ' ἡμᾶς καὶ ἐφ' οἷς συνεδρεύειν τετόλμηται.

Ἡμεῖς μὲν οὖν οἱ ἐλάχιστοι, οἵ τε παραγενάμενοι καὶ μὴ παραγενάμενοι (ἀμφοτέροις γὰρ εἷς ὁ λόγος, ὡς συμψύχοις οὖσιν ἐν ἑνὶ θείῳ φρονήματι), τῇ ὑπ' οὐρανὸν ἐκκλησίᾳ σύμφωνον πίστιν ἄγοντες, ἤγουν ἀναστηλοῦν τε καὶ προσκυνεῖν τὴν θείαν εἰκόνα αὐτοῦ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς τε παναγίας μητρὸς αὐτοῦ καὶ οὑτινοσοῦν τῶν ἁγίων, οὐχ ὅτι παρὰ τῇ ἐν Νικαίᾳ τὸ δεύτερον ἁγίᾳ συνόδῳ ἢ παρὰ τῇ πρὸ αὐτῆς δογματισάσῃ θειότατα τὸ ἀσφαλὲς ἔχειν διαβεβαιούμεθα, ἀλλὰ γὰρ ἀπ' αὐτῆς τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν καὶ θεοῦ ἐγγράφως τε καὶ ἀγράφως ἐρηρεισμένοι ὄντες ἀσφαλῶς βεβήκαμεν ἐπ' ἐκείνην τὴν ἕδραν, ἐφ' ᾗ φησιν ὁ Χριστός, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

Τίς γὰρ καὶ λόγος ἐξευρεθείη τῷ ἀντηγορεῖν ἑλομένῳ τοσούτῳ κράτει τῆς ἀληθείας; εἰ γὰρ ὁμολογουμένως ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν ἀνθρωπείᾳ μορφῇ καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς ὦπται, ἀραρότως περιγράφεταί τε καὶ εἰκονίζεται καθ' ἡμᾶς, εἰ καὶ μένει τῇ θείᾳ μορφῇ ὁ αὐτὸς ἀπερίγραπτος, ἐπείπερ ἐστὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἑκατέρων τῶν φύσεων, ἐξ ὧν ἐστι, τὰ ἰδιώματα ἀλώβητα διασῴζων. εἰ δὲ μὴ περιγράφοιτο, ἀπόλωλεν τοῦ εἶναι ἄνθρωπος, πολλοῦ γε εἰπεῖν μεσίτης, διὰ τῆς ἀναιρέσεως τοῦ περιγραπτοῦ συναναιρουμένων πάντων τῶν ὁμοστοίχων ἰδιωμάτων. εἰ γὰρ οὐ περιγραπτός, οὐδ' ἁπτός. εἰ δὲ ἁπτὸς ὁμοῦ καὶ ψηλαφητὸς (οἷς ἀντερεῖν ἠλιθιῶδες· σώματος γὰρ ταῦτα, τοῦ ἁφῇ τε καὶ χροιᾷ ὑπο-

---

19 Is. 1,2 Greg. Naz. or. 4,2 (PG 35,532 B sq. = p. 86 sq. Bernardi) 34 Matth. 16,18 40 1 Tim. 2,5

---

16 ὁμοῦ om NP_1S 17 ὢ C οὐκ ἂν CS: οὐ cett Sirm στενάξειε VMNP Sirm 20 ἡσαΐας N τούτοις: τούτῳ VM: τούτων N 21 ἐπὶ φερόμενα C φθεγξόμεθα C 22 βορρὰ CVMN (fort recte) 24 οὖν om PS παραγενόμενοι VMNPS Sirm (bis) μὴ S^{pc} 29 οὕτινος οὖν C 34 Πέτρος: πέτρα VMN 38 ἀνθρωπίᾳ C 40 ὁ om P_2N 42 ἀπόλωλε VMNPS Sirm τοῦ C: τὸ cett Sirm 45 οὐδ' C: οὔθ' cett Sirm εἰ δὲ ἁπτὸς om N

πίπτοντος), πῶς οὐχὶ καὶ περιγραπτός, ἐξ οὗ καὶ παθητός; εἰ δὲ περιγραπτὸς καὶ παθητός, πάντως καὶ προσκυνητὸς δηλαδὴ καὶ καθ' ἣν περιγράφεται εἰδέαν, ὡς μὴ σχιζομένης τῆς δόξης τοῦ πρωτοτύπου ἐν τῷ παραγώγῳ κατὰ τὸν Μέγαν Βασίλειον· ἡ γὰρ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, δῆλον ὅτι οὑτινοσοῦν, εἴτε φυσικῆς εἴτε τεχνητῆς. ἐπεὶ καὶ ἐπὶ τοῦ τύπου τοῦ τιμίου σταυροῦ τὸ αὐτὸ θεώρημα νοητέον· τῇ γὰρ προσκυνήσει τοῦ τύπου συμπροσκυνεῖται τὸ ζωοποιὸν ξύλον, ὡς καὶ ἔμπαλιν τῇ ἀναιρέσει συναναιρεῖσθαι ἔστιν ἐξ ἀναγκαίου. ἢ οὐχὶ ἡ ὁμολογία τοῦ τύπου ὁμολογία ἐστὶ τοῦ ζωοποιοῦ σταυροῦ, ὥσπερ οὖν καὶ ἡ ἄρνησις καθ' ὁμοίωσιν ἀντιστροφῆς; τὸ ἀνάλογον οὖν ληπτέον ἐπί τε τῆς εἰκόνος Χριστοῦ καὶ αὐτοῦ δὴ Χριστοῦ παντὶ τῷ συνιόντι. καὶ οὔπω καιρὸς δογ/ματικῆς ἐξαπλώσεως, πειθούσης καὶ τὸν ἄγαν ἀμυδρόνουν ἀνανεύειν εὐπετῶς πρὸς τὰς αὐγὰς τῆς ἀληθείας.

Αὕτη ἡ εὐαγγελικὴ ἡμῶν πίστις τῶν ἁμαρτωλῶν, αὕτη ἡ ἀποστολικὴ ἡμῶν ὁμολογία τῶν εὐτελῶν, εἰ δ' οὖν, ἡ πατροπαράδοτος ἡμῶν θρησκεία τῶν ἐλαχίστων. παρὰ ταύτην οὐχ ὅτι ὁ τίσδε καὶ τίσδε τῶν νῦν ἢ τῶν πάλαι, ἀλλ' οὐδ' εἰ Πέτρος καὶ Παῦλος (εἴπωμεν γὰρ τὰ ἀνένδεκτα ὡς ἐνδεχόμενα) οὐδ' ἂν ἐξ αὐτῶν ἥκῃ τῶν οὐρανῶν δογματίζων καὶ εὐαγγελιζόμενος, δυνάμεθα αὐτὸν κοινωνὸν προσήκασθαι, ὡς μὴ στοιχοῦντα τῇ ὑγιαινούσῃ τῆς πίστεως διδασκαλίᾳ. καὶ πρὸς ταῦτα, ὅ τι ἂν δοκῇ τῇ ἐξουσίᾳ ὑμῶν, ἑτοίμη ἡ ταπείνωσις ἡμῶν μέχρι θανάτου ὑποστῆναι ἢ ἐξάρνους ἡμᾶς γενέσθαι τῆς τοιαύτης ἡμῶν εἰλικρινοῦς ὁμολογίας.

---

62 πατροπαράδοτος: ad vocem cf. Leroy, Cursus 18 et adn. 63

49 Matth. 28,3 50 Bas. spirit. 18,45 (PG 32,149 C) 65 Gal. 1,8

48 καὶ[3] om VN Sirm 49 ἰδέαν VMNPS Sirm (sed cf Matth l. l.) 50 τῷ παραγώγῳ: τῇ παραγωγῇ VMN 51 ἀναβαίνει C: διαβαίνει cett Sirm δηλονότι VMNPS Sirm οὔτινος οὖν C 52 τεχνιτῆς C 53 σὺν προσκυνεῖται C 56 ἀντὶ στροφῆς C 57 ἐπί: ἐπεί C 58 συνιέντι S: συνιῶντι M 63 τίσδε: τῆσδε MP_2: τίς δε Mi (bis) καί: ἢ Sirm 64 καί: ἢ M εἴποιμεν P_1S: εἴπομεν P_2 Sirm τὰ om Sirm 65 ἥκει C 70 εἰλικρινοῦς S

72. Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ

Ἐδεξάμην τὰ γράμματα τῆς σῆς ἁγιωσύνης, ἐν οἷς μαθὼν τὴν πρὸς τὸν κρατοῦντα διάλεξιν αὐτῆς καὶ τέλος εἰπεῖν τὴν εὐλογημένην αὐτῆς ἐξορίαν ἐστέναξα μὲν ὁ ταπεινὸς (πῶς γὰρ οὔ;), ἐδόξασα δὲ τὸν θεόν, τὸν δοξάσαντα αὐτὴν ἐν τούτῳ. χαίρω οὖν καὶ συγχαίρω σου, ἀδελφὲ ἠγαπημένε, τῇ εὐδοκιμήσει καὶ ἐγκαλλωπίζομαί σου ταῖς εὐπραγίαις εἴτ' οὖν ἐξορίαις, ὅσον οἱ βασιλεύοντες τοῖς διαδήμασι. καὶ τίς ἄν μοι ἔδωκεν ἰδεῖν σου τὸ ποθούμενον πρόσωπον; περιεπτυξάμην γὰρ ἂν ἀπλήστως, τρὶς ἄρτι ἐξοριζόμενον καὶ φυλακιζόμενον ὑπὲρ ἀληθείας θεοῦ. ἠδικεῖτο ὄντως ἡ ἀρετή σου καὶ οἱονεὶ ὑπὸ μόδιον ἦν ἐν τῷ μοναστηρίῳ καθημένου σου· νῦν ἄνεισιν ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πάσῃ τῇ ἐκκλησίᾳ. οὕτως οἱ δοκοῦντες κατακρύπτειν ἐξέλαμψάν σου τὴν ἀρετήν. καλὴ μὲν καὶ ἡ τῶν ἄλλων ἁγιωτάτων ἐπισκόπων ἐξορία καὶ οὐκ ἀποδέουσα ἐγκωμίων, οὔπω δὲ τῆς σῆς ἰσοστάσιος· διατί; ὅτι μονοστέλεχός τίς ἐστιν, ἀλλ' οὐχὶ ἐκ δυνάμεως εἰς δύναμιν προϊοῦσα κατὰ τὴν σὴν τριστέλεχόν τε καὶ τρικόρυφον. διὰ τοῦτο αἰνετὸν τὸ ὄνομά σου, περίβλεπτον τὸ κατόρθωμά σου, αἰώνιον τὸ ἀγαλλίαμά σου. ἐξενώθημεν ἀλλήλων καὶ ἀπῳκίσθημεν, ἀλλὰ ἀγαθὸς ὁ θεὸς ἑνῶσαι ἡμᾶς καὶ συνοικίσαι ἀιδίως· τάχα δὲ κἀνταῦθα οὐκ ἀδυνατήσει αὐτῷ πάλιν κατ' ὀφθαλμοὺς ἰδεῖν ἀλλήλους.

Προεπέμψαμεν τοὺς ἁγίους πατέρας καὶ ἀδελφούς, καί γε τὸν καλὸν Καλόγηρον, οὗ ἐν ταῖς χερσί σου ἡ ἐναπόψυξις, ὥσπερ ἐκ προστάγματος θεοῦ καὶ οὐκ ἐκ βασιλέως φθαρτοῦ μεταστάντος Θεσσαλονίκης καὶ / ἐξελθόντος ἐν τῷ Σακκουδίωνι. ἐναπελείφθημεν δυοῖν, λάλημα οὐκ οἶδ' ὁποῖον τοῖς ἀνθρώποις, ἀλλ' οὖν τοῖς εὐσεβέσιν ἀγαθόν, κἂν ἀγέραστός εἰμι ταῖς ἁμαρτίαις ἐγώ. σὺ δέ, ὦ μακαριώτατε, προβαίνοις ἀεὶ τῷ καλῷ, εὐχόμενός μοι ἀενάως τὴν σωτηρίαν· ὅτι δὲ κἀγὼ μνημονεύω σου – καὶ τί γὰρ ἂν ἄλλο μετὰ θεὸν ἢ τὸ σὲ ἀναπνέειν; διέσπασαν ἀπὸ τῆς πλευρᾶς σου τὸν ἀδελφὸν

---

72. hieme a. 815 – 816   3 κρατοῦντα: Leo V   16 τριστέλεχον: quia tertium expulsus

---

11 Matth. 5,15   17 Ps. 112,1

C (S)

---

7 εὐπραγίαις C: εὐπραξίαις S   10 ἠδικείτω C   καὶ C^{sscr} 13 κατακρύπτειν C: κρύπτειν S   17 διατοῦτο S   19 συνοικήσαι C   20 ἀδυνατήσῃ codd: corr Mai   25 ἐν ἀπελείφθημεν C   26 δυεῖν C

Ἀθανάσιον (προσθήκη πόνου, ἀλλὰ καὶ στεφάνων), ὡσαύτως καὶ τὸν Νεκτάριον· ἀλλ' εἰ μὲν ἄκοντα, οὐ πολὺ τὸ λυπηρόν, εἰ δὲ ἐκ συνθήματος, φεῦ τῆς ἐμῆς ταλαιπωρίας· πλὴν ὁποτέρως ἤρθη δείξειεν ὁ καιρός. ἐμονώθης σχεδόν, ἔχων τὸν καλόν μου Ἄνθον καὶ Ἐπιφάνιον. χαριτώσειεν αὐτοὺς ὁ Κύριος ἐπὶ τῇ ὑπηρεσίᾳ τῆς ὁσιότητός σου, οὓς καὶ προσαγορεύω πλεῖστα καὶ εὔχομαι φανῆναι μέχρι θανάτου συνεπομένους σοι. τί τἆλλα; θεὸς ἐπίδοι τὴν ἑαυτοῦ κληρονομίαν καὶ βραβεύσειεν εἰρήνην ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ.

Ἀσπάζονταί σε δουλοπρεπῶς οἱ σὺν ἐμοὶ ἀδελφοί.

73. Τῷ αὐτῷ

Δὶς ἄρτι ἐπιστέλλω μετὰ τὴν ἀπὸ τοῦ Βυζαντίου ἄφιξιν τῆς ἁγιωσύνης σου. ἐγὼ δὲ καθ' ἑκάστην ἐβουλόμην τοῦτο ποιεῖν, εἰ οἷόν τε ἦν· ὅμως χάριν τῷ θεῷ ἀναθετέον, ὅτι ἐν τοσούτῳ διαστήματι ἔδωκεν ὁ ἀγαθὸς ἐντὸς ὀλίγου χρόνου τῇ τοῦ γράμματος μεσιτείᾳ ὁμιλῆσαι ἡμᾶς ἀλλήλοις, ἠγαπημένε.

Ἡ μὲν οὖν τῆς ποντοπορίας μέριμνα κατέληξεν ἡμῖν· πιστεύομεν γὰρ τῷ θεῷ ἀποσεσῶσθαί σε ἀκινδύνως μέχρις οὗ περιωρίσθης τόπου ὑπὲρ ἀληθείας, ὁ τῆς ὀρθοδοξίας στῦλος καὶ τὸ τῆς ἐκκλησίας ἑδραίωμα. ὁποῖος δὲ ὁ χῶρος καὶ ἡ ὑποδεξαμένη σε ἑστία, οἵ τε κτήτορες, ἐνστρέφεται ἡμῶν ἐν τῇ κατὰ νοῦν θεωρίᾳ ποικίλαις μορφαῖς διαζωγραφούμενα, μήπως δύσχρηστα· ὅλως ὁποῖά ποτ' ἂν εἶεν, οἶδ' ὅτι ἐνέγκοι ἡ θεοφιλία σου, ἐνειθισμένη ταλαιπωρεῖσθαι ἐν τοῖς ὑπὲρ Χριστοῦ μαρτυρίοις.

Περὶ γὰρ ἡμῶν τῶν ἁμαρτωλῶν οὐδέν τι καινότερον τῶν προεγνωσμένων σοι ἢ ὅτι / λόγος ἐρρύη μεθορίζεσθαι ἡμᾶς ἀλλαχοῦ πάλιν. τοῦ Κυρίου δὲ ἡ γῆ πάντως, ἐφ' ἣν ἂν παραρριφῶμεν, εἴπερ

35 Eph. 1,6

31 στεφάνου Mai coll ep 266,1 ὡς αὔτως C: ὡς οὕτως Mai 34 ἄν̅θ̅ο̅ν S: cave legas ἄνθιμον

73. vere a. 816

9 1 Tim. 3,15 17 Ps. 23,1; cf. 1 Cor. 10,26

C (S)

3 καθεκάστην S οἷόνται C 4 τῷ σούτῳ C 8 ἀπὸ σεσῶσθαί C 9 στύλος Mai 10 ἑστεία C Mai 11 κατανοῦν C Mai 13 θεοφίλειά S 16 ἐρρύει C Mai 17 ἐφῆν C

μὴ διαλείποις προσεύχεσθαι ἐν ἀγαθοῖς ἡμᾶς ἀναστρέφεσθαι διανοίᾳ καὶ καρδίᾳ καὶ ψυχῇ· ὁμολογοῦμεν γὰρ μυρίοις σφάλμασιν ὑποκεῖσθαι. τὰ δὲ τῆς αἱρέσεως αὔξει καθ' ἑκάστην κατὰ τὰς ἁμαρτίας ἡμῶν καὶ οἱονεὶ παφλάζει τῇ πυρᾷ τῶν βασάνων καὶ ἐξοριῶν, ἐνισταμένων χάριτι Χριστοῦ πλείστων ὅτι μάλιστα ἡγουμένων, ἐῶ λέγειν ὑποτακτιτῶν. καί γε ὁ ποτὲ διώκτης Χριστοῦ νῦν ὑπὲρ αὐτοῦ πάσχων, Ἰωσὴφ ὁ εὐλαβέστατος ἡγούμενος. ἴδε οὖν θεοῦ φιλανθρωπίαν, ἀδελφέ, πῶς σῴζειν ἐθέλει πάντας. ἀλλὰ ἄθρει πάλιν τὸν δόλιον ἐχθρόν· ἦρεν τὸν οὐδέποτε πιστόν, ἀλλὰ πολλαχῶς προδότην, Νεκτάριον τὸν ποτὲ ἡμέτερον, νῦν δὲ μετὰ τῶν ἀσεβῶν. καὶ τό γε σχετλιώτερον, ὅτι εἷς ἐστι τῶν τὰ τῆς ἀσεβείας χειρόγραφα ἀπαιτούντων παρὰ τῶν καθηγουμένων τῆς ἔξω χώρας. μὴ οὖν θαυμάσῃς, ὦ ἄνθρωπε τοῦ θεοῦ, μηδὲ λυπήσῃ σε πολύ, ἐπεὶ οὐδὲ ἄλυπον πάντως τὸ ἐκ τοῦ κόλπου ἡμῶν ἐξελθεῖν τὸν ἄνομον· ἐπεὶ καὶ ἐξ ἀποστόλων Ἰούδας. εὕροιεν δὲ ἔλεος οἱ συναποθνῄσκοντές σοι πιστοὶ ἀδελφοὶ ἡμῶν, οὓς καὶ προσαγορεύω πλεῖστα, ἐξαιρέτως τὸν καλόν μου Ἄνθον, εἰ σύνεστι, καὶ τὸν φερώνυμον Ἀθανάσιόν μου.

Οἱ σὺν ἐμοὶ μετ' αἰδοῦς κατασπάζονταί σου τὰ ἴχνη.

74. Εὐθυμίῳ Σάρδης

Ἐμακρύνθη σου ἡ ὁσιότης ὑπὸ ἐξουσίας διὰ τὴν ἁπάντων ἐξουσίαν ἀφ' ἡμῶν τῶν ἁμαρτωλῶν, ἀλλ' οὐ τῷ πνεύματι, ᾧ μᾶλλον ἑνοῦσθαι φίλον θεῷ· ἐπεὶ πολλοὶ τῶν σωματικῶς ἡνωμένων οὐ σὺν ἀλλήλοις διὰ τὴν τοῦ πνεύματος στέρησιν. ὥστε οὐδ' ἂν εἰς αὐτὰ τὰ τέρματα τῆς οἰκουμένης φιλονεικήσοι διάραι ἡμᾶς ὁ κρατῶν, χωρίσειεν ἀπ' ἀλλήλων, καὶ μάλιστα εὐδοκοῦντος θεοῦ γράμμασιν ὁρᾶν ἡμᾶς καὶ ὁμιλεῖν ἀλλήλοις.

Οὗτος δή μοι ὁ πρῶτος λόγος. δεύτερος, ἡ ἐσχα/τιὰ εἰς ἣν περιωρίσθης, μέριμναν ἐμποιοῦσα τῆς διαφυλάξεώς σου διὰ τὴν ἐγγύθεν

---

24 Ἰωσήφ: abbas monasterii Cerameae; cf. ep. 74,31

20 καθεκάστην S 23 ὑποτακτικῶν S Mai 24 θεοῦ S^{sscr} 26 ἦρε S: ἦρεν Mai 29 καθ' ηγουμένων C 32 σὺν ἀποθνήσκοντες C 34 ἄνθον S

---

74. inter mens. Ian. ac April. a. 816 9 ἐσχατιά: insula Thasus? cf. p. 214* adn. 240 supra

C (S)

3 ὦ C 6 χωρήσειεν C Mai 7 ἀπαλλήλων C

βαρβαρικὴν χώραν. πλὴν ἐν χειρὶ Κυρίου τὰ σά, ὅς σε περιέπων διαφυλάξειεν ἀπὸ παντὸς κακοῦ. τάχα δὲ βουλόμενος ὁ θεὸς διάττειν ὥσπερ τινὰς ἀστέρας τοὺς ἑαυτοῦ ἐκλεκτοὺς ἐν τῷ στερεώματι τῆς πίστεως ἄλλον ἀλλαχοῦ τῶν ὡς σὺ ἀνδρικῶν ἀνδρῶν διεπέμψατο, ὡς ἂν μὴ περὶ ἕνα χῶρον ἡ τῆς ὀρθοδοξίας λαμπηδὼν διαβαίνοι, πολλοὺς δὲ φωτίζοι τῶν ἀμυήτων. τοιγαροῦν ἀνάτειλον ὡς ὁ λαμπρὸς ἑωσφόρος τὰς ἡλιακάς σου διδασκαλίας καὶ δημιούργησον ἡμέραν σωτηρίας τοῖς νυκτομαχοῦσιν, ἢ καὶ ἐπίρρωσον τοὺς ἐκ φωτολειψίας ἀσθενοῦντας. γένοιο Παύλῳ σύνδεσμος, εἰ δ' οὖν, ἀλλὰ γὰρ Ἀθανασίῳ σύναθλος· ἐκ Δύσεως γὰρ αὐτῷ τὸ πολὺ κλέος.

Οὕτως ἡμεῖς φιλοπαθοῦντες τῷ καλῷ πατρὶ υἱικῶς διαλεγόμεθα, τοὺς ἐν τῇ θεοφιλίᾳ σου ἱεροὺς σπινθῆρας ἀνασκαλεύειν πειρώμενοι, ὡς ἂν πλέον ὁ τῆς διδασκαλίας αὐτῆς πυρσὸς ἀναλάμψειεν. ἐπειδή, ὡς οἶσθα, νὺξ χαλεπὴ καὶ σκότος βαθύ, πολὺ τῆς κατ' Αἴγυπτον ἐνάτης πληγῆς ὀλεθριώτερον, συμφέρουσα καὶ συγχέουσα καὶ ζοφοῦσα οὐ σώματα, ἀλλὰ ψυχὰς αὐτὰς τὸ ἐλεεινότατον. βρέμει ὁ κρατῶν, ἀπειλαί, πληγαί, φυλακαί, κακώσεις, δοκιμασίαι, ἐξεγχελήσεις, κολακεῖαι, ἐξορίαι, πᾶν ὁτιοῦν εἶδος φόβου καὶ ἀπάτης. διαλάμπουσι δὲ καὶ κεκραταίωνται τίνες ἄλλοι ἢ οἱ καθ' ἡμᾶς Ναζιραῖοι, τὰ νεῦρα τῆς ἐκκλησίας, τὰ ἀκροθίνια τῆς ὁσιότητος, ὧν οὐκ ἄξιος ὁ κόσμος; σὺν πολλοῖς τοῖς ἀριθμουμένοις καὶ ὁ εὐλαβέστατος ἡγούμενος τῶν Κεραμέα· οὕτω γὰρ κλητέον τὸν τὴν ἧτταν ἀναμαχησάμενον. καὶ εὐλογητὸς Κύριος ὁ πολλοὺς ἔχων μάρτυρας ἐν τῷ νῦν διωγμῷ εἰς στηριγμὸν τῆς πίστεως τῆς ἀμωμήτου.

Μὴ οὖν παρασιωπησάτω σου ἡ ἁγία ψυχὴ δεομένη ὑπὲρ τοῦ λωφῆσαι τὰ κακὰ ἐπιλάμψει θείας προμηθείας, ἀλλά γε καὶ περὶ ἐμοῦ τοῦ ταπεινοῦ, ἵνα κατ' ἴχνος ὑμῶν τῶν ἁγίων πατέρων πορεύσωμαι. /

---

17 διδασκαλίας: cf. quae de imaginibus disseruit Euthymius in concilio Nic. II apud Mansi XII 1087 E sq.; 1147 D sq. 31 ἡγούμενος: Josephus; cf. ep. 73,24

---

30 Hebr. 11,38

---

11 χῶραν codd: corr Mai 15 διαβαίνει C Mai 16 φωτίζει C τοίγαρ οὖν C 21 καλῷ S[sscr] 22 θεοφιλείᾳ codd: corr Mai 25 ἑννάτης codd: ἐννάτης Mai: correxi 27 ἀπηλαί C φυλακαί ante πληγαί transp Mai ἐξεγχελήσεις codd: ἐξελεγχήσεις Mai 28 κολακεῖαι: κολάσεις Mai ὅτι οὖν C 29 κεκραταίονται C Mai ναζηραῖοι C Mai 32 Κεραμέων Mai τὸν om Mai

75. Ἰγνατίῳ ἐπισκόπῳ Μιλήτου

Εὕρεμα καλὸν ἐθήρασα ἐπιτυχὼν γραμματηφόρου, δι' οὗ χαράττω σου τῇ ἁγιωσύνῃ τὴν ἐν χερσὶν ἐπιστολήν, οὐδενὸς μὲν ἀξίαν λόγου ὡς ἄλλως, πλείστην δὲ ὅτι μάλιστα τὴν ἀγαπητικὴν διάθεσιν ἔχουσαν· φιλοῦμεν γάρ σε, ὦ πατέρων ἄριστε, διαφερόντως οὐ μόνον ὡς ποιμένα θεομακάριστον καθ' ὅτι προκινδυνεύων ὤφθης τῆς πίστεως, ἑλόμενος πᾶσαν κακοπάθειαν, ἐξορίαν καὶ ἀφαίρεσιν πάντων, ἀλλ' ὅτι καὶ ὁμόσχημος ἡμῖν ὑπάρχεις καὶ τῶν ἐξ ἀρχῆς γνωρίμων τε καὶ φίλων, προσθείην δ' ἄν, καὶ διὰ τὴν εὐλάβειαν, ἣν ἐν ἐγκρατείᾳ χαρακτηρίσαι ἑαυτῷ ἠγωνίσω.

Χαίρομεν οὖν ὅτι τοιοῦτον καὶ τηλικοῦτον ἔχομεν πατέρα, μᾶλλον δὲ ἔχει ἡ τοῦ θεοῦ ἐκκλησία στῦλον καὶ ἑδραίωμα ἐν τούτῳ τῷ χαλεπῷ σεισμῷ τῆς ἀσεβείας· σεισμὸς γὰρ τῷ ὄντι, ἐν ᾧ ἀσεβεῖς μὲν καταπίπτουσιν ἀνερμάτιστοι ὄντες, εὐσεβεῖς δὲ οἱ μὲν σαλεύονται, οἱ δὲ οὐδ' ὁτιοῦν πάσχουσιν ἐκ τῆς ἄγαν στερροκαρδίας. διὰ τοῦτο ὅσον πολλοὶ οἱ στῦλοι καὶ τὰ νοητὰ ἑδραιώματα, τοσοῦτον ὀχυρούμεθα καὶ ἡμεῖς οἱ ὑφειμενέστεροι. εὐλογητὸς ὁ θεὸς ὁ ὑποδείξας σου τὴν ἀρετὴν ἐν τῷ παρόντι καιρῷ μάλα τηλαυγέστερον. δοκίμιον γάρ ἐστιν ἤ, ἵν' οἰκειότερον εἴπω, χωνευτήριον ἡ πεῖρα αὕτη, ὡς ἂν οἱ ἐκλεκτοὶ φανῶσι καὶ οἱ ἄλλως ἔχοντες διελεγχθῶσιν· οὐ γὰρ ἀνήκοος εἶ πάντως, θεοτίμητε, οἷοι καὶ ὅσοι τῶν ἐξ ἑκατέρου μέρους. διὸ καὶ λυπούμενοι στένομεν τῷ διασπασμῷ τῶν μελῶν καὶ πῶς οἱ τίμιοι καὶ ἀντιτιθέμενοι χρυσίῳ ὡς ἀγγεῖα ὀστράκινα ἐλογίσθησαν.

Ἐκεῖνοι μὲν οὕτως. σὲ δὲ ἡ μεγάλη τοῦ θεοῦ χεὶρ περιφυλάξειεν τὸν ποθητὸν ἡμῶν πατέρα, ὑγιαίνοντα, διαλάμποντα τῇ διδασκαλίᾳ, διαβοούμενον τῇ παρρησίᾳ, προσευχόμενόν τε ὑπέρ τε τῆς ἐκκλησίας τοῦ Χριστοῦ καὶ περὶ ἡμῶν τῶν ἀναξίων, ἵνα κατακολουθῶν ἔσομαι τοῖς ἴχνεσιν ὑμῶν ῥυόμενος ἐκ τοῦ πονηροῦ. /

---

75. a. 816 – 818 2 γραμματηφόρου: cf. Hunger, Literatur I 229 et adn. 131 23 ὀστράκινα: ad vocem cf. A. Bonhöffer, Epiktet und das Neue Testament. Gießen 1911, 123 sq.

12 1 Tim. 3,15 18 Sap. 3,6 23 Thr. 4,2 28 Matth. 6,13

C (S)

1 ἐπὶ σκόπῳ C μιλίτου codd: corr Mai 2 ἐπὶ τυχὼν C 3 ἐπὶ στολήν C 8 ἐξαρχῆς S 12 στύλον omnes: correxi 13 τῳόντι S 15 ὅτι οὖν C διατοῦτο S 16 στύλοι C Mai 22 στένωμεν C 24 περιφυλάξειε S 26 διαβοώμενον S Mai

76. Ἰωάννῃ ἡγουμένῳ Χαλκίτου

Ἐβουλόμην διακόνῳ χρήσασθαι τοῦ παρόντος γραμματείου Σιλουανῷ τῷ πνευματικῷ ἡμῶν τέκνῳ, παρ' οὗ καὶ προσαγορίαν ἐδεξάμην ὑπὸ τῆς ἁγιωσύνης σου πεμφθεῖσάν μοι καθ' ὃν καιρὸν ἐστέλλετο τὴν διὰ Κύριον ἐξορίαν. ἀλλ' ἐπεὶ οὐκ ἐξεγένετό μοι ἐν τῷ τέως, δι' ὧν εὗρον ἄρτι ἀποκρισιαρίων ἁρμόζον ἡγησάμην προσφθέγξασθαι τὴν τιμιότητά σου. χαίροις, ὦ καλὲ ἀδελφέ, μᾶλλον δέ μοι πατέρων ποθεινότατε, συνεξορίζῃ Χριστῷ, συμπάσχεις τῷ παθόντι ὑπὲρ σοῦ· εὖγε ὅτι ἦρες ἄρμα πνευματικόν, εὖγε ὅτι ἡγήσω πάντα σκύβαλα διὰ Χριστόν. καλὸν τὸ μοναστήριον ὃ συνεστήσω διὰ πολλῶν κόπων καὶ ἱδρώτων καὶ τῶν κύκλωθεν νήσων ὑπερλάμπον τῇ τε θέσει τοῦ τόπου καὶ οὐκ ὀλίγοις ἑτέροις γνωρίσμασιν.

Ἀλλ' ὅρα ὅ τι τὸ ζωηρὸν χωρίον τοῦ παραδείσου σοι προεξένησεν· καὶ τάχα καὶ αὐτὸ οὐκ ἀδυνατήσει θεὸς ἀποδοῦναί σοι, εἴπερ βούλεται. ἐξέλαμψας ἐν τοῖς ὁμοταγέσιν ἡλίου τηλαυγέστερον· ἔργῳ τὸ μοναχὸς εἶναι ἐξεπλήρωσας, μονωθεὶς ἁπάντων, καὶ πνευματικῶν τέκνων καὶ συγγενῶν καὶ φίλων καὶ πατρίδος καὶ εἰτινοσοῦν ἄλλου διὰ τὴν ἀλήθειαν. εἴπω τι καὶ παρρησιαστικώτερον (ἔχω γὰρ τὸ παρὰ σοῦ θαρρεῖν), ἐξεπλήρωσας τὰς ὑποσχέσεις, ἥττημαι τὴν καλὴν ἧτταν καὶ χαίρω νενικημένος μάλα, ἐμὸν ποιούμενος τὸν σὸν στέφανον· τοιαῦτα γὰρ τὰ κατὰ θεὸν φίλτρα. οἶδας ὃ λέγω, ἡνίκα ὠνείδιζον ἐγὼ πρὸς τὴν τότε σύμπτωσιν, εἰ καὶ οὐκ ἐνομίζετο, ἐζήτει δὲ ἡ σὴ εὐλάβεια τὰ τελεώτερα.

Ἔχεις με, ὦ φιλότης. ἀλλ' ὡς εὐγνωμονῶν ἐγὼ ἐνταῦθα φαίνοιμι, οὕτω καὐτὸς ἐκεῖσε, παρακαλῶ, συντίθεσο. τί τοῦτο; ὅτι καὶ τότε ὑπὲρ ἀληθείας ἡ φυλακή. καὶ οὐχ ὑπὲρ ἐμαυτοῦ τοῦτο λέγοιμι (ἄπαγε), ἀλλ' ἵνα σε θεὸς διὰ τῆς ὁμολογίας ἐκείνης κρατύνειεν κἂν ταύτῃ, ὡς ἂν ἀθλῇς νομίμως. ταῦτα ἐξ ὑπερβαλλούσης ἀγάπης εἴρη-

76. a. 816 10 μοναστήριον: Hagia Trias? 25 τότε: a. 809

9 Philipp. 3,8 **14** Luc. 1,37 **34** Ps. 105,30 2 Thess. 3,1 sq.

C (S)

1 χαλκ CS: om Mai: coll ep 542,33 supplevi **2** γραμματίου S **3** παροῦ C προσηγορίαν Mai **5** τὸν post διὰ inser Mai **6** διῶν C **8** ποθηνώτατε C: ποθινώτατε Mai συνεξορίζει C: συνεξορίζεις Mai σὺν πάσχεις C **9** ἄρμα C **11** κυκλόθεν Mai νήσσων C ὑπερλάμπων C **13** ὅ τι: ὅτι Mai προεξένισεν C Mai: προεξένησε S **17** εἴ τινος οὖν C **22** ὀνείδιζον C Mai

ταί μοι· ἐπεὶ πρὸς ἄλλον οὐκ ἂν ἐθάρρησα λέγειν, καίτοι γε εὔχομαι πάντας οὕτω φρο/νεῖν ἀπὸ κορυφῆς ἕως ποδῶν. ἄρτι γὰρ ἔξω ὑπολήψεων καὶ σκαιότητος τὰ ἡμέτερα, κἂν ὡς ἄλλως ἐν ἁμαρτίαις ἐσμέν.

Γνώρισον δὲ ἡμῖν, ὦ πάτερ, καὐτὸς ἐν οἷς εἶ καὶ ὅπως καθέζῃ, μὴ ἀθυμῶν μηδὲ ἀπελπίζων τὰ ἐλέη Κυρίου· εἰ γὰρ εἴποι ‚σιώπα, πεφίμωσο', ἐκόπασεν ἡ θραῦσις. ἀλλὰ καὶ προσεύχου μοι ἀδιαλείπτως, παρακαλῶ, ἵνα ῥυσθῶ ἐκ τοῦ πονηροῦ.

77. Εἰρήνῃ πατρικίᾳ

Σοὶ πρέπει ὕμνος ἀληθῶς, οὐ παρ' ἐμοῦ μόνου τοῦ ἁμαρτωλοῦ, ἀλλὰ σχεδὸν καὶ παρὰ πάσης τῆς ἐκκλησίας τοῦ θεοῦ. τίνος χάριν; ὅτι ἐν τῷ παρόντι σεισμῷ τῆς ἀσεβείας, ὁπηνίκα ἱερεῖς πίπτουσιν, ἀρχιερεῖς ὄλλυνται, μονάζοντες συντρίβονται, ἄρχοντες καταρρήσσονται, ἀρχόμενοι καταλύονται, ἄνδρες ἐκλύονται, γυναῖκες δεδίασιν, μόνη ἐφάνης γυναικῶν ἀδιάπτωτος, ἀσάλευτος, ἀκράδαντος, ἄφοβος, ἀμάθαλκτος, ἀδιάρρηκτος. πόθεν τοῦτο; ὅτι ἐπὶ τὴν νοητὴν πέτραν τὴν σεαυτῆς ψυχικὴν οἰκίαν τεθεμελιωμένην ἔσχες, ἐκ προλαβουσῶν πολλῶν καὶ διαφόρων ἀγαθοεργιῶν καὶ λίθων οἱονεὶ πνευματικῶν συσφιγχθεῖσάν τε καὶ καλλιεργηθεῖσαν, ἐφ' οἷς ἕωλοι καὶ ἀνίσχυροι δυνάμει θεοῦ οἱ δαιμονικοὶ ἄνεμοι καὶ οἱ τῶν προσβολῶν νιφετοὶ ἐναπεδείχθησαν.

Εὐλογημένη σὺ ἐν γυναιξί, μεμακαρισμένη σὺ ἐν ἀρχούσαις, δεδοξασμένη σὺ ἐν ταῖς ὑποζυγίοις. ἤγειρας ὄντως κέρας σωτηρίας τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, ηὔφρανας ἀγγέλους, ᾔσχυνας δαίμονας, ἐνίκησας κακοδόξους, ἔπληξας λαοπλάνους, ἐστερέωσας σαλευομένους, ἐτραυμάτισας λειποτακτοῦντας, ἐδρίμυξας φιλοσαρκοῦντας, ὡμολόγησας Χριστὸν διὰ τῆς ἱερᾶς εἰκόνος αὐτοῦ, συνηριθμήθης τοῖς αὐτοῦ ὁμολογηταῖς. εὖγε ἀνδρειόφρων ψυχή, εὖγε μαρτυρόνους καρ-

---

29 καί τοί Mai

---

77. a. 815 – 818

14 Luc. 1,42 15 Luc. 1,69

C (S)

6 δεδείασιν C: δεδίασι S 8 ἀμάθαλκτος: an ἀμάλθακτος scribendum? 10 ἀγαθοεργειῶν C Mai 11 συνσφιγχθεῖσαν C Mai ἐφοῖς C 14 ἐναρχούσαις C 18 ὁμολόγησας C Mai

δία, εὖγε ἐμοὶ μήτηρ προσκυνουμένη· ἡ γὰρ Χριστοῦ ποιήσασά τε καὶ ποιοῦσα τὸ θέλημα, πολλοῦ γε εἰπεῖν ἐμοῦ τοῦ ἀναξίου. οὕτως σε θεὸς ἐδόξασέν τε καὶ ὕψωσεν, ἀλλὰ καὶ ἔτι δοξάσειεν, ἐάνπερ μέχρι τέλους ἐπιμείνωμεν τῇ καλλίστῃ ἡμῶν ὁμο/λογίᾳ. καὶ τί τὸ ἀπ' αὐτῆς κέρδος; βασιλεία οὐρανῶν, ἐν ᾗ ἐκλάμψεις ὡς ὁ ἥλιος μετὰ πάντων τῶν ἁγίων.

Τῇ συνάθλῳ σου καὶ ὡς ἀληθῶς ὄρπηκι προσφωνῶ τὰ εἰκότα.

78. Ζαχαρίᾳ ὑπάτῳ

Ἀσπάζομαί σε, ἄνθρωπε τοῦ θεοῦ, κάλλιστε φίλων, ἐργάτα Χριστοῦ. τί παρ' ἡμῶν τῶν ἁμαρτωλῶν παθὼν ἀγαθὸν ἀνταποδίδως ἡμῖν χάριτας; καὶ χάριτας οὐκ ἐξ ὧν σὰρξ εὐφραίνεται οὐδ' ἀφ' ὧν ἐπίκηρος ἡ εὐεργεσία, ἀλλὰ τὰς ὄντως εἰς ψυχὴν διαβαινούσας καὶ οὐ κενουμένας εἰς αἰῶνας· οἶδας ἃς λέγω, ἐπί τε τοῦ θεοφιλεστάτου φημὶ ἀρχιεπισκόπου καὶ ἀδελφοῦ ἡμῶν, ἐπί τε τοῦ πρωτοπρεσβυτέρου, ἡμῶν τε αὐτῶν τῶν ἁμαρτωλῶν καὶ οὗτινος ἄλλου τῶν ἡμετέρων τέκνων. ᾗ τοῦ μὲν εὖ παθεῖν οὐδὲν οὐδαμῶς (πόθεν γὰρ καὶ πότε;), ἐξ ἀγαθῆς δὲ καρδίας καὶ προθέσεως φιλοθέου, καθ' ἣν καὶ πρότερον εὐηργέτησας, ὅτε βασιλεὺς ἐμαίνετο καθ' ἡμῶν ἡρωδιανίζων· οὕτω γὰρ εἰπεῖν σεμνοπρεπέστερον.

Δῴη σοι τοιγαροῦν χάριν ἀντὶ χάριτος ὁ εἰς ἑαυτὸν τὰς χάριτας ἃς πεποίηκας ἐν ἡμῖν τοῖς ταπεινοῖς διὰ φιλανθρωπίαν ἀναδεχόμενος, καὶ ῥύσεταί σε πανοικεὶ ἐκ παντὸς κακοῦ καὶ μάλιστά γε τῆς λυττώσης αἱρέσεως κατὰ Χριστοῦ.

---

27 τῇ συνάθλῳ: eius filia; cf. ep. 55,18

---

24 1 Tim. 6,12

---

21 ἡ: εἰ C Mai 22 οὔτω Mai 23 καὶ[1] om Mai 24 ἐπὶ μείνωμεν C 27 ὄρπηκι C Mai

---

78. a. 815–818 7 πρωτοπρεσβυτέρου: Studita Athanasius 11 βασιλεὺς: Constantinus VI

---

13 Matth. 25,40

C (S)

---

3 παθῶν C 4 σὰρξ post εὐφραίνεται transp S ἐπίκηρος: ἐπίκαιρος Mai 6 ἐπί: ἐπεί C 7 ἐπί: ἐπεί C 8 οὔτινος C Mai 9 ᾗ scripsi: ἡ C: ἡ S: ἣ Mai (fort recte) 13 τοί γὰρ οὖν C 15 πανοικεῖ C: πανοικὶ S: corr Mai (sed cf ep 95,16, LSJ s. v.)

79. Ἀθανασίῳ τέκνῳ

Ἔγνω ὁ θεὸς τοὺς ὄντας αὐτοῦ, καθὰ γέγραπται· διὰ τοῦτο, τέκνον μου περιπόθητον, οὐκ ἠβουλήθη ἐν παραβύστῳ σε παρεξελθεῖν ἐν ταῖς ἡμέραις ταύταις, ἀλλ' οἷόν τινα μαργαρίτην εὐσεβείας εἰς προῦπτον φανερωθῆναι, ἵν' ὅτι μάλιστα δοξασθῇ ὡς ἔν τισι τῶν προεχόντων ἀδελφῶν σου καὶ ἐπὶ τῇ σῇ στερροκαρδίᾳ. λυπηρὸν μὲν οὖν (πῶς γὰρ οὔ;) τὸ διαζευχθῆναί σε τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου, οὐκ ἔχοντος αὐτοῦ ἰσοστάσιον τῆς ἀρετῆς σου εἰς παρηγορίαν καὶ συμβουλίαν· πλὴν οἶδεν οἰκονομεῖν θεὸς τὰ συμφέροντα, ἵνα ἀμφοτέρων ἡ βάσανος τῆς ἀρετῆς διαδειχθῇ.

Χαίρω ἐπὶ σοί, τέκνον μου, καὶ ἐναβρύνομαι· Ἀθανάσιος εἶ, ἀλλὰ καὶ εἴης ἔργῳ καὶ λόγῳ εὐδοκίᾳ τοῦ δυναμοῦντος τὰ πάντα θεοῦ. / ἔνεγκε, τέκνον μου, τὴν ὑπὲρ Χριστοῦ καὶ μετὰ Χριστοῦ φυλακήν. εἰ καί τι εὐδοκεῖ ἄλλο, δέξαιο ἀσπασίως· οὐ γὰρ τὸ παθεῖν, ἀλλὰ τὸ μὴ ὑποῖσαι διὰ Χριστὸν πάθη δυσφορώτατον καὶ ἐπιζήμιον τοῖς ἔχουσι νοῦν. ὁ Κύριος μετὰ τοῦ πνεύματός σου· καταλάβοι σε ἡ εὐχὴ τοῦ μακαρίου πατρὸς ἡμῶν καὶ τῶν ὁσίων ἀδελφῶν, προηγουμένως ἡ πρεσβεία τῆς ἁγίας Θεοτόκου σὺν πᾶσι τοῖς ἁγίοις.

Μιμνήσκου μου τοῦ σοῦ ἁμαρτωλοῦ πατρός.

80. Τιμοθέῳ τέκνῳ

Ὦ καλὲ Τιμόθεε, πάντοτέ σε οἶδα φιλόθεον, φιλοπάτορα, εὔνουν, σύμψυχον, ἄδολον, οἰκοῦρον, εὐσυμπάθητον πρὸς τὸν μακάριον πατέρα ἡμῶν, πρός με τὸν ἁμαρτωλόν, πρὸς τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον. δεῖξον οὖν τὸ παρὸν ἔργα δυνάμεώς σου, φιλίας,

---

79. a. 815–818   7 ἀρχιεπισκόπου: Josephus   17 πατρός: Platon

2 2 Tim. 2,19   16 2 Tim. 4,22

C (S)

8 αὐτοῦ om Mai   10 ἵν' Mai   13 ἔνεγκον Mai   15 ὑποίσαι codd: corr Mai

---

80. hieme a. 815–816

C (S)

3 οἰκουρόν S   5 ἀρχιἐπίσκοπον C   τὸ παρὸν S^{sscr}

εὐπιστίας, θεοσεβείας, θεοζηλίας. τί ταῦτα; ἵνα μὴ δῷς ὕπνον σοῖς ὀφθαλμοῖς, μηδ' ὁπωσοῦν λαμβάνων ἄνεσιν ἕως ἂν καταλάβῃς τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον. συμπόνησον αὐτῷ, τέκνον μου ἠγαπημένον, συνάθλησον, σφράγισον τὰ παρελθόντα τοῖς ἤδη φθάσασιν· οὕτω γὰρ εὐαρεστήσεις Κυρίῳ, οὕτω κἀμὲ τὸν ἁμαρτωλὸν θεραπεύσεις, μόνον εὐσκόπως καὶ τετηρημένως ἀπιὼν καὶ καταλαμβάνων αὐτόν, διδοὺς καὶ τὰ γράμματά μου.

Εὔχου μοι ἀεί, τέκνον ποθεινόν.

81. Ἀνατολίῳ καὶ Σαββατίῳ τέκνοις

Τρίτην ταύτην ἐπιστολὴν ὑμῶν ἐδεξάμην, ἐπιπόθητά μου τέκνα καὶ λίαν ἠγαπημένα, ἀφ' ἧς πολλὴν ὑμῶν κατέμαθον τὴν ἀγαθὴν πρὸς θεὸν διάθεσιν καὶ τὴν πρός με τὸν ἁμαρτωλὸν σχέσιν· τὸ γὰρ πυκνοτέρως γράφειν καὶ γνωρίζειν τὰ οἰκεῖα, καὶ μὴν καὶ τῶν ἀδελφῶν τῶν ἐν τοῖς αὐτόθι διεσπαρμένων ποῦ καὶ πῶς αὐτοὺς καθέζεσθαι, ὅπερ ἐδήλου ἡ προγενεστέρα συλλαβή, ἀπόδειξιν ἔχει τῆς θερμῆς ὑμῶν φιλοπατορίας καὶ τῆς διακαοῦς θεοζηλίας. ἐν αἷς φυλαχθείητέ μοι, ὦ καλοὶ παῖδες, θέρμην ἐκ θέρμης προσλαμβάνοντες καὶ ζωπυρούμενοι τῷ πνεύματι εἰς πᾶν ἔργον ἀγαθόν. ὑπομονῆς ὁ καιρός, ἀδελφοί, / κακοπαθείας· ὡς στρατιῶται Χριστοῦ ταλαιπωρήσατε. οὐκ ἄξια τὰ παθήματα πρὸς τὴν μέλλουσαν δόξαν, ὑπὲρ ἧς πολλὰ ἐνιδρώσαντες ἐπέτυχον οἱ πατέρες ἡμῶν τῶν στεφάνων;

---

8 ἀρχιεπίσκοπον: Josephus

6 Prov. 6,4

7 ὅπως οὖν C   10 εὐαρεστήσῃς omnes: correxi   13 ποθινόν C

---

81. vere a. 816

2 cf. Philipp. 4,1   **11** 2 Tim. 2,3   **12** Rom. 8,18

C (S)

1 σαβατίῳ C Mai   **2** ἐπὶ στολὴν C   ἐπὶ πόθητά C   **3** ἀφῆς C   **4** τὴν om Mai   **7** καθέζεσθε C   **8** ἐναῖς C   **9** πρὸς λαμβάνοντες C   **11** ὡς: ὦ Mai

Οἴδατε τοῦτο, ὅτι Νεκτάριος ὁ ἀρχαῖος προδότης ἀπεστάτησεν, χεῖρον τοῦ Ἰούδα πράττων· ὅτι ὁ μὲν ἔξαρνος γενόμενος καὶ προδοὺς τὸν κύριον τῆς δόξης ἀπήγξατο μεταμελείᾳ, ὁ δὲ αὐτομόλως καὶ τὸν Χριστὸν ἠθέτησεν διὰ τῆς ἀρνήσεως τῆς ἁγίας αὐτοῦ εἰκόνος καὶ ἀμεταμελήτως μετὰ τῆς οἰκείας ψυχῆς ἀπώλλυ καὶ ἄλλων πολλῶν, ἀπαιτῶν τὰ τῆς ἀσεβείας χειρόγραφα. καί γε Ὀρέστης λειποτακτήσας ἐκ τῶν ἑπτὰ διὰ τὰ μυσαρὰ πάθη ἀπέδωκεν ἑαυτὸν τῷ βαλανείῳ τῆς ἀποστασίας.

Διό, τέκνα μου, φυλαττοίμεθα· ἀσεβῶν γὰρ καταπιπτόντων οἱ δίκαιοι, φησίν, ἔμφοβοι ἔσονται. προσέχετε ἑαυτοῖς, παρακαλῶ, καὶ μὴ δῶτε τόπον τῷ διαβόλῳ, ἀλλ' ἔστω ὁ φόβος τοῦ θεοῦ φρουρῶν ὑμᾶς ἐν πᾶσιν. ζηλῶ ἐφ' ὑμᾶς τοῦ εἶναι πεπαιδευμένους, ἀλλὰ βλέπετε ὅτι ἡ γνῶσις φυσιοῖ τοὺς ἀπροσέκτους καὶ ἡ φυσίωσις καταρράσσει. ὑμῖν οὖν καὶ ἡ γνῶσις προστεθείη καὶ ἡ ταπείνωσις ὑψωθείη.

Μεθορίζουσίν με ἐκ τῆς Μετώπης εἰς Βονήτης τὸ κάστρον, εἰς Ἀνατολικούς. καὶ χαίρω λίαν, ὅτι διὰ τὸν Κύριόν μου καὶ θεὸν μεταβιβάζομαι. εὔχεσθε ὑπὲρ ἐμοῦ, τέκνα μου, ἵνα σῴζωμαι, παρακαλῶ. ὀρέγοιτε χεῖρα τοῖς ἀδελφοῖς ὑμῶν καὶ μάλιστα τοῖς δέκα λόγῳ, ἔργῳ, κατὰ τὸ δυνατόν, ἵνα ἀναπληροῦντες ἦτε τὸ ὑστέρημά μου.

Οἱ ἀδελφοὶ ὑμῶν Ὑπάτιος καὶ Νικόλαος θερμῶς προσαγορεύουσιν. ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔστω μετὰ τοῦ πνεύματος ὑμῶν. ἀμήν.

---

21 ἑπτά: cf. p. 219* adn. 254 29 Μετώπης: ad situm cf. Hasluck, Cyzicus 72 sq. Βονήτης: ad situm cf. J. Pargoire, La Bonita de Saint Théodore Studite. EO 6 (1903) 207 sq.; L. Robert, Villes d'Asie Mineure. Paris [2]1962, 343 sq.; L. Zgusta, Kleinasiatische Ortsnamen. Heidelberg 1984, 124; K. Belke – N. Mersich, Phrygien und Pisidien. Wien 1990, 213 sq. 32 δέκα: cf. p. 239* adn. 332

---

17 Matth. 27,5 23 Prov. 29,16 25 Eph. 4,27 27 1 Cor. 8,1 33 Philipp. 2,30 36 2 Thess. 3,18

15 ὁ om Mai 16 χείρων codd: χείρω Mai: correxi 18 ἠθέτησε S 19 ἀπώλλη C: ἀπόλλει S: ἀπώλεσε Mai: correxi 20 Ὁρέστης C Mai 21 βαλανίῳ C 22 ἀπὸ στασίας C 25 δότε C Mai 26 πᾶσι S Mai 29 μεθ' ορίζουσίν C Βόνιτα legitur apud vitam A Theod Stud 83 (PG 99,189 C) (cf J. Pargoire, in EO 6 [1903] 209) 31 σώζω με C 36 ἔστω om Mai

82. Πέτρῳ Νικαίας

Πολλάκις προθέμενος ἐπιστεῖλαι τῇ ἐμοὶ ποθητῇ καὶ πατρικῇ ἁγιωσύνῃ σου ἐκωλύθην ὑπὸ τῶν ἁμαρτιῶν μου (οὐ γὰρ ἂν ἄλλο τι αἰτιάσομαι μέχρι τοῦ δεῦρο), νῦν δὲ ἐπιτυχὼν καιροῦ καὶ γραμματηφόρου ἡδέως ἤδη προσφθέγγομαι καὶ προσαγορεύω τὴν ἐμοὶ σεβασμίαν / καὶ ἱερὰν κεφαλήν· εἰ γὰρ καὶ τὰ μάλιστα ἅπας ἐναθλῶν ὑπὲρ εὐσεβείας ἐραστὸς τῇ ἐμῇ οἰκτρότητι, ἀλλ' ὅμως ἐξαίρετόν μοί τι σέβας ἐπὶ τῇ σῇ πατρότητι πρόσεστιν. ἐπεὶ γὰρ φιλοῦμαι ἀναξίως παρ' αὐτῆς, οὐκ ἀπεικότως καὶ φιλῶ παρὰ τοὺς πολλούς. ὅτι δὲ στέργομαι, δεῖγμα μέγιστον τὸ ἐν καιρῷ τῆς τῶν πραγμάτων κωδωνίσεως ὡς εἴς τι χρήσιμον ὄντα με τὸ κοινῇ συμφέρον ἐκθειάζεσθαι πρὸς αὐτῆς καὶ ἐπαινεῖσθαι, καὶ ταῦτα οὐκ ἰδίᾳ πως καὶ ἐν παραβύστῳ, ἀλλ' ἤδη καὶ ἐπ' αὐτὰς τὰς ἀρχιερατικὰς ἀκοὰς ἀναφερούσης· ὃ τῆς σῆς μὲν φιλίας καί, ἵν' οὕτως εἴπω, ξενολογίας ἐπίσημον, τῆς δ' οὖν ἐμῆς ἀναξιότητος ἔκφυλον, ὑποφριττούσης εἰσέτι καὶ νῦν τὸν τῆς θεοφροσύνης σου ἔπαινον.

Τοσαῦτα μὲν περὶ τούτου, εἶδος ἀπολογίας μοι ποιουμένῳ. τί δ' ἂν τὰ ἑξῆς; ἤρθης ὁ πατὴρ καὶ μετήρθης, περιωρίσθης καὶ μεθωρίσθης. ἀκοὴ ἐξ ἀκοῆς προσπελάζουσα ἐθρόησεν, ἐπτόησεν ἡμᾶς τὰ τέκνα σου, οὐκ εἰδότας τὸν τρόπον, ἀγνοοῦντας τὰς διαθέσεις. ἡμεῖς γὰρ οἱ ταπεινοὶ ὡς ἔν τινι ἀγκύρᾳ ἐν τῇ νῦν κλυδωνιζούσῃ καὶ καταποντιζούσῃ αἱρέσει πεποιθότες ἐσμὲν ἐπὶ τῇ μεγαλωσύνῃ σου, πηδαλιουχούσῃ καὶ ἀπευθυνούσῃ ἡμᾶς ταῖς θεοσθενέσιν ἐνστάσεσιν εἰς ἀκίνδυνον εὐπλοΐαν. γνώρισον οὖν ἡμῖν, ὦ μάκαρ, ἀκροθιγῶς ὅπως τὰ κατὰ σέ, ἵνα σου τῷ ἐρείσματι περιζωννύμεθα δύναμιν. καὶ πρὸς τούτοις σθένοις ταῖς προσευχαῖς, ἀλείφοις ἡμᾶς ταῖς παραινέσεσι, πείθοις ὡς οὐκ εἰς τέλος ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν παίουσαν τὴν αὐτοῦ ἐκκλησίαν· εἰ δ' οὖν, καρτερῶς ἡμᾶς φέρειν τὴν βραδυτῆτα, ἣν τοῖς ἀθεωρήτοις αὐτοῦ κρίμασι τῆς σοφίας οἶδεν συμφερόντως ἐπάγεσθαι ἡμῖν τοῖς ταπεινοῖς πάντως.

---

82. hieme a. 815 – 816

C (S)

2 ἐπὶ στεῖλαι C 3 ἂν om Mai 4 αἰτιάσωμαι S ἐπὶ τυχὼν C 10 κωδωνήσεως omnes: corr Kambylis 11 τὸ: τῷ C Mai συμφέρων C 15 εἰς ἔτι codd: corr Mai 18 ταεξῆς S μεθ' ωρίσθης C 24 ἀκροθήγως C 28 εἰ δ': εἶτ' Mai 29 βραδύτητα Mai κρίμασιν Mai

83. Ἰωσὴφ ἡγουμένῳ

Ἤνεγκεν ὁ καιρὸς χρήσασθαί με φιλικῷ γράμματι τῇ ἁγιωσύνῃ σου· πρότερον μὲν γάρ, ἡνίκα σκυθρωπαὶ ὑποθέσεις ὑπὸ τῶν κρατούντων εἰσεφθάρησαν ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ κατὰ τὰς ἁμαρτίας μου, τοσοῦτον ἀπεσχοινίσθημεν ἐξ ἀλλήλων, ὡς ἀνατολῇ καὶ / δύσει ἀκουστὸν γενέσθαι τὸ δρᾶμα τῆς διαστάσεως. φεῦ τῶν ἡμερῶν ἐκείνων· φεῦ τῆς δραματουργίας ἐκείνης· εὐαγγελίου θεοῦ γὰρ ἦν παράβασις, δι᾽ ἣν ἐδονήθη τὰ πέρατα καὶ οὐρανὸς ἐπεστέναξεν. νυνὶ δέ, ἐπὰν ἐκποδὼν γέγονε τὰ τηνικαῦτα τυρβασθέντα νεύσει τῆς προνοίας, εἰ καὶ τὰ χείρονα παραχωρήσει ταύτης ἐξεκαύθη τανῦν, δῆλον ὅτι ἐκ τῶν προλαβόντων ὡρμημένα, φεῦ μέντοι γε καὶ τῶν τῇδε ἡμερῶν, ἃς οὐδὲν ἄλλο ὑποληπτέον ἢ τῆς τοῦ Ἀντιχρίστου παρουσίας προεισόδια.

Ὅμως ἐπειδὴ χάριτι τοῦ ὑπεραγάθου θεοῦ εἰς ταὐτὸν ἡμῖν, μᾶλλον δὲ τῇ ἀληθείᾳ συμφρονοῦσα ὤφθη καὶ τὴν αὐτὴν ἔνστασιν τῆς εὐσεβείας τοῖς πᾶσιν ὀρθοδόξοις αἱρησαμένη, καὶ ταῦτα ἐν γήρει καὶ προθυμίᾳ ζεούσῃ, ὃ καὶ παράδοξον καὶ αἰνούμενον, ἐπανατρέχων εἰμὶ ὁ ταπεινὸς εἰς τὴν πάλαι ἀγάπην καὶ συνάφειαν· οὐδὲν γὰρ οὕτως ἰσχυρὸν εἰς ὁμόνοιαν, ὥς φησι τὸ θεῖον στόμα, ὡς ἡ περὶ θεοῦ συμφωνία, καὶ οὐδὲν οὕτως εἰς διάστασιν ὡς ἡ περὶ αὐτοῦ διαφωνία.

Διὰ τοῦτο ἀπεκδυσάμενος ὥσπερ τι νέφος πονηρὸν τὰ προλαβόντα μετὰ χαρᾶς μεγάλης αἴθριόν σοι τὸ τῆς ὁμονοίας φάος ἀνατέλλω πρὸς τὰ παρόντα καὶ ὡς πατρί μου ἀγαπητῷ προσφθέγγομαι καὶ ὡς δεδιωγμένῳ καὶ περιωρισμένῳ ἕνεκεν δικαιοσύνης πρόσειμι, στεφανῶν σε τοῖς ἐπαίνοις καὶ μεγαλύνων τοῖς ἐγκωμίοις τὴν πολιὰν τὴν αἰδέσιμον, τὴν ἄσκησιν τὴν μακροχρόνιον. καὶ ὢ τῆς μεγαλοδωρεᾶς τοῦ θεοῦ, οὐκ ἐασάσης ὑπὸ τὸν σκοτεινὸν μόδιον τὸν πρὶν καλυφθῆναί σου τὰ φωτοειδῆ ἀριστεύματα. ὁμολογητήν σε νῦν Χρι-

83. a. 816

19 cf. (Ps.-)Athan. de syn. 48 (PG 26,780 A) **24** Matth. 5,10 **27** Matth. 5,15

C (S)

4 εἰσφθάρησαν Mai **5** ἀπησχυνίσθημεν C ἐξαλλήλων C **6** δράμα CS^{ac} Mai **8** ἐπεστέναξε S **9** ἐκποδῶν C: ἐκ ποδῶν Mai **13** προεισόδεια C **15** συμφρονοῦσα: συμφωνοῦσα Mai **21** διατοῦτο S ἐπεκδυσάμενος Mai **23** πρὸς φθέγγομαι C **26** ὦ C Mai

στοῦ προσκυνῶ, φύλακα ὀρθοδοξίας αἰνῶ, συγχαίρων καὶ συναγαλλόμενός σοι ἐν τοῖς ὑπὲρ τοῦ ἀγαθοῦ ἀγωνίσμασιν, εἴπερ τῶν χαρισμάτων τὸ μέγιστον κατὰ τὸν ἀπόστολον τὸ ὑπὲρ Χριστοῦ πάσχειν· πλὴν ὅτι τὸ τίμιόν σου γῆρας κατελεῶν εἰμι, κακοπαθεῖν οὐκ εὐχερῶς ἔχον. ἀλλ' ὅμως πέποιθα ὅτι πάντα ἰσχύσειας ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ εἰς νῖκος ὀρθοδοξίας, εἰς καύχημα ἐμοῦ τε τοῦ ἁμαρτωλοῦ καὶ τῶν ἐξ ἴσου φιλούντων σε, μᾶλλον δὲ / καὶ τῆς ὅλης ἐκκλησίας τοῦ θεοῦ, εἰς στέφανον δικαιοσύνης σου αἰώνιον.

Ἀντιγράψαι δὲ εἰ οὐχ οἷόν τε, ἀλλ' οὖν χαρίζου μοι τὸ κράτιστον ὧν ἔχεις, τὰς ἱερὰς προσευχάς σου· πλήρης γάρ εἰμι ἁμαρτημάτων καὶ πάντων ἀνθρώπων οἰκτρότερος.

84. Γρηγορᾷ λαϊκῷ

Ἡ πολλή σου καὶ θερμὴ διακονία καὶ προσεδρία τῶν ἐν ταῖς φυλακαῖς ἀδελφῶν πεποίηκέν σε, ὦ ἄνθρωπε τοῦ θεοῦ, ἄποικον, φυγάδα, ἀλήτην. ἀλλὰ θάρσει· ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσῃ, ἡ ἄνω Ἱερουσαλὴμ σοι εἰς κατοικητήριον. τῷ ὄντι ἐνήθλησας, ἐταλαιπώρησας, ἐδαπανήθης, ἐκονδυλίσθης, ἐξεζητήθης, καὶ μέντοι καὶ κατεκρατήθης, κἂν οὐ τέλεον, ὁ μισθός σοι μέγας ἐφίσον τῶν φρουρουμένων, ἐπεὶ καὶ μείζων. ἀδελφὸς ἡμῶν εἶ, σύμψυχος, συγκοινωνός, εἴ γε καὶ ἔχοιμέν τι ἀγαθὸν κἂν τοῖς σωματικοῖς ὡσαύτως. ὁ θεός σε σώσειεν, προσεύχου περὶ ἡμῶν. καὶ ἀπὸ τοῦ νῦν δὲ καὶ πόρρωθεν, ὡς ἂν δύνῃ, τοῖς ὑπὲρ θεοῦ φρουρουμένοις βοήθει, εἴ τινες ἂν εἶεν, ἄνδρες καὶ γυναῖκες· πάντες γὰρ ἐν Χριστῷ ἀδελφοί.

31 Philipp. 1,29 33 Philipp. 4,13

32 κατ' ἐλεῶν C 33 ἔχων C 35 ἐξίσου codd: distinxit Mai 37 ἀλλοῦν C

84. a. 817

4 Ps. 90,1 5 Jer. 9,10

C (S)

2 ἡ om Mai 4 σκέπει C (fort recte) 5 τῳόντι S 6 ἐξεζητήθης om Mai 8 ἐφ' ἴσον Mai 9 κἂν codd: corr Mai **10** σώσειε S

85. Ἄννῃ ἡγουμένῃ

Τί ἂν ἀκούσας περὶ τῆς τιμιότητός σου περιχαρῶς ἐδεξάμην ὡς ἐπὶ τῷ μαθεῖν με ἐγκεκλεῖσθαι αὐτὴν νῦν διὰ τὸν Κύριον ἡμῶν καὶ θεόν; ὦ σοφὴ γυναικῶν· ὦ αἷμα Θεοκτίστης τῆς μεμακαρισμένης σαρκικὸν ὁμοῦ καὶ πνευματικόν. τοῦτό σοι τῶν προηνυσμένων ἀσκητικῶν ἀγώνων τὸ διάδημα, τοῦτο τῆς δεδοκιμασμένης σου ὑποταγῆς τὸ ἀναβλάστημα. ὡς μέγιστόν σου τὸ κλέος· ὡς ὑπέρλαμπρόν σου τὸ κατόρθωμα. ἐξ εὐγενῶν εὐγενὴς τὸ κατὰ σάρκα καὶ τὸ κατὰ πνεῦμα. ποῖός σοι λόγος οὐκ ἄξιος ἐπαίνου; ποία σοι γλῶσσα οὐκ ἐγκωμίων χρεῶστις; ἀλλὰ τί τὸ ζητούμενον; ἵνα σου τελειώσῃς τὸν ἀγῶνα. εἰ καὶ μόνη εἶ ἐγκεκλεισμένη, ἀλλὰ μετὰ Χριστοῦ καὶ τῶν ἀγγέλων· εἰ καὶ σωματικῶς ὀδυνηρόν, ἀλλὰ / πνευματικῶς ἀγαλλιαστόν, μὴ ὁρώσης σου πρὸς τὰ βλεπόμενα πρόσκαιρα, ἀλλὰ πρὸς τὰ ἀόρατα καὶ οὐράνια. ἐάν σου τελειωθείη τὸ ἔργον, οἷόν σοι χορεῦσαι μετὰ ὁμολογητῶν Χριστοῦ.

Στῆθι, παρακαλῶ, κυρία, δυναμώθητι ἄνωθεν. μὴ πτοηθῇς βασιλέα, ἐὰν δεῖ σε κατ' ὄψιν ἐλθεῖν, ὡς οὐκ ἐπτοήθησαν αἱ μάρτυρες, μὴ γύμνωσιν σώματος καὶ πληγάς, ἐὰν καὶ τοῦτο ἔλθῃ· ὁ Χριστὸς γὰρ περιστολή σου, βοήθεια ἰσχῦσαι σε πάντα, ὡς Φεβρωνία καὶ αἱ ἐφάμιλλοι αὐτῆς. ταῦτά σοι παρ' ἐμοῦ ἐκ πολλῆς φροντίδος καὶ τῆς κατὰ Κύριον ἀγάπης, ἵνα μὴ ἔξαρνος γίνῃ Χριστοῦ.

86. Λέοντι πατρικίῳ

Εἰ αὐτὸς οὐκ ἀτονεῖς εὖ ποιεῖν τῇ ἐμῇ ταπεινώσει δι' οἶκτον φιλανθρωπίας, μή τι ἄρα ἐγὼ ὑποίσω τοῦ μὴ ἀπολογεῖσθαι τῇ ἀγαθῇ σου ψυχῇ κἂν διὰ λόγου; ὢ τῆς συμπαθοῦς σου διαθέσεως· ὢ καρδίας

85. a. 815 – 818

13 2 Cor. 4,18 14 Joh. 4,34 19 Φεβρωνία: cf. Act. SS. Jun. VII (Parisiis 1867) 16 sq.

C (S)

2 an περιχαρῶς ⟨οὕτως⟩ scribendum? 3 τῷ: τὸ C Mai 8 ἐξευγενῶν C 9 σοι: σου Mai 10 χρεώστις omnes: correxi 11 μόνῃ Mai εἶ: ἢ C Mai 18 ἐάν: ἂν Mai 19 Φεβρονία omnes: correxi

86. a. 815 – 818

C (S)

4 ὦ C Mai (bis)

φιλελεήμονος· ὢ ψυχῆς φιλοοικτίρμονος. ἔοικάς μοι, ὦ δέσποτα, πηγῇ ἀειρρύτῳ ἀναψυχούσῃ με ἐκ δίψους αἰσθητοῦ τε καὶ νοητοῦ, ἢ μᾶλλον παραδείσῳ παντοίων ὡραίων καρπῶν πεπληρωμένῳ, ἐξ οὗ πάρεστίν μοι ἀπολαύειν τῶν ἐπιθυμουμένων. καὶ ὄντως φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν. ἐγὼ δὲ πατέρα σε προσαγορεύειν ἀξιῶ, φιλοτεκνίας ἰδιώματα ἐπιδεδειγμένῳ μοι ἔκπαλαι τῶν χρόνων μέχρι τοῦ δεῦρο· ὃ καὶ θαυμάζειν ἄξιον, ὅτι οὔτε χρόνος οὔτε τρόπος θλίψεως, οὐ πειρασμοῦ ὑπόθεσις, οὐχ ὑπαρχόντων ἐξ ἐπηρείας ἀφαίρεσις, οὐκ ἄλλο τι, οὐ μικρόν, οὐ μέγα, ἤμβλυνέν σου τὸ πλῆρες τῆς ἀγαθοσύνης. καίτοι γε ὁρῶμεν ἐπὶ γονέων οὐ πάντῃ διασεσωσμένον τὸ φυσικὸν φίλτρον, ἀλλ' ἔστιν ὅτε ὑπολῆγον ἢ καὶ εἰς ἔχθραν μεθιστάμενον καθ' ἡντιναοῦν σύμβασιν. ἐπὶ δὲ τῆς σῆς μεγαλοφυΐας καὶ θεοσεβείας οὐχ οὕτως· ὁ αὐτὸς γὰρ εἶ ἀεὶ καὶ ἀναλλοίωτος, ἐπειδὴ θεοῦ τοῦ ἀναλλοιώτου καὶ ὡσαύτως ἔχοντος τὸν ἔρωτα κέκτησαι.

Σοὶ μὲν οὖν τοιοῦτον, ἄνθρωπε τοῦ θεοῦ, τὸ κλέος, ἐγὼ δὲ δέδοικα μή ποτε εἰς κρίμα μοι εἴη ἡ τῆς / ἀγαθότητός σου περιουσία· τί γὰρ καὶ ἀποδώσοιμι ὁ πτωχὸς ἢ παραρρεριμμένην μου προσευχήν; αἰτῶ οὖν τὸν ἀγαθόν μου θεὸν ἐπισκοπὴν ἀντὶ τῆς ἐμῆς ταπεινώσεως ποιεῖσθαί σοι πρὸς πᾶσαν μὲν σωτηρίαν, μάλιστα δὲ κατὰ τὴν λυττῶσαν χριστομάχον αἵρεσιν.

87. Εἰρήνῃ πατρικίᾳ

Ἐγώ, κἂν οὐ δέχωμαι γράμματα παρὰ τῆς τιμιότητός σου, ὦ κυρία, οὐ διαλείψω ὁπόταν τύχοιμι ἐπιστοληφόρου πιστοῦ ἐπιστέλλειν σοι ὡς μητρί μου πνευματικῇ· πῶς γὰρ καὶ μὴ καλέσαιμί σε οὕτως διὰ Χριστὸν πάσχουσαν, διασπασθεῖσαν τῆς κεφαλῆς, ἐκβληθεῖσαν οἰκίας, πόλεως, συγγενῶν, φίλων καὶ ἐν ἐσχατιᾷ τινι περιωρισμένην; καὶ οὔπω λέγω τῶν ἄλλων σου ἀγαθοεργιῶν τὰ ἐπίσημα, ἔκπαλαι

8 cf. Eur. Or. 1156 sq. ἀλόγιστον δέ τι τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου 18 Dion. Ar. div. nom. 2,6 (PG 3,644 C)

5 ὢ: ὦ C Mai φιλοοικτίρμονος S: φιλοοικτείρμονος C: φιλοικτείρμονος Mai 8 πάρεστί S 13 ἄλλο τι: ἀλλ' ὅτι C ἤμβλυνέ S 16 μεθ' ιστάμενον C καθήντινα οὖν C 17 καὶ θεοσεβείας om Mai ἀεὶ om Mai 18 ὡς αὕτως C 21 κρῖμα codd: corr Mai 22 παραρερημμένην C: παραρεριμμένην Mai: παρερριμένην S 23 οὖν om Mai ἐπὶ σκοπὴν C 25 χριστόμαχον Mai

87. a. 815 – 818

C (S)

3 ὀπ' ὅτ' ἂν C ἐπὶ στέλλειν C 7 ἀγαθοεργειῶν C Mai

τῶν χρόνων διηνυσμένα, ἐπεὶ καὶ τὰ εἰς ἐμὲ τὸν ἁμαρτωλὸν γεγενημένα καὶ ἔτι γιγνόμενα. ταῦτα γυναικὸς ἀνδρικωτάτης τῷ πνεύματι, ταῦτα ψυχῆς μαρτυρόφρονος, ταῦτα καρδίας ζητούσης τὸν θεὸν ἐξ ὅλης δυνάμεως. ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν, ὅτι γυνὴ συγκλητικὴ ἦρεν ὁμολογίας Χριστοῦ στέφανον, ἀκουέτω ἀνατολὴ καὶ δύσις ὅτι καὶ νῦν τὸ χρυσοῦν γένος τῶν μακαρίων θηλειῶν ἐξ ὧν Θέκλα καὶ Φεβρωνία ἀνατέταλκε. τί γάρ; εἰ καὶ μὴ ἐσφάγης, ἀλλὰ τῇ προθέσει καὶ τοῖς παρακολουθήμασιν εἵλου τὸ πάθος. μακαρία εἶ ἐν γυναιξί, τρισμακαρία εἶ ἐν μητράσι. ποῦ ποτ' ἂν εἶεν αἱ λοιπαὶ μητέρες; ποῦ ποτ' ἂν αἱ ἐν τοῖς μεγίστοις ἀξιώμασι τελοῦσαι; μία ἐκ πασῶν καὶ πρὸ πασῶν σὺ ἠρίστευσας, σὺ δέδωκας καιρίαν πληγὴν τῷ διαβόλῳ.

Ἀλλ' ἐπεὶ οὐχ ὁ ἐναρξάμενος ἤδη τοῦ καλοῦ μακαριστός, ἀλλ' ὁ εἰς πέρας ἀγαγὼν τὴν καλὴν ἐγχείρησιν, δέομαί σου, δέσποινά μου αἰδέσιμε, τόνωσόν σου τὸ πνεῦμα ἐπὶ τέλει τῶν ἀγώνων, βίου εὐκλεοῦς συγγραφὴν τοῖς μεταγενεστέροις τὴν σαυτῆς ζωὴν ἐγκαταλιμπάνουσα. τοῦτο δὲ παρακαλῶ καὶ ὑπομνήσκω, πεφεισμένως ἔχειν σε τοῦ σώματός σου τῆς ὑγείας· οἶδα γάρ σου τὸ ἀκρατὲς τῆς προθυμίας. χρῶ τοῖς / ῥωννύειν σε δυναμένοις· παρηγοροῦ ἑαυτήν, ἱκανὸν τὸ ἆθλον τῆς στερήσεως πάντων.

Σοὶ μὲν τῇ μητρὶ ταῦτα ὡς ἐν βραχέσι. τί δὲ φῶμεν τῇ κυρίᾳ θυγατρὶ καὶ παρομαρτούσῃ σου τῇ ἀρετῇ; ἐξ ἀγαθῆς ῥίζης ἀγαθὸς ἐβλάστησας καρπός. μὴ λυποῦ ὅτι ἐστερήθης τοῦ ὁμοζύγου· εἰ γὰρ παρῆν, οὐκ ἂν ἐν οἷς εἶ νῦν κατελαμβάνου, μετὰ μητρὸς μέν, ἀλλὰ καὶ μάρτυρος, μετὰ πατρός, ἀλλὰ πλέον μετὰ τοῦ ἄνω καὶ ἀθανάτου, οὐκέτι ὡς ἐν σαρκί, ἀλλ' ὑπὲρ σάρκα. ἄλειφε τὴν τεκοῦσάν σε μάρτυρα, παρακαλῶ, συνδιάμειβε τὸ τῆς ἐξορίας ἆθλον, καθὰ καὶ ποιεῖς, ὑπηρέτει ὁμολογηστρίᾳ Χριστοῦ. ἀρκεῖ σοι εἰς εὐδοξίαν καὶ σωτηρίαν ἡ συνοίκησις καὶ συνάθλησις. ταῦτα ἐξ ἀγάπης πνευματικῆς, ἐκ φροντίδος μοι περιπονητικῆς· ἐπεί, ὡς εἴρηται, ἴσμεν σοφήν σε οὖσαν πάντα ποιεῖν ὅσα ὁ λόγος ἀπαιτοίη.

11 Ps. 33,3   14 Θέκλα: cf. adn. ad ep. 472,30

9 γινόμενα Mai   10 ἐξόλης C   12 ἦρεν Mai   14 Φεβρονία omnes: correxi   20 ἀλλ'²: ἀλλὰ Mai   21 τὴν om Mai   23 τοῖς μεταγενεστέροις post ζωὴν transp S   24 ὑπομιμνήσκω S Mai   27 ἄθλον C   28 σοί: σὺ C   29 καὶ om Mai   33 οὐκ ἔτι codd   34 ἄθλον C   35 ὁμολογιστρίᾳ C Mai   36 συνοίκησις: συνείδησις Mai

Ἀπεδεξάμην καὶ νῦν τὰς προσφοράς σου καὶ ἕως ποτὲ ἄρτι ἐν ἐξορίᾳ. ἀλλὰ παντὶ ὁ πόθος πρᾶγμα εὐάνυστον. ἀνενεχθείησαν πάντα εἰς ὀσμὴν εὐωδίας τῷ Χριστῷ. εὔχεσθε καὶ αὐταὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ.

88. Μόσχῳ λαϊκῷ

Πολλά σου τὰ ἀγαθά, θεοφιλέστατε δέσποτα, ἃ ἐφ' ἡμῖν τοῖς ταπεινοῖς οὐ μόνον εἰργάσω, ἀλλὰ καὶ ἔτι ἐργάζῃ (τί οὐ παρηγορούμενος; τί οὐκ ἀποστέλλων;), μεθ' ὧν καὶ τὰ νῦν πλεῖστα καὶ ἡδυτερπῆ. καὶ τίς ὁ ἀνταποδιδοὺς ἀλλ' ἢ ὁ ἀγαθὸς θεός; δι' ὧν ποιεῖς ἔδειξάς σου τὴν ἀγάπην ἀναλλοίωτον, ἐφανέρωσάς σου τὰς ἀστραπὰς τῆς προθέσεως διᾳττούσας. ἐκ πόσου γὰρ τόπου διεκτοπισμένος καὶ ὅμως ἀπολαύω σου τῶν ἀγαθῶν, μετὰ τὸ καὶ τοὺς εἰσιόντας ἀδελφοὺς κόπους σοι παρέχειν· τοὺς μέν, ὡς ἀκήκοα, καὶ νοσηλευθέντας ἐν τῇ Ἀβραμιαίᾳ σου καὶ εὐλογημένῃ ἑστίᾳ, διὰ τὸ καταγώγιον αὐτὴν εἶναι πολλῶν μοναχῶν καὶ τροφευτήριον ὀρφανῶν. ὁ τῶν ὀρφανῶν σε πατὴρ θεὸς διαθρέψειεν εἰς αἰῶνας· ὁ Ἀβραάμ σε περιθάλψειεν ἐν κόλποις ὡς ὁμόζηλον σὺν ταῖς κυρίαις ταῖς ἀδελφαῖς, μεθ' ὧν θεραπεύεις Χριστόν. ἰδοὺ δή, τί καλὸν ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελ/φοὺς ἐπὶ τὸ αὐτό; καὶ ἐφ' ὑμῖν πεπλήρωται. ἀπήλαυσά σου τῶν ἀγαθῶν διαπορευόμενος τὴν ἐξορίαν ἐκ τοῦ εὐλογημένου σου προαστείου τῆς Προύσης· ἰδοὺ καὶ πόρρωθεν ὢν δεξιοῦσαι ἡμᾶς.

Πληθυνθείη σοι πάντα τὰ καλὰ πνευματικῶς τε καὶ σωματικῶς, φυλαχθείης μοι ἀσινὴς κατὰ σώματος ὑγίειαν καί γε κατὰ ψυχὴν ἐξ ἀκοινωνησίας τῶν χριστομάχων αἱρετικῶν.

---

41 Ex. 29,18

39 τὰ πρόσφορά Mai   πότε omnes: correxi   40 εὐάνυστον S: εὐάναστον C: εὐάναδοτον (sic) Mai   41 εὔχεσθαι C

88. inter ver a. 815 ac ver a. 816   13 ἀδελφαῖς: Eirene et Cale, ad quas epp. 161, 200, 211 scriptae   16 διαπορευόμενος: ad Metopam ut exsul   17 προαστείου: ad rem cf. G. Ostrogorsky, Die ländliche Steuergemeinde des byz. Reiches im X. Jahrhundert. Amsterdam 1969, 20 sq.

12 Luc. 16,23   14 Ps. 132,1

C (S)

3 ἐργάζῃ: ἐργάζει C   5 ἀντ' ἀποδιδοὺς C   10 ἀβραμιαίᾳ S   12 ἀβραάμ S   13 ταῖς²: σαῖς Mai   16 διαπορευόμενος – 17 σου πρ] S^{pc} 18 σοι: σου Mai

89. Εὐσχήμονι Λαμψάκου

Ἔγνων ὡς ἡ ὁσιότης σου εἴληπται ὑπὸ τῶν διωκτῶν· καὶ τοῦτο τῆς προνοίας, ἵνα καὶ διὰ τῆς σῆς ὁμολογίας ὑπηρεισθῇ καὶ ἑδραιωθῇ ἡ τοῦ θεοῦ ἐκκλησία ἐκ τοῦ καταλαβόντος αὐτὴν ἐξ ἀσεβείας σεισμοῦ. οἷα γὰρ ὁρᾷς, ὦ φιλότης, τὰ πτώματα· πῶς εὐαρίθμητοι σχεδὸν οἱ ἀκατάβλητοι ἐξ ἁπάντων βαθμῶν, πάντες δὲ ὕπτιοι. ὢ τῆς ἐξαφθείσης ὀργῆς· ὢ τῆς ἐπὶ τὰ πάλαι ἀναδρομῆς. ἐγενήθημεν ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε ἀφῄρητο ὁ τῆς ἐκκλησίας κόσμος καὶ διεσχέδαστο νόμος θεοῦ. τοιαῦτα τὰ παρόντα, ἐλεεινά, σκυθρωπά· θυσιαστήρια καθυβρισμένα δι' ἀτιμίας τῶν ἁγίων εἰκόνων, ναοὶ βεβηλούμενοι διὰ τῶν ἐναγῶν ἱερέων. τί πολυλογεῖν δεῖ; Χριστὸς ἀτιμώμενος καὶ διωκόμενος διὰ τῆς ἀθετήσεως τοῦ ἱεροῦ αὐτοῦ χαρακτῆρος. εἰ δὲ Χριστοῦ οὕτως, τί τῆς Θεοτόκου ἢ οὑτινοσοῦν τῶν θεοῦ θεραπόντων; ταῦτα θρήνων καὶ ὀδυρμῶν· ταῦτα ἠκουτίζετο μὲν ἡμῖν παρὰ τῶν οἰκείων πατέρων, πείρᾳ εἰδότων τὰ τότε συμβεβηκότα, νῦν δὲ καὶ ἡμῖν τοῖς ταπεινοῖς παρίσταται ἄγαν ἀνιῶντα.

Ἀλλὰ ἆρον, ὦ πάτερ, πρὸς τὸν οὐρανόν σου τὰς παλάμας· ἀλλ' ἱλέωσαι θεόν· ἀλλὰ ὄρεξον δεξιὰν πρεσβευτικὴν κἀμοὶ τῷ ἀδρανεῖ καὶ ἁμαρτωλῷ, ἐνεγκεῖν ἡμᾶς πάντα μετὰ χαρᾶς ὅσα καὶ χαρίσοιτο Χριστὸς δι' αὐτὸν παθεῖν, μὴ φοβουμένους θεοκελεύστως τοὺς ἀποκτένειν δυναμένους τὸ σῶμα, ἀλλὰ τὸν καὶ τοῦτο καὶ τὴν ψυχὴν ἐμβαλεῖν ἔχοντα ἐξουσίαν ἐν τῷ ἀσβέστῳ πυρὶ τῆς γεέννης. /

89. a. 815 18 πρεσβευτικήν: ad vocem cf. Speck, Jamben 243

19 Philipp. 1,29 20 Matth. 10,28

C (S)

3 ὑπειρισθῇ C 6 ὦ C Mai 7 ὦ C Mai τοαπαρχῆς S 8 διεσκέδαστο Mai 10 καθ' υβρισμένα C ἁγίων om Mai 13 οὔτινος οὖν C: οὔτινος Mai 17 ἄρον C Mai 20 ἀποκταίνειν omnes: correxi 21 καὶ τὸν omnes: correxi 22 ἔχοντος codd: corr Mai

90. Ἱλαρίωνι ἀρχιμανδρίτῃ

Εὗρον ὀψὲ τοῦ καιροῦ ἀσπάσασθαι τὸν ἐμὸν ἅγιον πατέρα διὰ γράμματος· ὡς γὰρ γινώσκει σου ἡ τιμιότης, τῆς αἱρέσεως μαινομένης καὶ μακρὰν ἡμῶν ἀπῳκισθέντων διὰ τῆς ἐξορίας, σπάνιον εὑρεῖν γραμματηφόρον καὶ μάλιστα πιστόν. γλίχομαι οὖν μαθεῖν τὰ τῆς πατρότητός σου, ποῦ καὶ πῶς καὶ ἔνεστι καὶ περιενέχθη ὑπὸ τῶν ἀνομούντων. πάντως δέ, ὡς τῶν πολλῶν κατ' ἀρετὴν προύχοντα, πολλά σε παθεῖν ὑποτοπάζω θλιπτικὰ καὶ στενωστικά· οὗ γὰρ ἡ κατὰ θεὸν ἰσχὺς βαθεῖα, ἐκεῖ καὶ ὁ τῶν ἐναντίων πόλεμος πικρός. ἀλλ' ὅμως καὶ σοῦ ἐστιν, ὦ πάτερ, λέγειν πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. οἶδας δὲ πῶς ἡμᾶς ἐγκατέλιπον οἱ πολλοὶ τῶν ὁμοταγῶν, ὧν τὰ ὀνόματα ἑκὼν ὑπερβήσομαι, ἀγαπήσαντες τὸν νῦν αἰῶνα. φεῦ τῆς συμφορᾶς, φεῦ τῆς ἥττης· ἐὰν τὸ φῶς, φησί, τὸ ἐν σοὶ σκότος, τὸ σκότος πόσον; καὶ ἐὰν τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; ποτνιώμενος καὶ σφαδάζων φῶ. ταῦτα, πάτερ, ἐπὶ σὲ οὐκ ἔστι διδάξαι. ἐξέλιπεν φυσητήρ, ὁ προφήτης φησίν, εἰς μάτην ἀργυροκόπος ἀργυροκοπεῖ. πόσα ὁ ἱεράρχης ἡμῶν καὶ ἀληθινὸς ποιμήν, πόσα ἡ ἀδελφότης πρὸς ἑαυτήν; καὶ ἕωλα πάντα· μικρὰ προσβολὴ ἐναντίου πνεύματος καὶ αὔτανδρος ἡ ναῦς τῶν ψυχῶν βυθῷ τῆς ἀσεβείας.

Ἐκείνοις μὲν δοθείη ὀψέ ποτε ἀνανήξασθαί τε καὶ ἀναμαχήσασθαι τὴν ἧτταν· σὲ δὲ ὁ ἀγαθὸς θεὸς φυλάξειεν ἐναθλοῦντα, κοπιῶντα, εἰς μέγα ὄφελος τῆς αὐτοῦ ἐκκλησίας, εἰς αὔχημα τῆς Βυζαντίδος, εἰς κλέος τῶν μοναστῶν, ἀλλὰ γὰρ καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ τέκνου αὐτοῦ προσευχόμενον, ἵνα σῶος διαμείνοιμι, ἑπόμενος ὑμῖν τοῖς ἁγίοις μου πατράσι.

---

90. a. 816 17 ἱεράρχης: Nicephorus

10 Philipp. 4,13 11 2 Tim. 4,10 13 Matth. 6,23 14 Matth. 5,13 16 Jer. 6,29

C (S)

6 περιηνέχθη S 8 στενωτικά S Mai 9 βαθεία C Mai 11 ἐγκατέλειπον C Mai 16 ἐξέλειπεν C Mai: ἐξέλιπε S

91. Τοῖς Γραμματικοῖς τοῖς δυσὶν ἀδελφοῖς

Οὐδὲν ἰσχύει τὸ γράμμα τὸ ἐμὸν πρὸς παράκλησιν ὀδυνωμένης ψυχῆς, οἷα ἡ ὑμετέρα τῶν ἐμοὶ σεβασμίων πατέρων ἐκ τῆς πείρας καὶ φρουρητικῆς βασάνου τῶν κακούντων. ἀλλ' ὅμως, ἐπειδὴ ῥᾳστώνην τινὰ φέρει τὸ ἐξει/πεῖν καὶ ἀκοῦσαι, κατ' ἀμφότερα καλῶς ἔχειν ἔδοξα καὶ νῦν ἐπιστεῖλαι, ὑποδεικνὺς ὑμῖν τὴν ἐνοῦσάν μοι διάθεσιν τῇ πρὸς τὴν σεμνότητα ὑμῶν ἀγάπῃ ἄκρως κεχαρακτηρίσθαι, ἐμμέριμνόν τε εἶναι οὐκ ὀλίγως εἰς τὴν περιφύλαξιν ὑμῶν, ὑπολογιζομένην δι' ἣν αἰτίαν τῶν ἄλλων μόνον ὑμᾶς κατέχεσθαι ἐν τοῖς αὐτόθι ὑπὸ χειρῶν ἀνόμου, δεινὰ ζῆν ποιοῦντος τοὺς τοῦ Κυρίου ὁσίους. ὢ τῆς τοῦ θεοῦ μακροθυμίας, ἀναινομένης τῶν πραττομένων πάντως, ἵνα τῶν πασχόντων τὸ δοκίμιον τῆς πρὸς αὐτὸν πίστεως χρυσίου τιμαλφέστερον γνωρισθῇ, τῶν δὲ δρώντων ἔκκλησις ὁδοποιηθῇ πρὸς μετάνοιαν, εἴτουν ἀναπληρωθῇ τὸ τῶν ἁμαρτιῶν ἀπόκριμα. πάσχοιτε, οἶδ' ὅτι, πατέρες μου, πικρὰ καὶ δύσοιστα (πῶς γὰρ οὔ;), ἔχοντες μὲν δεινὸν τὸν κακοῦντα καὶ τοσοῦτον, ὅσον τῶν πάντων ὑπερβάλλοντα τῇ ἀσεβείᾳ, οὐκ ἔχοντες δὲ ὡς οἱ πολλοὶ τῶν ἀθλούντων τοὺς ἡμεδαποὺς καὶ γνωρίμους, ὅπερ οἶδεν πλεῖστα παραμυθεῖσθαι τοὺς ταλαιπωρουμένους. τί οὖν πρὸς ταῦτα ἐροῦμεν; τὸ ὑμῖν ᾀδόμενον ἐξ ἀποστολικῶν χειλέων ἐναργῶς, οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν ἀποκαλύπτεσθαι δόξαν εἰς ἡμᾶς.

Διὸ μετάδοτε ἡμῖν, ὦ σεβαστοί, τοῖς ἀστηρίκτοις τῆς ἀνδρικῆς ὑμῶν καρτερίας, τονώσατε ἡμῶν τὰς εὐσαλεύτους ψυχὰς ταῖς ἱεραῖς προσευχαῖς, ἱλεώσασθε θεὸν ἐπιταχῦναι εἰς συμπάθειαν τῶν ἀπολελωκότων τὴν ὑπομονὴν καὶ τοῦ καιροῦ φροντιζόντων, ἀλλ' οὐ ψυχῶν· καί γε εἰσακούσειεν ὁ Κύριος, ταχεῖαν καὶ μὴ βραδύνουσαν ποιούμενος τὴν ἐπισκοπήν.

---

91. a. 816   10 ἀνόμου: Ioannes Grammaticus; cf. p. 224* adn. 273

20 Rom. 8,18   27 Ps. 4,4

C (S)

3 ἐμοί: ἐμῶν Mai   4 φρουριτικῆς C   6 ὑπὸ δεικνὺς C   11 ὦ C Mai   μὴ ante ἀναινομένης inser Mai   14 εἰτοῦν C Mai   18 οἶδε S   24 ἡμῶν: ὑμῶν S   25 ἐπὶ ταχῦναι C   ἀπολωλεκότων S   27 ὑπακούσειεν Mai

92. Στεφάνῳ ἀνεψιῷ

Ἔμαθον ὡς κρατεῖσαι καὶ αὐτὸς ὑπὸ τῶν δυσωνύμων αἱρετικῶν, ὦ γνησιώτατέ μοι καὶ τιμιώτατε· καὶ ἐλυπήθην μὲν ὅτι ἐξ ἀφορμῆς ἄλλης, ἐχάρην δὲ λίαν ὅτι διὰ Χριστὸν ἡ φυλακή σου. πάντα γὰρ χαρίζονται οἱ νῦν ἀσεβοῦντες, ἀντιλαμβάνοντες ὃ ζητοῦσιν. ἀλλὰ χάρις τῷ ἐνδυναμώσαντί σε Χριστῷ πάντα παριδεῖν ὑπὲρ ἑνὸς μόνου, τοῦ μὴ ἀσεβῆσαι, ὃ γενήσεταί σοι εἰς κλέος ψυχῆς, εἰς δόξαν ἀνθρωπίνην, εἰς ἀρετῆς αὔχημα, εἰς / πᾶν ὁτιοῦν τῶν ἀγαθῶν.

Ἐνέγκωμεν οὖν, ἀδελφέ, τὴν διὰ Κύριον φρουράν, τὴν θλῖψιν, τὴν στενοχωρίαν, ἀνθ' ὧν ἀνατελεῖ σοι εὐφροσύνη αἰώνιος, ζωὴ ἀτελεύτητος. καὶ τανῦν δὲ ἄγγελός ἐστιν ὁ περιέπων σε, ὑφέστιός σοι γιγνόμενος· αἰνοῦσίν σε οἱ γνώριμοι, εὐφημοῦσιν οἱ ὀρθόδοξοι· πάντα σοι εἰς καλὸν συντρέχει καὶ συνδραμεῖται τελειοῦντι ἰσχύει Χριστοῦ τὸν δρόμον. σήμανόν μοι, εἰ δύνῃ, καὶ αὐτὸς τὰ σαυτοῦ διὰ γραμμάτων, προσευχόμενός μοι, ἀδελφέ, ἀνεπιλήστως, ὅτι ἁμαρτωλός εἰμι ὑπὲρ πάντα ἄνδρα.

93. Κηροπράτῃ

Ἐν ταῖς ἡμέραις ταύταις μέγα φιλίας καὶ εὐσεβείας δεῖγμα χαιρετισμὸς καὶ προσηγορία ψιλὴ εἰς τοὺς διὰ Χριστὸν ἐξωρισμένους, τὸ δὲ καὶ δωρεὰς ἀποστέλλεσθαι πολλοῦ ὅτι μάλιστα τοῦ πόθου καὶ τοῦ θείου ζήλου. τοιοῦτος ὁ ἠγαπημένος μου δεσπότης πρὸς τὴν

---

92. a. 815–818 9 τὴν θλῖψιν, τὴν στενοχωρίαν: ad hanc elocutionem cf. A. Bonhöffer, Epiktet und das Neue Testament. Gießen 1911, 117 sq.

6 1 Tim. 1,12 9 Rom. 2,9 13 Act. 20,24

C (S)

2 κρατῆσαι C Mai 8 ὅτι οὖν C 9 τὴν post διὰ inser Mai 11 τὰ νῦν C Mai 12 αἰνοῦσί S 14 σ' αυτοῦ C

93. a. 815–818

C (S)

3 προσαγορία S 4 ἀπὸ στέλλεσθαι C

ταπείνωσίν μου, καὶ αἱ ἀποστολαί σου ἡδεῖαι, φωτὸς ὑπεκκαύματα, σύμβολα τοιαῦτα τῆς κατὰ ψυχήν σου καθαρότητος καὶ τῆς κατὰ τὸ φρόνημα ὀρθοδόξου τηλαυγήσεως. νῦν γάρ, ὡς ὁρᾷς, ἐν νυκτὶ τὰ τῆς ἐκκλησίας καὶ ζάλῃ, καταποντιζούσῃ οὐ σώματα, οὔπω γὰρ τὸ δεινόν, ὅσον τὸ ψυχὰς εἶναι τὰς ἀθανάτους τὰς ναυαγούσας. καὶ ὢ τῆς δεινῆς συμφορᾶς, πυρσοῦ μὴ φαινομένου μηδ' αὖ λιμένος ἐν τοῖς αὐτόθι.

Φυλάττου τοιγαροῦν, ἀγαπητέ, κυβερνώμενος ὀρθοδόξως, ἀκαταβαπτίστως ταῖς αἱρετικαῖς τρικυμίαις, εἰς οὐρανὸν ἀνατείνων τὸ ὄμμα, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα τὸν Κύριον τῆς δόξης, ὃν ἀτιμάζειν τολμῶσι δι' ἀτιμίας τῆς ἁγίας αὐτοῦ εἰκόνος οἱ τὰ Ἰουδαίων ἴσα πράττοντες. αὕτη ἡμῶν ἡ μικρὰ προσφώνησις εἰς ἀντίδοσιν ἀγάπης τῇ φιλουμένῃ σου τιμιότητι μετὰ καὶ προσευχῆς ἡμῶν ἁμαρτωλῆς, μὴ ἐχόντων ἄλλο ἀμοιβαῖον δῶρον.

94. Λέοντι ἀρωματοπράτῃ

Ἐπιστέλλω σοι καὶ ὡς ἀνθρώπῳ τοῦ θεοῦ καὶ ὡς φίλῳ γνησίῳ καὶ ὡς εὐσεβεῖ ἀνδρὶ καὶ ὡς ζηλωτῇ διαπύρῳ. ὁρᾷς οἷα τὰ παρόν/τα, ὦ φιλότης, οἷον πῦρ ἐμπρῆζον τὴν ἐκκλησίαν τοῦ θεοῦ, δῆλον ὅτι ἐκ τῶν προλαβόντων ὑπεκκαυμάτων ἐξηρτυμένον. ἔφαγεν ἡμᾶς ἡ φλὸξ τῆς μοιχείας, ἐδαπάνησεν ἡμᾶς ἡ βολὶς τῆς μοιχοζευξίας, αἱ δι' αὐτάς, φημί, διώξεις καὶ φυλακαί, ποιναί τε καὶ ἐξορίαι καὶ ἀναβρασμοί, προσθείην δ' ἂν οὐκ ἀπεικότως καὶ τὰ πρὸ τούτων ἐπὶ τῶν Σιμωνιανῶν καὶ διὰ τοὺς Σιμωνιανοὺς (οὐ γὰρ ἡ ἐκκλησία τοῦ θεοῦ μάστιξιν, ἐξορίαις τε καὶ φυλακαῖς τὰ ἑαυτῆς οἶδεν ἐκδικεῖν), εἶτα

---

6 ὑπεκκαύματα: cerei; cf. Hunger, Literatur I 232

9 post καταποντιζούσῃ undecim litt cancell C 10 post δεινόν exc fort vox τόσον ὦ C Mai 13 τοιγὰρ οὖν C 14 ἀνατείνον C 16 ἁγίας om Mai 17 ἶσα S

---

94. a. 815–818

C (S)

4 ἐμπρίζον codd: ἐμπυρίζον Mai: correxi 6 διαυτὰς C

πρὸς τούτοις τὰ διὰ τοὺς Παυλικιάνους καὶ κατὰ τῶν Παυλικιάνων. οὐ γὰρ μάχαιραν καὶ ξίφος καὶ μάστιγας ὁ νόμος ὁ ἐκκλησιαστικὸς φέρει κατά τινος· πάντες γάρ, φησίν, οἱ λαβόντες μάχαιραν μαχαίρᾳ ἀποθανοῦνται. ἀλλ' ὅμως ἐπειδὴ ταῦτα πάντα ἐνηργήθη, συνεξελήλυθε καὶ ὁ τῶν κακῶν κολοφὼν ὡς ἐκ μυχῶν τοῦ ᾅδου, ἥδε ἡ χριστομάχος αἵρεσις, πάντας ὀλεθριοῦσα. ὢ ὢ τῶν δεινῶν, καὶ ἡμῖν ἔξεστι λέγειν, οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ οὔτε θυσία οὔτε προσφορὰ οὔτε θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος.

Διὸ παρακαλῶ σου τὴν θεοφιλίαν φυλάττεσθαι τῆς ἀθέου κοινωνίας τῶν αἱρετιζόντων χεῖράς τε ὀρέγειν, καθ' ὅσον οἷόν τε, τοῖς ἀπολλομένοις, ἀλλὰ γὰρ καὶ τοῖς εὐσεβέσιν, ὅπερ σοι καὶ σύνηθες ποιεῖν πάντοτε, ἔργῳ, λόγῳ, ὅτι περὶ ψυχῆς τῆς ἀθανάτου τὸ κινδυνευόμενον. ἂν οὕτω ποιῇς, οἶδ' ὅτι καὶ θεός σοι εἰς ἀσφάλειαν κινδύνου ἔσται ἐπίκουρος, ἀποδιδούς μοι τὴν εὐχήν σου· χρῄζω γάρ, ἁμαρτωλὸς τυγχάνων. εἰ δὲ σῴζοιεν μυστήριον αἱ ἀδελφαί, περὶ ἡμῶν αὐτὰς προσαγόρευσον.

95. Πολιτιανῷ δομεστίκῳ

Ὄντως ἔργῳ καὶ λόγῳ φίλος εἶ γνήσιος τῆς ταπεινώσεως ἡμῶν, ἀφ' ὧν ἔδρασας πραγμάτων ἐν τοῖς ἀδελφοῖς ἡμῶν, κύριέ μου· τί γὰρ οὐκ ἐποίησας καὶ πόσον οὐκ ἐπέδωκας ἑαυτόν, ἐλεῶν αὐτούς, συμπαθῶν, ὑπεξάγων, ὑπαλείφων, προθυμοποιούμενος, διάδηλον ποιῶν τοῦτο κἀκεῖνο, συμφέρων, / συνοψίζων, ὑποκρινόμενος, μικροῦ καὶ προκινδυνεύων; ἀλλὰ μή τις τῶν ἄλλων γειτόνων; οὐδαμῶς· φίλοι

11 Παυλικιάνους: cf. P. Lemerle, L'histoire des Pauliciens d'Asie Mineure. TM 5 (1973) 82

11 cf. Theoph. chron. a. m. 6304 (I 495 De Boor) 13 Matth. 26,52 15 cf. Syn. ep. 79 (p. 144,13 Garzya) τὸν κολοφῶνα τῶν κακῶν; Zenob. prov. 2,1 (IV 54 sq. Bühler) 17 Dan. 3,38

12 ξῖφος C 14 ἀπὸ θανοῦνται C 16 ὦ ὦ C Mai 20 θεοφίλειαν S 21 χεῖρά S 22 ἀπωλλομένοις C: ἀπολλυμένοις Mai 23 τῆς om Mai 25 ἀπὸ διδούς C

95. a. 815 – 818

C (S)

5 ὑπ' ἀλείφων C

γὰρ τραπεζῶν ἐκεῖνοι, οὐ φίλοι Χριστοῦ, ἐπειδὴ καὶ αἱρετίζοντες ἢ καὶ αἱρετικοῖς συνεπόμενοι φιλικῶς. σὺ δέ, ἄνθρωπε, τοῦ θεοῦ φίλος καὶ τῶν διὰ Χριστὸν διωκομένων. διὰ τοῦτο, ὡς μανθάνω, καὶ φυλάττεις ἑαυτὸν ἐκ τῆς κοινωνίας τῶν ἀνόμων, καὶ φυλαχθείης ἔτι ὑπὸ Κυρίου σὺν τῇ καλλίστῃ σου ὁμοζύγῳ καὶ τέκνοις εὐγενεστάτοις· τῶν γὰρ εὐγενῶν σύ, Χριστὸν φιλῶν καὶ ὑπὸ Χριστοῦ καταγόμενος.

Πολλά σοι χρεωστῶ, ἀλλ' ἔχεις τὸν Κύριον ὑπὲρ ἐμοῦ σοι ἀμειβόμενον τὴν ἀντιχάριτα. σωθείης πανοικί, ἄνθρωπε τοῦ θεοῦ καὶ φίλε καλέ.

96. Ἄννῃ μοναζούσῃ

Καὶ μὴ δεχόμενος ἀντίγραφα, ποθῶ ἐπιστέλλειν τῇ ἐμῇ κυρίᾳ· χρεωστῶ γάρ, εἰ καί τις ἄλλος, τὰς εὐχαριστίας σοι προσάγειν ὑπὲρ πολλῶν καὶ μεγάλων ὧν ἀπήλαυσά σου ἀγαθῶν καὶ μέντοι καὶ ἀπολαύω. εἴθε ἠδυνάμην καὶ σωματικῶς ἐν ἔργοις ταύτην ἀποδιδόναι· ἀλλ' οἶσθά με ἄπορον εἶναι, προσέτι καὶ ἁμαρτωλόν. ἐκ δυοῖν τοίνυν ἀπορῶν, πόθεν ἀμείψοιμί σοι τὸ χρέος, οὐδαμόθεν ἢ ἐκ θεοῦ, τοῦ εἰς ἑαυτὸν ἀναλαμβάνοντος τὰς εἰς τοὺς πλησίον εὐεργεσίας;

Ταῦτα ἐπὶ πολλοῖς τοῖς προλαβοῦσι· τί δὲ ὅτι καὶ μετὰ τὴν θλῖψιν τῶν ἐξ ἀνοίας ὀφλησάντων σοι οὐκ ἠτόνησας ἀγαθύνεσθαι ἐν τοῖς ἀδελφοῖς; εἰσῆλθον οἱ περὶ τὸν ἀββᾶν Ὑπάτιον, καὶ προέφθασας αὐτοὺς εἰς ἔλεος· ἔξω ἐν ἑνὶ τῶν προαστείων σιτηρετούμενοί εἰσιν οἱ περὶ τὸν ἀββᾶν Θεόκτιστον· ἐῶ λέγειν τὰ ἐμά, καὶ μέντοι καὶ τὰ τοῦ ἀδελφοῦ Σιλουανοῦ, εἴ τινος ἄλλου τῶν ἐπιτυχόντων σου τῆς δεξιᾶς.

---

15 cf. Matth. 25,40

13 ὑπὸ: ἀπὸ S

96. a. 816–818 11 Ὑπάτιον: cf. epp. 150,5; 139,24 12 ἔξω: vox indicat Annam in urbe se tenere; cf. Dobroklonskij II 216 adn. 1

8 Matth. 25,40

C (S)

2 ἐπὶ στέλλειν C 3 εὐχαριστείας C Mai 6 πρὸς ἔτι C Mai 9 θλίψιν omnes: correxi 10 ἐξανοίας codd: distinxit Mai 12 τῶν S[sscr] 14 εἴ: ἢ S

Ἔστω σου οὖν ἡ μερὶς μετὰ ἁγίων, εἰ δὲ καὶ μεθ' ἡμῶν, ἐὰν οὐ φεύγῃς, γενηθείη σοι· εἰ γὰρ ἐν τοῖς σαρκικοῖς λειτουργεῖς ἡμῖν, οὐκ ἀπεικότως καὶ ἐν τοῖς πνευματικοῖς κοινωνῆσαί σε κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν. ἐπεὶ δὲ ταῦτα οὕτως, μεριμνῶ καὶ περὶ τῆς κατὰ ψυχὴν διαφυλάξεώς σου διὰ τὴν αἵρεσιν μάλιστα. ἀλλά σε ὁ θεὸς ὑπὸ τὴν κραταιὰν αὐτοῦ χεῖρα διαφυλάξειεν ἀσινῆ καὶ ἀπρόσκοπον. /

97. Ζαχαρίᾳ ὑπάτῳ

Καὶ πάλιν γράψαι τῇ θεοφιλεῖ εὐκλείᾳ σου, κύριέ μου, ὀφειλέτης εἰμὶ ὁ ταπεινός. διατί; ὅτι εὐεργέτης ἡμῶν καθίστασαι ἀεί, φίλος κραταιός, φίλος πιστός. τί δὲ φίλου πιστοῦ ἰδίωμα; τὸ τὴν ψυχὴν ὑπὲρ τοῦ ἀγαπωμένου τιθέναι τὸν φιλοῦντα. ἴδε σαυτὸν οὖν καὶ κατανόησον, εἰ μὴ ἐν τῷ μέτρῳ τούτῳ ἐγένου πρὸς τὴν ἡμετέραν ταπείνωσιν, πρὸς τὴν τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου, πρὸς τὴν τῶν παρατυγχανόντων σοι ἀδελφῶν ἡμῶν ὠφέλειαν· ὧν ἕκαστον ἀναθεωροῦντές σου τῶν εὐεργεσιῶν καὶ φιλοῦμεν καὶ εὐλογοῦμέν σε, εὐχόμεθα καὶ ὑπερευχόμεθα, τῶν ἀμοιβῶν ἀποδότην Χριστόν σοι παριστῶντες, τὸν ἐπαγγειλάμενον καὶ ὑπὲρ ψυχροῦ ποτηρίου μισθοὺς ἀποδιδόναι, μὴ ὅτι γε ὑπὲρ τηλικούτων.

Φυλαχθείης οὖν ἡμῖν ἐπὶ πολὺ ὑγιαίνων, εὐθηνούμενος, εὔθυμος, καὶ μέντοι γε καὶ ὀρθοφρονῶν περὶ τὴν ἀμώμητον πίστιν.

---

17 Rom. 15,27

18 ἀπεικότως: ἀπεικὸς susp Kambylis

97. a. 815 – 818 7 ἀρχιεπισκόπου: Josephus

11 Matth. 10,42

C (S)

3 διὰ τί codd Mai 12 ἀπὸ διδόναι C

98. Λέοντι φίλῳ

Οὐκ ἐπιλέλησμαί σου, ὦ φίλε καλέ, τῆς ἀγάπης ἐγὼ ὁ ταπεινός, ὅτι ἐν καιρῷ παντὶ τὰ τῆς φιλίας ἐπιδέδειξαι πρὸς ἡμᾶς, μὴ εὐλαβηθεὶς μηδ' αὐτὴν τὴν ὥραν τοῦ πειρασμοῦ ἡμῶν· οἶδα γάρ σε, οἶδα, πῶς, ὅτε πάντες οἱ φίλοι καὶ οἱ πλησίον ἡμῶν ὑπεξέστησαν, φόβῳ θεοῦ αὐτὸς καὶ πόθῳ νύκτωρ παρὼν παρῆς δωροφορῶν, συντασσόμενος, ποτνιώμενος, συλλυπούμενος, ἐπερωτῶν τὰ τῆς τιμίας σου ψυχῆς φυλακτήρια, προθυμούμενος.

Διὰ ταῦτα μικρὰν συλλαβὴν χαράττω, ἀπευχαριστῶν πάνυ καὶ ὑπὲρ τῆς ξενοδοχίας τῶν εἰσερχομένων ἀδελφῶν ἐν τοῖς αὐτόθι διὰ διακονίας ἄρτι, ὅτε φόβητρα πάντοθεν. ἀλλ' ὁ θεός σε ἀμείψεται τοῖς παρ' ἑαυτοῦ χαρίσμασι καὶ ἐξελεῖταί σε τῆς μυσαρᾶς κοινωνίας τῶν εἰκονομάχων καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον.

99. Ὑπάτῳ

Ἐδεξάμην σου, ἀδελφέ, τὸ πιττάκιον καί, / ἐπειδὴ ἐκβεβίακάς μου τὴν ταπείνωσιν, ἐν τῷ ἐλέει τοῦ θεοῦ τοῦ παρορῶντος πᾶν ἁμάρτημα συγχωρηθείη σοι τὸ ἐπιτίμιον. κοινώνησον οὖν ἀπὸ τοῦ δεῦρο τῶν ἁγιασμάτων, ἀσφαλιζόμενος ἑαυτὸν μηκέτι ἐμπεπτωκέναι ἐν τοῖς αὐτοῖς παραπτώμασιν, ἵνα μὴ ἀνίλεως ἡμῖν γένηται ἡ κρίσις εἰς αἰῶνας, μηδὲ μετὰ ἰατρείαν καὶ ταχεῖαν ἄφεσιν σωφρονήσασιν.

Ὁ θεὸς συγχωρήσει σοι, ἀδελφέ, τὰ ἁμαρτήματα. εὔχου περὶ ἡμῶν τῶν ἁμαρτωλῶν.

---

98. a. 815 – 818 10 εἰσερχομένων: Cpolim

4 Apoc. 3,10

C (S)

3 εὐλαβηθῇς S 4 τὴν om Mai ταπεινὸς in marg C 5 οἱ φίλοι καὶ om Mai
10 τοῖς: ταῖς Mai διὰ διακονίας: διακονίαις Mai

99. C (S)

4 τὸ om Mai 6 ἀνίλεος C Mai

100. Ἀνεπίγραφος

Οὐκ ἔδει τὸν τῆς εὐσεβείας θησαυρὸν εἰς προῦπτον κεῖσθαι· ἐλυμαίνετο γὰρ ἂν ἐκ τῶν τῆς ἀσεβείας λωποδυτῶν καὶ μὴ βουλόμενος. εἰκότως οὖν λοιπὸν ὑπὸ θεοῦ περιώρισται εἰς εὐπορίαν ὀρθοδοξίας τῇ τοῦ θεοῦ ἐκκλησίᾳ. τοιοῦτόν σοι τὸ κλέος, ὦ μοι πατέρων ἄριστε καὶ ὀρθοφρόνων κράτιστε καὶ ἐπιπόθητε. λυπηρὰ τὰ ἐπαχθέντα (πῶς γὰρ οὔ;), οἴκου ἀφαίρεσις, φίλων στέρησις, τέκνων διάζευξις, ἑτέρων ὅτι μάλιστα οὐκ ὀλίγων τῶν ἐμποιούντων τὰ ἀλγεινά, καθ' ἣν μάλιστα ἔσχες καὶ ὑπεροχὴν προσώπου.

Ἀλλὰ θάρσει, ὦ πανσύνετε, ὅτι πρόβολος ἐγνωρίσθης εὐσεβείας, μέγας ἐν τῇ περιγείῳ ἀξίᾳ, μείζων ἐν τῷ οὐρανίῳ ἀξιώματι, περιβόητος ἐν τῇ κοσμικῇ χρησιμεύσει, περιβοητότερος ἐν τῇ μοναδικῇ θεωρίᾳ. ἔχω σε ἀεὶ κατ' ὀφθαλμοὺς ψυχῆς μου, περιπτύσσομαι ἀπὸ φιλημάτων μου καρδίας, προσεύχομαι ὡς ἁμαρτωλὸς ὑγιαίνειν σε τῷ σώματι περιέπεσθαί τε ἐν χειρὶ θεοῦ κατὰ πάντα. ὃ καὶ ὁ δεσπότης μου ὑπὲρ τέκνου σου ποιεῖν μὴ διαλείποις, προσαγορεύων, εἰ οἷόν τε, τὸν Καλόγηρον· εἰ δ' οὖν, κἂν τὸν κύριόν μου, τὸν τοῦ θεοῦ ἄνθρωπον, τὸν σπαθάριον λέγω.

101. Ἰσιδώρῳ Βυζαντίῳ

Μνημονεύεις μου ἀεί, ὦ φίλε καλέ, ἀλλὰ ἀντιμνημονεύσει σοι ὁ θεός μου. μικρὸν ἡγοῦμαι παρὰ τῶν μεγάλων ἐν δυνάμει λαβεῖν ἁδρὸν βαλάντιον ὡς παρὰ τῆς θεοφιλοῦς σου τιμιότητος τὸ πεμπόμενον, κἂν ἑνὸς ὀβολοῦ τυγχάνῃ· καίτοι γε μεγάλα καὶ ὑπὲρ ἐμὲ καὶ αὐτὰ τὰ πεμφθέν/τα. ἀνθ' ὧν δῴη σοι Κύριος πᾶσαν αὐτάρκειαν βίου, ἀμέτοχον τῆς τῶν χριστομάχων αἱρέσεως διαφυλάττων σε.

Ἔρρωσο ἐν Κυρίῳ, τὰ πάντα μοι σεβάσμιε.

---

100. a. 815 – 816 17 Καλόγηρον: Studita? cf. ep. 72,23 18 σπαθάριον: Theodorus? cf. p. 228* adn. 288

C (S)

3 ἂν S 13 κατοφθαλμοῦς C

---

101. a. 815 – 818

3 cf. Marc. 12,43 sq.

C (S)

2 σοι: σου S^{pc} 4 ἀδρὸν codd: corr Mai

102. Γεωργίῳ ξενοδόχῳ

Καταγώγιόν σου μανθάνω εἶναι τῶν ἀδελφῶν ἡμῶν τὸ εὐλογημένον οἴκημα· καὶ μεγάλη ἡ χάρις πάντοτε μέν, ἄρτι δὲ μάλιστα, ὅτε ἀποκέκλεισται ἡμῖν σχεδὸν πᾶς οἶκος φίλων φόβῳ ἀνθρωπίνῳ. ἀλλ' ὁ τοῦ θεοῦ φόβος τὴν σὴν θύραν ἀνεῳγμένην ἡμῖν παρίστησιν, ἐφ' ἣν εἰσερχόμενοι ὡς ἁμαρτωλοὶ τὴν παρὰ Κυρίου εἰρήνην σοι προσφωνοῦμεν, εὐλογοῦντες καὶ εὐφημοῦντές σε ὡς οἰκίαν θεοῦ ὑπάρχοντα. εἴη τὸ μέρος σου μετὰ Ἀβραὰμ τοῦ ξενοδοχοῦντος ἀγγέλους, πληθυνθείη σοι πᾶν ἀγαθὸν νοούμενον καὶ ὁρώμενον, εὐφρανθείης καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. ἀλλ' οὖν μετὰ ταύτης σου τῆς ἀρετῆς ἔστω φυλάττουσά σε καὶ ἡ ἀποχὴ τῆς κοινωνίας τῶν αἱρετιζόντων κατὰ Χριστοῦ, τῆς Θεοτόκου καὶ παντὸς ἁγίου.

103. Ναυκρατίῳ τέκνῳ

Ἐπειδὴ εὐδόκησεν ὁ ἀγαθὸς θεὸς ἰδεῖν ἡμᾶς τὸν ἀδελφὸν Ἀδριανόν, εὔκαιρον ἡγησάμεθα, τέκνον μου ἠγαπημένον, προσαγορεῦσαί σε καὶ διὰ σοῦ τοὺς λοιποὺς ἀδελφούς σου καὶ τέκνα ἡμῶν. πῶς δὲ τὰ καθ' ἡμᾶς; εὐχαῖς ὑμῶν ἀπεκατέστημεν· καὶ ἡ οἴκησις καλή, καὶ ἡ ἡσυχία τερπνή, καὶ ὁ θεὸς ἐγγύς, ἀλλὰ καὶ ὁ ἐχθρὸς ἡμῶν διάβολος, ὃς παντὶ πάρεστιν εἰς τὸ πειράζειν. δέομαι ὑμῶν, μὴ ἐπιλάθησθε μνημονεύειν μου ἐν ταῖς προσευχαῖς ὑμῶν ἵνα διασῴζωμαι μεθ' ὧν εἰμι ἀδελφῶν, οἳ καὶ προσαγορεύουσιν. ἀλλὰ γὰρ καὶ παρακαλῶ ἐμμένειν ὑμᾶς ἐν τῇ πίστει καὶ ἐλπίδι καὶ μηδαμῶς ἐκκακεῖν ἐν ταῖς παρούσαις θλίψεσιν· ἐγγὺς γὰρ Κύριος τοῖς ὑπομένουσιν αὐτόν. σύ

102. a. 815–818

8 cf. Hebr. 13,2

C (S)

5 ἐφῆν C 8 ἀβραὰμ S

103. a. 815

11 Ps. 144,18

C (S)

6 ἡσυχία: εὐτυχία Mai 7 ἐπιλάθησθε: ἐπιλάθῃς σε Mai

τε, ὦ τέκνον μου, ὡς ψυχή μου καὶ δύναμις κιχρῶ σαυτὸν τοῖς ὁπουδηποτοῦν εὑρισκομένοις ἀδελφοῖς ἡμῶν ἐν ᾧ τ' ἂν ἰσχύῃς καὶ ἐφ' ὅτῳ ἡ χρεία καλοίη· διὰ τοῦτο / γὰρ πάντως καὶ ᾠκονομήθη παρὰ θεῷ ἀναπόκλειστόν σε εἶναι. γίνωσκε γὰρ ὅτι εὔθετόν ἐστι καὶ πέμπειν ὑμᾶς ἐνταῦθα, ἀλλὰ καὶ σὲ αὐτὸν ἐλθεῖν καιρῷ τινι, μόνον εὐσκόπως πρὸς τὸ μὴ ἐν διαγνώσει γενέσθαι ὑπό τινων ἀφελεστέρων ἀδελφῶν. οἶδεν δὲ ὁ Ἀδριανὸς πότε εἰσῆλθεν καὶ πῶς. οὐ χρειαζόμεθά τι πλὴν βιβλίων. καὶ ἐάν ἐστιν ἡ ἑρμηνεία τοῦ κατὰ Ἰωάννην τοῦ κατὰ σάρκα πατρός μου, παράπεμψόν μοι μεθ' ἑτέρων, ὧν εἶπον.

Ὁ θεός σε, τέκνον μου, φυλάξοι ὡς κόρην ὀφθαλμοῦ.

104. Τῷ αὐτῷ

Ηὐχαρίστησα τῷ Κυρίῳ ὁ ταπεινὸς ἰδὼν τὸν ἀδελφὸν Προτέριον, μεμεριμνημένος ὢν περὶ τῆς διασώσεως αὐτοῦ· καὶ οἶδα ὅτι παρὰ Κυρίου αὕτη, τοῦ παροράσει τῶν ἁμαρτιῶν μου πρὸς τὸ τῶν ἀδελφῶν ὄφελος εὐοδοῦντος τὴν εἴσοδον καὶ τὴν ἔξοδον αὐτοῦ καὶ οἷον ἐκ μέσου πυρὸς ἀφλέκτως αὐτὸν διαβαίνειν παρασκευάζοντος. οἷα δὲ καὶ τὰ νῦν ἀναγγελθέντα, εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα. ἀλλ' ἐν μὲν τοῖς πρώτοις χαρά, εὐχαριστία, μάλιστα ὅτι καὶ γυναῖκες ἀνδρίζονται κατὰ τοῦ διαβόλου, ἐν δὲ τοῖς δευτέροις λύπη καὶ στεναγμός· πῶς γὰρ οὐχὶ ἀνιῷεν ἡμᾶς πτώσεις ἀδελφῶν, καὶ τοσοῦτον, ὅσον εὐοδοῦται καὶ ἡ λαοπλάνος αἵρεσις; ἀλλ' ὅμως φέρειν ἀναγκαῖον, ἀτρέπτους ἡμᾶς διαμένοντας ἐκ τῆς ἀγάπης τοῦ Χριστοῦ· κἂν ἔτι καὶ ἔτι, ὅπερ καὶ τὸ εἰκὸς ἔχει, χαλεπώτερα εἴη τὰ τῶν χριστιανῶν, καλῶς ἡμᾶς ἀσφαλίζει. ἀλλ' οὐκ οἶδ' ὅπως τὸ φύλαξαι ἀπὸ τῆς συγκοίτου

---

16 ἐνταῦθα: Metopa 19 ἑρμηνεία: a Photeino scripta; cf. Grossu 4 adn. 2 20 πατρός: Photeinus

21 Ps. 16,8

12 κιχρῶ σαυτὸν: κιχρῷς αὐτὸν Mai 13 ὅπου δήποτ' οὖν C τ' scripsi: δ' codd Mai 14 ἐφότῳ C Mai διατοῦτο S 16 σεαυτὸν C Mai 18 οἶδε S εἰσῆλθε S 21 φυλάξει C

---

104. a. 815

7 cf. adn. ad ep. 63,14 14 Mi. 7,5

C (S)

2 εὐχαρίστησα S 3 καὶ om Mai 8 εὐχαριστεία C 13 τῶν S^{sscr} 14 ἀσφαλίζῃ omnes: correxi φυλάξαι Mai

σου προήγαγες, σύγγνωθι ἄρτι, ἀδελφέ, τὸ λαλεῖν καὶ μὴ σιωπήσῃς, ὅτι λαός μοι πολύς ἐστιν χρεία, ἐκεῖνο πρὸς τοὺς ἀλλοτρίους τῆς πίστεως, τοῦτο πρὸς τοὺς ὁμογνώμονας.

Ἐγὼ δὲ ὁ τάλας σχετλιάζω ἑκάστοτε φόβῳ συνεχόμενος κρίματος θεοῦ ὅτι οὐκ ἐπιστέλλω καὶ μὴ δεχόμενος γράμμα· ἀγάπης γὰρ θεοῦ ἔργον τοῦτο, τὸ δὲ σιωπᾶν καὶ τὸ καθ' ἑαυτὸν ἕκαστον σκοπεῖν ἀκίνδυνον οὐ μόνον οὐκ ἔχει / τὸ τὸν πλησίον ἀγαπᾶν, ἀλλὰ καὶ σάθρωσιν ἐργάζεται ψυχῆς τῷ οὕτω ποιοῦντι. διὰ τοῦτο μέσως πως χωρῶ καὶ τοῦτο μετὰ βουλῆς καὶ συγκρίσεως τῶν συνόντων μοι, τοσοῦτον ἀκριβαζόμενος, ὅσον μὴ παροργίσαι με τὸν θεὸν καὶ ἐκπεσεῖν ἀληθείας πρὸ τῆς τῶν ἐχθρῶν τοῦ θεοῦ ἐπιχειρήσεως, σκοπῶν κἀκεῖνο, ὁπόσον με δεῖ πρὸς τοὺς ἄλλους διαγωνίζεσθαι, καὶ εὑρίσκων τριπλοῦν καὶ μηδὲ τὸ ἁπλοῦν ἴσως ἀποπληρῶν. ἐπεὶ καὶ γέγραπται ὅτι ᾧ παρέθεντο πολὺ περισσότερον ἀπαιτήσουσιν.

Πλὴν γράφε, τέκνον μου, καὶ ἀσφαλίζου· οὐ γὰρ βαρέως φέρω, ἀλλὰ πάλιν τὸ δέον ὑποφαίνοιμί σοι. ὁ δὲ θεὸς τοῦ πατρός μου ἐπίδοι ἐπὶ πᾶσιν οἷς ποιοῦμεν καὶ πράττοιμεν εἰς εὐαρέστησιν αὐτοῦ εἶναι. ἔρρωσο καὶ σῴζοιο, τέκνον πολυπόθητον.

105. Τῷ αὐτῷ

Ἐν τοῖς πρὸς τὸν ἀδελφὸν ἀρχιεπίσκοπον γράμμασιν ἱκανῶς ἀποκλαυσάμενος τὸν θάνατον τοῦ μακαρίου μου Καλογήρου, τέκνον ἠγαπημένον, οὐκ ἔχω νῦν τι λέγειν ἢ ὅτι σκεῦος ἐκλεκτὸν ἦρεν ὁ θεὸς ἀφ' ἡμῶν· οὗ τὴν ἀρετὴν διηγεῖσθαι ἔργον ἐμοὶ εὐχῆς καὶ οὐ τοῦ παρόντος καιροῦ, ἄλλως τε τοῦ τε γραμματηφόρου σπεύδοντος κἀμοῦ ὄντος τῷ πάθει τετρυχωμένου. γινώσκειν σε γὰρ βούλομαι, τέκνον, ὅτι λίαν ἥψατό μου ἡ λύπη τῆς καρδίας καὶ κεκένωκα δάκρυα

---

19 ὅτι οὐκ ἐπιστέλλω: cf. ep. 120,17 sq.; supra p. 39*

15 Act. 18,9 sq. 21 De. 10,18; cf. Matth. 5,43 28 Luc. 12,48 30 Gen. 31,6

16 ἔστιν C Mai 24 παρωργῆσαί C: παροργῆσαί Mai 27 ἀπὸ πληρῶν C 28 ᾧ: ὃ C παρέθετο C Mai

---

105. hieme a. 815–816 3 Καλογήρου: mortis Studitae Calogeri meminit primo ep. 72,23

C (S)

6 γραμματοφόρου Mai 7 ὄντως C

ὀδυνηρά, μήπω θεασάμενος αὐτοῦ τὴν κοίμησιν· ἀλλὰ πάλιν θᾶττον εὐθύμησα, πολλὰ εὐχαριστήσας τῷ ἀγαθῷ μου θεῷ ὅτι δι' αὐτὸν κεχωρισμένος ἔτυχον αὐτοῦ τε τοῦ μακαρίως κοιμηθέντος καὶ ὑμῶν. Ὁ μὲν οὖν τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος, ὡς ἴσασι πάντες, καὶ ἐπὶ τέλει τὸν τοῦ διὰ Κύριον διωγμοῦ μακαρισμὸν οἷα θεόπλοκον στέφανον κομισάμενος (ἐῶ γὰρ τὰ πάλαι λέγειν) ἐξεδήμησε καταλαβὼν τὸν μακάριον ἡμῶν πατέρα σὺν τοῖς ἀοιδίμοις ἀδελφοῖς, στάσεως καὶ ἀναπαύσεως ἀγγελικῆς (θαρρῶ λέγειν) καταξιωθείς. ἡμῖν δὲ ἄρτι ἀγών, τέκνον, μὴ ἀπολειφθῆναι τῶν κα/λῶν πατέρων· διὸ στῶμεν κραταιῶς, πηδαλιουχούμενοι ταῖς εὐχαῖς αὐτῶν, καὶ ἀγαθὸς ὁ θεὸς κατευθῦναι ἡμᾶς εἰς τὸν ἐκείνων λιμένα.

Εἶδον τὸν καλὸν Γαϊανὸν καὶ ἀνεπάην, ἐρωτήσας καὶ ἀκούσας ὅσα ἐζήτουν μαθεῖν. ἐλυπήθην μαθὼν ὅτι τῇ λύπῃ τοῦ θανάτου πάλιν ἐσιάνθης· καὶ πρόσσχες τῇ περιποιήσει ἑαυτοῦ λίαν περὶ ὧν ἄλλων ἐσήμανας καλῶς.

106. Τῷ αὐτῷ

Παντὶ προλαμβάνεις, τέκνον μου, πάντως θεοῦ εὐοδοῦντος· ἅμα γὰρ τὸ πιττάκιον καὶ ὁ βασιλικὸς ἐπέστη, ἀναγγείλας ἡμῖν ὅσα ἐρωτήθη, οὐ μὴν ἀλλὰ καὶ ἅπερ ἐπετράπη παρὰ τοῦ βασιλέως. ἦν δὲ ταῦτα, „ἐὰν εὕρῃς ὅτι ἐδίδαξέν τινας ἢ ὅτι λέγει ‚διδάσκειν ἔχω', δεῖρον αὐτὸν ἑκατὸν κορδάτα". ὁ μὲν ἄνθρωπος καὶ ταῦτα μετ' αἰδοῦς ἔφη, ἐξαιτῶν καὶ συγγνώμην τῆς λαλιᾶς· ἐγὼ δὲ ἀπεκρίθην ὅτι ‚ὧδε, ὅπου περιώρισμαι, οὐκ ἔχω τίνι διαλέγεσθαι πλὴν κἂν τοῖς ὀρνέοις', καὶ ἁπλῶς ὡς ἐδήλωσα διὰ τοῦ ἐξορίσαντός με τὰ αὐτὰ καὶ διὰ τοῦ κυροῦ Λέοντος. ὁ δὲ παρῃτήσατο οὕτως εἰπεῖν. εἶπον οὖν αὐτῷ ὅτι ‚ἐγὼ μὲν οὕτως, καὶ ἑτοίμως ἔχω ἐκδύσασθαι'. αὐτὸς δέ, ὡς οἶδας. ἐν τούτοις καὶ ἀπέλυσα τὸν ἄνδρα.

---

13 θεόπλοκον: ad vocem cf. Speck, Jamben 202

12 1 Tim. 6,12   13 Matth. 5,10

13 μακαρισμῷ C Mai (sed cf ep 447,21)   14 πάλαι: πολλὰ Mai   17 ἀποληφθῆναι C   22 ἐσιάνθης: ἠνιάνθης Mai   περὶ ὧν S: περιῶν C: περὶ τῶν Mai

---

106. a. 815 vel a. 816   3 βασιλικός: mandator Nicetas

C (S)

4 ἠρωτήθη S[pc]   5 ἐδίδαξε S   6 ἑκατὸν: ρ̄ codd Mai

Ἐχάρην δὲ διὰ τὸ ἀπολυθῆναι τὸν ἀρχιεπίσκοπον καὶ τοὺς ἀδελφούς. εἶχον ἐπιστεῖλαι αὐτῷ, ἀλλὰ διὰ τὸν πειρασμὸν παρῃτησάμην. τοῦτο οὖν ἀπολόγησαι αὐτῷ· καὶ γὰρ ὡς ἐν πειρασμῷ αὐτὸν περιώρισεν ἐν τοῖς αὐτόθι. καὶ οἶδα ὅτι λυπεῖται, καθὼς μοι καὶ ὁ βασιλικὸς εἶπεν, ἀλλὰ ὡς ᾠκονόμησεν ὁ Κύριος. προσαγόρευσον αὐτὸν γνησίως καὶ παρακάλεσον εὔχεσθαι περὶ τῆς ταπεινώσεώς μου, ὁμοίως τοὺς μετ' αὐτοῦ ἀδελφούς μου καὶ τέκνα, ἐξαιρέτως τὸν πρωτοπρεσβύτερον καὶ τὸν ἀββᾶν Τιμόθεον. μόχθησον καὶ αὐτὸς τὸ εἰς δύναμιν καὶ οἱ περὶ τὸν ἀββᾶν Τιθόην ἀναπαῦσαι αὐτόν, ὁρῶντες αὐτὸν ὡς ἐμέ. ἵνα δὲ ἔχῃς τὴν εἴδησιν ὅτι τῷ κυρῷ Ἰσακίῳ οὐδὲν ἕτερον ἔγραψα ἢ ὅτι ‚τὸν μισθὸν τῆς ἐπισκέψεως ὁ θεὸς δῴη σοι, ὅτι μόνος αὐτός μοι ἔγραψας, καὶ εὔχου ἵνα κἂν μίαν ἡμέραν εὐαρεστήσω τῷ θεῷ'. εἴτε οὖν / διὰ τοῦτο εἴτε δι' ἄλλο ἕνεκεν Χριστοῦ ἐκεῖνο ἔχω λέγειν, ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, κἂν παντὶ τρόπῳ φεύγω τὸν πειρασμὸν φειδοῖ τῆς ἐμαυτοῦ ἀσθενείας, ὑμῶν τε καὶ αὐτῶν τῶν δρώντων. τούτῳ οὖν τῷ τρόπῳ καὶ αὐτὸς διαγενοῦ ἐν τῇ πρὸς ἐμὲ μάλιστα διακονίᾳ καὶ γράφων καὶ πέμπων, ὅσον σκοπεῖς ὅτι θέλημα θεοῦ ἐστιν. μετὰ τούτου πάντα μοι ἐφετά, κἂν πῦρ ἀπειλῇ ὁ κρατῶν, κἂν ξίφος, κἂν θῆρας, κἂν ὁτιοῦν· οὐχ ὅτι δυνατῶς ἔχω (εἰμὶ γὰρ ἀράχνης ἀδρανέστερος), ἀλλ' ὅτι βούλεται θεὸς οὕτω πάντα χριστιανὸν διατίθεσθαι, ὅμως ὅτι οἰκονομικῶς ἐγένετο τὸ γεγονός· ἠσφαλίσαντο γὰρ οἱ φύλακες καὶ ἐξῆλθεν καὶ ὁ γέρων ὁ ὢν ἐνταῦθα καὶ ὁ μοναχός.

Ἔχομεν τὸν θεὸν καὶ τὰς εὐχὰς ὑμῶν. καιρῷ εὐθέτῳ δήλωσον ποῦ διεσπάρησαν οἱ ἀδελφοί, καὶ εἰ ἐδέξαντο τὰ γράμματα οἱ δέκα καὶ οἱ ἑπτά, καὶ εἰ ἔστι δυνατὸν πέμψαι εἰς τοὺς δέκα ὡς εἴπαμεν. πολλὰ οἱ συνόντες μοι ἀσπάζονται.

---

13 ἀρχιεπίσκοπον: Josephus 20 πρωτοπρεσβύτερον: Studita Athanasius 23 ἔγραψα: epistula perdita 37 δέκα: de decem Studitis cum Thaddaeo martyre cf. p. 239* adn. 332 38 ἑπτά: turma septem Studitarum cum archiepiscopo Josepho; cf. ep. 115,5

---

32 cf. Bas. ep. 193 (PG 32,705 B = II 146 Courtonne) οὕτως ὑπὸ τῆς ἀδυναμίας διάκειμαι ὥστε μηδὲν ἐν τούτῳ ἀποδεῖν ἀραχνίου

---

15 αὐτὸν omnes: correxi 21 τιθόιν C Mai (fort est Τιμόθεον scribendum; cf epp 80, 198, 307, ex quis apparet archiepiscopum Timothei opera usum esse) ἀναπαύσαι codd: corr Mai 22 ἰσαακίῳ S[pc] 25 δι': διὰ Mai 31 ξῖφος C 34 καὶ ἐξῆλθεν om Mai ἐξῆλθε S 38 εἴπαμεν: cave legas εἴπομεν coll ep 4,45 εἱλάμην; W. Schmid, Atticismus IV 603

107. Τῷ αὐτῷ

Τῷ ὄντι, τέκνον, ἔσκαλλον ἐν τῇ βραδυτῆτι, ἀλλ' ὅτι ὁ χειμὼν ἐπέκειτο οὐκ ἠγανάκτουν. νῦν δὲ ὁμοῦ μὲν τὴν ἐπιστολήν σου, ὁμοῦ δὲ καὶ τὸν ἀδελφὸν ἀπολαβὼν καὶ ἀμφοτέρωθεν μεμαθηκὼς τὰ ζητούμενα ηὐχαρίστησα τῷ Κυρίῳ, τῷ εὐδοκήσαντι ὑπὲρ ἀληθείας ἐξορισθῆναι τὸν καλὸν ἡμῶν ἀδελφὸν καὶ πατέρα, τὸν ἀρχιεπίσκοπον δὴ λέγω, σὺν τοῖς λοιποῖς ἀδελφοῖς καὶ πατράσι. κάμνετε ὑμεῖς ἀδολεσχοῦντες ἐπὶ τῇ προσδοκουμένῃ μεταστάσει, ἀλλ' οὐδὲν ἄμισθον· στέργετε ἐν Κυρίῳ καὶ ὅτε κελεύει. καλὸν δέ ἐστιν ἀποπλεῦσαι ἐν τῇ πόλει ἐν εὐδίᾳ μόνον τὸν ἀδελφὸν Προτέριον, ἵνα, εἰ καὶ μή τις ἄλλος, ἀλλὰ οἱ πρὸς οὓς ἄρτι ἐπέστειλα δέξωνται τὰ γράμματα. κἂν μὴ ἔλθῃ ἐνταῦθα, ἔχει τὴν ταπεινὴν εὐχὴν ἡμῶν. διεταξάμεθα αὐτῷ περὶ πάντων· ἐπιτετηρημένος ἔστω πῶς εἰσίοι ἐν τῇ πόρτῃ, πῶς ἀποδίδοι τὰ γράμματα, μὴ ὡς ἔτυχεν παρρησίᾳ περιπατῶν.

Ἔστω οὖν ὁ Κύριος σκέπων αὐτὸν δι' εὐχῆς τοῦ πατρὸς ἡμῶν. περὶ τοῦ παροικονόμου, ἐὰν ἔλθῃ, ὑπέμνησας, τέκνον· / ὡς συνορῶμεν καὶ ἡμεῖς καλὸν εἶναι ποιοῦμεν. εἴ τι πάλιν μάθοις διὰ τοὺς πατέρας, καιρῷ εὐθέτῳ γράφεις ἡμῖν· καὶ τέως μὴ κατεπειχθῇς, εἰ μὴ ἀναγκαῖόν τι, πέμψαι διὰ τὸ χειμέριον εἶναι τὸν καιρόν. ὁπότε ὁ ἀδελφὸς Τιμόθεος ἀποκινεῖ, μάθοιμι, ἵνα ἄρῃ γράμματα.

Ὁ θεός σε, τέκνον, σκεπάσοι ἐν πᾶσιν. οἱ ἀδελφοὶ προσαγορεύουσιν τὸ δ̅ καὶ τὸ λ̅ ἐξ ἡμῶν.

---

107. hieme a. 815 – 816 22 δ̅: Studita Athanasius secundum ep. 41,8; sed cf. adn. ad ep. 120,9 λ̅: Litoius? sed cf. p. 254* adn. 384

C (S)

2 τῳόντι S ἔσκαλον C: ἤσχαλλον S: correxi βραδύτητι Mai 3 καὶ ante ὁμοῦ inser Mai 5 εὐχαρίστησα S 6 πατέρα καὶ ἀδελφὸν S 8 προσδοκωμένῃ S 9 ἀπὸ πλεῦσαι C 10 εὐδείᾳ codd 13 ἐπὶ τετηρημένως C Mai εἰσίει omnes: correxi 14 ἔτυχε S 16 ὑπεμνήσειας Mai 17 μάθεις C: μάθῃς S: corr Mai 18 γράφοις Mai εἰ om Mai 21 σκεπάσει C Mai

108. Τῷ αὐτῷ

Καλῶς ἐποίησας, τέκνον μου θεοπόθητον, τὸν ἀδελφὸν ἀποστείλας ἄγγελον ἀγαθόν· οὗ τῇ θέᾳ ὁμοῦ τε καὶ τῇ ἀγγελίᾳ εὐθυμήσαντες εὐχαριστήσαμεν τῷ Κυρίῳ. ἔδοξας δὲ ἀρκεῖσθαι ζώσῃ φωνῇ μαθόντας ἡμᾶς μὴ χρῄζειν ἐπιστολιμαίου λόγου. καὶ οὐχ οὕτως ἔχει. καίτοι οὐδὲ διὰ στόματος ἔδωκας ἡμῖν ἀπόκρισιν περὶ ὧν ἐρωτήσαμεν, τοῦ τε εἰ δυνατὸν ἐπιστεῖλαι τοῖς ἐξορισθεῖσιν ἐπισκόποις καὶ τοῦ εἰ καλὸν διὰ ἰαμβικῶν μέτρων ποιῆσαι κατὰ εἰκονομάχων, οὐ τοσοῦτον δι' ἄλλων ὠφέλειαν, ὅσον δι' οἰκείαν, εἰς τὸ ἀντιπερισπᾶσθαι τὸν νοῦν μου ἐξελκόμενον ἐκ τῶν ἀτόπων.

Γράφε τοιγαροῦν, ὁσάκις παραγένηταί τις, κἂν μὴ ἄλλο τι, ὅτι ἔρρωσαι καὶ σῴζονται οἱ ἀδελφοί. θέλω γὰρ τὴν μικράν σου προσηγορίαν ὡς οὐκ ἄλλων τοὺς μακροὺς λόγους· ποῦ γὰρ καὶ ἀναπνέω, ἀλλ' ἢ πλὴν σοῦ, τῆς καρδίας μου; ἀναγκαῖον δέ ἐστιν αὖθις ἀποσταλῆναι τὸν Προτέριόν μου ἐν τοῖς ἐν ἄστει ἐπὶ διαγνώσει τῶν ἀδελφῶν ἡμῶν, κομιζόμενον, ὡς δοκῶ εἶναι καλόν, καὶ γραμματεῖόν σου πρὸς τοὺς περὶ τὸν ἀββᾶν Γρηγόριον, ἐπαλείφων αὐτοὺς εἰς εὐσθένειαν (δέον γὰρ καὶ ἄλλους τοῦτο ποιῆσαι, μή τί γε ἡμᾶς· ἐγὼ δὲ τέως ὑπεστάλην δέει τῆς διαγνώσεως), πρὸς δὲ τοὺς εἰς τὰ Στουδίου ὄντας λόγους παρακλητικοὺς διὰ στόματος καὶ ὡς εὐχόμενός εἰμι ἐγὼ περὶ αὐτῶν καὶ ἀγωνιῶν.

Μὴ δείσῃς, τέκνον. ὁ Χριστὸς μεθ' ἡμῶν, ἐὰν καὶ πορευθῶμεν ἐν μέσῳ σκιᾶς θανάτου. ἔρχεσθαι ὧδέ τινας ἐμοὶ τί δηλοῖς; οὓς / πέμπεις, ὁρῶ, τίνα, οὐ ζητῶ· καλῶς γὰρ ἀσφαλίζῃ. ὅρα διά τε τοῦ ἀδελφοῦ Ἀδριανοῦ καὶ τοῦ χελανδίου τίνα πέμποις καὶ πότε. δῆλον ὅτι καὶ ἀναγκαῖον καὶ ἀναγκαίως· περὶ σοῦ γὰρ τέως στέρξον καὶ ὡς ὁ Κύριος εὐοδοῖ.

Ἀναγίνωσκε, ἔχε ἔργον, εὔχου θερμῶς· ὁ Κύριός σε σώσοι. προσαγορεύω τὸν Κάλλιστόν μου. προσαγορεύουσίν σε οἱ σὺν ἐμοί.

---

108. hieme a. 815–816 2 ἀδελφόν: Studita Adrianus? 8 ποιῆσαι: cf. p. 35* no. 21 supra 25 χελανδίου: cf. R. J. H. Jenkins, in: Const. Porph. De Administrando Imperio, II. Commentary. London 1962, 195 sq.

---

22 Ps. 22,4

C (S)

---

5 χρῄζειν: χρίζειν C 6 περιῶν C ἠρωτήσαμεν S 11 τοίγαρ οὖν C 12 προσαγορίαν S 16 γραμμάτιον S 17 ὑπαλείφων S 18 ὑμᾶς S 25 Χελανδίου Mai πέμπεις S 29 προσαγορεύουσί S

109. Τῷ αὐτῷ

Ἀπό τε τῆς πρώτης καὶ δευτέρας σου ἐπιστολῆς ἥσθην, τέκνον μου, καὶ ὑπερήσθην καὶ τὸ σταθερὸν τῆς ψυχῆς σου καὶ τὸ ἀνενδοίαστον τῆς πίστεώς σου καὶ τὸ πρὸς πᾶν ὁτιοῦν καρτερικὸν καὶ εὐπρόθυμόν σου· καὶ χάρις Κυρίῳ, τῷ ὀχυροῦντι καὶ βεβαιοῦντί σε εἰς τὸν φόβον αὐτοῦ. οἰκονομῶν ᾠκονόμησεν ὁ Κύριος ἕως τοῦ παρόντος ἀφύλακτόν σε εἶναι, ἵνα αἱ δέουσαι διακονίαι τελεσθῶσιν. εἶδον καὶ τὸν καλὸν Γαϊανὸν καὶ ἐτράφην τὴν ψυχὴν ἐκ τῆς περὶ τῶν δέκα ἐξηγήσεως. ἓν ἐλυπήθην, περὶ τῶν δύο ἀδελφῶν τῶν ἀπὸ τῆς Πελεκητῆς ποτε, ὅτι οὐχ ὡς μέλη ἡμῶν καὶ ἀδελφοὶ ἐδιοικήθησαν. ἀλλ' εἰ δυνατὸν καὶ ὅσον ἀπαιτεῖ ἡ ἀγάπη τοῦ θεοῦ διοικηθήτωσαν.

Ἀπεδεξάμην πάντα καὶ τὰ νῦν σταλέντα. ἀνεπάην εἰς τὰς βεμβράνας, εἰς πᾶν ὁτιοῦν· ἀντναπαύσειέν σε ὁ Κύριος, τέκνον μου, ἐν τῇ βασιλείᾳ αὐτοῦ. ἐκδεχόμενοι τοὺς αἱρετικοὺς κάμνετε, ἀλλὰ καὶ τοῦτο εἰς δοκιμὴν ὑμῶν. συναντιλαβοῦ τῷ ἀδελφῷ Τιθοΐῳ, κατανύγητι (ἐπειδὴ γέγραπται, ἀδελφοὶ ἐν ἀνάγκαις ἔστωσαν ὑμῖν χρήσιμοι), ὃν καὶ ἐξ ἐμοῦ προσαγόρευσον. παρακαλῶ δὲ καὶ αὐτὸν κἀκεῖνον ἵνα ὡς ἐν πᾶσιν κοπιᾶτε, ἔτι καὶ εἰς τὸν ἀδελφὸν ὑμῶν τὸν ἀββᾶν Πέτρον ἐνδείξησθε διάθεσιν ἁρμόζουσαν καὶ δοίητε αὐτῷ τὰ πρὸς χρείαν κατὰ τὸ δυνατόν· ἐδήλωσε γάρ μοι ὅτι ἀπρονόητον αὐτὸν ἐάσατε. ὑπὲρ πάντας καὶ ὡς κελεύετε ἐξ ἡμῶν τὸν ἀδελφὸν Δομετιανὸν καὶ τὸν παροικονόμον προσαγόρευσον· ὃν καὶ εἰπὲ ὅτι ἐδεξάμην σου τὰ γράμματα.

Ὁ θεὸς συγχωρήσοι σοι ἐν πᾶσιν· ὁ Χριστὸς μετὰ πάντων ὑμῶν. /

109. a. 815 vel hieme a. 815 – 816 9 δέκα: cf. adn. ad ep. 106,37 10 Πελεκητῆς: de monasterio Ioannis Evangelistae cf. p. 311* adn. 574; Menthon, Olympe 37 sq.

17 Prov. 17,17

C (S)

2 ἐπὶ στολῆς C 4 ὅτι οὖν C 8 ἴδον C Mai 10 πελεκιτῆς C Mai μέλει C ὑμῶν S διῳκήθησαν S^{pc} 11 διοικηθείτωσαν C 13 ἀνεπάειν C μεμβράνας Mai 14 ὅτι οὖν C ἀνταναπαύσειέ S 16 κατανύγηθι S 17 ἡμῖν C Mai 19 ἡμῶν S Mai (fort recte) 22 δομιτιανὸν S 23 ὅν: ᾧ S 25 συγχωρήσει C Mai

110. Τῷ αὐτῷ

Τὸν ἀδελφὸν Σιλουανὸν ἅμα τῷ Δωροθέῳ εὐδοκίᾳ Χριστοῦ, τέκνον μου ἠγαπημένον, εἶδον· εἶπον δὲ εὐδοκίᾳ, ἐπειδὴ οὐκ εἰς κακὸν οὐδ' εἰς ἄκαιρον ἐληλύθασι, κἂν ἐγὼ κακός, πρὸς πατέρα αὐτῶν παραγενόμενοι καὶ ἐν καιρῷ τοιούτῳ. εἶδον μετὰ ἀσφαλείας, ὥσπερ καὶ ἦλθον, ἀσυμφανῶς πως συνοψισθέντες μοι· οἷς καὶ παρήγγειλα μηδαμοῦ ὡς ἔτυχεν ἐκφερομυθῆσαι τὴν συνόψισιν, ἐν οἷς καὶ ἀπέστειλα αὐτοὺς μετ' εἰρήνης, εὑρὼν τὸν Σιλουανὸν ὡς ἐπόθουν. ὃν καὶ αὐτός, ἐρχόμενον πρὸς σὲ μετὰ τοῦ καλοῦ Δωροθέου ἐξ οἰκείας ὁρμῆς καὶ προθέσεως, ἀδελφικῶς πρόσδεξαι, φιλοῦντά σε λίαν καὶ σεβόμενον· οὐδὲ γάρ, ὡς ἤκουσας, παρεποιήσατο τὴν πρὸς σὲ πρῶτον ἄφιξιν, πλὴν στόματι ἀπολογεῖται. ἐτύπωσα δὲ αὐτὸν κατὰ τὸ κάθισμα αὐτοῦ καὶ ἁπλῶς ἀμεριμνίαν ἔσχον, ἐν πάσῃ ταπεινώσει ὄντος αὐτοῦ. ὅπως δὲ ἀπεκίνησεν ὁ ἀρχιεπίσκοπος καὶ δι' αὐτοῦ μαθὼν ἀνέθην, περί τε τῶν ἔτι κρατουμένων ἀδελφῶν ἡμῶν τὰ αὐτά. ἄρτι ζητῶ μαθεῖν καὶ περὶ τοῦ ἀδελφοῦ Προτερίου, εἰ ἆρά γε ἀπεκίνησε, δεδιὼς διὰ τὸν χειμῶνα.

Τοίνυν ἐρχομένου τινὸς κατὰ τὸ ὡρισμένον φανέρωσόν μοι περὶ πάντων, καὶ ὁ Κύριος ἔστω μετὰ τοῦ πνεύματός σου.

111. Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ

Ἐγὼ εὐχαριστῷ τῷ θεῷ μου ὅτι ὑγιαίνων διατελεῖς· τοῦτο γὰρ εὐηγγελίσθην διὰ τῶν τιμίων σου γραμμάτων. ἐπεὶ τίς εἰμι ὁ τάλας τοιαῦτα ἀκούειν παρὰ τῆς θεοφιλοῦς σου ὁσιότητος, ἃ σοὶ μᾶλλον ἐπᾴδειν ἐμὲ δέον διὰ τὴν ἀξιάγαστόν σου ἀρετήν; ὅτι ἐν ἐπισκόποις

110. hieme a. 815 – 816

19 2 Tim. 4,22

C (S)

6 πῶς C 7 συνόψησιν C Mai 16 ἄρα Mai δεδειῶς C: δεδειὼς Mai

111. hieme a. 815 – 816

C (S)

ἤνεσας ἀληθῶς τὸν Κύριον οὐκ ἄρτι μόνον, ὅτε καί τινες συνανέστησάν σοι πρὸς τὰ μετέωρα τῆς ἀληθείας τῶν ὁμοταγῶν, ἀλλὰ γὰρ καὶ πάλαι καὶ οἷον εἰπεῖν ἐξ αὐτῆς βαλβῖδος τῆς προεδρίας, ἡνίκα ποιμένες πολλοί, εἰ καὶ τραχὺς ὁ λόγος, ἠφρονεύσαντο μὴ ἐζητηκότες τὸν Κύριον, καὶ ταῦτα ἐν φυλακαῖς, ἐν μονώσεσιν, ἐν ἀνάγκαις, / ἐν στενοχωρίαις, ἐν πόνοις, ἐν δάκρυσιν, ἐν πνιγμοῖς, ὡς ἄν τις φαίη, τῆς κακώσεως. ἀποστολικά σου τὰ αὐχήματα, ἰσοπάτρια τὰ ἀθλήματα· εἰ δὲ καὶ ἐγώ τι τῶν τοιούτων, ἀλλ' ἡ σμικρότης τοῦ βαθμοῦ καὶ ἡ ἁδρότης τῶν ἁμαρτιῶν καλύπτει καὶ φαίνειν οὐκ ἐᾷ. πλὴν τὰ σὰ ἐμὰ καυχήματα, τριπόθητε ἀδελφέ, πατέρων κορωνίς. προσεύχου τοίνυν μᾶλλον ἀφέμενος τοῦ ἐπαινεῖν, ἵνα μου ἑδραιοῦται ἡ ταπεινὴ ψυχὴ ἐν φόβῳ θεοῦ καὶ πρὸς τοὺς ἀοράτους καὶ ὁρωμένους ἐχθρούς, συμπαρομαρτούσης καὶ τῆς τοῦ μακαρίου ἡμῶν πατρὸς ἱκετηρίας· καὶ γὰρ δεδοικώς εἰμι τὰ κατ' ἐμαυτόν, ἀδελφέ, μέχρις ἂν ὦ ἐν τῷ σκήνει τούτῳ. εἰ δὲ καί τι θαρρῶ, ἀλλὰ καὶ τοῦτο ἐλπίδι θεοῦ, τοῦ καὶ τὸν ἀπεγνωσμένον εἰς φῶς φέροντος δι' ἄπειρον ἀγαθότητα.

Εὐθύμησα δὲ πάνυ ὅτι σύνεστί σοι ὁ καλὸς Ἀθανάσιος, ἐπί τε τῇ εὐπαρηγορήτῳ ξενίᾳ τῆς ἐξορίας σου. οἷα δὲ τὰ ἐνταῦθα, ὁ χρηστὸς Σιλουανὸς ὄψει ὑπολαβὼν διηγήσοιτο, καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ ὅσα δι' ἐπιστολῆς παρέλκον γράφειν. εἰ μὲν οὖν ταμιεύεται ἡμῖν Κύριος ἔτι ἐν σαρκὶ ἰδεῖν ἀλλήλους, τῆς αὐτοῦ κελεύσεως ἔργον· εἰ δὲ μή, ἀλλὰ σύ γε, ὦ πάτερ, πρεσβεύοις ὀφθῆναι ἡμᾶς σὺν πατρί, μᾶλλον δὲ πατράσι καὶ ἀδελφοῖς ὁμοῦ ἀλλήλοις ἐν μακαρίᾳ θέᾳ καὶ ὀφθήσεσθαι ὑπὸ θεοῦ εὐμενῶς, δι' ὃν ὁ παρὼν χωρισμὸς καὶ πόλεμοι.

Προσκυνεῖ δουλικῶς ὁ ἀδελφὸς Νικόλαος, μόνος ἐγκαταλειφθείς μοι. προσαγορεῦσαι ἀξίωσον τοὺς συνόντας τῇ ἁγιωσύνῃ σου, ἐξαιρέτως τὸν καλὸν Ἀθανάσιον.

---

18 πατρός: abbas Platon

---

8 Jer. 10,21 15 κορωνίς: cf. Zenob. prov. 2,1 (IV 55 Bühler) 17 2 Cor. 7,1 19 2 Cor. 5,4

---

8 βαλβίδος omnes: correxi 17 ὁρωμένους καὶ ἀοράτους S 19 ὧ C 21 καὶ om Mai 22 ἐπί: ἐπεί C 24 διηγήσεται S 28 ἀλλήλους Mai 29 πόλεμος Mai 31 προσαγόρευσαι Mai

112. Εὐθυμίῳ Σάρδης

Δὶς ἄρτι ἐπιστέλλω τῇ μακαριότητί σου. ἀλλὰ φεῦ τῆς ἐμῆς ἁμαρτίας· ἐν δάκρυσι γὰρ ὁ λόγος, ὅτι δυὰς τῶν πρὶν ἐπιστοληφόρων ἀφικομένη πρὸς τὴν ἐξορίαν σου ὑποβρύχιος γέγονεν, ὅ μου συνέτριψεν οὐ μετρίως τὴν ταπεινὴν ψυχήν. ὅμως ἐπειδὴ υἱοὶ ὑπακοῆς καὶ τοιαύτης διακονίας ἀπόστολοι, καὶ τρίτον ὅτι εἷς μόνος θάνατος οἴκτιστος, ὁ τῆς ἁμαρτίας, κἂν ἐπὶ κλίνης / φθάσοι, ἤνεγκα εὐχαρίστως, ἀφέμενος τὸ λυπηρόν.

Τοίνυν καὶ ἐν τοῖς πρώτοις γράμμασι τὸν ὀφείλοντα μακαρισμὸν ἀνῆψα τῇ θεοφιλίᾳ σου· καὶ γάρ ἐστιν ἀξία μακαρίζεσθαι, πρόκριτα πάντων ἀγωνισαμένην καὶ παρρησιασαμένην ἐν ἱεράρχαις, καὶ ταῦτα μηδὲ τὸν καιρὸν τοῦ θαρρεῖν ἔχουσα διὰ τὴν σχολὴν τοῦ θρόνου. ὅμως ἐν τῷ τῆς ἀληθείας κράτει τὸν θρόνον ἔχων τοὺς ὑποθρόνους σχεδὸν πάντας ὑπερῆρας, ὁμολογίας στέφανον ἀπενεγκάμενος. τὰ αὐτὰ καὶ νῦν σου τῇ ἱερᾷ κορυφῇ προσφθέγγομαι, στέφων οὐ χρυσοκολλήτῳ διαδήματι (ἐπεὶ μηδὲ κατὰ σάρκα τὸ νῖκος), ἀλλὰ θεοπλόκοις λόγοις· οὐράνιον γὰρ τὸ ἐκνίκημα. χαῖρε τοίνυν καὶ θυμηδία, θαυμάσιε, φέρων ἔτι καὶ διανύων τὸν δίαυλον τῆς ὑπερορίας, ἵνα ἐπὶ στάματος τῆς ἐκδημίας ἐπαναδράμοις ἐστεμμένος εἰς οὐρανούς· καὶ πρό γε ταύτης εἴη μέ σε θεάσασθαι ἐν καιρῷ εἰρήνης λελαμπρυμένον ἐπὶ τῆς προεδρίας.

Τὰ γὰρ νῦν ὅπως τετάρακται καὶ ἐμπεπύρισται ἡ καθ' ἡμᾶς ἐκκλησία πολλοῦ τὸ λέγειν διὰ τὸ πολυειδὲς τῆς ἀσεβείας. θυσιαστήρια θεῖα ἀφανίζονται, αἰρομένων τῶν σεπτῶν εἰκόνων, ναοὶ ἱεροὶ τὴν εὐπρέπειαν ἀπόλωλαν, πᾶσα ψυχὴ σχεδὸν ὤκλασε, χειρόγραφα τοῖς ἀσεβέσι δώσασα· ὀλίγοι οἱ ἀντεχόμενοι, καὶ οὗτοι ὡς ἐν πυρὶ δοκιμαζόμενοι ταῖς κακώσεσιν. ὠλίσθησεν ὁ Σμυρναῖος ἐν ἐπισκόποις

---

112. a. 816 3 δυάς: Studitae Gaianus et Zosimas fluctibus obruti 27 ὁ Σμυρναῖος: de cuius occursu cum Theodoro cf. ep. 407,42 sq.

---

5 1 Petr. 1,14 9 Matth. 5,10 24 Jac. 1,11

C (S)

---

10 θεοφιλείᾳ omnes: correxi 11 ἀγωνισαμένη S Mai παρρησιασαμένη S Mai ϊράρχαις C 13 ὑποθρόνους: πὸ θρόνους S 14 ὑπὲρ ήρας C 19 ἐπὶ: ἀπὸ τοῦ S στάματος C: σκάμματος S Mai ἐπαναδράμης S 20 θεάσασθε C 21 λελαμπρυσμένον S[pc]

καὶ ὁ Χερσῶνος, ἐν ἡγουμένοις ὁ Χρυσοπολίτης, ὁ τῆς Δίου, ὁ τῆς Χώρας καὶ μικροῦ δεῖν πάντες οἱ ἐν ἄστει. ἐνίστανται οἱ τῆς Βιθυνίας χάριτι Χριστοῦ. προσεύχου, πάτερ, κραταιοῦσθαι αὐτοὺς σὺν ἡμῖν τοῖς ταπεινοῖς ἕως τέλους. οὐδεὶς ἐκ τοῦ λαϊκοῦ τάγματος στήκων, πλὴν τοῦ Πηξιμηνίτου, ὃς καὶ δαρεὶς ἐξώρισται· ἐν κληρικοῖς ὁ θαυμαστὸς Γρηγόριος, οὗ ἐπίκλην Κεντροκούκουρος, καί γε ἐν ἡγουμέναις μέχρι τῶν ἕξ, ἐν μοναστηρίοις φρουρούμεναι. /

Ἔλθοιμι ἐπὶ τὸ ἀναγκαῖον τῆς ἐντολῆς σου. τί, ὦ πάτερ, ἐπιτέταχας τὰ ὑπὲρ ἐμὲ καὶ κατὰ βαθμὸν καὶ κατὰ τὴν ἐνεστῶσαν ἀνάγκην; κρύβδην πως καὶ τὸ εἰς τοὺς γνησίους προσαγορεύειν με. δέος ἐπὶ πάντας, καί γε μάλιστα ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, μή πού τι διάδηλον γίνοιτο τῷ κρατοῦντι. καὶ γὰρ μετεξωρίσθην ἐν Ἀνατολικοῖς καὶ θυμὸς περὶ ἐμὲ τὸν δείλαιον οὐκ ὀλίγος τῷ Καίσαρι, ἐκ δηλωμάτων μᾶλλον ἀναφθείς, τοῦ μὲν σιγᾶν μοι καὶ μὴ διδάσκειν προστάττοντος, κἀμοῦ τοῦ δυστήνου ἀναινομένου καὶ προσαντέστερα ἀντιφωνοῦντος. διὰ ταῦτα πληγαί, κἂν ἔλαθον ταύτας αἰδοῖ καὶ εὐσεβείᾳ τοῦ πλήκτορος, ἁρπαγαὶ τῶν ὑπηρετούντων μοι, βιβλιδίων αὐτῶν ὧν εἶχον. πῶς οὖν ἐν τούτοις δυναίμην τι τῶν ἐνταλθέντων ἐγχειρῆσαι, ἀπορῶ· σύγγνωθι τῇ ταπεινώσει μου, εἰ καὶ μακάριον τὸ πρᾶγμα. καὶ οὔπω λέγω ὅτι ἐφίσον τῶν αὐτόθι κἀνταῦθα ἡ τοῦ λιμοῦ συντριβή. πλὴν ἐφ' ἑνὶ προσώπῳ θαρρήσας ἐπέστειλα· εἰ ἀνύσειέν τι τὸ γράμμα, δηλώσει ἡ ἀποστολή.

Τὸ λοιπὸν προσεύχου ὑπὲρ τοῦ τέκνου σου κατόπιν βαδίζειν τῆς ἁγιωσύνης σου.

---

34 ἕξ: quarum una prior monasterii S. Phocae; cf. ep. 151,47 39 ἐν Ἀνατολικοῖς: Boneta 43 τοῦ πλήκτορος: Nicetas Alexiu 44 τῶν ὑπηρετούντων: Studitae Hypatius et Lucianus

---

29 ἀνίστανται S 32 πηξιμηνήτου C: πιξιμινήτου S: corr Mai 45 δυναίμην om Mai 47 ἐφ' ἴσον Mai 50 τολοιπὸν S

113. Πατρικίῳ

Ὀφειλέτην ἐμαυτὸν λογιζόμενος τῆς περιδόξου μεγαλοφυΐας σου κέκρικα νῦν μὴ ψιλῇ φωνῇ, ἀλλὰ γράμμασι προσαγορεῦσαί σε τὸν ποθούμενον. εἰ γὰρ καὶ ἄλλοις οὐκ ἐκφερομυθεῖν μυστήριον παραχωρεῖ ὁ καιρός, ἀλλά γε ὑμῖν τοῖς ἐμοῖς οὐ κωλύειν ἔχει· ἐμοῦ γὰρ ὑμεῖς καὶ δεσπόται καὶ ἀφ' αἵματος, διὸ καὶ τὸ φίλτρον, καὶ οὐ τοσοῦτον ἐκ γένους, ὅσον ἐκ πνεύματος ἐναρέτου. ἐπεὶ καὶ ἄλλοι ἀγχιστεῖς, ἀλλ' οὐχ οὕτως ἐραστοί, ὥστε με τὰ ἴσα ἐπιστέλλειν. ἐπεύχομαι ὑμῖν κἂν ἁμαρτωλὸς τὰ σωτήρια, καί γε τὰ ὑγιαστήρια ψυχῆς καὶ σώματος. τοῦτο δέ φημι διὰ τὴν ἐνεστῶσαν αἵρεσιν καὶ ψυχοφθόρον πλάνησιν, ὡς ἂν ἀπήμαντος διαφυλαχθείης ὁ θεόφοβός μου δεσπότης, καί γε πανέστιος· ἧρκται γὰρ ἡ ὀργὴ παρὰ Κυρίου ἀπὸ Βυζαν/τίδος τῆς ὑβριστρίας, καθ' ὅσον ἀποδοκιμάζειν εἴωθεν τὰ πρὸς Κύριον ἔκπαλαι. καὶ ἤδη κατέδεται τὸ πῦρ τὰ ἑκασταχοῦ. μακάριος ὁ συνιῶν καὶ μένων ἄφλεκτος.

Εἰ γὰρ πτωχὸς καὶ πένης Χριστὸς δι' ἡμᾶς, πῶς οὐ τὰ τῆς πτωχείας ἰδιώματα ἐν αὐτῷ, ἤτοι χροιά, ἀφή, σῶμα, ἐξ ὧν καὶ ἐν οἷς ἡ περιγραφή. ἀποσκευάζουσι τοίνυν, ὦ ἄνθρωπε τοῦ θεοῦ, τὴν σωτήριον οἰκονομίαν τοῦ λόγου οἱ μὴ ὁμολογοῦντες αὐτὸν περιγεγράφθαι, καὶ τῆς τοῦ Ἀντιχρίστου παρουσίας προεισόδια τὰ παρόντα. ἀλλ' οὐαί σοι, Βυζαντίς, ὅτι καὶ ἀπὸ σοῦ τὸ κρίμα ἧρκται καὶ ἐν σοὶ τελευτήσειεν τὰ κακά, ὅταν ἀναπληρωθῶσιν αἱ ἁμαρτίαι σου.

Ταῦτά μοι ἐκ πόθου καὶ πόνου τῇ μεγαλονοίᾳ σου, εἰδυίᾳ τὰ μείζονα.

---

113. a. 815 – 818 6 φίλτρον: cf. Hunger, Literatur I 223

13 Jer. 27,31 20 Bas. ep. 264 (PG 32,984 A = III 127 Courtonne)

C (S)

5 γε: γα C 8 ἀλλ' οὐχ οὕτως: ἀλλ' οὕτως C^{ac} ἐπὶ στέλλειν C 13 καθόσον S εἴωθε S 17 χροιὰ S: χρυᾶ C: χρόα Mai 18 ἀπὸ σκευάζουσι C 22 τελευτήσειε S ὅτ' ἂν C

114. Ἀθανασίῳ τέκνῳ

Γράφω σοι τανῦν, τέκνον μου, ὡς οὐκ ἐβουλόμην, καὶ τὸν τρόπον οἶδας. φεῦ μοι τῷ ἀθλίῳ, οἴμοι τῷ ταλαιπώρῳ, οἷον συμβέβηκε τοῖς δυσὶν ἀδελφοῖς ἡμῶν. ἐμοὶ δέ, εἰ καὶ ἄμφω ποθητοὶ (τέκνα γὰρ ἀληθινά), ἀλλ' ὅμως ὁ σφέτερος ἐρασμιώτερος. διατί; ὅτι ἄνθρωπος θεοῦ, πλήρης πίστεως καὶ ἀληθείας, υἱὸς ὑπακοῆς, τέκνον φωτός, ἀνὴρ ἐπιθυμιῶν, ὑποτακτίτης ἀψευδής, δαμαστὴς παθῶν, καί γε ζηλωτής, καί γε πρόθυμος ὁδοιπόρος τῶν κατ' ἐντολήν, φιλῶν σφόδρα τὸν ἐν πνεύματι πατέρα καὶ φιλούμενος ἴσα, ἄσχετος σαρκὸς καὶ θεῷ συνημμένος, χρήσιμος πᾶσιν καὶ ὑπὸ πάντων αἱρετιζόμενος. δοκεῖς με χαρίζεσθαι τῷ ἀνδρί; καὶ πλέον ἔχει τὰ τῆς ἀληθείας. ἥψατό μου τὸ περὶ αὐτὸν πάθος κραταιῶς, ἐκλόνησέν μου τὸν νοῦν, συνέτριψέν μου τὴν καρδίαν, ἐδάκρυσα πικρά, συνεχύθην τῷ ὀδυρμῷ ὡς οὐδέποτε οἶδα, οὐχ εἵνεκα τῆς κοιμήσεως αὐτῶν, ἀλλ' ὅτι ἐν τοιούτῳ τόπῳ, δεδοικὼς μὴ ἡ προσταγή μου αἰτία (καὶ γὰρ ἐπειθάρχει χαίρων εἰς πῦρ βαίνειν ἐκ πίστεως καὶ μηδὲν βλάπτεσθαι), ὅμως ὅτι οὐ προαιρούμην πάντως ἐξορμεῖν αὐτοὺς ἐν τῷ χειμῶνι. πέπεικα δὲ προητοιμακότος τοῦ οἰκονόμου τὴν πορείαν αὐτῶν.

Τοιαῦτα τὰ συμ/βεβηκότα. οὐ μὴν ἐναπέμεινα, τέκνον μου, ἐν τῷ πένθει, ἀνενέγκας δὲ τὸν λογισμὸν καὶ συλλογισάμενος ὅτι εἷς θάνατος μόνος πονηρός, ὁ τῆς ἁμαρτίας, καὶ οὐχ ὁ τόπος, ἀλλ' ὁ τρόπος τοῦ θανάτου ὁ ζητούμενος ηὐχαρίστησα ἐν τῷ συμβάντι τῷ Κυρίῳ, τοῖς ἀθεωρήτοις αὐτοῦ κρίμασι τῆς οἰκονομίας παραχωρήσας τὸ πᾶν· ὃς πρὸ καταβολῆς κόσμου συμφερόντως καὶ τὸν καιρὸν καὶ τὸν τόπον τοῦ τέλους ἀπένειμεν ἑνὶ ἑκάστῳ.

Ἐν τούτοις εὐθύμει καὶ αὐτός, ἀδελφέ μου ἀειπόθητε, τάττων μετὰ Ζωσιμᾶ καὶ Γαϊανὸν τὸν θαυμάσιον, τοὺς ἴσους ἀδελφοὺς τῷ πνεύματι ὡς καὶ τὰ σώματα· ὧν εἴην τῆς μερίδος ὁ ἀνάξιος. προσεύχου μοι ἀενάως ἵνα σῴζωμαι, τέκνον ἠγαπημένον.

---

114. aestate a. 816 4 δυσὶν ἀδελφοῖς: cf. adn. ad ep. 112,3 5 ὁ σφέτερος: Zosimas 18 τοῦ οἰκονόμου: Naucratius 27 Ζωσιμᾶ: ad formam nominis cf. W. Petersen, in: Classical Philology 32 (1937) 121 sq.

6 1 Petr. 1,14 Joh. 12,36

C (S)

2 τὰ νῦν C Mai 3 συμβέβηκεν Mai 5 διὰ τί Mai 10 πᾶσι S 12 ἐκλόνισεν C (fort recte) 13 συνέτριψέ S 16 ὅτι in marg C 17 προῃρούμην S 29 σώζομαι C

115. Ναυκρατίῳ τέκνῳ

Καὶ μὴ παρεμπιπτούσης ἀφορμῆς γραμμάτων φιλῶ σοι διαλέγεσθαι, πόσῳ γε μᾶλλον ἐξευρισκομένης; εὐηγγελίσθην οὖν διὰ τῶν γραμμάτων σου, τέκνον, τὰ ἀγαθά· εὐαγγέλια γὰρ ἐμοὶ τὸ τὸν ὄντως ἐμὸν ἀδελφὸν καὶ ἀρχιεπίσκοπον ἐξορίζεσθαι διὰ Χριστὸν καὶ τοὺς λοιποὺς πατέρας μου καὶ ἀδελφούς. καὶ τίς ἄν μοι ἔδωκεν ἰσχὺν ῥῆξαι πρὸς αὐτοὺς φωνὴν ἀλαλαγμοῦ; πλὴν πιστεύω λήψεσθαί ποτε· ὅτε γὰρ δόξειεν ὁ βασιλεὺς πανταχόθεν περικόψαι μου τὴν φωνήν, τηνικαῦτα βοήσομαι πνεύματι πτερούμενος καὶ εὑρίσκων τὰς διεξόδους.

Σὺ οὖν, τέκνον μου ἀγαπητόν, ἐνδυναμοῦ ἐν Κυρίῳ, μηδόλως καταπίπτων ἐν τῇ ἐκδοχῇ τῆς μεταστάσεως· στῆθι κραταιῶς, ὁμολόγησον ἐρωτώμενος τὴν καλὴν ὁμολογίαν. ἐὰν δεῖ ῥαπισθῆναι, ῥαπίσθητι μετὰ Χριστοῦ, φυλακίσθητι, πίε χολὴν θλιβερῶν περιστάσεων, ἄνιθι ἐπὶ τὸν σταυρὸν τῇ προαιρέσει· οὕτω γὰρ λογισθήσεται παντὶ τῷ προαιρουμένῳ οἴσειν τὰ πάθη. οὐκ ἀρκεῖ σοι υἱὸν θεοῦ γενέσθαι; οὐχ ἱκανοῖ σοι συγκληρονόμον γενέσθαι Χριστοῦ; τίνων τὸ αὔχειν, τίνων τὸ χαίρειν καὶ ἀγάλλεσθαι καὶ εὐπαθεῖν; ἀλλ' οὐχὶ τῶν διὰ Χριστὸν πασχόντων καὶ περιοριζομένων; / εἴθε καὶ ἄλλα παθεῖν ὁμοίως τῷ δεσπότῃ. καὶ τίς ἄξιος; ἀλλὰ χάρις ὁμοίως καὶ τοῖς φθάσασιν.

Ἐγὼ ὁ τάλας οὔποτε ἐχάρην τοσοῦτον οὐδὲ εὐπαθῶν διετέλεσα (ναί, ναί, καὶ ἐν ταῖς προλαβούσαις ἐξορίαις) καὶ οὐκ ἐπιλέλησμαι τῶν τοῦ Κυρίου μου εὐεργεσιῶν, ἀλλὰ ἁπλῶς καὶ ἄρτι διὰ τὸ παραπέμψαι τὸν μακάριόν μου πατέρα σὺν τῷ ἁγίῳ μου Καλογήρῳ βασιλεύω, δεσπόζω, γήθω, χορεύω. οὕτως ἐκδέχομαι τὰς παρὰ τοῦ κόσμου κακώσεις ὡς τρυφάς. ἄφοβος, ἀπτόητος τολμῶ λέγειν μετὰ τοῦ ἁγίου Δαυίδ, ἐὰν παρατάξεται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ὁ θάνατός μοι ἐπιθυμητὸς διὰ τὴν ζωὴν τὴν αἰώνιον. καί γε οὕτως καὶ τηλικούτως διατιθέμενος ὁμολογῶ βδέ-

---

115. hieme a. 815–816 25 πατέρα: Platon

11 Eph. 6,10 12 1 Tim. 6,12 17 Rom. 8,17 28 Ps. 26,3

C (S)

5 ἀρχι ἐπίσκοπον C 11 μηδ' ὅλως C 18 αὐχεῖν S Mai 23 ναί^2 om Mai 29 ἐπὶ θυμητὸς C

λυγμα εἶναι πάντων ἀνθρώπων καὶ ἀπερριμμένον ἀπὸ θεοῦ διὰ τὰ ἄμετρά μου ἁμαρτήματα.

Οὕτως ταῦτα· ἴσως γὰρ καὶ τελευταίᾳ φωνῇ. ἐξοριζόμενος θεοῦ κελεύσει αἴρεις πάντως τὸν Κάλλιστον καὶ ὃν ἄλλον βούλει ἀδελφὸν ἢ εὐθὺς ἢ ὕστερον· ἔασον δέ μοι τὸν Προτέριον ὧδέ που περικρυβόμενον καὶ διακονοῦντά μοι, εἴπερ εὐοδοῖ θεός.

Ὁ Χριστὸς μετὰ τοῦ πνεύματός σου.

116. Τῷ αὐτῷ

Ὁπόταν μάθω τὸν χελανδάριον ἐπιστῆναι μόνον, ἕως ἂν ἀναγνῶ τὴν ἐπιστολήν, σφαδάζων εἰμὶ καὶ ἀδολεσχῶν τί τὰ σημαινόμενα· ὃ καὶ νῦν πέπονθα. ἔγνων οὖν τὰ γεγενημένα, ἃ πῶς οὐκ ἔστιν ἀκούοντα στενάζειν; ὅτι γε μάλιστα καὶ Νεκτάριος ὁ ἀρχαῖος προδότης εἷς ἐστι τῶν τὰ τῆς ἀσεβείας χειρόγραφα ἀπαιτούντων· ὃν ὁ κρατῶν οὐ τοσοῦτον διὰ τὴν χρείαν, ὅσον διὰ τὸ ἐκ τοῦ πληρώματος τῆς καθ' ἡμᾶς ἀδελφότητος χρηματίσαι ἀπόστολον αὐτοῦ πεποίηκεν. λυπηρὰ μὲν οὖν ὡς ἀληθῶς, ἀλλὰ καὶ χαρᾶς ἀνάπλεα, ὅτι οἱ πατέρες ἡμῶν ἀχείρωτοι τῆς ἐπιχειρήσεως τῶν ἐναντίων διαμένουσι διὰ θεοῦ ἀγάπην. πλὴν τί τὸ τοῦ Νικαίας δρᾶμα καὶ πάντως γε ἵνα μαθὼν διδάξῃς, ἐπεὶ καὶ περὶ τῶν ἐγγύθεν ἡγουμένων. ἱνατί δὲ περὶ ἡμῶν ἐλυπήθης; εἰς / οὐδέν ἐστιν· ἀδελφοί εἰσι καὶ ἀδελφικῶς πολλάκις διαφέρονται εἰς ἀλλήλους.

Εὔχου οὖν, τέκνον μου, ἵνα ἡ χεὶρ τοῦ θεοῦ σκέπῃ ἀμφοτέρους, καὶ ταῦτα κοῦφα. παρὰ τοῦ ἀδελφοῦ Κληδονίου ἐδεξάμην γραμματεῖον καὶ ἀνεπάην· ἐν καιρῷ ἀντιγράφω. παρακαλῶ σε δέ, ὅτι παρεκάλεσέ με ἵνα αὐτὸν ἐπιτηρῇς καὶ περιέπῃς· καὶ δεῖξον ὅτι παρεκάλεσα. ὃν καὶ προσαγόρευσον ὥσπερ καὶ τὸν ἀδελφὸν Τιθόην· κἀκείνῳ δι' ἄλλης ἐπιστέλλω. οἱ ἀδελφοὶ προσαγορεύουσιν.

---

37 2 Tim. 4,22

31 ἀπερριμένον: ἀπεριμμένος Mai

---

116. vere a. 816   11 τοῦ Νικαίας: Petrus   19 Τιθόην: ad formam nominis cf. L. C. Youtie, in: Zeitschr. f. Pap. u. Epigr. 11 (1973) 271

C (S)

2 όπ' ότ' ἂν C   Χελανδάριον Mai   ἐπὶ στῆναι C   4 γεγενημένα: γεγραμμένα Mai   8 πεποίηκε S   10 ἐπὶ χειρήσεως C   11 δράμα C Mai   12 ἵνα τί C Mai   16 γραμμάτιον S   17 ἀνεπάειν C   18 ἐπὶ τηρῇς C   19 Τιθόϊν C Mai

117. Τῷ αὐτῷ

Ἐγρηγόρησας, τέκνον μου, δοῦναί μοι μικρὰν ἀμεριμνίαν· καί γε ὁ θεὸς τοῦ πατρός μου ἐλεήσαι σε καὶ ἀναπαύσαι σε. γνοὺς δὲ τὰ δηλωθέντα εὐχαρίστησα τῷ Κυρίῳ. πάντα χαρᾶς εὐαγγέλια, αἵ τε τῶν ἁγιωτάτων ἐπισκόπων ἐξορίαι, ὑπὲρ Χριστοῦ οὖσαι, αἵ τε τῶν ἀγαθῶν ἡμῶν ἀδελφῶν ἐνστάσεις. ἐφ' οἷς καὶ πολλή μοι μέριμνα καὶ ἀδολεσχία τῷ ταπεινῷ, πῶς ἀποβήσεται τὰ κατ' αὐτοὺς σκοποῦντι· τῶν γὰρ πάντων ἀγωνιστικώτερον ἀθλοῦσιν. ἀλλ' ἔσται Χριστὸς ἐπαμύνων καὐτούς, ἀλλὰ μὴν καὶ τοὺς ἡγουμένους, πολλοῦ γε εἰπεῖν τοὺς τῆς χώρας.

Σὺ δέ, ὦ τέκνον, ὡς ὑπὸ θεοῦ βοηθούμενός τε καὶ σκεπόμενος μὴ φείσῃ ἐπιστέλλειν, ἐπιδημεῖν, στηρίζειν, νουθετεῖν, παραμυθεῖσθαι, διυπνίζειν, ἐκδιδάσκειν, ἐπαλείφειν τοὺς ἔξω, τοὺς ἔσω, τοὺς κακουμένους, τοὺς εὐδρομοῦντας, οὐ μὴν μέχρι τοῦδε, ἀλλὰ γὰρ καὶ τοὺς οὐχ ὑπὸ χεῖρα ἡμῶν τελοῦντας. δεῖ γάρ σε περαιτέρω χωρῆσαι διὰ Χριστόν, δηλονότι οἰκονομίᾳ καὶ εὐκαιρίᾳ χρώμενον· ἄρτι γὰρ δεῖ καὶ τοὺς μαθητὰς διδασκάλους γενέσθαι.

Ἐγὼ γοῦν ὁ ἀχρεῖος, εἰ καιρὸν λάβοιμι καὶ πιστὸν γραμματηφόρον, εἴτε οἴκοθεν εἴτε ἔξωθεν προθυμοῦμαι πᾶσι τοῖς ἐξορίστοις πατράσιν ἐπιστεῖλαι (πολὺ γὰρ ὀνίνησι καὶ τὸν γράφοντα καὶ τὸν δεχόμενον τοῦτο, ἐπεὶ καὶ τοῖς ἁγίοις σύνηθες καὶ τῇ ἐκκλησίᾳ χρήσιμον), ἀλλὰ γὰρ καὶ μέχρι τερμάτων τῆς οἰκουμένης βοῆσαι ὁ κύων καὶ ὁ ψύλλος παρασκευάζομαι. τίς δὲ τοῦδε εἴη μοι συνεργὸς πλὴν σοῦ, τοῦ ὑπὲρ πάντας τῶν ἀδελφῶν θερ/μοῦ φιλητοῦ καὶ Χριστοῦ καὶ ἐμοῦ τοῦ τάλαινος; ζῶμεν δὲ χάριτι Χριστοῦ καὶ εὐχαῖς ὑμῶν ἐνταῦθα, καθὼς προγέγραφα διὰ τοῦ Ἀδριανοῦ, ἐν οὐδενὶ λειπόμενοι πλὴν βιβλίων, ἥξει δὲ καὶ ταῦτα, ὁπόταν εὐοδοῖ Κύριος. Προσεύχου περὶ ἐμοῦ, τέκνον, θερμότερον ἵνα σῴζωμαι.

117. a. 815

3 Gen. 31,6 22 1 Reg. 24,15

C (S)

3 ἐλεῆσαί C Mai ἀναπαῦσαί Mai 7 ἀπὸ βήσεται C 9 κ' αὐτούς C 12 φείσει C Mai ἐπὶ στέλλειν C 13 δι' ὑπνίζειν C ἔξω, τοὺς om Mai 15 οὐχ om Mai 16 δῆλον ὅτι C 23 ψῦλλος S 25 τάλανος S Mai 27 ὁπ' ὅταν C

118. Τῷ αὐτῷ

Ὡς καλά σου τὰ γράμματα, τέκνον ἠγαπημένον, πάντα ἡμῖν εὐκταῖα εὐαγγελιζόμενα. πρῶτον μὲν τὴν κυρίαν ἡμέραν τῆς κυρίας Θεοτόκου, δεύτερον τὴν πρὸς τὸ κρεῖττον εὐεξίαν σου, εἶτα τὴν ὑγιείαν τῶν ἀδελφῶν, καὶ μὴν καὶ τῶν ἑπτά· εἶτα τὴν θαυματουργίαν τῆς Χριστοῦ σεπτῆς εἰκόνος. εἰ γὰρ καὶ στενακτὸς ὁ τοῦ τολμητία θάνατος (πῶς γὰρ οὔ;), ἀλλὰ δοξαστὸς ὁ Κύριος καὶ θεὸς ἡμῶν κἂν τῇ αὐτοῦ εἰκόνι θαυματουργησάσῃ, κἂν οὐκ ἐπιστρέφωνται οἱ ἀσεβοῦντες, μεθοδεύοντες ἄλλως τὸν θάνατον, ἐπεὶ καὶ Ἰουδαῖοι τὴν ἀληθῆ τοῦ Χριστοῦ ἀνάστασιν. ἡμῖν δὲ πιστὰ ἀμφότερα. εὖ δὲ ποιήσαι ὁ θεὸς τῷ καλῷ Γαϊανῷ. ἄγγελος ἀγαθὸς ἧκεν, ἄγγελος τοιοῦτος, καὶ ἀπίτω καθὰ εἴρηκας. εἴη εὐλογημένος καὶ ὁ Νεῖλος, εἰ τοὺς ἑπτὰ ἐπεσκέψατο, μετὰ τῶν πεμψάντων αὐτόν. καλῶς φρονῶν ἐλήλυθεν καὶ ὁ ἀδελφὸς Ἰγνάτιος. ὁ Προτέριος πορευέσθω. ἱνατί δὲ κόπους ὑμῖν παρέχω τῇ συχνῇ ἐπισκέψει; ὅμως ἐπεὶ ἡ ἑορτή, τὸν μισθὸν ὑμῖν δοίη Κύριος. τὸ α̅, τὸ β̅ ἐξ ἡμῶν προσαγόρευσον.

119. Τῷ αὐτῷ

Ἱκανῶς ἡμᾶς ἐξεδίδαξας, ὦ τέκνον ἠγαπημένον, τὰ γεγονότα καὶ ἤδη παριστάμενα, καὶ μέντοι ἀπὸ στόματος τὸ χ̅. ἐπὶ πᾶσιν οὖν εὐχαριστεῖν ὀφείλομεν τῷ Κυρίῳ καὶ τὰ κατὰ δύναμιν εἰσοίσειν τοῖς ἀδελφοῖς ἡμῶν. διὰ τοῦτο ὅσον ἐπεφέρετο χρυσίον τὸ χ̅ ἐξ ἀγαθοποιῶν καὶ εἶχον κἀγὼ ἐνταῦθα, πλὴν μικρᾶς χρείας, ἀπέσταλκά σοι. καὶ γενοῦ βοηθὸς τῶν βοηθείας ἐνδεῶν, καθὰ διεταξάμην τὸ χ̅· εἰς τοῦτο γάρ σε εἴασεν ὁ ἀγαθὸς ἡμῶν θεός. γράμ/μα εἰς τοὺς δέκα

---

118. mens. Mart. vel Apr. a. 816 5 ἑπτά: cf. adn. ad ep. 106,38

14 Matth. 26,10

C (S)

5 ὑγίειαν S 7 κὰν C Mai 10 ποιῆσαι C Mai 12 ἀπείτω C Mai 14 ἵνα τί C Mai

119. hieme a. 815–816 3 χ̅: Studita Gregorius? cf. tabulas ep. 41 et adn. ad ep. 120,9 8 δέκα: cf. adn. ad ep. 106,37

C (S)

5 διατοῦτο S ἐξαγαθοποιῶν C Mai (an ἐξ ἀγαθοποιϊῶν scribendum?) 6 μικρὰς C Mai 7 τὸ: τῷ Mai

εὑρίσκων πιστὸν ἀδελφὸν πέμψον· ἐγὼ γὰρ πέπομφα, καὶ τέως οὐκ ἀναγκαῖον. εἰ δὲ μή, κἂν εὐλογίαν. τῷ δ ἐπέστειλα· ἀλλὰ καὶ ἐφ' ἑτέρου προσώπου ἢ τῶν ἡμετέρων ἢ τῶν ἄλλων, ἡνίκα ἐπινοεῖς χρήσιμον εἶναι, δήλου, καὶ εἰ δοκιμάσω κἀγὼ εὖ ἔχειν, ἐπιστέλλω. οὐ γὰρ καθήκει σιωπᾶν δέει τῶν κρατούντων, ὁπόταν δέοι· ἐὰν γὰρ ὑποστείλῃ, φησίν, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν σοί. ᾧ ἀντιτασσόμενος ὁ βασιλεὺς τὸ μὴ διδάσκειν μηδὲ λαλεῖν καθόλου ἐγκελεύεται. ἀλλ' εἰ καὶ ἁμαρτωλοί ἐσμεν οἴδαμεν ἐκείνων εἶναι μαθηταὶ τῶν λεγόντων, ὑμεῖς κρίνατε, εἰ δίκαιόν ἐστιν ὑμῶν ἀκούειν ἢ τοῦ θεοῦ ἡμῶν· οὐ δυνάμεθα οὖν ἃ ἠκούσαμεν καὶ οἴδαμεν μὴ λαλεῖν. ἀσφαλιζόμεθα οὖν καὶ περὶ τῶν ἐκβαινόντων ἀκοῶν· καί γε, εἰ οὐκ ἔστιν ἀναγκαῖον, οὐ θεωρήσομεν οὐδὲ ἐκ τῶν ὧν παραπέμπεις. παραπέμψοις δὲ πάλιν, ὅταν καθήκῃ· εἰ ὑπερβῇς τὰς δύο ἑβδομάδας μὴ πέμπων, λογισμομαχήσομεν, εἰ δὲ ἔνδον, οὐδαμῶς.

Ὁ Χριστὸς μετὰ τοῦ πνεύματός σου, τέκνον· εὔχου μοι ζεόντως, ὡς κἀγὼ σοί.

120. Τῷ αὐτῷ

Ἐξέπληξέν με λίαν ἡ ἀγγελία, τέκνον· καὶ τί εἰπεῖν οὐκ ἔχω ἢ ὅτι θεοῦ κίνησις ἐγένετο οὕτω θαρσυνθῆναι τοὺς γενναίους ἀδελφοὺς ἡμῶν τὰ κατὰ τὸν ἀσεβῆ Ἀντώνιον πρᾶξαι ῥιψοκινδύνως. μαρτύρων οὖν ἀπενέγκαντο κλέος, τῶν ἐκκαλεσαμένων ἀφ' ἑαυτῶν τὰ ἱερὰ σκάμματα, καὶ ὁ ἀντιλέγων οὐδείς. ἀλλ' εὐλογητὸς ὁ θεὸς ἡμῶν, ὁ ἀνδρειώσας καὶ κρατύνας καὶ τὰ αὐτοῦ στίγματα φορέσαι αὐτοὺς καταξιώσας· εὔξαιντο περὶ ἐμοῦ τοῦ ταπεινοῦ κατόπιν αὐτῶν βαδίσαι. εὖγε καὶ τῷ η̅ καὶ τῷ θ̅ ὅτι ἀναγκαίως, μᾶλλον δὲ καὐτοὶ μαρτυρικῶς ἐπέδωκαν ἑαυτοὺς πρὸς βοήθειαν τῶν ἐν τῷ μοναστηρίῳ κακουμένων

19 ἐκβαινόντων ἀκοῶν: cf. adn. ad ep. 34,90

13 Hab. 2,4 17 Act. 4,19 23 2 Tim. 4,22

10 τῷ: τὸ CS[ac] Mai 13 ὁπ' ὅταν C 15 καθ' ὅλου C Mai 20 ὧν om C Mai 21 ὅτ' ἂν C λογισμομαχήσωμεν C Mai

120. hieme a. 815 – 816 9 η̅ – θ̅: litterarum notae certo persequi nequeunt; cf. p. 186* adn. 157

C (S)

2 τί om Mai (an τι scribendum?) 3 οὕτω om Mai 4 πράξαι C Mai 7 αὐτοὺς S[sscr] 9 τῷ: τὸ CS[ac] Mai (bis)

κρατηθῆναι. εὐλογήσαι καὶ ἐλεήσαι Κύριος καὶ τὸν καλόν μου Προτέριον ἔν τε ταῖς εἰσόδοις αὐτοῦ καὶ / ἐξόδοις· καὶ πάλιν, τέκνον μου, ἀπόστειλον αὐτόν, εἰ καὶ τολμηρόν, καὶ Κύριος εὐοδώσειεν τὰς ὁδοὺς αὐτοῦ, ὅτι δι' αὐτὸν ὁ λόγος καὶ ὁ τρόπος, καὶ ὁ πονῶν, φησί, θήσει μηρόν. καὶ πῶς ἄλλως δοξασθήσεται ὁ θεὸς ἢ ἐν ταῖς ἀμηχανίαις δεικνὺς εὐμηχανίας; ἄρτι τῶν φιλαδέλφων τὰ γνωρίσματα, ἄρτι τῶν φιλοτέκνων τὰ ἰδιώματα. διὰ τοῦτο κἀγὼ ὁ τάλας προθυμοῦμαι, ἀπαιτοῦμαι γράφειν, παρακαλεῖν, ὑποστηρίζειν ὅσον ἐνδέχεται, δεύτερα τιθέμενος τὰ ἀνθρώπινα, ὑποδειγματιζόμενος τῷ ἔργῳ τοῦ Ἁγίου Κυπριανοῦ ὁ ἀνάξιος· φησὶ γὰρ ὁ Θεολόγος ὅτι καὶ ἐξορισθεὶς οὐ διέλειπεν ταῖς ἐπιστολαῖς ἀλείφων καὶ κρατύνων τοὺς ὑπὸ χεῖρα, ἐξ ὧν πολλοὺς ἀπετέλεσε μάρτυρας.

Δεῦρο δὴ οὖν, τέκνον μου, ἀπόστειλον πάλιν τὸ χ̄, κομίζοντα ἐπιστολάς, τρακταϊζόμενον αὐτὸν ὑπὸ τῆς ἀγχινοίας σου· καὶ ἴδοι Κύριος τὸ ἔργον καὶ εὐμαρίσοι τὴν ὁδὸν αὐτοῦ. πίστις ἡ τὰ μεγάλα κατορθοῦσα, πίστις ἡ καὶ ἐκ θανάτου ῥυομένη· ταύτῃ ἐπερειδόμενοι πράττομεν ἃ πράττομεν οἱ ἀνάξιοι. περὶ τοῦ μ̄, ἡνίκα ὁ Εὐθάλιος ὑποστρέψει, τότε παράπεμψον αὐτόν, θεοῦ εὐοδοῦντος. εἰς τὸν λογισμόν, ὃν ἐλάλησά σοι, εὐχαῖς σου ἐρραΐσθημεν· πλὴν χρεία τοῦ μ̄. τὰ λοιπὰ ὡς ὁ Κύριος εὐοδοῖ σοι πρᾶττε, ἐπίστειλον δὲ καὶ τῷ η̄ καὶ τῷ θ̄.

Ὁ Κύριός σε σώσοι, τέκνον. προσαγόρευσον τοὺς ἀδελφούς· οἱ σὺν ἐμοὶ ἀσπάζονταί σε.

121. Τῷ αὐτῷ

Κόπος ἐστί, τέκνον, ἐν τῷ τηλικούτῳ χειμῶνι παραγίνεσθαί τινα ἐνταῦθα, περῶντα μάλιστα τὸν βορβορωθέντα ποταμόν· πλὴν ὅτι ἀνέθημεν ἰδόντες τὸν ἀδελφὸν καὶ ἐντυχόντες τοῖς γράμμασί σου,

---

20 Κυπριανοῦ: cf. H. Delehaye, in: AB 39 (1921) 323 sq.

13 Gen. 24,56 21 Greg. Naz. or. 24,15 (PG 35,1188 A = p. 72 M.-L.)

11 εὐλογῆσαι C Mai καὶ ἐλεήσαι om Mai ἐλεῆσαι C 21 διέλιπε S 23 κομίζοντα: κομίζον τὰς Mai 30 τῷ: τὸ CS[ac] Mai 31 τὸ CS[ac] Mai 32 σώσει C Mai

---

121. hieme a. 815 – 816 3 ποταμόν: Rhyndacus

C (S)

3 βαρβαρωθέντα omnes: correxi 4 ἀνείθημεν S

ἓν λυπηρῶς δεξάμενοι, τὴν πτῶσιν τοῦ ἐλεεινοῦ Νεκταρίου. ὅμως ὅτι ἀκόλουθα τοῦ ὅλου βίου αὐτοῦ καὶ τὰ παρόντα, ἓν ζητεῖ μόνον, ποιῆσαι τὰς ἐπιθυμίας τῆς σαρκὸς αὐτοῦ, καὶ τὰ τῆς πίστεως αὖραι φέροιεν.

Ἐκεῖνος μὲν οὕτως ἔχων, οὕτω καὶ ὠλίσθησεν. σὲ δὲ ὁ θεὸς τοῦ πατρός μου καὶ τοὺς πάντας ἀδελφοὺς ἡμῶν, τούς τε κρατουμένους καὶ μή, στηρίξειεν, σθενώσειεν, βεβαιώσειεν, ἡμέραν ἐξ ἡμέρας τὸ / μαρτύριον τῆς ὁμολογίας αὐτῶν ἀποπληρῶσαι· οὐ γὰρ τὸ ἐνάρξασθαι τὰ καλὰ ἐπαινετὸν ἁπλῶς, ἀλλὰ τὸ εἰς πέρας ἀγαγεῖν. πρόσεχε οὖν τῇ ἀναγνώσει, ἁπτόμενος καὶ τῆς γραμματικῆς ὅσον ἐνδέχεται, ἀσφαλῶς τὸ κάθισμά σου, μὴ ἐξαπίνης οἱ αἱρετικοί. τὸν θεὸν φοβοῦ, ἐν ᾧ ἐστι τὸ καθαίρεσθαι ἢ μένειν καθαρόν. περὶ τοῦ παροικονόμου ἀπαγγελεῖ σοι ὁ ἀδελφός. τίς ἀπίῃ εἰς τὸν ἀρχιεπίσκοπον, ἵνα δῶ γράμματα πάλιν;

Προσαγορεύουσιν οἱ ἀδελφοὶ καὶ ἐπιθυμοῦσί σε ἰδεῖν μεθ' ἡμῶν. προσαγόρευσον τὸ δ̅, τὸ λ̅, τὸ θ̅. ὁ Χριστὸς βοηθὸς ἡμῶν εἴη.

122. Γρηγορίῳ τέκνῳ

Νῦν καιρὸς καὶ μονομερῶς σοι ἐπιστεῖλαι, υἱέ μου ἠγαπημένε καὶ ἀδελφῶν ὁμόψυχε, διὰ τὸ μεμονῶσθαί σε καὶ εἶναι ἐν φρουρᾷ ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ. τί καλλιώτερον, τί δὲ μακαριώτερον, ὅτι διὰ Χριστὸν πάσχεις, ὑπὲρ τῆς ἁγίας αὐτοῦ εἰκόνος, διὰ τὴν Θεοτόκον, ὑπὲρ ἑκάστου τῶν ἁγίων, οὐ μεριζομένων τῶν πρωτοτύπων ἀπὸ τῶν παραγώγων; ὄντως, ἀδελφέ μου, μεγάλων δωρεῶν ἠξιώθης· ἐπίσκοποι ἐκπέπτωκαν, ἡγούμενοι ὠλίσθησαν καὶ σύ, ἐν ὑποτακτίταις τελῶν, ἴσα τῶν ἐκλεκτῶν ἱεραρχῶν τε καὶ καθηγητῶν τὴν ὑπὲρ ἀληθείας φυλακὴν κατεκρίθης. οὐδεὶς ὑπηκόων τοιοῦτον ἐδοξάσθη,

---

20 δ̅ – θ̅: cf. adn. ad ep. 120,9

7 Eph. 2,3 9 Gen. 31,6 11 1 Petr. 5,10 2 Petr. 2,8

9 ὠλίσθησε S 11 στηρίξειε S σθενώσειε S βεβαιώσειεν om Mai 12 ἀπὸ πληρῶσαι C 17 ἀπείῃ omnes: corr iudex Consortii Pervestigationis Germanici (cf app cr ad epp 504,39; 485,51)

---

122. aestate ineunte a. 816

6 Bas. spirit. 18,45 (PG 32,149 C)

C (S)

8 ἐκπεπτώκασιν S ὑποτακτήταις C Mai 9 ἶσα S

πλὴν τῶν συγκοινοβιωτῶν σου. σκίρτησον ἐν τούτοις, δόξασον ἀνθομολογούμενος τῷ θεῷ, τῷ καλέσαντί σε εἰς κοινωνίαν τῶν παθημάτων αὐτοῦ. ἐξέπεσεν ἐξ ὑμῶν ὁ ἐλεεινὸς Ὀρέστης σὺν τῷ Ἀφράτῃ. οὐ γὰρ ἦσαν ἐξ ἡμῶν· ἦ γὰρ ἂν μεμενήκεισαν μεθ' ὑμῶν. ὧν ὁ πρότερος βίος ἄπιστος εἰς ὑποταγήν, τούτων πῶς ἂν οὐκ ἕωλος εἰς Χριστόν; ἐγὼ ἐξενιζόμην καὶ εἰς ὃ μικρὸν ὑπέστησαν. σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῷ κράτει τῆς πίστεώς σου, φέρων γενναίως τὰ παρόντα, προθυμούμενος καὶ ἕτερα δι' ἀγάπην θεοῦ, ἡμέραν ἐξ ἡμέρας προσδεχόμενος τὸν θεόν, τὸν σῴζοντά σε ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος· καὶ ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν.

Προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζωμαι ἐν Κυρίῳ. προσαγορεύει σε ὁ ἀδελ/φὸς Νικόλαος. ἡ χάρις τοῦ Κυρίου μετὰ σοῦ, ἀδελφὲ στεφανίτα.

123. Θεοκτίστῳ τέκνῳ

Εἰ καὶ τῷ σώματι ἐχωρίσθην σου, τέκνον μου Θεόκτιστε, ἀλλ' οὐ τῷ πνεύματι· ἀεὶ γάρ σε ὁρῶ κατὰ νοῦν, περιπονούμενος ἐν τῇ διοικήσει σου πῶς τὰ κατὰ ψυχήν, πῶς τὰ κατὰ σῶμα. καί γε σημεῖον ὧν λαλῶ ἀληθές, τὸ ἑπτάκις τῆς ἡμέρας ἐν τῇ ἁμαρτωλῇ μου εὐχῇ μνημονεύειν σου ἐξ ὀνόματος μετὰ τῆς συνοδίας σου· τοιοῦτός μοι ὁ πόνος καὶ περὶ σέ. καὶ οἶδα ὅτι ὑστερούμενος εἶ, στενοχωρούμενός τε καὶ θλιβόμενος, ἀλλ' ὁ μακαρισμός σοι τοῦ διωγμοῦ παρὰ Χριστοῦ. διὸ χαῖρε ἐν τῇ ἐλπίδι τῶν αἰωνίων ἀγαθῶν, κουφίζων ἐντεῦθεν τὰ λυπηρά· πόσον γὰρ καὶ ἐνταῦθα χαρήσῃ μετὰ τὴν ἀπαλλαγὴν τῶν πειρασμῶν καὶ ἐν τῷ μέλλοντι αἰῶνι σκιρτήσεις; ἄρτι τρίτον διώκεσαι διὰ Κύριον, τρίπλοκον ἕξεις τὸν στέφανον. μὴ καταπέσῃς,

---

17 Eph. 6,10 18 2 Petr. 2,8 20 Ps. 144,18

11 συνκοινοβιωτῶν C Mai 13 ἡμῶν S 14 ἡ Mai ὑμῶν: ἡμῶν S 19 προδεχόμενος Mai 20 Κύριος S[sscr]

---

123. aestate ineunte a. 816

7 2 Cor. 4,8

C (S)

3 σε post περιπονούμενος inser Mai 10 χαρίσῃ omnes: correxi 12 ἕξει Mai

τέκνον μου ἀγαπητόν, τῇ ῥαθυμίᾳ, ἀλλὰ στῆθι ἔτι γενναίως. κἂν δεῖ ἀποθανεῖν, ἀποθάνωμεν σὺν τῷ Χριστῷ, ἵνα καὶ συζήσωμεν εἰς αἰῶνας· πάντως γὰρ ἀποθανούμεθα, κἂν μὴ βουλώμεθα. ναί, παρακαλῶ, τέκνον ἐμόν.

Χαίρω δὲ ὅτι σύνεστί σοι καὶ ὁ καλὸς Μεθόδιός μου. ἔστω ὁ Χριστὸς μέσον ὑμῶν, σκέπων, εὐψυχῶν ὑμᾶς καὶ προνοῶν ἐπὶ πᾶσι. προσεύχου καὶ αὐτὸς περὶ ἐμοῦ τοῦ ταπεινοῦ ἵνα σωθῶ σὺν ὑμῖν. ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει.

124. Δωροθέῳ τέκνῳ

Καιρός μοι μονοπροσώπως σοι ἐπιστεῖλαι, τέκνον ἠγαπημένον, ἐπὰν ἐμονώθης διὰ τὸν θεὸν ἀπὸ τῶν ἀδελφῶν σου. ὢ τῆς καλῆς σου ὁμολογίας, ὢ τῆς διὰ Κύριόν σου φυλακῆς· ὃ ἐζήτεις ἔκπαλαι φιλῶν τὸν Χριστόν, νῦν ἐπιτυχὼν ἀγάλλου, τέρπου. καὶ τί γὰρ εἴη ἄλλο τερπνότερον τοῦ μετὰ Χριστοῦ συμπάσχειν; ἐξέλαμψες ἐν τοῖς ἀδελφοῖς σου, ἀγωνίζῃ ἴσα τῶν ἀληθῶς ἐπισκόπων καὶ ἡγουμένων· ὃ οὐδεὶς ὑποτακτιτῶν ἠξίωται, πλὴν τῶν συγκοινοβιωτῶν σου, σὺ δεδόξασαι. ἐξ/έπεσαν ἀφ' ὑμῶν ὁ ἐλεεινὸς Ὀρέστης καὶ Ἀφράτης· καὶ οὐ θαῦμα, ἐπειδὴ ἀρχαῖοι ἄπιστοι ἀμφότεροι, καί γε ἀρνητὴς ὁ δεύτερος. σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν Κυρίῳ, καθὼς ἤρξω κλήσει θεοῦ, καὶ τελείωσόν σου τὸν δρόμον. φέρε εὐψύχως τὰ τῆς φυλακῆς δυσχερῆ, ἡμέραν ἐξ ἡμέρας προσδεχόμενος τὸ σωτήριον τοῦ θεοῦ. ἂν δεῖ καὶ ἀποθανεῖν διὰ Χριστόν, ἀποθάνωμεν, ἵνα ζήσωμεν.

Ὦ καλὲ Δωρόθεε, στῆθι γενναίως ὡς δῶρον θεοῦ. προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ταπεινοῦ ἵνα σῴζωμαι ἐν Κυρίῳ. προσαγορεύει σε ὁ ἀδελφὸς Νικόλαος. ἡ χάρις τοῦ Κυρίου εἴη μετὰ τοῦ πνεύματός σου.

---

14 2 Tim. 2,11

14 ἀπὸ θανεῖν C 15 ἀπὸ θανούμεθα C 18 εὐψυχῶν: cave corrigas ἐμψυχῶν; non raro enim utitur noster verbo intransitivo pro transitivo; cf indicem Graecitatis s. v.

---

124. aestate ineunte a. 816

3 1 Tim. 6,13 **11** Eph. 6,10 **12** Act. 20,24 **13** 2 Petr. 2,8 **14** 2 Tim. 2,11 **18** Philem. 25

C (S)

2 ἐπὶ στεῖλαι C 3 ὦ C Mai 4 ὦ C Mai 5 εἴη S[sscr] 7 ἶσα S 8 ὑποτακτητῶν C Mai συνκοινοβιωτῶν C 9 ἡμῶν S (fort recte) 13 προδεχόμενος Mai 14 ἀπὸ θανεῖν C ἀπὸ θάνωμεν C 17 τοῦ om C σώζομαι C Mai

125. Βασσιανῷ τέκνῳ

Καιρός μοι μονομερῶς σοι ἐπιστεῖλαι, τέκνον μου ἠγαπημένον, ἐπὰν τῶν ἀδελφῶν σου ἀπεμονώθης· εὐχαρίστησα καὶ εὐχαριστῶ τῷ θεῷ μου ἐπὶ σοί, ὅτι ὑπὲρ ὃ ἤλπιζον εὗρόν σε τανῦν πιστὸν ἐν Κυρίῳ, ἄνδρα γενναῖον, φύλακα ἀνοθεύτου ὑποταγῆς, ἄρνα Χριστοῦ, ὑπὲρ αὐτοῦ προαιρούμενον ἀποθνήσκειν. ἐγὼ καὶ ἐκ τῶν πρώτων γραμμάτων σου ᾔνεσά σε καὶ ἀπεδεξάμην, φανερώσαντά μοι τὰ συμβεβηκότα ὑμῖν καὶ μετὰ τοσαύτης εὐψυχίας. εὖγε, καλόν μου τέκνον Βασσιανέ· τάχα οἰκονομία γέγονεν θεοῦ μὴ ἆραί σέ με ἐν τῇ ἐξορίᾳ μου, ἵνα τὸ δοκίμιόν σου τῆς ἀρετῆς φανῇ. ὡμολόγησας, ἐφρουρίσθης, ἐπυρώθης ὡς χρυσὸς ἐν τῇ θλίψει καὶ τῇ ἀσθενείᾳ· ἔτι, τέκνον μου, ἐπίμεινον μακροθύμως ὅπως ἐκλάμψοις ὡς ὁ ἥλιος. ὁ γὰρ Ὀρέστης καὶ Ἀφράτης μικρὸν οὐκ ἤνεγκαν λυπηθῆναι· διὸ γεγόνασιν υἱοὶ σκότους. κακοπάθησον ὅσον ὅσον ὡς στρατιώτης Χριστοῦ, τὰ ἄνω ὁρῶν, τὰ μέλλοντα σκοπῶν· τὰ γὰρ παρόντα ὡς ὀνείρατα ἀφίπταται. οἷον μέλλεις σκιρτᾶν μικρὸν ὕστερον, οὐ μόνον ἐν τῷ μέλλοντι αἰῶνι, ἀλλὰ καὶ ἐνταῦθα. διὸ εὐψύχει, διαβίβαζε ὥραν ἐξ ὥρας, σκοπῶν καὶ τοὺς ἔνδοθεν ἐχθροὺς ἵνα πάντοθεν ἀκυρίευτοι ὦμεν. κἂν δὲ μικρόν τι παραπίπτωμεν, θᾶττον διανιστάμεθα. προσευχώμεθα, κλαίωμεν, ἄρωμεν τὴν / καρδίαν πρὸς θεὸν καὶ παραυτίκα ἡ βοήθεια.

Ναί, τέκνον μου, παρακαλῶ, ναί, δέομαί σου τῆς ἀγάπης. τελείωσόν σου τὸν ἀγῶνα, προσευχόμενος καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζωμαι. ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει σε.

---

125. aestate ineunte a. 816

14 2 Tim. 2,3

C (S)

1 Βασιανῷ omnes: correxi 2 ἐπὶ στεῖλαι C μου om S 4 τὰ νῦν C Mai 6 ἀπὸ θνήσκειν C 9 γέγονε S 10 φανεῖ CS[ac] ἐφρουρίσθης: ἐφρουρήθης S 12 ὁ[1] S[sscr] 18 καὶ om Mai 20 κλαίομεν Mai

126. Θαδδαίῳ τέκνῳ καὶ ὁμολογητῇ

Ὦ Θαδδαῖε, στρατιῶτα Χριστοῦ, τέκνον μου ποθητόν, ἀνὴρ στερροκάρδιε, προσπτύσσομαί σε διὰ τοῦ γράμματος ὡς ἀπὸ στόματος, περιπλέκομαί σε ἀπὸ ἀγκαλῶν καρδίας μου. ἥσθην καὶ ὑπερήσθην τῆς εὐτολμίας σου, τῶν ἀφ' ἡλίου ἀνατολῶν εὐγενέστερε, τῶν εὐδιαλέκτων ῥητόρων εὐλαλέστερε καὶ σοφώτερε. τί γάρ, εἰ οἱ μὲν ἀπεμωράνθησαν ἀλογώτερον κτηνῶν, ἔξαρνοι Χριστοῦ γενάμενοι ὡς Ὀρέστης καὶ Ἀφράτης, υἱοὶ τοῦ σκότους, σὺ δὲ ὑπὲρ αὐτοῦ ἐν φρουρᾷ καὶ κακώσει, καὶ ταῦτα παρρησιαζόμενος καὶ διαθερμαινόμενος; ὢ τῆς καλῆς σου ὑποταγῆς, ἥ σε ἤγαγεν ἐν τοῖς μέτροις τούτοις· ἔτι, τέκνον μου, ὑπένεγκε, ἐνάθλησον, ὑπόμεινον ἵνα στεφανωθῇς, συνετῶς ἀποκρινόμενος, ταπεινοφρόνως διεξερχόμενος, μετὰ ἐλπίδος διαβιβαζόμενος, προαιρούμενος καὶ τὸ αἷμα κενῶσαι διὰ σφαγῆς ὑπὲρ θεοῦ, ὅπερ καὶ προαιρῇ, ὡς ἐγώ σε οἶδα.

Προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ταπεινοῦ ἵνα σῴζωμαι. ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει σε.

127. Λιτοΐῳ τέκνῳ

Οὐ διὰ μακρᾶς περιόδου μοι ὁ λόγος, οὐδὲ γὰρ ἐᾷ τὸ πάθος τῆς περιχαρείας, ὦ τέκνον, ἀναβάλλεσθαι τὴν φωνήν. ἐπεὶ οὖν εἴρηκας ‚ἥμαρτον', παρεβίβασε Κύριος τὸ ἁμάρτημά σου, ὁ βραδὺς εἰς ὀργὴν καὶ ταχὺς εἰς οἰκτιρμούς. ἀλλὰ τί ἀνταποδώσω μου τῷ Κυρίῳ, ὅτι οὐκ εἰς τέλος παρεῖδέν μου τὴν ταπείνωσιν ἀπολέσαι με πρόβατον, ὃ πόνῳ πολλῷ καὶ πόθῳ περιεποιησάμην, ὃ εἶχον ἐν ἀγέλῃ μου ἐν

126. aestate ineunte a. 816 10 ὑποταγῆς: cf. adn. ad ep. 252,7

2 2 Tim. 2,3

C (S)

3 πρὸς πτύσσομαι C 7 γενόμενοι S ὡς om Mai 9 θερμαινόμενος S^{ac} 10 ὦ C Mai 11 ὑπένεγκαι C Mai 14 προαιρεῖ C Mai 15 σώζομαι C Mai

127. a. 815 – 818

4 2 Reg. 12,13 Jac. 1,19

C (S)

1 Λητωΐῳ Mai: λιτωΐῳ C 3 περιχαρίας C Mai 5 οἰκτειρμούς C Mai 6 παρίδεν C Mai: παρεῖδε S

ἐπισήμοις, οὗ φωνὴ ἠκούετο καὶ ἀντηκούετο ἡδύπνους μάλα, στάσις ἐπεφαίνετο εὔκοσμος ἄγαν; καὶ τί δεῖ πολλὰ λέγειν; εὗρον ὃ ἀπώλεσα, / ἐστερνισάμην ὃ ἀφηρπάγην· συγχαίρουσί μοι οἱ ἔφοροι ἡμῶν ἄγγελοι, συνήδονται οἱ σύννομοι, εὐφραίνονται οἱ θεόφρονες, στυγνάζει μόνος ὁ Βελίαρ, ὁ ψυχοφθόρος λύκος. κἂν πολλὰ τὰ δήγματα, φιλάνθρωπα καὶ ἰάσιμα τὰ φάρμακα.

Μὴ δὴ οὖν βαρυνθῇς, ὦ καλλίτεκνον, ἐγὼ ὁ ταπεινὸς μετὰ σοῦ, ἐγώ σου ὑπὲρ τῆς ψυχῆς τὸν ἐμαυτοῦ τράχηλον ὑποτίθημι· μόνον εὐθύμει, μόνον στῆθι ἐν ταῖς ἐντολαῖς τοῦ θεοῦ ἡμῶν ἐκ τοῦ δεῦρο. τί τοῦτο; τοῦ συνεῖναί σε μεθ' οὗ ᾑρετίσω βιοῦν ἄρτι ἀδελφοῦ σου, προσέχειν ἐντολαῖς ἁγίαις, φεύγειν τοὺς τῆς βλάβης χώρους, τὸν τῆς αἱρέσεως θανάσιμον βρόχον, εἴ τι καλόν, εἴ τι ὀνησιφόρον καρπούμενος, φέρων τὰ θλιπτικὰ ὑπομονητικῶς τῆς ὧδε κἀκεῖσε περιφορᾶς διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, προσευχόμενος καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. σῴζοιο, τέκνον μου ἠγαπημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

128. Βησσαρίωνι τέκνῳ

Χαρά μοι ἐπὶ σοί, τέκνον μου ἠγαπημένον Βησσαρίων, ὅτι ἐκλογὴ θεοῦ ἐγένου ἐν τοῖς ἀδελφοῖς σου, πάντως ὡς τὰ κάλλιστα προαιρούμενος καὶ ὑπὲρ ἀληθείας παρρησιαζόμενος. εἰσῆλθες ὡς χρυσοῦς ἐν καμίνῳ διὰ τῆς φρουρᾶς, προηνδρίσω, προεφυλακίσθης, ὡμολόγησας, ἀπεγράψατο Κύριος τὴν μαρτυρίαν σου. τί γὰρ ἄλλο οἱ μάρτυρες ἐποίησαν; τὸ ἀποθανεῖν δῆλον ὅτι ὑπὲρ Χριστοῦ. τοῦτο καὶ σὺ τῇ προαιρέσει· ἀεὶ γὰρ ἀποθνήσκεις ἐν τῇ φυλακῇ. δόξα τῷ

---

14 καλλίτεκνον: ad significationem cf. E. Fraenkel, Aeschylus Agamemnon II 348 sq.

12 2 Cor. 6,15 15 Rom. 16,4 22 Mi. 4,7

8 ἀντ' ἠκούετο C 10 ἐστερνησάμην C Mai 11 στυγνάζοι C 12 δήγματα: δείγματα CS^{ac} 17 τοῦ: τὸ S

---

128. aestate ineunte a. 816

C (S)

1 βισαρίωνι C: Βησαρίωνι Mai: correxi 2 βισαρίων C: βισσαρίων S: Βησαρίων Mai: correxi 7 δηλονότι S Mai

δοξάσαντί σε θεῷ, χάρις τῷ καλέσαντί σε εἰς τηλικαύτην δόξαν. φεῦ τοῖς ἐξαρνησαμένοις, Ὀρέστῃ τῷ ἀθλίῳ καὶ Ἀφρατίῳ· διὰ μικρὰν εὐπάθειαν ἐξέπεσαν Χριστοῦ, ἀσχημονοῦντες τανῦν κἂν τῷ μέλλοντι αἰῶνι ἀπαρνηθησόμενοι ὑφ' οὗ Χριστοῦ ἠρνήσαντο.

Ἐκεῖνοι μὲν οὕτως, ὡς ἀρχαῖα ζιζάνια. σὺ δέ, τέκνον μου, τελείωσόν σου τὸν δρόμον ὑποφέρων τὰ θλιπτικά, προαιρούμενος καὶ τὸ δι' αἵματος τελειωθῆναι, ἵνα σὺν μάρτυσι χορεύσῃς, ἵνα διὰ σοῦ κἀγὼ ὁ ἁμαρτωλὸς εὐδοξήσω. ναί, τέκνον μου, ἀρί/στευσον ὡς ἐνήρξω ἕως τέλους, προσευχόμενος καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει σε.

129. Τίτῳ καὶ Φίλωνι τέκνοις

Ἐπισκέπτομαι ὑμᾶς, τέκνα μου ἠγαπημένα, καὶ νῦν διὰ τῆς ἐπιστολῆς, πῶς ἔχετε φιλῶν μαθεῖν, πῶς ὑπομένετε τὴν ἐν Κυρίῳ φυλακήν. χάρις τῷ θεῷ, ὅτι ἀνεδείχθητε ὁμολογηταὶ Χριστοῦ, στῦλοι καὶ ἑδραιώματα τῆς ἐκκλησίας· κἂν γὰρ μικροί ἐστε ἐν τοῖς ἀδελφοῖς ὑμῶν καὶ μηδαμινοὶ λογίζεσθε τοῖς εὐσεβέσιν, ἀλλὰ παρὰ τῷ θεῷ μεγάλοι ὑμεῖς καὶ ἁγίοις συναρίθμιοι. λοιπὸν βλέπετε, ἀδελφοί, τὴν κλῆσιν ὑμῶν, οἷον τὸ ὕψος, ποταπὸν τὸ χάρισμα· ὑπομένοντες ὑπομείνατε τὸν Κύριον, ἡμέραν ἐξ ἡμέρας ἀπεκδεχόμενοι τὸ ἔλεος αὐτοῦ, ὡς ἀδελφοὶ μετ' ἀλλήλων ἀναστρεφόμενοι. βλέπε σύ, Τῖτε, ἀδελφέ μου, βλέπε Φίλων, τέκνον μου, διὰ θεὸν καὶ μετὰ θεοῦ ἡ φυλακὴ ὑμῶν. Χριστὸν ἔχοντες μὴ ῥαθυμῆτε· ἐξέλθετε ἀπὸ τῆς φυλακῆς ὅτε βούλεται Χριστὸς ὡς χρυσὸς ἀπὸ χωνευτηρίου, ὅλως καθαροί, τετιμημένοι, δεδοξασμένοι, στεφανῖται.

---

14 Act. 20,24

9 θεῷ om Mai   εἰς τηλικαύτην δόξαν ante χάρις iterum scripsit Mai   11 κἂν omnes: correxi   12 αἰῶνι: ἀγῶνι Mai

---

129. aestate ineunte a. 816

4 1 Tim. 3,15   8 Ps. 39,2   9 2 Petr. 2,8   13 Sap. 3,6

C (S)

4 στύλοι Mai   6 λογίγεσθαι C   11 Φίλων: φίλον Mai   12 ῥαθυμεῖτε C Mai

Τοῦτο τὸ πέρας ἐνθυμούμενοι στέργετε, φέρετε, χαίρετε, ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν. προσεύχεσθε καὶ περὶ ἐμοῦ τοῦ ταπεινοῦ πατρὸς ὑμῶν ἵνα σῴζωμαι. ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει.

130. Ἰγνατίῳ τέκνῳ

Κἂν οὐκ ἠδυνήθην τὸ πρότερον ἰδίᾳ σοι ἐπιστεῖλαι, νῦν, τέκνον μου ἠγαπημένον, δεξάμενός σου τὸ γράμμα εὐθύμως ἐπιστέλλω. ὑγιαίνων ἔσο ψυχῇ τε καὶ σώματι, πραγματευόμενος τὴν βασιλείαν τῶν οὐρανῶν, ὑπὲρ ἧς καὶ ὁ ὁρώμενος διωγμὸς παρὰ τῶν ἐχθρῶν τῆς ἀληθείας. καλῶς οὖν ἐποίησας γεγονὼς ἐν τοῖς αὐτόθι, ὄντος τοῦ ἀρχιεπισκόπου, τοῦ οἰκονόμου καὶ τῶν λοιπῶν ἀδελφῶν, τῶν τε παρὰ βασιλέως ἀποσταλέντων καὶ τῶν διοικούντων ἐξ ἀρχῆς τὸ μοναστήριον. εἴτε οὖν ἐν τῷ Βοσκυτίῳ εἴτε ἐν τῷ Ἁγίῳ Γεωργίῳ, καθὼς διεταξάμην τῷ ἀδελφῷ Τιθοΐῳ, ἐπίμεινον. ἄνθρωπος εἶ τοῦ θεοῦ, ἐγγεγυμνασμένος παρὰ τῆς τα/πεινώσεώς μου τὰ τῆς μοναδικῆς καταστάσεως, προβεβηκὼς ἐν ἀρετῇ κἀντεῦθεν ἀχθεὶς εἰς ἱερωσύνην εἰς βαθμὸν ἐπιστημονάρχου, ἀφῶ λέγειν πρωτοκαλλιγράφου καὶ χρυσοφύλακος. ταῦτα πάντα εἰς κλέος σου, εἰς δόξαν μου.

Φάνηθι οὖν καὶ ἀπὸ τοῦ δεῦρο, τέκνον μου, τοῖς ἀδελφοῖς σου, τοῖς τε προέχουσι καὶ ἴσοις καὶ ὑφειμένοις, ὡς Ἰγνάτιος ὁ θεοφόρος, ἐξ οὗ καὶ καλεῖσαι, χάριν διδοὺς ἐν τῷ λόγῳ σου, ἀποπνέων τὰ μύρα τῶν ἀγαθῶν πράξεων, ἵνα ἡ εὐωδία σου διαδράμοι εἰς τὸ πλήρωμα τῆς ἀδελφότητός σου, ἵνα ἐκλάμψοις ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ὡς ἥλιος μικρὸν ὕστερον. ὁ γὰρ θάνατος ἐνεργεῖται ἀεί, ὡς ὁρῶμεν ἐξ αὐτῶν τῶν ἀδελφῶν ἡμῶν· καὶ μακάριος ὁ καθάρας ἑαυτὸν καὶ

---

16 Na. 1,7

17 σώζομαι C

130. a. 815 9 Βοσκυτίῳ: monasterio Saccudionis 13 ἐπιστημονάρχου: cf. Dobroklonskij I 554; Grossu 97; Leroy, Réforme 201 adn. 162 πρωτοκαλλιγράφου: cf. Dobroklonskij I 552 sq.

19 Matth. 13,43

C (S)

2 ἐπὶ στεῖλαι C 3 εὐθύμως: an εὐθέως scribendum? 6 ὄντος: ὄντως C 8 καὶ – 9 μοναστήριον om Mai 12 κἀντεῦθεν C 17 καλεῖσαι: καλέσαι Mai ἀπὸ πνέων C μῦρα S^pc

οὕτως ἀποδημῶν, ὄνομά τε ἐγκαταλιμπάνων ὅσιον τοῖς ἔτι ζῶσιν. οὕτως εἴη σοι, τέκνον μου, τελειωθῆναι.

Οἱ ἀδελφοὶ ἀσπάζονταί σε θερμῶς.

131. Τῷ αὐτῷ

Ὦ καλέ μου Ἰγνάτιε, γίνωσκε ὅτι με αἴρουσι τῶν ἐνταῦθα καὶ μετεξορίζουσιν ὅπου ὁ Κύριός μου ἡτοίμασέ μοι τόπον καταπαύσεως· μὴ οὖν λυποῦ, ἀλλὰ χαῖρε, ὅτι κατηξίωμαι ὁ ἁμαρτωλὸς διὰ Χριστὸν μεθορίζεσθαι καὶ φυλακίζεσθαι. καὶ τί γὰρ χαριέστερον ἄλλο ἐπὶ τῆς γῆς ἢ τερπνότερον ἀλλ' ἢ διὰ θεὸν πάσχειν; οἶδά σε οὖν ὀχυρὸν τῷ πνεύματι, πιστὸν τῷ Κυρίῳ· φύλαξον σεαυτὸν ἄσπιλον τῆς χριστομάχου αἱρέσεως. φεῦ τῷ προδότῃ Νεκταρίῳ, ὅτι τὴν ἀρχαίαν ἀποστασίαν οὐκ ἐπελάθετο· φεῦ τῷ ἀθλίῳ Ὀρέστῃ, ὅτι διὰ τὰ πάθη τὸν παθόντα ὑπὲρ αὐτοῦ Χριστὸν ἠρνήσατο, ὑπογράψας κατὰ τῆς εἰκόνος αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, φησὶν ὁ Χριστός, καὶ ὑμᾶς διώξουσι· τί οὖν θαυμαστόν, εἰ διωκόμεθα δι' αὐτόν; εἴθε καὶ ἀπεθάνομεν.

Ταῦτά σοι ὡς ἐν διαθήκῃ παρ' ἐμοῦ τοῦ ταπεινοῦ. σὺ δέ, ὦ καλὸν τέκνον, μετὰ τῆς πίστεως καὶ πάσης ἀγαθοπραξίας ἐπιμελοῦ· ἔχε φιλίαν γνησίαν μετὰ πάντων σου τῶν ἀδελφῶν, ἐξαιρέτως μετὰ τοῦ οἰ/κονόμου, διὰ τὸ τῇ ὁμονοίᾳ τῶν πρώτων συνομονοεῖν καὶ τοὺς ὑφειμένους. ἔπεχε τῇ ἀναγνώσει, σοφίζου τὰ θεῖα. προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σωθῶ. εἴη Χριστὸς ὁ θεὸς ἡμῶν φυλακή σοι ἐν ἅπασιν. ἀμήν.

---

22 ἀπὸ δημῶν C

---

131. vere a. 816   2 ἐνταῦθα: Metopa

11 Joh. 15,20

C (S)

15 ἐπὶ μελοῦ C   16 σου om Mai

132. Ναυκρατίῳ τέκνῳ

Πεπονημένως ἀπεσκόπουν τὴν τῶν γραμμάτων σου ἀπαγγελίαν, τέκνον μου ποθητόν, οὐ μόνον διὰ τὰ προγεγραμμένα μοι παρὰ σοῦ ὅπως ἀπέκβη, ἀλλὰ γὰρ καὶ διὰ τὰ θρυλλούμενα ἐνταῦθα περὶ τοῦ σεισμοῦ. καὶ ὡς δεξάμενός σου τὴν ἐπιστολὴν ἀνέγνων, ἐξέστην ἔκστασιν ἱκανήν, στενάξας ἐπὶ τοῖς συμβεβηκόσι, κατελεήσας τοὺς τεθνεῶτας, εἶτα ὅτι καὶ τούτων γεναμένων μένει ἀμείλικτος ἡ καρδία τῶν ἀσεβούντων, ἀνδριζομένη μᾶλλον μὲν οὖν ἐπὶ τῇ κακίᾳ· ἅπαξ γὰρ ζωγρηθέντες ἐν τῷ τοῦ διαβόλου θελήματι ἀνανήξασθαι οὐ βούλονται ἢ οὐδὲ βουλόμενοι δύνανται. τίς κοπάσει τὸν χειμῶνα; τίς ἰάσεται τὸ σύντριμμα τῆς καθ' ἡμᾶς ἐκκλησίας; τίς ἄλλος ἢ ὅς ἔφη τῇ θαλάσσῃ πεφίμωσο; ἀλλ' οὐκ ἂν γένοιτο, εἰ μὴ μαθητιῶντες εἶεν Χριστῷ κατὰ ἀλήθειάν τινες, ὧν ὑπακούσειεν τῆς κραυγῆς ὁ θελητὴς τοῦ ἐλέους Κύριος.

Γενοῦ οὖν εἷς τῶν τοιούτων, τέκνον, διὰ καθαρᾶς καρδίας καὶ ἐξιλέωσαι, ἵνα μὴ ἔτι ὀργιζόμενος ὁ θεὸς συναπολέσῃ δίκαιον μετὰ ἀσεβοῦς κατὰ τὸ γεγραμμένον. στήριζε τοὺς ἑπτὰ διὰ γραμμάτων καί τινων ἀποστολῶν. εὖ σε ποιήσαι ὁ θεός, ὅτι ἐχρηστεύσω πρὸς τὸν κληρικὸν Στέφανον, καὶ ἔτι χρήστευσαι δυνάμενος. ἀνάγνωθι τοῦ μητροπολίτου τὴν ἐπιστολὴν καὶ δός μοι λόγον τῆς ἐρωτήσεως, λάβε δὲ καὶ παρὰ τοῦ ἀρχιεπισκόπου, ἀποκαλύπτων αὐτῷ τὴν γνώμην ὡς παρ' ἐμοῦ, μὴ μέντοι ὅτι γέγραφα τῷ μητροπολίτῃ. κοπιᾷς, τέκνον, τρέφων ἡμᾶς, τρέφεις δὲ ἕξ. ἐργόχειρον ἔλειψέν μοι τοῦ γράφειν, ὃ ἔχω εἰς πολλὴν παρηγορίαν καὶ βοήθειαν ψυχῆς· διὸ φρόντιζέ μοι ἀπάρτι ἐργόχειρα οἷα θέλεις συρμαιόγραφα, μόνον μὴ ζη/μιοῖς με εἰς τὰς τιμάς. εἶπον δὲ τῷ ἀδελφῷ τὸ τί πέμψεις συντόμως.

Προσαγόρευσον τοὺς σὺν σοὶ ἀδελφούς μου. οἱ ἐνταῦθα ἀσπάζον-

---

132. mens. Apr. vel Maio a. 816 5 σεισμοῦ: cf. Theoph. cont. 1,21 (p. 33 Bekker); Georg. mon. 1,5 (p. 766 ibid.) 25 συρμαιόγραφα: cf. Dobroklonskij I 948 adn. 1; O. Kresten in: Scriptorium 24 (1970) 205 f.; P. Lemerle, Byzantine Humanism. Canberra 1986, 130 sq.; C. Mango, Byzantium and its Image. London 1984, VI 717 sq. et adn. 143

---

11 Is. 30,26 **12** Marc. 4,39 **14** Mi. 7,18 **16** Gen. 18,23

C (S)

---

4 ἀπέκβοι C Mai: ἀπεκβῇ S[pc]: correxi 7 γενομένων S 13 ὑπακούσειε S 18 ἀπὸ στολῶν C: ἀποστόλων Mai ποιῆσαι C Mai 20 ἐπὶ στολὴν C 23 ἔλειψέ S 26 πέμψοις C Mai

ταί σε θερμῶς. ἀπηγγέλη μοι περὶ τῶν ἀποθανόντων, καὶ μακάριος ὁ μητροπολίτης. εἴη τὸ πνεῦμα αὐτοῦ μετὰ ἁγίων.

133. Τῷ αὐτῷ

Αἱ περιστάσεις τὰς τῆς ψυχῆς ὑποστάσεις αὔξουσι, διὸ χρή, τέκνον, στῆναι γενναίως ἐν τοῖς συμβαίνουσι πειρασμοῖς, ὑπὸ θεοῦ παραχωρουμένοις εἰς δοκίμιον τῆς πίστεως ἡμῶν· γέγραπται γάρ, ὃν ἀγαπᾷ Κύριος παιδεύει. πόθεν οὖν γνωσθήσεται τὸ ὑπερβάλλον τῆς ἀσεβείας, εἰ μὴ διωγμοὺς καὶ κολαφισμοὺς ἐξυφάνοι; πόθεν δὲ τῶν ὀρθοδόξων τὸ ὀχύρωμα, εἰ μὴ κατ' ἴχνος βαδίσειεν τῶν προωδευκότων πατέρων; ἀρίθμει τοὺς πειρασμοὺς καὶ τοσούτους εὑρήσεις τοὺς στεφάνους. μακάριοι οἱ ἀποθανόντες διὰ Κύριον, ὅτι ἐν ἀκαριαίῳ χρόνῳ αἰῶνας ἀτελευτήτους κερδήσωσιν. ἤρθη ὁ ἀρχιεπίσκοπος, ὃ καὶ προεμελέτων· ὁ Χριστὸς σὺν αὐτῷ, ὑπερεύχεσθε αὐτοῦ. ἐδάρη ὁ Εὐπρεπιανός· ἴδε θεοῦ ἀγαθότητα, ὅτι ηὐδόκησεν ὑπὲρ ὀρθοδοξίας αὐτὸν τυφθῆναι. προσεύχεσθε καὶ περὶ αὐτοῦ (σὺν αὐτῷ καὶ τοὺς ἑπτὰ φυλάττεσθε)· πέμψον τι τῷ ἀνθρώπῳ τοῦ θεοῦ εἰς βοήθειαν ἀμφοτέρων. οὐ δοκῶ δὲ ἔτι τὸ μοναστήριον κρατεῖν ὑμᾶς, ἀλλ' οὐδὲ τὸν ἀρχιεπίσκοπον ἐξέρχεσθαι. καὶ χάρις τῷ θεῷ ἀδέτους ὑμᾶς εἶναι. μία μονὴ ἡμῶν ἀληθινή, ἡ ἄνω Ἱερουσαλήμ.

Χαίρετε, ἀδελφοί μου, χαίρετε, ὅτι Χριστὸς χαίρεται διωκομένων ἡμῶν ὑπὲρ αὐτοῦ. ἄγγελοι κροτοῦσιν, ἅγιοι εὐλογοῦσι, δαίμονες σὺν εἰκονομάχοις πίπτουσιν, εἰ καὶ μαίνονται. ἕως δ' ἂν ἐστὲ ἐν τοῖς αὐτόθι δηλοποιεῖτε ἡμῖν καὶ ὅπως τὰ τῶν ἔσω συμβαίνει. ἐπὰν μεταστταίητε, ἐξερχομένων αἱρετικῶν, ὅπου δοίη Κύριος κλῖναί σε κεφαλήν, τέκνον, εἰ δυνατῶς σχοίης, φανεροῖς. εἰ δὲ μή, οἶδά σε ποῦ εἶ· ἐν Χριστῷ γὰρ καὶ μετὰ Χριστοῦ. εἴη δὲ καὶ / ἡμᾶς ὁμοίως σε διαγινώσκειν. ἀπαρασκεύαστος μὴ καθέζου, μὴ θᾶττον ἢ ἀρθῇς ἢ διωχθῇς.

---

29 μητροπολίτης: Cosmas Chalcedonensis

---

133. vere a. 816 15 μοναστήριον: Saccudionis?

---

3 Jac. 1,2 sq. 4 Prov. 3,12

C (S)

---

6 ἐξυφάνη C Mai 7 βαδίσοιεν codd: corr Mai 9 ἀπὸ θανόντες C 10 κερδήσουσιν S Mai 11 ὑπερεύχεσθαι C 12 εὐδόκησεν S 13 προσεύχεσθαι C 14 φυλάττεσθαι CS 21 δηλοποιεῖται C 25 ἀρθεὶς C Mai 26 διωχθεὶς C Mai

Προσειπὲ τοῖς ἀδελφοῖς μου πᾶσιν, ἐξαιρέτως Πέτρῳ, Τιθοΐῳ, Ἰγνατίῳ, Τιμοθέῳ καὶ τοῖς λοιποῖς. ὁ Χριστὸς μετὰ τοῦ πνεύματός σου διὰ τῆς πρεσβείας τοῦ πατρός μου. ἐμὲ οὐ δοκῶ ὅτι μεθιστᾷ, εἰ μὴ ἄρα πρὸς τὸ δεῖραι ἢ ἀλλῇ ἐξορίσαι. εὔχεσθε περὶ τῆς ταπεινώσεώς μου ἵνα ἰσχύς μου γένοιτο Χριστὸς δωρεὰν τῷ ὡς ἀληθῶς ἐκτρώματι. προσαγορεύουσίν σε οἱ ἀδελφοὶ γνησίως.

134. Τῷ αὐτῷ

Ὅσον ἠθύμησεν ἡμᾶς ἡ ἀκοὴ τῆς ἀσθενείας σου, τοσοῦτον εὐθύμησεν ἡ ἀπαγγελία τῆς ἀναρρώσεώς σου, τέκνον ἠγαπημένον· εἴ γε καὶ διαμενεῖ σοι, ἀλλὰ μὴ ἐξ ὀχλήσεως τῶν ἀδελφῶν εἰς ὑποστροφήν σε ἄξει. ἐκεῖθεν γὰρ ᾤμην καὶ νοσῆσαί σε, χρησαμένῳ καὶ πολλῇ ὑδροποσίᾳ, τῇ τε ἀλλαγῇ τοῦ τόπου. εὖ δὲ γέγονεν ὅτι ἀφαίμαξας· πρὸς γὰρ τὴν κάκωσιν τῶν σπλάγχνων σου πῶς ἂν ἄλλως διεφορήθης, ὅπου γε καὶ μετὰ τὴν ἀφαίρεσιν, εἰ μὴ συντόνῳ χρήσῃ ἀλοιφῇ, οὐκ ἂν εὐεκτήσειας ἐπὶ μακρῷ. διὸ ἐπιμελήθητι ἐν πᾶσιν, ἵνα δουλεύῃς καὶ θεῷ κἀμοὶ τῷ ἁμαρτωλῷ διακονῇς.

Ἐγὼ δὲ μᾶλλον ἔτι καὶ ἔτι ἀποκαθαίρομαι τῆς νόσου, εἴη δὲ καὶ τῆς ψυχῆς. περὶ γὰρ ταύτης πᾶς ὁ λόγος παντὶ ἀνθρώπῳ· τὸ γὰρ σῶμα οὐδέν ἐστι, καθὼς ὁ Κύριος εἶπεν. τὸ χ̄ ἐφοδίασον καὶ ἀπόστειλον πρὸς τὰ ἐν ἄστει, ἀσφαλιζόμενος αὐτὸν σοφίᾳ καὶ φρονήσει τὰ διατεταγμένα αὐτῷ ποιεῖν. μέσον δύο παθῶν ἐν μεταιχμίῳ κεῖμαι ὁ τάλας, φόβου τε τοῦ προσήκοντος καὶ ἀφοβίας διὰ τὴν ἐντολήν, ὡς πολλάκις σοι λέγω. οὐ γὰρ ἀρκεῖ μοι ἡ φρουρὰ πρὸς ἀπολογίαν, δυναμένῳ μοι λαλεῖν· εἰ γὰρ οἱ ἐχθροὶ τοῦ Κυρίου τὸν Καίσαρα ἔχοντες βοηθὸν παρρησιάζονται τὴν ἀσέβειαν, ἐκκλίνοντες τὸν λαὸν τοῦ θεοῦ, καὶ ἐμπιπρῶσι πᾶσαν ἐκκλησίαν, τί ἡμεῖς οἱ τὸν ἁπάντων

28 2 Tim. 4,22 31 1 Cor. 15,8

27 πρὸς εἰπὲ C: πρόσειπε S 29 μεθιστῶ Mai 30 ἄρα omnes: correxi ἄλλῃ Mai εὔχεσθαι C 32 προσαγορεύουσί S σε om Mai

134. inter ver ac aestatem ineuntem a. 816?

2 Bas. ep. 52,1 (PG 32,392 B = I 133 Courtonne) 16 Matth. 10,28

C (S)

5 ἄξει: ἕξει Mai 8 ἀφαίρεσιν: an ἀφαίμαξιν scribendum? 10 δουλεύσῃς S Mai διακονεῖς CS^{ac} 13 εἶπε S

βασιλέα ἔχοντες πεισόμεθα, μηδὲ κρύβδην λαλοῦντες τοῖς ὁμο-/ζήλοις; διὰ τοῦτο φησὶν ὁ Θεολόγος, σιγᾷ τῶν εὐσεβούντων τὰ στόματα, ἀντὶ μεγάλης κατηγορίας τιθεὶς αὐτό· πάλιν δὲ φεύγειν τὸν πειρασμὸν προστετάγμεθα. μέσῳ οὖν χωρητέον, καθὼς εἴρηται, καὶ μετὰ τοῦτο καὶ τὸ ἐμπεσεῖν μακάριον.

Μηδεὶς οὖν νοείτω οἷς γράφω, μηδ' αὐτὸς ὁ ἀρχιεπίσκοπος, καὶ ὡς ὁ Κύριος εὐοδοῖ. τὸν μητροπολίτην εἰ καὶ φεύγουσι τὸ ᾱ καὶ τὸ β̄, ἀλλὰ σύ, τέκνον, λεληθότως ἑνοῦ αὐτῷ φιλίᾳ, δηλῶν καὶ τὴν ἐμὴν πρὸς αὐτὸν διάθεσιν· μεγάλως γὰρ ἠγωνίσατο ὑπὲρ θεοῦ ἐν τοῖς ἐπισκόποις.

Ἔχομεν τὰς χρείας πάνυ, μὴ ἀδολέσχει. ὁ θεός σε σώσοι. πλεῖστά σε ἀσπάζονται οἱ ἀδελφοί, ἐξ ἡμῶν τὸν Κάλλιστον.

135. Τῷ αὐτῷ

Καὶ ἀκήκοα τὰ γεγονότα καὶ τεθαύμακα οὐκ εἰς τὸν ἀποστάτην Νεκτάριον τοσοῦτον, ὅσον εἰς τὸν ἀσεβῆ οἰκονόμον, ὃν ὁ Κύριος ἐθαυμάστωσεν, εἴπερ ἀληθεύει τέλειον ἡ ἀκοὴ ἐν ταῖς ἡμέραις ταύταις ταῖς πονηραῖς. ἀγὼν δέ μοι ὑπεισίει περὶ τῶν ἑπτά, ὅπως ἀποβῇ τὰ κατ' αὐτοὺς ἀποσκοποῦντι· ἡ γὰρ διαχώρισις δοκιμασίας ἔργον. στηρίξειεν αὐτοὺς ὁ Κύριος ἀτρέπτως ὑπεξελθεῖν τὰς ἐπαγομένας προσβολάς, οὐ μόνον αὐτούς, ἀλλὰ καὶ πάντας τοὺς ἠγαπηκότας τὴν ἐπιφάνειαν αὐτοῦ, ἥτις ἐστὶν ὁρωμένη καὶ προσκυνουμένη ἐναργῶς ἐν τῇ ἀνθρωπομόρφῳ αὐτοῦ εἰκόνι.

Καλῶς ἐποίησας ἀναγγείλας ἡμῖν τὸ ἀκουσθέν· μήτηρ ἡμῶν γὰρ χρηματίζει πνευματική. ἐπεὶ καὶ πᾶς ὡσαύτως πάσχων πατὴρ καὶ μήτηρ καὶ ἀδελφός. μεριμνῶμεν περὶ τοῦ χ̄ ἄρτι, ὃν ἀγάγοι Κύριος

---

27 μητροπολίτην: Petrus episcopus Nicaeae

22 ὁ Θεολόγος: immo Basilius: ep. 164,2 (PG 32,637 A = II 99,21 Courtonne); cf. Bas. ep. 92,2 (PG 32,480 D = I 201,37 Courtonne)

21 πεισώμεθα C Mai 24 μέσον S[pc] 28 λεληθότως om S 31 ἀδολέσχῃ C Mai ὁ θεός σε σώσοι om S σώσει C Mai

135. inter ver ac aestatem ineuntem a. 816 3 οἰκονόμον: Josephus

3 Ps. 4,4

C (S)

3 οἰκονόμον: οἶκον S: οἰκ̅ο̅ Mai 4 τέλεον S 5 ὑπεισῄει S 6 ἀποσκοποῦντι – 8 αὐτούς om Mai 6 διαχώρησις codd: correxi

ὑγιῶς καὶ ἀστείως. ἀπελάβομεν ἃ ἀπέστειλας. τῇ μνημονευσάσῃ ἡμῶν δὸς εὐλογίαν τὸ μαλάκιον καὶ ἔχε αὐτὸς τὰ ἐντός· οὐ γὰρ εἴχομέν τι ἄλλο ἐξ ἑτοίμου. οἱ ἐνταῦθα ἀσπάζονταί σε· προσαγόρευσον τοὺς σὺν σοὶ περὶ ἡμῶν.

136. Τῷ αὐτῷ

Μίᾳ καιροῦ ῥοπῇ πόσα γίνεται; ἤρθη ὁ Εὐπρεπιανός, ἐφ' ᾧ καὶ λυποῦμαι, ἀποσκοπῶν τὸ τέλος. προεπήρθη ὁ Μιλήτου· με/ριμνῶ κἂν τούτῳ. οἱ ἑπτὰ ποῦ καὶ πῶς εἰσιν καὶ διεγένοντο καὶ λίαν κάμνω. ἀλλὰ ἀγαθὸς ὁ θεὸς τὰ σκῶλα εὐθετῆσαι· ἐπεὶ καὶ διὰ τοὺς Ἀγρινίτας στένω, ποῖον ὁ πονηρὸς ἔκαμεν. οἶδεν δὲ ὁ Κύριος καὶ τὰς τῶν κακῶν αἰτίας ἀγαθοποιοὺς δυνάμεις ἀποφαίνειν. λύπη ἐν τούτοις, χαρὰ ἐν τοῖς ὁμολογηταῖς, εἴπερ εἰσὶν οὓς ἐδήλωσας· καὶ ἐκπληρώσειεν ὁ Κύριος τὸν δρόμον αὐτῶν. εὖγε καὶ τῷ Μηδικιώτῃ, καλῶς ἀποκριθέντι, ὃν καὶ ἄσπασαι περὶ ἐμοῦ. περὶ τῆς βουλῆς γέγραπται, πολλαὶ συμβουλίαι παρὰ τοῦ πέλας, ἑκάστῳ δὲ οὐδὲν τῆς οἰκείας βουλῆς ἁρμοδιώτερον. τοῦτο δὴ καὶ κρατήσωμεν, μὴ λαμβάνοντές τι παρὰ τῶν ὑπογραψάντων, ἂν ἄρα καὶ πέμψωσι. τελείως δὲ ἐμάθομεν ὅτι ὑπέγραψαν. τοὺς δὲ φόβους, τέκνον, χαίρειν ἔα, ἀποσκοπῶν μόνον εἰς τὸ τῷ θεῷ φίλον· ὁ γὰρ μὴ τοῦτο ζητῶν οὐδὲ τὰ ἐνταῦθα ἕξει.

Τοὺς ἀδελφοὺς ἄσπασαι· οἱ μεθ' ἡμῶν προσαγορεύουσιν.

---

16 ἐξετοίμου codd: distinxit Mai

---

136. inter ver ac aestatem ineuntem a. 816? 3 Μιλήτου: Ignatius; cf. ep. 75 4 ἑπτά: Josephus cum Studitis 5 Ἀγρινίτας: monachi monasterii Agru 9 Μηδικιώτῃ: Nicetas abbas monasterii Medicii

C (S)

2 μιᾷ S 4 κἂν C Mai τοῦτο C Mai 5 σκῶλα C Mai Ἀγρινήτας C Mai 7 ἀπὸ φαίνειν C 8 οἵπερ codd: corr Mai 10 περὶ[1]: παρὰ coni Mai 11 συμβουλεῖαι C Mai 15 τὸ om Mai

137. Τῷ αὐτῷ

Τὴν πρώτην περιοχὴν τῆς ἐπιστολῆς σου, τέκνον, μετὰ μειδιασμοῦ ἀνέγνων, ἐλθὼν δὲ εἰς τὴν ἔξωθεν συνεστάλην, ἀφιδὼν τὸ μέγεθος τοῦ κακοῦ. πλὴν εὐλογητὸς ὁ θεός, ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν. ἑτοιμασθῶμεν ὡς Χριστοῦ στρατιῶται, κἂν ἁμαρτωλοί ἐσμεν. γλυκεῖς οἱ ἧλοι τοῦ δεσπότου, εἰ καὶ λίαν ὀδυνηροί. ἐπεὶ πάντως δεῖ ἡμᾶς τὸν κοινὸν θάνατον ἀποθανεῖν, ἀποθάνωμεν τὸν προαιρετικὸν ὑπὲρ Χριστοῦ, ἵνα μὴ φεύγοντες τὸ παθεῖν δι' αὐτὸν πρὸς ὥραν τὰ ἀνθρώπινα κολασθῶμεν αἰωνίως τὰ ἀθάνατα. βλέπε δὲ ὅτι καὶ ὁ ξενοδόχος τοῦ Λουπαδίου οὕτω προείρηκεν ἀπὸ χρόνου, καθὼς καὶ δεδήλωκά σοι διὰ στόματος, καὶ λοιπὸν ἀληθές ἐστιν ὃ ἤκουσας.

Ἐπείχθητι, τέκνον μου, στηρίζειν ἑαυτὸν καὶ τοὺς ἀδελφούς. ὁ Κύριός σε διαφυλάξειεν. εὔχου περὶ ἐμοῦ τοῦ ἀσθενοῦς. /

138. Ἰωάννῃ μοναχῷ Ἀνατολικῷ

Ἐπειδὴ καὶ αὖθις ἐπέστειλας, ὦ φίλτατε παίδων καὶ ἀδελφῶν, καὶ πάλιν κἀγὼ κινῶ σοι γραφίδα ὁμοῦ μὲν προσαγορευτικήν, ὁμοῦ δὲ καὶ ὑπομνηστικήν, ὅτι καλὸν ἀεὶ καὶ θεῷ φίλον αἰτιάζειν ἑαυτὸν ἕκαστον ἐφ' ἅπασιν, ἀλλ' οὐ τὸν πέλας· ἐξ οὗ καὶ τὸ ὂν μειοῦσθαι πέφυκε καὶ τὸ μὴ ὂν οὐ προσγίνεσθαι. καὶ γοῦν περὶ τοῦδε ἅλις· δίδου γὰρ σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται, καὶ τῷ ἔμφρονι ἐκ βραχέων σπερμάτων πολλὴ ἡ τοῦ νοητοῦ σίτου συγκομιδή.

Τί δὲ τὸ ἑξῆς; εὐχαριστία μοι τῷ ἁμαρτωλῷ καὶ αἴνεσις ὑπὲρ τῆς

---

137. inter ver a. 815 ac hiemem a. 817–818 10 ξενοδόχος: Georgius? cf. ep. 102

5 2 Tim. 2,3 14 Ps. 40,3

C (S)

2 μηδιασμοῦ C 3 ἀφειδῶν C: ἀπιδὼν S: ἀπειδὼν Mai 10 καὶ om Mai 13 ἐπίχθητι C Mai

---

138. a. 815–818 3 πάλιν: prima epistula ep. 219 an perdita?

7 Prov. 9,9

C (S)

4 καὶ ὑπομνηστικήν: ὑπομιμνηστικὴν Mai 6 ὂν: ὃν C γ' οὖν C 9 τοεξῆς S εὐχαριστεία C

τοῦ ἐμοῦ ἀγαπητοῦ τέκνου Μελετίου προσλήψεως· οὐ μόνον γάρ σου εἰσακούω τῆς δεήσεως, ἀλλὰ γὰρ καὶ χάριν σοι ὁμολογῶ, ὦ ποθητέ, μεγίστην τῆς προσενέξεως ἐξ ἐμμελοῦς σου εὐθυλογίας μετηνηνεγμένην ἐξ ἀκυβερνήτου ζήλου εἰς ὅρμον εὐταξίας καὶ ἀληθείας. καὶ ὢ τῆς προνοίας, μὴ ἐώσης παντάπασι ἀποπεπλανῆσθαι τοὺς τὴν οἰκείαν σωτηρίαν τεταπεινωμένως ἐκζητοῦντας. προσείλημμαι οὖν αὐτὸν διὰ φωνῆς σου καὶ σεσωμάτωκα τοῖς οἰκείοις μέλεσι, καί γε χαίρω ἐπ' αὐτῷ μᾶλλον ἢ ἐφ' οἷς ἤμην ἐξ ἀρχῆς συνηρτημένος· ἐὰν δέ μοι καὶ ἐπιστείλῃ, ὃ δεῖ καὶ γενέσθαι, καὶ ἀντιδέξεται τὰ εἰκότα. ὃν προσαγορεῦσαι παρακαλῶ σε, προσευχόμενον ὑπὲρ σωτηρίας μου ἀνεπιλήστως.

139. Νικήτᾳ μανδάτορι

Διαγνοὺς τὴν μετὰ τῶν ἀδελφῶν μέχρι τοῦ Βυζαντίου διάσωσιν τοῦ ἠγαπημένου μου δεσπότου, ὅπως τε ἀπεσυνόψισε καὶ ἀπεσυνοψίσθη τῷ βασιλεῖ καὶ ὡς πάντα ἀκινδύνως αὐτῷ παρηκολούθησεν εὐδοκίᾳ θεοῦ, τὸν θεόν μου ἐδόξασα, τὸν ἔξω ἐνέδρων σε καὶ πείρας καϊαφαϊκῆς διατηρήσαντα μεσιτείᾳ τοῦ καλοῦ ἀνδρὸς καὶ δρομαρχοῦντος. γίνωσκε δέ, δέσποτα, ὅτι κέντρον ἀγάπης οὐ τὸ τυχὸν ἡμῖν ἐνέθηκες ἐν τῇ ταπεινῇ ψυχῇ· πολλοὺς γὰρ κατὰ πολλὰς προφάσεις παραλαβὼν ἐν οὐδενὶ οὕτω ἠγάσθην καὶ ἐτέρφθην ἄρχοντι βασιλικῷ, ὡς ἐπὶ σοί, κατά τε σύνεσίν φη/μι, φρόνησίν τε καὶ μειλιχιότητα, εὐθύτητα καὶ περιδεξιότητα καὶ εἴ τι ἄλλο τῶν εἰς ἀρετὴν φερόντων. τὴν δὲ εὐσέβειάν σου ποῦ θήσω, τὸ φιλόλογόν τε καὶ φιλομαθές, τό τε εὐσημείωτον καὶ εὐνούστατον; ἀλλὰ ποῦ παρήσω τὸ θεοταπείνωτον καὶ εὐσυγκατάβατον; κάμνοι ἂν ἡμῖν ὁ λόγος καὶ ἐπιστολῆς ἔκβοιμι μέτρον, εἰ πάντα καταριθμοίμην τὰ ἐνόντα σοι εἰς καλοκἀγαθίαν· ὡς ἔγωγε ἀδικεῖσθαι φαίην ἂν τὴν ἀλήθειαν, μὴ τῆς συγκλήτου σε τὰ πρῶτα ἔχειν, εἰ δ' οὖν, ἀλλὰ τὰ δευτεροβαθροῦντα. ὅμως

---

13 μετενηνεγμένην S 14 ὦ C παντάπασιν S Mai ἀπὸ πεπλανεῖσθαι C: ἀποπεπλανᾶσθαι Mai 17 ἐπαυτῷ C: ἐπὶ αὐτῷ Mai ἐξαρχῆς codd: distinxit Mai 18 ἐπὶ στείλῃ C

---

139. aestate a. 816 17 εἰ δ'οὖν: cf. Karlsson, Idéologie 145

C (S)

1 μανδάτωρι C Mai 3 μου: μοι Mai 6 διατηρήσαντι C Mai 8 ἐνέθηκας Mai 13 παροίσω C Mai 16 φαῖεν omnes: correxi

ἡ ἀρετή, κἂν οὐχ ὑπό τινος ὑψοῦται, φύσει καὶ πρὸς αὐτῆς ἔχει τὸ βασιλικόν τε καὶ ἄναντες.

Οὕτως ἐγὼ τὰ περὶ τῆς εὐγενείας σου φρονῶ καί, ὡς ἐμαυτὸν πείθω, ἀκλέπτως ἐξ ἀγάπης. τοίνυν ἔχου τῆς ἀρετῆς σου καὶ μή τινα φθονήσειας τῶν παραδυναστευόντων τοῖς βασιλεῦσιν· ἀλλὰ γὰρ καὶ μνημονεύειν ἡμῶν τῶν ἁμαρτωλῶν μὴ διαλείποις, ἐπικουρῶν τοῖς περὶ τὸν ἀββᾶν Ὑπάτιον ἕως ἐνδέχεται. τοῦτο παρακαλοῦμεν ὁμοῦ τε καὶ προσαγορεῦσαί σε τοὺς διαφέροντάς σοι καὶ ἐμοὶ διὰ σοῦ εὖ ποιήσαντας.

140. Λογοθετίσσῃ

Ὁ καιρὸς χαλεπὸς τοῦ διακομίζεσθαι γράμμα τῆς ταπεινώσεώς μου ἐν τοῖς αὐτόθι· ἀλλ' ὅμως ἡ κατὰ θεὸν ἀγάπη τῆς κυριότητός σου ἔπεισεν ἡμᾶς ἐπιστεῖλαι καὶ γνωρίσαι σοι ὅτι ἀνεπίληστος ἡμῖν ἐστιν ἡ θεοσέβειά σου καὶ ἡ πλουσία πεποίθησις, ἣν περὶ ἡμᾶς τοὺς ἀναξίους ἔσχες, οὐδὲν ἔχοντας ἐπαγωγὸν ἐφελκύσασθαί τινα εἰς πίστιν. ἀλλ' ὅμως οὐκ ἐζημιώθης ἐν τῇ ἀχρηστότητι ἡμῶν τὸν μισθόν σου, θεοῦ μετροῦντος καὶ δεχομένου τὸ ἔργον τῆς πεποιθήσεώς σου. διὸ καὶ εὐχόμεθα ὑγιαίνειν σε καὶ ἀτάραχον εἶναι ἐν εἰρήνῃ Κυρίου κατὰ ψυχήν. οὐκ ἔστιν δὲ ἄνευ θλίψεων εἶναι ἄνθρωπον, παιδευτήριον ἡμῖν παραχωρουμένων ὑπὸ θεοῦ, ἵνα τὸ δοκίμιον ἡμῶν τῆς πρὸς αὐτὸν ἀγάπης καὶ πίστεως ἐντεῦθεν φανερωθῇ.

Φέρε οὖν τὰ συμβαίνοντα καὶ χαῖρε ἐν τῇ ὑπομονῇ, ὅτι τὴν ἐλπίδα σοι τῆς σωτηρίας προξενεῖ. φύλαττε δέ σου καὶ τὴν ὀρθοδοξίαν, / παρακαλῶ, μὴ συναπαχθεῖσα τοῖς ἀπειθοῦσι τῇ ἀληθείᾳ διὰ τῆς ὕβρεως τῆς ἁγίας εἰκόνος Χριστοῦ ἢ τῆς Θεοτόκου ἢ οὑτινοσοῦν τῶν ἁγίων· οἶδα γάρ σου τὴν ἐν ἅπασιν ὀρθότητα. ὁ θεός σε, κυρία μου, φυλάξειεν κατὰ πάντα ὡς κειμήλιον αὐτοῦ ἅγιον.

---

18 ἔχοι C Mai 23 διαλίποις S: διαλείπῃς Mai ἐπὶ κουρῶν C 25 ἐμοί: ἐμὲ Mai

---

140. a. 815 – 818 3 ἐν τοῖς αὐτόθι: Cpolim?

14 2 Petr. 3,17

C (S)

1 Λογοθετήσῃ Mai 2 ὁ om Mai 5 ἣν C 10 ἔστι S παιδευτηρίων S 15 συναπαχθεῖσαν Mai 16 οὕτινος οὖν C

141. Κανονικαῖς

Ὅτι οὐκ ἐπιλέλησμαι τῆς κατὰ θεὸν ὑμῶν ἀγάπης λογίζομαι καὶ αὐτὰς ὑμᾶς εἰδέναι· οὐ γὰρ ἂν ἀμνημόνευτος ὑμῖν διεξέρχομαι ἐπὶ τῶν προσευχῶν, οὐχ ὅτι ἀγαθὸν ἐν ἐμοί, ἁμαρτωλῷ τυγχάνοντι, ἀλλ', ὡς εἴρηται, διὰ τὴν ἐν Κυρίῳ ἀγάπην καὶ γνωριμίαν, προσθείην δ' ἂν καὶ ὁμοσχημίαν. ἐγὼ δὲ διὰ πολλὰ ἔχω τοῦ μεμνῆσθαι ὑμῶν, ὅτι καὶ εὐσεβεῖς καὶ εὐλαβεῖς καὶ μέντοι γε καὶ συμπαθεῖς πρὸς τὴν ταπείνωσιν ἡμῶν· οὐ γάρ τοι ἀμνημονῶ τῶν εὐποιϊῶν καὶ χαρίτων ὑμῶν, τῶν ὀδυνῶν, ἵν' οὕτως εἴπω, καὶ δακρύων ἐκ τῆς περὶ τὴν ἐξορίαν καὶ διὰ τὴν ἐξορίαν διαστάσεως ἡμῶν. διὰ ταῦτά τοι καὶ μνημονεύομεν καὶ περιέπομεν καὶ ἔχομέν σε ὡς μητέρα πνευματικήν, οὐ μὴν ἀλλὰ καὶ τὴν μετὰ σὲ τὰ δεύτερα διέπουσαν, προσευχόμενοι ὑμῖν τὴν ὑγιείαν καὶ ἀπὸ θεοῦ εὐλογίαν καὶ εὐπραγίαν ἐν τῇ ἀσκητικῇ ὑμῶν διαβιώσει· ἴσμεν γὰρ ὑμᾶς τὸν θεὸν φοβεῖσθαι καὶ ἀγαπᾶν τὸν ἐρωμένον καὶ ἀντερῶντα ὑμᾶς Χριστόν. διὸ καὶ ἀγωνιῶμεν ἐφ' ὑμῖν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην τῆς χριστομάχου αἱρέσεως· φευκτέον γὰρ ταύτην, ὦ μῆτερ, ἐκ παντὸς τρόπου· ἡ γὰρ κοινωνία αὐτῆς διΐστησιν ἡμᾶς ἀπὸ Χριστοῦ.

Πέπεισμαι οὖν τὸ καθ' ὑμᾶς καὶ χαίρω ὅτι Χριστοῦ ἐστε θεραπεύτριαι καὶ ὑπηρέτριαι· δέομαι δὲ ἐνεργέστερον τὰς ὑπὲρ τῆς ταπεινώσεώς μου ποιεῖσθαι ὑμᾶς ἐντεύξεις πρὸς θεόν, ὅπως ῥυσθῶ ἀπὸ τῶν παγίδων τοῦ ἐχθροῦ κατὰ πάντα.

142. Ἡγουμένῃ

Γνώριμος ἡμῖν ἐστιν ἡ σεμνοπρέπειά σου ἀπὸ διηγήσεως Ὑπατίου τοῦ πνευματικοῦ / ἡμῶν τέκνου, οὐκ ἀπὸ τῆς κατ' ὀφθαλμοὺς θεωρίας· ἄρτι δὲ καὶ μάλα ἔγνωσται ἡμῖν ἡ θεοσέβειά σου ἐκ τῆς κατὰ θεὸν ἐνστάσεως, ἑλομένης σου ἐκπεσεῖν καὶ μονῆς καὶ προστασίας

---

141. a. 815 – 818 1 sic inscribitur etiam Bas. ep. 52 (PG 32,392 B = I 133 Courtonne); cf. Bas. ep. 173 (ibid. 648 B = II 108 Courtonne) 14 διαβιώσει: in insula Principo; cf. ep. 65,1

C (S)

6 μεμνεῖσθαι C 8 εὐποιειῶν C Mai 13 ὑγίειαν S 15 ἐρώμενον S ἀντερόντα C

---

142. a. 816?

C (S)

ἀδελφῶν, καί γε ὑποστῆναι φυλακήν, ἣν κατεκρίθης, ἢ τῆς εἰς Χριστὸν πίστεως ἐκπεσεῖν. ἔκπτωσις γάρ ἐστιν ὡς ἀληθῶς Χριστοῦ ἡ τῆς αὐτοῦ ἁγίας εἰκόνος ἄρνησις, ἣν οἱ νέοι Ἰουδαῖοι ἀπαιτοῦντες τοὺς μὴ πειθομένους φυλακίζουσι, δαίρουσι, πνίγουσι, θλίβουσι, πειράζουσιν, ἐξορίζουσι, σιδηροδεσμοῦσι, πᾶν ὁτιοῦν κακωτικὸν ἐπινοοῦντες. διὰ τοῦτο, ὦ ἀμμὰς ἀγαθή, ἀκηκοότες σου τὴν τοιαύτην καλὴν ὁμολογίαν, δίκαιον ἡγησάμεθα διὰ τοῦ παρόντος γράμματος ἐπισκέψασθαί σε, προσφωνοῦντές σοι τὰ εἰς εἰρήνην. ὁ Χριστὸς μετὰ σοῦ, ὃν ἐπόθησας καὶ ὑπὲρ οὗ πάσχεις. εὐθύμει, κραταιοῦ, ἴσχυε ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ μὴ τὰ ἐν οἷς εἶ μόνον, ἀλλὰ καὶ ὅσα μέλλει συγχωρεῖν ἐπαχθῆναι εἰς δοκιμὴν τῆς ἀνυποκρίτου σου πίστεως Χριστός. μὴ εἴποις ‚ἐξώκειλαν ἱεράρχαι, ἱερεῖς, ἡγούμενοι, κἀγὼ γυνή, τὴν φύσιν ἔχουσα ἀσθενῆ, τί πράξω; πῶς ὑποίσω;' μηδαμῶς, ὦ μῆτερ· ἕκαστος ἡμῶν εἴληφεν δύναμιν παρὰ θεῷ, ἀνήρ τε καὶ γυνή, νέος καὶ πρεσβύτης, τῆς μέχρις αἵματος ὑπερμαχήσεως τοῦ θείου νόμου καὶ τῆς ὀρθοδόξου πίστεως ἡμῶν. καὶ οὐκ ἀρκέσει εἰς ἀπολογίαν ἡμῖν ἡ τοῦ πέλας πτῶσις. πόσοι καὶ πόσαι ἐν τοῖς ἄνω ὑπὲρ Χριστοῦ μαρτυρίοις; καὶ ὀλίγοι καὶ ὀλίγαι, ἵνα μὴ κατονοματίζω, αἱ τὸν τῆς ἀθλήσεως στέφανον κομισάμεναι.

Αὐταῖς οὖν ἐοικυῖα στῆθι καὶ αὐτὴ ἀνδρείως, παρακαλῶ· ὑπὲρ Χριστοῦ γάρ, φησί, πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν. δίδου δὲ ἡμῖν καὶ αὐτὴ ἀντὶ λόγου τὰς ἱκετηρίας σου, ὅπως καὶ ἡμεῖς οἱ ταπεινοὶ κατόπιν που τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐναθλούντων καταντήσωμεν.

---

11 ἀμμάς: cf. adn. ad ep. 536,10

15 Philipp. 4,13 25 2 Cor. 5,20

9 δαίρουσι: δήρουσι Mai 11 ἀμμᾶς C Mai 16 μέλλει: μέλει S[pc] 17 εἴπῃς S 19 εἴληφε S θεῷ: θεοῦ S 23 κατ' ονοματίζω C 28 ποῦ C

143. Ὑπατίσσῃ

Χρεώστην ἐμαυτὸν λογισάμενος τῆς κατὰ θεόν σου τιμιότητος διὰ τὸ ἀπολελαυκέναι με δωρεῶν σου εὐσεβείας ἐπέστειλα τὸ πα/ρὸν γραμματεῖον, ἀπολογίαν ποιούμενος τῇ κυριότητί σου. τί γάρ; ὅτι οὕτως κατηνύγη σου ἡ εὐσυμπάθητος ψυχή, πρῶτον μὲν ἀνοῖξαι θύραν τῆς θεοφυλάκτου σου οἰκίας τῷ ἀδελφῷ Προτερίῳ εἰς πᾶσαν ἀνάπαυσιν καὶ ἐν τοιούτῳ καιρῷ, ὁπότε κλείουσιν οἱ πολλοὶ τῶν φίλων καὶ ἰδίων ἀπὸ προσώπου τῶν διὰ Χριστὸν διωκομένων φόβῳ ἀνθρωπίνῳ τὰς οἰκίας· ἔπειτα καὶ ἡμῖν τοῖς ταπεινοῖς παραπέμπειν ἅ ἐστιν εἰς ἀνάπαυσιν καὶ παρηγορίαν. πολλῆς οὖν κατανύξεώς σου καὶ ἀγαθότητος ἔργον, πολλῆς φιλευσεβείας καὶ φιλεντολίας δεῖγμα εὐεργετεῖν ἀνθρώπῳ μὴ γνωριζομένῳ, ἀλλὰ καὶ ἁμαρτωλῷ τυγχάνοντι. ἀλλὰ τοῦτο οὐκ ὀρφανικόν, ἐξ ἀγαθοῦ δὲ θησαυροῦ ἑτέρων πλείστων ἀγαθοεργιῶν καὶ πίστεως ὀρθοδόξου σου ἀνίσχον, καθὼς ἡμῖν καὶ ὁ γραμματηφόρος ἀπαγγέλλει.

Δοξάζομεν οὖν τὸν θεὸν ἐπὶ σοὶ (ἐπείπερ εἰς δόξαν θεοῦ ὁ ἐνάρετός σου τῆς χηρείας βίος), εἶτα καὶ προσευχόμεθα διαμένειν σοι τὰ ἀγαθὰ ἀναφαίρετα, ὡς ἂν εὐκλεέστερον ἀεὶ διαβιοῦσα φθάσοις εἰς μέτρον τελειότητος καὶ τύχοις τῆς βασιλείας τῶν οὐρανῶν, ἧς τὰ ἔργα ἐξανύεις. γένοιτο.

144. Σεργίῳ ὑπάτῳ καὶ ἐξαδέλφῳ

Ἃ ἐπέστειλάς μοι, γνησιώτατε καὶ ποθεινότατε, ἐπέγνων, ἀποδεξάμενός σου τὴν ἀγαθὴν προαίρεσιν, ὅτι καὶ εὐτολμεῖς γράφειν ἐν ταῖς ἡμέραις ταύταις καὶ παρηγορεῖς λόγοις ἐκ πολλῆς σου περιπονήσεως καὶ τῆς περὶ ἡμᾶς τοὺς ταπεινοὺς ἐλεημοσύνης. ἐγὼ δὲ ἀφεὶς τὰ ἐμαυτοῦ (οὐδὲ γάρ εἰσι χάριτι Χριστοῦ λυπηρά, κἂν δοκῇ, διὰ τὴν ὑπὲρ αὐτῶν ἐλπίδα) ἐπὶ τοῖς σοῖς συμβάμασι τρέπομαι ὁ

---

143. a. 815 – 818

C (S)

1 Ὑπατήσῃ Mai 4 γραμμάτιον S 5 κατενύγη S ἀνοίξαι codd: corr Mai 6 οἰκείας C 17 χηρίας C 20 ἐξανοίεις C: ἐξανύοις Mai

144. a. 815 – 818

C (S)

2 ποθηνότατε C: ποθινώτατε Mai 3 εὐτολμῆς CS^{ac}: εὐτολμᾷς Mai

ἁμαρτωλός. πῶς οὕτως ἀλλεπάλληλοί σου αἱ συμφοραί, ἔξωθεν, οἴκοθεν, ἐξ αὐτῶν τῶν τέκνων, ἀφ' ὧν ὅτι μάλιστα ἔδει καὶ τὴν οἰκουρίαν καὶ τὴν αὔξησιν τῆς οἰκίας, τήν τε χειραγωγίαν καὶ βακτηρίαν καὶ εἴ τι ἄλλο τῶν πατράσι φίλων εἶναι; φεῦ τῆς ἐμῆς ταλαιπωρίας, εἰς οἷα περιέστη σου ἡ ζωή. πίστευσόν με, ὦ καλὲ ἐξάδελφε, ἅπτεταί μου τῆς ψυχῆς τὰ κατὰ σὲ ὡς τοῦ πατρὸς ἡμῶν τοῦ μάκαρος αἰσθανομένου· ἠνιᾶτο γὰρ εἰ / καί τις ἄλλος ἐπὶ ταῖς δυσπραγίαις σου.

Μὴ οὖν ἀθυμήσῃς, μᾶλλον μὲν οὖν εὐχαρίστως οἶσον, φέρε· οἶδεν γὰρ ἡμῖν ὁ ἀγαθὸς θεὸς καὶ διὰ τῶν ἐναντίων καὶ θλιπτικῶν οἰκονομεῖν τὰ συμφέροντα, μετὰ δὲ πάντα ἔργον τὸ φυγεῖν τὴν κοινωνίαν τῆς χριστομάχου αἱρέσεως, ἧς ἡ μέθεξις μελαίνει τὴν ψυχὴν καὶ ἀπόλλυσιν. ὅσον οὖν δύνῃ, φρόντιζε σαυτοῦ, ὅτι τὰ μὲν ἄλλα, κἂν ἀφῃρήμεθα, οὐδὲν μέγα (κἂν μὴ βουλώμεθα γάρ, πάντες πάντα καταλείψοιμεν, γυμνοὶ πρὸς τὸν κριτὴν μεταχωροῦντες ὡς ἐγεννήθημεν), τὴν δὲ πίστιν ζημιούμενοι τὸ μέγιστον καὶ μόνον τῶν κινδύνων· μετὰ ταύτης γὰρ ἐξελευσόμεθα καὶ αὐτὴ ἡμῖν παρασταίη μόνη μετὰ τῶν ἔργων ἐν ἡμέρᾳ κρίσεως αἰωνίως.

Μακαρία ἡ ἡγουμένη, εἰ τελειώσειεν τὸν δρόμον αὐτῆς. καὶ αὖθις προσαγόρευσον τοὺς ἡμετέρους, οἷς καὶ εὔχομαι ἀεὶ ὡς ἁμαρτωλὸς τὴν σωτηρίαν.

145. Ναυκρατίῳ τέκνῳ

Τὸ σπουδαῖόν σου, τέκνον μου, τῆς τε πρὸς θεὸν ἀγάπης καὶ τῆς περὶ ἐμὲ τὸν ταπεινὸν ἀναπαύσεως οὐ διαλιμπάνεις ἐπιδεικνύμενος, ὡς καὶ τανῦν, ἀποστείλας τὸν ἀδελφὸν Κάλλιστον ἐν ἄστει πρὸς τὰ ἀναγκαίως ὀφειλόμενα· ὃν δεξάμενοι μετὰ τῶν γραμμάτων σοῦ τε

13 πατρός: Platon

26 Act. 20,24

8 οὗτος S ἀλλ' ἐπάλληλοί C 10 οἰκουρίαν καὶ τὴν om Mai 12 περιέστι C Mai με: μοι S[pc] 16 ἀθυμήσῃ S Mai οἶδε S 22 καταλείψομεν S 26 τελειώσειε S

145. vere a. 816

C (S)

3 διαλειμπάνεις C Mai 4 τὰ νῦν C Mai

καὶ τῶν ἐπιδωσάντων ἐμάθομεν καὶ λυπηρὰ καὶ περιχαρῆ, τὸ μὲν διὰ τὸν λιποτακτήσαντα ἄθλιον Ὀρέστην, ὃς οὐδὲ τὴν τυχοῦσαν θλῖψιν ἐνεγκὼν ὑπὲρ τοῦ ὀνόματος τοῦ θεοῦ ἀπηυτομόλησε πρὸς τοὺς ἐναντίους, ἐπίχαρμα γενόμενος καὶ δαίμοσι καὶ ἀσεβέσι, τὸ δὲ διὰ τοὺς σῳζομένους ἀδελφοὺς ἡμῶν καὶ φέροντας τὰς κακώσεις ὑπὲρ θεοῦ, καί γε διὰ τοὺς πατέρας ἡμῶν τοὺς κοινούς. εἰ δὲ ὅτι ὠλίσθησεν ὁ δεῖνα καὶ ὁ δεῖνα, μὴ θαυμάσῃς, ἀλλ' εἴ γέ τις διασωθείη τέλεον, περὶ τούτου δόξασον· πολλὰ δεῖ καμεῖν, ἵνα κτήσηταί τις τὴν ἀθανασίαν.

Διὸ θάρσει, καὶ παραθαρρύνειν ἄλλους κατὰ τὸ ἐφικτόν σοι μὴ ἐκκακήσῃς. ἐπειδὴ δὲ καὶ περὶ ἡμῶν λόγος μεταστάσεως, λυπηρόν σοι, τέκνον, οἶδα, ὥσπερ καὶ τοῖς / ἀδελφοῖς σου. ἀλλὰ χάρις Κυρίῳ, οὐδενὸς λόγον ποιοῦμαι, κἂν ἁμαρτωλός εἰμι, χάριν τῆς δόξης τοῦ Χριστοῦ, ὑπὲρ οὗ δονεῖται ἡ ταπεινὴ Γραικία μάλα. ἀλλὰ πῶς; ἵνα οἱ ἐκλεκτοὶ φανῶσι, μὴ πυρπολουμένης τῆς δοκιμασίας. ἔσω οἱ πατέρες τύπτονται καὶ λιμαγχονοῦνται· τί μέγα κἂν ἡμᾶς τοὺς ἀχρείους μεθορίσωσιν ἀλλαχοῦ; τοῦ Κυρίου ἡ γῆ ὅπου ἂν ῥιφῶ ἢ μόνος ἢ καὶ μεθ' ἑτέρων. τίνα δὲ αἱρήσομαι παραχωρούμενος συνοδίτην τῶν ἀδελφῶν οὐκ οἶδα, διὰ τὸ ἐφ' ἑνὶ ἑκάστῳ διαμερίζεσθαί μου τὴν ταπεινὴν καρδίαν. πλήν, ὡς ἀπαγγελεῖ ὁ ἀδελφός, ἔστιν ἡ βουλή. εἰ δὲ εὐοδώσειεν Κύριος πρὸ ἐπάρσεως ἰδεῖν ἡμᾶς ἀλλήλους, ἀσφαλέστερον διαθώμεθα καὶ περὶ τούτου καὶ περὶ ἑτέρων· εἰ δὲ μή, εἴη ὁ Χριστὸς μετὰ τοῦ πνεύματός σου. εὔχου περὶ ἐμοῦ τοῦ ταπεινοῦ.

146. Τῷ αὐτῷ

Ἤδη ἀπεσώθημεν, τέκνον μου ἀγαπητόν, ἕως τοῦ τόπου, οὗ εὐδόκησεν ὁ ἀγαθὸς θεὸς ἡμῶν διὰ τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον περιορι-

---

7 Ὀρέστην: cf. ep. 81,20 19 Γραικία: cf. adn. ad ep. 458,28 25 ἀδελφός: Studita Callistus

22 Ps. 23,1 28 2 Tim. 4,22

6 ἐπιδοσάντων C Mai 7 λειποτακτήσαντα omnes: correxi 16 μετὰ στάσεως C 20 ἔσω: cave legas ἕως; sunt enim patres in urbe vel in carcere intelligendi

---

146. vere a. 816 2 τόπου: Boneta

C (S)

1 βονητ in marg C

σθῆναι ἡμᾶς, διανύσαντες τὴν ὁδὸν διὰ πεντεκαίδεκα ἡμερῶν οὐ πολὺ μετὰ κόπου διά τε τὴν ἄβροχον καὶ ἄπηλον τρίβον καὶ διὰ τὸ τὸν ἀπάγοντα ἡμᾶς εὐσπλάχνως πάνυ καὶ συμπαθῶς καὶ τιμητικῶς πρὸς τὴν ταπείνωσιν ἡμῶν διατεθῆναι. παρῳκήσαμεν οὖν ἐν τῇ Βονέτῃ ἐν τῇ ἑστίᾳ τῆς πατρικίας τῆς τοῦ Τούρκου, φιλοφρονηθέντες ὑπ' αὐτῆς εὐμενῶς ἄγαν καὶ μέντοι γε καὶ ὑπὸ τῶν γειτνιαζόντων ἀρχόντων. ἔστι δὲ τὸ τῆς λίμνης ὕδωρ ἁλμῶδες, ἄιχθυ, ἀλλ' ὅμως ἡμῖν διὰ Χριστὸν καὶ τὸ ἁλμυρὸν γλυκὺ καὶ ἡ ἄιχθυς ἰχθυοφοροῦσα.

Δίδου οὖν ἡμῖν τὰς προσευχὰς ὅπως εἰς ἀρέσκειαν θεοῦ βιωτεύσωμεν ἐνθάδε, ὑπὸ τὴν κραταιὰν αὐτοῦ χεῖρα σκεπόμενοι, καὶ πρὸς πᾶν ἡμῶν ἔργον καὶ λόγον κατὰ θέλησιν αὐτοῦ κινεῖσθαι. οἱ περὶ τὸν Ἄρχιππον ἀδελφοὶ ἐναπέμειναν· οὐκ οἶδα εἰ φθάσωσιν ἐλθεῖν, δι' αὐτῶν δὲ οὐ πάντως ἐπιστέλλομεν, δεδιότες. πολλή ἐστιν ἡ ὁδὸς καὶ οὐκ οἴδαμεν εἰ ἐλευθερίως ἔχεις ἑτέρους αὖθις ἀποστεῖλαι ἀδελφούς, εἴ γε / καὶ προθυμοῦνταί τινες· πλήν, εἰ καὶ εὕρηνται, χαλεπὸν ἐπιφέρειν αὐτούς τινας χρείας, οὐκ οἶδα εἰ μὴ βιβλία ἢ εἴ τι ἄλλο ἀναγκαῖον, ὅπερ οὐκ ἔστιν ἐν τῷδε τῷ τόπῳ καὶ κατὰ μικρόν. ἔστι καὶ πλοΐμως ἐλθεῖν· ἀπὸ γὰρ Λυκίας τῆς κατὰ παραθάλασσαν μέχρι τῶν ὧδε ἑκατὸν μίλια τυγχάνει. χρῄζω καὶ ἐργόχειρον τοῦ γράφειν· στέργω δὲ πρὸς πάντα τὰ κατὰ δύναμιν ὑμῶν. ὥστε, κἂν οὔπω δέξωμαι ἀπόκρισιν παρ' ὑμῶν ἐξ ἀποκλεισμοῦ τυχὸν ἢ ἐξ ἄλλης τινὸς δυσκολίας, φέρω εὐχαριστῶν τῷ Κυρίῳ· τὸ γὰρ κατὰ πρόθεσιν ὑμῶν οἶδα ὅτι καὶ τοὺς ὀφθαλμοὺς ὑμῶν, εἰ χρεία καλεῖ, ἐξορύξαντες ἂν ἐδώκατέ μοι, πεποθημένα μου σπλάχνα.

Ἕως, τέκνον μου, ἰσχύῃς, μὴ δῷς ἑαυτῷ ἄνεσιν ἐπικουρεῖν τοῖς ἀδελφοῖς σου, στηρίζων, νουθετῶν, ἀλείφων (δεῖ γὰρ ἡμᾶς ἀγρυπνεῖν ὑπὲρ τῶν ψυχῶν αὐτῶν, ὡς λόγον ἀποδώσοντας τῷ Κυρίῳ), καὶ μάλιστα τοῖς κεκρατημένοις κιχρῶ ἑαυτόν. Χριστὸς μεθ' ἡμῶν ὁ νικήσας τὸν κόσμον, ὁ καὶ ἡμῖν παρεγγυῶν νικᾶν. διὸ μηδαμῶς ἀθυμῶμεν, κἂν σωματικῶς ὑπὸ τοῦ κόσμου χωριζώμεθα, κἂν εἰς

---

21 ἀπὸ Λυκίας: cf. J. Pargoire l. l. (ad ep. 81,29) 210

---

26 Gal. 4,15   31 Joh. 16,33

---

4 πέντε καὶ δέκα Mai   5 πολὺ: πολλοῦ Mai   8 Τύρκου Mai   10 ἀϊχθύ Mai   11 ἄϊχθὺς C: ἀΰχθὺς Mai   14 ἡμῖν S   15 φθάσουσιν S[pc]   16 ἐπὶ στέλλομεν C   δεδειότες C Mai   19 ἐπὶ φέρειν C   20 καταμικρόν codd: distinxit Mai   21 παρὰ θάλασσαν S Mai   24 τυχὼν C   28 ἰσχύεις omnes: correxi   δὸς C Mai   30 λόγον om Mai   32 ὃ Mai   33 χωριζόμεθα C Mai

ἐρήμους τόπους καὶ ἀοικήτους περιοριζώμεθα, κἂν θλιβώμεθα, κἂν ὑστερούμεθα, κἂν κατακλειώμεθα· ὅσον τὰ πάθη καταλέγονται, τοσοῦτον οἱ στέφανοι πληθύνονται. τίς ἄρα ἄξιος καὶ μελοκοπηθῆναι ὑπὲρ θεοῦ καὶ ἀποθανεῖν; συμμορφωθήσεται γὰρ περισσοτέρως τῷ Χριστῷ.

Ταῦτα ἴσθι, ἐν τούτοις σου ἡ μελέτη, ἡ εὐθυμία, ἡ χαρὰ καὶ ὁ στέφανος. τὰς ἔνδον τῆς ἐπιστολῆς σου ἐπιστολὰς ἀπόδος κατ' ὄνομα. ἄσπασαι τὸ δ, τὸ λ, τὸν Ἰγνάτιον, τὴν ποθητήν μοι συνοδίαν σου, πάντας τοὺς φυλάττοντας μυστήριον. οἱ σὺν ἐμοὶ τρεῖς πλεῖστά σε προσαγορεύουσι σὺν τοῖς τῆς συνοδίας σου. ὁ Κύριος μετὰ τοῦ πνεύματός σου, τέκνον μου ὑπεραγαπώμενον.

147. Ἡγουμένῃ

Ἐπιδὼν τὴν δύναμιν τῶν τιμίων σου γραμμάτων ὅση καὶ ἡλίκη πρὸς τὴν ἐμὴν ταπείνωσιν ἐξ ἄκρας σου ταπεινοφροσύνης καὶ κατανύξεως, ἐκεῖνό μοι ἐπῆλθεν εἰπεῖν, / εἰ καὶ τολμηρόν, ὅ φησιν ὁ Χριστός· ὦ γύναι, μεγάλη σου ἡ πίστις, γενηθήτω σοι ὡς ἐπίστευσας. καὶ γὰρ ἡ τοῦ δεχομένου πίστις ἐστὶ δοκιμαζομένη παρὰ θεῷ, καθ' ἣν καὶ δίδωσι τὰ αἰτήματα, κἂν πρὸς ἀνάξιον ἀναφέρωνται. αὐτὴν μὲν οὖν ταύτην τὴν συντετριμμένην σου προσφώνησίν τε καὶ πρόσπτωσιν δικαίως ἄν τις ἐπαινέσειέν τε καὶ δικαιώσειεν· δίκαιος γάρ, φησίν, ἑαυτοῦ κατήγορος ἐν πρωτολογίαις. καὶ αὖθις ὁ Χριστός, ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. ἐπειδὴ δὲ καὶ βίον εἵλου μοναδικόν, ἀντηλλάξασα τῶν φθειρομένων τὰ ἀΐδια, χαῖρε ἐπὶ τῇ καλῇ εὐβουλίᾳ σου, ἰχνηλατοῦσα καὶ ὀρεγομένη ἀεὶ τὰς εἰς βασιλείαν οὐρανῶν

42 τρεῖς: Studitae Lucianus Hypatius Nicolaus; cf. ep. 150,5 sq.

34 Hebr. 11,37   43 2 Tim. 4,22

34 περιοριζόμεθα C Mai   36 τοσοῦτον: τόσον Mai   37 ἀπὸ θανεῖν C   40 ἐπὶ στολὰς C

147. vere a. 816

5 Matth. 15,28   9 Prov. 18,17   10 Matth. 23,12

C (S)

2 ἐπ' ἰδὼν C   5 ἡ πίστις in marg C   6 δεχομένου: δεομένου Mai   9 ἐπαινέσειε S   δικαιώσειε S   12 ἀντιλλάξασα C Mai: ἀνταλλάξασα S[pc]: correxi; cf ep 500,3 ἐξηγορευθεῖσα

φερούσας τρίβους διὰ τῆς ἀναλήψεως τῶν θεοποιῶν ἀρετῶν, δι᾽ ὧν προσγέγονε τοῖς ἁγίοις πατράσιν ἡ εἰς θεὸν ἄνοδος. δυνατὸν δὲ πᾶσαν ἡμέραν ἡμᾶς βελτιοῦσθαι καὶ μεταστοιχειοῦν ἑαυτοὺς εἰς τὰ κρείττονα.

Ἐπὶ τούτοις οὖν μοι ὁ πρῶτος λόγος. ἡμεῖς δὲ τί σοι προσαγάγοιμεν ἐπάξιον ἀνθ᾽ ὧν ἐκ πεποιθήσεως περιπόνως λίαν ἔσχες πρὸς τὴν εὐτέλειαν ἡμῶν, ὥστε μακαρίζειν τοὺς ξενίζοντας ἡμᾶς καὶ σαυτὴν ταλανίζειν; οὔπω μέγα τῶν ὑποδεξαμένων οἷον τὸ σόν· οἱ μὲν γὰρ ἄγχου καὶ ἐξ ἑτοίμου τροφοδοτοῦσι, σὺ δὲ πόρρωθεν ὅτι μάλιστα διισταμένη τῷ τῆς συμπαθείας πτερῷ προφθάζεις τρέφουσα, πιαίνουσα, θάλπουσα, πῆ μὲν ἀπὸ Λαοδικείας ταῖς προσταγαῖς (εἴληφα γάρ), πῆ δὲ ἀπὸ Βιθυνίας ταῖς ἀποστολαῖς. οὕτως ἡμᾶς κατὰ κράτος ἐξέστησας πᾶσαν τὴν ἔκστασιν ταύτην, τῆς Σουμανίτιδος πλεονάζουσα μικροῦ δεῖν κατὰ χάριν, κἂν ἡ μὲν προφήτην, ἡ δὲ ἀνομίτην ξενίζουσα. εἰ δὲ δεῖ προσθεῖναι τῇ ἐξεικονίσει καὶ λόγον, ἕξεις ἐν γαστρὶ διανοίας μάλα τὸν τοῦ θεοῦ φόβον, καὶ ὠδινήσειας τὸν οὐράνιον ἔρωτα καὶ τέξειας πνεῦμα σωτηρίας σου πληρεστάτης.

Ὁρᾷς οἵας φωνὰς ἀναλέγομαι, μὴ ἔχων ὅπως ἀμείψωμαί σοι τὰ γέρα; τί δὲ ἡμῶν ἀποθαυμάζεις τὸν λόγον, ἠγροικισμένον ὄντα καὶ ἐρραψῳδημένον τῆς ἀγάπης τὸ πάθος; μακρὰν ἡμεῖς οἱ ἁμαρτωλοὶ οἷς παραβάλ/λεις ἢ ὁ οὐρανὸς ἀπὸ τῆς γῆς ἔργῳ καὶ λόγῳ· εἰ δὲ τὰ λογύδρια ἡμῶν ἀρεστά σοι, χρῶ αὐτοῖς, εἰς δ᾽ ἄλλους μὴ ὕψου. τὸν κύριόν μου τὸν σπαθάριον καλῶς ἐκθειάζεις (κάλλιστος γάρ ἐστιν), ὃν καὶ προσαγορεύω πλεῖστα, ἐπεὶ καὶ τοὺς αὐτοῦ κλάδους, ἐκ ῥίζης ἀγαθῆς ἀνατεθηλότας. ὁ θεὸς τῆς εἰρήνης ἔσται μετὰ σοῦ.

36 σπαθάριον: Theodorus; cf. ep. 148

26 4 Reg. 4,12 sq. 37 Rom. 11,16 38 Rom. 15,33

21 an ⟨τὸ⟩ τῶν ὑποδεξαμένων scribendum? 22 ἀγχοῦ Mai ἐξετοίμου codd 23 προφθάζοις C: προφθάνοις Mai 24 Λαοδικίας omnes: correxi 25 κατακράτος codd: distinxit Mai 26 σουμανήτιδος C: Σουναμίτιδος Mai; sed Σουμανῖτις legitur etiam in Suda s. v. (IV 399 Adler); act David 19, in: AB 18 (1899) 235,32 28 προσθῆναι C Mai 32 ἀπὸ θαυμάζεις C ἠγρυκισμένον C: ἠγρικισμένον Mai 38 ἔσται: ἴστω Mai

148. Θεοδώρῳ σπαθαρίῳ

Τὴν ἐπιστολὴν ἄρτι εἰμὶ χαράττων τῇ εὐσεβείᾳ σου, ὅτε τὴν φάσιν ἐδεξάμην παρὰ τοῦ ἐπιφοιτήσαντος βασιλικοῦ τῆς μεθορίσεως ἤγουν ἐξορίας ἡμῶν τῶν ταπεινῶν· καὶ ὅσον μὲν πρὸς τὴν ἐπίτασιν ὤκνουν τοῦ γράφειν, ὅσον δὲ πρὸς τὸν πόθον ἐκίνουν τὴν γραφίδα. καί γε νενίκηκεν ὁ πόθος τὸν τρόπον· ἔχει γὰρ ἐπὶ χεῖρας ἡ μεγαλωσύνη σου τὸ γραμματεῖον, ὁμοῦ μὲν προσηγορίαν φιλικὴν ἔχον, ὁμοῦ δὲ ἀπολογίαν εὐχαριστίας φέρον χάριν τῶν δωρεῶν, ὧν εἴληφα παρὰ τῆς φιλοθέου ὑμῶν δεξιᾶς. συλλαμβάνω γὰρ καὶ τὸ τίμιον πρόσωπον τῆς κυρίας τῆς πενθερᾶς, ἧς πολλὴν ἔγνων τὴν εἰς ἐμὲ τὸν ἁμαρτωλὸν προαίρεσιν. ἀμφοτέρους οὖν περιφυλάξειεν ὁ Κύριος ἀσινεῖς καὶ εὐθηνουμένους εἰς τὰ πρὸς Κύριον· τὰ γὰρ κατὰ βίον κεχάρισται ὑμῖν. ἥσθην δὲ μαθὼν τόν τε εὐσεβῆ ζῆλόν σου, δέσποτα, καὶ τὸ περὶ τὴν ἀλήθειαν φιλομαθές σου, καὶ μὴν καὶ τὸ περὶ τοὺς μονάζοντας φιλόξενόν σου.

Ἀλλ' εἰ καὶ οἱ καρποὶ ὡραῖοι εἰς ὅρασιν τοῦ δένδρου, ὅμως ἐκ τῆς ῥίζης ἡ αἰτία· τίς δ' ἂν εἴη αὕτη ἢ ὁ ἁγιώτατος μητροπολίτης καὶ πατὴρ ἡμῶν πνευματικός; οὗ ταῖς εὐχαῖς σωθείημεν ἀμφότεροι πανέστιοι. ἔρρωσο ἐν Κυρίῳ, τὰ πάντα μοι ποθεινότατε καὶ πανευκλεέστατε.

149. Μονάζουσι

Ἐν τῷ καιρῷ τούτῳ, ἐν ᾧ ὁ Χριστὸς διώκεται διὰ τῆς εἰκόνος αὐτοῦ, οὐ μόνον εἰ βαθμῷ τις καὶ γνώσει προέχων ἐστὶν ὀφείλει

---

148. vere a. 816 3 βασιλικοῦ: mandator Nicetas; cf. ep. 139 10 πενθερᾶς: ad quem ep. 147 scripta? 17 μητροπολίτης: ad quem ep. 100 scripta? cf. p. 228* adn. 288

C (S)

6 μεγαλοσύνη C Mai 7 γραμμάτιον S 8 εὐχαριστείας C Mai 12 εὐθυνουμένους Mai; sed cf Liban or 11,24 (I p. 445,2 Foerster) cum app cr κεχαρίσται C 13 τε om S 19 ταπάντα S

149. aestate a. 816 1 μονάζουσι: ad monachos quorum hegumeni defecerunt; cf. ep. 222,5 sq.; p. 251* adn. 375

C VMT PS

1 μονάζουσι C: μονάζουσιν VMPS Sirm: τοῦ αὐτοῦ τοῖς μονάζουσι περὶ τῆς εἰκονομαχίας T: ex cod 633 pag 28 περὶ τῆς εἰκονομαχίας manu rec V 2 ὁ om T

διαγωνίζεσθαι, λαλῶν καὶ διδάσκων τὸν τῆς ὀρθοδοξίας λόγον, ἀλλὰ γὰρ καὶ εἰ μαθητοῦ τάξιν ἐπέχων εἴη, χρεωστεῖ παρρησιάζεσθαι τὴν ἀλήθειαν καὶ ἐλευθεροστομεῖν. οὐκ ἐμὸς ὁ λόγος τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τοῦ θείου Χρυσοστόμου, ἐπεὶ καὶ ἄλλων πατέρων. τὸ δὲ τοὺς κυρίους τοὺς ἡγουμένους, κρατηθέντας ὑπὸ τοῦ βασιλέως, μὴ τὰ προειρημένα πρᾶξαι, καίπερ ὄντας καὶ ἐν βαθμῷ καὶ ἐν γνώσει παρὰ πάντας τοὺς καθηγουμένους τῆς γῆς ταύτης, τοὐναντίον δὲ μᾶλλον σιωπῆσαι, καὶ οὐ τοῦτο μόνον, καίπερ ὂν δεινόν, ἀλλὰ καὶ χειρόγραφον ποιῆσαι μήτε εἰς ἀλλήλους συνέρχεσθαι μήτε διδάσκειν, τοῦτό ἐστι προδοσία τῆς ἀληθείας καὶ ἄρνησις τῆς προστασίας καὶ κατάλυσις τῶν ὑποτακτικῶν, ἐπεὶ καὶ τῶν ὁμοταγῶν. οἱ ἀπόστολοι παραγγελθέντες ὑπὸ τῶν Ἰουδαίων μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ τάδε φησίν· ὑμεῖς κρίνατε, εἰ δίκαιόν ἐστιν ὑμῶν ἀκούειν ἢ τοῦ θεοῦ ἡμῶν. καὶ πάλιν, πειθαρχεῖν δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις.

Τοιαῦτα καὶ παρόμοια ἐχρῆν λαλῆσαι αὐτοὺς ἵνα ἐδοξάσθη ὁ θεὸς δι' αὐτῶν, ἵνα ᾠκοδόμησαν τοὺς ὀρθοδόξους, ἵνα ἐστήριξαν τὰ μοναστήρια, ἵνα ἐνεδυνάμωσαν τοὺς πάσχοντας ἐν ἐξορίαις. ἀλλὰ τί; ὅτι προτιμώμεθα μᾶλλον θεοῦ τὰ μοναστήρια καὶ τῆς ὑπὲρ τοῦ ἀγαθοῦ κακοπαθείας τὴν ἐντεῦθεν εὐπάθειαν. ποῦ ἐστι τό, ἐλάλουν ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην; ποῦ ἐστι τό, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε σὺ ἔγνως; ποῦ ἐστι τὸ κλέος καὶ ἡ ἰσχὺς τοῦ καθ' ἡμᾶς τάγματος; πῶς Σάβας καὶ Θεοδόσιος οἱ μακάριοι, τὸ τηνικαῦτα Ἀναστασίου τοῦ βασιλέως δυσσεβεῖν ἑλομένου, διέστησαν, θερμῶς προμαχοῦντες τῆς πίστεως, τοῦτο μὲν μεθ' ὧν ἀνεθεμάτισαν τοὺς κακοδόξους ἐν τῇ ἐκκλησίᾳ, τοῦτο δὲ ἐν οἷς ἐπέστειλαν τῷ βασιλεῖ, διαμαρτυρόμενοι θάνατον ἑλέσθαι ἤ τι μετακινῆσαι τῶν καθεστώτων; /

Καὶ λέγουσιν, ὥς φασιν, οἱ κύριοι ἡγούμενοι· ‚ἡμεῖς τίνες ἐσμέν;' πρῶτον χριστιανοί, οἳ ὀφείλουσιν ἄρτι λαλεῖν πάντως, ἔπειτα μο-

8 ἡγουμένους: cf. ibid.

16 Act. 4,19 17 Act. 5,29 22 Ps. 118,46 23 Ps. 39,10 25 Cyr. Scyth. vit. Sab. 56 (p. 151,17 sq. Schwartz)

7 ἐπεὶ: ἐπὶ Sirm (sed cf infra lin 14) 9 πράξαι CST Sirm καὶ[1] om T ἐν[1] om V ἐν[2] om VMPS Sirm 10 καθ' ἡγουμένους C 13 ἐστι om T 14 ὑποτακτικῶν: an ὑποτακτιτῶν scribendum? cf epp 73,23; 122, 8; 124,8 16 φασίν VMTPS Sirm 18 αὐτοῖς VMPS Sirm 20 ἵνα – 21 μοναστήρια: αὐτοὶ δὲ προύκριναν τῶν αἰωνίων τὰ πρόσκαιρα T 22 ἔστι C 23 ἐναντίων C 25 τοτηνικαῦτα S 26 διέστησαν C: διανέστησαν cett Sirm 27 ἀνεθεμάτησαν T 31 καὶ: οὐ T καὶ ante ἡμεῖς add T 32 ὀφείλουσι VMPS Sirm ἄρτι λαλεῖν πάντως CT: πάντως ἄρτι λαλεῖν cett Sirm

νάζοντες, οἱ μηδὲ τὸ τυχὸν ὑφαρπαζόμενοι ὡς ἄδετοι τῷ κόσμῳ καὶ ἀκράτητοι, ἔπειτα ἡγούμενοι, οἱ καὶ τὰ τῶν ἄλλων προσκόμματα ἐκβάλλοντες καὶ ἐν μηδενὶ προσκοπὴν διδόναι χρεωστοῦντες, ἵνα μή, φησί, μωμηθῇ ἡ διακονία. οἵαν δὲ προσκοπὴν καὶ μώμησιν, μᾶλλον δὲ συγκατάβασιν, διὰ τοῦ ἰδιοχείρου αὐτῶν δέδωκαν, τί χρὴ καὶ λέγειν; εἰ γὰρ ἡ σιωπὴ μέρος συγκαταθέσεως, τὸ καὶ ἐγγράφως αὐτὴν κυρῶσαι ἐπὶ τῆς ὅλης ἐκκλησίας πόσον τὸ χαλεπόν;

Καὶ λέγετε ὅτι ‚κρυπτῶς ἱερουργῶν Νικηφόρον ἀναφέρει'; τὸ λάθρα καὶ πάντες οἱ πατρίκιοι, ἵνα τοὺς ἄλλους ἐάσω, ὀρθοδοξοῦσιν. ἀλλὰ τί λέγει ὁ Χριστός; εἴ τις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὥσπερ καὶ τὸ ἐναντίον ἐπὶ τῆς ἀρνήσεως· κἂν μόνον τὸ μὴ συνέρχεσθαι εἰς ἀλλήλους ἐποίησαν τὸ χειρόγραφον, τὸ αὐτό ἐστιν. πῶς γὰρ φυλάξουσιν ὅ φησιν ὁ Χριστός, τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω; ἔρχεταί τις διερωτῶν, ζητῶν μαθεῖν τὴν ἀλήθειαν, εἴτε ἡγούμενος εἴτε τις ἄλλος· τί ἀποκριθήσεται ὁ ἡγούμενος; δῆλον ὅτι ‚παραγγελίαν ἔλαβον μὴ λαλεῖν'. εἴθε οὕτω μόνον· ἀλλὰ ‚μηδὲ εἰσδέξασθαί σε εἰς τὸ μοναστήριον καὶ συναλισθῆναι'. ὁ Χριστὸς λέγει, ‚δέξαι καὶ δίδαξον'· ἐὰν γὰρ ὑποστείλῃ, φησίν, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. ἐγγράφως οὖν ἐποίησαν ἵνα τῷ βασιλεῖ πειθαρχοῦσιν ἀπεναντίας τοῦ Χριστοῦ.

Τοσαῦτά εἰσιν, ὦ ἀδελφοὶ καὶ πατέρες, ἃ συνεπίσταμαι ἐξ ἀληθείας πεποιηκέναι αὐτούς. καὶ ἐπειδὴ κατεκρίνατέ με εἰπεῖν τὸ παριστάμενόν μοι, ἀνήγγειλα ὑπὸ μάρτυρι θεῷ λαβὼν καὶ λόγον ὡς φυλάσσεται μυστήριον φειδοῖ τοῦ πειρασμοῦ. λοιπὸν ὑμεῖς σῴζοντες σῴζετε τὰς ἑαυτῶν ψυχάς, εὐχόμενοι καὶ ὑπὲρ ἐμοῦ τοῦ ταπεινοῦ.

---

35 2 Cor. 6,3 38 Greg. Naz. or. 23,6 (PG 35,1157B = p. 292 M.-L.) 42 Matth. 10,32 44 Matth. 10,33 46 Joh. 6,37 51 Hab. 2,4

---

36 πρὸς κοπὴν C 38 ἡ om VMPS Sirm 40 λέγεται CT[ac] Νικηφόρος coni Sirm (sed cf Dobroklonskij II 263 adn 2) ἱερουργῶν: τὸν M 41 ὀρθοδοξῶσιν C 43 αὐτὸν κἀγὼ T 44 κἀν PS 46 ἐστι VMTPS Sirm φυλάξωσιν C 47 ἐκβάλλω C καὶ ante ζητῶν add VT Sirm 49 δηλονότι VMTPS Sirm 50 εἰσδέξασθαι: ἀποδέξασθαι T συναυλισθῆναι T 52 εὐδοκῇ C 53 πειθαρχῶσιν VMTPS Sirm 55 με: μοι T 56 ὑπὸ: ἐπὶ V ὡς: hic desin epist in VMPS φυλάσσεται – 58 ταπεινοῦ: in marg V verbis „ex cod 633 pag 29" manu rec adscriptis: om Sirm 56 φυλάσσηται V 57 σῴζετε: σώζεσθε V

150. Ναυκρατίῳ τέκνῳ

Γίνωσκε, τέκνον μου, ὅτι πάλιν κατέλαβεν ὁ ἐξορίσας ἡμᾶς ἀγαθὸς ἀνὴρ μετὰ ἀπειλῆς τοῦ βασιλέως διὰ τὰ δηλωθέντα αὐτῷ παρ' ἡμῶν, καίπερ οὐ πάντα εἰπόντος τοῦ βασιλικοῦ, πρὸς τὸ δεῖραί με ἑκατὸν μάστιγας καὶ ἐπᾶραι τοὺς δύο ἀδελφούς, Λουκιανὸν καὶ Ὑπάτιον, τά τε βιβλία / πάντα μέχρι καὶ τροπολογίου, οὐ μὴν ἀλλὰ καὶ εἰκόνα εὑρισκομένην ἐντὸς ἐγκολπίου, χρυσίου τε ἅμα καὶ ἐάσαι μοι δέκα νομίσματα. πρὸς ταῦτα ηὐχαρίστησα τῷ ἀγαθῷ μου θεῷ, εἰδότι τὸ συμφέρον καὶ οὕτω τὰ καθ' ἡμᾶς πάντως οἰκονομοῦντι· ἀπεκρίθην αὐτῷ ὅτι ἐγὼ οὐχὶ δαρῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ θεοῦ.

Τοῦτο μὲν οὖν ὡς ἠβουλήθη πεποίηκεν· εἰς δὲ τοὺς ἀδελφοὺς προαιρούμην καὶ τὸν Νικόλαον αὐτὸν συναπᾶραι, ἀλλ' οὐ κατεδέξατο· βιβλία ἦρεν, τὴν Κλίμακα καὶ τροπολόγιον. περὶ χρυσίου εἶπον αὐτῷ ὅτι, εἰ ἐπ' αὐτῷ ἤμην πεποιθώς, τί καὶ ὑπομένω ταῦτα; διαχωρισθεὶς οὖν αὐτῶν εἰμὶ μετὰ Νικολάου, φύλακα ἔχων ἀεὶ συγκαθεζόμενον ἡμῖν. εὔχου οὖν καὶ ὑπερεύχου ὑπομονητικῶς ἡμᾶς καὶ εὐχαρίστως διαζῆσαι, εὖ τε παρατεταγμένους πρὸς πάντα τὰ θλιβερὰ μέχρι θανάτου καὶ μέντοι γε καὶ ἀβλαβῶς εἶναι μετ' ἀλλήλων, ἔχοντας τὸν θεὸν ἐν μέσῳ· οὗ γάρ ἐστιν ἐκεῖνος, ἐκεῖ πάντα οἰστά.

Διὸ ἀνδρίζου καὶ αὐτός· ἥξει γὰρ πάντως καὶ πρὸς ὑμᾶς ἡ πεῖρα, δι' ἣν οἴομαι καὶ μετεξωρίσθαι ἐνταῦθα. ἀλλ' ἔχεις τὸν Κύριον βοηθοῦντά σοι, ὑπὲρ οὗ καὶ τὸ πάσχειν. μὴ πτοηθῆτε, τέκνα μου, ἀπειλάς, ὡς εἴθισται, μηδ' αὖ πληγάς, ἀφορῶντες εἰς Χριστόν, ὃς δι' ἡμᾶς ἐτραυματίσθη, ἀλλὰ μὴν μηδὲ θάνατον· ζωῆς γάρ ἐστιν αἰωνίου ἐφόδιον. ἐγώ, ἀσθενής, περιπαθής, ἀλλ' ἔχων τὰς εὐχὰς ὑμῶν σὺν τοῦ μακαρίου πατρὸς ἡμῶν καὶ τῶν πάντων ἀδελφῶν χαίρω ὅ τι ἂν καὶ πάθω ἕτερον. μόνον γρηγορεῖτε προσευχόμενοι, δυναμούμενοι τῷ πνεύματι εἰς τὸ θεαρέστως ὑπαντῆσαι πρὸς πάντα. αὐτὸ τοῦτο

---

150. aestate a. 816 3 ἀνήρ: mandator Nicetas 14 Κλίμακα: scalam Ioannis Clim. 22 ἐνταῦθα: Boneta

21 1 Cor. 16,13 23 Philipp. 1,29

C (S)

4 δῆραι C Mai 7 ἐντὸς scripsi: ἕως codd Mai 8 εὐχαρίστησα S 10 ἀπὸ θανεῖν C 13 προῃρούμην S συναπᾶραι: an συνεπᾶραι scribendum? cf supra ἐπᾶραι, ep 152,3 τὴν τῶν ἀδελφῶν ἔπαρσιν 14 ἦρε S 24 ἤθισται C

μυστικῶς προσαγορεύων προσειπὲ τὸ δ̄ καὶ τὸ λ̄, τὸν Ἰγνάτιον, εἴ τινα ἄλλον πιστόν.

Ὁ θεὸς εἴη σοι εὐχαῖς τοῦ πατρός μου ὑπερασπιστὴς καὶ περιφύλαξ περὶ πάντα. /

151. Τῷ αὐτῷ

Ὅσα ἐπέστειλας, τέκνον ἠγαπημένον, ἥσθην, ἀγαθὰ καὶ οὐκ ἀγαθά, περιχαρῆ καὶ λυπηρά, εὐέλπιστα καὶ δυσέλπιστα, γινωσκόμενα καὶ ἀγνοούμενα· ἐῶ γὰρ λέγειν τοὺς περὶ τῆς ἀθλιότητός μου ἐπαίνους, οὐ ποιοῦντος οὐδ' οὐ μὴν ποιήσαντος ἀγαθὸν ἐπὶ τῆς γῆς, κἂν σοὶ σύνηθες ἐπαίρειν τὰ κατ' ἐμὲ ἔκ τε ἀγάπης καὶ πίστεως. αἷς κεχαρακτηρισμένον ὁρῶν σου τὸ τῆς ψυχῆς πρόσωπον δοξάζω μου τὸν θεόν, τὸν βεβαιοῦντά σε ἐν τῇ πεποιθήσει τοῦ φόβου αὐτοῦ.

Τὰ ἡμέτερα μὲν οὕτως ἐν ταπεινώσει καὶ ἀθλιότητι. τί γὰρ καὶ πεπόνθαμεν; οὐδ' ὡς οἱ πατέρες μου καὶ ὁμοταγεῖς, κατόπιν δὲ πολύ, ἐπειδὴ καὶ τῆς κατ' ἀρετὴν αὐτῶν ἀξίας· ὅμως ὅτι ἐλέει θεοῦ καὶ ἱκεσίᾳ πατρικῇ, ἐπεὶ καὶ ἀδελφικῇ, εὔφορος ἡμῖν ἡ ἐξορία καὶ ἡ μόνωσις, ἄλλως τῆς ἀγαθότητος τοῦ θεοῦ ὑπαγαγόντος τὴν τῆς ταπεινώσεως ἡμῶν διάθεσιν. ἧς οὐκ ἂν ἐπέτυχον, εἰ μὴ ἐμονώθην, ἣν ἠσπασάμην βελτιώτερον μέλιτος. καὶ ὢ τῆς φιλανθρωπίας τοῦ πρὸς τὸ συμφέρον μικρὸν λυποῦντος, εἶθ' ὕστερον δεικνύοντος τὸ ἐκ τῆς θλίψεως κέρδος καὶ τὸ ἐκ τῆς πικρότητος γλυκύ. οὐ μὴ οὖν ἔτι ὁ τάλας δυσχερανῶ ἐφ' οἷς με ἄξοι Χριστός, ἡ πάντων χαρά, ἐπιφωνῶν δέ εἰμι, κτηνώδης ἐγενήθην παρὰ σοί, κἀγὼ διὰ παντὸς μετὰ σοῦ. διὸ οὐ φροντίσω περί τινος, ὥσπερ οὐδὲ περὶ τῆς σκαιωρίας τοῦ βασιλέως, εἰ καὶ σχοινίοις διέτεινε παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλα θέμενός μοι· γέγραπται γάρ, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.

---

30 πρὸς εἰπὲ C 31 τινα: τι Mai

---

151. aestate ineunte a. 816

---

19 Ps. 72,22 sq. 21 Ps. 139,6 22 Ps. 90,13

C (S)

---

15 ὦ C 18 ἄξει Mai 19 ἐπὶ φωνῶν C 20 σκεωρίας codd: corr Mai

Εἴη μοι, ὦ καλὸν τέκνον, δι' εὐχῶν ὑμῶν ἐξ ἄκρας φιλανθρωπίας θεοῦ καλυπτούσης μου ἄβυσσον ἁμαρτιῶν ἐνεργὴς ἡ προσταγὴ αὕτη πρὸς πᾶσαν μου τὴν ζωὴν κατὰ πάσης ὁρατῆς τε καὶ ἀοράτου δυνάμεως. ὅπως δὲ καθέζομαι, καθ' ἔπος καὶ ἀνήγγειλα, καὶ δι' οἰκείας φωνῆς διηγήσοιτο εὖ μάλα ὁ γραμματηφόρος, τίς τέ ἐστιν προστάτης τῆς ξενίας μου κατὰ πολλοὺς τοὺς τρόπους, οὓς καὶ λαμβάνειν ἐν ταῖς προσ/ευχαῖς παρακαλῶ. ἱνατί δὲ κεκοπίακας, φιλοπάτωρ, ἐν οἷς ἀπέστειλας, πολλοῖς καὶ ποικίλοις οὖσιν; ἀνταμείψεταί σε ὁ θεός μου τοῖς ἐντεῦθεν πνευματικοῖς καὶ τοῖς ἐκεῖθεν ἀιδίοις. κάμνεις, οἶδ' ὅτι, ἑλκόμενος καὶ ἀνθελκόμενος, πιεζόμενος καὶ περιτεινόμενος πρὸς τοὺς κατ' ὄψιν, πρὸς τοὺς ἀπόντας, πρὸς λόγον, πρὸς ἔργον, πρὸς νουθέτησιν καὶ συμβίβασιν, πρὸς ὑπερέχοντας καὶ ὑπέχοντας, πρὸς πᾶν ὁτιοῦν τῶν παρισταμένων καὶ συμπιπτόντων, καὶ ταῦτα μετὰ καὶ παρασκευῆς ἄρσεως ἢ καὶ κινδύνου. ἀλλὰ θάρσει, πολύς σου ὁ μισθός, μαρτυρίου σοι στέφανος. καὶ ὢ τῆς προνοίας, τῇ τοῦ κρατοῦντος σκαιωρίᾳ ἀποχρησαμένης εἰς πολλῶν σωτηρίαν. πλὴν γρηγόρει λίαν σὺν τοῖς λοιποῖς· οὐ γὰρ ὡς ἔτυχεν ἐκτείνεται δίκτυα πτερωτοῖς.

Ἀλλ' ὑμῖν ὁ Κύριος ὑπερπτῆναι ποιήσειεν μέχρι τέλους. ὡς ἀληθῶς ἥψατό μου τῆς ἐλεεινῆς ψυχῆς ἡ πτῶσις τοῦ Χρυσοπολίτου. ἀλλ' ὁ Κύριος εἴη βοηθὸς τῶν τε Γραμματικῶν καὶ τοῦ κυρίου Ἰωσὴφ καὶ οὗτινος ἄλλου πειραζομένου ὑπὸ τοῦ νέου Ἰαννοῦ· οἷσπερ καὶ ἐπέστειλα, εἴπερ εὐοδωθείη ἡ ἀπόδοσις αὐτῶν, πρότερον ἀναγινώσκοντός σου τὰς ἐπιστολάς. κιχρῶ σεαυτὸν καὶ τῇ τοῦ Ἁγίου Φωκᾶ κατὰ Κύριον καὶ διὰ Κύριον τὰ δυνατά, ἐπεὶ καὶ ἄλλαις φρουρουμέναις· θεοῦ γὰρ διάκονοί εἰσιν, ὁμολογίας ἔργον πληροῦσαι.

Ἡ χάρις τοῦ Κυρίου εἴη σοι φυλακτήριον ἐν πᾶσιν, ἠγαπημένε. προσαγορεύει ὁ κῦρις Ἰωάννης σὺν τῷ ἀδελφῷ Νικολάῳ.

---

43 Χρυσοπολίτου: cf. ep. 112,28; p. 252* adn. 378 44 Γραμματικῶν: ad quos ep. 91 scripta 45 Ἰαννοῦ: Ioannes Grammaticus 47 τῇ τοῦ Ἁγίου Φωκᾶ: scil. ἡγουμένῃ 51 Ἰωάννης: cf. ep. 509,44

---

37 Matth. 5,12 40 Prov. 1,17

---

27 καθέπως C: κατ' ἔπος S: μαθέ πως Mai ἀνήγγειλαι Mai 28 ἔστι S 30 ἵνα τί C Mai 32 κάμνειν Mai 36 ὅτι οὖν C 37 πολύς: πολλοῖς C 38 ὦ C 39 σκεωρίᾳ codd: corr Mai ἀπὸ χρησαμένης C 42 ποιήσειε S 44 γραμματικῶν Mai 45 οὔτινος C 51 κύριος S

152. Τῷ αὐτῷ

Τετράκις ἄρτι γράφων εἰμὶ ἐξ ὅτε ἀπεχωρίσθην σου, τέκνον μου ἠγαπημένον, δηλῶν τὰ καθ' ἡμᾶς ὁμοῦ τε καὶ τὴν τῶν ἀδελφῶν ἔπαρσιν καὶ ὡς μόνος κατελείφθην μετὰ τοῦ ἀδελφοῦ Νικολάου. διὸ οὐδὲ πολλοῦ μοι λόγου χρεία ἢ μόνον ἐπισημᾶναι, εὑρόντι τὸν γραμματηφόρον, ἀδελφόν τε ὄντα καὶ πιστόν, ὅτι ὑγιαίνομεν σώματι, ἡμέραν ἐξ ἡμέρας προσαναμένοντες τὸ σωτήριον τοῦ θεοῦ· ποῦ γὰρ ἀλλῇ περιβλεψώμεθα ἢ ἀποσκοπήσωμεν ἢ τίνα καὶ ἀναπνεύσωμεν / εἰς ἑτοίμην βοήθειαν καὶ παράκλησιν θλίψεως; ὅθεν οὐδὲ γέγονεν ἡμῖν δυσχερὲς τὸ τοὺς ἀδελφοὺς ἀρθῆναι, τοὐναντίον παρ' ἐλπίδα ἀναπαυστικόν, σφιγχθεῖσιν εἰς θεὸν καὶ μόνον, καθάπερ σωλῆνος θλιβομένου ἀναπέμποντος τὸ ὕδωρ ὑψοῦ. διὸ αἱρούμεθα καὶ τοῦ ἀδελφοῦ Νικολάου διαιρεθῆναι, ὅμως στέργομεν ἐν τοῖς φθάσασιν οὐκέτι ἡμέτερον θέλημα, ἀλλὰ θεοῦ οἰκονομίαν, τοῦ συμφερόντως πάντως οἰκονομήσαντος τὸ ταπεινὸν ἡμῶν καθισμάτιον.

Ἔχω τοίνυν ἀεὶ συνόντα μοι ἐκ διαδοχῆς ἑβδοματιαίου καὶ ἕνα τῶν πορταρίων· σὺν αὐτῷ ἐσθίομεν, ψάλλομεν, κοιμώμεθα. οὕτω διαμείβομεν τὴν ἡμέραν, ὡς ἂν οἶδεν ὁ ἐφορῶν θεός, ἐργαζόμενοι, ἀναγινώσκοντες, ἡσυχάζοντες, ἐν καιρῷ καὶ τὰ συμπίπτοντα ὁμιλοῦντες πρός τε ἡμᾶς αὐτοὺς καὶ πρὸς τοὺς ἐπισκεπτομένους ἄνδρας ἀγαθούς, οὐ μὴν ἀλλὰ καὶ μονάζοντας· ἐκίνησεν γὰρ ὁ θεὸς οὐ μόνον ἐκ τῶν ἐγχωρίων, ἀλλὰ καὶ ἐκ τῆς ὑπερορίου καὶ ἔτι πορρωτέρω, παρακαλοῦντας ἡμᾶς καὶ σωματικῶς καὶ ψυχικῶς αὐτάρκως καὶ εἰς τοσοῦτόν τινας ὁμοψυχοῦντας, ὡς καὶ δεξιὰς δοῦναι μέχρι θανάτου ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγωνίσμασι. κἂν γὰρ ἡμεῖς ἀνάξιοι καὶ τοῦ ἀναπνεῖν, ἀλλ' ὁ ἀγαθὸς Κύριος ἐν παντὶ τοὺς δι' αὐτὸν ὑπεροριζομένους προφθάζει, φυλάττει, προνοεῖται, φροντίζει ὑπὲρ ὃ ἐλπίζει τις· οὕτως τὸν Ἠλίαν ὑπὸ κόρακος πεινῶντα ἔθρεψεν, οὕτως τὸν Δανιὴλ διὰ τοῦ Ἀμβακοὺμ ἀεροπορήσας καὶ ὅντινα ἄλλον τῶν θεραπόντων αὐτοῦ.

---

152. aestate a. 816 17 πορταρίων: cf. adn. ad ep. 376,35

7 2 Petr. 2,8 28 3 Reg. 17,4 29 Bel 33 sq.

C (S)

2 ἐξότε codd: ἐξ ὅτου Mai 7 πρὸς ἀναμένοντες C 8 ἀλλὴ C: ἀλλῇ S: ἀλλ' ἢ Mai (sed cf ep 31,21) 14 οὐκ ἔτι C 21 ἐκίνησε S 24 δεξιᾶς C Mai 28 Ἡλίαν C Mai 29 ἀββακοὺμ S (sed cf K. Dieterich, Untersuchungen zur Geschichte der griechischen Sprache. Leipzig 1898, p. 93)

Μὴ δὴ οὖν, ὦ τέκνα, λυπεῖσθε ἐφ' ἡμῖν τοῖς ταπεινοῖς ὡς ἐγκαταλειφθεῖσιν. ὅταν καὶ τοῦ δυστήνου τοῦδε σώματος διαιρεθῶ ὑπὸ τῶν χριστοδιωκτῶν (καὶ τοῦτο γάρ, κἂν ἀνάξιός εἰμι, παρασκευάζομαι παθεῖν), τότε σωθήσομαι, τότε προσληφθήσομαι εἰς ζωήν, τότε τὸν ἐμὸν διώκτην, καὶ τὸν ἔσωθεν καὶ τὸν ἔξωθεν, νικήσω εἰς αἰῶνα. διό, τέκνον μου, θερμῶς μοι προσεύχου μετὰ τῶν ἀδελφῶν σου πάντα πάντοτε ὑπὸ ἐφόρῳ θεῷ καὶ διανοεῖσθαι καὶ διαλέγεσθαι καὶ ἐργάζεσθαι· ὅπερ κἀγὼ ὑπέρ τε σοῦ, τοῦ ποθητοῦ μου καὶ ὁμοκαρδίου παρὰ τοὺς ἄλλους σου ἀδελφούς, καὶ αὐτῶν παρακαλεῖν μετὰ δακρύων νύκτωρ καὶ μεθ' ἡμέραν / οὐ διαλιμπάνω, ὡς ἂν οἱ πάντες εὐαρέστως Κυρίῳ, ἀνδρικῶς τε καὶ μαρτυρικῶς διενέγκοιμεν καὶ τόνδε τὸν καλὸν ἀγῶνα, μὴ καταισχύνοντες τοῖς ἤδη παρισταμένοις τὰ προϋπηργμένα.

Διὰ τοῦτο μόχθει καὶ αὐτὸς ὑπὲρ ἐμοῦ ἐν τοῖς ἀδελφοῖς, τοὺς μὲν ἕλκων διὰ ζώσης φωνῆς καὶ στηρίζων, τοὺς δὲ καὶ ἀπὸ μέλανος ἀνακαλούμενος, καὶ ἁπαξαπλῶς ὅλον ἐπιδίδου σεαυτὸν εἰς ὅ τι ἂν ἡ χρεία καλοίη. περὶ τῆς οἱασοῦν σωματικῆς χρείας μὴ καταπονοῦ (ἔχομεν τὴν αὐτάρκειαν θεοῦ προνοίᾳ), ἀλλὰ μηδὲ τὰς βίβλους πέμψῃς, οὐκ οἶδα ἐὰν τὸ λεξικὸν καὶ τὸ τετράδιον, ἐν ᾧ διὰ σημείων λόγον ἐποίησα, ὅπερ καὶ ὑπέδειξεν ὁ Ὑπάτιος τῷ Καλλίστῳ πρὸς τὸ μεταγράψαι αὐτόν. καὶ πάλιν ὡς οἰκονομεῖ ὁ Κύριος δηλοῦμεν· διὰ γὰρ φίλων ἠδυνήθημεν καὶ ὧδε ἔχειν τινὰ πρὸς ἀνάγνωσιν. εὖ σε ποιήσαι ὁ θεός, ὅτι ἔπεμψας εἰς τὸ ᾱ· ἀλλὰ καὶ πάλιν ἐπέστειλα, καὶ ὅτε εὑρεθῇ τις ἀποστελεῖς. μεριμνῶ δὲ περὶ τῶν δύο ἀδελφῶν, πῶς τὰ κατ' αὐτούς, διὸ εὑρίσκων σήμανόν μοι, ὡσαύτως περὶ τῶν ἐννέα καὶ δέκα.

Ὁ θεός σε, τέκνον, ὑπὸ τὴν κραταιὰν αὐτοῦ χεῖρα σκεπάσειεν. προσαγόρευσον τοὺς φυλάσσοντας λόγον, ἐξαιρέτως τὸ δ̄, τὸ λ̄, τὸ ῑ.

50 λόγον: cf. adn. ad ep. 153,29 53 ᾱ: cave subaudias Platonem secundum ep. 41,7; cf. adn. ad ep. 120,9 54 ἀδελφῶν: Γραμματικοί? cf. ep. 151,44 56 ἐννέα: cf. adn. ad ep. 172,6 δέκα: cf. adn. ad ep. 106,37 58 δ̄ – ῑ: cf. adn. ad ep. 120,9

58 Luc. 11,28

31 λυπεῖσθαι C 33 τῶν om C 39 αὐτὸν omnes: correxi 40 διαλειμπάνω C Mai ὡσὰν C 41 καὶ[1] om Mai 45 τοὺς: τοῖς C Mai 46 ἡ: ἢ Mai 48 αὐτάρκιαν C Mai πέμψεις C Mai 50 ὅπερ: an ὅνπερ scribendum? 53 ποιῆσαι Mai ᾱ: ō Mai 54 εὑρεθεῖ C 55 ὡς αὔτως C 57 σκεπάσειε S

153. Τῷ αὐτῷ

Ἐτάχυνας, τέκνον, τοῦ ἐπισκέψασθαι ἡμῶν τὴν ταπείνωσιν, ἀλλ' ὁ πόθος πρᾶγμα ἄστεκτον, τὰς ἡμέρας ὡς ὥρας καὶ τοὺς ἐνιαυτοὺς ὡς καιροὺς λογιζόμενος. εὐχαριστῶ οὖν τῷ θεῷ μου, ὅτι ἀνάξιος ὢν οὕτως ὑφ' ὑμῶν στέργομαι καὶ περιέπομαι. πέπομφας τὸν καλὸν Ἀδριανὸν εἰς ἀνδρείαν καὶ παρηγορίαν μου (οὐκ ἀκόπως δῆλον ὅτι διὰ τὴν σύζευξιν καὶ ἀποσύζευξιν τῶν μετ' αὐτοῦ· εὐχαριστῶ κἀν τούτῳ), ὅνπερ καὶ ἐκράτησα, ἔξωθέν που περιάγοντα. τοὺς δὲ περὶ τὸν ἀδελφὸν Σιλουανὸν ἀνέπεμψα πάλιν, παρακληθεὶς ἐν αὐτοῖς. ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά· τοιοῦτοι οἱ ἄνδρες, ἵν' ἐν συντόμῳ τὸ κατ' αὐτοὺς παραστήσω.

Ἡμῖν δὲ τοῖς ταπεινοῖς ὑγιεία πάρεστι σώματος, εἴη δὲ καὶ ψυχῆς διὰ τῶν ὑμετέρων προσευχῶν. / ὅσα καὶ διὰ γράμματος καὶ στόματος ἀπηγγέλη μοι, ἔγνων· καὶ δέομαι ὡς ἁμαρτωλὸς ἔτι βεβαιωθῆναι ἐν τῇ ἀμετακινήτῳ πίστει ἡμῶν τῆς ἀληθείας πάντας τοὺς πατέρας ἡμῶν καὶ ἀδελφούς, τοὺς τοῦ ἡμετέρου σώματος καὶ τοὺς τοῦ κοινοῦ πληρώματος. μακαριστὸς ὁ πλεονάζων ἐν τοῖς ὑπὲρ Χριστοῦ παθήμασι καὶ τέλος ἀγῶνος ἀποδιδούς. ἰδοὺ νῦν καιρὸς μαρτυρίου, τῷ νικῶντι παρὰ θεοῦ ὁ στέφανος. ἥσθη τοίνυν καὶ ἀγωνίζου, ὦ καλὲ Ναυκράτιε, νοὸς κράτος φερωνύμως γενόμενος, πάντοτε νήφων, πάντα κατὰ θείαν βουλὴν διαπραττόμενος· μηδεμίαν γάρ φησιν ἐν μηδενὶ προσκοπὴν διδόντες, ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι.

Τέως ἄρτι μηδεὶς διέλθῃ εἰς ἡμᾶς διὰ τὴν ἐξέλευσιν τοῦ ἔθνους ἢ ὅταν ὑποστραφῇ. ὁπόσα ἀπεκλαυσάμην διὰ τὸ πάθος τῶν δύο ἀδελφῶν, δηλοῖ καὶ ἡ πρὸς τὸν ἀββᾶν Ἀθανάσιον ἐπιστολή. μετ' εὐχαριστίας ἀπίτω ὁ χρηστὸς Σιλουανὸς τὴν ἐν Κυρίῳ πορείαν

153. aestate a. 816 2 ἐπισκέψασθαι: per litteras 27 ἀδελφῶν: Studitarum Gaiani et Zosimae ἐπιστολή: ep. 114

9 Rom. 10,15 22 2 Cor. 6,3 sq.

C (S)

3 τοὺς om Mai 6 ἀνδρίαν S δηλονότι S Mai 7 κἂν C 13 ὑγίεια S 14 διὰ ante στόματος add S 15 ἀπηγγέλλει C: ἀπήγγελλες Mai 19 ἀπὸ διδούς C 20 ἥσθη C[pc]: ἴσθι S: ἥσθαι Mai (an ἥσθητι scribendum?) ὦ om Mai 26 ὅτ' ἂν C 27 ἀββᾶν S[sscr] 28 εὐχαριστείας C Mai ἀπείτω C Mai

αὐτοῦ, ἐφοδιασθεὶς καὶ παρ' ὑμῶν γράμμασι. τὸν λόγον, ὃν ἔπεμψα, μεταγραφείτω καὶ ἐν ἑτέροις, ἵνα διασῴζηται· ἐτόλμησα αὐτὸν ποιῆσαι ἐκ πόθου, εἰ ἄρα μὴ πολύ ἐστιν ἀπόπτυστος τοῖς ἀναγινώσκουσιν καὶ τῇ μητρὶ τοῦ Κυρίου εἰς ὕβριν.

Ἀλλ' ἱλεώσασθαι αὐτὴν παρακληθείητε ὑπὲρ ἐμοῦ. ἄσπασαι τὸ δ̄, τὸ θ̄, ἄσπασαι τοὺς συγκελλίτας, ἄσπασαι τοὺς μυστηριοφύλακας· ἀσπάζονταί σε οἱ σὺν ἐμοί. ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματός σου, ἀμήν.

154. Λιτοΐῳ τέκνῳ

Διὰ τῶν ἀμφοτέρων σου ἐπιστολῶν, τέκνον ἠγαπημένον, ἔγνων καὶ νῦν τὴν ὁλικήν σου μετάνοιαν καὶ ἐπιστροφήν, μάλιστα ὅτι ἐξέφυγες τῶν ἐν ἄστει τὰς διατριβάς, προσφυεὶς τῷ οἰκονόμῳ. τοῦτό με πέπεικεν ἐξ ὁλοκλήρου σε φιλεῖν, μᾶλλον δὲ θεόν, δι' ὃν στέργω καὶ στέργομαι, ἐν ᾧ καὶ γεγέννηκά σε, υἱέ μου ἀγαπητὲ Λιτόιε. μὴ δὴ οὖν ἐν τοῖς προλαβοῦσι καταπέσῃς ἐφ' / ὅσοις καὶ ὑπεσκελίσθης συμβάμασιν ἐξ ἁμαρτιῶν μου. μὴ γὰρ οὐκ ἔστιν ῥητίνη, φησίν, ἐν Γαλαάδ; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; ἐπιστράφητε πρός με, βοᾷ ὁ θεός. ἀναπαλαίσας στρατιώτης καὶ πάλιν στρατιώτης, ὡσαύτως καὶ κυβερνήτης· οὐ γὰρ εἰ καὶ τὴν πρὸς θάνατον ἁμαρτίαν ἡμάρτομεν, οὐκέτι ἔστι ζῆν. ζῶμεν πάλιν διὰ μετανοίας· ἀψευδὴς γὰρ ὁ εἰπών, ζῶ ἐγώ, λέγει Κύριος, οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ὥστε ἔστι μετὰ θάνατον ἁμαρτίας ζῆσαι, οὐκέτι δὲ μετὰ τὴν ἐνθένδε ἀποβίωσιν· συνέκλεισεν γὰρ κατ' αὐτοῦ, φησίν.

29 λόγον: or. 5 an 19? cf. pp. 27*, 28*   33 δ̄ – θ̄: cf. adn. ad ep. 120,9

35 Gal. 6,18

31 ἄρα codd: corr Mai   ἀναγινώσκουσι S

154. hieme a. 815 – 816?   4 οἰκονόμῳ: Naucratius

8 Jer. 8,22   9 Joel 2,12   13 Ez. 33,11   15 Ps. 34,3

C (S)

1 λιτωΐῳ C: ληтοΐῳ S: Λητωΐῳ Mai   2 ἐπὶ στολῶν C   3 ἐπὶ στροφὴν C   4 προσφυεῖς C Mai   5 ἐξολοκλήρου codd: distinxi   6 λιτώϊε codd: Λητώϊε Mai: correxi   7 καταπέσοις C Mai   8 ἔστι S   10 ὡς αὔτως C   12 οὐκ ἔτι codd Mai   15 συνέκλεισε S

Δεῦρο λοιπόν, ἀδελφέ, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ἐγγὺς Κύριος τοῖς ἐπικαλουμένοις αὐτόν. στέρξον, τέκνον μου, ἐν τῷ οἰκονόμῳ, ἐὰν ἐμοὶ πείθῃ· οἱ γὰρ ἀνατρέποντές σε πάλαι τὴν ἔξοδον ἐχθροὶ καὶ οὐ φίλοι, οὔτε σοῦ οὔτε θεοῦ. κοπίασον μικρόν, δέομαι, ἐπιλαβοῦ ἀρχῆς, ἕξεως φροντιστικῆς τῆς σωτηρίας, ὅτι ᾗ ὥρᾳ οὐ προσδοκῶμεν ὁ Κύριος ἔρχεται· μνήσθητι, τέκνον, τῆς ἀποταγῆς σου, τῆς ὑποταγῆς, τῆς κοπῆς τοῦ θελήματός σου, τῶν λοιπῶν κόπων καὶ ἀγώνων σου. ἐγὼ ἐγγυητής σου τῆς σωτηρίας, ὁ ἁμαρτωλός· ἐγὼ ἔτεκον, ἐγὼ ἰατρεύσω. μόνον αὐτὸς στῆθι, μόνον ἀνάνηξον τοῦ βάρους τῆς ἀθυμίας, μόνον ἔπεχε σεαυτῷ, μόνον μὴ μονωθῇς ἔτι, κἂν συμβῇ μὴ συμποιεῖν μηδ' αὖ πως συνεῖναί σε τῷ οἰκονόμῳ.

Ταῦτα τὸ νῦν, ἐπεὶ καί, ἡνίκα τύχῃ γραμματηφόρος, οὐ κατοκνήσω γράφοντί σοι ἀντιγράφειν. αὐτὸς ὁ Κύριος τῆς σωτηρίας ἡμῶν ἐφαψάμενός σου τῆς καρδίας ἐμποιήσειεν φῶς ἐν τῇ ψυχῇ σου, παράκλησιν, διέγερσιν, ἐργασίαν καθ' ὅσον οἷόν τε καὶ σώσειεν εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον. τέκνον μου, προσεύχου μοι, ἵνα σωθῶ κἀγώ. οἱ ἀδελφοί σου προσαγορεύουσίν σε.

155. Τῷ αὐτῷ

Οἷα χαίρω ὁ ταπεινὸς δεχόμενός σου λόγον, τέκνον, καὶ ἔχων ἐν καρδίᾳ ὃν πά/λαι ἀπώλεσα. ἀλλὰ χάρις τῷ συνάψαντι θεῷ· εἴθε καὶ τὸ πρόσωπον εἶδον, ὤφελον καὶ ζώσης σου φωνῆς ἐπαϊέναι. οὕτω σε ποθῶ καὶ χαίρω ἀνακληθέντα. μὴ δὴ οὖν ῥαθυμήσειας, υἱέ μου, εὐθυμῶν δὲ πορεύου τὴν ἐν Κυρίῳ πορείαν τῆς ψυχῆς, τὰ ὑποβληθέντα παρὰ τοῦ ἐμποδιστοῦ τῆς σωτηρίας σκῶλα καὶ ἐμπτώματα πόρρω βάλλων καὶ ὁδοποιῶν ἑαυτῷ τὴν πρὸς θεὸν εἴσοδον· ἤνοικται γάρ σοι ἤδη, τῶν κλείθρων τῆς ἁμαρτίας ἀρθέντων. ἄλειψαί σου τοὺς νοητοὺς πόδας καὶ κατὰ μικρὸν κινούμενος πέποιθα ὅτι καὶ

---

17 Ps. 94,2 18 Ps. 144,18

---

27 συμποιεῖν: an συμπιεῖν scribendum? cf ep 168,16 29 τονῦν S τύχει codd: τύχοι Mai: correxi κατ' οκνήσω C 31 ἐμποιήσειε S 32 καθόσον codd: distinxit Mai 34 προσαγορεύουσί S

---

155. hieme a. 815 – 816?

C (S)

---

4 οὕτως S 9 σοι: τοι Mai 10 καταμικρὸν codd: distinxit Mai

ὀξυποδίσεις καὶ φθάσεις εἰσελθεῖν εἰς τὰ ποθούμενα. ἤδη πρόκειται καὶ ὁ ἀγών· τί οὖν παράδοξον καὶ εἰς κατάλογόν σε μαρτύρων φθάσαι; ναί, τέκνον μου Λιτόιε, στῆθι, σώθητι, εὐδόξησον. εὖ δὲ πάνυ ὅτι ἀπορίᾳ μετὰ τοῦ οἰκονόμου σε εἶναι ᾠκονομήθη· συνεζεύχθης τῷ Προτερίῳ ἀδελφῷ, τῆς ταπεινώσεως ἔργον, ταπείνωσις δὲ τὸ καθαιρετικὸν φάρμακον τοῦ ἀντικειμένου.

Εἰρήνη σοι καὶ ἰσχὺς ἐκ θεοῦ. προσεύχου περὶ ἐμοῦ. οἱ σὺν ἐμοὶ ἀσπάζονταί σε.

156. Εἰρήνῃ πατρικίᾳ

Καὶ γράφοντες καὶ μὴ γράφοντες ἔργον ἔχομεν ἀνεπιλήστως μνημονεύειν σου τῆς τιμιότητος οὐ μόνον κατὰ τὸν τῆς εὐεργεσίας λόγον, ὃν ἐνεδείξω ἔκπαλαι πρὸς τὴν ταπείνωσιν ἡμῶν, ἀλλὰ γὰρ καὶ κατὰ τὸν τῆς ὁμολογίας Χριστοῦ τρόπον, συντάσσοντές σε τοῖς ὧδε κἀκεῖσε διὰ Χριστὸν περιωρισμένοις καὶ ἐναθλοῦσι· μὴ γὰρ καὶ αὐτὴ οὐ δεδιωγμένη, οὐκ ἄποικος, οὐκ ἄπολις, οὐ περιωρισμένη, οὐκ ἐμπαράσκευος ἀεὶ πρὸς κινδύνους; ναὶ ἀληθῶς καὶ διὰ τοῦτο μακαρία, ὅτι σοί ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. τίς οὐκ οἶδεν τῶν ὁμολογητῶν ὅτι συνωμολόγησας; ποῦ οὐκ ἠκούτισται ὅτι καὶ συγκλητικὴ ἐν μάρτυσιν; ἐθαύμασάν σε μοναστῶν τάγματα, ᾔνεσάν σε λαϊκῶν συνεδρεύματα· τί δὲ ταῦτα; αὐτὰ τὰ τῶν ἀγγέλων καὶ ἁγίων τάγματα εὐφράνθησαν ἐπὶ σοί. καὶ μὴ δοκήσῃς κολακείαν εἶναι τὸν λόγον. βλέπε οὖν, ὦ μάρτυς Χριστοῦ, οἷον τετίμησαι, οἷον ὕψωσαι· σύγκρινόν / μοι πηλὸν καὶ χρυσόν, τοσοῦτον καὶ πολλῷ πλέον οὗ κατέλιπες ἐπιγείου ἀξιώματος τὸ νῦν δωρηθέν σοι ὑπὸ θεοῦ ἀξίωμα ἐπουράνιον, μάρτυρα καλεῖσθαι Χριστοῦ, ὁμολογητὴν ἀληθείας.

Διὸ ὑπομνήσκω μὴ τραπῆναι τὸ καθόλου τῆς ἐνστάσεως, ἐπὶ τὴν ἀσάλευτον πέτραν τῆς ὀρθοδοξίας ἐρηρεισμένην σε, μηδὲ εὐπτόητον καὶ ἀμφοτερίζουσαν γενέσθαι ταῖς τινων καταπτώσεσιν εἴτε λαϊκῶν

---

11 ὀξυποδίσοις C Mai (an ὀξυποδήσεις scribendum?) φθάσοις CS^{ac} Mai 12 ὁ om Mai 13 μου om Mai λιτώϊε C: λητόιε S^{pc}: Λητώϊε Mai

---

156. a. 815 – 818

8 Matth. 5,10

C (S)

8 ἐνπαράσκευος C Mai διατοῦτο S 9 οἶδε S 16 κατέλειπες C Mai 18 ὑπομιμνήσκω S^{pc} 20 καὶ om Mai λαϊκῶν εἴτε om Mai

εἴτε μοναστῶν καὶ δοκούντων εἶναί τι εἴτε ἁπλῶς οὑτινοσοῦν· οἱ γὰρ τοιοῦτοι ψευδάδελφοι, ψευδαπόστολοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. πολλοὶ δοκησίσοφοι καὶ ἀρχιεροφανεῖς καὶ ἁγιόδοκοι ἐν τοῖς πάλαι ἑαλώκεσαν· ἔλαμψαν δὲ ὡς φωστῆρες ἐν κόσμῳ ὀλίγοι καὶ ἀληθινοὶ σοφοί, οἵτινές εἰσι φόβῳ θεοῦ διαζῶντες, ἐπείπερ ἀρχὴ σοφίας φοβεῖσθαι τὸν Κύριον, καὶ μὴ οἰηθέντες εἶναι πολλοῦ ἄξιοι· ἐπειδὴ ἄνθρωπος εἰς πρόσωπον, θεὸς δὲ εἰς καρδίαν ὁρᾷ.

Παρακαλῶ ἔτι, στόμωσον ἑαυτὴν τῷ ἄνθρακι τῆς θείας ἀγάπης, κόπτουσα πᾶσαν προσπάθειαν· οὕτω γὰρ συγκόψεις τὰς προσβολὰς τὰς μελλούσας. μὴ γὰρ πάντως οἴου ἀβασάνιστος διαμένειν εἴτε λόγῳ ἢ καὶ ἔργῳ· φθονεῖ σε γὰρ ὁ διάβολος, λαβὼν καιρίαν πληγὴν ἐπὶ σοί. „ὅτι καὶ γυνή μου κατεξανίσταται“, φησί, „καὶ ταύτη ὑπὸ ζυγόν, καί γε ἐν περιφανείᾳ“, τοιαῦτά πως λέγων· „οὐ φέρω, κινῶ κατ᾽ αὐτῆς ἔτι μου πολλὰς μηχανάς, τὸν ἄνδρα, τὸ τέκνον, τὸ αἷμα ὅλον, τὰς ὁμοσυγκλήτους, τὰς γνωρίμους, τοὺς παῖδας, τὰς παιδίσκας, τὴν περιουσίαν, πρὸς τούτοις ἐλεεινὰ δάκρυα, παρακλήσεις, ὑποσχέσεις· εἰ δέ γε ἐντεῦθεν ἀποτύχω, μετέρχομαι ἐπὶ τὸ ἕτερον εἶδος, προσάγω βασιλικὰς ἀπειλάς, φθόνους τῶν ὁμοαξίων, ‚οὐά‘, λεγόντων, ‚ἐκείνη μόνη ὑπερέξει πάντων; ὅστις καὶ ποία;‘, ὕβρεις ἔτι, χλευασμούς, μυκτηρισμούς, καταγέλωτας, ἐνίοτε καὶ ἐμπτυσμούς, μὴ καὶ ῥαπίσματα, μὴ καὶ κολαφίσματα, μὴ καὶ θάνατον“.

Ὅρα, ἀδελφὴ ἐν Κυρίῳ, μὴ ἐνδώσῃς. ταῦτα Χριστοῦ στίγματα, ταῦτα στέφανοι οὐράνιοι, νέαν σε μάρτυρα ποιοῦντα· μὴ γὰρ κἀκεῖναι οὐχ ὁμοιόσαρκοι, εὐγενίδες, πολύολβοι, / ἐξ ἀνδρὸς τμηθεῖσαι μαχαίρᾳ τοῦ πνεύματος; οὕτως σε ὁ λόγος παρασκευάσθαι ὑποτίθεται, ἀδελφομήτηρ, μή σε δελεάσῃ ἔν τινι ὁ πειραστὴς διάβολος, ἵνα πολλοὺς τῷ οἰκείῳ ὑποδείγματι στερεώσῃς καὶ σώσῃς, ὅπως χορεύσῃς ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ αἰώνια.

Προσεύχου περὶ ἐμοῦ· ἀσπάζομαι ἐν Κυρίῳ τὴν ὅρπηκά σου καὶ σύναθλον.

---

47 ἀδελφομήτηρ: cf. Dobroklonskij I 289 adn. 4 50 ὅρπηκα: filiam

21 2 Cor. 11,13 24 Philipp. 2,15 26 Ps. 110,10 43 Gal. 6,17

21 οὗτινος οὖν C 30 συγκόψοις C Mai 33 μου post ὅτι transp S ταύτη C Mai: αὕτη S 39 οὐᾶ C Mai 41 μυκτηρισμούς om S 45 εὐγένίδες C 46 παρεσκευάσθαι S 47 ἀδελφομῆτερ Mai δελεάσει C Mai ἔν τινι: ἔκ τινος Mai 49 αἰωνία Mai

157. Ἰωάννῃ ἐπισκόπῳ Σάρδης

Οὔπω μοι μέχρι τοῦ δεῦρο ἤκουσται, ποῦ ποτ' ἂν εἴη περιωρισμένη ἡ πατρική σου ἁγιωσύνη· διὸ ὑπέμεινα συνέχων τὴν χεῖρα καὶ οὐχ εὑρίσκων πληρῶσαί μου τὴν ἐπιθυμίαν. ἐλπίδι οὖν πτερωθεὶς ἐπιτεύξασθαι τοῦ ποθουμένου ἐπέστειλα τὸ παρὸν καὶ οἶδ' ὅτι οὐ διαψευσθήσομαι τῆς ἐλπίδος ἐν Κυρίῳ. ἀλλά γε δεῦρο φράσον, ὦ μεγαλοπάτορ, πῶς ἡ ἐξορία καὶ ποῦ καὶ οἷος ὁ ὑποδεξάμενός σε χῶρος, οἵ τε αὐτόχθονες καὶ οἱ πλησιάζοντες; ἆρα δεξιοὶ καὶ τῆς ἐκλεκτῆς μερίδος ἑκάτερα ἢ ἄμφω τὰ ἐναντία καὶ σκολιάζοντα; πλὴν ὅτι διὰ Χριστὸν καὶ τὰ δυσχερῆ εὐχερῆ καὶ τὰ λυπηρὰ περιχαρῆ. μακάριος εἶ, ὑπὲρ ἀληθείας δεδιωγμένος τῆς οἰκείας ἐκκλησίας καὶ ἐξωρισμένος πορρωτέρω τῆς ἐνεγκαμένης· μακάριος εἶ, διὰ Κύριον ἐμπαιχθεὶς καὶ κονδυλισθεὶς ὑπὸ τῶν ἀσεβῶν ἔμπροσθεν τοῦ καϊαφαϊκοῦ συνεδρίου. μετὰ Χριστοῦ ἐθεατρίσθης σὺν τοῖς ὁμάθλοις, σὺν Χριστῷ κατεδικάσθης· καὶ ἐπὶ τὸν σταυρὸν μὲν οὐκ ἀνῆλθες, ὅτι μὴ καιρός, σταυροφορῶν δὲ ἐξῆλθες, προπηλακισθεὶς καὶ διασυρθεὶς παρὰ τῶν παρανόμων· ἐξ οὗ καὶ ὁ τῆς δικαιοσύνης σοι στέφανος οὐρανόθεν ἀγγελόπλοκος.

Ἄγε δή, πατέρων κορωνίς, εἰς μέσον τοὺς θείους σου ἀγῶνας, σύναψον αὐτοῖς καὶ τοὺς ἑξῆς· ἔτι γὰρ καιρὸς μαρτυρίου εἰς κόσμον τῇ Χριστοῦ ἐκκλησίᾳ. ἀπαράτρεπτος ἔσο (μετ' αἰδοῦς ὑπομνήσκω, λαβὼν ἔκπαλαι ἐπιτροπὴν τοῦ λέγειν ἐξ ἄκρας σου ταπεινοφροσύνης) τῆς καλῆς ὁμολογίας, ἧς ἔλαβες ὡς ἔπαθλα τὰς ἐντίμους ἀτιμίας / καὶ ἣν ὡμολόγησας ἐνώπιον θεοῦ καὶ ἀνθρώπων. διὰ Χριστόν ἐστι παθεῖν τὸ ὑπὲρ τῆς ἁγίας αὐτοῦ εἰκόνος ἀθλῆσαι· οὔτε γάρ, φησὶν ὁ Μέγας Βασίλειος, τὸ κράτος ἐπ' ἀμφοῖν σχίζεται οὔτε ἡ δόξα μερίζεται. οἱ δὲ χριστομάχοι οὐ μόνον μερίζουσιν, ἀλλὰ γὰρ καὶ ἀτίμως καθυβρίζοντες διὰ θατέρου θάτερον ἀπαρνοῦνται, ἰουδαΐζοντες πλαγίως καὶ τὸ τῆς οἰκονομίας μυστήριον ἀνασκευάζοντες.

---

157. a. 815 – 816? 14 συνεδρίου: synodus vere a. 815 convocata

17 2 Tim. 4,8 23 1 Tim. 6,12 25 Bas. spirit. 18,45 (PG 32,149 C)

C (S)

1 δογματική in marg C 4 ἐπὶ θυμίαν C 6 μεγαλοπάτωρ C 7 οἷος om Mai 15 κατεδικάσθης: καὶ ἐδικαιώθης Mai 21 ὑπομιμνήσκω S^{pc} 22 ἐπὶ τροπὴν C 25 ἐστι: ἔτι Mai 28 καθ' ὑβρίζοντες C

Εἰ γὰρ μὴ εἰκονίζεται Χριστὸς καθ' ἡμᾶς, ἔστιν ἀπερίγραπτος ὡς ἔξω σώματος· πᾶν γὰρ τὸ ἐνσώματον περιγραφόμενον. καὶ ποῦ ὅτι ὁ λόγος σὰρξ ἐγένετο; ἢ πῶς διαγνωσθείη ὁ τῆς σαρκώσεως λόγος, εἰ ὡς πρὶν σωματώσεως οὕτω καὶ μετὰ σωμάτωσιν ἀπερίγραπτος, ἤτοι ἀνεικόνιστος χαρακτῆρι τῷ καθ' ἡμᾶς μεμένηκεν Χριστός; δεῖ γὰρ διαφορὰν εἶναι δυοῖν πραγμάτων ἑτεροφυῶν, οἷον ὕδατος καὶ πυρός, ὕλης καὶ ἀυλίας, συνθέσεως καὶ ἁπλότητος καὶ τῶν ἐξ ἐναντίας ἁπάντων ἀφεστηκότων ἀλλήλοις· οὕτω τοιγαροῦν καὶ ἀσωματότητος καὶ σωματώσεως, ἥτις ἐστὶ διαφορουμένη πρὸς τὸ περιγραπτὸν καὶ ἀπερίγραπτον, καθ' ἣν Χριστὸς μεσίτης θεοῦ καὶ ἀνθρώπων, τοῖν δυοῖν τὰ ἰδιώματα ἐν μιᾷ ὑποστάσει ἀπαράφθαρτα φέρων. καὶ γέγονεν ὁ ἄυλος ἔνυλος, ὁ ἁπλοῦς σύνθετος, ὁ ἄσαρκος ἔνσαρκος, ὁ ἀνεμφερὴς καὶ ἀνεικόνιστος ὅμοιος ἡμῖν κατὰ πάντα. εἰ δὲ οὐκ εἰκονίζεται, οὔπω διαφορά, οὔπω σύνοδος τῶν ἐναντίων ἐκ θείας εὐδοκίας τε καὶ δυνάμεως· διὰ τοῦτο οὐδὲ σάρκωσις, ψεύδεται δὲ καὶ ὁ λέγων, θεὸς ἐφανερώθη ἐν σαρκὶ καὶ ὅτι παραπλησίως ἡμῖν καὶ αὐτὸς μετέσχε σαρκὸς καὶ αἵματος.

Οὕτω συνῆκται τοῖς δόγμασιν ἰουδαΐζειν τοὺς εἰκονομάχους καὶ προδρόμους πεφηνέναι τοῦ Ἀντιχρίστου. ὧν φύγοιμεν, ὦ πάτερ, τὴν ἀσέβειαν ἴσα ἰουδαϊσμοῦ, μὴ ἀτονοῦντες πρὸς τὰ πάθη μηδ' αὖ πρὸς τὸ μακροημερὲς τῆς αἱρέσεως, μιμούμενοι τοὺς ἁγίους, τοὺς διὰ μακροθυμίας καὶ πολλῶν παθημάτων κληρονομήσαντας τὰς θείας ἐπαγγελίας. συγ/γνωμονήσεις δέ μοι πάντως, ὦ ἱερὰ κεφαλή, ἐφ' οἷς διελέχθην, τὰ προστεταγμένα ποιοῦντι· ἀλλ' οὖν καὶ ὑπερεύξῃ ἐν ἀφέσει ἁμαρτιῶν καὶ ἀπτωσίᾳ λόγου καὶ ἔργου παρελθεῖν με τὸν τῇδε βίον.

---

32 Joh. 1,14 39 1 Tim. 2,5 45 1 Tim. 3,16

---

31 καί που omnes: correxi 34 μεμένηκε S 36 ἐξεναντίας codd: distinxit Mai 37 τοιγαρ οὖν C 44 διατοῦτο S 49 ἶσα S ἀτονοῦντας Mai 52 θεία καὶ ante ἱερὰ add S 53 ὑπερεύξει C Mai

158. Πέτρῳ Νικαίας

Κελεύει με ἐπιστέλλειν ἡ ἁγιωσύνη σου καὶ ἔχειν τοῦτο ἐρασμίως· ὅτου χάριν πυνθάνομαι, ὁσιώτατε, καὶ δι' ἥν τινα αἰτίαν, ἢ πάντως ἐφέλκειν θέλων πρὸς ἀγάπην, ὅπερ σοι δῶρον θεὸς ὑπὲρ τοὺς πολλοὺς ἐχαρίσατο, δημιουργεῖν φιλίας καὶ διὰ τοῦτο στέργεσθαι ἀντιπεπονθότως; εἴκω τῷ πατρικῷ προστάγματι ὡς υἱὸς ἐλάχιστος. ἀλλὰ τίς ὁ παρ' ἐμοῦ λόγος τοῦ ἀσυφήλου, ὠνήσασθαι δυνάμενος τὸν πολλοὺς ὠφελοῦντα, μάλιστα τανῦν αὐτοῖς ἔργοις ὑπὲρ ἀληθείας πάσχοντα καὶ μηδὲν ὑπὲρ αὐτῆς προκρίνοντα; ἥλιος ἔλαμψας ἐν τῇ αἱρετικῇ νυκτομαχίᾳ, στῦλος ἤγερσαι ἐν τῇ ἐκκλησίᾳ, ὑπερείδων τοὺς σαθρουμένους. ἀντιβολῶ, ὦ Πέτρου τοῦ μεγάλου συνώνυμε Πέτρε, πέτραν σε σχοίη ἀσάλευτον εὐσεβείας ὁ παρὼν σεισμὸς τῆς ἀσεβείας, ὡς ἂν καὶ ἡμεῖς οἱ εὐκαταγώνιστοι ἐρηρείσμεθα ἐν σοί. διάνυε τοὺς διαύλους τῆς ὁμολογίας, οὐκ ἀνιδρωτὶ πάντως· ἐν τούτῳ γὰρ καὶ οἱ στέφανοι. εἰ ἐν ἑπτὰ περιόδοις τὸν δρόμον τελοῦντες οἱ ἐπὶ γῆς ἁρματηλατοῦντες καταστέφονται, τί θαυμαστόν, εἰ τοῖς τὴν ἄνω νύσσαν θέουσι μηκυνεῖ Χριστὸς ὁ ἀληθινὸς ἀθλοθέτης, ὥσπερ εἴωθεν ἔκπαλαι, τοὺς χρόνους; ἐμοὶ δοκεῖν τῷ ἀμαθεῖ, ἵνα καὶ τῶν τρεχόντων τὸ ἀνολίγωρον δοκιμάσῃ καὶ τῶν ἐλαυνόντων τὴν μανίαν ἐπίσχῃ, εἰ δ' οὖν κολάσῃ.

Σοὶ μὲν τὰ παρ' ἐμοῦ τοσαῦτα, παρεγγυοῦντι, ὦ μακάριε· ἐμοὶ δὲ ἀρκέσειεν ἱερῶν εὐχῶν σου ἀποστολή, κἂν ἐπιστολῆς ἀποτύχοιμι.

159. Μακαρίῳ ἡγουμένῳ

Ἐμοὶ χαρὰ παντὶ μὲν ἄλλῳ ὁμιλεῖν διὰ γράμματος εὐσεβοῦντι, πόσῳ γε μᾶλλον πατρὶ τοιούτῳ καὶ τηλικούτῳ, οὗ ἡ ἀγάπη ἐν ἐμοὶ

158. a. 815 – 818

C (S)

2 ἐπὶ στέλλειν C 4 θεὸς: θεοῦ Mai 5 διατοῦτο S 6 ἥκω CS^{ac} Mai 7 ἀσυφίλου codd: corr Mai 8 τὰ νῦν C Mai 13 ἐρηρείμεθα Mai 17 μηκύνει S 19 δοκιμάσοι C Mai 21 παρεμοῦ C παρεγγυῶντι Mai

159. a. 816

C (S)

2 διαγράμματος C

κραταιὰ καὶ ἡ εὐχὴ ἀσπαστὴ ὡς / ὄμβρος ἐπ' ἄγρωστιν; καὶ γάρ, ὁσιώτατέ μου, χρῄζω σου τῶν ἱκεσιῶν μετέχειν ἀεὶ διὰ τὸ ἀκατάρτιστόν με εἶναι καὶ εὐκαταγώνιστον, ὡς ἂν διαδράσοιμι καὶ τὸν ἀόρατον διωγμὸν καὶ τὸν ὁρώμενον. οὐ ὁρᾷς οἷα τὰ τυρβάσματα, τὰ κολαστήρια, αἵματα μὲν τυχὸν οὐ κενοῦντα αἰσθητῶς φθόνῳ τοῦ μὴ δοκεῖν τοὺς πάσχοντας εἶναι μάρτυρας (εἰ καὶ ὅτι οὐκ ἀπὸ τῆς αὐτῶν γνώμης, ἀλλὰ τῇ τῆς ἀληθείας ψήφῳ κρίνει θεὸς τὰ πράγματα), ἐκ τοῦ κατὰ μικρὸν δὲ ὑπωπιασμοῦ καὶ ἐκθλιμμοῦ αἱματεκχυσίαν ἐργαζόμενα ἀψευδῶς· ὁπόταν γὰρ ἐν λιμῷ καὶ δίψει, ἐν ἐξορίαις καὶ εἱρκταῖς, ἐν σιδήροις ἐπὶ ποδὸς καὶ μονώσεσιν, ἐν ἁρπαγαῖς ὑπάρξεων καὶ ἐκδιώξεσιν, ἐν διατριβαῖς ἐρήμων οἰκήσεων, ἐν ὄρεσί τε καὶ σπηλαίοις κατὰ τὸ γεγραμμένον (καὶ οὔπω λέγω καὶ αἱμάτων διὰ μαστίγων κενώσεσι), πῶς οὐ ταῦτα μαρτύρια; πόσοι οἱ στεφανῖται; ἆρον κύκλῳ τοὺς τοῦ νοῦ ὀφθαλμούς, ὦ μακαριώτατε, καὶ ἴδε ἅπαντα καὶ πέρα τούτων, καὶ ἐξ ἑαυτοῦ ἀθλήσεως τὸν λόγον πιστούμενος.

Ἀλλ' ὅμως νικῶν νίκα, τριπόθητε, οἷα καὶ εἶεν τὰ ἐπαγόμενα καὶ ἐπαχθησόμενα, ἵνα σε κορωνίδα ἡ μοναχικὴ πολιτεία ἔχοι, ἥ τε ὅλη τοῦ Χριστοῦ ἐκκλησία ὁμολογίας στεφανίτην γνωρίσοι, ἡμεῖς τε οἱ ἐλάχιστοι ἐγκαλλώπισμα λάβοιμεν εὐπρεπείας.

160. Τῷ φίλῳ ὁ φίλος

Καιρός μοι τοῦ γράφειν, τοῦ δὲ μνημονεύειν σου τῆς καλῆς ἀγάπης ἅπας· καὶ τοῦτο οὐ δῶρον, ἀλλὰ κατὰ χρέος, οὐ μόνον διὰ τὴν φειδώ, ἣν ἐνεδείξω ἐν ἡμῖν (ἣν τίς μαθὼν οὐκ ἂν ἀγάσαιτο, πληρωτὴν οὖσαν τῆς ἐντολῆς ἐκείνης, ἵνα τις θήσῃ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τοῦ φίλου αὐτοῦ;), ἀλλὰ καὶ διὰ τὴν καλοτροπίαν σου· ὡς γὰρ ἕπεται τῷ μύρῳ τὸ εὐωδεῖν, οὕτω καὶ τῇ σῇ τιμιότητι τὸ χαρίεν καὶ ἀγαπητόν. καὶ τοῦτο οὐ λόγος διάκενος· τίς γάρ σε ἰδὼν οὐκ ἥσθη, τίς δέ σου

4 De. 32,2 14 Hebr. 11,38 17 Is. 49,18

4 ἐπάγροστιν C 8 οὐ κενοῦντα: οὐκ ἐνοῦντα Mai 11 ὑποπιασμοῦ omnes: correxi 17 ἄρον C Mai

160. a. 815 – 818

5 Joh. 15,13

C (S)

7 χάριεν S

πειραθεὶς οὐκ ἐτρώθη εἰς φιλίαν; πυνθάνομαι ὅτι καὶ ἐξ ἀκοῆς εἷλές τινα, ὥστε σε ἀγχιστεῦσαι θέλειν. καί γε τὸ παραδοξότερον· φασὶ γὰρ γυμνὸν ἐν βαλανείῳ εἰσελθόντα ἐπιγαμβρεύσασθαι, οὐδενὸς ἄλλου / ἐπιζητουμένου διὰ τὸ πολύολβον τοῦ ἐκκαλουμένου. καὶ εἰκότως· ὁ γάρ τοι τὴν ἀρετὴν ἠμφιεσμένος πλουσιώτερος πάντων, ὥς που τὸν Ὀδυσσέα ἱστοροῦντες ἐκ ναυαγίου γυμνὸν περισωθέντα φάναι τάδε. ἴδε οὐ διέψευσμαι ἐν τοῖς ἀνόπιν· ἀλλ' ὡς ἔμαθον καὶ εἰς ἀρχὴν κομητάτου προῆχθαί σε, ἐχάρην μὲν οὐ πολὺ (μικρὸν γὰρ τῇ εὐσεβείᾳ σου καὶ ἀμφοτεροδεξιώσει τουρμαρχάτον), ἐλυπήθην δὲ ὅτι ἀπομακρύνεις· ὅμως τῷ πτερῷ τοῦ γράμματος δυνατὸν πέτασθαι καὶ συνάπτεσθαι ἀλλήλοις.

Φύλασσέ μοι οὖν, ὦ παῖ καλέ, εἰ οὐ δυσχεραίνοις ἀκούων, τὴν παρακαταθήκην τῆς ὀρθοδόξου πίστεως καὶ κοινωνίας· μνημονεύων μου ἐξ ἴσου σῴζοιο ἐν Κυρίῳ πάντοτε.

161. Εἰρήνῃ καὶ Καλῇ ἀδελφαῖς

Ὅτι παρεκλήθη ἡ τιμία ὑμῶν δυὰς ἀπὸ τοῦ ἀδελφικοῦ πάθους, χάρις τῷ παρακαλέσαντι θεῷ. τοῦτο γὰρ ἐδήλωσεν ὁ γραμματηφόρος, ὃς καὶ ἤγαγεν ἡμᾶς τὰ ἀποσταλέντα παρ' ὑμῶν· ἃ ἰδόντες ἐδόξαμεν ἐκεῖνον τὸν μακάριον θεωρεῖν καὶ προσφθέγγεσθαι. καὶ γοῦν ἔχομεν αὐτὰ εἰς ὑπόμνημα αὐτοῦ ἀνεπίληστον· ἀναπαύσειεν ὁ θεὸς κἀκεῖνον μετὰ ἁγίων, ὧν εἵλετο ζῶν τὴν μερίδα, δοίη καὶ ὑμῖν τὸν μισθόν, ὑπὲρ ἀδελφοῦ ἀληθινοῦ ἀγωνιζομέναις διὰ τῆς τοιαύτης εὐποιΐας, ἀναπεμπούσαις τὰ ἀπόμοιρα αὐτῷ ἐν τῷ μέλλοντι αἰῶνι, ὃς καὶ ἔτι ζῶν προαπέθετο τὴν ἄσυλον κληρονομίαν.

Ἀλλὰ τί ὅτι καὶ αὐταί, τὸν αὐτὸν τῆς παρθενίας εἱλάμεναι βίον, οὐδὲν ἀπολείπεσθε κόσμῳ, πάντα θεῷ θησαυρίζουσαι, ἐχόμεναι καί

13 Plat. rep. 457 a   14 Hom. Od. 6,136   20 Plat. Euthyd. 289 b ὦ καλὲ παῖ

9 ἐξακοῆς codd: distinxit Mai   11 βαλανίῳ C   14 ποῦ Mai   15 ἀν' ὄπιν Mai   16 προΐχθαι S   17 τρουμαρχάτον codd: corr Mai   18 ἀπὸ μακρύνεις C   20 φύλασσαί C[pc] Mai   22 ἐξίσου codd: distinxit Mai

161. a. 816 – 818   2 πάθους: mortis fratris Moschi

C (S)

4 ἡμᾶς C: ἡμῖν S: πρὸς ἡμᾶς coni Mai   5 γ' οὖν C   7 post ζῶν rasuram septem fere litt exhibet S   11 παρθενείας C

γε τῆς ὀρθοδοξίας; εὐλογηθείη ἡ τριὰς ὑμῶν, εὐλογημένη καὶ ἡ δυάς, ἡ ἐνεγκοῦσα ὑμᾶς εἰς φῶς· καλὴ ἡ φρόνησις ὑμῶν, μακαρία ἡ πρᾶξις ὑμῶν.

Εὔχεσθε ὑπὲρ ἐμοῦ, ἅγιαι γυναῖκες. /

162. Σεργίῳ ὑπάτῳ καὶ ἐξαδέλφῳ

Οὐχ ὅτε γράφω, τότε μνημονεύω σου τῆς ἀγάπης, γνησιώτατόν μου αἷμα, ἀλλὰ καὶ πάντοτε λαμβάνων σε ἐν τῇ ἁμαρτωλῇ μου εὐχῇ οὐ διαψεύδομαι· ἐρῶ γάρ σε οὐ μόνον ὡς ἀγχιστέα, ἀλλὰ καὶ ὡς ὁμογνώμονα καὶ ὑπὲρ πάντα συγγενῆ οἰκειωμένον τῇ ταπεινώσει μου, οὐ μὴν ἀλλὰ καὶ ὡς φιλοσυνόμιλον, ὡς αὐτὸς ἀφ' ἑαυτοῦ εἰκάζειν ἔχεις, ἐπειδή πως ἔσοπτρον τῆς ἀγάπης τῆς πρὸς τὸν πλησίον ἐν ἑαυτῷ ἕκαστος κέκτηται. διέστησε δὲ ἡμᾶς ὁ καιρός, ὡς οἶδας· ἀλλ' ὥσπερ ἐγὼ εὔχομαί σε φυλάττεσθαι ἀσινῆ καὶ ἀμέτοχον τῆς χριστομάχου αἱρέσεως, οὕτω καὶ αὐτὸς ὑπερεύχου, φίλτατε, διασῴζεσθαί με κατὰ πάντα τὸν ἁμαρτωλὸν ἀπήμονα.

Τί δὲ ὁρᾶταί σοι τὰ κατὰ τὴν Βυζαντίδα; ἐγκαταλέλειπται σπέρμα ὀρθόδοξον ἢ πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν; στοναχίζει τις τὴν ἅλωσιν ἢ ὡς ἐπὶ Νῶε ἡ ἀναίσθητος ἀδιαφορία, οὓς ὕδωρ οὐράνιον κατέκλυσεν; ἆρα δὲ κἂν ἐκ τῶν Ναζιραίων οἱ ἑαλωκότες κλάουσιν ἢ ὡς μηδὲν πεπονθότες νήχονται τοῖς τῆς αἱρέσεως κύμασι; καί γε ὁ ἡμέτερος Μαξιμινίτης; δίδαξον, φρουρῶν τὴν παρακαταθήκην τῆς πίστεως ἄσυλον, εἰ μή τι ἄλλο, ταύτην εἰλικρινῆ τῷ θεῷ παριστῶντες.

---

162. a. 816? 17 Μαξιμινίτης: abbas monasterii Maximini; cf. Janin, Géographie 323

12 Is. 1,9 13 Ps. 13,3

C (S)

5 ᾠκοιωμένον S 15 κλαίουσιν S 17 Μαξιμηνίτης C Mai 18 εἰλικρινεῖ C

163. Γρηγορίῳ κληρικῷ

Χαῖρε, στρατιῶτα Χριστοῦ, γέγονας ἐξόριστος δι' αὐτόν· ἐπειδὴ γὰρ ὥσπερ τις χρυσὸς ἐχωνεύθης οἱονεὶ καὶ ἐπυρώθης ταῖς μάστιξι, ταῖς φυλακαῖς, τοῖς προπηλακισμοῖς, τοῖς ἐμπτυσμοῖς, οἷστισιν ἄλλοις ἑπομένοις τοῖς προηγουμένοις (οὐδὲ γὰρ ἀπαριθμεῖν πάντα δυνατόν), εἴληφας καὶ τὸ τῆς ὑπερορίας κλέος ὥσπερ τι διάδημα. ἔχει σε ἡ νῆσος προῖκα ὀρθοδοξίας, αὐχεῖ σε ἡ ἐνεγκαμένη, περιθρυλλοῦσά σου τὸ κράτος τῆς ἀνδρείας. ὢ τοῦ θαύματος· μόνος ἐκ τοῦ κλήρου τῆς βασιλίδος, θεῖον σὺ ἀνάθημα. ποῦ δὴ τὸ πρεσβυτέριον; ποῦ δὲ / τὰ ὑφειμένα τάγματα; ὢ τῆς ἀπωλείας· πάντες τοῦ καιροῦ, πάντες τῶν τῇδε, πάντες τῆς σαρκός, πάντες τῶν φόβων, ἀλλ' οὐχ ὁ ἱερὸς καὶ ἱερουργὸς τοῦ Χριστοῦ Γρηγόριος· καλῶ γάρ σου καὶ τὸ ὄνομα, ὥσπερ τι θεῖον ἄκουσμα ὑπομνηματίσαι. τοῖς μεγάλοις Γρηγορίοις σὺ συναρίθμιος, φερωνύμως γρηγορήσας τὰ θεῖα καὶ ὑπὲρ θεοῦ ἀνατλὰς πόνους καὶ ἱδρῶτας, προσθείην δ' ἂν καὶ αἱματεκχυσίας. χαίρετε, ἀπόστολοι Κυρίου, ὁ θεῖος ναὸς καὶ περιβόητος· ἀφ' ὑμῶν γὰρ ὁ κῆρυξ τῆς ἀληθείας, ὑμεῖς τὸν γενναῖον ἄνδρα καὶ ἱερουργὸν ὑμῶν οἱ καρποφορήσαντες. χαίρετε, μάρτυρες Χριστοῦ, οἷς ἡ εὔλαλος γλῶσσα πολλαχῶς παννυχίως ἐμελῴδησεν, οὗ ἡ ἀρετὴ διαπρύσιος καὶ ἡ γνῶσις περίδοξος καὶ ἡ εὐμέλεια ἀξιέραστος.

Δεῦρό μοι, μύστα, μύησον καὐτόθι τὰ μυήσεως ἄξια, δίδαξον τοὺς ἀμαθεῖς, φώτισον τοὺς ἐνσκοτισμένους, δι' οὓς ηὐδόκησεν τὴν ἐξόρισιν θεός. ἔχεις τοὺς τὸ ἀσθενές σου σαρκίον ὑπερείδοντας ἢ πάντων ἀφῃρέθης διὰ Χριστόν; πλὴν Χριστός σοι ἑστία, Χριστὸς ἐπαρωγός, Χριστὸς στεφανοδότης· ᾧ μὴ ἐλλείπῃς προσεύχεσθαι κἀμὲ σῶον καὶ ἀπήμονα διαφυλαχθῆναι τοῦ ὠρυομένου ἀεὶ δράκοντος.

---

163. aestate a. 816 7 περιθρυλλοῦσα: verbum activum usurpavit etiam Jo. Tzetzes, ep. 11 (p. 19 Leone)

---

2 2 Tim. 2,3 3 Sap. 3,6

C (S)

---

8 ἀνδρίας S[pc] ὦ C 10 ὦ C 17 κήρυξ omnes 20 εὐμέλια C Mai 22 ἐσκοτισμένους S Mai εὐδόκησε S 25 στεφανοδότης: στεφανίτης Mai 26 ὀρυομένου C Mai: ὀρυομένου S: correxi

164. Ἀνατολίῳ τέκνῳ

Χαίρω, ὁσάκις δέξωμαι ὑμῶν γράμμα, τέκνα μου ἀγαπητὰ καὶ ἐπιπόθητα· ἀκούω γὰρ ὑμῶν τῆς φωνῆς καὶ ἥδομαι, βλέπω κατὰ νοῦν ὑμῶν τὸν χαρακτῆρα καὶ γάννυμαι. πότε γὰρ καὶ ἐπιλαθέσθαι ὑμῶν δυνηθείην, τῶν ἐμῶν σπλάγχνων, τῶν ἐμῶν μελῶν; περισσοτέρως δὲ χαίρω ἀκούων καὶ μανθάνων ὅτι μένετε ὁμοῦ ἀδιάσπαστοι καθὼς καὶ συνήφθητε ἐν Κυρίῳ κατὰ προσώπου μου. τοῦτο δὲ τῆς σῆς ἐπιχάριτος πρῶτον, ἠγαπημένον μου τέκνον Ἀνατόλιε, ὁ τῶν ὀφθαλμῶν μου φωτισμὸς ἐν πνεύματι, ἔπειτα καὶ σοῦ, τέκνον μου καλὸν Σαββάτιε, τοῦ ὑπὸ τοῦ ἀδελφοῦ σου διὰ Κύριον φιλοῦντος πρωτεύεσθαι, ὅπερ ἐστὶν ἀποστολικόν· καὶ γὰρ ἀνὰ δύο ἀποστέλ-/λων ὁ Κύριος τοὺς μαθητὰς εἰς τὸ κήρυγμα τοῖν δυοῖν τὸν ἕνα ὑπέταξεν. ἐπεὶ καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται, ὥς φησιν ὁ ἀπόστολος. καὶ οὗτος ἄριστος νόμος, καὶ αὕτη ἀρίστη ζωή. Στέργετε οὖν οὕτως, ἀγαπητοί, ἕλκοντες ἡμέραν ἐξ ἡμέρας μεθ' ὑπομονῆς καὶ μακροθυμίας (ἐν ταύτῃ γὰρ ἐκομίσαντο τὰς ἐπαγγελίας οἱ ἅγιοι· ὁ γὰρ ὑπομείνας εἰς τέλος, φησίν, οὗτος σωθήσεται), ἐπιτηροῦντες μή τι παρ' ἐντολὴν τὸ γινόμενον, μή τι κατὰ παρρησίαν ὀλέθριον, μή τι κατὰ ψυχικὸν νυσταγμόν· ἴστε γάρ, ἀδελφοί μου, ὅτι ἀκήρυκτος ὁ ἐν ἡμῖν πόλεμος τοῦ ἐχθροῦ, παντοίαις μηχαναῖς πάντοτε γλιχομένου ἡμᾶς πτῶσαι, ὀλέσαι, καταπιεῖν. ἀλλ' οὐ δοίη αὐτῷ Κύριος δύναμιν καθ' ἡμῶν, ἐάνπερ γρηγορῶμεν, ἐάνπερ νήφωμεν, ἐάνπερ ὁ ἁγνὸς αὐτοῦ φόβος καθηλοῖ τὰς σάρκας ἡμῶν καὶ κατασπᾷ ἔσθ' ὅτε ἐρεθιζομένας καὶ κινουμένας· πολέμου γὰρ ταῦτα. ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, φησὶν ὁ ἀπόστολος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός, ἵνα μὴ ἃ ἂν θέλωμεν, ταῦτα ποιῶμεν, ἀλλ' ἅπερ τὸ πνεῦμα. εἴη Χριστὸς βοηθὸς ἡμῶν, ἐν ᾧ νικᾶν τὸν σατανᾶν προστετάγμεθα κατά τε τὸν τῆς πράξεως λόγον καὶ τὸν τῆς πίστεως, ἐν ᾗ μάλιστα καὶ ὁ ἀγὼν τανῦν ἀκμάζων. βλέπετε, τεκνία, μὴ δειλανθῆτε

---

164. a. 815 – 818

13 1 Cor. 14,32 15 2 Petr. 2,8 17 Matth. 10,22 24 Gal. 5,17 29 Matth. 10,28

C (S)

2 δέξωμαι codd: δέχομαι Mai: correxi 8 ἐπὶ χάριτος C 10 Σαβάτιε omnes: correxi 17 οὗτως C 18 παρεντολὴν C 20 ὁ S[sscr] 25 ἐπὶ θυμεῖ C 29 τὰ νῦν C Mai δειλανδρῆτε coll epp 186,56 et 187,9 coni Kambylis

ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα· μαρτυρίου καιρός, πάντα ὑποίσωμεν, παρακαλῶ, ὑπὲρ Χριστοῦ, ἵνα στεφανωθῶμεν.

Προσεύχεσθε περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζωμαι ἐν πᾶσιν. ἀσπάσασθε τοὺς σὺν ὑμῖν, μάλιστα τὸν ἀδελφὸν Σίμωνα, ἐὰν ἔστι σὺν ὑμῖν· οἱ μετ' ἐμοῦ ἀδελφοὶ ὑμῶν πλεῖστα ἀσπάζονται. ὁ Κύριος μεθ' ὑμῶν. ἀμήν.

165. Συμεὼν τέκνῳ

Οὐχ ὅτε γράφω μνημονεύω σου μόνον, τέκνον ἠγαπημένον, ἐπεὶ οὐδὲν μέγα, ἀλλὰ σοῦ πάντοτε τὴν ἀγαθὴν μνήμην ἔχω μετὰ τοῦ συνόντος σοι τέκνου μου ἀββᾶ Ἀντωνίου, εὐχόμενος φυλάττεσθαι ἀμφοτέρους ὡς δύο κόρας ὀφθαλμῶν ἀθολώτους κατὰ πίστιν τε καὶ ἀγάπην τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. περισσοτέρως δὲ ἐπαινῶν εἰμι τὴν φρό/νησίν σου, τέκνον μου, ὅτι ἐμάκρυνας φυγαδεύων ἀπὸ τῆς ἐνεγκαμένης σε, παροικῶν ἐπὶ τῆς ξενίας· τί γὰρ ὠφέλησεν τῷ ἀναπαυμένῳ Δανιὴλ ἡ ἐγκάθισις; διὸ λυποῦμαι ὅτι τῷ ὄντι ἀθέσμως καὶ σκανδαλιστικῶς ἐναπέμεινεν ὁ πρῶτος ἀδελφὸς μεθ' ὧν ἔχει.

Σὺ μὲν οὖν θεῖα φρονῶν καλῶς ἐξενίτευσας καὶ πορεύῃ· καί γε Κύριος καταρτίσαι ὑμᾶς εἰς πᾶν ἔργον ἀγαθόν, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον αὐτοῦ. βοηθεῖτε δὲ ὅπως οὖν δύνασθε καὶ ἀδελφοῖς ὑμῶν οὐ καλῶς καθεζομένοις εἴτε διὰ γράμματος εἴτε διὰ παρουσίας εἴς τε τὸν προειρημένον καὶ εἰς τοὺς ἐν τοῖς αὐτόθι. τοῦτο δὲ λέγω διὰ τὸν Θεωνᾶν καὶ τὸν Θεόφιλον τὸν τέκτονα· ἀκούω γὰρ τὸν μὲν πάντῃ ἀπαυθαδιάσαντα, τὸν δὲ μετὰ τῆς ἀδελφῆς καταμένοντα. εἰς μὲν τοῦτον ἐπέστειλα· καὶ διὰ τὴν ἀγάπην τοῦ θεοῦ κοπώθητε ἀπελθεῖν

---

30 ἀπὸ κταινόντων C: ἀποκταινόντων S Mai: correxi (an ἀποκτεννότων scribendum? cf Matth l. l.) 32 προσεύχεσθαι C 33 ἐστὶ Mai

---

165. a. 816 17 Θεωνᾶν: ad formam nominis cf. W. Petersen, in: Classical Philology 32 (1937) 121 sq.

4 Ps. 16,8

C (S)

1 Συμεῶνι Mai 8 ξενείας C Mai 9 ἀναπεπαυμένῳ S: ἀναπαυομένῳ Mai ἐγκάθησις C Mai τῷόντι S 12 πορεύει C Mai 13 ἡμῖν C 14 εὐάρεστον: εὐαγγέλιον Mai δύνασθαι C 19 ἐπέστειλα S[pc]: ἀπέστειλα C Mai

μέχρις αὐτοῦ καὶ ἐπιδοῦναι αὐτῷ τὴν ἐπιστολὴν καὶ ἀναγνῶναι, ἥτις καὶ ἐμφέρεται ἔνδον τῆς ἐπιστολῆς σου. καὶ ἴσως ὁ θεὸς ὁρῶν τὸν κόπον ὑμῶν εὐθετήσει τὴν ζωὴν αὐτοῦ. εἰς δὲ τὸν Θεωνᾶν ὑπεστάλην τέως γράψαι, μὴ καὶ προδότης γένηται. ἀλλὰ δέομαί σου καὶ ἐπ' ἐκείνου ἢ αὐτοπροσώπως ἢ διὰ γραμμάτων μαθεῖν τὴν δύναμιν αὐτοῦ, λέγων αὐτῷ ὅτι ‚λυπεῖται σφόδρα ὁ πατὴρ ἡμῶν ἀκούσας οὐκ ἀγαθὰ περὶ σοῦ· καὶ γράψον αὐτῷ κἀγὼ δύναμαι ἵνα ἀποσωθῇ ἡ ἐπιστολή σου πρὸς αὐτὸν καὶ ἀντιγράψει σοι'. καὶ ἴσως οὕτως ἕλκεται καὶ γράφει ἢ παντελῶς μανθάνομεν τὴν ἀποστασίαν αὐτοῦ.

Ναί, τέκνα μου, παρακαλῶ, κοπιάσατε ἐν τούτῳ· ὁ δὲ θεὸς τοῦ πατρός μου ἀναδείξει ὑμᾶς στύλους καὶ ἑδραιώματα τῆς αὐτοῦ ἐκκλησίας ἐν τῷ ὑπενεγκεῖν ὑμᾶς οὐ μόνον τὰ τῆς ἐξορίας θλιπτικά, ἀλλὰ καὶ τὰ μέχρις αἵματος ἀγωνιστικὰ ὑπὲρ τῆς ἀγάπης αὐτοῦ, προσευχομένους καὶ ὑπὲρ τῆς ἡμετέρας ταπεινώσεως ἵνα σῳζώμεθα ἐν πᾶσιν. οἱ σὺν ἐμοὶ ἀδελφοὶ ὑμῶν ἀσπάζονται ὑμᾶς πόθῳ. ἡ χάρις μεθ' ὑμῶν· ἀμήν.

166. Θεοφίλῳ τέκνῳ

Ἀδελφὲ Θεόφιλε, ὑγιαίνων ἔσῃ· τί τοῦτο, ὃ ἀκήκοα περὶ σοῦ, τοῦ ἀγαπητοῦ μου υἱοῦ, τοῦ πιστοῦ μου τέκνου, τοῦ ὑπὲρ τοὺς πολλοὺς τῶν / ἀδελφῶν εὐλαβεστέρου, τοῦ προκειμένου τοῖς τέκτοσι πᾶσιν ἐξ ἀρχῆς εἰς ὑπόδειγμα καλόν, τοῦ θερμοτέρου τῶν ἄλλων εἰς ἀπολογίαν εὐσεβῆ καὶ ζῆλον θεοῦ διάπυρον (καὶ τί δὴ πολλὰ λέγω;), τοῦ ὀφείλοντος εἶναι καὶ κατὰ τὸ ὄνομα φῶς τῶν ἐν βίῳ καὶ ἅλας τῶν μεμωραμμένων; σὺ συνοικεῖν εἵλω μετὰ τῆς κοσμικῆς ἀδελφῆς; σὺ εἰς χωρίον κοσμικὸν ἀναστρέφῃ; σὺ κατὰ ὀνειδισμὸν τοῦ εὐαγγελικοῦ σχήματος ποδοβολεῖς; σὺ κατὰ τῶν θείων νομοθεσιῶν πα-

30 1 Tim. 3,15 32 Hebr. 12,4 34 1 Tim. 6,21

20 ἐπὶ στολὴν C 23 ἐπεκείνου C 26 ἀπὸ σωθῇ C ἐπὶ στολή C 30 ἀναδείξει S 32 προσευχόμενος Mai

166. a. 816

C (S)

9 κοσμικὸν: κοσμικῶν C Mai (fort recte) κατ' Mai

ρανομεῖς; σὺ κατὰ τῆς ἐπαινουμένης ἡμῶν ἀδελφότητος ἐνασχημονεῖς; ἄλλων ἀδελφῶν σου τῶν μὲν φρουρουμένων κατὰ μόνας, τῶν δὲ δαρέντων καὶ ἐξορισθέντων, τῶν δὲ ὧδέ τε κἀκεῖσε ἐν ἐρημίαις καὶ ὄρεσι καὶ ἀποκρύφοις τόποις ἐναυλιζομένων καὶ ὅπως ἁπλῶς ἑκάστῳ ἤνοιξεν θύραν ὁ ἀγαθὸς θεός, σὺ μόνος κατὰ θεοῦ τοῦ σώσαντός σε καὶ καλέσαντος καθέζῃ; ὢ φρίκης τῆς ταπεινῆς μου ψυχῆς, ὢ καταφρονήσεως κριτηρίου θεοῦ. οὐ φέρω, Κύριέ μου, Κύριε, οὐ καρτερῶ τὰ ἐντός· καίομαι, φλεγόμενος τὰ σπλάγχνα. ἀντὶ φωτὸς ὁ υἱός μου γέγονε σκότος, ἀντὶ δόξης ἀτιμία, ἀντὶ εὐφημίας βλασφημία, ἀντὶ ὠφελείας σκάνδαλον· ἄκουε, ἀδελφέ, τοῦ Κυρίου λέγοντος περὶ σοῦ, συνήφερεν αὐτῷ ἵνα μύλος ὀνικὸς ἐκρεμάσθη περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἐρρίφη εἰς τὴν θάλασσαν ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν ἀδελφῶν αὐτοῦ· σὺ δέ, σκανδαλίζων πάντας, πομπεύεις. οἴμοι, τῷ ἀθλίῳ, πῶς οὐκ αἰσθάνῃ, ἀδελφέ; ἐλέησόν με, τέκνον μου, ἡνίκα δέξῃ τὴν ἐπιστολὴν παρὰ τῶν ἀδελφῶν σου, ἀποπήδησον, ἀναχώρησον ἐκ τῆς κατάρας τοῦ Κυρίου, ἐκ τοῦ αἰωνίου οὐαί· σύμμιξον σεαυτὸν ἀδελφῷ σου, ἵνα διαλλαγῇ Χριστὸς ἐπὶ σοί, ὅπως παύσῃς τὸ ἄλγος μου τοῦ ἁμαρτωλοῦ, ἵνα καταλύσῃς τὸ σκάνδαλον τοῦ σατανᾶ, ᾧτινι ἐφιλιώθης. μὴ παρακούσῃς θεοῦ· πῦρ γὰρ ὁ θεὸς ἡμῶν καταναλίσκον. ἐπεὶ αὕτη ἡ φωνή σοι, ἣν ὁ Μέγας Βασίλειος πρός τινα ὁμοίως σοι συνοικοῦντα γυναικὶ εἴρηκεν· ἀνάθεμα ἔσῃ παντὶ τῷ λαῷ, καὶ οἱ δεχόμενοί σε ἐκκήρυκτοι ἔσονται. ὅπερ ἀπείη ἐν σοί, τέκνον μου Θεόφιλε, καὶ λέγειν καὶ ἐννοεῖν. /

167. Πασαρίωνι τέκνῳ

Μαθὼν ὅτι ἀπέστης ἐξ οὗ ἧς ἕως τοῦ παρόντος τόπου καὶ κατῆλθες πρὸς τὸν οἰκονόμον, τέκνον, ζητῶν τὸ καλῶς πορεύεσθαι, ἐδόξασα τὸν ἀγαθόν μου θεόν, ἀποβαλὼν τὸ λυπηρόν· καὶ γὰρ οὐ μικρὸν ἐλυπούμην ὅτι ἐνέμεινες παρὰ τὴν ἐντολὴν ἐκεῖσε, μὴ συνελθὼν ἐν

13 Hebr. 11,38 21 Matth. 18,6 29 De. 4,24 31 Bas. ep. 55 (PG 32,404 B = I 142 Courtonne) 33 Bas. ep. 262,2 (PG 32,973 B = III 120 Courtonne) τοῦτο δὲ ἀπείη καὶ λέγειν καὶ ἐννοεῖν

12 καταμόνας S Mai 14 ἀπὸ κρύφοις C 15 ἤνοιξε S 16 ὦ C φρίκη Mai 17 ὦ C 21 συνέφερεν S Mai ὠνικὸς C 25 ἐπὶ στολὴν C 28 παύσεις C 33 ἀπίει C Mai: ἀπῄει S: correxi

167. a. 815 – 818

C (S)

4 ἀπὸ βαλῶν C

καιρῷ τοῦ διωγμοῦ καὶ τῆς περιστάσεως ἡμῶν ἕνεκεν τῆς ἀληθινῆς ἡμῶν λατρείας, καίπερ ὢν ἐκ τῶν κεφαλῶν καὶ δυναμένων βοηθεῖν ἔργῳ καὶ λόγῳ. ἀλλ' ὅμως ἐγένετο καὶ ὁ θεὸς συγχωρήσοι σοι.

Νῦν οὖν, τέκνον μου ἀγαπητόν, περιπάτησον εὐαγῶς, ἀνοικοδομῶν τὴν βραδυτῆτά σου εἰς τὴν τῶν ἀδελφῶν σου καὶ ἑτέρων ὠφέλειαν, μέχρι θανάτου ἐγκαρτερῶν καὶ μὴ προδιδοὺς τὸν Χριστόν. μόνος μὴ εἶ, ἀλλὰ μεθ' ἑνὸς ἢ καὶ πρός, μετ' ἐκείνου δὲ πάντως τοῦ αἱρουμένου, εἴ τις ἂν εἴη· ὁριστικῶς γὰρ οὐχ οἷόν τε ἐπιτρέψαι με.

Μνημονεύων μοι μὴ διαλείποις· ἀσπάζονταί σε οἱ ἀδελφοί σου.

168. Λαυρεντίῳ τέκνῳ

Τίς ἐστιν ἡ τοσαύτη χάρις σοι, τέκνον, ἵνα ἐκκαλεῖταί με ὁ οἰκονόμος ὑπὲρ αὐτοῦ εὐχαριστίας σοι προσφέρειν; ὅλως οὐχ ὑπὲρ ἐκείνου μόνον, ἀλλὰ καὶ ὑπὲρ ἐμαυτοῦ καὶ γράφω καὶ ἐπαινῶ καὶ εὔχομαί σοι, ὅτι ὡς ἀληθῶς πιστὸς υἱὸς εἶ, φιλοπάτωρ, φιλάδελφος, δεικνύων αὐτοῖς ἔργοις. τίς γὰρ πρῶτόν σου ἐπεσκέψατό με τὸν ἁμαρτωλὸν ἐνταῦθα; τίς δὲ τὸν οἰκονόμον ἢ ἐθεώρησεν ἢ ἐπέδωκεν διάθεσιν ἀγάπης ἔμπρακτον; καὶ γάρ ἐστι πρῶτος ἀδελφός, καὶ ὁ ἐκείνῳ ποιῶν τι ἐμοὶ ποιεῖ· οὐχ ὅτι καὶ αὐτοὶ πάντες οὐκ ἐστὲ σπλάγχνα μου (ἐστὲ γάρ), ἀλλ' ὅτι ἐκεῖνος τιμιώτερος, τὸ πρόσωπον τῆς ταπεινώσεώς μου φέρων κατὰ τὸ δίκαιον.

Εὐλογημένος εἶ, υἱέ μου ποθητέ, καὶ εὐλογημένη ἡ ὑποταγὴ καὶ ὑπακοή σου. προσεύχου περὶ ἐμοῦ τοῦ ταπεινοῦ ἵνα σῴζωμαι ἐν πᾶσιν. ἐξ ἐμοῦ προσαγόρευσον τὸν ἀδελφόν μου καὶ ἀγαπητὸν υἱὸν Διονύσιον καί, εἴ τις ἔστιν ἄλλος φυλάττων μυστήριον τῶν τέ/κνων μου, κἀκεῖνον ἄσπασαι. παρακαλῶ δέ, τὸν Ἀρκάδιον, ἐὰν οὐ συμπίῃ ὅπου ἐστί, παράλαβε αὐτὸν ὡς ἀπ' ἐμοῦ καὶ περίσωσον αὐτόν. μισθὸν ἔχεις.

---

6 εἵνεκεν S   8 συγχωρήσει C Mai   14 μοι: μου S   διαλίποις S

---

168. inter aestatem ac autumnum a. 816   2 οἰκονόμος: Naucratius

---

17 1 Cor. 9,17

C (S)

---

3 εὐχαριστείας C Mai   5 ὡσαληθῶς S   7 ἐπέδωκε S   16 συμποίη C: συμποιοίη Mai (cf ep 444,20)

169. Ἀθανασίῳ ἡγουμένῳ

Καὶ αὕτη σου ἡ ἐπιστολὴ θεοχάρακτος, εὐφράνασα μὲν ἡμᾶς τοὺς ταπεινοὺς ἐπὶ τῇ ὑγιείᾳ καὶ εὐανδρίᾳ σου, λυπήσασα δὲ ἐπὶ τοῖς ἐπαίνοις καὶ ἐγκωμίοις, οἷς κατασεμνύνεις ἡμᾶς τοὺς ἀσέμνους καὶ ἀτημελεῖς καὶ μηδ' ὁτιοῦν πεποιηκότας ἀγαθὸν ἐπὶ γῆς· λέγουσι μὲν γὰρ τοῦτο ἐκ ταπεινώσεως οἱ ἅγιοι, ἐγὼ δὲ ὁ ἁμαρτωλὸς ἐξ ἀληθείας. ἀλλ' ἡ φιλία τῆς πατρικῆς σου ἁγιωσύνης τὰ οὐκ ὄντα προσάπτει ἡμῖν, ἵνα πάντως βελτίους ποιήσῃ, ἐπειδὴ πολλάκις καὶ ἔπαινος ὀνίνησι.

Χάρις οὖν τῷ ἁγίῳ θεῷ ὅτι εὐψύχως φέρεις τὰ δεσμὰ καὶ τὴν φρουράν, γενναῖε Χριστοῦ στρατιῶτα. τὰς γὰρ θείας προθυμίας καὶ ἀγάπας σου οἱονεὶ πυροβολεῖς διὰ τῶν τιμίων λόγων σου καὶ τὸ κάλλιστον, ὅτι μετὰ γνώσεως καὶ ἀνηγμένης θεωρίας, ἥν σοι παρέσχεν ἡ ἐκ μέσου ἀποπήδησις καὶ ἐφ' ὕψους ἀναδρομὴ τῆς Χριστοῦ ὁμολογίας· ἐν ᾗ καὶ περιφυλαχθείης τέλεον, φρυκτωρῶν ὡς ἑῷος ἀστὴρ τοῖς ἐν νυκτομαχίᾳ τῆς αἱρέσεως, τάχα δὲ καὶ ὡς στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, ὑποστηρίζων τοὺς χαύνους καὶ ὀκλάζοντας. ἀλλὰ μὴν καὶ ὡς βραχίων ὑψηλὸς χεῖρα ὀρέγοις τοὺς ὑποπεπτωκότας καὶ ὀλισθήσαντας. καὶ τοῦτο ἐδήλωσεν ἡμῖν τὸ πρὸς τὸν Φωτεινουδίου γραμματεῖον· εὖ ἔπραξας, εἴπερ καὶ ἀνύσειέν τι· τέως δ' οὖν αὐτὸς τὸ δέον ἐπλήρωσας. σκεπτέον δὲ τὸ ἐγχείρημα μήπως πρὸς τὸ μηδὲν ὀνῆσαι ἔτι καὶ βλάβης αἴτιον εἴη, ἐκφερομυθοῦντος τὸ γράμμα τοῦ δεχομένου κἀντεῦθεν ἀνατρεχούσης ταραχῆς ἐπὶ πάντας τοὺς ὁμολογητὰς Χριστοῦ· πάντα οὖν δοκιμάζοντες, φησὶν ὁ ἀπόστολος, τὸ καλὸν κατέχετε.

Μὴ ἐπιλάθῃ τοιγαροῦν τῆς / ταπεινώσεώς μου, ἠγαπημένε καὶ τοῦ πολυάθλου συνώνυμε, ἀδιαλείπτως προσεύχεσθαι ὅπως ῥυσθείην ἐκ τῶν παγίδων τοῦ διαβόλου καὶ κατὰ τὸν ἔνδον καὶ ἔξωθεν ἄνθρωπον.

---

169. inter autumnum ac hiemem a. 816   19 τὸν Φωτεινουδίου: scil. ἡγούμενον

11 2 Tim. 2,3   **16** 1 Tim. 3,15   **24** 1 Thess. 5,21   **28** 1 Tim. 3,7

C (S)

2 ἡμᾶς post ταπεινοὺς transp Mai   4 κατασεμνύνειν C (an κατασεμνύνειν ⟨οὐ παύεις⟩ scribendum?)   5 ὅτι οὖν C   7 πρὸς ἅπτει C   13 ἀνημμένης C Mai   14 ἀπὸ πήδησις C   16 στύλος CS^{ac} Mai   18 ὡς om Mai   πρὸς ante τοὺς inser Mai   20 γραμμάτιον S   ἀνύσειέ S   21 $τὸ^{3}$: τῷ S^{pc} 22 ὀνῆσαι: ἀνύσαι S   26 τοιγὰρ οὖν C

170. Ἡγουμένῳ Πανάγρου

Ἡ ἀγάπη οὐκ ἀνεκτὸν πρᾶγμα· οὔτε γὰρ τόπῳ περιώρισται οὔτε χρόνῳ πειρασμοῦ ἀποσβέννυται, οἷα τῶν ἐπιπολαίως καὶ σαρκικῶς φιλεῖν εἰωθότων, οἵ, ὁπηνίκα περιφορά τις εἴη δυσχερείας, πόρρωθεν καὶ ἐξ ἐναντίας γίνονται τῶν φιλουμένων. οὔκουν τοιοῦτοι ἡμεῖς οἱ ταπεινοί, εἰ καὶ τὰ ἄλλα στεναγμοῦ ἄξιοι διὰ τὰς ἁμαρτίας, ἀλλὰ καὶ μᾶλλον ἐν τοῖς πειρασμοῖς ἐπιτείνειν εἰθίσμεθα τὸ τῆς ἀγάπης φίλτρον· οὗ χάριν τοσούτῳ μήκει διῳκισμένοι οὐκ ἠνέγκαμεν, καὶ ταῦτα ἐν φρουρᾷ ὄντες, μὴ τὸ καθῆκον τῆς ἀγάπης πληρῶσαι καὶ γράμμασιν ἐπισκέψασθαι τὴν ὁσιότητα ὑμῶν, ὦ πατέρες τίμιοι. μεμαθήκαμεν γὰρ ἐγκαταλιπεῖν ὑμᾶς τὸ μοναστήριον καὶ ἐν ὄρει προσυποκρυβῆναι πειθαρχίᾳ τῆς κελευούσης ἐντολῆς διὰ τοὺς χριστομάχους διώκτας. καί γε μακάριοι ὑμεῖς, πάντα δεύτερα ἡγησάμενοι διὰ Χριστὸν καί, ἀποστολικῶς εἰπεῖν, ἐν ὄρεσι πλανώμενοι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

Ἀλλ' εἰ καὶ θλιβερὰ ἡ τοιαύτη ζωὴ τῇ σαρκί, ὅμως, ἀδελφοί, ὅτι πρόξενός ἐστι τῆς αἰωνίου ζωῆς ἐφάμιλλός τε τῆς τῶν ἁγίων πολιτείας· τίς γὰρ τῶν ἀπ' αἰῶνος ἄτερ πειρασμοῦ εὐηρεστηκέναι θεῷ πεφανέρωται; μαρτυρεῖ δὲ καὶ ὁ ἀπόστολος λέγων, καὶ πάντες οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται, πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. οἷοί εἰσιν οἱ νῦν αἱρετίζοντες καὶ τὸν Χριστὸν διὰ τῆς ἁγίας αὐτοῦ εἰκόνος σὺν τῆς αὐτοῦ ἁγίας μητρὸς καὶ πάντων ὁμοῦ τῶν ἁγίων διώκοντες καὶ ἐξουδενώσει ἐξουδενοῦντες ἐν πάσαις πόλεσι καὶ χώραις. αὕτη γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου καὶ οὗ λέγεται, φησὶν ὁ Θεολόγος Γρηγόριος· καὶ αὖθις ὁ Μέγας Βασίλειος, ἡ γὰρ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. / καὶ οὔπω καιρὸς μακρηγορεῖν διὰ τὸ καὶ τὴν ὑμετέραν ἐμμέλειαν ἱκανῶς πεπειρᾶσθαι τὰ τῆς ἀληθείας καὶ τὸ τῆς ἐπιστολῆς μέτρον ὑπερβεβηκέναι.

---

170. altero semestri spatio a. 816 7 φίλτρον: cf. Hunger, Literatur I 223

14 Hebr. 11,38 19 2 Tim. 3,12 sq. 25 Greg. Naz. or. 30,20 (PG 36,129 B = p. 268 G.-J.) 27 Bas. spirit. 18,45 (PG 32,149 C)

C (S)

3 ἀπὸ σβέννυται C οἷα Mai 5 ἐξεναντίας S γίνωνται C Mai οὐκ οὖν Mai 7 ἐπὶ τείνειν C ἠθίσμεθα C Mai 10 ἡμῶν Mai 18 ἀπαιῶνος C

Παρακαλῶ οὖν ὑμᾶς, πατέρες ἅγιοι, κατέχειν τὴν ὁμολογίαν τῆς πίστεως ἀκλινῆ μέχρι τέλους μηδ' ὅλως τι ὑποχαυνῶσαι ἐκ τῆς ὑποσκελίσεως τῶν φρεναπατηθέντων ψευδαδέλφων· ἠπάτηνται γὰρ λίαν, κοινωνήσαντες κατὰ τοῦ Χριστοῦ. ἀλλ' εὔχεσθε καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς τελειῶσαι τὸν προκείμενον ἡμῖν ἀγῶνα ἐν Χριστῷ, τῷ περιζωννύντι καὶ τοὺς ἀσθενεῖς δύναμιν.

171. Παρθενίῳ τέκνῳ

Ὦ καλὲ Παρθένιε, θεοῦ στρατιῶτα, ἐμὸν γνήσιον τέκνον, καὶ σὺ ἐν ἀθληταῖς Χριστοῦ; καὶ σὺ ὑπέρμαχος ὀρθοδοξίας, μικρὸς ἐν ἡλικίᾳ καὶ μέγας ἐν εὐψυχίᾳ; δεῦρο φράσον μοι, υἱέ μου ποθητέ, πῶς προείλου παθεῖν ὑπὲρ Χριστοῦ; πῶς ἤνεγκας μαστιχθῆναι σὺν τοῖς πολυχρονίοις, ὁ νεανίσκος Χριστοῦ, ὁ ἴουλος τὴν ὄψιν, ὁ ἀρνιὸς ὁ λογικός; δόξα τῷ δυναμώσαντί σε θεῷ, αἶνος τῷ ἐκλεξαμένῳ σε Χριστῷ ἕνα τῆς δεκαδικῆς σου ἀδελφότητος ἀστέρα εὐσεβείας διαδειχθῆναι. διηγωνίζου πρὸ πράγματος, ὡς ἤκουσταί μοι, καὶ ἔφθασας μακαρισθῆναι ὑπὸ τῶν ἀκουσάντων σε καὶ μὴ ἀκηκοότων. ὑπὸ πρῶτόν σε ἐνέταξα καὶ τῶν πρώτων πρώτιστος ἐν ἀρετῇ ἐγένου.

Υἱέ μου, χαῖρε, αἴνει τὸν θεὸν τὸν μεγαλύναντά σε, μεγαλυνεῖ σε δὲ ἔτι μάλα, ἐὰν τελειώσῃς σου τὸν ἀγῶνα. διὸ ἐρωτῶ καὶ παρακαλῶ σε, στῆθι, κραταιοῦ ἐν ὑπομονῇ, μεμνημένος σου τῶν καλῶς διηνυσμένων ἀγώνων, ἔτι μικρὸν ὅσον ὅσον ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ. οἵαν χαρὰν μέλλεις κτᾶσθαι ἐν καιρῷ ἀναλύσεως τοῦ σώματος ἢ καὶ πρὸ τῆς διαζεύξεως. τέκνον, πρόσεχε σεαυτῷ, ὅτι καὶ ἔνδον ἀεὶ ὁ τύραννος διάβολος ἐρεθίζων ἐστὶ διὰ τῶν παθῶν. ἄθλησον καὶ κατὰ συνείδησιν, μὴ ὑποσκελιζόμενος τῇ ἁμαρτίᾳ· νῆφε γρηγόρως καθ' ἡμέραν καὶ ὡς τελευταίαν τοῦ βίου σου τὴν φθάσασαν πάντοτε ὑποτίθεσο, ἵνα οὕτως ἐν φόβῳ καὶ τρόμῳ εὐαρεστήσῃς θεῷ, τὸ μὲν ἐργαζόμενος ταῖς χερσί, τὸ δὲ ψαλμολογῶν, / τὸ δὲ προσευχόμενος, εἴ τι ἄλλο εἰς παραβίβασιν τῆς ἡμέρας.

31 Hebr. 10,23

32 μηδόλως S 33 ὑποσκελήσεως codd: corr Mai 34 εὔχεσθαι C

171. altero semestri spatio a. 816 8 δεκαδικῆς: decem Studitae; cf. p. 263* adn. 415

C (S)

9 μοι: μου Mai 13 παρακαλῶ: παραλαλῶ (sic) Mai

Ναί, τέκνον μου, πλήρωσόν μου τὴν χαράν, ἵνα ἀκούων τὰ περὶ σοῦ χαίρω καὶ ἐγκαυχῶμαι. προσεύχου δὲ καὶ περὶ ἐμοῦ, τοῦ ταπεινοῦ πατρός σου. οἱ σὺν ἐμοὶ ἀδελφοί σου ἀσπάζονταί σε.

172. Ἡγησίμῳ τέκνῳ

Εὖγε, τέκνον Ἡγήσιμε, ἡγοῦμαί σε ὁμολογητὴν Χριστοῦ· ἡγήθης γὰρ καλῶς εἰσελθεῖν εἰς τὸ στάδιον σὺν τοῖς ἀδελφοῖς σου τῆς σωτηρίας. ἐξεδύθης σὺν Χριστῷ, ἐμαστιγώθης σὺν αὐτῷ, σύμμορφος ἐγένου τῷ σώματι τῆς δόξης αὐτοῦ. οὐ χαίρεις; οὐ σκιρτᾷς; πόσοι τῷ πλήθει οἱ ἀδελφοί σου, καὶ ὅμως σὺ κατηξιώθης σὺν τοῖς ἐννέα ἀθλοφορῆσαι. πόθεν σοι τοῦτο, ὦ τέκνον; δόξασον, ὕμνησον, αἴνεσον τὸν δωρεάν σε μεγαλύναντα Κύριον. μὴ μέντοι ἀναπέσῃς, ἀλλὰ καρδιώθητι ἔτι εἰς τὴν ἀγάπην Χριστοῦ, προθύμως καὶ θερμῶς δουλεύων αὐτῷ διὰ πάσης ἐντολῆς· ἔτι γὰρ ἐνέστηκε τὸ μαρτύριον, ἕως ἂν ὁ θάνατος παρῇ. μὴ ἀπονυστάξῃς κατὰ ψυχήν· ἐργάζου ταῖς χερσί, ψάλλε τῷ πνεύματι, ψάλλε καὶ τῷ νοΐ. κάθαιρε τὸν νοῦν ἀπὸ τῶν κοινούντων τὴν καρδίαν λογισμῶν πονηρῶν. χαῖρε τῇ ἐλπίδι, ὑπόμενε τῇ θλίψει, μνημόνευε τὴν ἔξοδον, μιμνήσκου τῆς ἡμέρας τῆς φοβερᾶς τῆς ἀνταποδόσεως. προθυμοῦ, ἂν δέῃ, καὶ πάλιν μαστιγωθῆναι, τυχὸν καὶ θανεῖν, διὰ Χριστόν, ὅπως εἴη σοι λέγειν ἐν χαρᾷ ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

Προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζωμαι ἐν πᾶσιν· προσαγορεύουσίν σε οἱ σὺν ἐμοὶ ἀδελφοί σου. ἡ χάρις μετὰ σοῦ· ἀμήν.

---

24 Philipp. 2,2

---

172. altero semestri spatio a. 816 6 ἐννέα: Studitae Euthymius Ephraim Aphrodisius Ammonas Hyperechius Stephanus Parthenius Symeon [II] Dorotheus [II]

4 Philipp. 3,21 12 1 Cor. 14,15 17 Ps. 43,23

C (S)

8 ἀλλὰ – 9 προθύμως om Mai 13 κοινούντων: cave legas κινούντων coll ep 177,45; Matth 15,11 19 πᾶσι S 20 προσαγορεύουσί S

173. Στεφάνῳ τέκνῳ

Χάρις σοι, ἀδελφὲ Στέφανε, τέκνον μου ἠγαπημένον, ἀθλητὰ Χριστοῦ· ἐπισκέπτομαί σε διὰ τοῦ γράμματος, ἀσπάζομαί σε ἀπὸ καρδίας. καλή σου ἡ διὰ Χριστὸν ἄθλησις καὶ ἐξορία· εἵλου ἐνεγκεῖν πληγάς, ἵνα σύμμορφος γένῃ τοῖς παθήμασι Χριστοῦ, φερωνύμως στεφανωθεὶς τῷ μαρτυρίῳ Χριστοῦ. χαῖρε / καὶ εὐφραίνου, ὅτι πολὺς σου ὁ μισθὸς ἐν τοῖς οὐρανοῖς. ἀλλ' ἐπειδὴ ἀκμὴν ὁ ἀγὼν ἐνέστηκεν, χρεία ὑπομονῆς, ἵνα οὕτως μέχρι τέλους κομίσῃ τὴν ἐπαγγελίαν τοῦ θεοῦ, ἑτοιμάζου τυχὸν καὶ αὖθις μαστιγωθῆναι, οὐ μὴν ἀλλὰ καὶ ἀποθανεῖν μαρτυρικῶς. καὶ τίς ἄξιος τοῦτο ὑπομεῖναι; ἐγὼ οἶδά σου τοὺς ἐν τῷ μοναστηρίῳ ἀγῶνας, τοὺς ἀσκητικούς τε καὶ φιλομαρτυρικούς, τὸ πρόθυμον καὶ ζέον τῆς καρδίας, ἐξ ὧν καὶ ὑπήχθης εἰσελθεῖν εἰς τὸ στάδιον τῆς μαρτυρίας Χριστοῦ. ἔτι ἀρίστευσον, ἔτι ἀνδραγάθησον δι' ὑπομονῆς, ἵνα χορεύσῃς σὺν ὁμολογηταῖς, σὺν μάρτυσιν. περὶ τῆς φυλακῆς τῆς ψυχῆς σου περισσόν μοί ἐστι τὸ γράφειν σοι, εἰδὼς τὴν ἀκρίβειάν σου, τὸ ἀπαρρησίαστον, τὸ νηφάλεον, τὸ διεγερτικόν. ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ διαλαλῆται, μνημόνευε τῆς ἡμέρας τοῦ θανάτου καὶ ἀνολίγωρος ἔσῃ πάντοτε.

Εὔχου καὶ ὑπερεύχου τῆς ταπεινώσεώς μου ἵνα σῴζωμαι ἐν πᾶσιν· οἱ σὺν ἐμοὶ ἀδελφοί σου ἀσπάζονταί σε πλεῖστα. ἡ χάρις μετὰ σοῦ· ἀμήν.

---

173. altero semestri spatio a. 816

5 Philipp. 3,21 6 Matth. 5,12 17 1 Tim. 4,15

C (S)

7 ἐνέστηκε S 13 τὸ om Mai 14 σὺν ὁμολογηταῖς: συνομολογηταῖς C σὺν μάρτυσιν: συνμάρτυσιν Mai 15 μάρτυσι S ἔστι C Mai 16 εὐπαρρησίαστον Mai (sed cf ep 249,21) νηφάλαιον C Mai: νηφάλιον S: correxi 17 διαλαλεῖται CS^{ac} Mai

174. Ἐφραὶμ τέκνῳ

Χαῖρε, τέκνον Ἐφραίμ, ὁ καλὸς στρατιώτης Χριστοῦ· πῶς ἔχεις; πῶς ἡ ἐξορία; πῶς ἡ ὑπομονή; εὐχαριστεῖς τῷ θεῷ ὅτι ἠξίωσαι διὰ τὸ ὄνομα αὐτοῦ παθεῖν ἅπερ πέπονθας; δοξάζεις αὐτὸν καὶ αἰνεῖς ὅτι ἐκ πάσης τῆς ἀδελφότητος εἷς τῶν δέκα ἐγένου, δευτερεύων ἐν τῷ δέρεσθαι καὶ πρωτεύων ἐν τῷ σχήματι; ὑμνεῖς αὐτὸν καὶ στέργεις ὅτι εἶδες τὸ αἷμά σου χυθὲν ἐπὶ τὴν γῆν καὶ τὰς σάρκας σου ἐξεσμένας διὰ τὴν ἁγίαν εἰκόνα Χριστοῦ; χάρις Κυρίῳ, ἀδελφέ μου, τῷ καλέσαντί σε εἰς τὴν ὁμολογίαν αὐτοῦ σὺν τοῖς λοιποῖς· ἔλαμψες ἐν τοῖς ἀδελφοῖς σου, μᾶλλον δὲ ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. βλέπε οὖν τὴν κλῆσίν σου, βλέπε τὴν δόξαν σου, ποῦ ἦς κάτω καὶ ποῦ σε ὕψωσε Χριστός· ἀναλόγισαι γὰρ σαυτὸν καὶ τὰ σαυτοῦ καὶ δὸς δόξαν τῷ ἀγαθῷ θεῷ, ὅτι οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ.

Στῆθι οὖν ἔτι, τέκνον μου, ὑποφέρων τὸν κόπον τῶν ἔνδον / λογισμῶν· μέγας γὰρ οὗτος ὁ πόλεμος καὶ ἀκατάληκτος μέχρι τέλους ζωῆς. ὡς ἠρίστευσας ἔξωθεν ἐνεγκὼν τὰς πληγὰς καὶ φυλακάς, ἀρίστευσον καὶ πρὸς τοὺς ἀοράτως πολεμοῦντας, τοὺς πικροτέρους τῶν σωματικῶν τυράννων, ἵνα κομίσῃ τὸν μισθὸν τῆς στεφανώσεώς σου. ἔτι ἀγὼν κεῖται, μὴ ἀτονήσῃς ὅσα ἂν καὶ παραχωρῇ θεὸς ἢ εὐδοκῇ ἐπαχθῆναι, μὴ παραπεισθῇς ὑπό τινος μέχρις ἀγγέλου ἕτερόν τι φρονῆσαι ἢ ὃ παρελάβετε ἐκ θεοῦ, προσκυνεῖν τὰς τῶν ἁγίων εἰκόνας σὺν Χριστοῦ καὶ τῆς παναγίας Θεοτόκου· καὶ ἡ εἰρήνη τοῦ θεοῦ βραβευέτω τὴν καρδίαν σου ἐν πάσῃ ὑπομονῇ καὶ παρακλήσει.

Προσεύχου περὶ ἐμοῦ τοῦ ταπεινοῦ ἵνα περισῴζωμαι· οἱ μετ᾽ ἐμοῦ ἀδελφοὶ προσαγορεύουσίν σε. ἡ χάρις μετὰ σοῦ· ἀμήν.

---

174. altero semestri spatio a. 816   5 δέκα: cf. adn. ad ep. 171,8

2 2 Tim. 2,3   **10** 1 Cor. 1,26   **13** Rom. 9,16   **21** Gal. 1,8 sq.

C (S)

7 εἶδες: ἴδες C: ἴδε Mai   20 παραχωρεῖ CS^{ac} Mai   21 παραπεισθῇς: παραπιστὴς C: παραπιστῇς Mai (fort recte)

175. Θεοφυλάκτῳ Νικομηδείας

Διετίαν ἄγω μεριμνῶν καὶ κάμνων τοῖς λογισμοῖς εἰς τὸ ἐπιστεῖλαί με τῇ ἱερᾷ σου κορυφῇ καὶ μόλις μέχρι τοῦ νῦν ἐξεπλήρωσά μου ὁ ταπεινὸς τὸν πόθον. ἀλλ' εὖγε ὅτι ἀξιοῦμαι διὰ τοῦ γράμματος ἀσπάσασθαί σε, τὸν ἐμὸν πατέρα, τὸν στῦλον τῆς ἀληθείας, τὸ ἑδραίωμα τῆς ὀρθοδοξίας, τὸν φύλακα τῆς εὐσεβείας, τὸ στήριγμα τῆς ἐκκλησίας, τὸν νικηφόρον ἄνδρα, τὸν χριστοφόρον ἀρχιερέα, τὸν ὁμολογίᾳ θεοῦ μάρτυρα· μὴ γὰρ οὐ μαρτυρίου στέφανός σοι ὅτι διὰ Χριστὸν ἐξόριστος, ἄποικος, πολύτλας, καὶ ταῦτα ἐν ἁπαλῷ τῷ σώματι ὅσον ἐκ φύσεως, προτετρυχωμένῳ δὲ ἐξ ἀσκητικῆς οἶδ' ὅτι θεοδρομίας; αὐχεῖ ἐν σοὶ τῶν ὀρθοφρόνων ὁ χορός, ὁ τῆς Νικομηδείας χῶρος χαίρει καὶ εὐδοξεῖ, προῖκα προβαλλόμενός σε τῇ ὑπ' οὐρανόν, ἀποσεισάμενος τὰ πάλαι θρυλλούμενα ἐκ τῶν ἐκεῖσε προεδρευσάντων / ὀνείδη. εἰ δέ τι οἰκειότερον δεῖ φάναι, θυμηδιᾷ Ταράσιος ὁ ἐν ἁγίοις, ἐκ τῆς αὐτοῦ αὐλῆς καὶ χειρὸς πρόβατον πρίν, ἔπειτα ποιμένα περιβόητον ὁρῶν τανῦν ἀγωνιζόμενον καὶ προκινδυνεύοντα ὑπὲρ ὀρθοδοξίας, ᾗ συνεισήνεγκεν τὰ παρ' ἑαυτοῦ συνοδικῶς χάριτι θεοῦ ἐν ἡμέραις βασιλείας εἰρηνωνύμου καὶ εἰρηνοδώρου, ὡς συνδραμεῖν φερωνύμως τοῖς ὀνόμασι τὰ πράγματα.

Ἀλλ' ἐκεῖνα μὲν τοιαῦτα· τὰ δὲ νῦν πικρά τε καὶ ἐπώδυνα (πῶς γὰρ οὔ;), θυσιαστηρίων ἀφανιζομένων, ἐκκλησιῶν πορθουμένων, ἄνω καὶ κάτω κυκώσης τῆς αἱρέσεως καὶ Χριστὸν διωκούσης σὺν μητρὶ καὶ θεράπουσιν. ἢ γὰρ οὐχ οὗτοι δεδιωγμένοι, τῶν ἁγίων εἰκόνων αὐτῶν πορθουμένων; εἰ μὴ ἄρα καὶ τοῦ τύπου τοῦ ζωοποιοῦ ξύλου ἀφανιζομένου λέγοι τις τὸν σταυρὸν μὴ ἐκποδὼν γενέσθαι· εἰ δὲ ἐπὶ τοῦδε οὐχ οὕτως δοτέον, πῶς οὐχὶ καὶ ἐπὶ τῆς εἰκόνος συγκαταθετέον; εἰκὼν γὰρ καὶ ὁ τύπος, ὡς ἀνάπαλιν ἀντιστρέφει ὁ λόγος.

Ἀλλὰ τίς εἰμι ἐγὼ ὁ τάλας καὶ ἀμύητος θείῳ πατρί τε καὶ διδασκάλῳ αἰτιολογῶν ταῦτα; σὺ ἡμᾶς διδάσκοις, ὦ ἱερώτατε, τὰ τελεώ-

175. a. 817 13 προεδρευσάντων ὀνείδη: cf. ep. 48,52 18 βασιλείας: sub regno Eirenae

5 1 Tim. 3,15

C VM P_2P_1S

1 ἐπισκόπῳ titulo add VPS Sirm δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων add P_1S: in marg Sirm 4 ἀξιοῦμαι post γράμματος transp S^{ac} 5 στύλον VMS Sirm 7 ὁμολογίας VMPS Sirm 9 πολύυτλας C 11 νικομηδαίων V 14 δεῖν VMPS Sirm ταράσσιος C^{pc} 15 αὐτοῦ: αὐτῆς M 16 τὰ νῦν VMP 19 φερωνύμως: συνωνύμως S 25 ἐκποδῶν VMP 28 ἐγὼ om Sirm τε om Sirm

τερα ὡς θεομύητος καὶ ἔργῳ παιδεύοις φέρειν καρτερῶς τὴν νῦν εἴτε παιδείαν εἴτε δοκιμασίαν, τὸ πρῶτον ἐφ' ἡμῖν διὰ τὰς ἁμαρτίας, τὸ δεύτερον ἐπὶ σοὶ διὰ τὴν θείαν ἀγάπην Χριστοῦ· ᾧ λιτανεύειν μὴ ἐλλείποις ἐκτρέψαι τὴν τῆς ἀσεβείας σκιὰν εἰς πρωΐαν εἰρηνικῆς ὀρθοδοξίας τάχιστα.

176. Ἐπιφανίῳ ἡγουμένῳ Εὐκαιρίας

Παρὰ τὸ διδαχθῆναί με μεθορισθῆναί σου τὴν ἁγιωσύνην τῆς διὰ Κύριον φυλακῆς, ἐν ᾗ τανῦν κατέχῃ, οὐκ ἐξεγένετό μοι μέχρι τοῦ δεῦρο ἐπιστεῖλαι, καίπερ ἔχων πόθον· ἐπεὶ δὲ ἔμαθον ἀσφαλῶς ὅτι νικαΐζεις καὶ τόπῳ καὶ τρόπῳ, σὺν τάχει καὶ πόθῳ μοι τὸ γράμμα. δι' οὗ καὶ φιλῶ σε τὴν ἱερὰν κεφαλὴν καὶ ἀσπάζομαι καὶ χαίρω καὶ συγχαίρω· πῶς γὰρ οὐ χαρᾶς τὰ καθ' ἡμᾶς, ὅτι διὰ τὴν χαράν, ἣν ἐγέννησεν ἡ Θεοτόκος, ἐν ἐξορίαις καὶ φυλακαῖς εἷς ἕκαστος ἡμῶν; συναριθμεῖν γὰρ τολμῶ ἑαυτὸν ὁ ἀνάξιος τοῖς ὁμολογηταῖς Χριστοῦ, ὑπὲρ οὗ καὶ δι' ὃν κακοπαθεῖν ἠξιώμεθα. εὐφροσύνης τὰ ἡμέτερα, ὦ ἄνερ, ἐπιθυμιῶν, θυμηδίας, αὐχήσεως· οὐκ ἀκούεις Παύλου φάσκοντος, νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία; ὑπὲρ ταύτης καὶ νῦν τὰ παθήματα, ὁ θλιμμός, ἡ στενοχωρία, ὁ διωγμός, ὁ δαρμός, ὁτιοῦν ἄλλο, εἰς ἔνδειξιν μὲν ἀπωλείας τοῖς ἰουδαΐζουσιν, εἰς ἀμοιβὴν δὲ σωτηρίας τοῖς σὺν σοὶ ὑπομένουσι τὰ τοῦ Χριστοῦ στίγματα.

Ἀλλὰ ταῦτα μὲν / οὕτως. πῶς δὲ καὶ οἵα ἡ φρουρὰ καὶ ὁ φρούραρχος; εἰ ἆρά εἰσί τινες εὐσεβοῦντες κἂν νικοδήμως ἐν τοῖς στρατιομονάχοις καὶ λαΐζουσιν ἢ πάντες ἐκκεκλικότες ἠχρείωνται; πῶς δέ σοι τὰ τῆς θεωρίας ἔχει; ἐπειδὴ καθαρὸς ὢν εἰλικρινεῖς τὰς ἐμφάσεις πρὸς θεὸν δέχῃ, κάμπτεται Χριστὸς λιτανιζόμενος πρὸς τὸ

---

33 ἐλλίποις VM 34 ὀρθοδοξίας: θεοσεβείας S

---

176. a. 816 – 817

7 Joh. 16,21 12 Col. 1,24 15 2 Cor. 12,10 17 Gal. 6,17 20 Ps. 13,3

C (S)

1 εὐκαιρίας in marg CS 3 τὰ νῦν C Mai κατέχει C Mai 11 θυμηδείας C Mai 15 ὅτι οὖν C 19 στρατιωμονάχοις C Mai (sed cf laud Plat 39 [841 C]) 20 ἐκκεκληκότες C 21 ἔχει om Mai 22 θεὸν: θεοῦ S δέχει C

ἐπιτιμῆσαι τῇ αἱρετικῇ πολυκυμίᾳ ἢ ἔτι εἰς τὸ δοκιμάσαι, ὧν μὲν τὸν πρὸς αὐτὸν πόθον, ὧν δὲ κενῶσαι τὴν ὅλην κακίαν εἰς τὸ καὶ κολάσαι ἐνδίκως, ἀναβάλλεται τὴν ἐπιτίμησιν;

Δίδαξον ἕκαστα καὶ στηρίζοις με εὐχαῖς ὅτι μάλιστα, ἀσαλεύτως ταῖς ἔνδοθεν τῶν παθῶν καὶ ἔξωθεν πειρασμῶν προσβολαῖς διαμένειν, τὸν σόν, εἰ καὶ ἁμαρτωλόν, ἀλλ' ὅμως ἐραστὴν καὶ ἐπαινέτην.

177. Ναυκρατίῳ τέκνῳ

Οἱ προμεμελετηκότες ἀκούειν τὰ θλιπτικὰ οὐ ξενοπαθοῦσιν ἐν ταῖς ἀπευκταῖς ἀγγελίαις. διὸ οὔτ' ἐθροήμεθα, τέκνον, ἐν ταῖς τῶν γραμμάτων σου ἀπαγγελίαις· ἐλεειναὶ δὲ ὅτι μάλιστα (πῶς γὰρ οὔ;), ἔτι ἀφανιζομένων τῶν ἱερῶν ναῶν τοῦ θεοῦ τοῦ τε κατὰ τῶν εὐσεβούντων διωγμοῦ μᾶλλον κορυβαντιῶντος ἔσω τε καὶ ἔξω. δεῖ δὲ ὅμως κωδωνισθῆναι πᾶσαν ψυχὴν καὶ κοσκινισθῆναι πάντα τόπον, ἵνα τῶν ἀχύρων ὁ σῖτος διαχωρισθῇ, εἰ καὶ ὀλιγοστός· ἐπείπερ ὀλίγοι, ὡς ὁ Κύριος ἔφη, οἱ ἐκλεκτοί. ἐλύπησεν ἡμᾶς οὐ μικρὸν ἡ τοῦ Δημητριάδος κατάπτωσις· καί γε μὴ ἐπαινέσῃς ἄνδρα, φησίν, ἕως ἐξόδου αὐτοῦ. τί γὰρ καὶ πεπόνθαμεν; οὔπω μέχρις αἵματος ἀντεκατέστημεν πρὸς τὴν ἀσέβειαν ἀνταγωνιζόμενοι καὶ ἐκλελήσμεθα, ἀποστολικῶς εἰπεῖν, τῆς παρακλήσεως. ἀγωνία μοι περὶ τῶν συλληφθέντων ὁμοῦ ἀδελφῶν, πῶς τὰ κατ' αὐτοὺς ἀποβῇ σκοποῦντι· πλὴν ὅτι εἰθίσμεθα, ὥσπερ οἱ ἐν τοῖς χαλκείοις τῇ σφυροκοπίᾳ, μὴ παραξενίζεσθαι ἐν ταῖς βαρείαις τῶν συμφορῶν ἀκοαῖς.

Εὔχομαι τοίνυν ὡς ἁμαρτωλὸς εὖ πρᾶξαι αὐτούς· διὰ Χριστὸν γὰρ ὁ ἀγὼν καὶ οὐ μικρολογούμενος ὡς ἐπὶ τῆς / μοιχείας παρά τισι τῶν ἀσυνέτων· Χριστὸς ἐμφανῶς ὁ τανῦν ἀθετούμενος σὺν μητρὶ καὶ θεράποσιν. ὦ ἄνδρες, ὦ στρατιῶται Χριστοῦ, στῆτε γενναίως, ἄρατε δυνατὰ ὅπλα, οἷς πεφράχθαι ἡμᾶς πρὸς καθαίρεσιν τῶν τοῦ διαβόλου ὀχυρωμάτων Παῦλος διακελεύεται. ἴδε ὁ πόλεμος, ἴδε ἡ νίκη (Χριστὸς γὰρ ἐπίκουρος), ἴδε οἱ στέφανοι τῆς δικαιοσύνης οἱ ἀμαράν-

177. altero semestri spatio a. 816

9 Matth. 22,14 11 Hebr. 12,4 sq. 20 2 Tim. 2,3 21 Eph. 6,11 23 2 Tim. 4,8 1 Petr. 5,4

C (S)

6 δὲ om Mai 7 κωθωνισθῆναι Mai 12 ἀντικατέστημεν S 14 συλλειφθέντων C ἀποβεῖ C 15 ἠθίσμεθα Mai χαλκίοις C Mai 18 ἐπί: μὲν Mai 19 τὰ νῦν C Mai 20 θεράπουσιν S

τινοι, ἴδε ὁ παράδεισος, ἴδε ἡ βασιλεία τῶν οὐρανῶν· ὁρῶσιν οἱ ἄγγελοι, συνεφήπτονται τῇ πάλῃ ἡμῶν κατὰ τῶν ἐναντίων, συναγωνιοῦσιν οἱ ἅγιοι ἐξ οὐρανοῦ, ἐποπτεύοντες τὰ σκάμματα ἡμῶν. μὴ ἐκκλίνωμεν, ὦ σύναθλοι καλοί, μὴ ὑποπτήξωμεν τὰς φυλακὰς καὶ ταλαιπωρίας, ἔσθ' ὅτε καὶ ποινάς, μὴ καταισχύνωμεν Χριστὸν ἐν τῇ ἥττῃ ἡμῶν, ὅπερ ἀπείη, μὴ ἐντρέψωμεν τοὺς συναγωνιστὰς ἡμῶν ἀγγέλους, μὴ λυπήσωμεν τοὺς ὁμοταγεῖς ἡμῶν προδρόμους καὶ νικητάς. ἔστιν οὖν τοῦ πρώτου διαύλου ὁ ἀγών, ἐν ᾧ τὰ πολλὰ ἔπαθλα, ὡς ἴστε, κατὰ τὸν κάτω δρόμον. ἀλλά γε κἂν τοῦ δευτέρου ἡμεῖς τύχοιμεν· εἰ δέ γε διαμαρτοίημεν καὶ τοῦδε, κἂν τεταρτοβαΐσωμεν· μὴ δὴ μόνον λειφθῶμεν κατῃσχυμμένοι, εὑρισκόμενοι ἐν τῷ φοβερῷ βήματι Χριστοῦ, μὴ εὑρίσκοντες δευτέραν ἀναπάλαισιν. ναί, δέομαι, νικήσωμεν. ἐπειδὴ δὲ στάδιον ὁ παρὼν καιρός, πῶς οὐκ ἔστι χαίρειν με τὸν ταπεινόν, ἀκούσαντα καὶ νῦν ὅτι γε νενικήκασιν οἱ ἐκδημήσαντες ἀδελφοὶ ἡμῶν καλῶς πολιτευσάμενοι; ἥσθην ἐν τῷ Μηδικιώτῃ ὅτι κάλλιστα ἀνεπαλαίσατο, καί γε ἐπὶ τῇ ἐξορίᾳ τοῦ τῆς Νικαίας· ὧν εὐχαῖς στηριχθείην κἀγὼ ὁ ἀχρεῖος. εἰ ἐφιστῶσιν ὑμῖν εἰκονομάχοι, θύραν ἀφ' ἑαυτῶν μὴ ἀνοίξητε· ἂν δὲ λῃστρικῶς κατὰ τὸ σύνηθες αὐτοῖς ποιήσωσιν, ἀθῷοι ὑμεῖς. μὴ ὑποχωρήσητε, ἀλλ' ἔτι μένετε ἕως διωγμοῦ ἢ ἐπάρσεως· ὁ ἀφανισμὸς ἐπὶ κεφαλὰς αὐτῶν. ὑμεῖς δὲ τοῦ ναοῦ μὴ ἀποστῆτε καὶ ψάλλειν καὶ λειτουργεῖν· οὐκ οἶδα εἰ μὴ κοινώσωσι τὸν ναὸν διὰ τῆς οἰκείας μυσαρίας, ἤγουν λειτουργίας. /

Περὶ ὧν ᾔτησας συγχώρησιν, εἴη σοι ἀπὸ θεοῦ ἐπὶ πᾶσι. τὴν δυάδα τῶν γραμματηφόρων, ἐπειδὴ ἀσύνοδος, ἔλαβον αὐτὴν εἰς ὑπηρεσίαν ὁλοτελῶς τοῦ λόγου τῆς ἀληθείας· τί τοῦτο; εὐαγγελίζεσθαι διὰ τῆς ὁδοιπορίας ὧδε κἀκεῖσε τοῖς ἀδελφοῖς τὰ σωτήρια. εἴθε καὶ ἄλλους ἐξελεξάμεθα ἄνδρας δυνάμεως, γῆν καὶ θάλατταν περιερχομένους. ὧδε τανῦν ἐγώ· πρὸς τὸ ἑξῆς οὐκ ἴσμεν ποῦ καὶ πῶς οἰκονομήσει ὁ Κύριος, οὐ μόνον τὰ καθ' ἡμᾶς, ἀλλὰ καὶ τὰ κατὰ σέ, τοῦ τε ἀρχιεπισκόπου καὶ οὗτινος ἄλλου τῶν ἐναθλούντων ἀδελφῶν. ἐπεὶ καὶ ἐν Θεσσαλονίκῃ τινές, ὡς γέγραφας, δεῖ ἡμᾶς πανταχοῦ περιιέναι γράμμασι καὶ ἀδελφοῖς· οὕτω φιλεῖ Χριστός, οὕτω χρέος ἡμῖν φροντίζειν. καὶ εἰ οὕτως εὐοδώσειεν Κύριος ἀνοῖξαι ἡμῖν θύραν ἐν τῇ ὑπ'

55 τινές: quorum unus Studita Theodulus; cf. ep. 190,4

34 2 Cor. 5,10

25 συνεφάπτονται S Mai 33 τεταρτοβαήσωμεν C Mai 35 τοῦ post βήματι add S 51 θάλασσαν Mai 52 τὰ νῦν C Mai τοεξῆς S 54 οὔτινος C 57 εὐοδώσειε S ἀνοίξαι C Mai

οὐρανόν· οὐδὲν γὰρ αὐτῷ ἀδυνατεῖ. εἰ δὲ ἄπεισί τις βοηθήσων τοῖς ἐν Θεσσαλονίκῃ, ἡμεῖς προθυμούμεθα τὰ θεῷ φίλα καὶ αὐτὸς τὰ εὔοδα παρέχοι· κἂν πάντες φρουρισθῶμεν, δύναται ἐκ τῶν λίθων ἐγεῖραι διακονητάς. διὸ μὴ καταπίπτωμεν, ἀλλὰ πιστεύωμεν. ἐτόλμησα ποιῆσαι ἐγκώμιον εἰς τὸν Θεολόγον καὶ κεφάλαιά τινα κατὰ τῶν εἰκονομάχων, τὸ μὲν ὡς χρέος, κινούμενος καὶ παρὰ τῶν ἀδελφῶν, τὰ δὲ ὡς ἐπισείοντά μου τὸν νοῦν· εἴ τι ἐν αὐτοῖς καλόν, ὑμῶν εὐχαῖς καὶ τοῦ ποιμένος, εἰ δέ τι σαπρόν, ἐξ ἐμῶν ἁμαρτιῶν. διὸ μεταγράψαντες ἔχετε ἀσφαλῶς, καιρῷ δυνάμεως ἐπισκεπτομένων παρὰ τοῦ ἀββᾶ Ἰωάννου.

Προσαγορεύουσιν οἱ ἀδελφοί, ἀσπάζομαι τοὺς σὺν σοὶ καί γε τὸ δ̄, τὸ θ̄ καί γε σέ, τέκνον μου ποθητὸν Λιτόιε. ἡ χάρις μετὰ πάντων ὑμῶν.

178. Τιθοΐῳ τέκνῳ

Μικρὰ ἡ ἐπιστολή σου, τέκνον, ἀλλὰ μεγάλης θλίψεως ἔχουσα δύναμιν· καὶ οἶδ' ὅτι ἐλύπησά σε, τὸν υἱόν μου, ἀλλ' οὐ βουλόμενος, ἀλλ' οὐκ ἀσυμπαθῶς φερόμε/νος, ἵνα δὲ γνοίης ὅτι πατέρα ἔχεις, κἂν ἁμαρτωλόν, ὅμως φιλότεκνον. ἐκ γὰρ πολλῆς μου ἀγάπης, ἧς ἔχω περὶ σέ, πρὸς τὸ τέλειόν σε εἶναι καὶ ἐν μηδενὶ λειπόμενον, ἔπληξα, ἐλύπησα, ὠνείδισα, ἐβάρυνα τὴν ἀγανάκτησιν, ὅπως οἷον ζητεῖ ἡ ἀλήθεια ἀπεργάσοιμί σε. καί γε χάριτι Χριστοῦ εὗρον ὡς ἐν πυρὶ τῇ θλίψει δοκιμασθέντα καὶ χρυσίου τιμιώτερόν μοι ὀφθέντα δι' ὧν ἀπελογήσω, δι' ὧν κατηνύγης, δι' ὧν ἐβραχυλόγησας· τὸ γὰρ μικρὰς φωνὰς ἀφεῖναι ἀπολογίας τὸν ἐπιτιμούμενον μεγάλης ταπεινώσεως καὶ ἀρετῆς μέτρον. εἶδες πῶς σου ἀνεσκάλευσα τῷ ὀρυκτῆρι τῆς ἐπιτιμίας τοὺς τῆς ἀρετῆς θησαυρούς, τέκνον, καὶ ἀγνοουμένους εἰς προῦπτον ἤγαγον τοῖς ἀδελφοῖς σου, ἄλλον ἐξ ἄλλου σε φανερώσας;

---

62 ἐγκώμιον: or. 9; cf. p. 27*

60 Matth. 3,9   69 Tit. 3,15

60 παρέχει omnes: correxi   φρουρισθῶμεν C: φρουρηθῶμεν S (sed cf epp 48,57; 125,10)   66 ἐπὶ σκεπτομένων C   69 λιτώϊε C: λητόϊε S: Λητώϊε Mai

---

178. altero semestri spatio a. 816

6 Jac. 1,4

C (S)

3 ἐλυπήσα C   10 κατενύγης S   11 ἀπὸ λογίας C   ἐπιτιμώμενον S

ὥστε καὶ χάριν ὀφείλεις μοι ὁμολογεῖν ἐπὶ τῇ ὑψώσει τῆς δόξης σου. ἔστρεψάς μου τὴν θλῖψιν, ἣν ἄκων ἐποίησας, εἰς χαρὰν μεγάλην, ἐκαρδίωσάς με μεῖζον πολὺ ἐν τῇ θερμῇ σου φιλίᾳ ὡς μάρτυς θεός· ὥστε οὐ μεταμεμέλημαι πλήξας (ἤνοιξα γὰρ πηγὴν ἀγάπης), ὥστε οὐκ εὐκαταφρόνητος ὁ ἀποστολικὸς νόμος· ἔλεγξον, φησίν, παρακάλεσον, ἐπιτίμησον εὐκαίρως ἀκαίρως.

Οὕτω, τέκνον μου ποθητόν, εἰς καλὸν ἐν πᾶσι γέγονε τὸ γράμμα ἐκεῖνο· οἶδα ὅτι ἀγαπᾷς με, ἐπεὶ κἀγώ σε· οἶδα ὅτι δι' ἐμὲ ζῇς, ἐπεὶ κἀγὼ διὰ σέ· οἶδα ὅτι καὶ τοὺς ὀφθαλμούς σου, εἰ δυνατὸν ἐξορυχθῆναι, ἔδωκές μοι ἄν, ἐπεὶ κἀγώ σοι. χάρις τῷ θεῷ τῷ οὕτως οἰκονομήσαντι. ἔχου, τέκνον μου ποθητόν, τῆς διακονίας σου τελεώτερον· συγχωρηθείη σοι πᾶν ἁμάρτημα, ὡς καὶ τοῖς πᾶσιν. ἵνα δέ σοι δείξω καὶ ἐν ὑποδείγματι τὸ πλεονάζον τῆς πρός σέ μου ἀγάπης ἐν Κυρίῳ, δέξαι τὸ ἐγκώμιον τοῦ δεσπότου ἡμῶν τοῦ Θεολόγου, ὃ ἐπὶ σοῦ καὶ διὰ σοῦ πλέον κινηθεὶς ἐτόλμησα ὁ ἀνάξιος ποιῆσαι. μετάγραψον οὖν αὐτὸ καθαρίως καὶ εὔξασθε καταπεμφθῆναί μοι ἄφεσιν ἁμαρτιῶν ἐν οἷς καὶ ἐν τῷ ἐγκωμίῳ ἔσφαλα καὶ ἐνέλιπον ὁ τάλας / καὶ ἐν παντὶ πάντοτε τῷ ἁμαρτωλῷ μου βίῳ. περισσοτέρως δὲ παρακαλῶ παρασκευάσθαι ὑμᾶς καθ' ἑκάστην ἐν τῷ προκειμένῳ διωγμῷ ὑπὲρ Χριστοῦ, ἵνα μηδεὶς ὑμῶν θεοῦ εὐδοκίᾳ καταισχυνθῇ. βλέπε, ἀδελφέ, πῶς παρακαλεῖτε καὶ ὑπομνηματίζετε ἀλλήλους ἐν τοῖς ὑπὲρ εὐσεβείας ἄθλοις. ἄσπασαι τὸν καλόν μου Δομετιανόν· ἄσπασαι Εὐπρεπιανὸν τὸν σύγκλειστον καὶ σύμψυχον καὶ συνταλαιπωρήτην μου· ἄσπασαι Θεόδουλον τὸ πιστόν μου τέκνον· ἄσπασαι Μητροφάνην τὸν ποθητόν μου υἱόν· ἄσπασαι μυστηρίως Κασιανὸν καὶ Νεῖλον, τοὺς πρὶν μὲν λυπήσαντας, ἄρτι δὲ διὰ σῆς ἀπολογίας φιλητούς μου παῖδας.

Ὁ Χριστὸς μεθ' ὑμῶν· ἡ ἀγάπη μου ἐν Κυρίῳ μετὰ πάντων ὑμῶν· ἀμήν.

---

28 ἐγκώμιον: cf. adn. ad ep. 177,62

---

19 2 Tim. 4,2 23 Gal. 4,15 31 Act. 5,31

---

16 ἐποίησας: ἐποίησα Mai 18 πηγὴν: an πληγὴν scribendum? 19 ἀπὸ στολικὸς C 20 ἐπὶ τίμησον C 22 ὅτι[2] – 23 οἶδα om Mai 31 ἐνέλειπον C Mai 33 παρεσκευάσθαι S καθεκάστην S 34 ἡμῶν C Mai 40 σῆς: τῆς Mai

179. Τῷ αὐτῷ

Οὐ πολλοῦ μοι λόγου χρεία ἐν τῇδε τῇ ἐπιστολῇ, τέκνον ἠγαπημένον, διὰ τὸ ἐν τῇ προπεμφθείσῃ τὰ νῦν δηλωθέντα μοι διὰ τῶν γραμμάτων σου καὶ ἀποδέξασθαι καὶ ἀποκριθῆναι· ὅμως καὶ ἡ ἐπιδευτέρωσίς σου ἀποδεκτέα μοι πάνυ. εὔχομαι οὖν ὡς ἁμαρτωλὸς τελειῶσαί σου τὸν δρόμον οὐ μόνον τὸν διὰ παντὸς τοῦ βίου, ἀλλ' ἤδη μάλιστα τὸν ἐνιστάμενον· ἴδε γὰρ τί ἔπαθον οἱ ἀδελφοί σου, οἱ μὲν διὰ τῆς ὑπομονῆς τῶν ὀδυνῶν στεφανωθέντες, οἱ δὲ διὰ τῆς ὀλιγωρίας καταισχυνθέντες. κράτυνον ἔτι, κράτυνον σαυτόν, τέκνον μου, σὺν τοῖς ὑπὸ χεῖρα τῆς διακονίας σου· καὶ ἐμπαράσκευοι ἐστέ, παρακαλῶ, καθ' ἑκάστην ἡμέραν πρὸς τὸ τὰ ἴσα παθεῖν. εἰ δέ τις ἐξ ἀπιστίας ὀκλάζει κατὰ τὰς ἁμαρτίας μου, ὑποχωρείτω, ἵνα μὴ πρὸς τῇ οἰκείᾳ ἀπωλείᾳ καὶ ἄλλοις γίνοιτο αἴτιος ἥττης· πόσῳ γὰρ συνέφερεν τοὺς περὶ Λουκιανὸν τοῦτο πρᾶξαι καὶ μὴ τῷ δοκεῖν φερεπόνους ὑπάρχειν καὶ εἰς πτῶσιν ἐνεχθῆναι.

Ὢ τῶν ἁμαρτιῶν μου· δι' ἐμὲ γὰρ πάντα τὰ κακά. ἐδεξάμην καὶ νῦν τὰς εὐλογίας ὑμῶν, καὶ πολλαί εἰσιν καὶ καταβαρῶ ὑμᾶς, συγχωρήσατε· πλὴν πληρωθείητε παντὸς ἀγαθοῦ. ἄσπασαι τὸν οἰκονόμον καὶ παροικονό/μον καὶ τοὺς λοιπούς, λέγων τῷ οἰκονόμῳ ὅτι πάνυ ἀπεδεξάμην τὰ γράμματά σου. οἱ σὺν ἐμοὶ προσαγορεύουσίν σε.

180. Δομετιανῷ τέκνῳ

Εἴωθας πάντοτε, τέκνον μου, ἀνακαλεῖσθαί με ἐν ταῖς ἐξορίαις ὡς παῖς γνήσιος τὴν οἰκείαν μητέρα, καίπερ οὐ γάλακτος δεόμενος,

---

179. a. 816 exeunte 18 οἰκονόμον: Naucratius

6 Act. 20,24 17 2 Cor. 12,16

C (S)

2 ἐπὶ στολῇ C 4 ἀπὸ κριθῆναι C 11 ἶσα S 13 συνέφερε S 14 τῷ: τὸ C Mai 17 εἶσι S

---

180. a. 816 exeunte vel a. 817 ineunte

3 1 Cor. 3,2

C (S)

ἀλλὰ στερεοτροφῶν ἐν Κυρίῳ. τί οὖν; τῆς πολλῆς σου ἀγάπης τὸ αἴτιον, οὐκ ἀνεκτῶς φερούσης τὸν χωρισμόν. ἀλλὰ δῴη σοι Κύριος τὸ ἑαυτοῦ φίλημα καὶ στερεώσειέν σε τὸν ὑπὲρ αὐτοῦ ἀγῶνα ἤδη προκείμενον ἄριστα διανύσαι· οἶδά σε γὰρ τίς εἶ, ὅτι θερμῶς ζητεῖς τὸν Χριστόν. ἴδε καιρὸς σύντομος εὑρέσεως, διάθου σαυτὸν κράτιστα. πίωμεν, τέκνον μου, τὸ ποτήριον, ὃ ἔπιεν ὁ Κύριος ἡμῶν, ἵνα γλυκανθῶμεν σὺν αὐτῷ εἰς αἰῶνας. ζέσωμεν μάλα τῷ πυρὶ τῆς θείας ἀγάπης, καὶ τὸν χειμῶνα τῆς ἀπιστίας οὐ δείσωμεν· οἱ γὰρ χλιαροὶ ἀδελφοὶ τί πεπόνθασιν, οἶσθα. ἡμεῖς τῶν ζεόντων ἐσόμεθα, ὧν τὰ στέφη ἰσομάρτυρα· εἶεν ταῦτα καὶ ἐφ' ἡμῖν.

Ἐδεξάμην σου καὶ νῦν τὰς προσφορὰς καὶ μάλιστα τὸν καμψάκην τοῦ ἐλαίου· καὶ ἱνατὶ αὐτὸ ὃ εἶχες ἔπεμψες; πλὴν ὁ θεός μου ἀντιδοίη σοι τὰ αἰώνια. προσεύχου περὶ ἐμοῦ τοῦ ταπεινοῦ θερμότερον. οἱ σὺν ἐμοὶ ἀδελφοὶ ἀσπάζονται.

181. Εὐθυμίῳ καὶ τοῖς λοιποῖς ἀδελφοῖς

Τίς ἡ ἀκοὴ ἢ τὰ ὦτα τῆς ἐμῆς ταπεινώσεως περιηχήσασα; τίς ἡ ἀγγελία ἡ τὴν ἀθλίαν μου ψυχὴν ἐξάπινα ἐκθαμβήσασα; καὶ Εὐθύμιος ὁ ἐμὸς γνήσιος υἱὸς ἐν μάρτυσι μεθ' ἑτέρων ἐννέα, ὧν τὰ ὀνόματα Ἐφραίμ, Ἀφροδίσιος, Ἀμμωνᾶς, Ὑπερέχιος, Στέφανος, Παρθένιος, Ἡγήσιμος, Συμεὼν καὶ Δωρόθεος. μικροῦ καὶ ἀπιστῶ, μικροῦ καὶ τοῦ γράφειν ἐγκόπτομαι, δάκρυσιν ὁμοῦ καὶ χαρᾷ περιεχόμενος. δόξα σοι ὁ θεός, ὁ μαρτυρικοῖς ἀγῶσι περιαστράψας ὑμᾶς. ἐβαστάξατε, τέκνα ἀγαθά, αὐτοὶ τὰ στίγματα τοῦ Χριστοῦ ἐν τοῖς τιμίοις ὑμῶν μέλεσιν, ἐδώκατε ὡσαύτως τὸν νῶτον ὑμῶν εἰς τοσαύτας μάστιγας· ἡγιάσθη ἡ γῆ ἐν τοῖς αἵμασιν / ὑμῶν. πόθεν καὶ πῶς ἐκ πάντων αὐτοὶ τόδε τὸ κλέος ἐκληρώσασθε; πολλὴ ἡ παρρησία,

---

14 καμψάκην: cf. Theod. Stud. catech. parv. 36 (p. 131 Auvray); W. Hilgers, Latein. Gefäßnamen. Düsseldorf 1969, 140

9 Matth. 20,22 14 Judith 10,5

6 στερεώσειέ S 11 δείσομεν S 14 καμψάκιν C 15 ἵνα τί C Mai

---

181. a. 816

9 Gal. 6,17

C (S)

5 Ἀμωνὰς C Mai: ἀμωνᾶς S: correxi

ἀθλοφορικὴ ἡ πρὸς τὸν χριστομάχον Ἀντώνιον ὑπόκρισις ὑμῶν. εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, ἀπαρχὴ ἁγία, στήλη ἀνδρείας τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ, εὐζηλία καὶ ἀναπύρωσις τοῦ μοναδικοῦ τάγματος. μία ὥρα ἡ ποινὴ καὶ διαιωνίζουσα ἡ μισθαποδοσία, ἐπ' ὀλίγον τὰ ἀλγεινὰ καὶ ἀπλήρωτα τὰ ἀγαθά. ἄπιτε καὶ αὐτοὶ χρυσότεκνοι, τάττοισθε μετὰ τῶν ἰσαρίθμων ὑμῶν κρητιαίων μαρτύρων. προσεύξασθε ἑπομένως ὑμῖν κἀμὲ τὸν ἀνάξιον ὑμῶν πατέρα θεοῦ εὐδοκίᾳ ἐπιέναι. ἤκουσεν καὶ ηὐφράνθη Σιὼν καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Βυζαντίδος, εἰ δ' οὖν ἀνατολὴ καὶ δύσις, μακαρίζουσα ὑμῶν τὴν θεοστεφάνωτον δεκάδα.

Οὕτως ὑμῖν ἐν βραχέσι διελέχθην, πολλοῖς ἐγκωμίοις οὖσιν ἀξίοις· ὧν τὴν μνήμην ὁ ἑξῆς δηλώσει χρόνος εἰς καύχημα ὀρθοδόξων, εἰς αἰσχύνην τοῦ ἐχθροῦ. τὰ δὲ νῦν, συγκακοχούμενος καὶ συνανιώμενος ὑμῖν τῇ διαθέσει, ἐπεὶ ἐμὰ μέλη τὰ ἀλγυνόμενα ταῖς πληγαῖς, παρακαλῶ καὶ ἀντιβολῶ, ἀσπάζομαι καὶ περιπτύσσομαι, προτείνω ὑμῖν τὰς χεῖρας, στῆτε, κύριοί μου, στῆτε· ἔτι ὁ Χριστὸς ἀγωνοθετεῖ, ἔτι βούλεται πολυπλασιάσαι ὑμῶν τοὺς στεφάνους. ὧν ἡ ἀρχὴ θαυμαστή, τούτων εἴη καὶ τὸ τέλος ἐπάξιον. μὴ δείσωμεν τὰ μέλλοντα· ὁ τότε δυναμώσας καὶ αὐτίκα πάρεστιν, καὶ μᾶλλον ἀσπάσεται καὶ κουφίσει τὰ ἄλγη καὶ ὑψώσει τὸ κέρας ὑμῶν. εἴπατε καὶ αὐτοί, βέλη νηπίων ἐγενήθησαν ἡμῖν αἱ πληγαὶ αὐτῶν· ἐκείνων ἐστὲ σπέρμα, τῶν ἐν πυρὶ δροσισθέντων καὶ λέοντας φιμωσάντων.

Μὴ δὴ καλῶς ἐναρξάμενοι καὶ μαρτυρικοῖς αἵμασιν ἀλειψάμενοι ἔπειτα κατολιγωρήσωμεν· φοβερὸν γάρ, ὦ τέκνα, τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος. κώνωψιν παραβλητέα τὰ ἀνθρώπινα ἄλγη. οὕτω τοιγαροῦν καὶ πιστεύω καὶ ἐγκαλλωπίσομαι κἀγὼ ὁ τάλας δι' ὑμῶν, ἀλλὰ μὴν καὶ σωθήσομαι. τέλος τοῦ λόγου, / σκοπήσατε ὅτι ὅσον ἐξεφημίσθητε εἰς τὴν οἰκουμένην, τοσοῦτος καὶ ὁ ἀγὼν ὑμῖν τῆς καλῆς τελειώσεως, θεοῦ δηλαδὴ ἐνισχύοντος.

---

18 μαρτύρων: de decem martyribus Cretensibus cf. Sym. Met. mart. SS. X MM Cret. (PG 116,565 sq.); vit. S. Nicolai Stud. (PG 105,868 C) cum adn. F. Combefisii; P. Franchi de' Cavalieri, I dieci martiri di Creta, in: Miscellanea Giovanni Mercati, V. Vaticano 1946, 7 sq.

16 Hebr. 10,35   20 Ps. 96,8   25 Hebr. 11,25   32 Ps. 63,8   33 Dan. 3,50   34 Dan. 6,19   36 Hebr. 10,35

13 ὑπόκρισις S   14 ἀνδρίας S   15 ἀναπύρωσις: ἀναπλήρωσις Mai   16 καὶ om Mai   ἐπολίγον S   17 ἄπειτε C   20 ἤκουσε S   ἡ ante Σιὼν add S   σιῶν C   21 εἰ δ': εἶτ' Mai   25 συγκακουχούμενος S (sed cf E. Trapp, in: Byzantine Studies 8, 11, 12 [1981–1985] 395 adn 1)   31 ἀσπάσηται C: ἀσπάσῃ τε Mai   36 κατ' ὀλιγωρήσωμεν C   37 κώνωψι S   38 τοίγαρ οὖν C

Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ· οἱ σὺν ἐμοὶ ἤδη φιλοῦντες φιλοῦσιν ὑμᾶς.

182. Γενναδίῳ τέκνῳ

Βραδὺ μέν, ὅμως ἐδεξάμην σου γράμμα, ἐπιπόθητόν μου τέκνον, καὶ τοῦτο ἐμμελές. ἀλλ' ἱνατί ὠψίσθης; οὐκ οἶδας ὅτι ἐν τῇ ἀπουσίᾳ, εἰ μὴ ὁ ἐγγράμματος συνοψισμὸς γίνοιτο, κινδυνεύει τὸ τῆς ἀγάπης καλὸν καὶ τὸ τῆς πίστεως ὁμονοητικόν; καὶ εἰ μὲν οὐχ οἷός τε ἧς ἐπιστέλλειν ἀπειρίᾳ γραμμάτων, ἦν ἂν τὸ σύγγνωστον, ὅπου γε καὶ οὕτω οὐκ ἔξω μομφῆς διὰ τὸ χειρὶ ἑτέρου ἐκτελέσαι τὸ καθῆκον· ἐπεὶ δὲ χάριτι Χριστοῦ ἰσχύεις καὶ ἄλλοις κιχρᾶν ἑαυτόν, οὐκ ἐπαινετὴ ἡ βραδυτής.

Ἀλλὰ τοῦτο μὲν ἔστω σοι συγχωρητόν. ἱνατί δὲ προσάπτεις μοι ἐπαίνους ὧν ἀμοιρῶ; εὔχου τοίνυν ἐπιτυχεῖν με θεοῦ διὰ τῆς ἐν παντὶ τρόπῳ δεξιοπραγίας· καί γε τοῦτο κἀγὼ ἐπὶ σοὶ αἰτῶ, ὡς ἂν διασωθείης, μήτε ὑπὸ ἀοράτων ἐχθρῶν μήτε ὑπὸ τῶν νῦν ὁρωμένων ἁλούς, σῶάν σου δὲ τὴν παρακαταθήκην προσαγάγοις τῷ δεδωκότι θεῷ. εἶεν.

183. Θαδδαίῳ τέκνῳ καὶ ὁμολογητῇ

Τί καλὰ τὰ γράμματά σου, τέκνον μου ἠγαπημένον Θαδδαῖε· τί τοῦτο; ὅτι καὶ ταπείνωσιν ἔχουσιν καὶ πίστιν εἰλικρινῆ καὶ ἀγάπην θερμήν, τὸ θαυμαστόν, ὅτι καὶ γνῶσιν ἀψευδῆ· ἥψατο γὰρ ἀληθῶς, τέκνον, τῆς περὶ τῆς εἰκόνος Χριστοῦ ἀληθείας ὁ νοῦς σου. καὶ

---

42 Rom. 16,16

---

182. a. 816 – 817

C (S)

3 ἵνα τί C Mai   4 ὁ om Mai   10 ἵνα τί C Mai

---

183. altero semestri spatio a. 816

C (S)

3 ἔχουσι S

κράτει ὡς ἐδράξω καὶ ἐφώτισεν ὁ θεός· καὶ γὰρ ἀχώριστός ἐστιν ἀπὸ Χριστοῦ ἡ εἰκὼν αὐτοῦ, ὅπουπερ ἂν εἴη ἐν ὕλῃ ἐκτετυπωμένη, ὡς ἔξω τῆς ὕλης μένουσα τῇ ἐπινοίᾳ, καθ' ὃ καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις μία ἐν ἀμφοτέροις. ὥστε τῇ τῆς εἰκόνος ἀρνήσει ἀρνεῖσθαί ἐστι Χριστόν, ὡς καὶ ἔμπαλιν τῇ ὁμολογίᾳ ὁμολογεῖσθαι. καὶ μακάριος εἶ ὅτι ἐπέγνως τὴν ἀλήθειαν, ἣν ἀπέκρυψεν τοῖς σοφοῖς, μᾶλλον / δὲ μωροῖς τοῦ αἰῶνος τοῦδε ὁ θεὸς καὶ ἀπεκάλυψεν αὐτὴν νηπίοις εἴτουν ἀκάκοις καθάπερ σύ. αὕτη ἡ ἀληθὴς ἡμῶν λατρεία τῶν ὀρθοδόξων καὶ ὑπὲρ ταύτης μέχρις αἵματος ἀγωνισώμεθα, τέκνον, μηδαμῶς πτυρόμενοι ὑπὸ τῶν ἀντικειμένων μηδὲ ὑποχαυνούμενοι. χαίρω ἐπὶ τῇ προθυμίᾳ σου καὶ ὅτι, ἐν φυλακῇ ὤν, ἐναβρύνῃ ἐχόμενος τοῦ ἔργου σου.

Ἡμεῖς δὲ οὐκ ἠξιώθημεν διὰ Χριστὸν παθεῖν τι, εὔχου δέ, τέκνον, διανύσαι θεοπρεπῶς σὺν ὑμῖν τὸν προκείμενον ἀγῶνα. προσαγορεύουσίν σε οἱ ἀδελφοί σου· ὁ Κύριος μετὰ τοῦ πνεύματός σου.

184. Ἰγνατίῳ τέκνῳ

Ἐπέγνων σε καὶ νῦν διὰ τῶν γραμμάτων ὅτι ἐμὸν τέκνον εἶ καὶ σπλάγχνον. ἀλλὰ φυλαχθείης, ὅπουπερ ἂν καὶ εἴης· οὐδὲ γὰρ τὸ ὑποχωρῆσαί σε μεμπτέον, ἡνίκα μάλιστα οὐδὲ παρεπέμφθης πρὸς τοῦ βασιλέως ἐν Σακκουδίωνι. πλὴν ἄφελε, τέκνον μου, τὴν δειλίαν καὶ πτόησιν ἐκ ψυχῆς σου, ἀκούων καὶ πιστεύων τῷ λέγοντι, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἐμβαλεῖν εἰς τὴν γέενναν τοῦ πυρός. ὥστε, ὅπου ὁ τοῦ θεοῦ φόβος, ὁ ἀνθρώπινος ἐξώρισται· οἱ δύο γὰρ ἐπὶ τὸ αὐτὸ οὐκ ἐγχω-

---

8 Jo. Chrys. liturg. 368,10 (Hammond-Brightman) 11 Luc. 10,21

7 ἐν ὕλῃ in marg S 8 καθὸ S 11 ἀπέκρυψε S 13 εἴτ' οὖν C 19 διανῦσαι S προσαγορεύουσί S

---

184. a. 816 – 818

6 Matth. 10,28

C (S)

7 ἀποκταινόντων C: ἀποκτεινόντων Mai (an ἀποκτεννόντων scribendum? cf Matth l. l.) 8 ἀπὸ κτεῖναι C 9 τὴν om Mai

ροῦσιν εἶναι ὡς οὐδὲ φῶς ὁμοῦ καὶ σκότος. τίς γάρ, φησίν, δύναται δυσὶ κυρίοις δουλεύειν; ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει ἢ τοῦ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει. τί οὖν τὸ λεγόμενον; ὅτι ὁ τὸν τῶν ἀνθρώπων φόβον ἔχων τὸν τοῦ θεοῦ οὐκ ἔχει· εἰ οὖν ὑποβάλλεται ὑπὸ τοῦ ἐχθροῦ, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων παθῶν καὶ πάντως γίνεται, ἀλλ' οὖν νικάτω ὁ νενικηκὼς τὸν κόσμον.

Σπουδαστέον τοίνυν τὰ ἐφόδια προπαρασκευάζειν τῆς ἀνθρωπίνης ἀφοβίας, ἅτινά ἐστι πίστις, ἐλπίς, ἀγάπη· ἡ ἀγάπη, φησί, χρηστεύεται, μακροθυμεῖ· ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ φυσιοῦται, οὐ περπερεύεται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται / τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ὑπομένει, πάντα ἐλπίζει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. ἐν τούτοις διατηρηθείης σὺν ἐμοὶ καὶ πᾶσιν ἀδελφοῖς.

185. Σεργίῳ νοταρίῳ

Ἀκούων ὅτι φυλάττει ἑαυτὴν ἡ θεοφιλία σου ἀμέτοχον τῆς τῶν αἱρετικῶν κοινωνίας καὶ ὅτι ζηλοῦσά ἐστι τῷ Κυρίῳ, ἀποδεχομένη τοὺς ὀρθόφρονας καὶ ἀνδρικοὺς μέχρις αἵματος, ἀπαναινομένη δὲ ἐν τοῖς ἀνερματίστοις καὶ προδόταις τῆς ἀληθείας, χαίρω ὁ ταπεινός, εὐχαριστῶν τῷ θεῷ ὅτι ὁ ἀρχαῖος φίλος καὶ ἴδιος τὰ τῷ θεῷ φίλα τε καὶ ἴδια ὀρέγεται καὶ περιέπει. βλέπεις γὰρ ὡς κορυφοῦται ἔτι μᾶλλον καὶ μᾶλλον ὁ διωγμός, ἀποτελῶν ἤδη καὶ μάρτυρας· ὧν εἷς ὁ ἡμέτερος Θαδδαῖος καὶ τῶν ἁγίων σύσκηνος.

Ὅτι δὲ φιλεῖς ἡμᾶς τοὺς ἀποθήτους διὰ τὰς ἁμαρτίας, ἴσμεν· στέργομεν γάρ σε καὶ ἡμεῖς, οὐκ ἔστι δὲ φιλοῦντα μὴ ὑπὸ τοῦ φιλουμένου ἀντιστέργεσθαι. ἀλλ' ἵνα καὶ προσευχῇ παρακαλῶμεν τελειῶσαι ἡμᾶς τὸν προκείμενον ἀγῶνα ἐλέει θεοῦ.

---

11 Matth. 6,24 19 1 Cor. 13,4 sq.

11 φησι S 12 δυσί: δύο Mai 21 τὰ om Mai 22 τὸ: τὰ τὸ Mai 23 πάντα στέγει in marg C

---

185. a. 816 exeunte vel a. 817 ineunte

C (S)

4 καὶ om Mai ἐπαναινομένη Mai 12 παρακαλοῦμεν S

186. Ναυκρατίῳ τέκνῳ

Ἀγγελία ἐπὶ ἀγγελίᾳ, λόγος ἐπὶ λόγῳ· τί εἴπω καὶ τί λαλήσω; πῶς διατεθῶ ὁ τάλας ἐπὶ τοῖς γεγενημένοις; χαρά μοι καὶ λύπη, αἴνεσις καὶ ἀπόκλαυσις. ἐν μεταιχμίῳ δύο παθῶν ἀπειλημμένος γέγονα καὶ οὐκ ἔχω πότερον αἱρήσομαι λέγειν. ὅμως νικᾷ ὁ νικήσας τὸν σατανᾶν καὶ τοὺς ἄρχοντας καὶ κολαστὰς τοῦ αἰῶνος τοῦδε. ἐθανατώθη ὑπὲρ Χριστοῦ τὸ ἀρνίον τοῦ Χριστοῦ μαστιγούμενον, Θαδδαῖος ὁ ἐμὸς ὅρπηξ, τὸ ἐμὸν σπλάγχνον, ὁ υἱὸς τῆς ὑπακοῆς, τὸ στέλεχος τῆς εὐσεβείας, ὁ τοῦ ἀποστόλου συνώνυμος. ἀβάστακτος ἡ χαρά, ἀνυπέρβλητος ἡ εὐφροσύνη, οὐκ ἐμοὶ τῷ ταπεινῷ μόνῳ, ἀλλὰ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, ὅτι καὶ νῦν ἐν τῇ ταπεινῇ γενεᾷ ταύτῃ μάρτυρα τῆς ἀληθείας σου ἀπαράγραπτον ἀνέδειξας, καὶ τοῦτον οὐκ ἐκ τῶν σοφῶν καὶ εὐγενῶν τοῦ τῆδε κόσμου, ἀλλ᾽ ἐκ τῶν ἐναντίως ἐχόντων, ἵνα πληρωθῇ ὁ λόγος τοῦ ἀποστόλου, ὅτι τὰ ἀγενῆ καὶ ἐξουθενημένα ἐξελέξατο καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ. ποῦ μοι ἀπέστης, ὦ μακάριον τέκνον; ποῦ θᾶττον ὑπερυψώθης, μάρτυσι συναρίθμιος γεγονώς; ὢ τῆς ἐπιτυχίας σου· ὢ τῆς εὐγενείας σου· ὢ τῆς εὐβουλίας σου. ἐν ἡμέρᾳ μίᾳ ἐκέρδησας ἀπείρους αἰῶνας· ἐν ἀνίαις βασανιστικαῖς ἐκτήσω τὰς ἀνεκλαλήτους εὐφροσύνας· ἐν πληγαῖς ἑκατὸν πρὸς τριάκοντα εἴληφας τὸν τέλειον τῆς / ἐργασίας μισθὸν σὺν μάρτυσι παρὰ τῆς Ἁγίας Τριάδος, εἴπερ ὁ μὲν τῆς τελειότητος, ὁ δὲ τῆς Τριάδος ἀναλογῶν ἐστιν ἀριθμός, ἵνα κἀξ αὐτοῦ τοῦ κολασμοῦ σου παραδείξειεν θεὸς τὸ μεγαλοφυές σου. τὸ αἷμά σου μύρον, τὸ λείψανόν σου ἁγιασμοῦ μεταδοτικὸν τοῖς ψαύουσι.

Δέομαί σου, ἅγιε τοῦ θεοῦ Θαδδαῖε, πρέσβευε ὑπὲρ ἐμοῦ τοῦ ἀναξίου δούλου σου· οὐ γὰρ τολμῶ σε καλέσαι τέκνον. ὁρᾶτε, ἀδελφοί μου, τί γέγονε, ποῖον θησαυρὸν καὶ μέλος ἐκεκτήμεθα; ἀρκεῖ εἷς

186. a. 816 exeunte vel a. 817 ineunte 12 μάρτυρα ἀπαράγραπτον: cf. Jo. Tzetz. ep. 66 (p. 93,14 Leone); A. Karpozilos, The Letters of Ioannes Mauropus. Thessalonike 1990, 224 sq. 22 τελειότητος: ad hanc explicationem numerorum mysticam cf. Dobroklonskij I 301

2 Ez. 7,26 11 Ps. 91,6 15 1 Cor. 1,28

C VM PS

2 ἐπὶ[1]: ἐπ᾽ Sirm 3 αἴνεσις CV: ἄνεσις cett Sirm 8 ὅρπηξ Sirm: ὄρπηξ VMPS: ὅρπιξ C 10 μόνον VMPS Sirm 12 σου om M 15 ἀγεννῆ VM τὰ post καὶ add VMPS Sirm 17 ὦ C 18 ὦ C (bis) μιᾷ VMPS Sirm 23 παραδείξειε VMPS Sirm 24 μῦρον PS

τε θεοῦ δόξαν καὶ ἡμέτερον καύχημα ὁμοῦ τε καὶ τῆς ὅλης ἐκκλησίας χαρμόσυνον ὁ μάρτυς Χριστοῦ Θαδδαῖος. τί τἆλλα; ἔσονται, φησίν, οἱ πρῶτοι ἔσχατοι καὶ οἱ ἔσχατοι πρῶτοι· τοῦτο ἐπὶ τοῦ Ἰακώβου φημὶ καὶ Λουκιανοῦ, τοῦ μὲν ἐναθλήσαντος (εἴη καὶ ἐναθλήσοντος μέχρι τέλους) σὺν Δωροθέῳ καὶ Βησσαρίωνι, τοῦ δὲ κατὰ τὰς ἁμαρτίας μου ναυαγήσαντος σὺν τοῖς ὁμοτρόποις. ὤ, πῶς ἔπεσον ἐν μέσῳ φωστήρων οἱ οἴκτιστοι· ἐπελάθοντο τοῦ εἰρηκότος ἄρα, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα. μὴ γὰρ οὐ κατεμέτρησε τὸ δυνατὸν ὁ μόνος δυνάστης καὶ δυναμῶν τοὺς ἀσθενοῦντας; καὶ οἱ μάρτυρες ἐγγύθεν· μὴ γὰρ οὐκ ἐξαιρούμενος ἐξ ἀνάγκης τοὺς ἔτι μὴ ἰσχύοντας τῇ φύσει, οὐ τῇ προθέσει; καὶ ὁ μάρτυς Θαδδαῖος ἐν οὐρανῷ πιστός.

Μὴ δὴ οὖν, ἀδελφοί μου, πτοηθῶμεν μηδὲ ἔμφοβοι γενοίμεθα τῇ τῶν ἡττημένων πτώσει ὡς ὅτι καὶ ἡμεῖς οὐχ ὑποίσομεν τὰς πληγάς. οἴσομεν θεοῦ δυνάμει καὶ διαβησόμεθα κἂν πῦρ, κἂν ξίφος· θεὸς ὁ προηγούμενος καὶ προσκαλούμενος εἰσελθεῖν ἡμᾶς εἰς τὴν ἐπηγγελμένην ἡμῖν βασιλείαν, ὡς τὸν Ἰσραὴλ εἰς τὴν γῆν τῆς ἐπαγγελίας. οὐκ ἴστε τί πεπόνθασιν οἱ τότε ἀναστατοῦντες τὸν λαόν, λέγοντες ‚οὐ δυνησόμεθα διαβῆναι, ὅτι ἐκεῖ πόλεις τειχήρεις ἕως τοῦ οὐρανοῦ καὶ γίγαντες, ἐν οἷς ὁ Ἐνάκ;‘ καὶ τί τὸ γεγονός; οὐχὶ διὰ τοῦτο αὐτοὶ μὲν πυρίκαυστοι, ὁ δὲ γογγυστὴς λαὸς ἅπας ὤλετο, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; μή τις τοιοῦτος ἀναστάτης, μή τις ὀλίγωρος, μή τις δύσελπις. διαβησόμεθα οὖν, ἀδελφοί, διαβησόμεθα ὡς Χαλέβ, λέγω, καὶ Ἰησοῦς τοῦ Ναυῆ, οἱ τῆς ἐπαγγελίας κληρονόμοι. τείχη ἡμῖν κατασεισθήσονται νοητά, ὡς τηνικαῦτα τὰ Ἱεριχούντεια, σάλπιγγι εὐχαριστίας, ἣν ᾖσεν ὁ μακάριος Θαδδαῖος, ψάλας ἐκ βαλβῖδος τῶν ποινῶν, αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος.

Οὕτω παρακαλῶ, οὕτω ἀντιβολῶ· ὑπὲρ Χριστοῦ γάρ, φησί, πρεσβεύομεν, ὡς τοῦ θεοῦ παρακαλοῦντος δι' ἡμῶν. δεόμεθα μὴ δειλανδρῆσαι πρὸς τὸν ὑπὲρ αὐτοῦ καὶ σὺν αὐτῷ θάνατον, ἐὰν δέῃ. πρὸς πάντας ἡ ἐπιστολὴ κἂν εἰς πρόσωπόν σου, τέκνον ἀγαθόν· διὸ

30 Matth. 19,30 35 Matth. 10,28 37 1 Tim. 6,15 39 Ps. 88,38 40 Prov. 29,16 44 Hebr. 11,9 46 De. 9,1 sq. 48 Num. 14,29 50 Num. 34,17 sq. 54 Ps. 117,24 55 2 Cor. 5,20 56 4 Ma. 13,10

30 τἆλλα Sirm: τ' ἄλλα C: τ' ᾶλλα VM: τᾶλλα P: τἄλλα S Mi: corr Sirm 32 εἴη: ἢ M 33 Βησαρίωνι VM Sirm: βισαρίωνι cett: correxi 34 ὦ C 35 ἆρα C 36 an ἀποκτεννόντων scribendum? cf Matth l. l. 38 ἐξ ἀνάγκης τούς: τοὺς ἐν ἀνάγκαις M 42 οἴσωμεν C 43 καὶ om M 47 διατοῦτο VMPS 49 ἔπεσον M 52 ἱεριχούντεια VM: Ἱεριχούντια cett Sirm 53 εὐχαριστείας C ψάλλας C βαλβίδος codd Sirm: corr Mi 54 τῶν: τῆς PS ποινῶν C: πόνων V Sirm: πόλεως MPS ἡ C[sscr] 55 οὕτω[2]: οὕτως VMPS Sirm 56 δειλανδρίσαι C

καὶ πάντας ἀσπάζομαι καὶ πᾶσι συγχαίρω ἐν τοῖς παθήμασι. καὶ τίς ἄξιος ἀνταναπληρῶσαι τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκὶ αὐτοῦ; καὶ οὐαὶ τῷ ἐξάρνῳ καὶ ἐκκεκλικότι, κἂν θάνατος, ὅτι ὁ αἰώνιος θάνατος ποιμανεῖ αὐτὸν καὶ κατακυριεύσουσιν / αὐτὸν οἱ εὐθεῖς τὸ πρωί.

Εἰρήνη ὑμῖν Χριστοῦ, κράτος, ἰσχύς, παράκλησις, προσευχόμενοι περὶ πάντων ἀδελφῶν καὶ ὑπὲρ ἐμοῦ, ἵνα πληρωτὴς ὧν νουθετῶ ἐλέει θεοῦ φανῶ. οἱ σὺν ἐμοὶ ἀδελφοὶ ἀσπάζονται.

187. Κληδονίῳ τέκνῳ

Ἐναγώνιος τῇ τῶν ἀδελφῶν σου ἀθλήσει γέγονας, τέκνον, καὶ οὐ θαυμαστόν· ἐπεὶ καὶ ἡμεῖς τὸ αὐτὸ πεπόνθαμεν. ἀλλὰ μὴ δείσῃς· γέγραπται γάρ, Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. ὥστε θαρρεῖν ἡμᾶς χρὴ καὶ οὐ δεδοικέναι· τούτῳ τῷ θάρσει νενικήκασιν οἱ ἀθλήσαντες. καί γε τῷ οἰκείῳ αἵματι τελειωθεὶς Θαδδαῖος ὁ ἅγιος ἐνεδήμησε πρὸς Κύριον. οὐκ ἔστιν οὖν πραγματειῶν ἡ μεγίστη ἑκατὸν μάστιξιν ἢ καὶ πρός, ὅσον ἂν καὶ ὑποβάλλῃ ὁ λογισμὸς ἢ οἴκοθεν ἢ ἐκ διαβολικῆς ὑποσπορᾶς, δειλανδρῆσαι ἐμποιούσης, ἀντισχεῖν βασιλείαν οὐρανῶν καὶ τὴν ἐν ἀπείροις αἰῶσιν ἀγαλλίασιν; καὶ οὐκ ἔστι χαλεπὸν σφό/δρα φειδοῖ τῶν ἐκ μαστίγων ὀδυνῶν προέσθαι τὴν πίστιν, καὶ μήτε ὧδε ἔχειν ἄνεσιν αἰσχύνῃ τῆς πτώσεως καὶ συνειδότι τρομαλιοῦντι καὶ εἰς αἰῶνας ἀτελευτήτους κολάζεσθαι;

Οὕτω, τέκνον μου ἠγαπημένον, στόμωσον τὴν καρδίαν σου, καὶ οὕτω φρονῶν σχοίης τὸν Χριστὸν ἐπίκουρον, ὡς ἀληθῶς ἔχει. εἰ δὲ καὶ ὑποτίθεται ὁ λογισμὸς καὶ μετὰ ἄρνησιν εἶναι πάλιν διὰ μετανοίας σωτηρίαν, ὥσπερ καὶ ἔστιν, ἀλλὰ τίς ὁ ὑπισχνούμενος ὅτι

59 Col. 1,24 62 Ps. 48,15

61 ἐκκεκληκότι C 62 αὐτὸν^{2}: αὐτοῦ VMPS Sirm (fort est αὐτῶν scribendum; cf Test Vetus a. l.) 63 τὸ: τῷ C 64 προσευχομένοις V^{pc} Sirm 65 περὶ: ὑπὲρ M

187. a. 816 exeunte vel a. 817 ineunte

4 Ps. 117,6 7 2 Cor. 5,8

C (S)

1 κλιδονίῳ C: κλυδονίῳ S: corr Mai 3 τοαυτὸ S: τῷ αὐτῷ C Mai 5 οὐ: οὐδὲ C Mai 7 ἐνεδήμησεν Mai 8 πραγματιῶν C 9 δειλανδρίσαι omnes: correxi

πάντως εὕρωμεν μετάνοιαν, ἢ ἁρπαζομένων ἡμῶν θᾶττον ἢ δυσχερῶς ἀνακλινομένων τοῦ πτώματος; πόσον δὲ καὶ εἰσοίσομεν δάκρυον καὶ τὰ ἄλλα τῆς μετανοίας φάρμακα, ἵνα διαλλάξωμεν τὸν κριτήν, καὶ οὕτω τρεμόντων τὸν θάνατον καὶ ἀεὶ κατησχυμμένων ὄντων καὶ ἀπαρρησιάστων; ἐρώτησον τοὺς περὶ τὸν ἐλεεινὸν Λουκιανόν, εἶτα τοὺς περὶ Δωρόθεον τὸν μακάριον, ποταπὴ καρδία ἐν ἀμφοτέροις· καὶ εὑρήσεις καὶ ἀκούσεις ἐν μὲν τοῖς πρώτοις ὀδύνην, σκότος, αἰσχύνην, ῥαγῆναι τὴν γῆν εὐχομένοις εἰς τὸ καταπιεῖν αὐτούς, ἐν δὲ τοῖς δευτέροις χαρὰν ἀβάστακτον, φῶς, εὐπροσωπίαν, αὐτὸν τὸν Χριστόν, ὡς μήποτε ἐσχηκόσιν ἀπὸ γεννήσεως τοιαύτην ἡδονήν. τίς οὖν ἄφρων, τίς λιθοκάρδιος, τίς μεμηνὼς μὴ γνῶναι ὅτι καλὸν τὸ παθεῖν ὑπὲρ Χριστοῦ;

Οὕτως σε θεὸς τελειώσειεν, τέκνον μου, εὐχόμενον ὑπὲρ ἐμοῦ, καθὰ λέγω καὶ πρᾶξαι ἐν Κυρίῳ.

188. Δωροθέῳ τέκνῳ

Χαίρω καὶ συγχαίρω σοι, Δωρόθεε, τὸ ὡς ἀληθῶς δῶρον θεοῦ. ἐγένετό σοι τοὔνομα πρᾶγμα, ἡ κλῆσις πρᾶξις· ἐδάρης, τέκνον μου σεβαστόν, ὑπὲρ Χριστοῦ. εὖγε, ἀθλητὰ στερροκάρδιε, χρυσόσαρκε, σαπφείρου τιμιώτερε, πορφύρας ὡραιότερε· εἴθε μοι ἀσπάσασθαι τὸν τῶν σαρκῶν σου ξεσμόν, τὰ ἱερὰ μέλη σου, ἃ ἀπειργάσω μέλη Χριστοῦ, οὗ τῷ αἵματι τὸ αἷμά σου κρᾶμα. εὖγε, σύμμορφε τοῦ Χριστοῦ, ὅτι οὐκ ἐδίστασας εἰσελθεῖν εἰς τὸ στάδιον οὐδὲ προείλου τὴν παροῦσαν ζωὴν τῆς αἰωνίου καὶ ἀθανάτου. ἤδη γὰρ τῇ προθέσει ἐξεδήμησας πρὸς Κύριον, ὃν κατείληφεν ὁ σὸς σύναθλος καὶ μάρτυς Θαδδαῖος· τάχα / γὰρ διὰ τοῦτο εἰάθης ἔτι ἐν σαρκί, ὡς ἂν πλειοτέρως δοξάσοις τὸν θεὸν ἐν τοῖς μέλεσί σου. οὐά, χαρὰ μεγάλη ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ὅτι μάρτυρες Χριστοῦ ἐγενήθητε· οἵ, ποῖον καλόν, ὅτι

---

26 Num. 16,31 sq.

19 εὕρομεν omnes: correxi 31 τελειώσειε S 32 πράξαι CS^{ac} Mai

---

188. a. 816 exeunte vel a. 817 ineunte

2 Eph. 2,8 6 1 Cor. 6,15 7 Rom. 8,29

C (S)

5 σαπφίρου C Mai 6 ἃ om Mai 11 εἰάθης: ἰάθης Mai 13 οἷ C: οἶ S: corr Mai

στῦλοι καὶ ἑδραιώματα τῆς ἀληθείας ὤφθητε, ἡλίου λαμπρότερον ἐξελάμψατε, μαργάρων τιμαλφέστερον ἀπηυγάσατε. ὢ τῆς μεγαλοδωρεᾶς· ὢ τῆς αἰνέσεως· οὐ φέρω τὴν ἡδονήν, ἔκδημος γέγονα τῷ πνεύματι. κατέλαβόν σε, τέκνον ἱερόν, κατασπάζομαι, στεφανῶ, αἰνῶ· ἐρωτῶ, πῶς τὰ ἆθλα, πῶς ἤνεγκας τὰς ἀλγηδόνας, πῶς ἦν ἡ τιμία σου ψυχὴ ἐν τούτοις καὶ ἐπ' αὐτῆς τῆς εἰσόδου; καί μοι δοκεῖ ἀνταποκρίνεσθαί σε τοιαῦτα· ,ὅπου θεοῦ φόβος, ἐκεῖ καταφρόνησις θανάτου, παρόρασις σαρκός, ἔκστασις τῆς πρὸς τὰ μέλη σχέσεως, νικώσης τὴν δριμύτητα τῶν ἀλγεινῶν τῆς πίστεως καὶ ἀγάπης καὶ ἐλπίδος Χριστοῦ'.

Οὕτως ἔχει, ἐμὸν σπλάγχνον, Χριστοῦ ἀρνίον. ἀλλὰ δέομαί σου, μή με καταισχύνῃς, μᾶλλον δέ, εἰ καὶ τολμηρὸν εἰπεῖν, Χριστόν, ἀλλὰ τέλεσόν σου τὸν ἀγῶνα, τοῖς προλαβοῦσιν ἐπισφραγίζων τὰ μέλλοντα. ἤδη ὡς σίδηρος πυρὶ ἐστομώθης, ἀδελφέ, τῷ καυστῆρι τῶν μαστίγων· βούλεταί σε Χριστὸς ὡς σκεῦος ἐκλογῆς ἔτι τυχὸν χαλκευθῆναι, σὺν Παύλῳ χορεῦσαι. μὴ δειλιάσῃς, γενναῖέ μου ἀθλητά· ὁ σώσας καὶ διαβιβάσας σε ἐν τοῖς φθάσασιν ἤδη πλειόνως συνέσται σοι καὶ ῥύσεταί σε ἐκ στόματος λέοντος καὶ νοητοῦ καὶ αἰσθητοῦ, στεφανῶν σε μετὰ μαρτύρων. ἄρτι ἀκουστόν σου τὸ ὄνομα, ἄρτι μάλα ἤρξατό σε ὑψοῦν θεὸς ὑπὲρ ἀρχιερεῖς καὶ ἱερεῖς, ὑπὲρ στυλίτας καὶ καθηγητάς, ὑπὲρ πατριάρχας καὶ βοτανικούς, ὀρθοδόξους δῆλον ὅτι. μὴ πέσῃς ὁ στῦλος, μὴ λιποτακτήσῃς ὁ ὁμολογητής, ἄνω ἡ καρδία, Χριστός σοι ἀναπνοή, ταπείνωσις κραταιά, ἐν ᾗ ἐνίκησεν ὁ ταπεινώσας ἑαυτὸν μέχρι θανάτου τὸν ἄρχοντα τοῦ κόσμου τούτου καὶ νικᾶν αὐτὸν καὶ ἡμῖν ἐν ἑαυτῷ ἐδωρήσατο δύναμιν.

Προσεύχου περὶ ἐμοῦ, παρακαλῶ σε ὡς φιλοπάτορα, ἵνα συνεπομένως ὑμῖν ἐκβιώσω. /

---

14 1 Tim. 3,15 28 Act. 9,15 31 2 Tim. 4,17 37 Philipp. 2,8

14 στύλοι Mai ἑδραιώματα: ἕδραι, ὄμματα Mai 15 ὦ C 16 ὦ C 18 ἄθλα CS[ac] Mai 20 ἀντ' ἀποκρίνεσθαί C 29 δειλιάσοις C Mai 35 δηλονότι S Mai στύλος Mai

189. Ἰακώβῳ τέκνῳ

Εὖγε, Ἰάκωβε, τέκνον ἐμὸν σεβαστόν· ποῦ ποτε ἐγὼ ἤλπιζον ὅτι ἐν μάρτυσι Χριστοῦ σύ, ὁ ἐσχατίζων ἐν τοῖς ἀδελφοῖς σου τῷ βαθμῷ; καί γε τὸ θαυμασιώτερον, ὅτι καὶ τῶν συνάθλων σου πρῶτος εἰσῆλθες εἰς τὸ ὑπὲρ Χριστοῦ στάδιον. ἐνόμισεν ὁ ἄνομος διώκτης διὰ σοῦ ὡς ἀφερεπόνου καὶ οὐθενὸς ἀξίου τὰ νικητήρια ἔχειν· ἀλλ' ἥττηται ὁ δείλαιος, ἐντυχὼν ἀνδρὶ ἐκδεδωκότι ὑπὲρ τοῦ ὀνόματος τοῦ θεοῦ τὴν ἑαυτοῦ ψυχὴν καὶ ἰσχυροτέρῳ τῶν ἑαυτοῦ πληγῶν εὑρεθέντι. ὤ, τέκνον, τῆς εὐάνδρου σου ψυχῆς· ἤνεγκας ὡς ἀδάμας τοσαύτας καὶ τηλικαύτας μάστιγας ἐν τῷ νώτῳ καὶ τῷ στέρνει καὶ ἐν τοῖς βραχίοσιν ὡσαύτως. ὢ τῆς ἀπηνείας τῶν θηριογνώμων· καὶ ὢ τῆς εὐλογημένης σου σαρκός. πάντοθεν ἐστίχθης, ἤρθης ὡς νεκρός, φόρτος γεγονὼς ἐμπεριειλημμένος ῥάκει τοῖς ἀθέοις· εἶτα καὶ ἀπειληθεὶς πάλιν κόλασιν οὐ κατηγωνίσθης, ἀλλ' ἐπαρεσκευάσθης, διαθέμενος τὰ ἐπιτάφια. δόξα θεῷ καὶ αἴνεσις· ὑπόθεσις καὶ ὑπαλοιφὴ σὺ καὶ τοῖς συνάθλοις σου ἀδελφοῖς, ὧν ὁ εἷς ἐξεδήμησε πρὸς Κύριον, οἱ δὲ ἐπὶ τοῦ αὐτοῦ σοι ἀγῶνος. πόσος σοι ὁ μισθός· σύ μου οὐ τέκνον, ἀλλὰ πατήρ, θεὸν θεραπεύσας.

Ἀλλὰ βλέπε ὅτι τὰ τέλη ἐπιζητεῖται καὶ οὐκ ἀρκεῖ τὸ καλῶς ἐνάρξασθαι, εἰ καὶ ἐφόδιόν ἐστι τοῦ καὶ καλῶς τελειῶσαι. ἀπόθανον, τέκνον, ὑπὲρ Χριστοῦ, μὴ ἀπολέσῃς τὸν θεοπάροχον καὶ μέγαν ἀγῶνά σου. ὤμοι ἐπὶ τοῖς ὠλισθηκόσιν, ὅτι οὐκ ἦσαν ἐκ τοῦ πνεύματος ὑμῶν· ἦ γὰρ ἂν μεμενήκασι σὺν ὑμῖν ἐν Κυρίῳ. ἐγένοντο ἐπίχαρμα τῷ διαβόλῳ, ὃν προσήκαντο ἀντὶ Χριστοῦ, ἐμοί τε τῷ ἁμαρτωλῷ πένθος καὶ πάσῃ τῇ ἀδελφότητι ὄκλασις.

Ἀλλὰ δοίη Κύριος αὐτοῖς μετάνοιαν εἰς ἀνάκλησιν, σοὶ δὲ πέρας ἰσάξιον τῆς ἀρχῆς. προσεύχου, τέκνον μου, ὑπὲρ ἐμοῦ τοῦ ταπεινοῦ σὺν ὑμῖν εὑρεῖν τὸν Χριστόν.

---

189. a. 816 exeunte vel a. 817 ineunte 3 βαθμῷ: cf. Speck, Jamben 119 sq. 16 εἷς: Studita Thaddaeus 22 ὠλισθηκόσιν: intellige Studitas Lucianum Titum Philonem; cf. ep. 190,22 sq.

15 Is. 12,2 19 Matth. 10,22

C (S)

8 ὦ C Mai 11 ὦ C (bis) 13 ἐνπεριειλημμένος C ῥάκκη C Mai ἀπειληθεῖς C Mai 14 παρεσκευάσθης S 15 ἐπὶ τάφια C ὑπαλειφὴ C Mai 22 ὄμμοι C Mai: οἴμοι S: correxi 23 ἢ C Mai 27 εἰς ἄξιον C: ἄξιον S[pc] Mai

190. Θεοδούλῳ τέκνῳ

Ἴδε ποῦ περιῆλθες, τόπον ἐκ τόπου μετ/ερχόμενος, τέκνον μου Θεόδουλε. καὶ ὁ μὲν διοδευμὸς οὐ θαυμαστός, θαυμαστὸν δὲ ἄγαν ὅτι ἐνήθλησας ἐν Θεσσαλονίκῃ, ὑπὸ τοῦ ἀνιέρου τυφθεὶς ἐν μάστιξι διακοσίαις· ταῦτα ἀκούσας ἐδόξασα τὸν θεόν, ἠράσθην σου πλέον τῆς ψυχῆς, ἀλλ' οὖν γε καὶ ἠγωνίασα, ἀναλογιζόμενος τί τὸ κρίμα τοῦ θεοῦ τὸ οὕτως σε περιαχθῆναι ἐν τοῖς αὐτόθι· ἆρα ἀβουλία ἢ θεία οἰκονομία; τὰ μὲν οὖν φθάσαντα εὐδοκία θεοῦ, ὑπὲρ οὗ καὶ δι' ὃν ἐτραυματίσθης, δοὺς τὸν νῶτόν σου εἰς μάστιγας καὶ φρουρούμενος ὡς θησαυρὸς ἀληθείας. καί γε μακάριος σύ, τέκνον μου, μὴ ἐλεήσας καὶ φεισάμενος σάρκας, ἀλλὰ δοξάσας Χριστὸν ἐν τοῖς μέλεσί σου ὁμολογίας τε ἆθλον ἐνώπιον θεοῦ καὶ ἀνθρώπων ἀπενεγκάμενος καὶ μὴ προδοὺς τὴν πίστιν. καί γε Θεσσαλονίκη ἐπὶ σοὶ φερώνυμος, θεῖσά σοι ἄλλῳ παρὰ τοὺς ὄντας αὐτόχθονας τὴν νίκην.

Βλέπε δέ, ὦ σπλάγχνον μου, ὅτι μέχρι τέλους δεῖ ἡμᾶς μαρτυρῆσαι. μὴ οὖν ὀλιγοψυχήσῃς μηδὲ ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Χριστοῦ, ἀλλὰ συγκακοπάθησον ὡς καλὸς στρατιώτης θεοῦ, ὑπόμεινον αὐτόν· μετὰ σοῦ ἐστιν ἐν φυλακῇ, μετὰ σοῦ ἐν δαρμῷ, εἰ τύχοι πάλιν, ἐξαιρούμενός σε παντὸς κακοῦ. μιμοῦ τοὺς ἀδελφούς σου, οἵτινες ἐμαστίχθησαν ὡσαύτως, Βησσαρίων, φημί, Δωρόθεος, Θαδδαῖος, ὁ καὶ μετὰ δευτέραν ἡμέραν πρὸς Κύριον ἐκδημήσας ὡς μάρτυς, εἶτα καὶ Ἰάκωβος, ὁ ἀπὸ τοῦ ἁγίου μάρτυρος Χριστοφόρου μαθητὴς τοῦ Λουκιανοῦ. ἀλλὰ τὸ ἐλεεινόν, ὅτι ὁ διδάσκαλος ἐξέπεσεν, μὴ ἐνεγκὼν τὰς πληγάς, ὁ δὲ μαθητὴς ἠθλοφόρησεν. πεπτώκασι δὲ κατὰ τὰς ἁμαρτίας μου καὶ ἄλλοι τέσσαρες τῶν ἐσχάτων, ἐν οἷς ὁ Τίτος μετὰ τοῦ Φίλωνος· ὁ γὰρ Εὐόδιος καὶ Ὑπάτιος οὔτε πεπτώκασιν οὔτε ἔστησαν, ἡμιθνεῖς πως γεγονότες διὰ τὸ λόγῳ μὲν πεσεῖν, οὐ μὴν καὶ ἔργῳ, φυγόντες τὴν αἱ/ρετικὴν κοινωνίαν.

Βλέπε οὖν, ἀδελφέ, καὶ πάλιν λέγω, μὴ ἐνδῷς, μὴ ἀπολέσῃς ἃ ἐθησαύρισας, μὴ ἀρνητὴς γίνῃ· ἀκουσθήτω σου ὁ ἀγὼν πανταχοῦ,

---

190. a. 816 exeunte vel a. 817 ineunte 22 Χριστοφόρου: intellige monasterium S. Christophori; cf. Leroy, Réforme 205 adn. 191

11 1 Cor. 6,20 17 2 Tim. 2,3

C (S)

3 οὐ: σου S 6 κρῖμα codd: corr Mai 8 εὐδοκίᾳ Mai καὶ δι' ὃν om Mai διὸν C 12 ἄθλον codd: corr Mai 20 ὡς αὔτως C Βησαρίων Mai 21 ἐκδημήσας: an ἐνδημήσας scribendum? cf ep 187,7; 2 Cor 5,8 23 ἐξέπεσε S 24 ἠθλοφόρησε S 29 ἀπολέσοις C

χαρήτωσαν ἐπὶ σοὶ ἄγγελοι, αἰσχυνθήτωσαν δαίμονες σὺν τοῖς ἐργάταις αὐτῶν εἰκονομάχοις, καί γε ἐνδοξασθήσομαι κἀγὼ μετὰ τῆς ἀδελφότητός σου ὁ ταπεινός. ἡ χάρις μετὰ σοῦ, ἐνισχύουσά σε πάντα ὑπενεγκεῖν μέχρι θανάτου. οἱ σὺν ἐμοὶ ἀσπάζονταί σε· προσεύχου περὶ ἐμοῦ ὥσπερ καὶ ὑπὲρ πάντων τῶν ἀδελφῶν σου.

191. Γρηγορᾷ λαϊκῷ

Ἄνθρωπε τοῦ θεοῦ, σήμερον ὁ Κύριός σε ἀνέστησεν εἰς βοήθειαν καὶ σωτηρίαν πολλῶν, μάλιστα ἡμῶν τῶν ταπεινῶν· καὶ γοῦν ἀκούω τὴν φροντίδα, ἣν ἀνεδέξω ὡς ἀπὸ θεοῦ ἐν τοῖς διὰ Κύριον ἀθλοῦσι, καὶ ἐξίσταμαι. ἀλλ' ὅμως, ἐπὰν θεοπρόβλητός σου ἡ διακονία, οὐ ξένον. καὶ ὅτι ἐκ θεοῦ, δηλοῖ τὰ πράγματα· πῶς γὰρ ἂν διεσώθης μέχρι τοῦ δεῦρο μὴ κρατούμενος, εἰ μὴ ὑπὸ θείας προνοίας σκεπαζόμενος ἧς; εὐλογητὸς ὁ θεός, ὁ ἐξεγείρας σε ἀλείπτην τῶν ἀγωνιζομένων ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ὁ φρουρῶν σε ὑπὸ τὴν κραταιὰν αὐτοῦ χεῖραν, ὁ διδοὺς τὸ ἀνολίγωρον, τὸ ἀπερικάκητον, τὸ ῥιψοκίνδυνον. ἐκλάμπει σου τὸ ἔργον, διαβοεῖταί σου τὸ δρᾶμα· καὶ πῶς γὰρ οὔ, θεοῦ διακονίαν ἀναδεδεγμένου; ἀθλεῖς, συναθλεῖς, καί γε τὸ παραδοξότερον, ὅτι οὐ μόνον μάρτυς, ἀλλὰ πολυμάρτυς σύ· ἑνὶ γὰρ ἑκάστῳ τῶν ἀθλούντων διὰ τῆς ἐπισκέψεως, διὰ τῆς τῶν τραυμάτων ἀλοιφῆς, διὰ τῆς θρεπτικῆς ἐπιδόσεως, διὰ τῆς προτροπῆς καὶ προθυμοποιήσεως συμμαρτυρῶν λογίζῃ παρὰ θεῷ καὶ ἔχεις οὐχ ἕνα στέφανον, ἀλλὰ τοσούτους, ὅσους καὶ ὑπηρετεῖς. ἐξέπεμψας τὸν ἅγιον Θαδδαῖον, ἔχεις τρεῖς μαρτυροῦντας καὶ ἕνα μὴ ζητηθέντα ἐκ τῆς φυλακῆς· μικρὸν ἀνάμεινον καὶ δέξῃ καὶ ἑτέρους.

Ἀλλὰ φεῦ τῆς ἁμαρτίας μου, φεῦ τῆς ἥττης τῶν πεπτωκότων, τοὺς περὶ Λουκιανὸν λέγω καὶ / τοὺς ἡμιθνεῖς, τοὺς μὴ ἔργῳ ἀλλὰ λόγῳ ἐξάρνους. μηδ' αὐτοὺς ἀποστραφῇς, ἄνθρωπε τοῦ θεοῦ, κλαίοντας καὶ μετανοοῦντας, κἂν ἀναξίους ἑαυτοὺς ἐποίησαν θεοῦ καὶ τῶν

---

31 χαρίτωσαν C Mai 33 ἐνισχύουσά: ἐνισχύου σά Mai

191. a. 816 exeunte vel a. 817 ineunte 18 τρεῖς: Studitas Dorotheum Bessarionem Jacobum; cf. ep. 195,6

9 1 Petr. 5,6

C (S)

3 γ' οὖν C 5 ἐπ' ἂν Mai 10 χεῖρα S Mai 11 σου S[sscr] δράμα C Mai 13 παραδοξώτερον C Mai πολύμαρτυς S 21 ἐν ante ἔργῳ inser Mai

θείων· πόσα δακρύσουσι, πόσα κακοπαθήσουσιν ἵνα φθάσωσιν εἰς σωτηρίαν. ὁ θεός σε στερεώσοι, ἀδαμάντινε· αὐτός σε σκεπάσοι καὶ σώσοι εἰς τὴν βασιλείαν αὐτοῦ. εὔχου περὶ ἐμοῦ τοῦ ταπεινοῦ.

192. Ἄννῃ πατρικίᾳ καὶ μοναζούσῃ

Λύπης τὰ γράμματα τῆς ἁγιωσύνης σου καὶ οἱονεὶ ἠκανθωμένα ταῖς κατ' ἐμοῦ τοῦ ταπεινοῦ μέμψεσι. καὶ οὐ θαυμαστόν· φέρει γὰρ πάντως ἡ ὑπόμνησις τοιαῦτα. ἀλλ' ἐὰν κατανυγῇ σου ἡ τιμία ψυχὴ ἀνέχεσθαι τοῦ φήσαντος ἀξιοπιστότερα τραύματα φίλου ἤπερ ἑκούσια φιλήματα ἐχθροῦ, ἐπαινέσειεν μᾶλλον τὸν οὐ μόνον φίλον ἐν Κυρίῳ ἐμέ, ἀλλὰ καὶ ἱκετευτὴν καὶ φειδόμενον αὐτῆς ὡς τῆς ἑαυτοῦ ψυχῆς. οὐ τοίνυν ἀποστραφήσομαι τῆς κατὰ θεὸν ἀγάπης σου οὐδ' ἂν πλείους ἀγανακτήσεις ὑποδέξωμαι· οὐ γὰρ εἰμὶ οὕτως ἀδίδακτος, ὡς ἐν ταῖς εὐεργεσίαις προστίθεσθαι, ἐν δὲ ταῖς ἀποστροφαῖς ἀφίστασθαι (ἀνθρώπινα γὰρ ταῦτα), ἀλλὰ τότε μᾶλλον περισσεύω τὴν διάθεσιν, ὁπόταν ἀποτρόπαιος γίνωμαι.

Ἐγὼ δὲ οὐδέ τι φορτικόν, ὡς οἶμαι, ἐφθεγξάμην ἢ μικρὸν ὑπόμνημα, δόξης σου φροντίζων καὶ ἀμεμψίας· οἱ γὰρ εἰς πρόσωπον εὐλογοῦντες οὐκ ἀποδεκτέοι, ὡς κρύβδην τἀναντία λέγοντες. δέχου μοι, κυρία μου, παρακαλῶ σε, εἰ κελεύεις, ποτὲ καὶ τραχύτερον λόγον· ἔνθεν γὰρ γνώσομαι κἀγὼ ὅτι με ἔχεις ἐν μέτρῳ. οὔτε γὰρ υἱὸς πρὸς μητέρα, οὔτε ἀνὴρ πρὸς σύνευνον, οὔτε φίλος πρὸς φίλον ἀεὶ χρηστολόγος, ἀλλ' ἔστιν ὅτε καὶ καθάπτης.

Μήπως διὰ τὰς φλόγας τῆς ἐκκλησίας καὶ σύντομον δέξῃ μου τὴν ἐκ τῶν ἐνθένδε ἀποβίωσιν. ἡ χάρις μετὰ σοῦ, ἡ εὐλογία καὶ σωτηρία. /

---

25 στερεώσει C Mai σκεπάσει C 26 σώσει C Mai

---

192. a. 815 – 818

5 Prov. 27,6

C (S)

5 ἤπερ ἑκούσια coll Prov l. l. scripsi: ὑπερεκούσια C: ὑπὲρ ἑκούσια S Mai 6 ἐπαινέσειε S 9 ὑποδέξομαι CS[ac] Mai 12 ὁπ' ότ' αν C 19 καθάπτης scripsi: καθάπτης Mai 20 μήπως: μὴ πῶς C τῆς om Mai

193. Σπαθαρέᾳ

Ὁ οἶκός σου οἶκος εὐσεβείας, οἶκος φιλοξενίας, οἶκος καταφυγῆς τῶν ὑποχωρούντων τῶν πειρασμῶν· διὰ τοῦτο εὐλογημένη καὶ δεδοξασμένη σὺ ὑπὸ Κυρίου. ἀποστολικῶς σου τὰ κατορθώματα πεφανέρωται, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν, τὴν ὄντως χήραν ὑποτυπῶν καὶ ὑποδεικνύς. τοιαύτην σε ὁ Κύριος κυρίαν ἀνέδειξε, διαβοουμένην ἐν πολλοῖς· ἀλλὰ καὶ ἀναδείξειεν ἔτι, φυλάττων καὶ περιέπων σε εἰς κλέος τῆς χηριακῆς ἐκκλησίας τε καὶ χορείας ἐνταῦθα, ἐν δὲ τῷ μέλλοντι αἰῶνι εἰσαγάγοι σε εἰς νυμφῶνα ἀθανασίας σὺν παρθένοις ἁγίαις.

194. Ἀθανασίῳ τέκνῳ

Ἡδέως ἐδεξάμην σου καὶ νῦν τὴν ἐπιστολήν, τέκνον μου ἠγαπημένον. ἐπεὶ δὲ καὶ ἀνέγνων, περισσοτέρως ἡδύνθην, εὑρών σε τοιοῦτον ὄντα, οἷον καὶ ἐγνώριζον ἐξ ἀρχῆς, οἰκειότερον δὲ εἰπεῖν, οἷον ἔτεκον ἐν Πνεύματι Ἁγίῳ. καί γε τοῦτο θαυμαστόν, τὸ ἐν ἀπουσίᾳ χρονίᾳ ἀναλλοίωτον τοῦ πόθου εἶναι τὸν στέργοντα τοῦ φιλουμένου καὶ διψαλέως ἔχειν τὸν μαθητὴν τὸ τοῦ διδασκάλου βλέπειν πρόσωπον, οὕτω συνημμένον ὄντα τῷ διδασκάλῳ τὴν στοργὴν φυλάττειν ἄσβεστον· ἀλλὰ τῆς ἀνοθεύτου ὑποταγῆς τὸ αἴτιον καὶ τὸ ἄκοντα καὶ μὴ βουλόμενον διαζευχθῆναί μου τοῦ ἀναξίου δι' οἰκονομίαν κρείττονα, ἣν δέδειχεν ὁ καιρὸς ὅ τε νῦν καὶ ὁ προλαβὼν εὖ γε καὶ πάνυ καλῶς ἔχουσαν.

Στέργε οὖν, τέκνον, συγκοπιῶν καὶ συναθλῶν τῷ ἀδελφῷ ἡμῶν καὶ ἀρχιερεῖ (οὐ μικρὸς γάρ σοι ὁ ἔπαινος καὶ ὁ μισθός), οὐ μὴν ἀλλὰ καὶ γύμναζε πρὸς τὴν ἐνισταμένην ὑπὲρ Χριστοῦ ἀγωνίαν· ὁρᾷς γὰρ οἷα τὰ πραττόμενα. μαρτυρίου καιρός, καθὼς ἤκουσταί σοι

---

193. 5 1 Tim. 5,10

C (S)

6 ἐπηκολούθησε S   9 ἔτι om Mai

---

194. a. 816 exeunte vel a. 817 ineunte

C (S)

7 διψαλαίως C Mai

πρὸς τοῖς προλαβοῦσι καὶ τὰ τῶν ἀδελφῶν σου. μὴ δὴ οὖν, ἀδελφέ μου ἀγαπητὲ καὶ ἐπιπόθητε, ἀμερίμνως ἔχε ὡς πορρωτέρω ὢν τῶν κολαζόντων, ἀλλὰ παρα/σκευὴν ποιοῦ θείαν, ἑτοίμη ἡ καρδία μου ὁ θεός, ἐπιλέγων, ‚πρὸς ὅ τι καὶ καταξιώσειας ἐλθεῖν με‘. μάρτυς Χριστοῦ ὁ ἀδελφὸς Θαδδαῖος, τελειωθεὶς ἐν αἵματι ἀθλητικῷ· ἐπεὶ καὶ εἴ τις ἄλλος ἐκ τοῦ πληρώματος ἡμῶν ἢ καὶ ἔξωθεν ἔτι ἐναθλῶν ἐξορίαις, φυλακαῖς, τυφθείς, οὐ μὴν ὡς Θαδδαῖος ὁ στεφανίτης. καὶ γοῦν δοξάσωμεν τὸν θεὸν οἷον προεπέμψαμεν ἐκ τοῦ χοροῦ ἡμῶν ἐν οὐρανοῖς. στενακτέον ἐπὶ τοῖς ὠλισθηκόσι καὶ εὐκτέον καὶ φυλακτέον τὸ περὶ ἡμᾶς, μή πως ἄλλοις κηρύξας, φησὶν ὁ Παῦλος, αὐτὸς ἀδόκιμος γένωμαι.

Διό, ἀδελφέ, θερμότερον ποιοῦ μοι τὴν προσευχήν, ἵνα στερεότητι ψυχῆς τούς τε ἔνδοθεν καὶ ἔξωθεν ἐχθροὺς πολεμήσαιμι· περὶ γὰρ σοῦ ὅτι ἐγὼ αἰτῶ, μάρτυς Κύριος ὡς ἑπτάκις σε τῆς ἡμέρας λαμβάνω ἐν τῇ ταπεινῇ μου εὐχῇ εἰς τὸ σῴζεσθαί σε καὶ εὐδοξῆσαι μεγάλως ἐν Κυρίῳ. εἰρήνη σοι, σοφία, ἰσχύς, φιλητέ μου· οἱ σὺν ἐμοί σε ἀσπάζονται.

195. Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ

Παραμύθιον τῇ ταπεινῇ μου ψυχῇ τὸ τῆς ἁγιωσύνης σου γραμματεῖον, ὁσάκις ἂν καὶ ἐπιφοιτήσῃ, καί γε μάλιστα ἄρτι, ὁπηνίκα ἐκπέπληγμαι ὁ ταπεινὸς ἐκ τῶν ἐν τοῖς ἀδελφοῖς ἡμῶν συμβεβηκότων. ἐθανατώθη ὁ Θαδδαῖος ταῖς μάστιξιν ὑπὲρ Χριστοῦ καὶ ἤρθη μετὰ μαρτύρων, ἐπεὶ καὶ Δωρόθεος σὺν Βησσαρίωνι καὶ Ἰακώβῳ, κἂν ἔτι ἐπιμένωσιν ἐν σαρκί· ἥττηται Λουκιανὸς ὁ ταπεινός, περὶ τὰ μέσα που τῶν πληγῶν ὀκλάσας καὶ προδοὺς τὴν ἀλήθειαν, ἐπεὶ καὶ ἕτεροι τέσσαρες, οἱ μὲν ὀλίγα δαρέντες, οἱ δὲ αὐτὴν τὴν ἀπειλὴν

17 Philipp. 4,1 19 Ps. 107,2 26 1 Cor. 9,27

20 ἐπὶ λέγων C 22 καὶ^2 om Mai 23 στεφανήτης C 24 γ' οὖν C 27 γίνωμαι C: γίνομαι Mai 28 στερρεότητι codd: corr Mai 30 σε om Mai

195. a. 816 exeunte vel a. 817 ineunte

C (S)

2 γραμμάτιον S 3 ἐπὶ φοιτήσει C: ἐπιφοιτήσοι S: ἐπιφοιτήσει Mai: correxi 6 βισαρίωνι C: βησσαρίωνι S^{pc}: Βησαρίωνι Mai 8 ποῦ C

καταπλαγέντες. ὢ τῶν συμβάσεων· ἐκ μὲν τῶν πρώτων χαρὰ ἀνεκλάλητος, ἐκ δὲ τῶν δευτέρων λύπη δυσφόρητος. τί τἆλλα; ἠφάνισται θυσιαστήρια καὶ ἀφανίζεται πᾶς ἱερὸς οἶκος, πᾶς θίασος αἱρετίζει, πᾶς τόπος ἐμπέπρησται, πᾶσα ἀποκέκλεισται θύρα εὐσεβείας. νὺξ βαθεῖα, ὑπὲρ κεφαλῆς τὰ κακά.

Ὁρᾷς, ἀδελφέ, εἰς οἵας ἡμέρας τετηρήμεθα, ἑλληνισμοῦ ἢ οὐδὲν ἢ μικρόν τι διενηνοχυίας; ἀλλ᾽ ὅμως καὶ / οὕτω χάρις τῷ προελομένῳ ἡμᾶς ἀγαθῷ θεῷ ἡμῶν εἰς μαρτύριον τοῦ εὐαγγελίου αὐτοῦ. καὶ τίνες ἐσμὲν οἱ ἀχρεῖοι, ὅσον τὸ κατ᾽ ἐμέ, καὶ πόθεν ἡμῖν τοῦτο ἵνα μάρτυρες τῆς ἁγίας αὐτοῦ εἰκόνος εἴημεν; ἀλλὰ γένοιτο μέχρι τέλους τὸν τῆς ὁμολογίας δρόμον διανύσαι εὐχαῖς τῶν προεκδημησάντων. χαίρω ἀκούων ὅτι ἔρρωταί σου τὸ τίμιον σῶμα ὥσπερ καὶ ἡ ψυχή· ἔχω δὲ κἀγὼ ὡσαύτως, κἂν ἐπὶ τοῦ συναμφοτέρου διὰ τὰς ἔκτοτε ἁμαρτίας οὐδὲν ἐπαίνου ἐν ἐμοί, κἂν σεμνολογῶμαι ὑπὸ τῆς δοκιμότητός σου, ὡς οἶσθα. εὔχομαι δὲ ὁ ἐλάχιστος ἕως τέλους ἐκλάμπειν σε ἐν ἀρχιερεῦσι Χριστοῦ, λαμπρότητας κατορθωμάτων ἐπὶ ταῖς προλαβοῦσι λαμπρότησι φρυκτωροῦντα.

Οἱ σὺν ἐμοὶ μετ᾽ αἰδοῦς ἀσπάζονται τοὺς ὑπὸ τὴν ἱεράν σου χεῖρα ἀδελφούς μου, κατ᾽ ἐξοχὴν Ἀθανάσιον τὸν σύμπονον καὶ σύναθλον πλεῖστα προσαγορεύω.

196. Εὐχαρίστῳ τέκνῳ

Ἐπειδὴ ἐπεζήτησας, τέκνον μου ἠγαπημένον, γράμμα μου ἔχειν, ἰδού σοι τὸ ἐπιθύμιον· ἀλλὰ τί ὀνήσῃ ἐξ αὐτοῦ, οἰκτροῦ ὄντος καὶ οὐδενὸς ἀξίου; πλὴν πίστεώς σου καὶ ἀγάπης εἰλικρινοῦς ἔργον, δι᾽ ὧν ὁ ἀληθινὸς ὑπήκοος γνωρίζεται καὶ ἡ πρὸς τὰ κρείττονα πορεία ἐμφανίζεται. φυλαχθείης μοι τοίνυν ἐν ἀμφοτέροις βελτιούμενος καὶ εἰς κλέος ἀρετῶν προαγόμενος, ὁ ὡς ἀληθῶς εὐχάριστος καὶ χαρᾶς ἐπώνυμος, καὶ ἴδοιμί σε ὁσίοις συναρίθμιον καὶ δικαίοις συνεκλάμποντα.

Προσεύχου περὶ ἐμοῦ, γλυκύτατον τέκνον.

---

10 1 Petr. 1,8

---

10 ὦ C **11** τ᾽ ἄλλα C: τἆλλα S Mai: correxi **14** βαθεία CS^{ac} Mai **15** οἷας: ποίας Mai **16** διενηνοχυῖας codd: corr Mai **22** ὡς αὔτως C

---

196. a. 816 exeunte vel a. 817 ineunte?

C (S)

8 συν ἐκλάμποντα C

197. Ἰωάννῃ ἡγουμένῳ

Καὶ πάλιν ἐπιστέλλω τῇ ἁγιωσύνῃ σου (καὶ ἐπιστέλλων οὐ παύσοιμι, μόνον εἰ γραμματηφόρου ἐπιτεύξοιμι), ὁμοῦ μὲν τὸ τῆς ἀγάπης καθῆκον ἀποπληρῶν, ὃ παρὰ τοὺς πολλοὺς ἔστι μοι ἀναπτόμενον, μὴ ταῖς πρότερον συμβάσεσι μειούμενον ἀλλὰ ταῖς μετέπειτα ἐκλάμψεσι φρυκτωρούμενον, ὁμοῦ δὲ καὶ ἀποδεχόμενος ἐν μακαρισμῷ τὴν παροῦσάν σου εὐανδρίαν, μᾶλλον δὲ ὁμολογίαν Χριστοῦ, καὶ / ὡς οὐκ ἡγήσω τι τῶν παρόντων προτιμότερον τῆς θείας ἀγάπης, δι' ἣν ἐν ἐξορίᾳ τληπαθῶν διανύεις μαρτυρικὸν ἀγῶνα, οὐδ' οὐ μὴν παρετράπης τῆς ἐνστατικῆς προθέσεως τῇ τῶν φρεναπατηθέντων ψευδαδέλφων ὑποσκελίσει, προηγουμένως κρατούμενος τῇ τούτων ἀγαπητικῇ σχέσει, ἀλλ' οἷον πάντων ἀπορραγεὶς καθάπερ κάλων μόνης ἐγένου τῆς ἐφέσεως τῶν ἄνω.

Διά τοι ταῦτα καὶ μακαρίζω σε, ὦ πάτερ, καὶ ἀγαπῶ λίαν καὶ αἰτῶ πάνυ προσεύχεσθαι ὡς ἐπὶ τῶν ἐγκαρδίων σου φίλων καὶ περὶ ἐμοῦ τοῦ ἐλαχίστου, ὅπως ἐν παντὶ τρόπῳ πάντοτε εὐαρεστήσαιμι Κυρίῳ, ὅτι ἕως τοῦ δεῦρο οὐκ οἶδα ἀγαθόν τι πεποιηκὼς ἐνώπιον αὐτοῦ. τὰ δὲ τῆς ἐκκλησίας ὅπως ἔχει χαλεπῶς, ἀκουτίζεταί σοι πάντως, καὶ οἷα τιμωρητήρια γέγονεν ἐπὶ τῶν ἀδελφῶν τῆς καθ' ἡμᾶς ἀδελφότητος, ὧν εἷς ἴσα μαρτύρων ἐξεδήμησε πρὸς Κύριον. ἵνα δὲ γινώσκῃς, ὅτι καὶ ὁ Φλουβουτῆς ὥσπερ ὁ Μηδικιώτης ἀνέσφηλεν· καὶ ὁ μὲν κρατεῖται, ὁ δὲ ἀπανεχώρησε τῆς μονῆς κλαίων τὴν ἧτταν. δοίη Κύριος τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων· πλὴν ὅτι ὁ Ἰωσὴφ παρρησίαν εἴληφεν εἰς τὸν κρατοῦντα καὶ διωγμῶν αἴτιος γίνεται ὡς πάλαι.

Προσειπεῖν ἀξίωσον τοὺς ὑπὸ τὴν ἱεράν σου πλευρὰν τελοῦντας· σὲ οἱ σὺν ἐμοὶ πλεῖστα προσφθέγγονται.

---

197. a. 816 exeunte vel a. 817 ineunte 20 εἷς: Studita Thaddaeus 21 Μηδικιώτης: abbas Nicetas

C (S)

20 ἴσα S 21 Φλουβουτὴς C Mai Μηδικιότης S Mai ἀνέσφηλε S 22 ἀπηνηχώρησε C Mai 23 τοαυτὸ S

198. Τιμοθέῳ τέκνῳ

Ὡς καλὴ ἡ ἐπιστολή σου, τέκνον ἠγαπημένον, πίστει τε καὶ ἀγάπῃ τῇ πρὸς τὴν ταπείνωσιν ἡμῶν κατηγλαϊσμένη. καί γε δοξάζω τὸν Κύριον ἐπὶ τῇ ἀμεταθέτῳ σου διαθέσει, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τῇ εὐλαβείᾳ καὶ εὐδοκιμότητί σου, ὅτι καὶ δίχα τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου ὢν διαβιοῖς μετὰ τῶν ἀδελφῶν σου ἀσφαλῶς, κιχρῶν ἑαυτὸν ἐν τοῖς ἀναγκαίοις ἅπασιν. εἰς τί δὲ οἱ ἔπαινοι, οὓς μοι ἀναφέρεις, οὐκ οἶσθα ὅτι ἔρημός εἰμι παντὸς ἀγαθοῦ; ὅλως καὶ τοῦτο τοῦ φιλικοῦ σου τρόπου αἴτιον.

Μᾶλλον οὖν, ἀδελφέ, προσεύχου ἀφέμενος τοὺς λόγους, καὶ μάλιστα ἄρτι, ὁπότε πῦρ ἀσεβείας κατεμπιπρῶν τὴν / ἐκκλησίαν, ἡνίκα μαρτυρικοὶ ἀγῶνες, τοὺς μὲν αἱρουμένους καὶ εὐσεβοῦντας ἀθλητὰς Χριστοῦ ἀπεργαζόμενοι, ὥσπερ Θαδδαῖον τὸν ἅγιον ἀδελφὸν ἡμῶν, εἴ τινας ἄλλους, τοὺς δὲ φυξήλιδας, λιποταξίου αἰσχύνην προξενοῦντας, ὥσπερ Λουκιανὸν τὸν ἐλεεινὸν ἀδελφὸν ἡμῶν, εἴ τινας ὁμοτρόπους. παρακαλῶ σε οὖν, τέκνον μου ἠγαπημένον, ἐμπαράσκευον εἶναι καὶ μὴ δοκεῖν σε ἀπείραστον διαμένειν ὡς μακράν που διιστάμενον. ἥξει ὡς οὐ δοκοῦμεν ἡ ἁρπαγή, ἐπειδὴ καὶ θεὸς ἕκαστον δοκιμάζει ὡς ἐν πυρὶ καὶ ὁ κρατῶν πλέον τῶν ἄλλων βρέμει ἐφ' ἡμῖν διά τε τὰ προλαβόντα καὶ τὴν περισσοτέραν ἔνστασιν· τίς γὰρ ἄλλος ἐν ὑποτακτίταις ἄρτι ἐναθλῶν πλὴν τῶν ἡμετέρων ἢ τίς ὁ ἐν αἵματι τελειωθεὶς πλὴν Θαδδαίου τοῦ μάρτυρος;

Στερεοῦ οὖν, παρακαλῶ, οὐ μόνον σεαυτόν, ἀλλὰ γὰρ καὶ τοὺς σὺν σοὶ ἀδελφοὺς καὶ τέκνα μου, ἵνα, κἂν μὴ ἔλθῃ τὰ τοιαῦτα, μάρτυρες τῇ προαιρέσει εἴημεν. ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου· ἡ χάρις μεθ' ὑμῶν. ἀμήν.

---

198. a. 816 exeunte vel a. 817 ineunte 6 ἀρχιεπισκόπου: Josephus

14 Hom. Il. 17,143 **18** Ps. 65,10 **25** 2 Tim. 4,22

C (S)

8 ὅλως: ὅμως S 11 κατεμπιπρῶν Mai 12 αἱρουμένους: ἐρουμένους C: ἐρρωμένους Mai 13 ἀπεργαζομένους codd: corr Mai 17 ποῦ C 19 δοκιμάζοι C Mai

199. Βασσιανῷ τέκνῳ

Ἔμαθον οἷα συνέβη ἐπὶ τῶν ἀδελφῶν, ὦ τέκνον, καὶ ὡς αὐτὸς ἐναπέμεινας, μὴ ἐπιζητηθείς, ὅπερ οὐκ εἰς ἧττάν σου, ἀλλ' εἰς οἰκονομίαν παρὰ θεοῦ γεγενημένον. πλὴν ἐμπαράσκευος ἔσο· οὐκ οἶδας γὰρ ποίᾳ ὥρᾳ κελεύει σε ὁ θεὸς παραστῆναι τοῖς κολασταῖς. μὴ οὖν δειλιάσῃς τῇ περὶ τὸν Λουκιανὸν πτώσει καὶ τῇ τῶν ἄλλων δειλοκοπίᾳ· ἀμφότεροι γὰρ κατὰ τὰς ἁμαρτίας μου ἐλεεινοί, ἀπαρασκεύαστοι, εὐάλωτοι τῷ διαβόλῳ, φειδοῖ τῆς σαρκὸς ἀπολέσαντες τὰ αἰώνια· οὓς ἐγειρεῖ Χριστὸς ἐκ νεκρῶν διὰ τῆς ἀξιολόγου μετανοίας. σὺ οὖν ὡς καλὸς στρατιώτης Χριστοῦ συγκακοπάθησον τοῖς συνάθλοις σου, μεθ' ὧν καὶ ἠσφαλίσθης, μεθ' ὧν καὶ κατελογίσθης· τίνων τούτων; Θαδδαίου τοῦ ἁγίου μάρτυρος, Δωροθέου καὶ Βησσαρίωνος καὶ Ἰακώβου, τοῦ νεολέκτου στρατοῦ τοῦ Χριστοῦ. ἐξῆλθεν (ὃ καὶ ἐλεεινὸν εἰπεῖν καὶ ἀληθὲς λέξαι) Ἰούδας καὶ ἀντεισῆλθεν Ματθίας.

Μὴ οὖν φοβηθῇς τὰς / βασάνους τῶν ἀνόμων, ὅτι θεὸς ὁ συγκουφίζων τοὺς πόνους, ὁ συντυπτόμενος. βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, ὡς γέγραπται, τοῖς ἀδελφοῖς σου· μὴ οὐκ ἰσόσαρκοί σου καὶ ὁμοιοπαθεῖς; ἀλλ' ὅτι, φησίν, ἐγὼ οὐ καθαρὸς ὡς ἐκεῖνοι· ἀλλὰ διὰ τοῦτο μᾶλλον οἰστέον, ἵνα διὰ τοῦ οἰκείου αἵματος καθαρισθῶμεν, ὡς χιὼν λευκανθησόμενοι καὶ σύμμορφοι Χριστῷ γενησόμενοι.

Ἔστω ὁ θεὸς βοηθός σοι, ὦ καλὸν τέκνον μου· μνημόνευέ μου τοῦ ταπεινοῦ ἐν τοῖς πόνοις σου.

199. a. 816 exeunte vel a. 817 ineunte

9 Hebr. 11,19 10 2 Tim. 2,3 14 Act. 1,26 17 Ps. 63,8 20 Hebr. 9,22 21 Ps. 50,9 Rom. 8,29

C (S)

1 Βασιανῷ omnes: correxi 9 ἐγερεῖ S ἐκ νεκρῶν om S 12 βισαρίωνος C: Βησαρίωνος Mai 14 καὶ[3] om Mai ἀντ' εισῆλθεν C: ἀντεισῆλθε S 20 οἰστέον: ἰστέον C Mai

200. Δυσὶν ἀδελφαῖς Εἰρήνῃ καὶ Καλῇ

Πονῶν εἰμι περὶ τῆς τιμιότητος ὑμῶν ἅτε ὡς ἰδιαζουσῶν, ἀλλὰ μὴν καὶ ὡς εὐσεβουσῶν ἐν τῇ τῆς παρθενίας φυλακῇ καὶ τῇ τῆς ὀρθοδοξίας κατοχῇ, καὶ τρίτον ὡς εὐεργετουσῶν ἡμᾶς πάντοτε. διὰ τοῦτο, μηδὲν ἔχων ἀνταπόδομα, τὸν λόγον προσφέρω. ἡλίκον ὑμῶν τὸ ἔργον, ὅτι οὔτε πλοῦτος, οὔτε νεότης, οὔτε εὐγένεια, οὔτε δόξα, οὔτε φιλία κόσμου, οὔτε συγγενικὸν αἷμα, οὔτε αἱρετισμὸς ἀνθρώπων, οὔτε τι ἄλλο τῶν ὑπὸ τὸν οὐρανὸν τερπνῶν τε καὶ ὡραίων καταπείθει ὑμᾶς ἐμπαρῆναι τοῖς τοῦ βίου τέλμασιν, ἀλλ' ἐκείνην προαιρεῖσθε τὴν ζωήν, τὴν ἐν ἀγαμίᾳ καὶ ἀκτησίᾳ καὶ ἀπαρνήσει πάντων· τοῦτο γὰρ τὸ θέλειν ὑμᾶς μονάσαι. εὐλογητὸς ὁ θεὸς ὁ νυμφευσάμενος ὑμᾶς διὰ τῆς παρθενίας καὶ τὸν οὐράνιον ὑμῖν εὐτρεπίζων νυμφῶνα. πλὴν ὅτι καὶ ἔξω τοῦ μοναδικοῦ βίου οὖσαι τὰ τῶν ἀληθινῶν μοναζουσῶν ἐργάζεσθε, ψάλλουσαι, ὀρθρίζουσαι ταῖς τεταγμέναις ὥραις, νηστεύουσαι, προσευχόμεναι, ὀρφανοτροφοῦσαι, ἐλεημονοῦσαι, εὐτελοφοροῦσαι, εἴ τι ἄλλο ἐργαζόμεναι τῷ τὰ κρυπτὰ βλέποντι, ἅτινά ἐστιν μονήρους βίου ἔργα.

Πλὴν δοίη ὑμῖν Κύριος κατὰ τὴν καρδίαν ὑμῶν καὶ πᾶσαν τὴν βουλὴν ὑμῶν πληρώσειεν, τῆς ἀγαθῆς ῥίζης τὰ βλαστήματα, τοῦ καλοῦ ἀδελφοῦ αἱ ὁμαίμονες, τῆς οὐρανίου παστάδος αἱ νύμφαι. προσεύχεσθε καὶ περὶ ἐμοῦ, παρακαλῶ. /

201. Ἀντωνίῳ ἡγουμένῳ ⟨τῶν⟩ Αὐλητοῦ

Καὶ πάλιν ἐπιστέλλω τῇ θεοσεβείᾳ σου, συμπροθυμούμενος καὶ συγχαιρόμενος αὐτῇ ἐπὶ τοῖς ὑπὲρ Χριστοῦ πόνοις τε καὶ κόποις, διωγμοῖς τε καὶ ἀφορισμοῖς· ἤνεγκεν ὁ καιρὸς στεφανίτας γενέσθαι,

---

200. a. 815 – 818? 20 ἀδελφοῦ: Moschus

C (S)

4 διατοῦτο S 5 ἀνταπόδωμα codd: corr Mai 8 τῶν οὐρανῶν C 9 ἐμπαρεῖναι omnes: correxi 10 προαιρεῖσθαι C Mai 14 ἐργάζεσθαι C 19 πληρώσειε S 21 προσεύχεσθαι C

201. a. 816 – 818

C (S)

1 αὐλιτ in marg C: suppl Leroy, Catéchèses 340

ἀθλητάς, ὁμολογητάς, καὶ μέντοι διώκτας, χριστομάχους· οἱ γὰρ τῇ εἰκόνι Χριστοῦ μαχόμενοι τί ἄλλο εἶεν ἢ διῶκται ἀληθείας καὶ Χριστοῦ ἀντάρται; ἡ γὰρ τῆς εἰκόνος τιμὴ καὶ ἀτιμία ἐπὶ τὸ πρωτότυπον διαβαίνει. ἐνέγκωμεν δὴ οὖν, πάτερ τίμιε, τὴν παρὰ τῶν ἐχθρῶν κάκωσιν, ἧς τὸ ἀνταπόδομα ζωὴ αἰώνιος καὶ ἡ μετὰ μαρτύρων ἀγαλλίασις. ἐπαινετὸς εἶ, ἄνθρωπε τοῦ θεοῦ, ὅτι ἐκ πάντων μικροῦ δεῖν τῶν ἐν ἄστει καὶ πρὸ τοῦ ἄστεως ἡγουμένων σὺ μόνος ἐξῆλθες προκινδυνεύων τῆς εὐσεβείας, φῶς τῶν ἐν σκότει γινόμενος, ἔλεγχος τῶν ἀσεβούντων ὁμοταγῶν. τί τὸ κέρδος μικραῖς ἡμέραις ἀντέχεσθαι μοναστηρίου, δόξης, εὐπαθείας τῆς προσκαίρου καὶ μετὰ αἱρετικῶν ἀπενεχθῆναι εἰς αἰσχύνην αἰωνίαν; ὅσον δὲ ἀγαθὸν καὶ μακάριον βραχύ τι κοπιάσαι καὶ πάντων ἀποστῆναι τῶν οἰκείων ἢ τάχα καὶ τὸ σῶμα προΐεσθαι καὶ εὑρεῖν θεὸν εὐμενῆ καὶ τὴν βασιλείαν τῶν οὐρανῶν.

Οὕτως ὡς ἐλάχιστος προήχθην διαλεχθῆναι, αἰτούμενός σε, ὁσιώτατε πάτερ, μνήμην μου ποιεῖσθαι τοῦ ἁμαρτωλοῦ ῥυσθῆναι ἐκ τῶν παθῶν τῆς ἀτιμίας καὶ ἕτοιμον εἶναι εἰς ὅ τι ἂν καὶ κελεύοι θεὸς ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἔτι ὑποστῆναι.

202. Ἀρκαδίῳ μοναχῷ

Ἤκουσταί μοι πῶς ἄριστα διέθου τὰ κατὰ σέ, ἀδελφὲ ἠγαπημένε, καὶ ἐδόξασα τὸν θεόν· τί τοῦτο; ὅτι οὐ συναπήχθης τοῖς προδεδωκόσι τὴν ἀλήθειαν διὰ τῆς τῶν αἱρετικῶν κοινωνίας, κἂν εἰς καθηγητῶν εἶεν τάξιν, ἀλλ' ἑαυτὸν ἀπορρήξας τῆς θεοχωρίστου συναφείας ἐναπεκρύβης ἐν ὄρεσι καὶ σπηλαίοις διαιτώμενος σὺν ὑπηρέταις, μᾶλλον ἑλόμενος κακουχεῖσθαι καὶ ταλαι/πωρεῖσθαι ἢ διὰ πρόσκαιρον ἡδονὴν πρόεσθαι τὴν αἰώνιον ζωήν, ἔχων καθηγητὴν καὶ διδάσκαλον Χριστὸν τὸν θεὸν ἡμῶν, ὑπὲρ οὗ καὶ τὸ πάσχειν.

7 Bas. spirit. 18,45 (PG 32,149 C)

9 ἀνταπόδωμα codd: corr Mai 11 ἄστεος S 21 ἂν om Mai 22 ἔτι S[sscr]

202. a. 816 – 818

6 Hebr. 11,38 9 Philipp. 1,29

C (S)

3 συν ἀπήχθης C 8 προέσθαι Mai

Χάρις οὖν τῷ δόντι σοι τελειόφρονα γενέσθαι· σοῦ ὄντως οὐκ ἄξιος ὁ κόσμος, ὑπερκοσμίως βιοῦντος κατὰ τὸν θεῖον ἀπόστολον, σοῦ ὄντως ὁ μακαρισμὸς Χριστοῦ, δεδιωγμένου ἕνεκεν δικαιοσύνης. καί γε ἔπρεπεν τὸν δι' ἀγάπην θεοῦ καταλιπόντα τὰ μέγιστα τῶν ἐπιγείων ἀξιωμάτων καὶ τὰς βασιλείους διατριβάς, προσθείην δ' ἂν καὶ τὰ σωματικὰ κάλλη τε καὶ περιουσιάσματα, μὴ ἁλῶναι ἀγεννῶς καὶ ἀπανθρώπως, ἀλλὰ τὰ θεῖα προκρίναι καὶ τὰ ἐρημικὰ καὶ ὀρικὰ ἐδάφη καταλαβεῖν· ἐν οἷς ἔστι σοι ἀγγελικῶς ἀναστρέφεσθαι, θεὸν ἀναπνέοντι, οὐρανὸν ὁρῶντι, ἀγγέλοις συμπεριπολοῦντι.

Ὑπόμεινον, ἀδελφέ, τὸν καλέσαντά σε Κύριον, καὶ ὑψώσει σε ἐν δόξῃ μεγίστῃ, εἴς τε ὑπόδειγμα ἀρετῆς τοῖς ἐν τῷ βίῳ καὶ εἰς κληρονομίαν τῶν ἐν ἐλπίσιν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν. μέμνησο δὲ καὶ ἡμῶν τῶν ἀναξίων καὶ φιλούντων σε ἑκάστοτε, ὅπως εὐαρέστως Χριστῷ ἀποβιώσοιμεν ἐν τῷ παρόντι ἀγῶνι. τοὺς σὺν σοὶ πλεῖστα προσαγορεύω.

203. Κόμητι

Ἀκούων ἀκούω, ἄνθρωπε τοῦ θεοῦ, τὰς ἀριστείας σου καὶ θεοσεβείας, ἃς περὶ τοὺς ἐν τοῖς αὐτόθι ὄντας ἢ καὶ διερχομένους ἀδελφοὺς ἡμῶν ἐργάζῃ, καὶ δοξάζω τὸν θεόν, ὅτι ὡς ἂν πατὴρ ἢ καθηγεμὼν ἤ τις ἄγγελος ἐκ θεοῦ ἀποσταλεὶς πρακτικεύεσαι τὰ πρὸς αὐτούς, ὃν μὲν παραινῶν, ὃν δὲ συμβιβάζων, καὶ ἄλλον μὲν τρέφων, ἄλλον δὲ παραπέμπων, ἕτερον δὲ συμμίγων μονοβιοῦντα, καὶ ἄλλον μὲν ἐνδύων, ἕτερον δὲ ἐφοδιάζων. καὶ τί δεῖ πολλὰ λέγειν; αὐτὸν ἐμὲ δοκῶ εἶναι ἐν σοὶ ἤ τινα τῶν εἰς δεξιόν μου ὀφθαλμὸν τελούντων. πόθεν σοι, ὦ δέσποτα πανσεβέστατε, ἡ φροντὶς αὕτη, πόθεν ἡ φιλία, πόθεν ἡ παράκλησις ἀλλ' ἐκ θεοῦ, τοῦ κατὰ τόπον καὶ χώραν ἔχοντος τοὺς ἑαυτοῦ ἐργάτας καὶ θεραπευτάς; αὐτὸς καὶ ἐν / τῇ πάλαι ἐξορίᾳ ὡσαύτως ποιεῖν οὐ διέλιπες, ἡμᾶς αὐτοὺς σκεπάσας καὶ θεραπεύσας.

---

10 Hebr. 11,38 **12** Matth. 5,10 **19** Ps. 36,34

13 καταλειπόντα C Mai 16 προκρῖναι C 18 συνπεριπολοῦντι C 23 αἰῶνι susp Kambylis

---

203. a. 815 – 818 12 ἐν τῇ πάλαι ἐξορίᾳ: Chalcae?

C (S)

1 Κώμητι C Mai 11 ἢ post ἀλλ' inser Mai (fort recte) 13 διέλειπες C Mai

Διὰ πάντα τοίνυν ἔχεις ἡμᾶς ὑποχρέους προσευχῶν εὐχαριστηριῶν, μᾶλλον δὲ θεόν, τὸν εἰς ἑαυτὸν ἀναδεχόμενον τὰς εἰς τοὺς ἀδελφοὺς εὐποιΐας σου· παρ' οὗ σοι ἡ ἄφεσις τῶν ἁμαρτιῶν καὶ ἡ βασιλεία τῶν οὐρανῶν.

204. Ναυκρατίῳ τέκνῳ

Ἀδολεσχίᾳ ἠδολέσχουν, τί τὸ ἀποβησόμενον εἰς τοὺς ἀδελφούς· καὶ ὡς διὰ τῆς ἀπαγγελίας τοῦ γράμματός σου, τέκνον, ἔγνων αὐτοὺς διασεσωσμένους ἔτι μετὰ καὶ τοῦ Ὑπατίου (τοῦτο γὰρ ἡ ἐπὶ τῶν προτέρων φρουρῶν ἀνάπεμψις), τί δεῖ καὶ λέγειν ὅσον εὐθύμησα, εὐθάρσησα, εὐχαρίστησα, ἠγαλλιασάμην; καὶ γὰρ ὥσπερ τὸ μακάριον τέλος τοῦ ἁγίου μου Θαδδαίου κράτος γέγονεν, οὐ μόνον ἐμοὶ τῷ ταπεινῷ ὑμῖν τε τοῖς αὐτοῦ ἀδελφοῖς, ἀλλὰ καὶ πάσῃ τῇ ἐκκλησίᾳ, οὕτω καὶ τῶν ἔτι ἀθλούντων ἡ εὐανδρία καὶ διακαρτερία, ὥσπερ καὶ τὸ ἐναντίον ἐναντίως. ἔστιν οὖν ὁ δυναμῶν θεὸς καὶ πρὸς τὸ ἑξῆς κάλλιστα αὐτοὺς διαγωνίσασθαι, οὐ μὴν ἀλλὰ καὶ ἡμᾶς σὺν αὐτοῖς· οἱ μὲν γὰρ ἔδραμον καὶ ἐνίκησαν, κἂν οὐκ εἰς τὸ ἀεί, διὰ τὸ μὴ εἰδέναι τί τέξεται τὰ μετέπειτα, ἡμεῖς δὲ ἐπὶ παρασκευῆς μόνον, οὔπω δεδραμηκότες.

Διὸ ὑπομνήσκω, παρακαλῶ, κυλινδοῦμαι καὶ διὰ σοῦ πάντας παρασκευασμένους εἶναι, μεμελετημένους διὰ τὴν αἰφνίδιον ἁρπαγήν. οὐδεὶς ἐπὶ συμβολῇ πολέμου ἱστάμενος ἀμεριμνεῖ, οὐ φιλονεικεῖ, οὐ διακέχυται, οὐ γελωτοποιεῖ, οὐ μισοπονηρεῖ, οὐ κενεμβατεῖ· ἀλλὰ τί; γρηγορεῖ, προσεύχεται, συμφράττεται, συμπλέκεται καὶ πρὸ συμπλοκῆς, διωθεῖται τὰς ἐπιθυμίας, αὐταρκοτροφεῖ, ἀσχετεῖ κόσμου, ζωῆς, οἰκείου σώματος, πάντα κατὰ τὸν ἀπόστολον σκύβαλα εἶναι νομίζει διὰ Χριστόν. οὐκ οἴδατε τί πέπονθεν ὁ ταπεινὸς Λουκιανός, ἵνα τοὺς ἄλλους ὡς οὐ τῶν δοκούντων εἶναί τι ἐάσω λέγειν; πῶς

---

14 an εὐχαριστηρίων? sed apicem apposuit ut in ἱκετηριῶν 16 εὐποιείας C

---

204. primo semestri spatio a. 817

---

21 Philipp. 3,8

C (S)

---

6 εὐθάρσησα om Mai 10 προστοεξῆς S 12 εἰστοαεὶ S 15 ὑπομιμνήσκω S^{pc} παρεσκευασμένους S 17 φιλονικεῖ C 18 οὐ κενεμβατεῖ: οὐκ ἐνεμβατεῖ Mai 22 οἴδατε: fort est εἴδατε scribendum

πέπτωκεν, πῶς γέγονεν ὑπὸ χεῖρα (φεῦ μοι λέγειν) τοῦ βασιλέως, μᾶλλον δὲ τοῦ διαβόλου; δέομαι ὑμῶν, προσεύχεσθε περὶ ἐμοῦ ἵνα / ἐπισκηνώσῃ ἐπ' ἐμὲ τὸν ἄσωτον, τὸν ἀδρανῆ, τὸν ἄχρηστον ἡ δύναμις τοῦ Χριστοῦ, ἐν ᾗ ἐστι τὸ νικᾶν· ἐπεί, φησίν, χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

Ταῦτα κἀγὼ περὶ ὑμῶν αἰτῶ μετὰ δακρύων καθ' ἑκάστην. ναί, δέομαι ὑμῶν, ἑτοιμάζεσθε, θωρακίζεσθε, διανίστασθε, ἔχοντες πρόμαχον καὶ προασπιστὴν τὸν Κύριον, ὃς πάντως τὸν πιστεύοντα σῴζοι· πιστεύετε, φησίν, ὅτι δύναμαι τοῦτο ποιῆσαι; οἱ δὲ εἶπον· ναί, Κύριε. καὶ αὐτός· ὑπάγετε, ὡς ἐπιστεύσατε, γενηθήτω ὑμῖν· καὶ ἐπέτυχον τῆς ἐπιζητήσεως. τοῦτο καὶ νῦν ἐφ' ἡμῖν τοῖς ταπεινοῖς. ὑπόδειξον τὸ γράμμα, ἀδελφέ μου, τοῖς προέχουσι, καί γε πρὸ πάντων ἀσφαλέστεροι ἦτε οἱ ἐκ τῶν ἔσω παραπεμφθέντες πρὸς τοῦ βασιλέως· καὶ ὁ Κύριος ἔστω μεθ' ὑμῶν. ἀμήν.

205. Πέτρῳ τέκνῳ

Τὸ μὲν ἐπιστεῖλαι καλῶς (φιλῶ γὰρ ἀεί, τέκνον μου ἠγαπημένον, ὁμιλεῖν σοι διὰ τοῦ γράμματος), τὸ δὲ ἀποστεῖλαι διὰ τί, καί γε τοσαῦτα καὶ τηλικαῦτα; ἐξέστησάς με πᾶσαν τὴν ἔκστασιν ταύτην. οὐκ ἤρκει σοι ἡ φροντὶς τῶν ἀδελφῶν; ἀλλ' ὁ πόθος πρᾶγμα βίαιον. στῆσον ἔτι, παρακαλῶ, τὸ ἐκδαπανᾶσθαί σε. πλὴν ἀπεδεξάμην, πλὴν ἀπευχαρίστησα, ὅτι ἀναξίου μου ὄντος ἡ τοιαύτη σου θεόθεν ἐκκέχυται προαίρεσις. τί ἀνταποδώσω ὁ τάλας; τί γὰρ ἀγαθὸν ἔχω ἢ ἔσχες παρ' ἐμοῦ ἢ αὐτὸς ἢ ἄλλος τῶν συμφοιτητῶν σου; θεοῦ τὸ δῶρον, οὐκ ἀπ' ἐμοῦ τι ὠνήσασθαι. ὅμως ἀνθ' ὧν προαιρούμενος εἶ ἐκ πρώτης ἡμέρας ἕως δεῦρο πρὸς τὴν ταπείνωσίν μου, ὦ καλὸν τέκνον, εὕροις τὸν Χριστὸν εὐμενισμένον, τῆς πεποιθήσεώς σου χαριζόμενόν σοι τοὺς μισθούς· δι' αὐτὸν γὰρ πράττεις, ἃ πράττοις.

---

25 2 Cor. 12,9   27 Joh. 15,5   32 Matth. 9,28 sq.

27 φησὶ S Mai   29 μετὰ S^{sscr} καθεκάστην codd: distinxit Mai

205. a. 816 exeunte vel a. 817 ineunte?

9 Eph. 2,8

C (S)

3 διατί S   10 ὠνήσασθε S   ἀνθῶν codd: distinxit Mai   13 πράττοις: πράττεις S Mai

γρηγορεῖν δὲ παρακαλῶ ὑμᾶς, στήκειν ἐν τῇ πίστει, ἀνδρίζεσθαι, κραταιοῦσθαι, πάντα ὑμῶν ἐν ἀγάπῃ γίνεσθαι· ὁ γὰρ καιρὸς ἀγώνων. σκοπεῖτε πῶς τινες δοκοῦντες ἵστασθαι καταπεπτώκασι, καὶ ἄλλοι ἄλλως. παραζηλοῦμεν ἐν τοῖς ἐναθλοῦσιν, ὧν Χριστὸς στερέωμα, ὧν κἀγὼ ὁ τάλας εἴην κοινωνός· / οἷς καὶ ὑμεῖς συναρίθμιοι ἐν Χριστῷ Ἰησοῦ, τῷ λαμπρύναντι τὴν πολιτείαν ὑμῶν ἔκπαλαι, ἀφ' ὧν καὶ ὁ ζῆλος ἀνήφθη ἐν τῷ νῦν καιρῷ τολμῶ λέγειν.

Πρὸς οὓς εἴρηκας ἐπιστεῖλαι γέγραφα. προσαγόρευσον τὴν καλήν σου συνοδίαν· οἱ σὺν ἐμοὶ θερμῶς σε ἀσπάζονται.

206. Πατρικίᾳ

Οὔπω οὔτε ἐν ὄψει, ὡς οἶμαι, ἦλθον τῆς εὐγενείας σου οὔτε εἰς λόγον γραμματικῆς προσφωνήσεως, ἤχθην δὲ κινηθεὶς παρὰ τοῦ πνευματικοῦ ἡμῶν τέκνου, Πέτρου δὴ λέγω, τοῦ ἰδίου σου· πολλά σοι γὰρ τὰ ἐγκώμια συνείρει καὶ πολλούς σου φαίη ἀπολελαυκέναι τιμῆς καὶ χάριτος. καὶ τοῦτο ψυχῆς ἀγαθῆς, ἀγαθοποιεῖν πρὸς πάντας, καὶ μάλιστα πρὸς τοὺς οἰκείους καὶ ἀγχιστεύοντας. λέγει δὲ ὁ ἀδελφὸς καὶ μὴ χραίνεσθαί σε τῇ μυσαρᾷ αἱρέσει τῶν χριστομάχων. καί γε πάλιν μέγας σοι ὁ ἔπαινος ἐντεῦθεν, πιστὰ φυλαττούσῃ τῷ δεσπότῃ σου Χριστῷ, καθάπερ καὶ τῷ μακαρίῳ σου ὁμόζυγι. ἀλλ' ὤ, πῶς ἦλθον εἰς μνήμην τοῦ ἀνδρός; κἂν γὰρ τῇ τιμιότητί σου ἀγνώριστος, ἀλλ' οὐκ ἐκείνῳ τῷ ἀειμνήστῳ· ἐφίλουν γὰρ αὐτὸν πάνυ διὰ τὴν ἐν ἅπασιν εὐσέβειαν αὐτοῦ καὶ θεοφοβίαν, πείθομαι δὲ ὅτι καὶ ἀντεφιλούμην. γέγονε δὲ ὡς γέγονε, καὶ θεὸς αὐτὸν ἀναπαύσειεν· οὐ γὰρ τὸ θανεῖν ἐν πολέμῳ ἁπλῶς κακόν, ἀλλὰ τὸ ἐν ἁμαρτίᾳ, οὗ δ' ἂν φθασθείη τις κἂν ἐπὶ κλίνης.

Λοιπὸν εὔθυμος ἔσο, κυρία, περὶ τῆς σῆς κεφαλῆς, ὃν ὄψῃ μικρὸν ὕστερον, ἐλπίζω, ἐν χαρᾷ, ὅτε τῇ ἐσχάτῃ σάλπιγγι ἀναστήσονται

---

14 1 Cor. 16,13

18 εἴην: εἴκω Mai   συν ἀρίθμιοι C   **19** ἡμῶν S

---

206. a. 816 exeunte vel a. 817 ineunte?   **15** θανεῖν ἐν πολέμῳ: cf. N. Oikonomidès, in: REB 25 (1967) 134

18 1 Cor. 15,52

C (S)

3 πρὸς φωνήσεως C   **5** συνήρει CS^{ac}: συνῄρει Mai   **8** μυσερὰ C   **11** ὢ C   **17** ὄψει S

πάντες εἰς ἄμειψιν τῶν βεβιωμένων. ἴδε πῶς ἀρξάμενος ἑτέρως ἐτελείωσα· εὑρέθη γάρ μοι τὸ γράμμα κατὰ χρέος τῇ τοῦ ἐμοῦ κυρίου καὶ γνησίου φίλου ὁμόζυγι πεποιημένον. χαρισθείης μοι εὐσεβῶς διαβιοῦσα.

207. Πατρικίᾳ ἄλλῃ

Τανῦν ἐπιστεῖλαι τῇ ἐμῇ κυρίᾳ ἐκ προφάσεως γέγονε τοῦ πνευματικοῦ ἡμῶν τέκνου ἀββᾶ Πέτρου, τοῦ καὶ τῆς σῆς θεοσεβείας / ἀγχιστέως. τί δὲ ὅ τι οὐκ ἀπέλιπες καὶ αὐτῷ ἀγαθοποιοῦσα, ὥσπερ καὶ τοῖς περὶ τὸν ἀββᾶν Εὐόδιον ἄλλοις τε τοῖς φθάσασι τῆς ἐλαχίστης ἡμῶν μονῆς ὑπάρχειν; ὑπὲρ ὧν καὶ δι' ὧν ἄξιόν ἐστιν εὐχαριστεῖν σοι, ἀπολογεῖσθαι, προσεύχεσθαι τὰ ἀγαθά σοι εὐθηνῆσαι. ὁ οὖν ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι καὶ πληθύναι τὸν πνευματικὸν σπόρον καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης σου ἐν παντί, θείᾳ ἐργασίᾳ πλουτιζομένης· τοῦτο γάρ σοι ἐγκώμιον ἐν τῷδε τῷ βίῳ καὶ ἐφόδιον αἰωνίου ζωῆς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ἀπολαύομεν πάντοθεν τῶν ἀγαθῶν σου, ἔχομεν δὲ ἐν ὀφθαλμοῖς ἡμῶν μνήμης ἐμπύρευμα καὶ τὸ προσκεφάλαιον, ἐν ᾧ ἀναπαυόμενοι χρεωστικῶς ὑπερευχόμεθά σοι. τί τὸ ἑξῆς; ὅτι καὶ τὴν πίστιν, ὡς μανθάνω, φυλάττεις ὡς κεφαλίδα σου, τὸ φρόνιμον τοῦ ὄφεως ἔχουσα κατὰ τὴν Γραφὴν καὶ τὸ τῆς περιστερᾶς ἀκέραιον. ὢ τῆς ἐπαινετῆς σου θεοσεβείας· οἶδας ὅτι οὐδὲν θεοῦ προτιμότερον, ὄντως πεπαίδευσαι τὰ θεῖα, ἀληθῶς γινώσκεις τὰ ἀνθρώπινα παρερχόμενα. καί γε διαφυλάξειέν σε Κύριος ἕως τέλους ἀκατάγνωστον, ἀμέτοχον τῆς τῶν αἱρετιζόντων θεοχωρίστου κοινωνίας, τὴν ἐν ἅπασιν πανεύφημον καὶ πανσύνετον.

---

20 καταχρέος codd: distinxit Mai

---

207. a. 816 exeunte vel a. 817 ineunte?

8 2 Cor. 9,10 sq. 16 Matth. 10,16 20 Ps. 40,3

C (S)

2 τὰ νῦν C Mai ἐπὶ στεῖλαι C 4 ἀπέλειπες C Mai 5 εὐώδιον C 6 καὶ δι' ὧν om Mai διῶν C 7 εὐθυνῆσαι Mai 9 χορηγῆσαι CS[ac] Mai αὐξῆσαι CS[ac] Mai 11 καὶ om Mai 15 σοι: σου S τοεξῆς S 17 ἀκαίρεον C Mai ὧ C 18 προτιμώτερον omnes: correxi 19 γινώσκης C 20 διαφυλάξειέ S ἀκατάγνωστον: ἀκαταγώνιστον Mai 21 ἅπασι S

208. Ἱλαρίωνι τέκνῳ

Χαῖρε τέκνον, ἀββᾶ Ἱλαρίων· πυνθάνομαί σε πῶς ἔχεις, πῶς διεξάγοις τὸν τοῦ διωγμοῦ καιρόν. κἂν ἄρτι ἀπεριόριστος, ἀλλὰ τὰ πάλαι οὐ μόνον περιωρισμένος, ἀλλὰ καὶ ἐν πληγαῖς ὑπὲρ Χριστοῦ· ὅμως καὶ τανῦν δεδιωγμένος καὶ ὁ μακαρισμὸς ἐγγύθεν. δεδέημαι καὶ πρὶν καὶ νῦν τὸ αὐτό, εὐαρέστως διεξάγειν τὴν ἐν Κυρίῳ ζωὴν ὑμῶν. ἡ συνοδία σου ἔστω συνοδία Χριστοῦ, ἡ ἁλεία σου ἁλεία ἀποστολική· καὶ γὰρ μαθητῶν Χριστοῦ τὸ ἐπιτήδευμα. δοξάσατε δὴ τὸν θεόν, τέκνα μου, ἐν τῷ ἔργῳ ὑμῶν, ὅτι ἐπὶ θύραις θανάτου ἐσμέν. ἁλιεύων ἡλιεύθης ὑπὸ Κυρίου εἰς τὸ ἅγιον σχῆμα· οὕτως εἰσαεὶ ἔστω σου ἡ ἄγρα ἐν τῷ ἀγρεύεσθαί σε ὑπὸ θεοῦ εἰς τὰ καλά. ὁρῶν τὸν βυθὸν θαύμαζε τὸν / ποιητήν σου θεόν, ἀγρεύων τὸν ἰχθὺν δόξαζέ σου τὸν τροφοδότην Κύριον, πιπράσκων διὰ χρείαν μοναχικῶς, ἀλλ' οὐ κοσμικῶς· πλέκων τὴν ὁρμαίαν συμπλέκοις μου ἀγαθοὺς λογισμούς. ψαλμὸν ἔχεις, ᾠδὴν ἔχεις, μελῳδίαν ἔχεις. ἐν τῷ ἐσθίειν τὸ ἀπρόσκοπον, ἐν τῷ πίνειν τὸ σύμμετρον, ἐν τῷ κοιμᾶσθαι τὸ αὔταρκες· πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω, ἵνα δοξάζηται ὁ Κύριος ὑπὸ τῶν ὁρώντων ὑμᾶς. σκοπεῖτε καὶ τὸν πειρασμόν, μήπως καὶ συλληφθῆτε· διὸ οὐκ ἀμεριμνεῖν χρὴ οὐδὲ ἀδιαφόρως ζῆν, ἀλλὰ σὺν φόβῳ καὶ ἐγρηγορήσει ἐλπίδι τε θεοῦ εἰς τὸ ἐνεγκεῖν πάντα ὑπὲρ Χριστοῦ.

Ναί, τέκνον μου, παρακαλῶ σε οὕτω πορεύεσθαι. στήριζε τοὺς μετὰ σοῦ, ὑπομίμνησκε φοβεῖσθαι καὶ τρέμειν θεὸν καὶ μηδὲν ποιεῖν κακόν, ὡς κατ' ὀφθαλμοὺς αὐτοῦ παρόντων ἡμῶν ἀεί, ὅπερ ἀληθές. ἀπεδεξάμην σου τοὺς ἰχθῦς ἐξ ἔργων τῶν εὐλογημένων χειρῶν σου. εὐλογήσειεν Κύριος τὴν ἄγραν σου. προσειπὲ τὸν ἀδελφὸν Θεοφύλακτον καὶ εἴ τινα ἄλλον πιστόν· οἱ σὺν ἐμοὶ ἀσπάζονταί σε πεποθημένως.

---

208. a. 816 – 818 14 ὁρμαίαν: de hoc apparatu piscantium cf. Ph. Kukules, BB V 333; ὁρμιά legitur apud Theod. Stud. or. 9,5 (776 C)

5 Matth. 5,10 15 1 Cor. 14,26 17 1 Cor. 14,40

C (S)

5 τὰ νῦν C Mai 6 τοαυτὸ S 7 ἀλία omnes: correxi (bis) (an est utroque loco ἁλι⟨εί⟩α scribendum?) 8 τοῦτο ante τὸ inser Mai 10 εἰς ἀεὶ C **12** ἰχθῦν Mai **14** ὁρμέαν S: ὁρμειὰν Mai συμπλέκεις S μου: μοι S 18 ἡμᾶς Mai 20 ἐγρηγόρσει S 25 ἰχθὺς C: ἰχθύας Mai 26 εὐλογήσειε S πρὸς εἰπὲ C: πρόσειπε S

209. Νείλῳ τέκνῳ

Προσαγορεύω σε, ὦ τέκνον μου ἀγαπητὸν Νεῖλε· ἀπεδεξάμην σου τὴν εὐλογίαν, τοὺς ἰχθύας. τί σοι ἀνταποδοίην, ὅτι καὶ πάλιν μου ἐμνήσθης ἐκ τοῦ κόπου τῶν χειρῶν σου; οὐδὲν ἄλλο ἢ εὐχήν μου ἁμαρτωλήν· καί γε παράσχοι ὁ Κύριος τὸν φόβον αὐτοῦ πλειοτέρως ἐν καρδίᾳ σου, ἵνα κἄν τε ἐν γῇ κἄν τε ἐν θαλάσσῃ αὐτὸν ἀναπνῇς, αὐτῷ δουλεύῃς. οἶδας γάρ, τέκνον, ὅτι θνητοί ἐσμεν πάντες, μικρὸν ὕστερον ἐκβαίνοντες τοῦδε τοῦ σαρκίου, λόγον ὑφέξοντες περὶ ὅλου τοῦ βίου ἡμῶν μέχρι καὶ λόγου καὶ παροράματος, μέχρι ἐνθυμήσεως· καὶ τί λέγω; καὶ ἀκουσίων καὶ τῶν ἐν ἀγνοίᾳ δώσειν ἡμᾶς λόγον ἐπήγγελται τῷ Κυρίῳ. ποταποὺς δεῖ ἡμᾶς λοιπὸν εἶναι; ἐμφόβους καὶ ἐντρόμους, εὐαπολογήτους· φοβερὸν γὰρ τὸ κριτήριον τῆς διαγνώσεως. πῦρ ἄσβεστον ἔνθεν, κἀκεῖθεν βασιλεία οὐρανῶν, τὸ μὲν τοῖς ἁμαρτωλοῖς καὶ παρα/κρούσασι τὰς ἐντολὰς τοῦ Κυρίου, ἡ δὲ τοῖς νομοφύλαξι.

Διὰ τοῦτο παρακαλῶ ὁσίως σε βιοῦν, καθαρῶς, ἐνώπιον εἶ θεοῦ· κἂν δίκτυον ἀνακαθαίρῃς, κἂν ἄγκιστρον βάλλῃς, κἂν ἰχθὺν ἀνέλκῃς, πάντα εἰς δόξαν θεοῦ, τέκνον. μὴ ὡς οἱ λαϊκοὶ ἡμεῖς οἱ σταυρόκοσμοι μήτε ἀγρεύοντες μήτε πιπράσκοντες, ἀλλὰ ἀποστολικῶς, ὧν καὶ τὸ χειροτέχνημα. ὑπέμνησα ἐκ πόνου, ἐκ φόβου· ἐὰν γὰρ μὴ διαστείλωμαι, οὐαί μοι. ναί, υἱέ μου ἠγαπημένε, μνήσθητι τοῦ εὐεργέτου σου θεοῦ, ποῦ ἧς ποτε καὶ πῶς, καὶ νῦν τίς εἶ καὶ ἐν ποίᾳ δόξῃ· δόξασον τὸν θεὸν ἐν τῷ βίῳ σου, ἵνα καὶ ὁ θεός σε δοξάσῃ εἰς αἰῶνας.

Σοὶ μὲν παρ' ἐμοὶ ταῦτα, πρὸς δὲ τὴν συνοδίαν σου αὐτὸς ἀντὶ ἐμοῦ γενοῦ, στηρίζων καὶ νουθετῶν τὰ αὐτά, καὶ ἡ εἰρήνη τοῦ Κυρίου βραβεύσειεν ὑμᾶς ἐν ὁμονοίᾳ. προσεύχου καὶ αὐτὸς περὶ τῆς ταπεινώσεώς μου· προσαγορεύουσίν σε οἱ ἀδελφοί σου.

---

209. a. 816 – 818 3 ἰχθύας: cf. Hunger, Literatur I 231 et adn. 166

11 Hebr. 12,21 **20** Ez. 3,19 **26** Col. 3,15

C (S)

6 ἀναπνεῖς CS[ac]: ἀναπνοῖς Mai 7 δουλεύεις CS[ac]: δουλεύοις Mai 8 τοῦδε om Mai 10 καὶ ἀκουσίων S[sscr] 11 Κυρίῳ: θεῷ S ἐνφόβους C 17 βάλλεις C Mai ἀνέλκεις C Mai 25 ἐμοὶ: ἐμοῦ S 28 προσαγορεύουσί S

210. Ἀνεπίγραφος

Μανθάνω σε, ὦ μακαριώτατέ μου πάτερ, εἱργμένον εἶναι καὶ οἷον ὡς καμίνῳ πυρὸς δοκιμαζόμενον ὑπὸ τῶν ἀσεβούντων. καὶ εἴθε μοι ἦν δυνατὸν καταλαβεῖν τὸ κατέχον σε φρουρεῖον, ὡς ἂν ἠσπασάμην τὴν ἐμοὶ ἱερὰν καὶ σεβασμίαν κεφαλήν, ᾄσας σοι αἰνέσεως ῥήματα, ὅτι διὰ Χριστὸν βασανίζῃ, λιμώττεις, διψεῖς, στενοχωρούμενος, ὑπωπιαζόμενος, ταλαιπωρούμενος, τάχα καὶ τὸν ἀέρα ἀναπνεῖν οὐκ ἐλευθερίως ἔχων· ἐῶ λέγειν ὀνειδισμούς, μυκτηρισμούς, ἀπειλάς, ὅσα ἄλλα καὶ φυλακὴ φέρει καὶ οἱ κακοῦντες εἰώθασι πράττειν. διὰ ταῦτα πάντα ἀλγύνομαι ὁ ταπεινὸς ἐπὶ τῇ σῇ ἁγιωσύνῃ, ἀγωνιῶ, σφαδάζω, στοναχίζω, τὴν καρτερίαν σοι προσευχόμενος ὡς ἁμαρτωλός, τὴν ἀναψυχήν, τὴν τοῦ ἀγῶνος τελείωσιν· καί γε πιστεύω ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν τὸ μαρτύριον τῆς ὁμολογίας αὐτοῦ καὶ ἐπιτελέσειεν εἰς δόξαν τοῦ κράτους αὐτοῦ, εἰς ἔπαινον τῆς ἐκκλησίας αὐτοῦ, εἰς καύχημα ἡμῶν τῶν ἐλαχίστων καὶ ἀδρανῶν. πάντες ἡμῶν εἰς ὑμᾶς / ἀποβλέπομεν, πάντες ἐφ' ὑμῖν ἐπερειδόμεθα, ὥσπερ οἱ κατὰ δευτέραν ἐπιβολὴν σταδιοδρομεῖν παρασκευασμένοι καὶ τῇ τῶν προτέρων νίκῃ ἢ τοὐναντίον εὐθαρσοῦντες ἢ καὶ ἀνάπαλιν καταπεπτηχότες καὶ τῆς ἀνδρείας τόνον οὐκ ἔχοντες. δεόμεθα ὑμῶν, ἀνδρειώσατε ἡμᾶς· ναί, ναί, παρακαλοῦμεν τὰ πατρικὰ ὑμῶν σπλάγχνα, δότε ἡμῖν νίκης σημεῖον ἐν ταῖς ἀηττήτοις εὐδρομίαις καὶ μὴ τοὐναντίον, ὅπερ ἀπείη καὶ ἐννοεῖν. ὥστε ὑμεῖς ἡμῶν καὶ στέφανος καὶ χαρὰ καὶ ἐλπὶς καὶ μαρτύριον ἐν προσώπῳ Χριστοῦ· ὃς ἡμᾶς σὺν ὑμῖν τοῖς ἀξιοθέοις χαρίσεται ἀκαταγνώστως διανύσαι τὸν προκείμενον ἀγῶνα τῆς ὁμολογίας αὐτοῦ.

---

210. a. 815 – 818 4 ὡς ἂν ἠσπασάμην: cf. Karlsson, Idéologie 134

12 Philipp. 1,6 14 Philipp. 2,16 21 Bas. ep. 262,2 (PG 32,973 B = III 120 Courtonne) 22 Philipp. 4,1

C (S)

4 φρουρίον C: φρούριον Mai 5 ἐμοὶ: ἐμὴν Mai 17 παρεσκευασμένοι S 19 ἀνδρίας S[pc] ἀνδριώσατε omnes: correxi 20 δῶτε omnes: correxi 22 ἀπίει C Mai ὥστε: ἔστε Mai

211. Εἰρήνῃ καὶ Καλῇ, δυσὶν ἀδελφαῖς

Ὢ τῆς συμφορᾶς· ἀπὸ γὰρ στεναγμοῦ ἐνάρχομαι τῆς ἐπιστολῆς, συσκυθρωπάζων ὑμῖν ἐπὶ τῷ πάθει καὶ συνδακρύων, εἰ καὶ τολμηρὸν εἰπεῖν, ὡς ὁ Χριστὸς ὁ ἀγαθὸς ταῖς περὶ Μάρθαν δυσὶν ἀδελφαῖς ἐν τῷ θανάτῳ Λαζάρου. φίλος γὰρ ὁ ἀνήρ, φίλος ἐγγίζων ἐν αἵματι, ἀγαθὸς ἄνθρωπος θεοῦ, ἐργάτης ἐντολῶν Κυρίου, μόσχος ὢν καὶ ὀνόματι καὶ πράγματι δι' εὐωδίαν τῶν δεξιῶν αὐτοῦ πράξεων. τότε τοίνυν ἐπὶ Λαζάρῳ πολλοὶ τῶν Ἰουδαίων ἧκον ἐν Βηθανίᾳ, συνθρηνήσοντες ταῖς ὁμαίμοσι διὰ τὴν ἀρετὴν τοῦ ἀνδρός· εἰ γὰρ τοῦ Χριστοῦ φίλος, πῶς οὐ πᾶσιν ἐραστός; νῦν δέ, φεῦ τῆς συμβάσεως, οὐδὲ κἂν ὁ θάνατος κατ' ὀφθαλμούς, ὅπερ φέρειν οἶδεν πολλὴν παραμυθίαν, ἐξόδια ῥήματα καὶ συντακτήρια παραψιθυρίσματα· φιλεῖται γὰρ ὁ ἀπιὼν καὶ περιτρύζεται παρὰ τῶν παρεστηκότων καὶ νεύει ὀφθαλμὸν καὶ κινεῖ χεῖρα καὶ φθέγγεται ἀδρανές τι, ἃ οὐκ ὀλίγην καὶ μετὰ θάνατον ἐπαφίησι παρηγορίαν τοῖς πενθοῦσιν. οὐδὲν δὲ δεῦρο τοιοῦτον. διὸ καὶ τὸ πένθος ὑμῶν ὑπολαμβάνω ἀπαράκλητον εἶναι, ἀφεμένων μόνων, ἀπροστατεύτων, ἀνεπικούρων. βαρὺ τὸ πάθος, βαθεῖα ἡ πληγή, ἀπαρηγόρητος ὁ χωρισμός· καὶ γὰρ ἦτε ἀμφότεροι ξένον τι ζῶσαι ἐν βίῳ, ἀδελφὸς δυοῖν ἀδελφαῖς, ἄζυξ ἄζυξι, παρθένος παρθένοις, φέροντες τὰ τῆς εὐγενείας ἐν λαμπρότητι, / τὰ τῆς ἡλικίας ἐν ἀκμῇ, τὰ τῆς θεωρίας ἐν εὐειδίᾳ, τὰ τῆς οὐσίας ἐν εὐπορίᾳ, τὰ τῶν προσόδων ἐν εὐθηνίᾳ. καὶ ὅμως τῆς φιλαλληλίας οὐδὲν προτιμότερον γέγονεν, εἰς διάζευξιν ἀναγκάζον διὰ τοῦ γάμου ἐν ὑμῖν· ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; καὶ οὔπω ἔφην τὴν μητρόθεν παραδεδομένην ἀγαθοεργίαν ἐν ἐλεημοσύναις, ἐν προσευχαῖς, ἐν ψαλμῳδίαις, ἐν ἐγκρατείᾳ, ἐν σεμνότητι, ἐν εὐλαβείᾳ, ἐν φιλοξενίᾳ, τὸ τελευταῖον καὶ πρῶτον, ἐν ὀρθοδοξίᾳ. ποῦ παρήσομεν τὴν ὀρφανοτροφίαν καὶ ὅσα ἐν αὐτῇ ὁρᾶται ἐν πάσῃ ἡλικίᾳ κληρῶσαι καὶ προικίσαι καὶ εἴ τι ἄλλο; ὢ τοῦ θαύματος· τεσσεράκοντα εἴασεν ὀρφανὰ ἐν τῇ ἀποβιώσει ἐν ὑμῖν

---

211. a. 815 – 818 5 ἀνήρ: Moschus

4 Joh. 11,35 8 Joh. 11,19 24 Ps. 132,1

C (S)

2 ὦ codd: corr Mai 7 καὶ πράγματι om Mai 8 τῶν om Mai βιθανίᾳ codd: corr Mai 11 κ' ἂν codd οἶδε S Mai 13 ἀπιῶν C 19 δυεῖν Mai 25 ἐπιτοαυτό S ἀγαθοεργείαν C Mai 29 ὦ C 30 τεσσαράκοντα S Mai

ταῖς τὰ ἴσα πραττούσαις· ξένον ἄκουσμα, ἔργον ἁγίων, οὗτοι σὺν πολλοῖς ἄλλοις οἱ θρηνηταὶ τοῦ πατρὸς ὡς ἀληθῶς τῶν ὀρφανῶν. θεομίμητον τὸ κατόρθωμα.

Τοιαῦτα τὰ ἐκείνου καὶ ὑμῶν, τοιοῦτον αὐτοῦ καὶ τὸ ἐντάφιον, δι' ὧν καὶ μετὰ θάνατον ὀρφανοτροφεῖ, ἐλεεῖ, ψυχὰς πενήτων ἐμπίπλησιν ἀγαθῶν. ταῦτα κενούτω τὸ πάθος τῆς λύπης ὑμῶν, εἰς χαρὰν μεταβάλλοντα, ἐν ἐλπίδι τῶν ἀποκειμένων αὐτῷ αἰωνίων ἀμοιβῶν· ὧν καὶ ὑμεῖς μετασχοίητε καλῶς καὶ ὁμοτρόπως τὸν ὑπολειπόμενον ὑμῖν διαμείβουσαι βίον ἐν Χριστῷ Ἰησοῦ, τῷ φυλάττοντι ὑμᾶς ὡς κόρας δύο ὀφθαλμῶν θεοσεβείας.

212. Εὐσεβίῳ τέκνῳ

Ἐδεξάμην σου τὸ γράμμα, τέκνον, καὶ γνοὺς συνῆκα ὅτι φοβῇ σὺ τὸν θεὸν διὰ τῆς ἀγάπης καὶ πεποιθήσεώς σου, ἧς ἔχεις δι' αὐτὸν πρὸς τὴν ἐμὴν ταπείνωσιν· δεῖγμα γὰρ ὑποταγῆς θεοθεραπεύτου ἡ πρὸς τὸν καθηγούμενον ἀγάπη καὶ ἐπιποθουμένη θεωρία. χάρις οὖν τῷ θεῷ, ὅτι ἄσβεστοί σου οἱ σπινθῆρες τῆς πίστεως διαμεμενήκασιν, ἀλλὰ καὶ διαμενοῦσιν εἰς τὸ ἀεί· εὐαπόδεκτός σου καὶ ἡ πρὸς τὰ ἐνταῦθα προαιρετικὴ ἄφιξις. ἀλλ' οὖν καλῶς ἐποίησας ἐπισχὼν ἑαυτόν· πειρασμὸς γάρ ἐστιν ἡ ἔλευσις τοῦ τυχόντος. παρακαλῶ δέ σε, τέκνον μου, φυ/λάττεσθαι ἀπὸ παντὸς κακοῦ. ἔστω σου τὸ κάθισμα ἐν τόπῳ ἀσκανδαλίστῳ (φεύγειν γὰρ δεῖ τοὺς τῶν πτωμάτων τόπους) μετὰ ἑνὸς πάντως ἢ δύο ἀδελφῶν σου· γέγραπται γὰρ οὐαὶ τῷ ἑνί, ὅτι ἐὰν πέσῃ οὐκ ἔστιν ὁ ἐγείρων αὐτόν· ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός, ταῦτα δέ, φησίν, ἀντίκειται ἀλλήλοις. μὴ τὴν νικῶσαν τῇ σαρκὶ δῶμεν ῥοπὴν (ἄξει γὰρ ἡμᾶς εἰς πυθμένα ᾅδου), ἀλλὰ τῷ πνεύματι· ζησόμεθα γὰρ ἐν τούτῳ εἰς αἰῶνας εὐφραινόμενοι. διὸ μέτρῳ καὶ σταθμῷ ἐσθίωμεν καὶ πίνωμεν καὶ ὑπνώττωμεν· τῷ νικῶντι ὁ στέφανος. μὴ οὖν καταισχυνθῇς,

39 Ps. 16,8

34 τοιοῦτον: τοιοῦτο Mai 37 μετὰ βάλλοντα C

212. a. 816 – 817

12 Eccl. 4,10 13 Gal. 5,17 18 2 Cor. 6,4

C (S)

2 φοβεῖ C: φοβεῖς(!) Mai 13 ἐγειρῶν S[ac] ἐπὶ θυμεῖ C 15 ἄξει: ἕξει Mai

τέκνον μου, ἀλλ' ἐν παντὶ σύστησον ἑαυτὸν ἄμεμπτον, ὡς θεοῦ διάκονον. ζηλῶν ζήλου τῷ Κυρίῳ ἐν τῇ ὀρθοδοξίᾳ, ὅτι ἡ ἄρνησις αὐτοῦ ἐν τῇ εἰκόνι αὐτοῦ γίνεται τοῖς νυνὶ διώκταις· φεῦγε πάσης κοινωνίας αὐτῶν ὡς ἰὸν ὄφεως. εἴη σοι Χριστὸς βοηθὸς ἐν πᾶσιν.

Ἀπεδεξάμην καὶ τὰς νῦν εὐλογίας σου ὥσπερ καὶ τὰς πάλαι, καὶ ἀντευλογήσειέν σε ὁ θεὸς τοῦ πατρός μου. προσαγόρευσον τὸν ἀδελφὸν Ἐλευθέριον καὶ εἰπὲ αὐτῷ ὅτι ἀνέπαυσάς με λίαν ἐν οἷς εἰργάσω ὑποδήμασι τῶν ἀδελφῶν σου, ὑπακούσας τῷ οἰκονόμῳ. ἀλλὰ ἀνταναπαύσειέν σε ὁ Κύριος. ἃ σοί, τέκνον, ἐνουθέτησα, γνώτω κἀκεῖνος· χαίρω γάρ, εἰ μάλιστά ἐστε σὺν ἀλλήλοις. προσεύχεσθε περὶ τῆς ταπεινώσεώς μου· ἡ χάρις τοῦ Κυρίου μεθ' ὑμῶν. ἀσπάζονται ὑμᾶς οἱ συνόντες μοι ἀδελφοὶ ὑμῶν.

213. Εὐθυμίῳ τέκνῳ

Ἐκ τῶν γραμμάτων σου ἐπέγνων, τέκνον μου ἠγαπημένον, τὴν θλῖψιν σου, ὅτι περιάγεις ἐκ τόπου εἰς τόπον, φεύγων τοὺς δυσσεβοῦντας καὶ ἐναποκρυβόμενος. πῶς οὐχὶ τεθλιμμένως καὶ στενοχωρητικῶς ἔστι σε διαζῆν; ἀλλ' εἰ καὶ οὕτως, τῇ ἐλπίδι νευρούμενος χαῖρε, ὅτι διὰ Χριστὸν πάσχεις, διὰ τὸν ὑπὲρ σοῦ θάνατον ἑλόμενον. ἐν ἴχνεσιν ἔφθασας τῶν ἁγίων, οἳ περιῆλθον ἐν πολλαῖς θλίψεσιν, ὑστερούμενοι, στενούμενοι, ἀλῆται γινόμενοι, πέτραις σκεπόμενοι, ὄρεσιν ἐμβατεύοντες, φυγάδες, ἀπόλιδες, ἄποικοι / ὄντες μετὰ καὶ πληγῶν καὶ θανάτων, ἵνα Χριστὸν κερδήσωσιν. οὕτω, τέκνον, καὶ αὐτὸς ὅ τι ἂν οὖν πάσχῃς, ἐκεῖ ἀπόβλεπε, ἐκεῖθεν λάμβανε παράκλησιν καὶ στῆθι γενναίως ὡς ἀθλητὴς Χριστοῦ· μαρτυ-

---

23 εὐλογίας: dona   26 οἰκονόμῳ: Naucratius

24 Gen. 31,6   29 1 Thess. 5,28

21 πᾶσαν κοινωνίαν coll ep 221,39 coni Kambylis   23 καὶ² om Mai   24 ἀντευλογήσειέ S   27 ἀλλ' Mai   ἀντ' ἀναπαύσειέν C: ἀνταναπαύσειέ S   28 προσεύχεσθαι C

---

213. a. 815 – 816

6 Philipp. 1,29   8 Hebr. 11,37 sq.

C (S)

1 περ in marg C   3 θλίψιν omnes: correxi   6 διὰ² om S   8 πέτραις: πέταις C^{ac}

ρίου γὰρ καιρός, καὶ μακάριος ὁ ὑπομείνας μικρὰς καὶ πονηρὰς ἡμέρας, ἐν αἷς στέφανος αἰώνιος, δόξα ἀνεκλάλητος. οὐαὶ δὲ τῷ ἀρνητῇ καὶ προδότῃ τῆς εἰκόνος Χριστοῦ, ὅτι μετὰ τοῦ Ἰούδα ἡ μερὶς αὐτοῦ.

Σὺ οὖν, τέκνον, ἀγώνισαι ἔτι τὸν καλὸν ἀγῶνα ἐν τῇ ὑπομονῇ τῶν συμβαινόντων· ὅρα ὅτι ἄλλοι ἐν φυλακαῖς, ὥσπερ καί τινες τῶν ἀδελφῶν σου μαστιγωθέντες σὺν Χριστῷ. μὴ δειλιάσῃς, μὴ πτοηθῇς τὸν κρατοῦντα σαρκός· Χριστὸς μετὰ σοῦ, ὁ τὰ σύμπαντα φέρων τῷ νεύματι αὐτοῦ. προσεύχου καὶ περὶ τῆς ἐμῆς ταπεινώσεως ἵνα σῴζωμαι ἐν Κυρίῳ. προσαγορεύουσίν σε οἱ σὺν ἐμοὶ ἀδελφοί σου. ἡ χάρις μετὰ σοῦ.

214. Θεοφάνει ἡγουμένῳ τοῦ Ἀγροῦ

Ὀψὲ τοῦ καιροῦ, ὅμως ἔμαθον συλληφθῆναί σε ὑπὸ τῶν ἰουδαιοφρόνων καὶ ψευδοχριστωνύμων, ὦ πάτερ πολυπόθητε καὶ πολυθρύλλητε· καὶ ὤ, πῶς οὐκ ᾐδέσθησαν ὑποῖσαι χεῖρα εἰς ἄνθρωπον θεοῦ, εἰς ἄνδρα ὅσιον, εἰς σκῆνος κατατετρυχωμένον ἔκ τε πολυετοῦς ἀσκήσεως καὶ νόσου δεινοπαθοῦς λίαν; ἀλλ' οἱ εἰς αὐτὸν Χριστὸν ἐκτείναντες χεῖρας ὕβρεως καὶ διωγμοῦ τί καὶ φείσονται, τί καὶ οὐ πράξωσι τῶν ἀνοσίων; χάρις δὲ τῷ θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ, ὅτι σὲ τὸν σώματι νοσηλευόμενον θανάσιμα ἐκραταίωσεν τῷ πνεύματι ὑπὲρ τοὺς πολλοὺς τῶν ὑγιαινόντων κήρυκα γενέσθαι τῆς ἀληθείας, ἀπτοήτως ἐλέγξαντα γλῶσσαν αἱρετίζουσαν καὶ μένοντα ἀσάλευτον τὸ καθόλου ἐν τῇ ὁμολογίᾳ Χριστοῦ. τοῦτο τῶν ἀσκητικῶν σου ἀγώνων ὁ κολοφών, αὕτη τῆς θεοσόφου σου γνώσεως ἡ κορωνίς· ηὔφρανας θεόν, τὸν σὸν ἐραστήν, ἥδυνας ἀγγέλους, τοὺς

---

13 Eph. 5,16 **17** 2 Tim. 4,7 **19** Luc. 21,9

22 προσαγορεύουσί S

214. a. 816? 2 ὀψὲ τοῦ καιροῦ: ad elocutionem cf. Psaltes, Grammatik 335 **11** γλῶσσαν: Ioannis Grammatici

7 2 Cor. 9,15 13 κολοφών – **14** κορωνίς: cf. Zenob. prov. 2,1 (IV 54 sq. Bühler)

C (S)

1 τοῦ Ἀγροῦ in marg C 7 φείσονται, τί καὶ om Mai 8 πράξουσι S: παρέξωσι Mai τῶν om Mai τῷ ante ἐπὶ inser Mai 9 ἐκραταίωσε S 12 τὸ: τῷ C Mai τὸ καθόλου S^{sscr} 13 κολοφῶν C 14 εὔφρανας S

σοὺς ἐφόρους τῆς αἰνετῆς ζωῆς, ἔστεψας τὴν σεαυτοῦ κάραν ὁμολογίας διαδήματι, ἐγένου σὺν τῇ ἐκκλησίᾳ Χριστοῦ κἀμοὶ τῷ οἰκτρῷ καὶ ἐλαχίστῳ σου τέκνῳ στηριγμὸς σωτηρίας.

Διὸ χαῖρε καὶ εὐφραίνου ταῖς εἰς αἰῶνα ἀμήρυτον / ἀμοιβαίαις σου ἐλπίσι, προσευχόμενος κατόπιν σου ἰέναι κἀμὲ τὸν σὸν ἐλάχιστον υἱέα. προσειπεῖν σε ἀξιῶ, ἁγιώτατε, τὸν σύναθλόν σου, πατέρα δὲ ἐμόν, φημὶ τὸν ἔξαρχον.

215. Πρεσβυτέρῳ ὑπογράψαντι

Οἷον πέπονθεν ἡ τιμιότης σου ἐν τῷ ναυαγίῳ τῆς ὑπογραφῆς καὶ ὁπόσον ἀπεκλαύσω τὸ πτῶμα (πτῶμα γάρ ἐστιν ὡς ἀληθῶς ἡ κατὰ τῆς ἁγίας εἰκόνος τοῦ Χριστοῦ ἔκτασις καὶ μόνον τῆς χειρός), ἔγνων διὰ τοῦ πιττακίου σου, ὦ ἄνθρωπε τοῦ θεοῦ, καὶ συμπέπονθα καὶ συνεποτνίασα καὶ συνήλγησα, σχέτλια φθεγξάμενος καὶ οἷα εἰκὸς ἁρμόζει τῷ φιλαδέλφως ἔχοντι· καὶ γὰρ μέλη ἀλλήλων ἐσμὲν καί, εἴτε πάσχει ἓν μέλος, συμπάσχειν ὀφείλει πάντα τὰ μέλη (φωνή ἐστιν ἀποστολική), εἴτε δοξάζεται ἓν μέλος, ἡ χαρὰ ἐπὶ πᾶσιν. ἀλλ' ὢ τῆς ἐπηρείας· ἐσυλήθημεν, ἐπτοήθημεν, ἐφοβήθημεν ἐν οἷς οὐ φοβητέον οὐδ' αὖ πτοητέον, εἴπερ ἀναγινώσκομεν τὸ μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν οὐ δυναμένων λαβέσθαι. τί οὖν πρός με τὸν ἀχρεῖον, ὦ φίλε, ἀνήνεγκας τὸν λόγον; τίς ἐγὼ πρὸς ἰατρείαν, ὁ νοσῶν ἐν ἁμαρτίαις καὶ οὐ τῶν τὰ τοιαῦτα πεπιστευμένων ἰᾶσθαι συντρίμματα; ἐπεὶ μὴ ἀταξίας ὁ θεός, τὰ τῶν πρεσβυτέρων, ἤγουν ἱερέων, ἐπισκόποις ἀπένειμεν ἐπανορθοῦν καὶ ἰᾶσθαι. πῶς παρ' ἐμοῦ ἐπιζητοίης τὰ ὑπὲρ ἐμέ; οὐκ ἐγχωρεῖ. τοῦτο δὲ συμβου-

---

20 υἱέα: erat enim Theophanes sponsor Theodori; cf. ep. 333,26 21 ἔξαρχον: Hilarion; cf. Pargoire, Théophane 84; de munere cf. De Meester, De statu 185 sq.

18 χαῖρε: χαίρω Mai 20 πρὸς εἰπεῖν C 21 Ἔξαρχον Mai

---

215. a. 815 – 818

7 Eph. 4,25 8 1 Cor. 12,26 11 Matth. 10,28

C VM P_2P_1S

1 δογματικὴ περὶ ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm 7 ἁρμόζει om M: ἁρμόζειν V 9 ὦ CS^{ac} 11 post ἀπὸ rasuram octo litt exhibet C 12 an ἀποκτεννόντων scribendum? cf Matth l. l. οὐ C: μὴ cett Sirm λαβέσθαι: βλαβέσθαι coni Sirm 13 ὦ φίλε post ἀνήνεγκας transp PS 16 καὶ om M

λευτικῶς καὶ ἀγαπητικῶς ὑποτίθημι καὶ λέγω, ἵνα μή σε ἀναπόκριτον ἐάσω πάντῃ. ὁ θεὸς ἀγαθός ἐστιν, οὐ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. εἰ οὖν ἐν ἀληθείᾳ ἡ μετάνοια, στῆθι τῆς ἱερουργίας παντάπασιν. οὐκ οἶδα, εἰ μὴ κατὰ ἀνάγκην τὴν ἐνεστῶσαν μεταδοίης τισὶ τῶν ἁγιασμάτων· ἔστι γὰρ ἐξ ἀνάγκης καὶ ἀπορίας καὶ ἀφ' ἑαυτοῦ μεταλαβεῖν τὸν τυχόντα διὰ τὸ φευκτὸν τῆς αἱρέσεως. ὅσα γὰρ ἐποίησας, εἴτε παρ' ἑαυτοῦ εἴτε καὶ πρὸς ἄλλου ἐπιτραπείς, καλὰ μὲν καὶ ἐπαινετὰ εἰς θεοῦ ἐπίκαμψιν, οὐδὲν δὲ τὸ καθόλου τὸ δυνάμενον λῦσαι τῆς ἱερουργίας κἂν ἐξ οἱουδηποτοῦν ἀρχιερέως δόξειεν εἶναι, καὶ τοῦτο ἕως εἰρήνης τῆς τοῦ θεοῦ ἐκκλησίας, ἐν ᾗ τηνικαῦτα κρίσει συνοδικῇ ὡς δέον πᾶν ὁτιοῦν τῶν τοιούτων κανονισθήσεται καὶ κρίσιν ἕξει θεόψηφον. εἰ δὲ φῂς ὅτι ‚ὑπογράφων ἔκραζον προσκυνεῖν με τὰς ἁγίας εἰκόνας', σύγγνωθι, ἀδελφέ, καὶ Πιλᾶτος τῷ στόματι ἀθωῶν ἑαυτὸν τῆς σφαγῆς Χριστοῦ τῷ καλάμῳ ἐκύρου τὸν θάνατον.

Ταῦτά σοι παρ' ἐμοῦ τοῦ ταπεινοῦ ὡς ἐνώπιον θεοῦ. ἀλλά, δέομαι, μνείαν ποιοῦ ὑπὲρ ἐμῆς σωτηρίας ἐν τῇ μετανοίᾳ τῆς συνθλίψεώς σου, προσαγορεῦσαί τε παρακλήθητι οὓς ἔφης ὁρᾶν ἁγίους πατέρας μου ἐν ἐπισκόποις ὡς ἐξ ἐμοῦ τοῦ οἰκτροῦ. /

216. Καλλίστῳ τέκνῳ

Οὐκ ἐπιλέλησμαί σου, τέκνον μου ἠγαπημένον Κάλλιστε, ἀλλὰ καὶ μέμνημαι καὶ ἔχω σε ἐν τῇ καρδίᾳ μου ἐν ἀγάπῃ Χριστοῦ· ἀποδεχόμενός σε λίαν ἐν τῇ πρὸς τὸν οἰκονόμον συναφείᾳ καὶ διακονίᾳ (καὶ οὐ ψεύδομαι ὃ λέγω) δοκῶ αὐτὸς ἐγὼ ὑπηρετεῖσθαι καὶ ἀναπαύεσθαι. ἐν πᾶσιν οὖν χρήσιμόν σε ὁ Κύριός μου ἀναδείξειεν, ἐξυπηρετησάμενον πρῶτα καλῶς τῷ μακαρίῳ πατρὶ ἡμῶν, εἶτα καὶ τῷ ἀειμνήστῳ Ἀρσενίῳ μου, μετὰ ταῦτα νῦν τῷ οἰκονόμῳ, ἐν

19 Ez. 18,32 31 Matth. 27,24

19 ἁμαρτωλοῦ C: ἀνθρώπου cett Sirm 20 ἐπιτρέψαι Sirm 24 γὰρ: οὖν V Sirm 26 τὸ: τὸν C: om VM Sirm λύσαι C 28 ὅτι οὖν C 31 Πιλάτος omnes: correxi τοῦ post σφαγῆς add M 33 τοῦ ταπεινοῦ in marg C 34 συνθλίψεως: θλίψεως M

216. a. 815–817 7 πατρί: Platon 8 οἰκονόμῳ: Naucratius

3 Philipp. 1,7

C (S)

ἀμφοτέροις ἐμέ, ὡς εἴρηται, τὸν ταπεινὸν θεραπευκὼς καὶ δουλεύσας, πλὴν ὅτι καὶ ἐδούλευσας διὰ τῆς τοῦ κελλαρίου διακονίας. χαίρω ὅτι ἐν παντὶ εἶ δόκιμος, ἱκανός, ἀπεξεσμένος, πιστός, εὔνους, ὑπομονητικός, φιλοπάτωρ, ὀξύνους, οἰκονομικός, σταθερός, νομοφύλαξ, ἀπαράτρεπτος τῆς πίστεως καὶ ὁμολογίας τοῦ Χριστοῦ.

Ἐν τούτοις οὖν ἴσθι, ἐν τούτοις βεβαιοῦ, ἐν τούτοις χαῖρε, ὅτι ὁ μισθός σοι πολὺς παρὰ θεῷ. ἤθελον δὲ κἀγὼ σχεῖν σε ἄρτι εἰς ἐμαυτόν, ἀλλὰ ἀπάρτι (χάρις τῷ θεῷ) μειζόνως ἐν τῇ ἀπουσίᾳ ἀναπαύεις με, ἀναπαίων τὸν ὀφθαλμόν μου, τὴν ψυχήν μου, τὸν οἰκονόμον, οὐ μόνον ἐν τοῖς οἴκοι, ἀλλὰ καὶ ἐν ταῖς πρὸς τοὺς ἀδελφοὺς εἰσόδοις καὶ ἐξόδοις. εἴη σοι ἡ χάρις παρὰ θεοῦ πλεονάζουσα. προσεύχου περὶ τῆς ταπεινώσεώς μου· ἀσπάζονταί σε οἱ ἀδελφοί σου.

217. Κασσίᾳ κανδιδατίσσῃ

Ἅπερ ἀπέστειλάς μοι διὰ Κύριον ἐδεξάμην· καὶ τίς εἰμι ἐγὼ ὁ ταπεινὸς μνημονευθεὶς παρὰ τῆς εὐλαβείας σου; ὅμως ὅτι ἀγαθῆς ῥίζης οὖσα βλάστημα οἶδας ἀγαθοποιεῖν. ἀκούω δὲ εὖ ποιεῖν σε καὶ τῷ πνευματικῷ ἡμῶν τέκνῳ Δωροθέῳ, ὄντι πε/φυλακισμένῳ ὑπὲρ Χριστοῦ ἔγγιστά σου. οἶδας τί ποιεῖς· συμμερίζῃ γὰρ ἐν τούτῳ τὸν τῆς ἀθλήσεως αὐτοῦ ἀγῶνα· δόκησον δὲ ἡμᾶς αὐτοὺς τοὺς ἁμαρτωλοὺς διατρέφειν ἐν τῷ υἱῷ ἡμῶν. τί οὖν ἀνταπόδομά σοι παρ' ἡμῶν ἢ προσευχὴ καὶ ὁ λόγος ὁ παραινετικός; καλὸν προείλου βίον διὰ θεόν, ὡς πυνθάνομαι, παιδιόθεν. νύμφη Χριστοῦ γέγονας, μηκέτι ζήτει ἄλλον μήτε φίλει· τίς γὰρ αὐτοῦ ὡραιότερος; οὗ τὸ κάλλος ἐναστράψειέν σου ἔτι ἐν τῇ καρδίᾳ εἰς τὸ σβέσαι σε πάντα πόθον

---

10 κελλαρίου: ad vocem cf. Hahn, Romanismus 234

14 Matth. 5,12   19 2 Cor. 4,15

9 τεθεραπευκὼς S   15 πολὺς: πολὺ Mai   17 ἀναπαίων: ἀναπαύων S Mai   20 ταπεινώσεώς μου: ἐμῆς ταπεινώσεως Mai

---

217. a. 816 – 818 textus epistulae etiam apud Rochow, Kassia 20

C (S)

1 κανδιδατήσῃ C Mai   5 ὄντι: ὅτι Mai   6 συμμερίζει C: συμμερίζεις Mai   9 ἢ: ἡ Mai (fort est ἢ ⟨ἡ⟩ scribendum)   12 ἐναστράψειέ S

ῥέοντα καὶ φθειρόμενον. φεύγουσα φεῦγε τὰς ὄψεις τῶν ἀρρένων, εἰ θέμις καὶ σωφρόνων, μή που πληγῇς ἢ πλήξῃς· ἐκδέχεταί σε ὁ νυμφὼν ὁ ἐπουράνιος· ἐκεῖ ὄψει ὃν ἡρμόσω, μεθ' οὗ χαρήσῃ αἰωνίως.

Μικρὸς ὁ λόγος, ἀλλὰ ἀρκῶν εἰς ὑπόμνησιν τῇ τιμιότητί σου. σωθείης, κόρη Χριστοῦ.

218. Μελετίῳ τέκνῳ

Καὶ ἀπὸ τῶν γραμμάτων τοῦ ἀδελφοῦ Ἰωάννου πρότερον, καὶ νῦν ἀπὸ τῆς σῆς ἐπιστολῆς, τέκνον Μελέτιε, ᾔνεσα τὸν ἀγαθόν μου θεὸν ἐπὶ τῇ ἐπιστροφῇ καὶ ὁμολογίᾳ σου. καὶ χάρις τῷ Κυρίῳ, ὅτι οὐκ εἰς κενὸν ἐγένετό σου ἡ καλὴ ὑποταγὴ ἐν ἀρχαῖς καὶ ἕως τίνος· ὁμολογῶ γὰρ καὶ μαρτυρῶ σοι ἐκ ζήλου πεπονθέναι, ἀλλ' οὐ κατ' ἐπίγνωσιν, ὥσπερ καὶ οἱ ἄλλοι. διὰ τοῦτο τῇ ἰδίᾳ δικαιοσύνῃ καὶ φρονήσει ἐπερειδόμενοι τῆς ὑποταγῆς ἐρράγητε τῆς ἐνθέου καὶ σωτηρίου, ἀλώμενοι καὶ κενεμβατοῦντες εἰς ἀκίχητα· καὶ ἔδειξεν καὶ δείξειεν ὁ καιρὸς καὶ τὰ πράγματα.

Ἀλλὰ τούτοις τὸ χαίρειν φράσας εἰς εὐχαριστίαν πάλιν καταλήξω τὸν λόγον. ηὐφράνθην, τέκνον μου ἀγαπητόν, ἀπολαβών σε διὰ τοῦ γράμματος, καὶ χαίρω ἐπὶ σοὶ ἢ ἐπὶ τοῖς μὴ πλανηθεῖσι. σός εἰμι, κἂν ἁμαρτωλός, πατήρ, τὴν ψυχήν μου τὴν ταπεινὴν ὑπὲρ σοῦ θήσω. συγχωρητά σοι πάντα. ἐκ τοῦ δεῦρο στῶμεν, δουλεύσωμεν τῷ Κυρίῳ ὑποτεταγμένως, φεύγοντες τὸν αὐτάρεσκον καὶ ἀπατεῶνα δαίμονα· οὕτως γὰρ σωθείημεν ἐν Κυρίῳ. οὐδέν μοι διαφέρει περὶ τοῦ εἶναί σε ἐν τοῖς αὐτόθι ἕως / εἰρήνης τῆς ἐκκλησίας τοῦ θεοῦ· μόνον ἀσινὴς διαφυλάττοιο, προσευχόμενος ἀεὶ περὶ τῆς ταπεινώσεώς μου.

---

14 που: πως Mai 15 χαρίσῃ C Mai

---

218. a. 815 – 818 2 Ἰωάννου: ad quem ep. 138 scripta

9 Hom. Il. 17,75 13 Matth. 18,13 14 Joh. 13,37

C (S)

3 ἐπὶ στολῆς C 5 τινός S 9 ἀλώμενοι S ἔδειξε S 11 εὐχαριστείαν C Mai 12 εὐφράνθην S 13 post σοὶ exc fort vox μᾶλλον (cf Matth l. l.) 16 ἀπαταιῶνα codd Mai 18 τῆς post ἕως add S

219. Ἰωάννῃ τέκνῳ

Ἥδομαι, τέκνον καὶ ἀδελφέ, ἐν ταῖς ἐπιστολαῖς σου, ὅτι καὶ καθ' εἱρμὸν ἔρχονται καὶ τὸν τῆς πολυλογίας ναυτιασμὸν ἀπαναίνονται· καὶ γὰρ ἐπιστολῆς ἀρετὴ εὐθὺς τῆς προκειμένης ὑποθέσεως ἅπτεσθαι καὶ τοσαῦτα λέγειν ἅττα ἐπάναγκες, ἀλλὰ μὴ ἐπικυκλεῖν τὰ οὐχ οὕτως.

Εἶεν· περὶ ὧν ἠρώτησας, οὐ τοῦ παρόντος καιροῦ τὰ τοιάδε φιλοπευστεῖν οὔτε πρὸς ἡμῶν μυεῖσθαί σε, ὦ καλὲ παῖ· ἐπειδὴ μετὰ τῶν ἄλλων καὶ ἀμύητος ἐγὼ τῶν δυσεφίκτων. ὡς ἂν δὲ μὴ παραλυπῆσαι τῇ ἀφασίᾳ, ἐκεῖνο λέγω περὶ τοῦ πρώτου, ὅτι οὐδείς πω τῶν ἄλλων θεοφόρων ἐλεύκανε τὸ πρόβλημα οὕτως ὡς ὁ Νυσσααῖος Γρηγόριος. ἀρκεσθῶμεν οὖν τῇ τοῦ πατρὸς θεωρίᾳ ἐν ἀνηνεγμένῃ θεωρίᾳ ἄγαν· τὸ γὰρ ἐπέκεινα Γαδείρων οὐ περατόν, ὡς ὁ λόγος. περὶ δὲ τοῦ δευτέρου (ὁ συνιῶν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρός ἐστιν) οὐ δοκεῖ μοι καμπύλον καὶ σκολιὸν εἶναι· καιρὸς γὰρ τοῦ λαλεῖν ἡμᾶς διώρισται ὑπὸ τῆς θεοπνεύστου Γραφῆς καὶ καιρὸς σιωπῆς, κατὰ τὴν ἐπιβάλλουσαν χρείαν σκοπούντων ἡμῶν καὶ οἰκονομούντων τὸν λόγον τῆς ἀληθείας· ἢ γὰρ οὐχὶ μὴ βάλλειν τοῖς κυσὶ τὰ ἅγια μήτε ῥίπτειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων προστετάγμεθα; ἄθρει τοὺς θεοφόρους, καὶ τούσδε εὑρήσεις πῇ μὲν ὑπὸ τὸν μόδιον τῆς σιωπῆς τὸν λόγον τιθέντας, ὁπότε ἀλυσιτελὲς τὸ λέγειν, μᾶλλον δὲ καὶ ζημιῶδες, πῇ δὲ ἐπὶ τῆς λυχνίας αὐτὸν ἀνιόντας, ὁπηνίκα εὔκαρπος ἡ σπορὰ καὶ οὐ πετρώδης.

Τοσαῦτά μοι συνεώραται ἐν τῇ προτάσει. ἐξευρίσκων δὲ παρὰ σεαυτοῦ ἢ καὶ ὑφ' ἑτέρων τὰ δοκιμώτερα μὴ φθονήσειας μεταδοῦναι ἐμοὶ τῷ σῷ πατρὶ καὶ ἀδελφῷ, ἐνδεεῖ τῶν νοημάτων ὑπάρχοντι. ἔρρωσο, πλεῖστά μοι προσευχόμενος.

---

219. a. 815 – 818

11 de quali sententia Gregorii Nysseni agitur haud conspicuum 13 Greg. Naz. or. 43,24 (PG 36,528 C); cf. Greg. Naz. ep. 173,4 (PG 37,284 A = II 62 Gallay); Pind. Nem. 4,69 14 Amos 5,13 15 Eccl. 3,7 18 Matth. 7,6 21 Matth. 5,15 23 Marc. 4,16

C VM PS

2 καὶ[2] om Mi καθειρμὸν C 5 ἅττα CVMP 9 ἂν δὲ: δ' ἂν Sirm ὡς ἄν: ὡσὰν S παραλυπῆσαι: παραλυπήσω VM 11 πατέρων post θεοφόρων add VM Sirm ὁ C[sscr] νυσααῖος C: νυσσαεὺς cett: Νυσσεὺς Sirm 12 πατρὸς C: πνεύματος cett Sirm ἀνηγμένῃ VMPS Sirm: ἀνεῳγμένῃ coni Sirm 14 συνιὼν S Sirm ὁ ante καιρὸς add S 15 καμπῦλον PS 20 τούσδε: τοὺς δὲ Sirm 21 ὁπόταν VM Sirm 23 ἀνιέντας VM Sirm 25 σεαυτῷ M

220. Ὑπατίῳ τέκνῳ

Καὶ νῦν ἃ γέγραφας ἐπέγνων, τέκνον ἠγαπημένον, καὶ περὶ πάντα ἀποδέχομαί σου τὴν προαίρεσιν, ἐν ζεούσῃ καρδίᾳ πίστεως ὑπάρχουσαν, αἱρουμένην τε συνεῖναί μοι καὶ σωματικῶς. ἀλλ' οὐ τοῦ παρόντος καιροῦ· ὃ γὰρ ἐπενοήθης, τῆς μὲν πεποιθήσεώς σου γνώρισμα, ἀλυσιτελὲς δὲ πάντῃ. μὴ οὖν τολμήσειας ποιῆσαί τι τοιοῦτον· ὡς γὰρ ὁ Κύριος ᾠκονόμησεν, στερκτέον· ἢ οὐκ οἶδας ὅτι ὑπὲρ ἡμᾶς ὁ θεὸς τὰ περὶ ἡμῶν φροντίζει ἐν σωτηρίᾳ; καὶ τὸ ὁμόψυχον τοῦ μαθητοῦ οὐκ ἐν τῷ σωματικῶς συνεῖναι γνωρίζεται τοσοῦτον, ὅσον ἐν τῷ ἀχωρίστῳ τῆς πνευματικῆς συναφείας φρονήματι καὶ φιλήματι· τί γάρ; σαρκικῶς ἐρῶμεν ἀλλήλους, ἵνα τῇ σαρκὶ χρώμεθα συνεργῷ; εἰ οὕτω, ἐλεεινότεροί ἐσμεν πάντων ἀνθρώπων. ἀπαθὲς ἡμῶν τὸ ἀγαπητικόν, ὡς ἂν τοῦ ἀπαθοῦς γνωριζώμεθα θεοῦ. διὸ οὐ πάντως χρεία καὶ σωματικῆς συναφείας.

Οὕτω, τέκνον, στέργε, γινόμενος κατὰ τὸ δυνατὸν βοηθὸς τοῖς ἀδελφοῖς σου ἐν ταπεινώσει, εὐχόμενος καὶ περὶ ἐμοῦ τοῦ ταπεινοῦ. ἄσπασαι τὸν ἀδελφὸν Λουκιανόν, τὸν ἀδελφὸν Εὐόδιον· ἡ Τριὰς τοὺς τρεῖς περιφυλάξειεν μεθ' οὗ ὑπηρετεῖσθε. ἀσπάζονταί σε οἱ ἀδελφοί σου πλεῖστα· ἄσπασαι τὸν ἄνθρωπον τοῦ θεοῦ.

221. Θεόδωρος πάσαις ταῖς ἀδελφότησιν ἤτοι συνοδίαις ταῖς πανταχοῦ διὰ Χριστὸν διεσπαρμέναις σὺν τοῖς ἐν φυλακαῖς τε καὶ ἐξορίαις κρατουμένοις ἐν Κυρίῳ χαίρειν

Χάρις ὑμῖν καὶ εἰρήνη, ἀποστολικῶς εἰπεῖν, ἀπὸ θεοῦ πατρὸς ἡμῶν

---

220. altero semestri spatio a. 816 19 ἄνθρωπον: mandator Nicetas?

19 2 Tim. 3,17

C (S)

1 Ὑπατίῳ: ἰωάννῃ S 7 ᾠκονόμησε S 8 ὑμᾶς S φροντίζοι C: φροντίζοιεν Mai ἐν σωτηρίᾳ: σωτήρια Mai 13 γνωριζόμεθα C Mai υἱοὶ ante θεοῦ inser Mai 14 σωματικῶς Mai 17 εὐώδιον C 18 περιφυλάξειε S ὑπηρετεῖσθαι C

---

221. a. 815 – 816

4 2 Cor. 1,2

C VM (ll. 1 – 140 et 172 – 197) P_2 P_1S

1 κατηχητικὴ ante titulum add VMP_2 Sirm: in marg R 2 τε om P_1S 3 δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm 4 ἀπὸ στολικῶς C

καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τῆς ἐλπίδος ἡμῶν· ὑπὲρ οὗ καὶ δι' ὃν ὁ διωγμός, ἡ θλῖψις καὶ ἡ στενοχωρία, ἡ ἐρημία καὶ φυγαδεία, αἱ εἱρκταὶ καὶ ποιναὶ καὶ ὅσα ἄλλα καθ' ἑκάστην εἰς ταλαιπωρίαν ὑπαντήματα καὶ συμβάματα. τούτου χάριν, ἀδελφοί μου ἀγαπητοί, τῆς ἀπολείψεως τοῦ ταπεινοῦ ἡμῶν προσώπου παραμυθίαν τινὰ ἐπινοησάμενοι στέλλομεν ὑμῖν τὴν ἐπιστολὴν ταύτην, γνωρίζοντες ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιούμεθα ἐν ταῖς ταπειναῖς ἡμῶν προσευχαῖς, ἕνα ἕκαστον ἀναπολοῦντες καὶ ἀναλογιζόμενοι, δάκρυσι καὶ στεναγμοῖς αἴροντες χεῖρας εἰς θεόν, ἵνα, καθὼς ὑπεδυσάμεθα τοὺς ὑπὲρ ἀληθείας ἀγῶνας καὶ ἐξ/εληλύθαμεν ἐν ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ ὡς ἐκ καλιᾶς ἀπὸ τῶν ἱερῶν ἡμῶν ἀσκητηρίων, οὕτως διαμείνωμεν μέχρι τέλους δυνάμει Κυρίου, τὴν αὐτὴν πίστιν ἔχοντες, τὴν αὐτὴν ἀγάπην, σύμψυχοι, τὸ ἓν φρονοῦντες καὶ κρατοῦντες δόγμα τῆς ἀληθείας, τὸ κηρυχθὲν καὶ ἐγγραφὲν καὶ ὄψει καὶ ἀκοῇ ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν, προσκυνεῖν μὲν οὖν Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα Ἅγιον, τὴν πολυύμνητον καὶ μακαρίαν Τριάδα κατὰ τὸν τῆς θεολογίας λόγον, ὁμολογεῖν δὲ τὸν ἕνα τῆς Τριάδος, τὸν Υἱὸν καὶ Λόγον τοῦ θεοῦ Κύριον δὲ ἡμῶν Ἰησοῦν Χριστόν, ἑαυτὸν κεκενωκέναι, δούλου τε μορφὴν ἀναλαβόντα ἐν ὁμοιώματί τε ἀνθρώπων γεγονότα ἐν εἴδει τῷ καθ' ἡμᾶς εἰκονίζεσθαι χαρακτῆρι σώματος, καθότι ὁ αὐτὸς τέλειος θεὸς ὁμοῦ τε καὶ ἄνθρωπος ἐχρημάτισε, τοσοῦτον περιγραφῆς εἴσω γενόμενος καθ' ἡμᾶς, ὧν καὶ τὴν φύσιν εἴληφεν, ὅσον ταύτης τῷ ἀπεριγράπτῳ τῆς θείας φύσεως ἀνῴκισται. οὐ γὰρ δήπου καθὰ τὰ λόγια ἀγγέλων ἐπιλαμβάνεται, εἴπερ κἀκείνοις τὸ εἰκονίζεσθαι, ὡς ὦπται τοῖς βλέψασιν ὑπὸ Πνεύματος, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. εἰπάτωσαν οὖν οἱ χριστομάχοι, πῶς οἷόν τε τὸ Ἀβραμιαῖον σπέρμα μὴ εἰκονίζεσθαι, πῶς δ' αὐτῷ ἕξει τὸ κατὰ πάντα ὅμοιον ἡμῖν, ὧν ἀδελφὸς κέκληται, εἴπερ οὐ τὸ περιγραφῆς ἰδίωμα καθ' ἡμᾶς τοὺς ἀδελφοὺς αὐτοῦ εἰληφὼς δείκνυται; οὔκουν ἀδελφὸς οὐδ' οὐ μὴν ὅμοιος ἡμῖν, διὰ τοῦτο οὐδὲ ἄνθρωπος. οὕτω

---

6 2 Cor. 6,4 17 Philipp. 2,2 18 Col. 1,23 23 Philipp. 2,7 28 Hebr. 2,16 sq.

---

6 θλίψις omnes: correxi καὶ[2]: ἡ M 7 καθ' ἑκάστην M: καθεκάστην cett Sirm 11 ὑμῶν: ἡμῶν V Sirm 15 οὕτω VM Sirm 16 μέχρι: ἄχρι P_1S 19 τῇ[2] om Sirm ὑπὸ τὸν: ὑπ' V 20 τὸ ante Ἅγιον add VM Sirm πολυΰμνητον C 21 τῆς θεολογίας: τοῦ θεολόγου M 24 τῷ: τὸ C χαρακτηρίζεσθαι ante χαρακτῆρι add VMPS Sirm (fort recte) 27 ὅσον: ὅσῳ M 28 καθὰ: κατὰ Sirm ἐπιλαμβάνετε C 29 βλέψασιν C: βλέπουσιν cett Sirm 30 ἀβραὰμ VMPS 32 ἀβραμιαῖον VMPS αὐτὸ S 34 οὐκοῦν Sirm

συνῆκται ἐκ τοῦ μὴ λέγειν αὐτοὺς Χριστὸν καθ' ἡμᾶς εἰκονίζεσθαι· καὶ οὕτως ἀποσκευάζονται τὴν σωτήριον οἰκονομίαν, ἐπ' ἴσης τῶν Μανιχαίων, Οὐαλεντίνων τε καὶ Μαρκιωνιστῶν.

Ὧν φύγοιμεν τὴν κοινωνίαν, ἀδελφοί, ὡς ἰὸν ὄφεως, μελαίνουσαν οὐ σῶμα, ὥς πού φησιν ὁ Θεολόγος, ἀλλὰ τὰ βάθη τῆς ψυχῆς· τῇ ἀποστολικῇ δὲ καὶ ὑπ' οὐρανὸν ἐκκλησίᾳ τὰ ἴσα φρονοῦντες (αὕτη γὰρ ἡ Βυζαντιαία τμῆμα αἱρετικόν, ὡς εἴθισται αὐτῇ πολλαχῶς τῶν ἄλλων ἀποσχίζεσθαι) εἰκονίζομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν σωματικῷ χαρακτῆρι, εἱρμῷ τῷ ἀνέκαθεν ἀπ' αὐτῆς τῆς ἐπιφανείας αὐτοῦ ἐξ ἀποστολικῆς πράξεως παρηγμένῳ, ἐξ εἰκόνος εἰκόνα μεταγράφοντες καθάπερ καὶ τοῦ ζωοποιοῦ σταυροῦ, καὶ μὴ τὸν μὲν τυποῦντες, ὅς ἐστιν ὅπλον Χριστοῦ κατὰ τοῦ διαβόλου, τὸν δὲ οὐκ εἰκονίζοντες, ὅς ἐστιν ὁπλίτης καὶ καθαιρέτης τοῦ σατανᾶ· πῶς γὰρ ἂν καὶ ἐγγραφείη ὅπλον νικητικὸν καὶ ἀληθὲς μὴ τὸν ὁπλίτην ἔχον ὑπ' ὄψιν δεικνύμενον; εἶτα καὶ προσκυνοῦμεν αὐτοῦ τὴν ἁγίαν εἰκόνα, ὡς ἐν αὐτῇ προσκυνοῦντες τὸν ἐξεικονισμένον Χριστόν· ἐξεικονισμένος γὰρ προῆλθεν ἐκ κοιλίας ἁγίας μητρὸς αὐτοῦ τῆς Θεοτόκου· εἰ δὲ μή, ἀμβλωθρίδιόν τι καὶ οὐ μεμορφωμένος ἄνθρωπος, ὦ θεομάχοι. εἰ δὲ ἐξεικονισμένον τὸ βρέφος πρόεισιν, ὥσπερ ἀληθές, περὶ οὗ φησιν ὁ προφήτης πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται, πᾶσα ἀνάγκη καὶ ἐξεικονίζεσθαι πέφυκεν. οἱ κωφοὶ ἀκούσατε καὶ οἱ τυ/φλοὶ ἐμβλέψατε· ἐν ἑνὶ μόνον ἡ καθ' ἡμᾶς καινοτομία ἐπὶ Χριστοῦ, ὅτι ἄνευ σπορᾶς συνείληπται ἐν μήτρᾳ παρθένου καὶ δίχα φθορᾶς γεγέννηται, καθότι οὔτε ἁμαρτίαν ἐποίησεν γραφικῶς οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ· τὰ δ' ἄλλα πάντα καθ' ἡμᾶς, ἔφαγεν, ἔπιεν, διεπνεύσθη, ηὔξησεν, ἐβάδισεν, ἵδρωσεν, ἐκοπίασεν, ἐσταυρώθη, ἀπέθανεν (κἂν ὡς θεός), τριήμερος ἐγήγερται, ἔχων καὶ μετὰ τὴν ἀνάστασιν τὴν ἐξεικονισμένην ἡμῶν μορφὴν θεωθεῖσαν καὶ ἀφθαρτισθεῖσαν ἐν ἑαυτῷ, καθ' ἣν καὶ ἐθεάθη τοῖς ἀποστόλοις καὶ συνέφαγεν καὶ συνέπιεν ἐγηγερμένος καὶ ἐψηλαφήθη ὑπὸ Θωμᾶ, λέγων τοῖς πᾶσιν, ὑποτοπήσασιν αὐτὸν πνεῦμα εἶναι, ψηλαφήσατέ με καὶ ἴδετε ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ

---

39 Greg. Naz. or. 33,4 (PG 36,220 A = p. 162 sq. M.-G.) 55 Ez. 20,26 57 cf. Matth. 11,5 59 1 Petr. 2,22 62 Matth. 27,63 64 Act. 10,41 65 Joh. 20,25 67 Luc. 24,39

---

37 ἐπίσης omnes: distinxi 39 φύγοιμεν: φύγωμεν P_1S 40 ποῦ C 41 δὲ om M ἶσα VMPS Sirm 42 πολλαχῶς: πολλαχῇ M 47 voces ὅς ἐστιν iteravit P_1 48 πῶς: ποῦ Mi 49 καὶ[1] om VM Sirm 52 ἁγίας om VMPS Sirm 56 Κυρίῳ C: θεῷ cett Sirm 58 κενοτομία C 59 καθ' ὅτι C: καθότι cett Sirm οὔτε: οὐδὲ VM Sirm ἐποίησε VMPS Sirm 61 ἔπιε VMPS Sirm 62 ἀπέθανε VMPS Sirm 64 ἑαυτῷ C: αὐτῷ cett Sirm καθὴν C 65 συνέφαγε VMPS Sirm

ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. οὕτω καὶ ἀνελήφθη ἐν δόξῃ, ὡσαύτως καὶ ἥξει ἐν μορφῇ τῇ αὐτῇ τοῦ καθ' ἡμᾶς εἴδους, ὃν ὄψεται πᾶσα σὰρξ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ ἐν πυρὶ φλογός, διδόντα ἐκδίκησιν τοῖς μὴ εἰδόσι θεὸν καὶ τοῖς μὴ ὑπακούσασι τῷ εὐαγγελίῳ αὐτοῦ, καθὼς γέγραπται· μεθ' ὧν οἱ σταυρώσαντες αὐτὸν Ἰουδαῖοι κόψονται καὶ οἱ μὴ ἀνεχόμενοι αὐτὸν εἰκονίζειν εἰκονομάχοι.

Ταῦτά ἐστιν, ἀδελφοί, τὰ εὐαγγελικὰ κηρύγματα, ταῦτα τὰ ἀποστολικὰ διδάγματα. οἱ δὲ τἀναντία φρονοῦντες εἰς ἕτερον εὐαγγέλιον (ὃ οὐκ ἔστιν ἄλλο) πειρῶνται μεταστρέψαι τὸν λαὸν τοῦ θεοῦ προφέροντες νόθα συγγράμματα, ἐκ κοιλίας φωνοῦντα καὶ οὐκ ἀπὸ στόματος Κυρίου· εἴωθεν γὰρ ἀεὶ τῷ σίτῳ τὰ ζιζάνια παρασπείρεσθαι καὶ τῇ ἀληθείᾳ τὸ ψεῦδος παρατίθεσθαι· ἐπεὶ πῶς καὶ φανείη ἀλήθεια μὴ ἀντιλογίαν ἔχουσα; ἀλλὰ καὶ ἐὰν ἡμεῖς, φησὶν ὁ ἀπόστολος, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω· ὡς προειρήκαμεν καὶ ἄρτι πάλιν λέγω, εἴ τις εὐαγγελίζεται ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

Περὶ δὲ τῆς Θεοτόκου ἢ οὗτινος τῶν ἁγίων, ὅτι εἰκονίζονται, περισσόν μοί ἐστι τὸ γράφειν ὑμῖν· ἠλίθιον γὰρ ὁντιναοῦν ἄνθρωπον φαίειν μὴ χαρακτηρίζεσθαι. ἀλλ' οἱ Χριστὸν ἀπαναινόμενοι περιγράφεσθαι, ὅς ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας, συμπεριελεῖν ἔδοξαν καὶ τὰ μέλη Χριστοῦ μὴ εἰκονίζεσθαι, εἴπερ σῶμα Χριστοῦ ἡμεῖς πάντες καὶ μέλη ἐκ μέρους· ἔλεγχος γὰρ αὐτοῖς μητέρα μὲν θεοῦ εἰκονίζεσθαι, οὐ μὴν τὸν ἐξ αὐτῆς τεχθέντα καὶ αὐτῇ ὑπομάζιον ὀφθέντα καὶ ὅσα τῆς σωματικῆς αὐτοῦ παρουσίας ὑπείκοντα, ἢ πάλιν τοὺς αὐτόπτας καὶ ὑπηρέτας στηλογραφεῖσθαι, τὸν δὲ ὑπηρετηθέντα καὶ συναναστραφέντα μὴ χαρακτηρίζεσθαι. καὶ Ἰουδαίων χείρους δείκνυνται, ὅτι οὐδὲ Μωσέως οὐδ' εἴ τινος ἄλλου τῶν προφητῶν εἰκόνα προσίενται, προσιεμένων ἐκείνων τῶν πρὸ τῆς χάριτος ὡς νομικῶν καὶ οὐ χριστιανῶν· οἱ δὲ τοσοῦτον ἀνοηταίνουσιν ὡς καὶ ἑαυτοῖς καὶ Ἰουδαίοις μάχεσθαι, καὶ μήτε Ἰουδαίους εἶναι νομοφύλακας μήτε χριστιανοὺς οὐκ εἰδογραφοῦντας Χριστόν, ὃν προσήκαντο ἄνθρωπον γεγονότα. φωνὴ Πέτρου τοῦ / ἀποστόλου

68 1 Tim. 3,16 69 Is. 40,5 70 Ex. 3,2 2 Thess. 1,8 79 Matth. 13,25 81 Gal. 1,8 sq. 88 Col. 1,18 89 1 Cor. 12,27

69 ὡς αὔτως C 76 τἀναντία C 78 φωνοῦντες VM Sirm 79 εἴωθε VMPS Sirm 82 εὐαγγελίζηται VMPS Sirm παρὸ C 84 παρὸ C 85 οὗτινος: οὑτινοσοῦν VM Sirm 86 ἐστι om M ἐστιν post ὑμῖν add M ὅντινα οὖν C 87 φαίην omnes: correxi μὴ ante περιγράφεσθαι add VM 91 αὐτῇ om M 96 τῶν[2]: τοὺς V 99 τὸν ante Χριστὸν add VM Sirm

ἐστὶν ἐν ἱστορίᾳ μαρτυρίου τοῦ Ἁγίου Παγκρατίου· ‚τέκνον Ἰωσήφ, ἐξένεγκον τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐντύπωσον αὐτὴν ἐν τῷ πυργίσκῳ, ἵνα ἴδωσιν οἱ λαοὶ ποίαν μορφὴν ἀνέλαβεν ὁ υἱὸς τοῦ θεοῦ, ἵνα ἰδόντες ἐπὶ πλέον πιστεύσωσιν, ὁρῶντες τὸν τύπον τῆς μορφῆς, καὶ ὑπόμνησιν λαμβάνωσι τῶν παρ' ἡμῶν εἰς αὐτοὺς κηρυχθέντων'. φωνὴ Παύλου ἐστίν· ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανεν τῇ ἀληθείᾳ μὴ πείθεσθαι, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος; φωνὴ Βασιλείου τοῦ Μεγάλου ἐστίν· ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός· καὶ αὖθις· ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει. φωνὴ Ἀθανασίου τοῦ πολυάθλου ἐστίν· οὐχ ὡς θεοὺς τὰς εἰκόνας προσκυνοῦμεν οἱ πιστοὶ (μὴ γένοιτο) ὥσπερ οἱ Ἕλληνες, ἀλλὰ τὴν σχέσιν μόνον καὶ τὸν πόθον τῆς ἡμῶν ἀγάπης πρὸς τὸν χαρακτῆρα τοῦ προσώπου τῆς εἰκόνος ἐμφανίζοντες. φωνὴ τοῦ Χρυσοστόμου ἐστίν· ἐγὼ καὶ τὴν κηρόχυτον ἠγάπησα γραφήν, εὐσεβείας ἕνεκεν πεπληρωμένην· εἶδον γὰρ ἄγγελον ἐν εἰκόνι ἐλαύνοντα βαρβάρων στίφη, εἶδον πατούμενα βαρβάρων φῦλα καὶ τὸν Δαυὶδ ἀληθεύοντα· Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις. ὅπερ εἰς Χριστὸν νῦν οἱ εἰκονομαχοῦντες εἴς τε τὴν Θεοτόκον καὶ τοὺς ἁγίους ἐργάζονται (ὢ τοῦ φοβεροῦ ἀκούσματος) τὰς ἁγίας αὐτῶν εἰκόνας ἐξουδενοῦντες.

Καὶ ἵνα τὰς τῶν ἄλλων φωνὰς παραδράμω (πολλαὶ γάρ εἰσιν), μίαν προσθεὶς ἐπ' ἄλλο τρέψοιμι τὸν λόγον. φωνὴ τῶν τῆς ἕκτης συνόδου ἁγίων πατέρων ἐστίν· ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται· ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνόν, Χριστὸν τὸν θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς

---

111 πολυάθλου: cf. J. Pelikan, Imago dei. New Haven 1990, 34 123 ἕκτης συνόδου: cf. H. Ohme, Das Concilium Quinisextum und seine Bischofsliste. Berlin 1990, 14

---

101 cf. Act. SS. April. I (Antverpiae 1675) 237 106 Gal. 3,1 109 Bas. in Barl. mart. 3 (PG 31,489 B) 110 Bas. spirit. 18,45 (PG 32,149 C) 111 (Ps.-)Athan. de imag. (PG 28,709 A) 115 Jo. Chrys. de legisl. 6 (PG 56,407); cf. Conc. Nic. II (XIII 300 C sq. Mansi) 124 Conc. quin. can. 82 (XI 977 E sq. Mansi); cf. Conc. Nic. II (XIII 40 E sq.; 220 C sq. Mansi)

---

102 ἐξένεγκε VMP$_2$ Sirm 103 εἴδωσιν Sirm ἀνέλαβεν C: ἔλαβεν cett Sirm 107 ἐβάσκηνε VMPS Sirm οἷς: οἷος P$_1$S^{ac} 111 ἀναβαίνει C: διαβαίνει cett Sirm 113 ὑμῶν S 116 γὰρ om P$_1$S 117 στίφη: φῦλα S φῦλα: στίφη S 118 πόλει: δυνάμει M 119 οἱ post ὅπερ transp P$_2$VM Sirm 120 ὦ C 121 ἐξουδενοῦντος M 122 εἰσι VMPS Sirm 123 ἕκτης: an μετὰ τὴν ἕκτην scribendum? cf ep 532, 203 ἁγίας post ἕκτης add VP$_2$ Sirm: post τῆς add M 124 ἁγίων: θεοφόρων VMP$_2$ Sirm ἐστίν om M γραφαῖς: γραφῶν M 127 ἀμνὸν om C

σκιάς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν οὖν τὸ τέλειον κἀν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν κατὰ τὸ ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν, δι᾿ αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ θεοῦ λόγου κατανοοῦντες καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι καὶ τῆς ἐντεῦθεν γινομένης τῷ κόσμῳ ἀπολυτρώσεως.

Ταύτας οὖν ἔχοντες, ἀγαπητοί, τὰς μαρτυρίας μετὰ τῆς οἴκοθεν καὶ παρ᾿ αὐτῆς τῆς ἀληθείας ἀναμφιλέκτου ἀποδείξεως, καθὼς προαποδέδεικται, παρακαλῶ, γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε, μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων μηδ᾿ αὖ / ὑπὸ τῶν ὑποσκελισθέντων καὶ φρεναπατηθέντων ψευδαδέλφων (ἥτις ἐστὶν αὐτοῖς μὲν ἔνδειξις ἀπωλείας, ἡμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ θεοῦ, καθὰ γέγραπται, ὅτι ἡμῖν ἐχαρίσθη ἀπὸ θεοῦ τὸ ὑπὲρ τοῦ Χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν), τὸν αὐτὸν ἀγῶνα ἔχοντες οἷον εἴδετε ἐν ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ νῦν ἀκούετε, συμφρονοῦντες, συμψυχοῦντες, συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι, ἵνα ἀκούων τὰ περὶ ὑμῶν χαίρω ὁ ἁμαρτωλός. βλέπετε τὸν σατανᾶν, βλέπετε τὴν παρρησίαν, ὁρᾶτε μή τις ἔν τινι παραπικράνοι τὸν θεόν. ὁ γὰρ δράκων ὁ μέγας πολύτεχνός ἐστι καὶ πολύπειρος· ἔνθεν διὰ πίστεως οὐχ εὑρίσκει ὀλέσαι, ἐκεῖθεν τρέχει διὰ παραπτώματος τὸ αὐτὸ κακὸν ἀπεργάσασθαι διὰ τοῦ ἀντιστρατευομένου νόμου τῆς ἁμαρτίας τῷ νόμῳ τοῦ νοὸς ἡμῶν. βρυχᾷ, ἐπιτηρεῖ ὡς λέων ἁρπάσαι, γαργαλίζει, πῦρ ἀνάπτει, ἐμπιπρᾶν ὀρέγεται τὸν οἶκον τῆς ψυχῆς. ἔχομεν ἐκ θεοῦ τὰ καθαιρετικὰ αὐτοῦ ἀμυντήρια, ὕδωρ κεφαλῆς, πηγὴν δακρύων, δεήσεις, προσευχάς. ἐπὶ πᾶσιν ὁ θεῖος φόβος σιδηρῶν καὶ καθηλῶν τὰς σάρκας ἡμῶν ἔστω· μηδαμοῦ φθόνος αὐλιζέσθω μηδ᾿ αὖ ἔρις μὴ μὴν κενοδοξία μήτε τι

---

141 1 Cor. 16,13 142 Philipp. 1,28 144 Philipp. 1,28 sq. 148 Philipp. 1,27 149 Philipp. 2,12 151 Ps. 77,56 155 Rom. 7,23 159 Ps. 118,120 160 Philipp. 2,3

---

131 κἀν C: κἂν PS 133 τὸ: τὸν C[pc] Sirm 140 προαποδέδεικται: post hanc vocem exc folium in M 141 ἀνδρίζεσθαι C 142 κραταιοῦσθαι C 145 ὑμῖν Sirm 147 ἴδετε C 154 voces ἐν ἡμῖν αὐτοῖς post ἀπεργάσασθαι add VPS Sirm 156 βρυχᾷ CVP$_2^{ac}$: βρυχᾶται cett Sirm ἁρπᾶσαι Sirm 160 μὴ: μήτε V

τῶν ἔργων τοῦ σκότους. ἕως ὅτε ἀκροβολεῖ τὰ πάθη ἐκκρουέσθω, ἵνα μὴ εἰσοικισθέντα καὶ φαρμάξαντα τὴν ψυχὴν δυσαπάλλακτα γένηται. ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. οὕτως τρέχετε, ἵνα καταλάβητε. ὑπείκητε οἱ ἔσχατοι τοῖς πρώτοις· οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ θεός, ἀλλ' εἰρήνης. ἀγαπᾶτε θεϊκῶς οἱ προηγούμενοι τοὺς ἑπομένους καὶ μὴ ἐξ αὐθεντίας, ἀλλ' ἐξ ἀρετῆς καὶ ἀγαθότητος ἀπαιτοίητε τὸ ὑποτακτικὸν καὶ ὑπήκοον. μὴ χωρίζεσθε ἀλλήλων, ἀμείβοντες πολλοὺς πρώτους καὶ οὐδαμοῦ χρησιμεύοντες. Μάρκον τὸν εὐαγγελιστὴν οὐχ εἵλατο συμπαραλαβεῖν Παῦλος, ὡς γέγραπται, διὰ τὸ μὴ συνελθεῖν αὐτοῖς, ἀλλ' οἴκοι ἀναστρέψαι τὸ πρότερον. πόσῳ μᾶλλον ἡμεῖς ὀφειλέται ἐσμὲν στέργειν; ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω. καθαρίζωμεν ἑαυτούς, ἀγαπητοί, ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ. τὰς παραδόσεις κρατεῖτε, ἃς ἐδιδάχθητε, κατηχεῖτε ἀλλήλους, ὑπόμνησιν λαμβάνετε ἀεὶ τοῦ θανάτου. εὔχεσθε οὖν, παρακαλῶ, ὑπὲρ πάντων, εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε καὶ μὴ καταρᾶσθε, περιερχόμενοι ἐκ τόπου εἰς τόπον, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ἐν ἐρημίαις καὶ ὄρεσι πλανώμενοι ἢ τάχα καὶ ἐν ὀπαῖς τῆς γῆς εἰσδύοντες. αὐχεῖτε ὅτι διὰ Χριστόν, ὅτι ὑμῶν οὐκ ἄξιος ὁ κόσμος.

Ἐνέγκατε, τεκνία μου, τεκνία, ἐνέγκατε μικρόν, καὶ ἐλεύσεται Κύριος ὁ στεφανοδότης, ὁ μισθαποδότης, οὗ συγκληρονόμοι γεγενῆσθαι ἐπηγγέλμεθα (εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν), ἐπὶ πᾶσι προσευχόμενοι / καὶ ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου, ἵνα μου στερεωθῇ ἡ καρδίᾳ ἐν Κυρίῳ ἐνεγκεῖν μέχρι θανάτου τὰ ἐπαγόμενα ἡμῖν, ἵνα μή με ἀπώσηται Χριστὸς διὰ τὴν ἀναξιότητά μου, ἵνα ῥυσθῶ ἀπὸ τοῦ πονηροῦ διὰ παντὸς ἐν παντὶ τρόπῳ. νῦν ζῶ, ἀγαπητοί, ἐὰν ὑμεῖς στήκετε ἐν Κυρίῳ. τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυχήσεως ἀλλ' οὐχ ὑμεῖς καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι; ναί, ὑμεῖς γὰρ καὶ παραμύθιον ἀγάπης καὶ παράκλησίς

---

163 1 Cor. 9,25 **164** 1 Cor. 14,33 **171** 1 Cor. 7,20 **172** 2 Cor. 7,1 **174** 2 Thess. 2,15 **176** Rom. 12,14 **177** Hebr. 11,37 sq. **182** Hebr. 11,6 Rom. 8,17 **187** Philipp. 4,1 **190** Philipp. 2,1

---

161 ὅτε: ὅτου V **164** ὑπείκετε VPS Sirm **166** αὐθεντίας C: αὐθεντείας cett Sirm **167** ἀπ' ante ἀλλήλων add VPS Sirm **168** πρώτους: τόπους S coni Sirm **169** οὐκ C εἵλετο VPS Sirm (sed cf Blass – Debrunner – Rehkopf 64) **170** αὐτοῖς C: αὐτοὺς cett: om Sirm **172** καθαρίζωμεν: cum hac voce narrationem resumit M ἑαυτούς: αὐτοὺς VM ἀεὶ ante ἀπὸ add VMPS Sirm **175** λαμβάνετε post θανάτου transp M **178** κακουχούμενοι – πλανώμενοι om V **185** ἐν Κυρίῳ om VMPS Sirm **187** διαπαντὸς VMPS **189** οὐχ C: οὐχὶ cett Sirm

μου. αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως τηρηθείη.

Πιστὸς ὁ θεὸς ἡμῶν, ὃς καὶ ποιήσει, ἀδελφοί, ἀσπάσασθαι ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ὁ ἀσπασμός μου τοῦ ταπεινοῦ Θεοδώρου πρὸς πάντα τὰ μέλη μου ἀπὸ χειλέων μου καρδίας. ἀσπάζονται ὑμᾶς οἱ μετ' ἐμοῦ ἀδελφοί. ἡ χάρις μετὰ τοῦ πνεύματος ὑμῶν. ἀμήν.

222. Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ

Ἐμοὶ τὸ ἐπιστέλλειν τῇ ἁγιωσύνῃ σου πάντοτε ποθητόν, καὶ τοσοῦτον, ὅσον καὶ τὸ τῆς περιορίσεως διάστημα μακρότερον· ἐγγὺς γάρ με ποιεῖ τοῦ τιμίου προσώπου σου καὶ ῥαστώνην ἐμποιεῖ διὰ τῆς προσφωνήσεως, οἷα καὶ νῦν, λυπηρῶς διακειμένῳ ἐν τῇ τῶν τινων ἡγουμένων προδοσίᾳ τῆς ἀληθείας. ἵνα γὰρ οἶδέν σου ἡ ὁσιότης ὅτι ἡ πάλαι κουστωδία, λέγω δὴ Ἰωσὴφ ὁ μοιχοζεύκτης, ὁ Φωτεινουδίτης, ὁ Ἡρακλειώτης, ὁ Μηδικιώτης, ὁ / Μυλιανός, ὁ Ὑπολυχνιώτης, ὁ Γουλαιάτης (ἀλλὰ φεῦ τῆς ἁμαρτίας μου, ὅτι καὶ ὁ Φλουβουτηνός, συλληφθεὶς ἐξ ἄφρονος ἁπλότητος) ὁμοθυμαδὸν μικρὸν ἐνστάντες δῆθεν οἰκονομίας ὑφορμηθέντες παρὰ τοῦ εἰωθότος κατεργάζεσθαι τὰ τοιαῦτα Ἰωσὴφ ἐξετράπησαν ὀπίσω τοῦ σατανᾶ, κοινωνήσαντες ἅπαξ καὶ δὶς τοῖς ἀσεβέσιν· ἐν ᾧ καὶ εὐμενῶς ἀπολυθέντες ἁλίσκουσιν ἐν τῷ οἰκείῳ πτώματι τοὺς ἀστηρίκτους. ἀλλ', ὡς ἔοικε, καὶ ὁ τῆς Νικαίας εἰς πτῶμα κεῖται τῶν ἐπισκόπων·

---

191 1 Thess. 5,23 194 2 Cor. 13,12 197 Philem. 25

194 ἀσπάσασθε MPS Sirm 195 μου om M

222. inter aestatem exeuntem ac autumnum a. 816 8 Μηδικιώτης: Nicetas 9 Γουλαιάτης: Petrus? cf. Theoph. chron. a. m. 6298 (I 482 De Boor) 12 Ἰωσήφ: oeconomus 15 Νικαίας: Petrus

12 1 Tim. 5,15

C (S_2) VM PS_1

1 ἀρχιεπισκόπῳ: ἐπισκόπῳ V 4 σου om Mai 6 τινῶν codd Mai: corr Sirm οἶδέ VMPS Sirm 7 παλαιὰ M 8 Μυλιανός: νωλιάνος M 9 ὑπολιχνιότης CS_2 Mai: Ὑπολιχνιώτης cett Sirm: correxi 10 φλουβουτινὸς CP 11 ἐνστάντες: ἐκστάντες M 14 ἁλίσκουσι M

ἀνακαλοῦνται γὰρ τοὺς ἐν ἐξορίαις πρὸς τὸ τὰ ὅμοια πρᾶξαι καί, εἰ μὴ προφθάσει ἡ χεὶρ τοῦ θεοῦ ὑπερείδουσα, ὀλλύμεθα καὶ οἱ ὑπολειφθέντες. τί οὖν ἐστιν; ὅτι καὶ πάλιν, ὡς φαίνεται, εἰς ἡμᾶς τοὺς ταπεινοὺς περιίσταται τὸ δρᾶμα σὺν ὀλίγοις.

Ἀνάστα οὖν, ὦ ἄνθρωπε τοῦ θεοῦ, ὡς ἀρχιερεὺς Χριστοῦ τοῦ ἀληθινοῦ ἀρχιποίμενος καὶ τοσοῦτον, ὅσον τῶν ἁπάντων εἶ ὑπερέχων τῇ κεφαλίδι τῆς ἀρχιερωσύνης, πλὴν τοῦ ἑνὸς ἐν παραβύστῳ κειμένου. δόξασον δὴ τὸν θεὸν ἐν τῷ σώματί σου καὶ ἐν τῷ πνεύματί σου, οὐ πάντως ἀφεθήσῃ ἐν τῇ νήσῳ· τυχὸν πειρασθῆναί σε δεῖ κατὰ τὰ πάλαι, ἵνα καὶ στεφανίτης κἀνταῦθα λαμπρότερος χρηματίσοις. ναί, ναί, ἀδελφέ, εἰς οἵους καιροὺς ἐταμιεύθημεν. ἀλλὰ χάρις ὅμως τῷ ταμιευσαμένῳ· καὶ τοῦτο ἀπὸ θεοῦ, φησὶν ὁ ἀπόστολος, ὅτι ἡμῖν ἐχαρίσθη ὑπὲρ Χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. οὐ παρεῖδεν Κύριος τὴν ταπείνωσιν ἡμῶν ἐν τοῖς προλαβοῦσιν, ἀλλ' οὐδὲ νῦν, πέποιθα, ὑπερόψεται τῆς τιμιότητός σου, ἀλλ' ὡς τηνικαῦτα, οὕτως καὶ ἄρτι μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί σου, ποιῶν ὑπερεκπερισσοῦ τὸ ἔλεος αὐτοῦ εἰς ἔνδειξιν τῆς ἀρε/τῆς σου.

Διὸ ὀρέγοις κἀμοὶ χεῖρα πρεσβευτικήν, ὅσιε, στηριχθῆναι καὶ σωθῆναι ἀπὸ τοῦ ἐνεστῶτος χειμῶνος πικροῦ. στῆθι καὶ ἱλέωσαι μεταστραφῆναι τὴν καταιγίδα εἰς αὔραν τοῦ Ἁγίου Πνεύματος. γένοιτο. τοὺς ἀδελφοὺς ἀσπαζόμενος πλεῖστα καὶ παρακαλῶ ὑπερεύχεσθαί μου τῆς ταπεινώσεως· οἱ σὺν ἐμοὶ τοῖς ποσί σου προσπίπτουσιν. /

223. Ναυκρατίῳ τέκνῳ

Πονηρὰ ἡ ἀγγελία τῶν γραμμάτων σου, ὦ τέκνον· ἥτις καθαψα-

23 1 Cor. 6,20 27 Philipp. 1,28 sq. 32 Eph. 3,20

16 πράξαι CM Mai 17 προφθάσῃ C Mai 18 φαίνετε C 19 δράμα CVM 20 τοῦ post ἀρχιερεὺς add VMS Sirm 21 ἀρχιποιμένος Mi 22 ἀρχιερωσύνης: ἱερωσύνης VMPS$_1$ Mai Sirm 24 post ἀφεθήσῃ voculam τυχὸν cancell S_1 πειραθῆναί M 25 χρηματίσῃς S_1 26 ναί, ναί C: αἴ, αἴ cett Sirm 28 ὑπὲρ: ἀπὸ $S_1^{pc}V$ 29 παρεῖδε VMPS Sirm 32 ὑπὲρ ἐκπερισσοῦ C Mai 37 παρακαλῶν V 38 πρὸς πίπτουσιν C

223. inter aestatem exeuntem ac autumnum a. 816

C VM (ll. 1–67) P_2P_1S

1 δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm 2 ὦ om M

μένη μου τῆς ταπεινῆς ψυχῆς τῷ ὄντι ὠδύνησεν καὶ δάκρυον προσεκαλέσατο καρδιακόν, μικροῦ δεῖν ἄυπνόν μοι τὴν νύκτα, καθ' ἣν ἐδεξάμην ἐπὶ χεῖρας τὴν ἐπιστολήν, ἐμποιήσασα. τοῦτο μὲν ἐπὶ πάντων τῶν συμπεπτωκότων, ἐξαιρέτως δὲ εἰς τὸν τῆς Φλουβουτῆς, καὶ ὅτι οἱ μὲν τοῖς προλαβοῦσιν ὅμοια καὶ τανῦν ἔπραξαν, ὁ δὲ τῶν δοκούντων ἑστάναι ἀσφαλῶς ἐγνωρίζετο. ἐθαύμαζον οὖν ἔτι ἑστηκότων αὐτῶν, ὅτι μὴ ὁμολογήσαντες τὴν προτέραν ἐπὶ μοιχείᾳ καὶ μοιχοζευξίᾳ ἧτταν αὐτῶν ἀντεποιοῦντο ἐπὶ τῇ προκειμένῃ ὑποθέσει, καὶ τάχα ὑπενόουν ἰδίᾳ καὶ καθ' ἑαυτοὺς τὴν μεταμέλειαν ἐσχηκέναι καὶ ἔχαιρον ὁ ταπεινὸς ἐπὶ τῇ ὀρθοποδήσει αὐτῶν. ἀλλ', ὡς ἔοικεν, ἐν σαθροῖς τὴν οἰκίαν αὐτῶν οἰκοδομήσαντες τῷ λαίλαπι τῆς προσπεσούσης αἱρέσεως πεπτώκασι πτῶσιν τὴν χαλεπωτάτην, πάλιν οἰκονομίαν λέγοντες τὴν ἀθέτησιν τῆς ἀληθείας. οἱ αὐτοὶ καὶ πρότερον σκάνδαλον γεγόνασι τῇ ἐκκλησίᾳ τοῦ θεοῦ καὶ νῦν τὸ αὐτὸ δι' ὧν ἔπραξαν, πάντας προσκαλούμενοι εἰς ἀπώλειαν. καί γε ἕτοιμοι οἱ πλεῖστοι πρὸς τὴν τοῦ κακοῦ μετουσίαν, ἐν ταῖς ἀνάγκαις ζητοῦντες ἐξευρεῖν τινα πρόφασιν, δι' ἧς ἄθλιπτος καὶ ἀταλαίπωρος αὐτοῖς ὁ ὑπὲρ εὐσεβείας ἀγὼν ὑπαχθείη. ἐκοινώνησαν ἐπὶ τῇ ἀρνήσει Χριστοῦ, τῆς Θεοτόκου, τῶν πάντων ἁγίων· τοῦτο γὰρ ἡ τῆς εἰκόνος οὑτινοσοῦν ἄρνησις. φεῦ τῆς συμφορᾶς· φεῦ τῆς ἀπάτης· οἴμοι, πῶς ἐναρξάμενοι καλῶς ἐστράφησαν εἰς τὰ ὀπίσω; οἴμοι, πόσοις ἔσονται καταστροφὴ ὁμοταγέσι καὶ ὑπερέχουσι, λαϊκοῖς τε καὶ κληρικοῖς καὶ μονασταῖς; ἀλλὰ ἡ ἀρχαία πληγή, τὸ ἐγκόλπιον κακόν, Ἰωσὴφ ὁ πάλαι εἰκότως κληθεὶς μοιχοζεύκτης, νυνὶ δὲ χριστεμπαίκτης, αὐτὸς ὁδηγὸς τοῖς τῆς ἀρχαίας κουστωδίας.

Τί πρὸς ταῦτα; ἐκλυθησόμεθα, καταπεσούμεθα, ἀποκαμούμεθα πρὸς τὴν Χριστοῦ ὁμολογίαν ἡμῶν καὶ ἔνστασιν; μηδαμῶς, ὦ ἀδελφοί, μηδαμῶς· εἰ γὰρ ἀσεβῶν καταπιπτόντων οἱ δίκαιοι ἔμφοβοι ἔσονται, ἀλλ' οὖν τῷ τοῦ πέλας πτώματι ἀσφάλεια τῷ ἑστηκότι μεγίστη. στῶμεν οὖν ἐν Κυρίῳ βεβαιότερον μᾶλλον, παρακαλῶ, μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· μὴ γὰρ ἕνεκεν τῶν ὑποσκελισθέντων ἡ ὁμολογία ἡμῶν ἢ τῇ τούτων στάσει ἐπερειδό-

---

23 Joh. 20,14 30 Prov. 29,16 32 Philipp. 1,28

3 τῳόντι S ὠδύνησεν C: ὠδύνησε cett Sirm προσεκαλέσατο: cave corrigas προεκαλέσατο coll προσκαλεῖν ἔκκρισιν (LSJ s. v.) aliaque id genus 4 καθὴν C 6 Φλουβουτῆς: Φλουβουτηνῆς M 7 καὶ[1] om VMPS Sirm ὅμοια post μὲν transp M τὰ νῦν CVMP 8 ἑστᾶναι V 11 τε post ἰδίᾳ add M 12 ὀρθοποδίσει S (fort recte) 18 τοῦ S^{sscr} 22 οὔτινος οὖν C 25 μονάσταις VMP_2 ἀλλ' VMPS Sirm 26 εἰκότως ante νυνὶ transp VM 29 ante ὁμολογίαν eandem vocem iterum scriptam cancell S ἡμῶν: ὁμοῦ P_1S Sirm 33 ὑπὸ om M 34 ὁμολογία: ὁμόνοια M

μενοι ἐστερεούμεθα, ἵνα καὶ τῇ σκελίσει αὐτῶν κατασεισθῶμεν; μὴ γένοιτο· οὔτε τούτων οὔτε ἄλλων. Χριστὸς ἡμῶν ὁ θεμέλιος, ἐν ᾧ στήκομεν, ἐν ᾧ καυχώμεθα, σὺν τῷ Παύλῳ λέγοντες· τίς ἡμᾶς χωρίσει / ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ; θλῖψις ἢ στενοχωρία ἢ λιμὸς ἢ διωγμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; καὶ γὰρ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. οὕτως ὁ μὴ παρατεταγμένος οὐκ ἀγωνιεῖται ὑπὲρ Χριστοῦ, οὐ δύναται χριστιανὸς εἶναι.

Οὐκ εἰκῇ οἱ ἀγῶνες τῶν μαρτύρων, τὰ ἆθλα, αἱ βάσανοι· μὴ γὰρ οὐχ ὁμόσαρκοι ἡμῶν; μὴ οὐκ ἐπόνουν τοσαύταις τιμωρίαις ὑποβαλλόμενοι; μὴ οὐκ ἐξηποροῦντο καὶ τοῦ ζῆν, ὡς φάσκει ὁ ἀπόστολος; ἀλλὰ τῷ φόβῳ τῶν αἰωνίων κολάσεων καὶ τῷ πόθῳ τῶν οὐρανίων ἀμοιβῶν εἵλαντο μᾶλλον ὡς ἔμφρονες τὸν τῆς σαρκὸς θάνατον ἤπερ τὸν αἰώνιον. ἤνεγκαν, οὐκ ἐπτοήθησαν, οὐ κατεπλάγησαν· καὶ ὡς παρόντα τὰ μέλλοντα φανταζόμενοι χαρᾷ ἐχώρουν πρὸς τὰς βασάνους, δωρεὰς ἡγοῦντο τὰς πολυπαθείας. ἡμῖν γὰρ ἐχαρίσθη ὑπὲρ Χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν· καὶ αὖθις ἑτέρωθι· ἐν γὰρ πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χάριτος αὐτῶν. οὕτως ἔχαιρον, οὕτως ἠγάλλοντο ὑπὲρ Χριστοῦ πάσχοντες πάντες οἱ ἅγιοι. γευσώμεθα καὶ ἡμεῖς, ἀγαπητοί, τῆς ἀγάπης Χριστοῦ, περιπατήσωμεν ἐν ἴχνεσιν ἁγίων, ῥέξωμεν τὰς προσπαθείας τοῦ αἰῶνος τούτου. οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν, ἡ ἄνω Ἱερουσαλὴμ πατρὶς καὶ πόλις ἡμῶν. ὦ ἄνδρες δυνατοὶ ἐν πνεύματι, ὦ τέκνα θεοῦ (οὐ γὰρ ἐμοῦ τοῦ ταπεινοῦ οὗτοι οἱ λόγοι καὶ ἁμαρτωλοῦ), μὴ ὀκλάσωμεν κἂν πάντες τραποῖεν, ὅπερ μὴ γένοιτο, ἀλλ' ἡμεῖς ὡς πάλαι ὑπὸ θεοῦ δυναμωθέντες καὶ τανῦν μονομαχήσωμεν. μεθ' ἡμῶν ὁ θεός, πάντες οἱ ἀπ' αἰῶνος ἅγιοι, μεθ' ἡμῶν ἀνατολὴ καὶ δύσις. μικρὰ μερὶς ἡ ἀπορρήξασα ἑαυτὴν ἀπὸ τῆς ὑπ' οὐρανὸν ἐκκλησίας, καὶ τοῦτο διὰ φόβον, διὰ τὰ πρόσκαιρα, διὰ τὴν σάρκα, ἣν μικρὸν ὕστερον παραδώσομεν τῷ αἰωνίῳ πυρὶ σὺν τῇ ψυχῇ, εἰ

37 Rom. 8,35 sq. **44** 2 Cor. 1,8 **46** cf. Rom. 8,6 **49** Philipp. 1,29 **51** 2 Cor. 8,2 **54** 2 Cor. 12,18 55 Hebr. 13,14

35 στερεούμεθα M 36 ἡμῶν post θεμέλιος transp VM 38 θλίψις omnes: correxi 41 οὐ: οὐδὲ Sirm 42 ἄθλα CS 44 φάσκει C: φησιν cett Sirm 46 εἴλαντο CP_1: εἵλαντο S: εἵλοντο cett Sirm ὑπὲρ omnes: correxi 47 post ἐπτοήθησαν voces οὐκ ἐπλανήθησαν cancell V 49 δωρεᾶς C γὰρ om P_1S ὑπὲρ: ὑπὸ S 51 περίσσεια $V^{ac}M$ 52 χάριτος C: χαρᾶς cett Sirm (fort recte; cf 2 Cor l. l.) 54 ἁγίων: ἁγίοις M ῥέξωμεν C: ῥίψωμεν VM: ῥήξωμεν cett Sirm 57 ταπεινοῦ — καὶ in marg C manu rec: om VMPS Sirm 58 κὰν C 59 τὰ νῦν CVMP Sirm

μὴ ἀντισχώμεθα τῆς ἀληθείας. ἔστω καὶ πειρασθῶμεν, καὶ μαστιχθῶμεν, καὶ τοῦτο πολλάκις, τέλος καὶ ἀποθάνωμεν· εἶτα οὐκ ἔστι χαρὰ ἀνεκλάλητος ἐπιτυχεῖν ἡμᾶς βασιλείας οὐρανῶν κἀντεῦθεν ἀπενέγκασθαι κλέος ἀθάνατον; ἢ τοὐναντίον φυγόντας τὰ προειρημένα κἀντεῦθεν κωμῳδισθῆναι μέχρι τέλους καὶ αἰσχύνην ὑποῖσαι ἀτελεύτητον; ναί, δέομαι, τεκνία μου, οὓς ἐγέννησα ἐν Κυρίῳ, οὓς ηὔξησε Χριστὸς ἐν πόνοις καὶ κόποις οὐ μόνον ἀσκητικοῖς, ἀλλὰ γὰρ καὶ ἀθλητικοῖς· πληρώσατέ μου τὴν χαρὰν ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι τὸ ἓν φρονοῦντες, μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. ἀποστολικὰ τὰ παραγγέλματα, κἂν παρ' ἐμοῦ τοῦ ταλαιπώρου ὑπομιμνησκόμενα. προσεύχεσθε καὶ περὶ ἐμοῦ, παρακαλῶ, ἵνα μοι δοθῇ ἰσχύς, κράτος, λόγος δι' ὑμᾶς (κἂν ἐγὼ ἀνάξιος θείας χάριτος), ὅπως ὁμοθυμαδὸν ἐν ἑνὶ πνεύματι δοξασθῇ ὁ θεὸς ἐν τῷ σώματι καὶ ἐν τῷ πνεύματι ἡμῶν.

Στεῖλον εἰς τὸν ἀρχιεπίσκοπον τὸν καλὸν Διονύσιον. προσαγόρευσον τὸν ἀββᾶν Πέτρον, / τὸν ἀββᾶν Ἰγνάτιον καὶ τὸν ἀββᾶν Τιθόιον καὶ ὑπόδειξον αὐτοῖς τὸ γράμμα. ἔτι ἑτοιμάζου σὺν τοῖς λοιποῖς, καὶ μάλιστα τοῖς προγεγραμμένοις, ὅτι τῶν ἐγγύθεν ὑμῶν ὀλισθησάντων οὐκ ἔστιν ὑμᾶς ἐαθῆναι, ὑπ' αὐτῶν ἐκείνων διαβαλλομένους. δοίη δὲ Κύριος σθένος, κράτος, νοῦν, ὀφθαλμόν, σύνεσιν, πᾶν ὁτιοῦν εὖ πρᾶξαι ὑμᾶς εἰς ἔπαινον καὶ δόξαν Χριστοῦ, εἰς καύχημα ἐμόν, εἰς κλέος ὑμῶν αἰώνιον. προσαγορεύουσιν οἱ συνόντες μοι ἀμφοτέρους· ὁ Χριστὸς μεθ' ὑμῶν. ἀμήν.

66 1 Petr. 1,8 71 Philipp. 2,2 77 1 Cor. 6,20

67 τοὐναντίον: hic desin epist in M 68 κωμῳδηθῆναι V Sirm 70 κόποις καὶ πόνοις P_1S 71 γὰρ om V 72 κατεριθείαν C 75 προσεύχεσθαι C 76 κἂν S 78 ἡμῶν: fort est ὑμῶν scribendum; cf 1 Cor l. l. 81 Τιθόην VPS Sirm 82 ἡμῶν VPS Sirm 83 ἡμᾶς V διαβαλλομένους C: ἐνδιαβαλλομένους cett Sirm 85 ὅτι οὖν C πράξαι CP 86 καύχημα: κλέος V κλέος: καύχημα V

224. Τῷ αὐτῷ

Τίς ὁ ἐμὸς βίος καὶ λόγος, ὅτι οὕτω περιτρύζετέ με, ὦ τέκνον, καὶ περιπονεῖσθε, ἐκ τοσούτου μήκους καὶ ἐν τοσούτῳ πειρασμῷ παραλογιζόμενοι πάντα πόνον καὶ κίνδυνον ἐν τῷ ἐπισκέπτεσθαι τὴν ταπείνωσίν μου, καὶ τοῦτο ἀδιαλείπτως, καὶ τοῦτο μετὰ τοσαύτης δωροφορίας; ἐποιήσατε τὰ μακρὰν ἐγγύς, τὰ δυσάνυστα εὐάνυστα, τὰ ἔρημα εὐδιάβατα, ἐξεπλήξατε τοὺς ὁρῶντας, διηνοίξατε στόματα εἰς αἰνέσεις Κυρίου κατανοούντων τῆς πίστεως καὶ ἀγάπης ὑμῶν τὰ κατορθώματα· ποῦ γὰρ οὕτω προήχθησάν τινες τῶν ἄλλων ἐνδείξασθαι πρὸς τοὺς οἰκείους πατέρας τὰ τῆς εἰλικρινοῦς φιλίας; εὐλογητὸς ὁ θεὸς ὁ οὕτως ὑμᾶς ἀναδείξας κατὰ τὴν ὑμῶν μὲν ἀρετήν, παρ' ἀξίαν δὲ τῆς ἐμῆς ταλαιπωρίας· ὁμολογῶ γὰρ ἁμαρτωλὸς ὑπάρχειν, πάντων ἀνθρώπων ἐλαχιστότερος, κἂν αὐτὸς ἀγάπῃ φερόμενος τοσούτοις ἐγκωμίοις με δοκιμάζοις καταστέφειν. ἀπέχω οὖν, ὦ ἐπιπόθητε, τὰ τῆς πεποιθήσεώς σου, ἀπέχω τὰ τῆς γηροκομίας σου· ὡς τέκνον ἐβάστασας, ὡς ἀδελφὸς ἐθεράπευσας, προσθείην καὶ ὡς πατὴρ ἐθησαύρισας· εἰ δὲ καὶ ὡς συνεργὸς συνεκοπίασας, εἴ τε ὡς μαθητὴς τὰ ὑστερήματα ἀνεπλήρωσας, εὖ σε ποιήσαι Κύριος ὁ θεὸς τοῦ πατρός μου καὶ προσθείη πνεῦμά σοι ἐπὶ πνεύματι, δύναμιν ἐπὶ δυνάμει, σύνεσιν ἐπὶ συνέσει μέχρι τέλους.

Εἶεν. τὸ λοιπὸν προσεύχου περὶ τῆς ταπεινώσεώς μου ἵνα εὐαρέστως Κυρίῳ πορεύσωμαι κἂν πρὸς τὸ ἑξῆς τῆς ζωῆς μου. πάνυ ἀνεπάην ἐπὶ τῷ ἀδελφῷ Ἀδριανῷ, εἴ γε καὶ παραχωρηθείη μοι συνεῖναι· ἐπίσχες τοῦ ἀποστεῖλαι μέχρι Σεπτεμβρίου ἐνταῦθα διὰ πολλά, οὐκ οἶδα εἰ μή τι ἀναγκαῖον. γνοὺς τὰ τῶν τινων ἡγουμένων ἐστέναξα ὁ τάλας· στηριχθείησαν οἱ λοιποὶ πατέρες, στηρίζοντες ἡμᾶς τοὺς ὀλιγώρους δι' ἑαυτῶν. προσειπὲ τοὺς συνήθεις. προσαγορεύουσί σε οἱ σὺν ἐμοὶ πάνυ. ἔρρωσο ἐν Κυρίῳ, ἀλλὰ γὰρ καὶ σώματι ἐπιμελῶς ἔχε· μαθὼν γὰρ τὴν τῶν σπλάγχνων σου κάκωσιν ἠνιάθην οὐ μετρίως. /

---

224. aestate exeunte a. 816

7 Thr. 3,46 17 1 Cor. 16,16 sq. 18 Gen. 31,6

C (S)

1 τῷ αὐτῷ: ναυκρατίῳ τέκνῳ S 3 περιπονεῖσθαι C 9 οὕτως S 10 εἰλικρινοῦς S 11 παραξίαν codd: distinxit Mai 14 δοκιμάζεὶς S ἐπὶ πόθητε C 15 γηροκομείας C 18 ποιῆσαι C Mai 21 τολοιπὸν S 22 πορεύσομαι C προστοεξῆς S 23 ἀνεπάην: ἀνεπάειν C Mai 24 ἀποστεῖλαι: fort est ἐπιστεῖλαι scribendum; cf ep 225,2 sq σεμπτεβρίου S 27 πρὸς εἰπὲ C: πρόσειπε S

225. Τῷ αὐτῷ

Παρὰ προσδοκίαν εἶδον τὰ γράμματά σου, τέκνον ἠγαπημένον, καὶ τοὺς ἀδελφούς· οὐ γάρ, ὡς προέγραψα, ἐπέσχες μέχρι Σεπτεμβρίου. ἀλλ' ὅμως ἀπεδεξάμην σου τὸ πρόθυμον, τὸ οὐκ ἀνεκτὸν τῆς ἀγάπης, τὸ διάπυρον τοῦ πόθου, τὸ περὶ πάντα φιλόθεον, προσθείην δ' ἂν καὶ φιλοπάτριον. σύ μου χαρὰ καὶ παραμύθιον, σύ μου ἐν Κυρίῳ ἐν πᾶσι τοῖς κινδύνοις καὶ θλίψεσιν ἕδρασμα καὶ στέφανος καυχήσεως μετὰ πάντων τῶν συνάθλων σου καὶ πρὸ πάντων ἀδελφῶν ἡμῶν ἐν Χριστῷ Ἰησοῦ καὶ τέκνων. διὸ καὶ χαίρω, εὐλογῶν τὸν θεὸν τοῦ πατρός μου, ὅτι ὑγιάζῃ ψυχῇ καὶ σώματι, οὕτως ὑπὸ θεοῦ οἰκονομηθέντος εἶναί σε ἄφετον ἐκ δεσμῶν, ἵνα τοὺς ἐν δεσμοῖς ἀλείφῃς, τοὺς ἀφεμένους συνδέων ἐπιστηρίζοις· ὃ καὶ ποιεῖς χάριτι Χριστοῦ, παρακαλῶν, νουθετῶν, παραμυθούμενος ἕνα ἕκαστον, ὡς ἀληθῶς θεοῦ οἰκονόμος. δέομαι οὖν αὐτὸ τοῦτο, μὴ ἐκκακεῖν ἐργάζεσθαί σε εἰς δόξαν Χριστοῦ, εἰς περιποίησιν σωτηρίας σου, εἰς καύχημα ἐμοὶ τῷ ἠπορημένῳ ἐν παντὶ οὖν ἀγαθῷ.

Πλήν, ἀδελφέ, ὅτι οὐκ εἰς κενὸν ἐδράμομεν καὶ τρέχομεν πάλαι τε καὶ νῦν οὐδ' εἰς κενὸν κοπιῶμεν· ὑπὲρ Χριστοῦ γὰρ καὶ διὰ Χριστόν, ὑπὲρ οὗ τὸ πάσχειν πάσχα, ὑπὲρ οὗ τὸ θλίβεσθαι χαρά. εἴπερ συμπάσχομεν, φησίν, ἵνα καὶ συνδοξασθῶμεν· λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. καὶ εἰκότως· ἡ γὰρ ἐνταῦθα σύνθλιψις ὁποιαοῦν σκιώδης καὶ ὀνειρώδης, ἡ δὲ ἐκεῖσε ἀντάμειψις ζωὴ ἀπέραντος μετὰ δόξης αἰωνίου. μὴ οὖν ἐπαισχυνθῶμεν, ὦ τέκνον, τὸ παρὸν μαρτύριον· τοῦ Κυρίου γάρ ἐστιν. πολλοὶ ἐπεθύμησαν ἐξ ἀγάπης Χριστοῦ τοῦτο ἰδεῖν, ἀλλ' οὐκ ἐπέτυχον, ἡμεῖς δὲ κατηξιώμεθα. τί τοῦτο; ὑπὲρ αὐτοῦ πάσχειν, διώκεσθαι, αἰχμαλωτίζεσθαι, φυλακίζεσθαι, ἐκ τόπου εἰς τόπον περιορίζεσθαι ἢ τάχα καὶ τύπτεσθαι, θέατρον γίνεσθαι καὶ ἀγγέλοις καὶ ἀνθρώποις.

---

225. paulo ante mens. Sept. a. 816

7 1 Thess. 2,19 9 Gen. 31,6 **13** 1 Thess. 5,14 **15** 1 Thess. 5,9 Philipp. 2,16 **18** Is. 65,23 **20** Rom. 8,17 sq. **24** 2 Tim. 1,8 **25** Matth. 13,17 **27** Philipp. 1,29 **29** 1 Cor. 4,9

C VM (ll. 13 – 128) T (ll. 99 – 102 et 106 – 120) PS

1 τῷ αὐτῷ: ναυκρατίῳ τέκνῳ S **2** ἴδον C **3** σεπτε//βρίου V **8** πάντων S[sscr] **12** ἐπιστηρίζῃς S[pc] **13** παρακαλῶν: hic inc epist in M **16** παντιοῦν Sirm **19** θλίβεσθαι C: λυπεῖσθαι cett Sirm **23** ὁποῖα οὖν C ἐκεῖσε: ἐκεῖ M **25** ἐστι VMPS Sirm **27** αὐτοῦ: χριστοῦ M

Εἰ δὲ ὅτι καὶ τὸ ὄνομα ἡμῶν ὡς πονηρὸν ἐξέβαλον, ἀναθεματίζοντες ἰδίᾳ τε καὶ δημοσίᾳ σὺν ἁγίοις, οὐκ ἔνι χαρά; οὐκ ἔνι σκιρτᾶν; οἶδας, τέκνον, τὸν μακαρισμὸν Κυρίου· τούτοις καὶ αὐτὸς γήθου, τέρπου σὺν ὅλοις τέκνοις. ὑμεῖς γάρ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους· καὶ εἴτε πάσχει / ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. ζήτει, φησί, τὰ λειπόμενα, ἐμπτύσματα, κολαφίσματα, τέλος τὸν σταυρόν, τοὺς γλυκεῖς μου Χριστοῦ ἥλους. οἵ, τίς ἂν καταξιωθείη συσταυρωθῆναι, συλλογχευθῆναι δοῦλος δεσπότῃ, μῖξαι αἷμα αἵματι ἄνθρωπος θεοῦ τοῦ ζῶντος; τοιαύτῃ διαθέσει χωροῦντες οἱ ἅγιοι ἔχαιρον κοπτόμενοι, ᾖδον μελοτομούμενοι. ἔφθασεν τοιγαροῦν καὶ ἡ ἡμετέρα χαρά· ἐκ μέρους ἐπειράθημεν (εἴ γε καὶ πειραθείημεν τέλεον) χάριτι καὶ φιλανθρωπίᾳ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· τῇ γὰρ χάριτι εἴη τὸ νῖκος ἐφ' ὁτῳοῦν, ἵνα μή τις καυχήσηται οἴκοθέν τι ἔχειν. ὥστε ἕλκομεν τὸν ἔλεον θεοῦ ἐν Χριστῷ Ἰησοῦ διὰ τῆς ταπεινοφροσύνης καὶ ἐνεργοῦς πεποιθήσεως. εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πίστεως, εἴ τις σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν, σὺν τῷ ἀποστόλῳ ὁ τάλας λέγειν, τὸ αὐτὸ φρονεῖν, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι τὸ ἓν φρονοῦντες, μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν ἀντιπράττοντες καὶ ἀντικαθιστάμενοι ἀλλήλοις· πέφυκεν γὰρ καὶ ἐπ' αὐτῶν τῶν ὑπὲρ εὐσεβείας ἀγώνων τὸ φιλόπρωτον καὶ φιλόνεικον παρεισδύειν. ἀλλ' ὑμεῖς ὡς θεοῦ διάκονοι (συμπαραλαμβάνω γὰρ τῷ προσώπῳ σου τοὺς ὑπερέχοντας, οἳ καὶ ἀναγνοῖεν τὴν ἐπιστολήν), μηδεμίαν ἐν μηδενὶ δοίητε προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία ὑμῶν· γένοιτο.

Περὶ ὧν ἔγραψάς μοι ἐν μετανοίᾳ γεγονέναι, εἰς τοὺς τοῦ σώματος ἡμῶν, εἰ καὶ ἀνάξιοι, ἀλλ' οὖν ἡμεῖς ἰατροί. ὃ τοίνυν ἐδώκαμεν ἐπιτίμιον τῷ Ὀρέστῃ ἐλθόντι ἐνταῦθα διὰ φωνῆς τῶν ἀδελφῶν (οὐδὲ

---

57 Ὀρέστῃ: cf. p. 219* adn. 255

30 Luc. 6,22 31 Luc. 6,23 32 Matth. 5,12 33 1 Cor. 12,26 sq. 35 Is. 50,6 38 Luc. 13,1 45 Philipp. 2,1 sq.; cf. Bas. ep. 90,2 (PG 32,473 C = I 196 Courtonne) 52 2 Cor. 6,4 53 2 Cor. 6,3

32 οἶδα VMPS Sirm τοῦ post μακαρισμὸν add S 37 μου C: μοι cett Sirm οἵ scripsi: οἳ C: ὢ V: οἷς cett Sirm: om M 40 ᾖδον C: ᾔδοντο cett Sirm ἔφθασε VMPS Sirm τοίγαρ οὖν C ἡ V^{sscr} 41 εἴ γε: an εἴη γε scribendum? cf ep 186,32 etc 42 voces Ἰησοῦ Χριστοῦ post ἡμῶν transp M 43 νίκος VP 45 εἴ τις: ἥτις $CP^{ac}V^{ac}$ εἴ τι S Sirm: ἥτις CM: ἥτις V: εἴ τις P^{pc} 46 εἴ τις[1] P^{pc}S Sirm: ἥτις C: ἥτις V εἴ τις[2] P^{pc}S: ἥτις CM: ἥτις V: εἴ τινα Sirm 47 μου: μοι V 49 κατεριθεῖαν C: κατ' ἐρίθειαν cett Sirm 50 πέφυκε VMPS Sirm 52 συμπαραλαμβάνω: an συμπεριλαμβάνω scribendum? 53 μηδὲ μίαν P 54 μωμηθῇ C: μωμητὴ cett Sirm γένηται VM

γὰρ κεκρίκαμεν εὖ ἔχειν συνοψισθῆναι αὐτῷ διὰ πολλὰ αἴτια), τοῦτο σχοῖεν καὶ οἱ λοιποί, ἀμετόχους εἶναι τῶν ἁγιασμάτων καὶ ἐν τοῖς ἄλλοις παρατηρήμασιν. ἐρωτᾷς, ἕως πότε; ἕως ἂν ἀναλάμψῃ ἡ τῆς ὀρθοδοξίας αἰθρία. εἰ, φησί, τύχοι θάνατος; κοινωνείτωσαν· πιστεύομεν συγκεχωρῆσθαι αὐτοῖς τὸ ἁμάρτημα. ἐπειδὴ δὲ γέγραφας τοῦτο κἀκεῖνο ἀντιλεκτεῖν ὑμᾶς πρὸς ἀλλήλους, διαλύεσθε τῶν προβλημάτων ὑμῶν καὶ εἰρηνεύετε ἐν ἑαυτοῖς. οὐχ ὡς οἱ ἐξ αἱρέσεως ἐπιστρέφοντες οὗτοι δεκτέοι (εἴπερ κἀκεῖ παρατήρησις διαφορᾶς οὐ τῆς τυχούσης τῆσδε πρὸς τήνδε), ἀλλ' ὡς ἀρνησάμενοι τὸ ὄνομα Κυρίου, ἤτοι ἐπὶ τῇ ἀρνήσει αὐτοῦ κεκοινωνηκότες τοῖς χριστομάχοις διὰ φόβον ἤ τινα ἄλλην περιπέτειαν· ἐπὶ γὰρ τῇ ἀρνήσει αὐτοῦ ἐκοινώνησαν προδήλως ἠρνημένοις τὴν ἁγίαν αὐτοῦ εἰκόνα. ἡ γὰρ τῆς εἰκόνος ἄρνησις ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, ὡς βοᾷ ὁ βοῶν, καὶ οὐκ ἔστιν ἀλλοίως, κἂν τινες σμικρύνειν τὴν ἄρνησιν βούλοιντο. εἰ οὖν μὴ ὀρθοδοξοῦντες τὸ πρότερον μηδὲ μυηθέντες τὴν ἀλήθειαν ἐκ θείας προνοίας αὐγασθέντες τὸ ἀληθὲς μετεπήδησαν εἰς ἡμᾶς, ἄλλως εἶχεν· κἀκείνους οὐχ ὡς ἔτυχεν προσδεκτέον, εἰ μὴ διὰ πλείστων ὀρθοδόξων συμφωνήσεως, ὡς δεδήλωκεν ὁ θεῖος Βασίλειος πρὸς τοὺς / ἐν Μεσοποταμίᾳ ἐξ Αἰγύπτου περιωρισμένους, καθαπτόμενος αὐτῶν ἐν τῷ ἀφυλάκτως προσήκασθαι. ἢ ἀγνοεῖτε ὅ φησιν ὁ αὐτὸς πατὴρ ἐν ἑτέρᾳ ἐπιστολῇ; οὐκ οἶδα ἐπίσκοπον μηδὲ ἀριθμήσαιμι ἐν ἐπισκόποις τὸν ἐπὶ καταστροφῇ τῆς πίστεως ὑπὸ τῶν βεβήλων χειρῶν προαχθέντα εἰς προεδρίαν· οἷοί εἰσιν τανῦν, οὐ δι' ἄγνοιαν, ἀλλὰ διὰ φιλαρχίαν ἐπιπηδῶντες τοῖς θρόνοις, προέμενοι ἑκουσίως τὴν ἀλήθειαν καὶ ἀντιλαμβάνοντες τὴν τῆς ἀσεβείας προεδρίαν. εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα, φησὶν ὁ ἀπόστολος, ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; λέγω κἀγώ· εἰ καθ' ὑμᾶς μετὰ τὴν ἄρνησιν, ἤτοι κοινωνίαν τῶν χριστομάχων, εὐθὺς δεκτέοι καὶ ἀνεπιτίμητοι οἱ τοιοῦτοι, τί μάτην κινδυνεύω καθ' ἑκάστην ἡμέραν καὶ μὴ αὐτομολήσας πρὸς τοὺς ὑπεναντίους αὖθις διὰ μετανοίας ἀνεπιτιμήτως τοῖς ὀρθοδόξοις συνταχθείην; μὴ πλανᾶσθε, φθείρουσιν ἤθη χρηστὰ

69 Bas. spirit. 18,45 (PG 32,149 C) 75 Bas. ep. 265,3 (PG 32,989 A = III 131 Courtonne) 78 Bas. ep. 240,3 (PG 32,897 A sq. = III 64 Courtonne) 83 1 Cor. 15,32 86 1 Cor. 15,30 88 1 Cor. 15,33

61 πιστεύωμεν C 63 διαλύεσθαι C 73 τὸ ἀληθὲς C^{pc}: τἀληθὲς cett Sirm 74 εἶχε VMPS Sirm ἔτυχε VMPS Sirm 78 πατὴρ S^{sscr} 80 εἰσι VMPS Sirm τὰ νῦν CVP 81 προϊέμενοι M^{pc} 82 ἑκουσίως: ἀκουσίως P Sirm 83 ὁ ἀπόστολος in marg P: om VM 86 καθεκάστην CS 87 ἀνεπιτιμήτως post ὀρθοδόξοις transp VM Sirm

ὁμιλίαι κακαί. ἐκνήψατε ἐν Κυρίῳ. τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος, ἵνα ἐκ παραλλήλου τῶν χριστομάχων τὰ ἡμέτερα τηρεῖται; ὡς ὅτι, φησίν, αὐτοὶ τοὺς ἐξ ὀρθοδοξίας πρὸς αὐτοὺς χωροῦντας χαρᾷ ἀν-επιτιμήτως προσίενται (οὐά), δέον οὖν καὶ στεφανοῦν ἡμᾶς τοὺς ἀρνητὰς τοῦ Χριστοῦ καὶ σολυμνιάζειν ὡς ἐκεῖνοί τινας ἐκείνων. ἀδελφοί, δέομαι ὑμῶν, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τελειοῦσθε διὰ τῆς ἀληθοῦς ἐπιγνώσεως.

Περὶ τῶν ἔξω τῆς ἀδελφότητος ἡμῶν τίς εἰμι δοῦναι λόγον; εἰ δὲ καὶ ἀναγκάζοι τις, ἐπειδὴ ἡ ἀγάπη, πλήρωμα οὖσα νόμου, ἔχει καὶ τὴν πειθώ, τοῦτό φημι, ὃ καὶ ἐπὶ τῶν ἡμετέρων· ἡμεδαποὶ γὰρ κἀκεῖνοι. πρεσβύτερος εἴτε ὑπογράψας εἴτε κοινωνήσας φόβῳ, μὴ φέρων τὴν κάκωσιν, εἰργέσθω τῆς κοινωνίας· κατὰ Χριστοῦ γὰρ κοινωνήσας, πῶς δύναιτο ἂν Χριστῷ κοινωνεῖν; τῆς γὰρ ἐγκρατήσεως τῆς ἱερουργίας παρὰ συνοδικῆς ἐπισκέψεως ἡ λύσις. ὁ δόξας μετὰ τὴν ἧτταν ἀναπαλαῖσαι ἀποχωρείτω τοῦ ἐν ᾧ ἐκαθέζετο πρὶν τόπου· ἐπεὶ πῶς γνωσθήσεται αὐτῷ τε ἐκείνῳ ἡ ἄρνησις, ἣν ὑπέστη, καὶ ἄλλοις; οὐ χωρῶ ἐπιτρέψαι, ἐπὰν ἡ ἀναπάλαισις αὐτοῦ μάλιστα οὐκ ἐγένετο ἐπισήμῳ τινὶ δράματι, οἷον ἐπὶ τοῦ Λαοδικείας· οὐδὲ γὰρ ἐκείνῳ συμβουλεύσαιμι ἂν ἔγωγε ἱερουργεῖν ἢ μόνον κοινωνεῖν διὰ τὸ ἐπίσημον. οὕτως ἐπὶ τοῦ τυχόντος μονάζοντος, οὕτως ἐπὶ λαϊκοῦ· εἶρξις τῆς κοινωνίας μετὰ τῶν ἄλλων ἀξίων καρπῶν τῆς μετανοίας, ἀναμένειν τε τὸν καιρὸν τῆς ὀρθοδοξίας. πλὴν ἐπειδὴ ἐνδέχεται καὶ ὕφεσιν καὶ πρόσθεσιν γίνεσθαι παρὰ τοῦ ἐπιτιμῶντος, ἐπὶ τῆς κοινωνίας λέγω, ἐκτεινομένων τῶν χρόνων τῆς αἱρέσεως κατὰ τὰ ἀθεώρητα κρίματα τῆς δικαίας ὀργῆς τοῦ θεοῦ, ἔστιν καὶ πρὸ συνόδου λῦσαι ἐν Κυρίῳ, καθὼς ὑποπέπτωκεν τὸ πρόσωπον βαρύτερον ἢ ἐλαφρότερον καὶ καθ' ἣν πάλιν ὑποδείκνυσι μετάνοιαν· εἴς τε τοὺς ἡμετέρους καὶ τοὺς ἔξω συνεστιᾶσθαι αὐτοῖς οὐ κωλυτέον, / οὐχ ἵνα καὶ εὐλογῶσιν ἕως λύσεως.

---

89 2 Cor. 6,14   94 1 Cor. 14,20   97 Rom. 13,10   109 Matth. 3,8

90 ὡς ὅτι: cave legas ὅτι ὥς coll ep 186,41   91 ἐξ ὀρθοδοξίας: ὀρθοδόξους M   ἀνεπιτιμήτους V: ἀνεπιτιμήτῳ M   93 σολυμνιάζειν: σημείωσαι τὴν λέξιν in marg P   97 τίς omnes: correxi   99 πρεσβύτερος: hic inc fragmentum epist in T titulo ἐκ τῆς πρὸς ναυκράτιον ἐπιστολῆς τοῦ ἁγίου θεοδώρου τοῦ στουδίτου praecedente   101 δύναιτ' VMTPS Sirm   102 λύσις: hic desin fragmentum epist in T   103 ἀναπαλαίσαι C   ἀπὸ χωρείτω C   105 οὐ χωρῶ: οὐχ ὅρῳ C (sed cf ep 496,25)   106 ἐν ante ἐπισήμῳ add VPS Sirm   οἷον: hic inc fragmentum alterum in T   ἐπὶ: γὰρ T   109 εἴρξῃς T   ἀξίων om T   113 κρίματα om T   ἔστι VMTPS Sirm   114 λύσαι CMS   ὑποπέπτωκε VMTPS Sirm   116 αὐτοῖς C: αὐτοὺς cett Sirm   117 καὶ om V^{ac}MPS Sirm   δὲ post ἵνα add T

Τοσαῦτά μοι ὦπται περὶ τούτων ἐν φόβῳ θεοῦ καὶ ἀληθείᾳ. εἰ δέ τι ἐξ ὑμῶν ἢ ἀπ' ἄλλων καινότερον, διδαχθῶ· ὁμολογῶ γὰρ ὡς πολλὰ ἁμαρτάνων καὶ πολλὰ ἀγνοεῖν δέχομαι. ἄσπασαι τοὺς ἀδελφούς σου καὶ τέκνα μου, τὸν ἀββᾶν Πέτρον καὶ Ἰγνάτιον καὶ Τιθόιον, τοὺς ἐν Κυρίῳ ἐπιποθήτους μου καὶ συνεργούς· ἄσπασαι τοὺς ἐκ τῆς ἁγίας σου συνοδίας φιλητούς μου· ἄσπασαι τοὺς μυστηριοφύλακας, τὰ ἐμὰ ἠγαπημένα σπλάγχνα· ἄσπασαι τὴν κοπιῶσαν ἐν Κυρίῳ, ἧς ἀπέχω καὶ περισσεύω ἐν ἀγαθοῖς· ἄσπασαι πάντας τοὺς ἐν Χριστῷ ἀδελφούς, κἂν λαϊκοί, ἐξ ὧν Σέργιος ὁ εὐσεβὴς καὶ ἔγγυος. ἀσπάζονταί σε καὶ τοὺς ἄλλους οἱ σὺν ἐμοὶ ἀδελφοί. ὁ Κύριος Ἰησοῦς Χριστὸς μεθ' ὑμῶν, ἀδελφοὶ ἀειπόθητοι· μνημονεύετέ μου τῆς ταπεινώσεως.

226. Ἰγνατίῳ τέκνῳ

Ἀπὸ τῶν γραμμάτων σου θεωρῶν εἰμι τὴν καρδίαν σου, ὦ καλέ μου Ἰγνάτιε, καὶ χαίρω μὲν τῇ πεποιθήσει καὶ εἰλικρινεῖ ἀγάπῃ σου, λυποῦμαι δέ, ὅτι μὴ ἄξιος ὢν τοιούτους ἔχω τοὺς φιλοῦντάς με υἱοὺς ἐν Κυρίῳ, πάντα προαιρουμένους εἰς ἐμὲ τὸν δύστηνον, ὅτι, εἰ δυνατόν, καὶ τοὺς ὀφθαλμοὺς ἐξορύξαντες ἂν ἐδώκατέ μοι. τίς ὡς ἐγὼ ἐν μαθηταῖς δοξαστός, καὶ τίς ὁ ἐμοῦ ὑποδεέστερος διὰ τὰς ἁμαρτίας; οὐδείς.

Ἀλλ' εὔχου, τέκνον, καὶ ὑπερεύχου κατορθοῦντά με πορεύεσθαι, ἵνα ἐν ἐμοὶ μὴ ὄνειδος, ἀλλὰ καύχημα ἔχοιτε· κἀγὼ παρακαλῶ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑμᾶς τοὺς τῆς ἀδελφότητος ἀκρόμονας ἑδραίους εἶναι τανῦν, ἀμετακινήτους τῆς πίστεως, περισσεύοντας ἐν τῷ ἔργῳ Κυρίου πάντοτε, ἀφ' ὧν γίνοιτο εἰς τοὺς ὑφειμένους

118 ὦπται: ὦ παῖ VM: ὦ πάτερ T περὶ τούτων: τῶν T 120 ἁμαρτάνω M δέχομαι: hic desin fragmentum alterum epist in T 121 τὰ ante τέκνα add VPS Sirm Τιθόην VM Sirm 123 σου om VMPS Sirm 126 ἔγγυος scripsi, coll Hebr 7,22; Bas ep 45 (PG 32,368 B): ἔγγιος codd Sirm: ἅγιος coni Sirm 127 σὲ V ἡμῶν post Κύριος add VMPS Sirm 128 ἀειπόθητοι – ταπεινώσεως ante ὁ Κύριος transp VMPS Sirm

226. autumno a. 816?

5 Gal. 4,15 12 1 Cor. 15,58

C (S)

3 εἱλικρινεῖ S 9 εὔχου: ἔχου Mai 11 ἡμᾶς Mai ἀκραίμονας S (fort est ἀκρέμονας scribendum) 12 τὰ νῦν C Mai

εὐθύτης. εἴητε ἐξεμπλάρια τοῖς πᾶσιν ἀγαθοεργίας, κραταιότητος· βλέπετε τοὺς καταπίπτοντας ἐν ἀσεβείᾳ καὶ ἔμφοβοί ἐστε, μᾶλλον δὲ προσεκτικοί, θερμοκάρδιοι, διδακτικοὶ καὶ διεγερτικοὶ πρὸς τοὺς πλησίον, ἵνα καθ' ἑκάστην στεφανοῦσθε.

Τεθεράπευκάς με, τέκνον, ἐν ταῖς τετράσιν, ἀλλὰ πάλιν ἀνταπέσταλκα αὐτάς, ἵνα μοι συμπληρωθείσας ἀποστείλῃς. ἀσπάζονταί σε οἱ σὺν ἐμοὶ ἀδελφοί σου.

227. Μαρίᾳ αὐγούστῃ

Νῦν δοξάζειν ἔστι τὸν θεὸν ἐπὶ παντὶ ἀνθρώπῳ τῷ ἐνισταμένῳ ὑπὲρ ἀληθείας Χριστοῦ, καθότι οὐ προτιμᾶταί τι τῶν ἐπὶ γῆς οὐδὲ μέχρις οἰκείας σαρκὸς χάριν τῆς ἀμωμήτου πίστεως ἡμῶν τῶν χριστιανῶν· μάλιστα δὲ δοξάζειν ἔστιν, ὅτι σὺ ἡ δοκοῦσα διὰ τὴν βασιλικὴν ἀξίαν, προσθείην δ' ἂν καὶ διὰ τὴν γυναικείαν φύσιν καὶ ὅσα ἐξ ἀμφοῖν δυσχερῶς ἔχει, ὑποπτήσσειν καὶ προδιδεῖν τὴν εὐσέβειαν τοὐναντίον γενναίως ἔστης, στέφανον ὁμολογίας αἱρουμένη καὶ μηδενὶ τῶν ἐπιγείων ἔρωτι κρατουμένη. ὄντως βασιλικόν σου, δέσποινά μου, τὸ φρόνημα, ὑπερφερὲς τὸ / τῆς ψυχῆς ἀξίωμα· μακαρία εἶ τελειοῦσά σου τὸν ἀγῶνα. ἔδωκας σύσσημον ἐν τῇ γενεᾷ ταύτῃ ἀρετῆς σου θεοτιμήτου, αἰνετόν σου γέγονε τὸ ὄνομα ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. ἐφάνης μᾶλλον ἐν τῷ κόσμῳ βασιλεύουσα τῇ ἀρετῇ ἢ ὅτε διάδημα περιετίθετό σοι χρυσοκόλλητον. εὐλογημένη σὺ ἐν βασιλίσιν, ἄρτι κλέος μοναζουσῶν, ἄρτι φῶς ἐν κόσμῳ, ἐπεὶ καὶ πρότερον, ἀλλ' οὐ τοσοῦτον. στῆθι ἔτι, παρακαλῶ, μὴ πτοηθῇς, ἡ θεὸν ἐπίκουρον ἔχουσα, δι' ὃν πτοηθήσεταί σε ὁ δοκῶν πτοεῖν σε. ἠδίκησαι τὸ πρὶν ἀδικίαν ἀθεράπευτον παρὰ βασιλεῖ, τοῦ καὶ ὁμοζύγου, δι' ἣν καὶ τετάρακται πόσα καὶ πηλίκα ἡ ἐκκλησία τοῦ θεοῦ.

---

14 ἐξεμπλάρια: cf. Hausherr, L'imitation 247 sq.; Triandaphyllidis, Lehnwörter 19; Hahn, Romanismus 168 et adn. 7

15 Prov. 29,16

14 ἀγαθοεργείας C Mai 17 καθεκάστην codd: corr Mai 19 ἀπὸ στείλῃς C

227. a. 815–818 18 ὁμοζύγου: Constantinus VI

12 Dan. 3,26 14 Luc. 1,42 16 Luc. 21,9

C (S)

7 εὐσεβείαν S 18 βασιλέως S Mai

μὴ καὶ ἄρτι; τότε ἠδυνήθη· παρὰ γὰρ τοῦ κρατοῦντος ἴσχυσεν ὁ διάβολος. οὐ μὴν ἄρτι· παρὰ σοῦ γὰρ τὸ προαιρεῖσθαι τὰ κράτιστα. πιστὸς ὁ θεός, εἰς ὃν ἤλπισας δοῦναί σοι τῆς τελειώσεως τὸν στέφανον. μόνον παρακαλῶ ἔτι μικρὸν ὅσον ὅσον ἐνεγκεῖν σε τὰς προσβολάς, τὰς ἀπειλάς, ἃς ἡ στερρότης σου ὡς ἀφρὸν θαλάττιον διαλύσειεν ἐν Χριστῷ Ἰησοῦ τῷ δεσπότῃ καὶ νυμφίῳ σου.

Δέξαιό μου τὸ γράμμα ἐξ ἀγάπης πνευματικῆς καὶ ἀντιδοίης μοι τὴν ἱεράν σου προσευχήν.

228. Σπαθαρέᾳ

Ἐκ πολλῶν προακηκοὼς τῆς κατὰ θεόν σου πολιτείας τὰ ἐξαίρετα ἄρτι καὶ πείρᾳ ἔμαθον δι' ὧν ἀπέστειλας τῇ εὐτελείᾳ μου ὅτι ἔχεις σπέρματα εὐσεβείας ἐν τῇ καρδίᾳ σου, μεμνημένη τῶν διὰ Χριστὸν πασχόντων. ὅθεν, ὡς μανθάνω, καὶ φυλάττεις ἑαυτὴν ἀμέθεκτον τῆς τῶν αἱρετικῶν κοινωνίας. χάρις τῷ θεῷ ἐπὶ τῇ σεμνοπρεπείᾳ σου. τοῦ καλοῦ δὴ ἐκείνου ἀνθρώπου καὶ πᾶσιν ἐπιποθήτου σύμβιος ἡ κυρία μου· ἀγαθὸς ἀνήρ, γνώριμος ἡμῖν πάλαι. ὑμεῖς ἐξ ἀρχῆς καὶ φιλομόναχοι καὶ θεραπευταὶ τῶν ἐνδεῶν, ὥσπερ καὶ τανῦν· καὶ γὰρ ξενοδοχεῖσθαι πύθομαι παρὰ τῇ εὐλογημένῃ σου ἑστίᾳ καὶ Λιτόιον, τὸν ἡμέτερον υἱόν· τοὺς γὰρ ἄλλους αὐτὴ οἶσθα, οὓς καὶ περιέπεις.

Ἀγαθή σου ἡ ἐργασία, εὐλογημένη σου ἡ χηρεία· φυλαχθείης ἐν ἅπασιν εὐαρεστοῦσα Χριστῷ καὶ τὸν ὑπὲρ ἡμῶν μισθὸν ἀμει/βομένη ἐν τῇ αἰωνίᾳ ζωῇ, δέσποινά μου τιμιωτάτη.

23 cf. Is. 26,20 μικρὸν ὅσον ὅσον; Hebr. 10,37

21 σοῦ: σοὶ S **24** θαλάσσιον Mai

228. a. 815–818

C (S)

5 σεαυτὴν S 7 ἐκείνου post ἀνθρώπου transp S 8 ἐξαρχῆς codd: distinxit Mai
9 τὰ νῦν C Mai 10 Λητόϊον S Mai

229. Ὑπατίσσῃ

Ἀνέγνων τὴν ἐπιστολὴν τῆς τιμιότητός σου, καὶ ἐπὶ μὲν τῇ ὑγιείᾳ σου ἐδόξασα τὸν θεὸν ὁ ταπεινός· ὑγιείαν δὲ λέγω οὐ τὴν τοῦ σώματος τοσοῦτον (ἔστι γὰρ ὅτε τισὶ καὶ ἀλυσιτελὴς αὕτη, ὁπότε οὐ πρὸς ἀρετῆς ἐστιν ἐργασίαν), ἀλλὰ τὴν τῆς ψυχῆς· αὕτη γὰρ ἀεὶ εὐκταία. πόθεν γνωστόν; ὅτι φυλάττεις ἑαυτὴν σώαν τῆς κοινωνίας τῆς χριστομάχου αἱρέσεως φόβῳ θεοῦ καὶ πίστει ὀρθοδόξῳ· ἐν οἷς κἀγὼ χαίρω, τοιαύτης γυναικὸς θεόφρονος ἀλείπτης ὑπάρχων. ἐπὶ δὲ τῇ θλίψει σου συνελυπήθην οὐ μετρίως, συμφορᾷ ἐπὶ συμφορᾷ δοκιμαζομένης. εὔχομαι οὖν ὡς ἐλάχιστος διασκεδασθῆναι τὰ προσπεσόντα σοι λυπηρὰ ἐλέει θεοῦ καὶ εἰς τὰ τέκνα καὶ εἰς τοὺς δούλους· σὺ δὲ φέρε, ὦ γύναι σεβαστή, εὐχαρίστως τὰ θλιβερά, ὅτι ὃν ἀγαπᾷ Κύριος παιδεύει, ἐπειδὴ διὰ θλίψεών ἐστιν ἐπιτυχεῖν ζωῆς αἰωνίου, φειδοῖ δὲ (ὑπομνήσκω) ἐν τοῖς ὑπὸ χεῖρα· ἀνιέντες, ὥς φησιν ὁ ἀπόστολος, τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ Κύριός ἐστιν ἐν τοῖς οὐρανοῖς. οἶδα δὲ ὅτι φιλανθρώπως ἔχεις τὰ περὶ αὐτούς. καὶ μὴ βαρηθῇς ἐν τῇ ὑπομνήσει τῇ ἀγαπητικῇ. ἐν πᾶσιν οὖν ὁ Κύριός μου ἄθλιπτόν σε διατηρήσοι, εὐθηνουμένην ἐν τῇ τρίβῳ τῶν ἐντολῶν αὐτοῦ.

230. Μακαρίῳ ἡγουμένῳ

Καὶ πρὸ ἀναγνώσεως, ἀπ' αὐτοῦ μόνου τοῦ ἐπὶ χεῖρας δέξασθαί με τὴν τῆς μακαριότητός σου ἁγίαν ἐπιστολήν, παρεκλήθη μου ἡ ταπεινὴ ψυχή, θεοτίμητέ μου πάτερ· ἐπεὶ δὲ καὶ ἀνέγνων, ἀπελύθην πάσης ὑπονοίας ὑπολυπούσης μου τὴν ταπείνωσιν, μαθὼν τῆς βρα-

---

229. a. 815–818

13 Hebr. 12,6 Act. 14,22 14 Eph. 6,9

C (S)

3 ὑγίειαν S 6 σεαυτὴν S 14 ὑπομιμνήσκω S[pc] 16 ἔστιν S 17 βαριθῇς C: βαρυνθῇς Mai (cf tamen Luc 21,34) 18 διατηρήσει C Mai εὐθυνουμένην C[pc]S Mai: correxi

---

230. inter aestatem exeuntem ac autumnum a. 816

C (S)

δυγραφίας τὰς αἰτίας, καὶ ἐδόξασά μου τὸν ἀγαθὸν θεόν, εὑρηκὼς τὴν πνευματικὴν ἀγάπην τῆς θεοφιλίας σου διαμένουσαν εἰλικρινῆ πρὸς ἡμᾶς τοὺς εὐτελεῖς. ἀλλὰ καὶ διαμείνοιεν, ὦ εἰ/ρηνοποιητὰ τοῦ παντός, θεὲ καὶ Κύριε· ἴσθι γάρ, φιλοθεώτατε, γνησίως φιλεῖσθαί σε παρ' ἡμῶν καὶ ἀρραγῆ τὸν τῆς ἀγάπης σύνδεσμον ἡμᾶς διατηρεῖν, καθότι καὶ προήχθημεν τὸ πρότερον γράψαι πρὸς τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας ἐμβεβηκότι σοι, οὐχ ὡς τοῦ εὐτελοῦς ἡμῶν γράμματος ὀνήσασθαί τι δυναμένου ἢ ἀλείφειν ἐξισχύοντος (πόρρω γὰρ τῶν τοιούτων ἡμεῖς καὶ λόγῳ καὶ βίῳ παρερριμμένοι), ἀλλ' ὡς τοῦ καιροῦ καὶ τῆς ἀγάπης ἀπαιτούσης· οὗ χάριν καὶ τὸ πρὸς ἄλλους ἀδελφοὺς καὶ πατέρας ἐπιστέλλειν ἠναγκάσθημεν. εὖ δὲ καὶ πάνυ εἰκότως λέλεχέν σου ἡ τιμιότης τὸν καιρὸν ἐξαγοράζειν φειδοῖ τῶν διωκόντων καὶ τῶν μὴ τὰ ἀδελφὰ φρονησάντων· ὧν τίς οὐ στενάξειεν τὴν πτῶσιν, χαλεπὴν οὕτω οὖσαν καὶ ἐπιβλαβῆ πάσῃ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ; εἰ κἀκείνοις ἀλογευθεῖσιν οἰκονομίας δοκεῖ εἰργάσθαι τρόπος, ὢ τῆς κακῆς ἀρχῆς καὶ ῥίζης — οἶδας ὁ πατὴρ ὃν λέγω, ἐξ οὗ καὶ οἱ λοιποὶ ᾤχοντο τῇ δυσβουλίᾳ.

Ἀλλ' ὤ, πῶς ἀδακρυτὶ τὸν Φλουβουτῆς εἰς μνήμην ἐνέγκω; ἐπὶ μὲν γὰρ τῶν ἄλλων σύνηθες τὰ πραττόμενα καὶ οὐ τοσοῦτον ἐκπλήττοντα, εἰς δ' οὖν τὸν ἄνδρα ἐκεῖνον τί εἴπω, τί διανοηθῶ; ὤ, πῶς πέπτωκεν ὁ ἑωσφόρος; ὤ, πῶς κατηνέχθη ὁ οὐρανομήκης στῦλος; μικροῦ καὶ ἐξέστην τῇ ἀκοῇ καὶ ὡς πολλοῦ ἄπιστός μοι ἔδοξεν εἶναι, εἰ, ὃν ἐγὼ ἠπιστάμην ἐν πολλῇ πείρᾳ καί γε ἐν τῷ ἐξορίζεσθαί με ἐνταῦθα εἶδον καθ' ὁδοῦ καὶ ἔλαβον φωνὰς μαρτυρικάς, ἀναπείσαντα καὶ αὐτὸν τὸν Νικαίας μὴ συνελθεῖν εἰς κοινωνίαν, ὥς φησιν, ἢ ἀπορρῆξαι ἑαυτὸν ἐκείνου συνελθόντος, οὗτος κοινωνὸς τοῖς χριστομάχοις γέγονεν καί, τό γε ἐλεεινότερον, ὅτι καὶ ἀναλγήτως ἔχει, ὡς πυνθάνομαι, ἐπὶ τῇ ἀσεβείᾳ, μηδὲ ῥῆμα πρόεσθαι εὐχῆς συγχωρητικῆς πρὸς τοῦτο εἰς θεὸν βουλόμενος. οὐ θαυμάζεις, ὦ ἄνθρωπε τοῦ θεοῦ; οὐ πεπλήρωται τὸ προφητικόν, ὅτι ἱερεὺς καὶ προφήτης ἅμα ἐξέστησαν; τίς δῴη τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς βλεφάροις μου

21 ὃν λέγω: Josephum; cf. ep. 222,12 30 Νικαίας: Petrus

25 Is. 14,12 35 Is. 28,7 36 Jer. 8,23

7 εἰλικρινῆ S 17 λέλεχέ S 18 στενάξειε S 19 χαλεπὸν Mai οὕτως S θεοῦ om Mai 23 ὦ C Φλουβουτῆς: φλουβουτηνὸν Mai 25 ὦ C 26 ὦ C στύλος omnes: correxi 29 καθοδοῦ C: καθ' ὁδὸν S 31 ἀπορρήξαι C Mai 32 γέγονε S 33 προέσθαι S

πηγὴν δακρύων καὶ κλαύσομαι ἐπὶ τῷ τηλικούτῳ συντρίμματι; οἱ τίμιοι καὶ ἰσόχρυ/σοι ἐγενήθησαν ὡς ἀγγεῖα ὀστράκινα.

Ἀλλὰ τί τὰ ἄλλων κατοδύρομαι; εἰς ἐμαυτὸν ἐπιστρέψω τὸν θρῆνον. πῶς σωθῶ ἀπὸ τοῦ πονηροῦ; πῶς διαβιβάσοιμι τὸν ἐνεστῶτα ἀγῶνα ἀνίσχυρος ὤν, τῶν δυνατῶν ὀλισθησάντων; διὰ τοῦτο δέομαί σου τῆς ὁσιότητος, στῆθι κἂν αὐτὸς ὁ ἐκλεκτὸς τοῦ θεοῦ ἀκλινής, πάγιος, ἐρηρεισμένος ἐν τῇ ἀσαλεύτῳ πίστει Χριστοῦ, τῇ οἰκείᾳ στάσει στερεῶν καὶ βεβαιῶν σὺν πολλοῖς ἄλλοις, οἷς ἐστι πνεῦμα ζωτικόν, καὶ τὴν ἐμὴν χαυνότητα, φιλοῦσαν μὲν ὑπὲρ Χριστοῦ καὶ διὰ Χριστὸν παθεῖν πάντα, ἀναξιουμένην δὲ διὰ τὰ ἄμετρα ἁμαρτήματα. ἐρρωμένον σε καὶ ἰσχύοντα μετὰ θεοῦ κατὰ τῶν κατὰ θεοῦ ἡ μεγάλη χεὶρ τοῦ Κυρίου διαφυλάξειεν, τὸν ἐμὸν πατέρα καὶ δεσπότην.

231. Ἀθανασίῳ ἡγουμένῳ

Ἀδολεσχοῦντά με ἤδη ἐκ πολλοῦ χρόνου καὶ ποθοῦντα μαθεῖν τὰ τῆς ὁσιότητός σου, ἐπιστὰν τὸ θεοφιλές σου γράμμα, ὅσον εὔφρανεν καὶ ἥδυνεν τί χρὴ καὶ λέγειν; ἀπελύθην γὰρ τῆς μερίμνης καὶ ἐδόξασα τὸν ἀγαθὸν ἡμῶν θεόν, γνοὺς τὸ ὑγιές σου τῆς τε τοῦ σώματος ἕξεως καὶ τοῦ καταστήματος τῆς τιμίας σου ψυχῆς· οἵα γὰρ ἡ ἐπιστολή, ἀγάπης ἀδελφικῆς ἐπίμεστος, ἀνδρείας θεϊκῆς ἀνάπλεως, ζήλου διαπύρου κατάκαρπος, τῶν χαρισμάτων ὄντως τοῦ πνεύματος πεπληρωμένη, καὶ ταῦτα ἐν εἱρκτῇ ὄντος σου σιδηροδεσμίου. ὢ τῆς καλῆς σου ὁμολογίας, ὢ τῆς σταθηρᾶς σου καρδίας· ἐμαστιγώθης μετὰ Χριστοῦ, οὐχ ἅπαξ ἀλλὰ καὶ δίς, καὶ τετυμμένος ἐγεγήθεις καὶ τὴν ἐξορίαν εἵλου περιχαρῶς καὶ ὡς ἐντρυφήματα τὰ ὑπὲρ θεοῦ σοι

---

38 Is. 30,14 44 Sap. 15,11

37 πηγὰς Mai S 43 ἐρειρισμένος C Mai 47 τοῦ ante θεοῦ add S 48 διαφυλάξειε

---

231. inter aestatem exeuntem ac autumnum a. 816

9 1 Tim. 6,12

C (S)

3 εὔφρανε S 4 ἥδυνε S 7 ἀνδρίας S 9 εἰρκτῇ S ὦ C 10 ὦ C

βασανίσματα ἐγεγόνει. διὰ τοῦτό σε καλῶ πατέρα μου καὶ πατέρα πολλῶν, ἀθλητὴν εὐσεβείας, στῦλον καὶ ἑδραίωμα τῆς ἀληθείας καὶ ὁμολογουμένως ὁμολογητὴν Χριστοῦ, οὐχ ἕνα δίαυλον διανύσαντα ἐν τῷ δρόμῳ τῆς μαρτυρίας, εἶτα ἠτονηκότα καὶ εἰς τοὐπίσω τραπέντα, ὡς οἱ περὶ Ἰωσὴφ ὀλισθήσαντες (ἐν οἷς ἐκεῖνο ἂν λεχθείη εἰκότως· οὐδεὶς βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ στρα/φεὶς εἰς τὰ ὀπίσω εὔθετός ἐστιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· οἷς μεγάλη μὲν ἡ ἀνομία, μείζων δὲ ἡ αἰσχύνη ἐν μέσῳ τοῦ κόσμου μετὰ καὶ τῆς ἀρᾶς τῆς μυλιονίτιδος τοῦ σκανδάλου), ἀλλὰ πολλοὺς καὶ καλοὺς διαμείβοντα καὶ διαμείψοντα, εὖ οἶδ' ὅτι, εὐδοκίᾳ θεοῦ ἐπὶ τέλει τῶν στεφάνων.

Χαῖρε κράτιστε Ἀθανάσιε, τὸ μέγα παρὰ πᾶσιν καὶ σεβάσμιον ὄνομα, εἰκότως σοι ἐπιτεθὲν καὶ κατὰ φερωνυμίας λόγον· χαῖρε ὅρπηξ εὐστέλεχε Κυρίου, οὗ πρὸς σὲ ἡ ἀνάπαυσις. ἐν τίνι, φησί, κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. χαίροις ἐμοὶ προσφιλέστατε καὶ τεκνοπάτωρ, τὸ μὲν διὰ τὸν πόθον, τὸ δὲ διὰ τὸ ἀξίωμα, ὁ συνεργὸς καὶ σύναθλος, εἴπερ ἔνεστιν εἰς ψήφισμα κἀμὲ τὸν ἀχρεῖον λαμβάνεσθαι· διότι οὐδὲν ἀγαθὸν κέκτημαι οὐδὲ συνεισήνεγκα τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, εἰ δὲ καὶ ἔστιν, αὐτῷ ἡ χάρις, συνυπουργούντων καὶ ὑμῶν τῇ ὁμοτροπίᾳ διὰ τῆς ἀλληλουχίας, ἵνα, καθὼς γέγραπται, ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα εὐχαριστηθῇ ὑπὲρ ὑμῶν.

Αὕτη ἡ μικρά μου προσφώνησις τοῦ εὐτελοῦς. σὺ δέ, ὦ ἱερὰ κεφαλή, τῷ καλῷ σου θεμελίῳ ἐποικοδομῶν, τελείωσον σεαυτὸν οἶκον θεοῦ, μέχρις αἵματος ἑτοιμαζόμενος ἐν τῇ ὁμολογίᾳ Χριστοῦ, τὰ αὐτὰ κἀμοὶ ἀεὶ ὑπερευχόμενος, ὡς ἂν μὴ διὰ τὰς ἁμαρτίας ἀποσχισθείην τῆς ἱερᾶς ὑμῶν τριάδος μηδ' αὖ τῶν ἄλλων ἰσοκλεῶν ὑμῖν πατέρων· εἰσὶ γὰρ ἔτι οἱ μὴ κάμψαντες γόνυ τῇ Βαάλ.

---

14 1 Tim. 3,15 sq. **18** Luc. 9,62 **20** Matth. 18,6 **26** Ps. 118,9 **33** 2 Cor. 1,11 **36** Hebr. 3,6 **37** Hebr. 12,4 **40** 1 Reg. 19,18; cf. Rom. 11,4

13 διατοῦτο S **14** στύλον S Mai **18** εἰσταοπίσω S **24** πᾶσι S **25** σοὶ C **26** ὅρπηξ C **32** καὶ C^{sscr}: om Mai **34** ἡμῶν Mai (fort recte)

232. Φιλίππῳ μονάζοντι

Τὰ συμβεβηκότα σοι, τέκνον πνευματικόν, γνωστὰ ἡμῖν ἐγένετο· τί ταῦτα; ὅτι μετὰ τὸ ὁμολογῆσαί σε ἐνώπιον θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ἐν ὠσὶν τοῦ τε οἰκονόμου καὶ τῆς συμπαρούσης ἀδελφότητος τέκνον ἡμῶν εἶναι καὶ συναρίθμιον τοῖς ἄλλοις, ἔτυχεν κοιμηθέντος τοῦ κατὰ σάρκα σου πατρὸς ληφθῆναί σε εἰς προστασίαν τῶν ἐν τοῖς αὐτόθι ἀδελφῶν μεσιτείᾳ τοῦ ἀδελφοῦ Θεοδούλου / καὶ τέκνου ἡμῶν, ἀποσταλέντος αὐτοῦ παρά τε τοῦ οἰκονόμου, τοῦ τε ἀντιπροσώπου μου καὶ τῶν ὑπ' αὐτῷ ἀδελφῶν, εἰς αὐτὸ τοῦτο συνεργησάντων πάντων. καί γε ἐδεξάμεθα καὶ ἡμεῖς οἱ ταπεινοὶ τὴν ψῆφον, σφραγισάμενοι ἐν Πνεύματι Ἁγίῳ τὸ γεγονός, εἶναί σε ἡγούμενον τοῦ τῆδε μοναστηρίου ὡς ὑφ' ἡμῶν αὐτῶν προβληθέντα καὶ δοθέντα εἰς κεφαλὴν τοῦ σώματος τῆς αὐτῆς ἀδελφότητος, διὰ σοῦ προσειληφότες τοὺς ἅπαντας. χαίρομεν οὖν ἐν τούτοις καὶ ἔχομέν σε ἐν τοῖς αὐτόθι ἑπόμενον καὶ μαθητιοῦντα ἡμῖν, προηγούμενον δὲ τῶν λοιπῶν ἐν Κυρίῳ. βλέπε οὖν, τέκνον, πῶς μέλλεις βιοῦν, θεοπρεπῶς καὶ κεκανονισμένως, τῇ κατὰ τὴν ἀδελφότητα ἡμῶν μιμήσει, εὐθυνόμενος εἰς πᾶσαν ἐντολὴν θεοῦ. ἐπειδὴ δὲ τὸ ζητούμενον ἄρτι ἡ τῆς ὀρθοδοξίας φυλακή, φύλαξαι, τέκνον, τῆς τῶν αἱρετικῶν κοινωνίας παντάπασιν ἀπεχόμενος, ἕτοιμος εἶναι εἰς πᾶσαν θλῖψιν καὶ στενοχωρίαν ὑπὲρ Χριστοῦ, δι' ὃν καὶ ὁ πόλεμος πανταχοῦ τοῦ διωγμοῦ. στῆθι κραταιῶς πρὸς τὰς προσβολὰς τῶν ὑπεναντίων τῆς πίστεως, μὴ πτοηθῇς, μὴ προδῷς τὸν Χριστὸν προδιδοὺς τὴν ἀλήθειαν· ἐὰν δεῖ διωχθῆναι, χαίρων διώχθητι, καλὸν τὸ συμφυγαδευθῆναι Χριστῷ· ἐὰν ἀπαιτοίη καὶ ἄλλο τι ὁ καιρός, δὸς τὸ σῶμά σου εἰς μάστιγας, τὸ αἷμα εἰς μαρτύριον Χριστοῦ, συνδιεγείρων ἐν τούτῳ καὶ τοὺς ὑπὸ χεῖρά σου τὰ αὐτὰ παθεῖν, διδάσκων, νουθετῶν, παρακαλῶν, ἀλείφων, ὁπλίζων ὡς καλὸς πρωτοστρατιώτης Χριστοῦ. ἄρεσον τῷ στρατολογήσαντί σε θεῷ εἰς τὴν καλὴν στρατείαν ταύτην,

---

232. a. 815 – 818 20 θλῖψιν καὶ στενοχωρίαν: cf. adn. ad ep. 92,9

13 Col. 1,18 20 Rom. 2,9 28 2 Tim. 2,3

C (S)

4 ὠσὶν: ὠσὶ S: ᾧ σὺν Mai 5 ἔτυχε S 15 μαθητιῶντα coni Kambylis coll ep 294,5

μὴ συνδεόμενος τῇ ἐπιθυμίᾳ τῶν γηίνων, ὅτι πάντα παρερχόμενα καὶ ξένα ἡμῶν, διότι πάροικοι πάντες καὶ παρεπίδημοι. ποῦ ὁ ἐνεγκών σε εἰς φῶς; οὐ παρῆλθεν; οὐ πάντα εἴασεν, ἓν μόνον ἀράμενος, τὸ φορτίον τῶν ἔργων, εἴτε καλὸν εἴτε ἄλλως;

Ἐὰν οὕτω εὐθυνθῇς πολιτεύσασθαι, ἰδοὺ μετὰ σοῦ τὸ πνεῦμα τῆς ταπεινώσεώς μου. ὁμολογῶ σε μέλος μου εἶναι τίμιον, τέκνον γνήσιον ἐν μερίδι τῆς ἡμετέρας ἀδελφότητος, οἰκειότερον δὲ εἰπεῖν ἐν κλήρῳ ἁγίων. εἴληφας τὸ ποίμνιον Χριστοῦ, ἀγρύπνησον, ποίμανον, κο/πίασον ὡς Ἰακὼβ τῷ παγετῷ τῆς νοητῆς νυκτὸς καὶ τῷ καύσωνι τῆς ἡμέρας, τὸ ἠσθενηκὸς ἐνισχύων, τὸ πλανώμενον ἐπιστρέφων, τὸ συντετριμμένον καταδεσμῶν, τοὺς νοητοὺς θῆρας εὐχαῖς ἀποσοβῶν, σεαυτὸν περὶ πάντα παρεχόμενος τύπον καλῶν ἔργων, ἵνα βασιλείας οὐρανῶν διὰ τῆς εὐαρέστου ποιμνιαρχίας ἄξιος ἔσῃ, προσευχόμενος ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὡς διδάσκειν ἐπιστεύθημεν ὑπὸ θεοῦ καὶ πράττοντες πορευώμεθα. ἔρρωσο, ἄνερ.

233. Κωνσταντίνῳ κουράτορι

Ἀκοὴ ἀγαθὴ τῆς τιμιότητός σου ἐλθοῦσα ἐν ὠσί μου ἔπεισέν με ἐπιστεῖλαί σοι, ἄνερ ἀγαθέ. τίς δὲ αὕτη; ὅτι μετὰ τῆς ἄλλης σου ἀρετῆς, ἧς ἔσχες ἀπὸ χάριτος θεοῦ, ἔτι ἔχεσαι ἀκακίας, φυλάττων τὴν ὀρθόδοξον πίστιν ὡς θησαυρὸν ἐν τῷ ταμιείῳ τῆς τιμίας σου ψυχῆς καὶ ἀφιστάμενος τῆς κοινωνίας τῶν αἱρετικῶν. χάριν πολλὴν ἔσχον ἐν τούτῳ τῷ θεῷ μου, ὅτι λαϊκοὶ ἴσα μονάζουσιν ἀγωνίζονται εὐαρεστεῖν Κυρίῳ, φεύγοντες τὸν βόθρον τῆς αἱρέσεως· βόθρος γάρ ἐστιν ὡς ἀληθῶς, ἀδελφέ, καὶ παγὶς διαβόλου, καὶ ἡ κοινωνία αὐτῶν διίστησι τοῦ Χριστοῦ τὸν ἁλῶντα καὶ μακρὰν τῆς ποίμνης Κυρίου ἀποφέρει. ὡς γὰρ τὸ φῶς ἀπὸ τοῦ σκότους κεχώρισται, οὕτως καὶ ἡ ὀρθόδοξος μετάληψις τῆς αἱρετικῆς κοινωνίας· ἡ μὲν γὰρ φωτίζει,

31 Ps. 38,13 38 Gen. 31,40

30 παρεχόμενα Mai 39 ἐνισχύον S 40 θήρας C Mai 41 ἀπὸ σοβῶν C σὲ αὐτὸν C 44 πορευόμεθα C

233. a. 815 – 818

9 1 Tim. 3,7 11 2 Cor. 6,14

C (S)

3 ἐπὶ στεῖλαι C 7 ἶσα S 11 ἀπὸ φέρει C οὕτω S

ἡ δὲ σκοτίζει, καὶ ἡ μὲν ἑνοῖ τῷ Χριστῷ, ἡ δὲ τῷ διαβόλῳ, καὶ ἡ μὲν ζωοποιεῖ τὴν ψυχήν, ἡ δὲ θανατοῖ.

Καλῶς οὖν ποιεῖς, ἐπὶ τὴν πηγὴν τῆς ζωῆς τρέχων καὶ οὐκ ἀρυόμενος τοῦ θανασίμου ποτηρίου τῆς ἀσεβείας, ἧς τὸ τέλος ὄλεθρος αἰώνιος. μακαρίζω σε πάνυ· ἀλλὰ βλέπε ἵνα καθὼς ἐνήρξω καὶ τελειώσῃς ἐν τῇ δυνάμει Χριστοῦ, τοῦ ἔχοντός σε προσλαβέσθαι εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν διὰ τοῦ ἀγαθοῦ τέλους. προσεύχου περὶ ἡμῶν τῶν ἁμαρτωλῶν, ἀδελφὲ ὁμόπιστε.

234. Σισόῃ ἐπισκόπῳ

Ἤινεσα τὸν θεὸν ἡμῶν τὸν ἀγαθόν, ἐντυχὼν τοῖς γράμμασι τῆς ἁγιωσύνης σου, ἠγαπημένον μου τέκνον καὶ ἀδελφὲ καὶ πατήρ, / ὅτι καὶ ταπείνωσίς σοι πρόσεστι καὶ πίστις κραταιὰ καὶ προθυμία ζέουσα καὶ εὐψυχία ὑπομονῆς καὶ σοφία λόγου, ᾗ οὐκ ἠδυνήθη ὑπαντῆσαι ὁ υἱὸς τῆς ἀπωλείας καὶ μυωξὸς τῆς ἀλογίας· καὶ χάρις θεῷ τῷ εὐθύβολον δόντι σοι στόμα καὶ γλῶσσαν διατέμνουσαν αἱρετικὴν γλωσσαλγίαν.

Νῦν οὖν, υἱέ μου γνήσιε καὶ πατὴρ πολυπόθητε, ἔτι ἀγώνων ἔπαθλα, ἐπείπερ ἔμαθον ὅτι μετέστης εἰς τὸ κολαστήριον. στῆθι, παρακαλῶ, ἄνδρισαι, δέομαι, ἀρίστευσον, ἀντιβολῶ, δεῖξον ἔργα δυνάμεως θεοῦ ἐν τῇ ἀσθενεῖ ταύτῃ σαρκί, πρὸ τῶν ποδῶν σου ἱκετεύω· ἀπείποι ὁ κολάζων τῶν ἄλλων, τοῖς σοῖς ἡττηθεὶς ἀγωνίσμασιν. ἐν ἐπισκόποις, φῶς μου, λάμψον, ἐν μονάζουσι, ζωή μου, κορυφώθητι, ἐν ὁμολογηταῖς, σπλάγχνον μου ὁμοῦ καὶ κορυφή, στεφανώθητι· αἰνεσάτωσαν ἐπὶ σοὶ ὁ οὐρανὸς καὶ ἡ γῆ, δοξασάτωσαν ἱερεῖς καὶ ἱεράρχαι ὁμοῦ τε καὶ μονασταί, τῶν ἑαυτῶν ἕκαστος εἰσποιούμενος εἰς ἐγκαλλώπισμα διὰ τοῦ οἰκείου ἀξιώματος. ἔστω, ταλαιπωροῦμεν, λιμώττομεν, ἐκλείπομεν δίψει, ἀπορούμεθα, ἐξαπο-

---

15 Jer. 2,13 18 Matth. 10,22

18 πρὸς λαβέσθαι C

---

234. a. 815–818

6 Joh. 17,12

C (S)

1 σισοΐ C: Σισοΐ Mai 9 πάτερ Mai 19 ἀπὸ ρούμεθα C ἐξαπορούμεθα om Mai

ρούμεθα, προσθείην, μαστιγούμεθα· ἐπὶ ξύλου ὁ ποῦς, ἐπὶ δεσμοῦ ὁ τράχηλος, μάχαιρα, τὸ τελευταῖον, πῦρ. τί πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν; τί πρὸς τὰ ἐν ἐπαγγελίαις ἀγαθά; καὶ ὅτι οὐκ ἔστι διὰ Χριστὸν πάσχοντα μὴ Χριστὸν ἔχειν ἐπικουροῦντα καὶ τοσοῦτον παραχωροῦντα πειρασθῆναι, ὁπόσον καὶ οἷόν τε ἐνεγκεῖν ἡμᾶς· μὴ γὰρ ἄλλος ἐστὶν ὁ θανατῶν καὶ ζωογονῶν; μὴ δὴ οὖν, ἀδελφέ, ἀτονήσωμεν, ἀκούοντες τοῦ λέγοντος, πέπεισμαι ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ.

Οὕτως ἐλπίζω τὰ περὶ σοῦ, οὕτω καὶ αὐτὸς προσεύχου τὰ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ἐῶν οὓς ἀναξίως προσάπτεις μοι ἐπαίνους· εἰμὶ γὰρ ἐλαχιστότερος πάντων ἀνθρώπων.

235. Βησσαρίωνι τέκνῳ

Ἡδέως ἀνέγνων σου τὴν ἐπιστολήν, τέκνον μου, ἐν τῷ εὑρεῖν με τὴν ὑγίειάν σου καὶ / προθυμίαν, τὴν ὑπομονὴν καὶ παράκλησιν· μακάριος εἶ, τέκνον μου Βησσαρίων, ὅτι διὰ Χριστὸν πάσχεις, φυλακὴν κατακριθεὶς παρὰ τῶν ἀσεβούντων, ἥτις ἐστὶ δόξα σοι καὶ στέφανος· τί οἴει πανθάνειν τοὺς Κρῆτας, ἀκούοντας ὅτι ὁμολογητὴς Χριστοῦ εἶ; εὐκλέησας καὶ τὸ γένος καὶ τὴν πατρίδα σου κἀμὲ τὸν ἀνάξιον, καὶ μέντοι τοὺς ἀδελφούς σου. ὀξύνου εἰς γνῶσιν θεοῦ, ἐπιστόμιζε τοὺς προσβάλλοντάς σοι αἱρετικούς, ὅτι Χριστὸς ἡ Χριστοῦ εἰκὼν τῇ κλήσει οὐ τῇ φύσει, ἐν ᾗ τιμᾶται (ὡς καὶ τοὐναντίον), οὕτως τῆς Θεοτόκου, οὕτως ἑκάστου ἁγίων. ἐν τῇ ὑπομονῇ σου κτῆσαι τὸν μισθόν σου, μνημονεύων κἀμοῦ τοῦ ἁμαρτωλοῦ, ἵνα διασῴζωμαι ἐν πᾶσιν.

---

26 Rom. 8,38 sq.

20 ὁ ποῦς: ὅπους S 21 μαχαίρα C Mai 22 οὐκ ἔστι: οὐκέτι Mai 27 οὔτε δυνάμεις om Mai 29 χωρῆσαι C 31 πρὸς άπτεις C

---

235. altero semestri spatio a. 816 6 Κρῆτας: cf. adn. ad ep. 181,18

11 Luc. 21,19

C (S)

1 βισαρίωνι CS[ac] 4 βισαρίων C: Βησαρίων S Mai: correxi 5 ἔστι C Mai 6 Κρήτας C Mai 7 τὴν om Mai 10 καὶ om Mai 11 an ⟨τῶν⟩ ἁγίων scribendum?

236. Ὑπατίῳ τέκνῳ

Ἠρέσθην ἐν τοῖς γράμμασί σου, τέκνον μου, ὅτι ἐκεῖνα στέργεις καὶ ἀγαπᾷς, οἷα καὶ ὅσα φιλῶ ἐν Κυρίῳ, ὥστε ἀποδέξασθαί με καὶ τὴν προτέραν σου πρόθεσιν καὶ τὴν ὑστεραίαν ταπείνωσιν. ἔσο τοίνυν, τέκνον, εὐαρεστῶν τῷ θεῷ μετὰ τοῦ ἀδελφοῦ Λουκιανοῦ· οὐδὲ γὰρ εὐαγὲς οὔτε ἀπρόσκοπον διῃρημένους ὑμᾶς εἶναι, οὐ μόνον ἀδελφοὺς ὄντας, ἀλλὰ καὶ ἀπ' ἐμοῦ τοῦ ταπεινοῦ χωρισθέντας. οὐκ ἀρκεῖ μοι τοῦτο, ἀλλὰ καὶ μετὰ χώρισιν πάλιν χώρισις; φεῦ τοῦ κακοῦ· μή, παρακαλῶ. εἰ καὶ παρὰ διαβόλου, βασκαίνοντος τὴν ὁμόνοιαν καὶ διὰ τοῦτο ἢ ἀπεχθείας ἢ σχέσεις παραρτύοντος, ὡς ἐξ ἀμφοτέρων τὸν χωρισμὸν ἐργάσασθαι, ἀλλ' ἡμεῖς γε, τὰ νοήματα αὐτοῦ μὴ ἀγνοοῦντες, βιαζοίμεθα τὴν φύσιν καὶ ἕλκωμεν διὰ ταπεινώσεως τὸν ἔλεον τοῦ θεοῦ πρὸς τὸ μὴ διίστασθαι ἡμᾶς· εἴη γὰρ ὁ Χριστὸς οὕτω μεθ' ὑμῶν. τίς Πέτρου καὶ Ἰωάννου μείζων ἐν ἀποστόλοις; ἀλλὰ καὶ Πέτρος παραχωρεῖται ὑπὸ Ἰωάννου δημηγορεῖν, παίει καὶ Πέτρος, Παύλου λαλοῦντος· οὐ γὰρ ὅπως τὸ πρωτεῖόν τις ἁρπάσοι, ἀλλ' ὡς ἂν τὸ χρειῶδες γίνοιτο καὶ τὸ τακτικὸν αὐτοῖς ἐσκοπεῖτο.

Οὕτω καὶ αὐτοὶ μιμηταὶ εἴητε τῶν ἁγίων. χαίρω ὅτι διὰ σοῦ προέρχεται λόγος εἰς τοὺς ζητοῦντας, ἀλλὰ μετὰ συμβουλίας. ἀλλὰ μὴ εἰς ὄψεις γυναικείας ἐκτὸς / ἀνάγκης ἔρχεσθε, μή που πλήξωμεν ἢ πληγῶμεν ὡς ἔτι ἰάσασθαι προαιρούμεθα ἄλλους, καὶ τὰς προσόδους ἐξ ἀναγκαίου· τὸ φιλογύρευτον ἄκαρπον καὶ διαλυτικὸν ψυχῆς. ταῦτα γινώσκων φύλασσέ μοι ἑαυτὸν σῶον.

236. altero semestri spatio a. 816

15 Act. 3,11 sq.

C (S)

22 ἰάσασθε Mai προσόδους: προόδους S 24 φύλασσαί C Mai

237. Βασσιανῷ τέκνῳ

Ἐπισκέπτομαί σε καὶ αὖθις διὰ τοῦ γράμματος, τέκνον μου Βασσιανέ, καὶ χαιρετίζω σε ἐν Κυρίῳ. ζῆθι, γήθου, εὐφραίνου, ὅτι ἠξίωσαι διὰ Χριστὸν ἐν φυλακῇ εἶναι, ἐν μονώσει, ἐν θλίψει, ἐν στενοχωρίᾳ· ἀνατελεῖ σοι μικρὸν ὕστερον χαρὰ ἀνεκλάλητος ἐπὶ τέλει τῶν ἀγώνων. διό, τέκνον, στέρξον, καρτέρησον ἐν Κυρίῳ, τὰς αἰωνίους ἀμοιβὰς ἀναλογιζόμενος, ὅτε σκιρτήσεις αἰώνια· βλέπε ὅτι ὁ διάβολος παντί ἐστιν ἐφεδρεύων, ζητῶν τὴν ἀπώλειαν ἡμῶν, ἵνα συμποδίσῃ, ἵνα σκοτώσῃ τὸν νοῦν. μὴ δῷς αὐτῷ χώραν· γρηγόρει καὶ ἐν τῇ φυλακῇ, ὅτι καὶ μᾶλλον ὧδε ἀγριώτερος καθίσταται ἡμῖν, μεμονωμένοις οὖσι καὶ οὐκ ἔχουσιν ὑπό τινων περιέλκεσθαι ὧδε κἀκεῖσε. σὺ οὖν χρῶ ἐργοχείρῳ, ἀναγνώσει, στιχολογίᾳ, προσευχῇ, ἐννοίαις οὐρανίοις, ἵνα μὴ ἀργὸν καὶ ἄπρακτον εὑρίσκων σε βάλλοι· ἀλλὰ καὶ ὁσάκις τιτρώσκει, τοσαυτάκις ἀνταναιρείσθω φόβῳ θεοῦ καὶ μηδαμῶς κάτω ἡμᾶς ἐχέτω. μέγα τὸ σωθῆναι, μεγάλων καὶ ἀγώνων χρεία. συγχωρηθείη σοι τὰ ἕως τοῦ παρόντος· νῦν ἠρξάμην, εἰπὲ καὶ αὐτός, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Μνημόνευε τῆς ταπεινώσεώς μου. προσαγορεύουσίν σε οἱ σὺν ἐμοὶ ἀδελφοί σου. ὁ Κύριος μετὰ σοῦ.

238. Εὐοδίῳ καὶ Ἰωάννῃ τέκνοις

Καὶ νῦν δεξάμενος τὴν ἐπιστολήν σου, τέκνον μου ἠγαπημένον, ἀπεδεξάμην, ἐπιγνοὺς τὴν ἀληθινὴν πίστιν σου καὶ ἀγάπην, οὐ μὴν ἀλλὰ καὶ εὐγενῆ καὶ ἱεράν σου πρόθεσιν, ἣν ἔχεις ὑπὲρ ἀληθείας θεοῦ, ἕτοιμος ὢν πάντα παθεῖν ὑπὲρ αὐτοῦ. εὐλογητὸς Κύριος ὁ οὕτως ἑτοιμάσας καὶ παρασκευάσας σε· τοῦτό με μάλα εὔφρανεν,

---

237. altero semestri spatio a. 816 12 στιχολογίᾳ: cf. Leroy, Vie quotidienne 44 sq. et adn. 7

5 1 Petr. 1,8 sq. 16 Ps. 76,11

C (S)

1 Βασιανῷ omnes: correxi 13 οὐρανίαις Mai βάλλῃ S 18 μνημονεύετε Mai προσαγορεύουσί S Mai

---

238. a. 817

C (S)

3 ἐπὶ γνοὺς C 6 σε om Mai εὔφρανε S

τοῦτό με εἰς φίλτρον σου περισσότερον ἤγαγεν, εἶτα κἀμὲ ἐστερέωσεν· ὑμῶν γὰρ σπενδομένων διὰ Χριστὸν ἐγὼ ἐστερέωμαι / ὁ ταπεινός. ἐν τῇ τοιαύτῃ οὖν διαθέσει συντηρήσειεν ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον (κοινῶς λέγω διὰ τὸ μαθεῖν με σὺν σοὶ εἶναι καὶ τὸν ἀδελφὸν Ἰωάννην, τὸ ἐξ ἴσου ἠγαπημένον μου τέκνον)· τοῦτο γάρ ἐστιν ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν, ἡ τοιαύτη, λέγω, παρασκευὴ καὶ ἑτοιμασία.

Ἀλλὰ προσεύχεσθε, παρακαλῶ, καὶ ὑπὲρ ἐμοῦ τοῦ ταπεινοῦ τελειῶσαί με ἐν Κυρίῳ τὸν προκείμενον ἡμῖν ἀγῶνα, οὐ μόνον τὸν ὁρώμενον, ἀλλὰ καὶ τὸν νοούμενον. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοὶ ὑμῶν· ἡ χάρις μεθ' ὑμῶν. ἀμήν.

239. Δωροθέῳ τέκνῳ

Καὶ πάλιν κατάρχω τοῦ γράφειν σοι, τέκνον μου ἠγαπημένον· ἣν γὰρ ἐδεξάμην ἐπιστολήν σου, ἀπόδοσις ἦν προτέρων μου γραμμάτων. πῶς οὖν ἔχεις ἐρωτῶ, πῶς διαβιβάζεις σου τὰς ἡμέρας. καλῶς, οἶδ' ὅτι (λέγω δὲ κατὰ θεόν· τί γὰρ ἡδύτερον τοῦ ὑπὲρ ἀληθείας πάσχειν;), πρὸς δὲ τὸ σῶμα καὶ λίαν θλιπτικῶς, φυλακῆς οὔσης καὶ ταύτης κακίστης, ἔπειτα καὶ τοῦ διδομένου σοι ἄρτου δυσβρώτου ὄντος, καθὼς ἀπηγγέλη μοι. ἀλλὰ τί πρὸς τὸν κατέχοντά σε ἀτεράμονα καὶ στρατοφύλακα, ἀλλ' οὐ μονάζοντα, πολλοῦ γε εἰπεῖν ἡγούμενον; ἤνεγκεν δὲ ὅμως ὁ καιρὸς ἵνα φανῶσιν οἱ τοῦ θεοῦ καὶ τὰ ζιζάνια ἐξ ἐναντίας. ἐπὶ τῆς μοιχοσυνόδου προεφασίζοντο προφάσεις ἐν ἁμαρτίαις· ἀπηλέγχθησαν τανῦν ὅτι κἀκεῖνα ἀσεβοῦντες ἐποίουν.

Ἐκεῖνοι μὲν οὕτως. σὺ δέ, ὦ τέκνον μου ἠγαπημένον, ὡς τὰ πάλαι διὰ Χριστὸν οὕτω τε καὶ τανῦν πάσχεις, φρουρὰν οἰκῶν δι' αὐτόν,

---

12 Ps. 43,23 17 2 Tim. 4,22

9 τῇ S^{sscr} 11 ἐξίσου S 14 προσεύχεσθαι C

---

239. altero semestri spatio a. 816

11 Ps. 140,4

C (S)

4 διαβιβάζοις C Mai 8 ἀτεράμωνα C 10 ἤνεγκε S 11 ἐξεναντίας codd: distinxit Mai 12 τὰ νῦν C Mai 14 τὰ νῦν C Mai

μόνος ὢν ἐν αὐτῇ, ἀλλ' οὐ μόνος· ὁ Χριστὸς γὰρ μετὰ σοῦ καὶ ὁ φύλαξ τῆς ζωῆς σου ἄγγελος. ὑπομείνωμεν, παρακαλῶ, τὸν τῆς ὑπομονῆς τοὺς στεφάνους ἡμῖν ἑτοιμάζοντα· εἰ καὶ πνιγόμεθα τῇ ὀλιγωρίᾳ, ἀλλὰ γλυκανθῶμεν τῇ ἐλπίδι· εἰ καὶ στενούμεθα ταῖς χρείαις, ἀλλ' εὐψυχῶμεν τῇ ἀποκαραδοκίᾳ. τί γάρ; οὐ δυνατὸς ὁ Κύριος ὀμβρίσαι ἀορασίᾳ ἄρτους, πᾶν εἴ τι ἐδώδιμον ἄλλο; ἀλλὰ ἀναμένει τὴν ὑπομονὴν ἡμῶν, ἵνα στεφανώσῃ, ὅπως δοξάσῃ καὶ εὐφράνῃ εἰς αἰῶνας. ναί, τέκνον, δέομαι, φέρε γενναίως, ἡμέ/ραν ἐξ ἡμέρας διαβιβάζων καὶ μὴ μακροτονίᾳ χρόνου ἀκηδίαν ἐμποιῶν ἐν τῇ ψυχῇ σου. ἰδοὺ ὡς ὄναρ ὁ κόσμος οὗτος· πάντα παρελεύσονται, ὁ δὲ ποιῶν τὸ θέλημα Κυρίου ζήσεται ἀιδίως καὶ οὐκ ἀποθανεῖται. τούτοις τοῖς ἐνθυμήμασι νεαροποιῶν ἀεὶ τὴν ψυχήν σου, χαῖρε, ὅτι πολὺς ὁ μισθός σου ἐν τοῖς οὐρανοῖς.

240. Δωροθέῳ τέκνῳ ἑτέρῳ

Καλὲ Δωρόθεε, χαῖρε· εἴη σοι χάρις, ἔλεος ἀπὸ θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ ἐνισχύσαντός σε ὑπὲρ αὐτοῦ ἐκδοῦναι ἑαυτὸν εἰς μάστιγας καὶ πληγάς, εἰς φυλακὴν καὶ ἐξορίαν. πόθεν σοι τὸ ἀγαθὸν τοῦτο; ἐξ ἀφανῶν ἐμφανὴς ἐγένου, ἐξ ἀδόξων ἔνδοξος, ἐξ ὑστερήσεως τῶν ἐν Κυρίῳ ἀδελφῶν σου μέγας καὶ τίμιος. βλέπεις πῶς σοι διαλέγομαι ὁ ταπεινός; πολλοὶ τῶν προαγόντων σε ἐπιθυμοῦσι συλλαβήν μου δέξασθαι, σοὶ δὲ μετ' ἐγκωμίων τὸ γράμμα· οὕτως γὰρ ὁ θεὸς δοξάζει τοὺς δοξάζοντας αὐτόν. αἴνει τὸν θεόν, εὐχαρίστει, ὅτι ἐποίησέν σοι μεγάλα καὶ θαυμαστά, ὁμολογητὴν αὐτοῦ ὀνομάζεσθαι νῦν ἐν τοῖς χριστιανοῖς. πολλοὺς ἀπέκρυψας ἐπισκόπους, πολλοὺς ἡγουμένους, πολλοὺς ἐρημίτας, ἐκλάμπων ἐν τῇ ἐκκλησίᾳ· βλέπε τὴν κλῆσίν σου, βλέπε τὴν δόξαν σου. μὴ

---

18 Rom. 8,19   22 2 Petr. 2,8   23 Ps. 118,28   26 Matth. 5,12

19 ἀλλὰ C^{ac}S   21 δοξάσει C   25 τοῦ post θέλημα add S   26 ἐνθυμήμασιν Mai

240. altero semestri spatio a. 816

9 Jb 42,3   13 1 Cor. 1,26

C (S)

10 ἐποίησέ S

ἀπονυστάξῃς, μὴ ἀποπέσῃς, μέχρι θανάτου ἀγώνισαι ἐν ὑπομονῇ· ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος, φησί, σωθήσεται. φυλακῇ πάσῃ τήρει ἑαυτὸν μὴ παραρρυῆναι ἐν πάθει τινὶ ἀτιμίας· καὶ τοῦτο γὰρ μαρτύριον μέγα, τὸ τηρεῖν τὸ συνειδὸς καθαρὸν ἀπὸ ἁμαρτίας. καθάριζε αὐτὸ ἀεὶ διὰ μετανοίας, διὰ δακρύων, διὰ προσευχῶν, δεόμενος καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὅπως ὦ σεσωσμένος ἀπὸ παντὸς ἔργου πονηροῦ.

Ἀσπάζονταί σε οἱ σὺν ἐμοὶ ἀδελφοί σου πλεῖστα. ὁ θεός σε, τέκνον μου ἠγαπημένον, περὶ πάντα διαφυλάξειεν ἀβλαβῆ καὶ ἀπήμονα, πληροῦντα τὸν προκείμενόν σοι ἀγῶνα ἐν Κυρίῳ. ἀμήν.

241. Τίτῳ καὶ Φίλωνι τέκνοις

Ὦ καλὲ Τῖτε καὶ ὦ καλέ μου Φίλων, τί τὸ ξένον θέαμα, ὅτι ἐκ τῶν πολλῶν ἀδελ/φῶν ὑμῶν ὑμεῖς ἐξελέχθητε παρὰ θεῷ ὁμολογεῖν αὐτῷ καὶ διὰ τοῦτο εἶναι ἐν φυλακῇ; πάντως ὅτι πολὺ ἠγαπήσατε, πάντως ὅτι ἀληθῶς ἐπιστεύσατε. εὐλογῶ οὖν τὸν θεόν μου καὶ Κύριον, τὸν μεγαλεῖα ποιήσαντα ἐν ὑμῖν. βλέπετε, ἀδελφοί, καθὼς καὶ προέγραψα ὑμῖν, στῆτε γενναίως, ἀνολιγώρως, κραταιῶς, καθὼς ἐκλήθητε ὑπὸ θεοῦ· δοξάσατε αὐτὸν ἐν τοῖς μέλεσιν ὑμῶν, μὴ παραδέξησθε διδασκαλίαν αἱρετικοῦ, μὴ ὀκλάσητε πρὸς τὴν κακοπάθειαν τῆς φυλακῆς, ἀκούοντες τοῦ λέγοντος ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Μνημονεύετε κἀμοῦ τοῦ ἁμαρτωλοῦ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί· ὁ Κύριος μεθ' ὑμῶν. ἀμήν.

---

14 Matth. 10,22

16 σημείωσαι in marg C

241. altero semestri spatio a. 816 6 προέγραψα: ep. 129?

4 Luc. 7,47 8 1 Cor. 6,20 10 Act. 14,22

C (S)

8 δοξάσατε: δοξάτε Mai παραδέξεσθε Mai

242. Νικολάῳ μάγκιπι

Πῶς οἴει δέχεσθαί με τὰς ἀποστολάς σου καὶ εὐλογίας, ἠγαπημένε ἄνερ; οὐδ' ἂν χρυσίου τάλαντα τοσαῦτα ἡδύτερόν μοι εἰς ὑποδοχήν, διότι ἐξ ἀνθρώπου ὀρθοδόξου, φυλάττοντος ἀρχαίαν ἀγάπην καὶ μὴ ἑαλωκότος τῇ κοινωνίᾳ τῆς αἱρέσεως· ὃ καὶ μάλα με ξενίζει, πῶς ἐν μέσῳ πυρὸς ἄφλεκτος διαμένεις. ἀλλὰ γὰρ καὶ ἔτι διαμενεῖς θείᾳ προμηθείᾳ, ὡς ἂν μέγα δῶρον ἀπενέγκοις τῷ θεῷ τῆς οἰκείας σωτηρίας.

Πάνυ δὲ ἐθεραπεύθην καί γε μεμακάρικά σε, ὅτι τὸν γραμματηφόρον ἐν ἡμέρᾳ ἑορτῆς ἔλαβες συνδαιτυμόνα ἐν τόπῳ ξένῳ καὶ τραπέζῃ πληθούσῃ· ἀνθ' οὗ ἀνακλινεῖ σε ὁ Κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ εἰς εὐφροσύνην αἰώνιον.

243. Ἰσιδώρῳ λαϊκῷ

Καὶ πάλιν κόπους σοι παρέσχον, ἄνθρωπε τοῦ θεοῦ καὶ γνήσιε φίλε, ἐπὶ ταῖς ἀποστολαῖς σου· ἀλλ' ὁ Κύριος ἀντιμετρήσει σοι μισθὸν ἐπουράνιον, ὃν χρῄζεις παρὰ Κυρίου, ὑπὲρ οὗ καὶ μετέρχει βίον παρθενίας καὶ εὐλαβείας, σχολάζων ἐν ἐκκλησίαις, διατρίβων ἐν ἔργοις εὐσεβείας ὡς φιλομόναχος, ὡς ἄπλαστος, οἰκῶν οἰκίαν κατὰ τὸν πατριάρχην Ἰακώβ. ἔτι παρακαλῶ ἔχεσθαί σε τῆς ὀρθοδοξίας καὶ ἀποχῆς τῆς αἱρετικῆς κοινωνίας, / δι' ἣν ἕξομεν παρρησίαν ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ.

Μιμνήσκου ἡμῶν εὐχὰς ἁγίας ποιούμενος, τιμιώτατέ μου καὶ ποθεινότατε.

---

242. a. 815 – 818

5 Dan. 3,50 **11** Matth. 8,11

C (S)

1 μάγκηπι C 6 διαμένοις C Mai 9 μεμακάρικά: με μακάρικα Mai

---

243. a. 815 – 818

6 Gen. 25,27 **8** 1 Joh. 5,14

C (S)

1 ἴσηδώρῳ C 3 ἀντιμετρίσει C 4 χρῄζει Mai 8 τῆς S^{sscr} διῆν C

244. Ἡγουμένῃ

Ἀπήγγειλέν μοι ὁ ἀδελφὸς ἑωρακέναι σου τὴν τιμιότητα καὶ ὡς ἔρρωται κατὰ πνεῦμα, τὴν δι' ὑπομονῆς ἐλπίδα κατέχουσα. καί γε ἐδόξασα τὸν ἀγαθὸν θεὸν ἡμῶν, τὸν καὶ ἐν ἀσθενεῖ φύσει τὴν ἑαυτοῦ δύναμιν ἐμφανίσαντα· τῷ ὄντι γὰρ μακαρία σὺ ἐν μοναζούσαις, ἀλλὰ γὰρ καὶ ἐν γυναιξὶ πάσαις, ὅτι ἐν ταῖς ἡμέραις ταύταις, ἐν αἷς ἑάλωσαν οὐ μόνον γυναῖκες ὁμόσχημοι καὶ κανονικαί, ἀλλὰ καὶ πάντες μικροῦ δεῖν ἐν τῇ Βυζαντίδι μονασταί τε καὶ ἡγούμενοι, αὐτὴ σὺν ἄλλαις τέσσαρσιν ἢ καὶ πρὸς εἵλου ὑπὲρ Χριστοῦ πάσχειν ἢ μετασχεῖν τῆς χωριζούσης Χριστοῦ αἱρετικῆς κοινωνίας. ὁ γὰρ μετέχων αὐτῆς ἀπόκληρος Χριστοῦ ὡς ὁ Ἰούδας καὶ κοινωνὸς τῶν παραλαβόντων τὸν Κύριον εἰς τὸ σταυρωθῆναι· καὶ γὰρ τοῦ Χριστοῦ διῶκται καὶ σταυρῶται οἱ τὴν εἰκόνα αὐτοῦ ἐκμειοῦντες καὶ ἀποσκορακίζοντες, ὥσπερ καὶ αὐτῆς τῆς Θεοτόκου καὶ ἑκάστου τῶν ἁγίων.

Βλέπε, δούλη Χριστοῦ, μὴ καταισχύνῃς τὸν καλέσαντά σε εἰς τὴν ὁμολογίαν αὐτοῦ. σπέρμα ἅγιον σὺ (ἐῶ τὸ κατὰ σάρκα, ὅτι καὶ τοῦτο τοιοῦτον), ἀλλὰ Θέκλης λέγω τῆς πρωτομάρτυρος, Φεβρωνίας, Εὐγενίας, Ματρώνης καὶ τῶν ὁμοίων· εἶπον δὲ Ματρώνης, ὅτι καὶ ἐν ταῖς κατ' αὐτὴν ἡμέραις αἱρέσεως οὔσης καί τινων μοναζουσῶν ἐνισταμένων ἀπέχεσθαι τῆς κοινωνίας ὡς ὑμεῖς νῦν οἱ ἀλάστορες αἱρετικοί, μὴ φέροντες τὴν μανίαν, βίᾳ χειρὶ ἤνοιγον τὰ στόματα καὶ ἐνέχεον τὴν κοινωνίαν αὐτῶν. ἀλλὰ τὸ χειρὶ οὐ συνηγορεῖτο, ὥστε καὶ αὐτὴ σκόπει πολλὰ διὰ Χριστὸν πειρασθῆναι.

Ἀλλὰ μηδαμῶς ἐκκλίνωμεν· Χριστὸς γὰρ ἡμῖν βοηθός, κἂν μέχρις αἵματος πειράσωσιν. προσεύχου περὶ ἡμῶν διὰ τὸν / Κύριον καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς μὴ ἀποτυχεῖν Χριστοῦ.

---

244. altero semestri spatio a. 816   2 ὁ ἀδελφός: Hypatius? cf. ep. 142,2

12 Matth. 27,27   19 Ματρώνης: cf. Act. SS. Mart. II (Antverpiae 1668) 390 sq.   25 Hebr. 12,4

C (S)

1 post ἡγουμένῃ vocem quandam eras S   2 ἀπήγγειλε S   4 τὸν^2 om Mai   5 τῷ: τῇ Mai   τῳόντι S   6 γυναιξὶν Mai   13 οἱ om C   18 Εὐγενείας C Mai   22 βίᾳ: an βιαίᾳ scribendum?   24 σκοπεῖς Mai   26 πειράσωσι S

245. Ἰωάννῃ Καλχηδόνος

Ὃν ἐκ μακροῦ χρόνου ὤδινον πόθον, νῦν ἀποτεκὼν εἰκότως εὐχαριστῶ τῷ θεῷ μου ὁ ταπεινός· τίς δὲ ὁ πόθος; τὸ γράμματι συναφθῆναί με τῇ πατρικῇ ἁγιωσύνῃ σου καὶ δοῦναι ἀσπασμὸν καὶ γνωρίσαι τὸν πόθον ὅσος καὶ ἡλίκος, οὐχ ὅτι τὸ πρὶν οὐκ ἦν, ἀλλ' ὅτι ἄρτι μάλα ἐξῆπται τῇ ὑπὲρ ἀληθείας ταὐτοπαθείᾳ· οὗ γὰρ ὁμόνοια πίστεως, ἐκεῖ δηλαδὴ καὶ ἀγάπης σύνδεσμος, οὗ δὲ ἀγάπης σύνδεσμος, ἐκεῖ θεὸς τὸ κεφάλαιον, ὑπὲρ οὗ καὶ δι' ὃν τὸ πάσχειν. ἀλλὰ τὸ μὲν ἡμέτερον οὐδενὸς λόγου διὰ τὸ ἀμφοτέρωθεν μηδαμινόν, τὸ δὲ τῆς σῆς ὁσιότητος καὶ τῶν οἷος σὺ μεγίστης εὐδοξίας τὰ παρόντα, ὑπὲρ εὐσεβείας ἑλομένων κινδυνεύειν καὶ κακοπαθείας ἀνατλᾶν· ὁπόσης γὰρ θλίψεως τὸ περιορισθῆναί σου τὴν θεοσέβειαν πόρρω που τῶν ἐν ἄστει καὶ ἕλκειν ἡμέραν ἐξ ἡμέρας πόνους καὶ ὀδύνας ἐξοριστικὰς καὶ μεριμνητικὰς τῶν διαφερόντων καὶ πνεύματι καὶ σώματι, καὶ ταῦτα ἐν ἀσθενεῖ σώματι καὶ ἀήθει τῶν τοιούτων, εἰ καὶ τοῖς ἑκουσίοις τῆς ἀσκήσεως πόνοις ἱκανῶς προγεγυμνασμένῳ.

Ἀλλ' εὖγε, ὦ πατέρων κράτιστε, ὅτι σὲ ἔλαβεν ἡ ἐκκλησία ἐκ τῆς συγκλήτου κόσμον ἑαυτῇ τὰ πρῶτα, νῦν δὲ καὶ φύλακα τῶν εὐσεβῶν αὐτῆς δογμάτων, ὁμολογίας στέφανον ἀναδησάμενον (πῶς γὰρ οὔ;) ὑπὲρ Χριστοῦ πάσχοντα καὶ μὴ ὑπείκοντα τοῖς Χριστὸν διώκουσι, κἂν οὐ δοκῇ τοῖς ἐλαύνουσι· Χριστὸς γὰρ ἡ Χριστοῦ εἰκὼν ὡς σταυρὸς ὁ σταυροῦ τύπος· καὶ οὔπω λέγω τῆς Θεοτόκου καὶ οὑτινοσοῦν τῶν ἁγίων, εἰδότι σοι καὶ ἡμᾶς μᾶλλον μυοῦντι καὶ τεχνοῦντι τοὺς ἀμυήτους καὶ ἀσόφους. δεινὸν οὖν, ὦ θεία καὶ ἱερὰ κεφαλή, τὸ ἀσέβημα καὶ προεισόδιον τῆς τοῦ Ἀντιχρίστου ἐλεύσεως καὶ οἱονεὶ εἰκών, εἴπερ τῇ Χριστοῦ εἰκόνι μάχεται, μηδένα διαμερισμὸν πρὸς τὸ πρωτότυπον ἐχούσῃ· τοιαύτη γὰρ ἡ φύσις τῶν λεγομένων. διὸ ὅσον / τὸ μέγεθος τῆς ἀσεβείας ἐκείνοις, τοσοῦτον ἡμῖν τὸ αὔχημα τῆς ὁμολογίας, μὴ τὰ δευτέρια παραχωρούσης τῶν πάλαι Χριστοῦ μαρτύρων.

---

245. a. 816 – 818

8 Philipp. 1,29

C (S)

1 Χαλκηδόνος S[pc] Mai; sed cf p. 300* adn 536 2 ἀπὸ τεκὼν C 3 τὸ: τῷ Mai 5 τοπρὶν S 13 ποῦ C 15 ἀηθεῖ C Mai 16 τῆς: τοῖς S 18 ταπρῶτα S 22 οὔτινος οὖν C 29 δευτερεῖα S

Ὧν τὸν στέφανον κομίσειας, τρισόλβιε, προσευχόμενος εἰρήνην τῇ ἐκκλησίᾳ καί γε κἀμοὶ τῷ ἐλαχίστῳ μὴ πάντῃ διαμαρτεῖν τῆς τῶν ἰχνῶν σου προσψαύσεως διὰ τὸ μέγιστόν με φορτίον οἴσειν τῶν ἁμαρτιῶν.

246. Εὐθυμίῳ τέκνῳ

Ὑγίαινε, τέκνον μου ἠγαπημένον Εὐθύμιε· οὐ παύομαι οὖν μεμνῆσθαί σου ἐν ταῖς ταπειναῖς μου προσευχαῖς, ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεώς τε καὶ ἀγάπης, πῶς ἀπὸ πρώτης ἡμέρας ἀνεστράφης ἐν τῇ ὑποταγῇ σου χρηστῶς, πῶς τε ἐν αὐτῇ τῇ ἡμέρᾳ τοῦ χωρισμοῦ ἔδειξας τὸ τῆς ἀγάπης σου καὶ εὐπροθύμου γνώμης, τοῦτο μὲν ἐλθὼν καὶ ἐνεγκὼν τὰ κατὰ χρείαν ἐν τῷ οἴκῳ τοῦ ἁρπάσαντός με ἄρχοντος, τοῦτο δὲ καὶ ἐμπλοήσας καὶ συμπροθυμησάμενός με περὶ τῶν χρηστοτέρων ἐλπίδων εἰς τὴν ἀδελφότητα, φρουρουμένην στρατιωτικῇ χειρὶ εἰς τὰ Στουδίου. καί γε δέδειχας ἐξ ὧν προεθυμοῦ μόνος καλῶς βουλευσάμενος, εἰ καὶ ῥιψοκινδύνως· τί τοῦτο; ἀναθεματίσαι τὸν ἀλιτήριον Ἀντώνιον, καθελόντα τὰς σεπτὰς εἰκόνας, σὺν πάσῃ τῇ ἀδελφότητι· δι' ἣν αἰτίαν ἐτύφθης σὺν ἐννέα προέχουσιν ἀνδρείᾳ τῶν ἄλλων. ἔργον ἐποίησας, τέκνον μου, μάρτυρος, στρατιώτου Ἰησοῦ Χριστοῦ. ὢ τῆς μεγαλονοίας σου· ὢ τῆς στερροκαρδίας σου, πρώτου μαστιγωθέντος ὑπὲρ Χριστοῦ καὶ μετὰ Χριστοῦ καὶ ἐκβάντος ἐκ τῶν τοσούτων πληγῶν ἐξαίμου καὶ σαρκοτμήτου, μήτε γοερὰν φωνὴν ἀφεῖναι μήτε συμπεσεῖν τῷ προσώπῳ, ἀλλ' ἐκείνην ῥῆξαι τὴν ῥῆσιν, ἣν ᾄδουσι πολλοί, ‚μὴ φοβηθῆτε, ἀδελφοί, οὐδέν ἐστι ταῦτα'. ὢ τῆς ἁγίας σου γλώσσης· αὕτη ἡ φωνὴ καὶ τὸν τύραννον καὶ πανδαμάτορα ᾔσχυνεν, τύψαντά σε ἔτι διὰ ταύτην, καὶ τοὺς ἀδελφούς σου παρεθάρρυνεν ἴσα σοι ἐνηθληκέναι, καὶ τὸ μέγιστον, τὸν θεὸν εὔφρανεν, τὸν ἑτοιμάζοντά σοι τὸν στέφανον τῆς δικαιοσύνης.

---

246. altero semestri spatio a. 816 13 σὺν ἐννέα: Studitis Ephraimio Aphrodisio Ammona Hyperechio Stephano Parthenio Hegesimo Symeone (II) Dorotheo (II); cf. ep. 181,4 sq.

15 2 Tim. 2,3 23 2 Tim. 4,8

C (S)

11 προεθύμου Mai 12 ἀλιτήριον S 14 προέχουσι Mai ἀνδρίᾳ S 15 ὦ C (bis) 21 ᾔσχυνε S 22 ἶσα S 23 εὔφρανε S

Μόνον, τέκνον, τελείως ἀγωνισώ/μεθα τὸν καλὸν ἀγῶνα· πέποιθα δὲ ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν τὸν ἆθλον τοῦτον καὶ τελειώσειεν. βοήθει καὶ ἐν τῇ ἐξορίᾳ, ἀδελφέ, τοῖς συνεξορίστοις σου λόγῳ, ἔργῳ. προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ταπεινοῦ ἵνα ἐνέγκω πάντα διὰ Χριστόν, τὸν νῦν διωκόμενον διὰ τῆς ἁγίας εἰκόνος αὐτοῦ. προσαγορεύουσίν σε οἱ σὺν ἐμοὶ ἀδελφοί σου· ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματός σου. ἀμήν.

247. Ὑπερεχίῳ τέκνῳ

Εὖγε, εὖγε, Ὑπερέχιε τέκνον ἐμόν, καλὸν ἆθλον ἠξιώθης ἀπενέγκασθαι ὑπὲρ Χριστοῦ· ἐδάρης, ἐφυλακίσθης, ἐξωρίσθης, ἐλογίσθης μετὰ ὁμολογητῶν Χριστοῦ. πόθεν σοι ἡ χάρις αὕτη, τὸ δῶρον τὸ οὐράνιον, ἵνα σου τὸ αἷμα ἴδῃς διὰ Χριστὸν περιρρεόμενον καὶ τὰς σάρκας ἐξεσμένας ταῖς μάστιξιν; ἀπελούσω τὰς ἁμαρτίας, ἡγίασας σεαυτόν. βλέπε, ἀδελφέ μου, μή ποτε ἐπιλάθῃ τῆς εὐεργεσίας, μή ποτε ἀπονυστάξῃς ἀπὸ θεοῦ. γρηγόρει εἰς τὴν σωτηρίαν σου, παρακαλῶ, εἰς ὑπομονὴν τελειώσεως· οὐ γὰρ τὸ ἄρξασθαι μόνον, ἀλλὰ καὶ τὸ τελειῶσαι μακάριον. ἤνεγκας πόνους πληγῶν, ἔνεγκον, τέκνον μου, καὶ κόπους ἀσκήσεως, λογισμοὺς πονηροὺς καθαίρων ἀπὸ τῆς καρδίας σου, ἐξ ὧν προάγεται ἄνθρωπος εἰς πρᾶξιν ἁμαρτίας. φοβερὸς ὁ θεός, πῦρ καταναλίσκον τοὺς καταφρονητάς· φύγωμεν τὴν παρρησίαν, τὴν θύραν τῆς ἀνομίας, ἔστω τὸ κάθισμά σου ἀσκανδάλιστον, ὅσιον. ψαλμὸν ἔχεις, ᾠδὴν ἔχεις, εὐχὴν ἔχεις· ἀνάγνωσιν ἔχε, δάκρυον, ἀναλογίζου ἀεὶ τὸν θάνατον, τὴν ἡμέραν τῆς κρίσεως, ὅτε γυμνὰ καὶ τετραχηλισμένα σταίη τὰ σύμπαντα. οἷος φόβος ἐκεῖ καὶ τρόμος τῷ κατ' ἐμὲ ἁμαρτωλῷ καὶ πηλίκη χαρὰ καὶ ἀγαλλίασις τῷ δικαίῳ.

Ναί, τέκνον, φυλακῇ φυλάξωμεν ἑαυτούς, ἵνα τὴν παραθήκην

---

25 1 Tim. 6,11 30 Philem. 25

26 ὑμῖν: an ἡμῖν scribendum? ἄθλον C τελειώσειε S 27 σὺν ἐξωρίστοις C 29 προσαγορεύουσί S

---

247. altero semestri spatio a. 816

6 1 Cor. 6,11 13 De. 4,24 15 1 Cor. 14,26 17 Hebr. 4,13 20 2 Tim. 1,12

C (S)

1 ὡραία in marg C 2 ἄθλον C 13 καταναλίσκων C Mai

ἡμῶν, τουτέστι τὴν ψυχήν, προσενέγκωμεν τῷ θεῷ σώαν, καθαράν· κἂν γὰρ ῥυποῦται διὰ τῶν σκολιῶν λογισμῶν, ἀλλὰ καθαρίζεται πάλιν διὰ τῶν ἐν μετανοίᾳ δακρύων. προσεύχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζωμαι ἐν πᾶσιν. οἱ μετ' ἐμοῦ ἀδελφοί σου προσαγορεύουσίν σε· ἡ χάρις μετὰ σοῦ. ἀμήν. /

248. Ἀφροδισίῳ τέκνῳ

Χαίροις, Ἀφροδίσιε, τὸ ἐμὸν τέκνον, μᾶλλον δὲ θεοῦ, ὑπὲρ οὗ ὁ προκείμενος ἀγών. τί τὸ γεγονὸς ἐν σοί, ὅτι οὕτως ἀπηυτομόλησας ἐκδοῦναι τὰς ἑαυτοῦ σάρκας εἰς μάστιγας ὑπὲρ Χριστοῦ, οὕτως ἐνεγκὼν τὰς τοσαύτας πληγὰς ὡς ἀδάμας καρτερῶς; χαῖρε, τοῦ Χριστοῦ στρατιῶτα· ὅρα ποῦ σε κέκληκεν ἡ χάρις, πῶς ἀνεπήδησας εἰς ὕψος ἀρετῆς, ἀναποιησάμενος ἑαυτὸν ἀπὸ προλαβόντων ἐλαττωμάτων. ἐδόξασας τὸν θεόν, τέκνον μου, ἐν τοῖς μέλεσί σου, ἐτίμησας κἀμὲ τὸν ἁμαρτωλόν· ἔλαμψας ἐν τῇ ἀδελφότητί σου μετὰ τῆς ἰσάθλου ἑταιρείας ὡς ἀστὴρ ἑωθινός, ἐγένου τῆς ἐκκλησίας τοῦ θεοῦ στῦλος.

Μακάριος εἶ καὶ καλόν σοι ἔσται. ἀλλὰ βλέπε τὸ ἔργον σου, ὅτι ἀκμὴν οὐκ εἰς πέρας ἐστίν· δεῖ μέχρι τέλους ἐγκαρτερῆσαι, ἵνα οὕτως στεφανωθῇς. φέρε γενναίως τὰ τῆς ἐξορίας, ἑτοιμάζου καὶ ἀποθανεῖν διὰ Χριστοῦ τὴν ἁγίαν εἰκόνα· φύλαττε ἑαυτὸν ἀπαρρησίαστον, γρηγόρει πρὸς τοὺς ἀοράτους ἐχθρούς. χαῖρε τῇ ἐλπίδι, ὑπόμενε τῇ θλίψει, νῆφε ταῖς προσευχαῖς, δεόμενος καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζωμαι σὺν ὑμῖν. ἀσπάζονταί σε οἱ σὺν ἐμοὶ ἀδελφοί σου· ὁ Κύριος μετὰ σοῦ.

---

24 προσαγορεύουσί S

---

248. altero semestri spatio a. 816 10 ἑταιρείας: novem Studitarum

5 2 Tim. 2,3 8 1 Cor. 6,20 16 Rom. 12,12

C (S)

1 αφροδησίῳ C 2 ἀφροδήσιε C 3 γεγονὼς C[ac] Mai 4 σεαυτοῦ S εἰς μάστιγας om Mai 13 ἐστὶ S 14 ἀπὸ θανεῖν C

249. Ἀμμωνᾶ τέκνῳ

Ἀδελφὲ Ἀμμωνᾶ, χαῖρε ἐν Κυρίῳ· ἀσπάζομαί σε ἀπὸ χειλέων καρδίας μου, στεφανῶν σε ἐπαίνοις, καλῶς ἀγωνισάμενον, ὑπὲρ Χριστοῦ μαστιγωθέντα καὶ εὐφόρως ἐνεγκόντα τὰς τοσαύτας πληγάς. εἴθε ἠσπασάμην τὰς ξανθείσας σου σάρκας διὰ Χριστόν, εἴθε ἠξιούμην κἀγὼ ὁ ταπεινὸς συγκοινωνῆσαί σου τοῖς πάθεσι· πλὴν τῇ διαθέσει συνεκοινώνησα καὶ χαίρω, ὅτι τοιοῦτον τέκνον κέκτημαι ὁ ἁμαρτωλός, οὗ τὸ αἷμα σὺν τοῖς συνάθλοις ἀδελφοῖς σου εἰς μαρτύριον ἀληθείας τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, οὗ ἡ ἐξορία εἰς ἐξοστράκισιν τῆς ἀσεβείας. μιᾷ ῥοπῇ τετραυμάτισαι, καὶ ὁρᾷς οἵοις ἐγκωμίοις ἐπᾴδεσαι· τί λοιπὸν ἐπὶ τοῦ κριτηρίου τῶν ἁπάντων, ὅτε προσληφθήσονται εἰς βασιλείαν οὐρανῶν παρ' αὐτοῦ οἱ εὐλογημένοι τοῦ πατρὸς αὐτοῦ;

Διὸ / θάρσει, στῆθι· ἔτι γὰρ ὁ ἀγών, ἔτι ὁ δρόμος. μὴ ἀναπέσῃς ὡς ἤδη τελειοδρομήσας· ἐὰν δέῃ, καὶ σφαγιασθῶμεν ὑπὲρ τῆς ἁγίας εἰκόνος Χριστοῦ. ναί, τέκνον μου, παρακαλῶ, μὴ ὀλιγωρήσωμεν τὴν ἄσκησιν, τὴν ἐξορίαν· οὐ γὰρ ὁ ἐναρξάμενος μόνον ἐπαινετός, ἀλλ' ὁ τελειῶν τὸ ἔργον τοῦ θεοῦ. ἔχομεν καθ' ἡμέραν τοὺς νοητοὺς ἐχθροὺς τιτρώσκοντας ἡμᾶς βέλεσι λογισμῶν· βλέπε τούτους, ἔσο τεθωρακισμένος τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ἐλπίδι. ἀκούω ὅτι ἀκριβολογεῖσαι τὸ καθισμάτιόν σου ἀπαρρησιάστως καὶ χαίρω· πάντων γὰρ κακῶν μήτηρ ἡ παρρησία. ὁ θεός σε, τέκνον, ἔτι ἀνδρειώσειεν, στερεώσειεν, καταρτίσειεν εἰς πᾶν ἔργον ἀγαθόν. προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζωμαι. ἐὰν σύνεστί σοι ὁ κατὰ σάρκα καὶ πνεῦμα ἀδελφὸς καὶ τέκνον μου, προσαγορεύω αὐτόν. οἱ σὺν ἐμοὶ ἀδελφοί σου ἀσπάζονταί σε· ἡ χάρις μετὰ σοῦ. ἀμήν.

---

249. altero semestri spatio a. 816   2 Ἀμμωνᾶ: ad formam nominis cf. adn. ad ep. 165,17

C (S)

---

1 Ἀμωνᾷ omnes: correxi   2 Ἀμωνᾶ omnes: correxi   8 εἰς om Mai   9 ἐξοστράκησιν C Mai   18 καθημέραν S   20 ἀκριβολογῆσαι codd: ἀκριβολόγησαι Mai: correxi   22 ἀνδριώσειεν C Mai: ἀνδριώσειε S   23 στερεώσειε S

250. Συμεὼν τέκνῳ

Χαῖρε, τέκνον μου Συμεών, ὁ κληθεὶς ὑπὸ τῆς χάριτος εἰς ὁμολογίαν Χριστοῦ· ἴδε πῶς οὐκ ἐπῃσχύνθη σε Χριστὸς κατὰ τὴν προτέραν ἀναστροφήν, ἀλλ' εὐδοκῶν εὐδόκησε μαστιγωθῆναί σε ὑπὲρ αὐτοῦ, χλευασθῆναι, φυλακισθῆναι, εἶτα καὶ ἐξορισθῆναι σὺν τοῖς ὁμοτρόποις σου ἀδελφοῖς. τί ἀνταποδώσεις τῷ Κυρίῳ; τί προσενέγκοις κατ' ἀξίαν; τί ἄλλο ἢ τὸ φυλάξαι σε ἀναφαίρετον τὴν χάριν διὰ μακροθυμίας καὶ τελείας πίστεως; ὅθεν γρηγόρει, νῆφε πρὸς τὰς μεθοδείας τοῦ διαβόλου μή που παρεισδύσῃ, μή που ὑποσκελίσῃ. φύγε ἀπὸ ὄψεως γυναικῶν· κάθου μὴ παρακινούμενος. τοῦτο δὲ λέγω διὰ τὸ ἀκηκοέναι με χάριν ἰατρείας ἀφίστασθαί σε τῆς κέλλης· οὐ τοιοῦτος ὁ καιρός, τέκνον μου, ἀλλὰ μαρτυρίου. ἰατρεύειν θέλεις; ἴω τοὺς κατὰ ψυχὴν νοσοῦντας διὰ λόγου· εἰ δὲ καὶ σώματι, ἄνπερ εὔκολόν σοί ἐστι καθημένῳ καὶ μὴ μεταβαίνοντι τόπον ἐκ τόπου, καὶ τοῦτο ἐπὶ ἀνδρῶν εὐσεβῶν, οὐ μέντοι γυναικῶν.

Φιλῶν σε ὑπομιμνήσκω. ἔστω δὲ ἀεὶ ἡ μέριμνα καὶ ἀδολεσχία σου ἐν νόμῳ Ὑψίστου μετὰ ἐργοχείρου· ἡ γὰρ ἀργία μήτηρ ἁμαρτίας. / ἐκδέχου καὶ αὖθις πληγὰς διὰ Χριστόν, μήπως καὶ θάνατον τὸν ἀοίδιμον, ἐάνπερ τοσοῦτον καταξιώσειεν εἰς σέ. προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζωμαι ἐν πᾶσιν. οἱ σὺν ἐμοὶ ἀδελφοὶ προσαγορεύουσίν σε. ὁ Κύριός σε διαφυλάξειεν ἀσινῆ κατὰ πάντα· ἡ χάρις μετὰ σοῦ. ἀμήν.

251. Θεοφυλάκτῳ πρεσβυτέρῳ

Ἐξ ὧν ἐπέστειλεν ἡ τιμιότης σου, ἐφανέρωσεν ἑαυτῆς τὴν ἀρετὴν διά τε τῆς κατὰ τὴν ἐπιγραφὴν ταπεινολογίας καὶ διὰ τῆς ἐν τοῖς

250. altero semestri spatio a. 816 11 κέλλης: ad vocem cf. Hahn, Romanismus 9

8 Eph. 6,11 21 Ps. 40,3

C (S)

2 συμεῶν C 4 εὐδόκησε om Mai 6 προσενέγκεις codd: corr Mai 12 ὁ S[sscr] 14 ἔστι C Mai 21 προσαγορεύουσί S

251. a. 817

C (S)

γράμμασιν ἐμφερομένης δυνάμεως· τὸ γάρ τοι τοῖς μάρτυσι συμπαρεῖναί σε, συμπροθυμούμενον καὶ συναγωνιῶντα, καὶ τὸ τὸν ἅγιον Θαδδαῖον οἰκείαις χερσὶν ἐνταφιάσαι ἀπόδειξιν ὅτι μάλιστα μεγίστην εὐσεβείας σου ἔχει, ὦ ἱερὲ ἄνερ. ἀλγῶ δὲ ἐν σοὶ διὰ τὸ τῆς ἀσεβείας χειρόγραφον. ἀλλὰ μὴ λυποῦ· ἤδη λεαίνεται καὶ τῷ στεναγμῷ σου διαρρήσσεται. φέρε τοίνυν τὸ ἄλγος καὶ τὸν καιρὸν τῆς εἰργομένης ἱερατείας, ἕως ἂν ἐπιλάμψειεν Χριστὸς ἔαρ ὀρθοδοξίας, ἐν ᾧ καυχήσῃ ἐν οἷς διὰ Χριστὸν δρᾷς νῦν μετὰ καὶ τῆς ἀπολήψεως τοῦ βαθμοῦ δῆλον ὅτι.

252. Βησσαρίωνι τέκνῳ

Εἰ καὶ μὴ ἐδεξάμην ἀντίγραφα ὧν ἐπέστειλά σοι, τέκνον μου ἠγαπημένον (δι' ἣν αἰτίαν οἶδεν ὁ γραμματηφόρος), ἀλλ' ὅμως ἐμοὶ τὸ γράφειν οὐκ ὀκνηρόν, καίπερ ὄντι ἐγκεκλεισμένῳ ἀσφαλῶς σὺν τῷ ἀδελφῷ Νικολάῳ. χαίροις οὖν, ὁ μάρτυς τῆς ἀληθείας, χαίροις, ὁ ὁμολογητὴς τοῦ Χριστοῦ, χαίροις, τὸ ἐμὸν καὶ τῆς ἐκκλησίας καύχημα. ὁρᾷς οἵας φωνὰς ἀκούεις, τί σοι παρέσχεν ἡ καλὴ ὑποταγή, ἡ πίστις ἡ ὀρθή, ἡ ὑπομονὴ τῆς φυλακῆς, ἡ ἀδειλία καὶ ἀφόβητος ἔνστασις, ἡ τῶν μαστίγων ὑποδοχή, τῶν σαρκῶν ὁ ξεσμός, τοῦ αἵματος ἡ κένωσις, τῶν μωλώπων αἱ ὠτειλαί; ποῦ σε ἀνύψωσαν, τί σε ἀπειργάσαντο; καὶ ἔτι ὑψωθήσῃ, καὶ ἔτι μεγαλυνθήσῃ, ἐάνπερ, ἱερέ μου παῖ, ὑπομείνῃς τελέως ὅσα ἂν καὶ συμβαίη ἐλθεῖν. ὁ γὰρ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται, εἶπεν ὁ Κύριος. εἰ καὶ πάλιν τύψωσιν, ὁ Χριστὸς βοηθός· ἢ οὐκ οἶ/δας ὅτι ὅσον περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ τοσοῦτον καὶ ἡ δόξα καὶ ἡ παράκλησις; φέρε, υἱέ μου, τὴν μόνωσιν, τὴν φυλακήν, τὴν στενοχωρίαν, τὴν

---

5 τὸ om Mai 10 εἱργομένης Mai ἐπιλάμψειε S 12 δηλονότι S Mai

---

252. a. 818 2 ἐπέστειλα: ep. 235 4 ἐγκεκλεισμένῳ: Boneta 7 ὑποταγή: ad hanc notionem monasticam cf. J. Leroy, Saint Théodore Studite, in: Théologie 49 (1961) 433 sq.; D. Amand, L'ascèse monastique de Saint Basile. Maredsous 1949, 326 sq.; H. Mogenet, L'obéissance religieuse, vertu évangèlique et humaine. Revue d'ascétique et de mystique 27 (1951) 75 sq.

12 Matth. 10,22 14 2 Cor. 1,5

C (S)

1 βισαρίωνι C: Βησαρίωνι Mai 11 ἀπειργάσοντο Mai

ἀθυμίαν· ἀνάπνεε Χριστόν, κόπτε τοὺς λογισμοὺς τῶν ἐναντίων. τὴν ἡμέραν μερίμνησον διελθεῖν, ἐν ᾗ ζῇς, καὶ περὶ τῆς αὔριον μὴ φροντίσῃς· ὁ δοὺς σήμερον ὑπομονὴν δοίη καὶ εἰς τὴν ἑξῆς, ἐὰν φθάσωμεν.

Ταῦτά σοι παρ' ἐμοῦ, ταῦτα καὶ αὐτὸς περὶ ἡμῶν τῶν ἁμαρτωλῶν εὔχεσθαι μὴ διαλείποις. εἰρήνη σοι παρὰ Χριστοῦ.

253. Ἰωάννῃ τέκνῳ

Ἐπέγνων τὴν δύναμιν τῶν γραμμάτων σου, τέκνον μου, καὶ ηὐχαρίστησα τῷ θεῷ μου ὅτι διαφυλάττῃ ἀσινής, ῥυσθεὶς ἐκ χειρὸς τῶν διωκτῶν. βλέπε οὖν πῶς καθέζῃ, ἵνα μὴ ἁλῷς πάλιν· εἰ δέ πως καὶ γένηται, στερέωσον τὴν ψυχήν σου, τέκνον μου, ὑπὲρ τοῦ ὀνόματος τοῦ θεοῦ ὑπομεῖναι πάντα, ὁρῶν μάλιστα τοὺς ἀδελφούς σου ἀθλήσαντας καὶ ἔτι ἀθλοῦντας. πάντα ἰσχύει ὁ πιστεύων ἐν τῷ ἐνδυναμοῦντι Χριστῷ, ὅς καὶ ἐκάλεσέν σε ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖν αὐτόν.

Ἱερατικῶς ζῆθι, εὐλαβῶς ἴσθι καθαίρων σαυτόν, ἵνα καθαρὸς τῷ καθαρῷ προσπελάζοις. προσεύχου καὶ περὶ ἡμῶν ἵνα σῳζοίμεθα, ἵνα τοὺς λόγους ἡμῶν ἡ πρᾶξις σφραγίζῃ, ἐπειδὴ ἁμαρτωλός εἰμι ἄνθρωπος. ὁ Κύριος μετὰ τοῦ πνεύματός σου.

254. Εὐοδίῳ τέκνῳ

Ἐπεὶ ἐδεξάμην σου τὴν διὰ τοῦ γράμματος ἀπολογίαν, τέκνον ἠγαπημένον, μετέβαλον τὸ λυπηρὸν τῆς ταπεινῆς μου ψυχῆς, ἀλγυ-

---

22 εὔχεσθε Mai   διαλίποις S

253. a. 817

10 Tit. 1,15   13 2 Tim. 4,22

C (S)

4 καθίζῃ Mai   10 καθαρῶς codd: corr Mai

254. a. 817

C (S)

1 εὐωδίῳ C   2 ἀπὸ λογίαν C

νομένης ἐπὶ τοῖς συμβεβηκόσι· μὴ γὰρ οἴου, ἀδελφέ, μικρὸν εἶναι τὸ ἐν λόγῳ πεσεῖν. τί λέγει ὁ Κύριος; εἴ τις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὁμοίως καὶ τὸ ἐναντίον. ἀλλ' ἐπεὶ γέγονεν, ὁ θεὸς ἐλεήμων, συγχωρῶν τὰ ὀλισθήματα ἡμῶν. μέχρι δὲ τούτου φθάσας φοβήθητι τὸν θεὸν καὶ μὴ προβῇς εἰς περισσότερον, ἀλλὰ φεῖσαί σου τῆς ψυχῆς κἀμοῦ τοῦ ταπεινοῦ, ὁρῶν σου τοὺς / ἀδελφοὺς ἀθλοῦντας· οἱ γὰρ πεσόντες ἐλεεινοὶ καὶ ἔνθεν κἀκεῖθεν, εἰ μὴ μετανοήσειαν ἀξιολόγως.

Τὰ δὲ καθ' ἡμᾶς ὡς ἂν ἀπαγγείλῃ ὁ γραμματηφόρος μανθάνων προσεύχου σῴζεσθαι ἡμᾶς.

255. Νικήτᾳ ἡγουμένῳ

Καὶ πρὸ τῶν γραμμάτων διὰ φωνῆς τοῦ γραμματηφόρου πάλαι διαγνοὺς τὰ κατὰ τὴν ὁσιότητά σου ᾔνεσα ὁ τάλας, καὶ νῦν διὰ τῆς ἀναγνώσεως ᾖσα τῷ Κυρίῳ μεγάλως, ὅτι ὁ πατὴρ ἐν τοῖς πατράσι καὶ ὁ λαμπτὴρ ἐν τοῖς λαμπτῆρσιν· ἔδει γάρ, ἔδει τὸν δι' ὑποταγῆς δοκίμου ἀχθέντα καὶ διὰ νομίμου βίου καθηγησάμενον μὴ ἐναπομεῖναι τοῖς συναπαχθεῖσι κατὰ τὰς ἁμαρτίας μου τῷ αἰῶνι τούτῳ, ἀλλὰ θᾶττον ῥαγῆναι τῇ μαχαίρᾳ τοῦ πνεύματος καὶ περιφανεστέραν ποιήσασθαι τῆς ἥττης τὴν ἀνάκλησιν, ἀναδραμόντα ἐν τῇ περιωπῇ τῆς Χριστοῦ ὁμολογίας καὶ φρυκτωροῦντα ἐν κόσμῳ τὸ φῶς τῆς ἀληθείας.

Τοιαῦτα τὰ τῆς πατρικῆς σου ἁγιωσύνης, ἃ καὶ τοὺς ὀρθοδόξους εὔφρανεν καὶ τοὺς ὑπεναντίους ἔπληξεν, ἐν ὅπλῳ δοκοῦντι ἰδίῳ τὴν τρῶσιν δεδεγμένους· οὐ γὰρ οὕτω δάκνει ὁ ἐνιστάμενος ὡς ὁ μετὰ τὴν ἅλωσιν ἀναπαλαίσας ἐν Κυρίῳ. τὰ δὲ ἡμέτερα οὐχ ὡς ἐγκωμιάζει ἡ φιλία σου, ὑφ' ἧς καὶ φιλεῖ κλέπτεσθαι, ὥς φασιν, ἡ ἀλήθεια· πόρρω ἐγὼ ὁ ταπεινὸς καλοῦ παντός. τῆς σῆς δ' ἂν εἴη θεοκλινοῦς

---

5 τὸ ἐν λόγῳ πεσεῖν: cf. ep. 190,27

5 Matth. 10,32 7 Matth. 10,33

---

255. altero semestri spatio a. 816

16 Greg. Naz. or. 2,1 (PG 35,408 B = p. 86 Bernardi)

C (S)

9 περιοπῇ codd: corr Mai 13 εὔφρανε S

προσευχῆς χρησιμεῦσαί με εἴς τι καὶ ἐν ᾧ νῦν πάρεσμεν ἀγῶνι τῆς μερίδος ὑμῶν τῶν ἁγίων μὴ ἀποπεσεῖν. ὁ δὲ ἀγὼν γνωστὸς τῇ θεοσεβείᾳ σου, ὅτι ὑπὲρ Χριστοῦ ἐστι τῆς εἰκόνος αὐτοῦ εἵνεκα ἀθλεῖν· ἑκάτερον γὰρ ἐν ἑκατέρῳ ἀχώριστον καὶ ὁμολογούμενον καὶ ἀρνούμενον. καὶ οἱ ἄρτι ὁμολογηταὶ μᾶλλον τῶν πάλαι ἠξίωνται ἐπαΐειν πρὸς τοῦ Κυρίου, μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες.

Ὁ σὺν ἐμοὶ προσαγορεύει τὴν ἁγιωσύνην σου ὥσπερ κἀγὼ τὸν ἀληθῶς Ἀρσένιον, τὸν ἄρσενα τῇ φρονήσει καὶ διάπυρον τῷ ζήλῳ, τὸν σὸν μὲν ἀληθινὸν υἱόν, ἐμὸν δὲ ἐραστὸν ἀδελφόν. /

256. Ἀντιόχῳ σιλεντιαρίῳ

Ἄξιον τῆς εὐσεβείας σου τὸ γράμμα, ὅτι ἐν καιρῷ ἐν ᾧ φεύγουσιν οἱ πλεῖστοι καὶ ψιλὴν προσηγορίαν ἡμῖν ποιεῖσθαι αὐτὸς καὶ γράφεις καὶ γράφειν ἡμᾶς ἐκκαλεῖσαι, ἐγκαλῶν τὴν σιωπήν. φαίνῃ τίνος εἶ ὅρπηξ, τοῦ χρυσοῦ γένους, τῆς εὐσεβοῦς ῥίζης· διὰ τοῦτο καὶ φίλοι σοι καὶ φίλων ἐμοὶ ὁ διάπυρος, οὕτως στεργόμενος ὡς ὁ μακάριος γεννήτωρ. ἀλλὰ τὸ θαυμαστὸν ὅτι καὶ ἐν τῷ τῆς ἀπιστίας χειμῶνι οὐκ ἐμαράνθη σου τὸ τῆς ἀρετῆς ἄνθος, ἄχραντον διαμένον τῆς αἱρετικῆς κοινωνίας, καθὰ γράφεις. ὃ καὶ διαμεμενηκέναι ἔτι προσευκτέον μοι· τῷ ὄντι γὰρ χαλεπὸν διαφυγεῖν καὶ μάλιστα ἐν ἀξιώματι, ἑαλωκότων σχεδὸν ἁπάντων δέει κινδύνου ἀνθρωπίνου, καταφρονήσει δὲ θεοῦ τοῦ ἀθετουμένου· οὗ τῇ προμηθείᾳ φυλάττοιο καὶ σῴζοιο ἀμφοτέρωθεν, ὁ κατὰ πάντα ἐρασμιώτατος ἅπασιν.

---

21 Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C) 23 Joh. 20,29

24 ὥσπερ – 25 Ἀρσένιον in marg C

256. a. 815 – 818

C (S)

3 ἡμῖν: ἡμῶν Mai 4 ἐκκαλῆσαι C: ἐκκάλησαι Mai φαίνει C Mai 5 ὅρπηξ C Mai διατοῦτο S φίλοι σοι scripsi: φίλη σὺ C: φίλος σὺ S: φιλῇ σὺ Mai 6 οὕτω S 10 τῳόντι S

257. Γρηγορίῳ

Αἱ ἀποστολαὶ τῶν ἐπιστολῶν σύζυγοι· σὺ δέ, ὦ φίλων ἄριστε, προσθείην δ' ἂν καὶ εὐσεβῶν κράτιστε, ταῖς μὲν εὔφρανας καὶ μάλιστα ἐπὶ τοσαύταις καὶ τηλικαύταις, τῶν δὲ ἐφθόνησας μεταδοῦναι, καὶ ταῦτα ἐκ τῶν ἀδύτων θησαυρῶν σου τῆς καρδίας δαψιλῶς δυναμένων προϊέναι. ἵν' οὖν μὴ ἑτεροζυγοῦντες φαινοίμεθα, προσθῶμεν ταῖς πρώταις καὶ τὰς δευτέρας.

Ὁρᾷς οἷά σοι φιλοσοφῶ ἐν καιρῷ φιλοσοφίας; φιλοσοφία γάρ ἐστι τὸ φυγεῖν τὸν ὄλεθρον τῆς αἱρέσεως, ἧς σὲ θεὸς ἀμέτοχον διατηρήσειεν, ἀνταμειβόμενος ὑπὲρ ὧν ἔθρεψας ἡμᾶς τοὺς ταπεινοὺς τοῖς ἀκηράτοις ἀγαθοῖς.

258. Λουκιανῷ τέκνῳ

Ἀδάμ, ποῦ εἶ; φωνή ἐστι θεοῦ οὐ μόνον πρὸς τὸν ἀρχιπάτορα ἡμῶν, ἀλλὰ γὰρ καὶ πρὸς ἕκαστον τὸν ἐκπεπτωκότα τῆς θείας ἐντολῆς. ποῦ οὖν εἶ, τέκνον καὶ ἀδελφέ; ἐκ ποίας δόξης ὠλισθήσαμεν, περιθέμενοι αἰσχύνης κάλυμμα; ἀλγῶ ἐπὶ σοί, στένω, κλάω, ἐν τῇ ἥττῃ σου τὸ οἰκεῖον πτῶμα / ὁρῶν. οἴμοι, τί ὑπέστης, τί πέπονθας; ἀλλ' ἐπειδὴ θεὸς τῶν μετανοούντων, ἀνάστα, τοῦτο πρῶτον καὶ τελευταῖον φάρμακον μετανοίας λαμβάνων, τὸ πᾶσιν ἐξαγορεύειν σου τὴν ἀνομίαν, ὅπως ὁ Κύριος ἀφήσῃ σοι τὴν τῆς ἀσεβείας κοινωνίαν.

---

257. a. 815 – 818 2 αἱ ἀποστολαί – σύζυγοι: ad hoc eloquendi genus cf. Hunger, Literatur I 231 pariter incipit Jo. Tzetz. ep. 68 (p. 98 Leone): ἐπιστολὴν ᾐτησάμην, ἀλλ' οὐκ ἀποστολήν 8 φιλοσοφία: verae religionis meditatio; cf. F. Dölger, Byzanz und die europäische Staatenwelt. Darmstadt 1964, 198 sq.

6 2 Cor. 6,14

C (S)

4 μετὰ δοῦναι C 9 σε Mai 10 διατηρήσοιεν omnes: correxi

---

258. a. 817

2 Gen. 3,9

C (S)

5 ἀλγῶ: κἀγὼ Mai 6 οἴμμοι C Mai 9 ἀφήσει C Mai

Ἀρκεῖ τοσοῦτον εἰπεῖν· οἴομαι γάρ σε συντετριμμένον εἶναι καὶ λίαν λελυπημένον, ἀλλὰ ἄνες, τέκνον· ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.

259. Μύρωνι

Ὀψίσθην ἐπιστεῖλαι τῇ θεοσεβείᾳ σου, δεδιὼς τοὺς πειρασμοὺς καὶ ἐν πείρᾳ αὐτῆς οὔπω ὡς δοκῶ γεγονώς· ἐπεὶ δὲ ἔμαθον ἀκριβέστερον ὅστις καὶ οἷος ὁ δεσπότης μου, ὅτι ἀγαθὸς καὶ εὐσεβής, προθύμως ἐχάραξα τὴν ἐπιστολήν, δι' ἧς ἀπευχαριστῶ, καὶ μάλα γε εἰκότως, ὅτιπερ ἐμνήσθης μου τῆς ταπεινώσεως, καίτοι γνώρισμα αὐτῆς οὕτως ἐναργῶς μὴ ἔχων, καί γε ἐν τοιούτῳ καιρῷ, ὁπότε δέει ἀνθρωπίνῳ καὶ φίλοι τῷ δοκεῖν γνήσιοι ἀποτροπάδην ἔστησαν, ἥκιστα φροντίζοντες θεοῦ καὶ τῆς ἐντολῆς, ἐπειδὴ οἱ μὲν ὤλλυντο τῆς ἀγάπης φέρειν τὸν καρπόν, οἱ δὲ περὶ τὴν πίστιν τὸ χαλεπώτερον ἐναυάγησαν, τῷ κλύδωνι τῆς αἱρέσεως καταβαπτισθέντες καὶ τοὺς λογισμούς.

Ἀλλ' εὖγε, ὅτι ὁ κύριός μου ἀμφοτέρωθεν κυβερνώμενος διασῴζεις τὴν ὁλκάδα τῆς ψυχῆς, ταῖς αὔραις τοῦ πνεύματος εἰς λιμένα σωτηρίας ἀπευθυνόμενος. Ἐδόξασα οὖν τὸν ἀγαθὸν ἡμῶν θεόν, ὅτι ἔχει καὶ ἐν τοῖς αὐτόθι κρύβδην τοὺς μὴ παραρρυέντας, ἀλλ' ὁμολογοῦντας αὐτὸν ἄνθρωπον διὰ φιλανθρωπίαν ἄπειρον γεγονέναι· οἱ γὰρ μὴ ἀνεχόμενοι εἰκόνα αὐτοῦ τοῦ σωματικοῦ χαρακτῆρος ἐνορᾶν ἀρνοῦνται αὐτὸν ἀριδήλως μορφὴν τὴν καθ' ἡμᾶς εἰληφέναι, ἰουδαΐζοντες ἐντεῦθεν, κἂν προσποιοῦνται ὁμολογεῖν Χριστὸν εἴσω τῆς ἡμετέρας φύσεως γενέσθαι· ὃς γὰρ οὐκ εἰκονίζεται, οὗτος οὐδὲ ἄνθρωπος, ἀλλά τι ἔκτρωμα· πῶς γὰρ πρόσωπόν τις ἔχων οὐκ εἰκονισθήσεται; εἰ οὖν Χριστὸς εἶχεν πρόσω/πον, εἰς ὃ ἐνέπτυσαν οἱ θεοκτόνοι, δῆλον ὅτι περιγράφεται, ἤγουν εἰκονίζεται· εἰ δὲ εἶχεν,

---

12 Philipp. 4,5

---

259. a. 815 – 818 14 λιμένα: ad hanc metaphoram frequentissimam cf. adn. ad ep. 330,5

9 cf. Joh. 13,34

C (S)

2 δεδειῶς C: δεδειὼς Mai: correxi 8 τὸ codd: corr Mai 13 διασώζοις C Mai 14 λιμένας Mai 18 ἐνορᾶν: ἐν ὁρᾶν C 20 πρὸς ποιοῦνται C: προσποιῶνται S 23 εἶχε S

ἀλλ' οὐκ εἰκονίζεται, ὡς τοῖς ἀσεβέσι δοκεῖ, φάντασμα σαφῶς· καὶ γὰρ τοῦ Οὐαλεντίνου τὸ ἀσέβημα ἔχουσι μανιχαΐζοντες οἱ εἰκονομάχοι.

Ὧν τῆς πλάνης ῥυσθείης τελέως καὶ αὐτὸς καὶ εἴ τίς σοι τῆς ἀρετῆς καὶ εὐσεβείας παραπλήσιος. μικρὰ ὡς μεγάλα δέξαιο, φίλε, ἀνθ' ὧν ἀπέστειλας τῇ ταπεινώσει μου, μηδὲν ἐχούσῃ κρεῖττον ἀμείψασθαι.

260. Γεωργίῳ μιθανῇ

Ὢ πῶς καλὸν τὸ πλάσμα τῆς ψυχῆς σου, φίλε καλὲ καὶ πιστέ, φίλε γνήσιε καὶ φιλόθεε, φίλε κοινωνὲ θλίψεων καὶ περιστάσεων· ἀληθῶς εἴρηκεν ἡ Γραφὴ ὅτι ὁ εὑρὼν αὐτὸν εὗρεν θησαυρόν, οὐ τὸν ἐκ χρυσίου, ἀλλὰ τὸν διὰ Πνεύματος Ἁγίου καταπεπλουτισμένον. τοιοῦτος σὺ πρὸς ἡμᾶς τοὺς ταπεινούς, τὸν μὲν ἐπισκεπτόμενος, τὸν δὲ προσδεχόμενος ἐξ ὁδοῦ ἥκοντα, καὶ ἄλλον θεραπεύων καὶ ἕτερον παραμυθούμενος, τοῦ δὲ καὶ ἐγγυητὴς γινόμενος ἐγκρατουμένου. οἶδας ὅ φημι· καὶ τί γὰρ οὐ ποιῶν καὶ λέγων, ὅσα εἰκὸς τὸν φιλόθεον ἄνδρα καὶ ἀγαθοκάρδιον ἄνθρωπον ἔστι πράσσειν; καί γε ἐν ταῖς ἡμέραις ταύταις, ὅτε καὶ ψιλὴ προσηγορία φίλου μέγιστόν τι χρῆμα λογίζεσθαι ἡμῖν πέφυκεν.

Οὕτω μὲν οὖν ταῦτα ἡμεῖς οἱ ἁμαρτωλοὶ ἔχομεν παρὰ τῆς τιμιότητός σου. σὲ δὲ ὁ Κύριος ἀμείψεται τοῖς αἰωνίοις αὐτοῦ ἀγαθοῖς· διὸ μὴ ἐκκακήσῃς τὸ θεῖόν σου ἔργον τελεῖν ἐνώπιον τοῦ σῴζοντός σε θεοῦ.

---

26 οὐ ἀλεντίνου C

---

260. a. 815 – 818

---

4 Sir. 6,14

C (S)

---

1 ἰθανῇ S: Μιθανῇ Mai (an μιθανεῖ scribendum?) **4** εὗρε S **9** φημί codd **15** ἐκκακήσοις C Mai

261. Πάρδῳ μιθανῇ

Ἐπιστέλλω τῇ τιμιότητί σου χρεωστικῶς διότι ἄνθρωπος εἶ τοῦ θεοῦ καὶ φίλων ὁ ἀληθινὸς καὶ πιστός· ὁ γάρ τοι τοιοῦτος φίλος ἐν τοῖς πειρασμοῖς δοκιμάζεται, μὴ ἐκτρεπόμενος τῆς φιλίας, ἀλλὰ διασῴζων τὸ δοκίμιον τῆς πρὸς θεὸν καὶ τὸν πλησίον ἀγάπης· οἱ δὲ μὴ οὕτως σκαιοὶ καὶ μισάνθρωποι, τοῖς καιροῖς καὶ πράγμασιν ἀλλοιούμενοι. οἶδας παρὰ σεαυτῷ ἃ ποιεῖς ἀγαθά· μάρτυρες δὲ καὶ οἱ μετέχοντες αὐτῶν / ἀδελφοὶ ἡμῶν, πολλά σε βαροῦντες, ἀλλὰ καὶ πλεῖστα εὐχαριστοῦντες, ὅτι προσφύγιον αὐτοῖς γίνῃ καὶ κουροτρόφος μάλα ἡδὺς καὶ περιδέξιος, οὐχ ὑποπτήσσων τὸν καιρὸν ὡς οἱ λοιποί, ἀλλὰ τρέμων θεὸν τὸν μόνον φοβερόν, ὃν καὶ θεραπεύεις διὰ τῶν ἀδελφῶν, ὅς σε καὶ ἀνακηρύξει ἐν καιρῷ τῆς ἀνταποδόσεως ὡς εὐποιητὴν αὐτοῦ, ὡς ξεναγιστὴν αὐτοῦ, ὡς τροφοδότην αὐτοῦ.

Ἔχων οὖν τοιαύτας τὰς ἐλπίδας, ἄνθρωπε θεοῦ, χαῖρε καὶ εὐφραίνου καὶ νόμιζε πολὺν πλοῦτον συναθροίζειν ἐν τῇ καλλίστῃ σου πραγματείᾳ ταύτῃ, πλοῦτον οὐ φθαρτόν, ἀλλὰ τὸν διαμένοντα εἰς αἰῶνας ἐπὶ κτήσει τῆς βασιλείας τῶν οὐρανῶν. ἔρρωσο ἐν Κυρίῳ.

262. Γενναδίῳ τέκνῳ

Ἃ ἐπέστειλας, τέκνον ἠγαπημένον, ἐπέγνων. λυπῇ, ὅτι ἐν τῷ διωγμῷ τόπον ἐκ τόπου ἀμείβεις, ὑπὸ δέους καὶ μερίμνης συνεχόμενος· ταῦτα γὰρ ὑποβάλλει ὁ λόγος τῆς φυγαδείας, πρὸς δὲ καὶ ἐνδεῶς ἔχειν τῶν κατὰ χρείαν. ἀλλὰ ὁ μακαρισμὸς τοῦ Κυρίου εὐφραινέτω σε καὶ κουφιζέτω τὰ ἄλγη· μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. ἆρα οὐ πᾶσαν θλῖψιν καὶ στενοχωρίαν ἱκανή ἐστιν διαλῦσαι ἡ ἐπαγγελία αὕτη; ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίναι. ὁρᾷς ὅτι θεομίμητόν σε ἐργάζεται ἡ βίᾳ; βιαστῶν οὖν ἐστιν ἡ βασιλεία

---

261. a. 815 – 818

C (S)

1 ἰθανῇ S: Μιθανῇ Mai (an μιθανεῖ scribendum?)   14 fort est ⟨τοῦ⟩ θεοῦ scribendum

---

262. a. 817?

6 Matth. 5,10   9 Matth. 8,20   10 Matth. 11,12

C (S)

8 ἐστι Mai   9 κλῖναι C

τῶν οὐρανῶν. ἔνεγκον, τέκνον, ὡς προήνεγκας διὰ Χριστὸν οὐ μόνον διωγμόν, ἀλλὰ καὶ φυλακήν. ὁ προσθεὶς γνῶσιν προσθήσει ἄλγημα, φησίν. νεωστὶ ἠρίστευσας· καὶ πρεσβυτισθεὶς ἐν τῇ γνώσει καὶ ἡλικίᾳ οὐ περισσότερος εἴης;

Ναί, τέκνον, παρακαλῶ, περιφρουρῶν ἑαυτὸν παντοίως, ἵνα σῴζῃ ὥσπερ δορκὰς ἐκ βρόχων καὶ ὥσπερ ὄρνεον ἐκ παγίδων. εὔχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ.

263. Κληδονίῳ τέκνῳ

Ἄρτι συνέφθασα, τέκνον ἠγαπημένον, ἀντεπιστεῖλαί σοι. χαίρω οὖν ὅτι ὑγιαίνεις, εἰς / δὲ τὸ μεμονῶσθαί σε οὐχ ἡδέως ἔχω, κἂν ἀκουσίως, ἐκ τοῦ τὸν ἀδελφὸν Νεῖλον κρατηθῆναι. σπούδασον οὖν, παρακαλῶ, συνεῖναι ἑνὶ τῶν ἀδελφῶν, καὶ τούτῳ, εἰ οἷόν τε, συνετῷ· οἶδας γὰρ ὅτι παντὶ ὁ ἐχθρός, καὶ χρεία ἀσφαλείας ψυχικῆς. εἰς δὲ τὸν ἀββᾶν Λεόντιον τί σοι ὅλως ἐπῆλθεν ἀπιέναι; εἰ μὲν ἔγνως πεφυλαγμένον αὐτὸν τῆς αἱρέσεως, εὖ ἂν εἶχεν· τοῦτο γὰρ κἀγὼ προεθυμούμην, καθὰ καὶ προενετειλάμην τῷ μακαρίῳ Θεοδούλῳ. ἐπειδὴ δὲ συναπήχθη τοῖς αἱρετικοῖς δι' ὑπογραφῆς καὶ κοινωνίας, δι' ἣν καὶ ἀπέστη ἀπ' αὐτοῦ ὁ μακάριος ἐκεῖνος, οὐδὲν ἄλλο ἐστὶ τὸ ἀπελθεῖν σε πρὸς αὐτὸν ἢ τὸ γενέσθαι ὅμοιον αὐτῷ καὶ ἀπολέσαι τὰ πάντα, καὶ τὴν ὑποταγὴν καὶ τὴν Χριστοῦ ὁμολογίαν. στῆθι, τέκνον μου, ἐν τῷ κράτει τῆς ἀληθείας, τόπον ἐκ τόπου μὴ ὡς ἔτυχεν μετερχόμενος ἄνευ ἀνάγκης. πάντως δὲ ὁ εἰπὼν οὐ μή σε ἀνῶ οὐδ' οὐ μή σε ἐγκαταλίπω θεὸς οὐ παρόψεταί σε ἐν ἀληθινῇ καρδίᾳ πορευόμενον καὶ σκέπων καὶ τρέφων καὶ παντοίως προνοούμενος· πλὴν ὅτι θλίψεως καιρὸς καὶ ὑπομονῆς χρεία. μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν Χριστοῦ· τοῦτο εὐφραινέτω σε καὶ τὰ ἐπώδυνα κουφιζέτω. ὁ δὲ κατὰ σάρκα σου ἀδελφός, σὰρξ ὤν, σάρκα σε θέλει γενέσθαι.

---

12 Eccl. 1,18 15 Prov. 6,5

263. a. 817 9 μακαρίῳ: cf. Theod. Stud. catech. parv. 36 (p. 130 Auvray)

15 Jos. 1,5 18 Matth. 5,10

C (S)

2 ἀντ' ἐπιστεῖλαί C 5 οἷόν τε: οἷόνται C 8 εἶχε S 14 ἔτυχε S 16 ἐγκαταλείπω C Mai

Τί μοι τοιαῦτα γράφεις; ἴδε τοὺς κατὰ πνεῦμα ἀδελφούς σου ἐναθλοῦντας κἀκείνους ζηλοῦν ἐπείγου, ἵνα γίνῃ στεφανίτης. ὁ θεός σε, τέκνον μου, περιφυλάξειεν, εὐχόμενον περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ.

264. Εὐστρατίῳ ἀρχιητρῷ

Ἐγίνωσκον μὲν τὴν τιμιότητα τῆς ἀγάπης σου καὶ πρότερον, ὁπότε τῆς προσκυνήσεώς σου ἠξιώθην, οὔπω δὲ τὸ πόση καὶ ἡλίκη· διὰ δὲ τοῦ πνευματικοῦ ἡμῶν υἱοῦ Ἀδριανοῦ τοσαῦτά σου καλὰ ἠκουτίσθημεν καὶ οὕτω διέθετο ἡμᾶς ἡ ἀπαγγελία εἰς ἀγάπησιν (μάλιστα ὅτι καὶ τῆς αἱρέσεως μένοις ἀνώτερος, διαφυλαττόμενος ὡς ἐν μέσῳ φλογὸς ἄφλεκτος τῆς αἱρετικῆς κοινωνίας), ὥστε εὐχαριστῆσαι τὸν ἀγαθὸν ἡμῶν θεὸν λίαν καὶ δόξαι εἰς πρόσωπόν σου τίμιον ἐλθεῖν καὶ περιπτύξασθαί / σε ἀπὸ καρδίας. χάρις οὖν τῷ Κυρίῳ, τῷ ἔχοντι ἐκλεκτοὺς καὶ ἐν Βυζαντίδι ἐν τῷ παρόντι καιρῷ χαλεπῷ, ἐφ' ᾧ Χριστὸς διώκεται σὺν μητρὶ καὶ θεράπουσι διὰ τῆς τῶν ἁγίων αὐτῶν εἰκόνων καταδρομῆς καὶ ἀτιμίας· καὶ γὰρ ἡ τῆς εἰκόνος ὕβρις τοῦ εἰκονιζομένου ἐστὶν ἀριδήλως ἀτιμία, κἂν οὐ συνιῶσιν οἱ χριστοδιῶκται. ἆρα οὐχ ὁ τὸν τύπον τοῦ ζωοποιοῦ σταυροῦ ὑβρίζων τὸν ζωοποιὸν σταυρὸν ὑβριεῖται; καὶ μάλα. οὕτω καὶ ἐπὶ τοῦ τύπου, ἤτοι τῆς εἰκόνος Χριστοῦ.

Ἀλλ' ἐκείνοις μὲν εἴη ἐπιστροφὴ καὶ παῦλα τῆς ἀσεβείας· σὲ δὲ Κύριος ἔτι διαφυλάξειεν μετὰ τῆς κυρίας τῆς ὁμοζύγου, τῆς καὶ ἀφ' αἵματος ἡμῶν, ὡς ὁ λόγος, ἀσινῆ καὶ ἀβλαβῆ ἐν πᾶσι, παρέχων σοι καὶ ὑπὲρ τῆς τοῦ ἀδελφοῦ καὶ γραμματηφόρου ἐξ ἀρχῆς μέχρι τοῦ δεῦρο καλοποιΐας καὶ ξενοδοχίας πολλοὺς τοὺς μισθούς, πολλά σου τὰ ἀγαθὰ ἐξαγγέλλοντος, οὐ μὴν ἀλλὰ καὶ ὑπὲρ ὧν ἐστερήθης προσόδων φυγὰς τὴν τοῦ ἀσεβάρχου συνεστίασιν. εἴη σοι θησαυρὸς οὐράνιος τῶν πνευματικῶν χαρίτων.

---

264. a. 815 – 818 20 ἀδελφοῦ: Adrianus

17 Ps. 40,3

C (S)

1 ἀρχιατρῷ Mai 5 ἐπαγγελία Mai 13 ἔστιν codd: corr Mai 18 διαφυλάξειε S κυρίας τῆς: κυρίας σῆς Mai 19 πᾶσιν Mai 21 ξενοδοχείας Mai 23 συνὲστίασιν C

265. Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ

Ἠξίωμαι καὶ τανῦν μαθεῖν σου τὰ τῆς ὑγιείας καὶ ὁσιώσεως οὐ μόνον ἀπὸ τιμίου γράμματος, ἀλλὰ καὶ ἀπὸ ζώσης φωνῆς τοῦ καλοῦ Διονυσίου, ὃς ἔθρεψέν μου τὴν ταπεινὴν ψυχήν, ἕκαστα ἐξηγησάμενος, ἃ ὑπέλαβεν ὀφθαλμοῖς τῶν αὐτόθι, τὴν ξενίαν, τὴν παροικίαν, τὴν ἡσυχίαν, τὸ ὄρος, τὸ ὕδωρ, μᾶλλον δέ, παρεὶς ταῦτα, ἐξ ὧν ἐστι γνωριμώτερον λέξω, τὸν θεόν, ᾧ λατρεύεις, καὶ ὃν θεραπεύεις καὶ ὑπὲρ οὗ σοι ἡ ἐρημία καὶ ἡ τληπαθεία, ἀπορφανισθέντι προσώπῳ, οὐ καρδίᾳ, ἡμῶν τε τῶν ταπεινῶν, ἀλλὰ μὴν καὶ τῆς ὑπὸ χεῖρα μεγάλης τοῦ θεοῦ ἐκκλησίας. ἐλεεινὰ μὲν οὖν ταῦτα (πῶς γὰρ οὔ;), ἀγαπήσει ἠγαπημένος ὑπ' ἀμφοτέρων καὶ οἷα τομῇ μαχαίρας διῃρημένος· ὅμως ἔχεις μὲν αὐτός, ποθεινότατε καὶ ἁγιώτατε, εἰς θεὸν μεγάλας τὰς ἐλπίδας, ἔχει δέ σου ἡ ἐκκλησία σὺν ἡμῖν πολλὰ τὰ αὐχήματα εἰς σέ, τὸν δι' ἀλήθειαν καὶ προπαθόντα τοι/αῦτα καὶ νῦν μετὰ Χριστοῦ πάσχοντα· ἐν οἷς τελειώσειέν σου ἡ θεία χάρις τὸν καλὸν ἀγῶνα εἰς ἄμειψιν τοῦ στεφάνου τῆς δικαιοσύνης ἐν ἡμέρᾳ τῆς δικαίας τοῦ Κυρίου ἀνταποδόσεως. δέδιας, ὦ πάτερ, τοὺς οἴκοθεν καὶ ἀοράτους ἐχθροὺς παρὰ τοὺς ὁρωμένους, καὶ οὐκ ἀπεικότως, ἀλλ' ὡς ἔμφρων, ἀλλ' ὡς ἐμπειροπόλεμος, ἀλλ' ὡς ἀσφαλής· τούτους κἀγὼ ὁ τάλας πτοοῦμαι καὶ δέδοικα, ὅτι ὁμοῦ τὸ ἀναπνεῖν καὶ ἡ βολὶς πυρπολουμένη, οὔτε καθεύδοντί μοι ἀργοῦσα διὰ τῶν ἰνδαλμάτων, μὴ ὅτι γρηγοροῦντι. ἀλλ' εἷς ἐπαρωγός, ὁ τοῦ θεοῦ φόβος· οὗ γὰρ οὗτος γρηγορεῖ, ἐκεῖ κοιμᾶται τὰ πάθη.

Δέομαί σου οὖν τῆς ὁσιότητος ἐπαμῦναί μοι ταῖς προσευχαῖς ἀδιαλείπτως περισῴζεσθαι ἀνώτερον τῆς παγίδος τοῦ ἐχθροῦ· πρὸς γὰρ τὸ ἡμᾶς τοὺς ἀναξίους ἕλκεσθαι εἰς μνήμην σου πρὸς ἕκαστα τί δεῖ καὶ λέγειν, εἰ μὴ ὅτι καὶ πρὸ τῆς οἰκείας σωτηρίας τὴν σὴν ἐξαιτούμεθα ἐν Κυρίῳ συντετριμμένῃ καρδίᾳ εὐδοκίμησιν καὶ διάσωσιν ἐν πᾶσιν. προσαγορεύουσιν οἱ σὺν ἐμοὶ ἀδελφοὶ μετ' αἰδοῦς τὴν ἱεράν σου κορυφήν. πλεῖστα ἀσπάζομαι τοὺς ἀδελφούς, μάλιστα τὸν καλὸν Ἀθανάσιον, ἔργῳ καὶ λόγῳ συμπεπονθέναι σοι ἐν Κυρίῳ θερμῶς προαιρούμενον.

---

265. a. 816 exeunte vel a. 817 ineunte

15 2 Tim. 4,6   16 2 Tim. 4,8

C (S)

2 τὰ νῦν C Mai   4 ἔθρεψέ S   7 καὶ ὃν θεραπεύεις om Mai   8 τληπάθεια S Mai   15 τελειώσειέ S   17 δέδειας C Mai   24 ἐπαμύναι S   25 παγῖδος codd: corr Mai   29 πᾶσι S

266. Ἄνθῳ τέκνῳ

Τὸ μικρὸν ἐπιστολίδιόν σου, τέκνον ἠγαπημένον, μέγιστόν μοι εἰς ἀποδοχῆς λόγον· ἀρκεῖ γάρ μοι τὸ σημαίνειν σε ὅτι ζῇς καὶ ὑγιαίνεις, ὑπηρετῶν τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ καὶ πατρί. ἔτι οὖν ἔρρωσο, φίλτατον τέκνον, καὶ σώματι καὶ πνεύματι, ἵνα ἀκούων χαίρω ὁ ταπεινός. προσεύχου ἀνεπιλήστως τὴν σωτηρίαν μου ὡς υἱὸς ἀγαπητός, ὡς ἄνθος ἀρετῶν, ὡς ἠγαπηκὼς ἀπ' ἀρχῆς τὴν ἁγνείαν. σωθείης.

267. Ἰγνατίῳ ἐπισκόπῳ Μιλήτου

Παρὰ τὸ μὴ εἰδέναι με ἀκριβῶς τὸν τῆς ἐξορίας τόπον τῆς πατρικῆς σου ἁγιωσύνης οὐκ ἠξιώθην ἐπιστεῖλαι μέχρι τοῦ παρόντος, καίτοι ἐπιθυμίαν ἔχων καὶ εἰς αὐτὸ τοῦτο ἀσχάλλων τῷ πνεύματι· ἄρτι δέ πως ἐληλυθότος Διονυσίου τοῦ ἀδελφοῦ ἡμῶν ἐκ τῶν αὐτόθι καὶ / ἀναγγείλαντος ἡμῖν ὅτι καὶ ἑώρακέν σου τὴν ὁσιότητα καὶ προσηγορίαν αὐτῆς ἔσχεν ἐν τῇ καθ' ἡμᾶς οὐθενότητι, τίς τε καὶ οἷος ὁ χῶρος αὐτὴν ὁ κατέχων, καὶ χαρᾷ ἐχάρημεν οἱ ταπεινοὶ καὶ εὐθύμως τὴν ἐπιστολὴν ἐχαράξαμεν.

Ἡμεῖς γάρ, ὦ τιμιώτατε, ἔκπαλαι κάτοχοι τῆς ἀγάπης σού ἐσμεν καὶ σέβομεν οὐ μόνον ὡς γνώριμον καὶ ὁμόσχημον, ἀλλὰ γὰρ καὶ ὡς ὁμολογητὴν τοῦ Χριστοῦ, ὑπὲρ οὗ καὶ δι' ὃν ὁ διωγμὸς καὶ ὑπερορισμός. ἀλλὰ χάρις Κυρίῳ τῷ γνωρίσαντί σε ἐν τῷ νῦν καιρῷ στῦλον καὶ ἑδραίωμα τῆς ἀληθείας, μὴ κατασεισθέντα ὑπὸ τῶν προσβολῶν τῶν ὑπεναντίων, ἀλλὰ διασῴζοντα τὸ τῆς εὐσεβείας μυστή-

266. a. 816 exeunte vel a. 817 ineunte

C (S)

4 ἀρχιεπισκόπῳ: ἐπισκόπῳ Mai 6 ἀνεπιλήπτως Mai

267. a. 816 exeunte vel a. 817 ineunte 2 παρὰ τὸ μή: sic incipit Jo. Tzetz. ep. 67 (p. 96 Leone)

14 1 Tim. 3,15 **15** 1 Tim. 3,16

C (S)

6 ἑώρακέ S 7 αὐτῆς: αὐτὴν C Mai 14 τῶν om Mai

ριον ἐν τῇ κραταιότητι τοῦ Ἁγίου Πνεύματος ἀκαπήλευτον· πάντως γὰρ ἔγνως ὅσοι καὶ πηλίκοι οἱ κατὰ τὰς ἁμαρτίας μου ὠλισθηκότες· ἐφ᾽ οὓς τίς οὐ στενάξειεν δάκρυον; καί γε ἐπὶ τῷ Μηδικιώτῃ, συληθέντι ἐκ τῶν περὶ Ἰωσὴφ οἰκονομίας χάριν ἠσεβηκέναι εἰς Χριστόν. τοῦτο δέ, ὦ θεόσοφε, ἀπηχὲς πάνυ καὶ ἔκτοπον· ἐὰν γάρ τις τὸ κακὸν ἐν προσχήματι ἀγαθοῦ ποιῇ, διπλοῦν ἐργάζηται τὸ ἁμάρτημα, ὅτι αὐτός τε τὸ οὐκ ἀγαθὸν ποιεῖ καὶ κέχρηται οἱονεὶ παραπετάσματι τῷ τοῦ ἀγαθοῦ ὀνόματι, φωνή ἐστι τοῦ θείου Βασιλείου. οὕτω μὲν ἐκεῖνοι πρὸς τῇ οἰκείᾳ πτώσει καὶ πολλοῖς ἄλλοις ὄλισθος γενόμενοι, πλὴν ὅτι ὁ Μηδικιώτης, ἐπιγνοὺς τὴν ἧτταν, καὶ ὡμολόγηκεν ὠλισθηκέναι καὶ μεταμεμέληται σφόδρα, ὡς μεμάθηκα, καὶ διὰ τοῦτο φυγὰς ᾤχετο, μέγιστον δεῖγμα μετανοίας καὶ ὠφελείας ἐγκαταλείψας τοῖς τε οἰκείοις φοιτηταῖς καὶ τοῖς εὖ φρονοῦσιν. ἵστανται δὲ χάριτι Χριστοῦ ἐρηρεισμένοι ἐν ἐπισκόποις οἱ προηγωνισμένοι ἐν Κυρίῳ, ἐν ἡγουμένοις ὁ τῶν Καθαρᾶ, τοῦ Πικριδίου, τοῦ Παυλοπετρίου, τοῦ Ἀγροῦ, ὁ τῆς Δελμάτου, ὁ τῆς Πελεκητῆς Μακάριος.

Προσεύχου τοίνυν, ὦ ποθεινότατε πάτερ, ὑπὲρ εἰρήνης τῆς ἐκκλησίας, εἶτα καὶ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἐλαχίστου ἵνα σὺν ὑμῖν τοῖς ἁγίοις πατράσιν ἐπιτύχοιμι θεοῦ, κατόπιν ὑμῶν ἀξιούμενος βαίνειν.

268. Ἰωάννῃ ἡγουμένῳ

Δύο ἐπιστολῶν τῆς ἁγιωσύνης σου ἔκτισις τὸ παρὸν γραμματεῖον διὰ τὸ μὴ ἐπιτυ/χεῖν με γραμματηφόρου, ἀληθέστερον δὲ εἰπεῖν, διὰ τὸ φασματικὴν ἡμᾶς συντυχίαν δέξασθαι, ἣν ἀπήγγειλεν ὁ ἐνεγκὼν τὴν ἐπιστολήν. χάρις οὖν τῷ θεῷ ὅτι ὑγιαίνων διατελοίης, πάτερ

18 Μηδικιώτῃ: Nicetas 30 ὁ τῶν Καθαρᾶ: Ioannes; cf. ep. 271,3 τοῦ Παυλοπετρίου: Athanasius; cf. Theod. Stud. catech. parv. 21 (p. 77 Auvray) τοῦ Ἀγροῦ: Theophanes confessor 31 τῆς Δελμάτου: Hilarion; ad formam nominis cf. Psaltes, Grammatik 2 sq.

20 Bas. serm. mor. 1,6 (PG 32,1128 C)

18 στενάξειεν: στάξειε S (fort recte; cf epp 275,38; 280,4) 21 ἐργάζεται S 25 ἐπὶ γνοὺς C 28 δὲ C[sscr] 29 ἐρειρισμένοι C Mai 31 ἀγροῦι C: Ἀγραῦ Mai δαλμάτου S (sed cf Psaltes l. l.) Μακάριος scripsi: μακάριος Mai (cf tamen epp 230; 362; 371; Van de Vorst, Note sur S. Macaire de Pélécète. AB 32 [1913] 270 sq) 34 τοῖς om Mai

268. a. 817 ineunte

C (S)

τιμιώτατε, φέρων τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ὑπὲρ οὗ καὶ δι' ὃν ἡ ἐξορία καὶ ἡ κακοπάθεια, ἥ τε ἀφαίρεσις τῶν οἰκείων καὶ ἡ ἀπαλλοτρίωσις τῶν ἰδίων. δέχῃ ἀκοὰς θλιπτικὰς τῶν εἰς τὰ τοῦ μοναστηρίου παρανομούντων· καὶ οἶδα ὅτι δριμύττει ὁ λόγος (πῶς γὰρ οὔ;), ὧν ἐστι κόπος χειρῶν σου, ἱδρὼς ἀγώνων, ὕπαρξις γονέων, πολλῶν ἄλλων εἰσφοραὶ καὶ συγκομιδαί, ἐπειδὴ καὶ ἦρξας ἐν βασιλικοῖς πράγμασιν, ὀψώνια καὶ σιτηρέσια οὐκ ὀλίγα λαβών, καθότι καὶ ἐξ εὐγενῶν ἔφυς καὶ ἐκ συγγενῶν συνεκροτήθης καὶ πολυούσιον ἐτεκτήνω ἀσκητήριον.

Ἀλλὰ τί δεῖ παθεῖν, οὕτως τοῦ καιροῦ ἐνεγκόντος; θάρσει οὖν, ὦ τιμιώτατε, ὅτι καὶ ταῦτα ἀπολήψῃ μικρὸν ὕστερον, ἡνίκα δοκιμάσῃ τῷ ἱκανῷ τοῦ πειρασμοῦ ὡς ἐν πυρὶ τὸ δοκίμιον τῆς πρὸς αὐτὸν ἡμῶν πεποιθήσεως ὁ ἀγαθὸς θεός· καὶ ἔτι κρείττονα καὶ μένουσαν ἐν οὐρανοῖς ὕπαρξιν ταμιεύσοιτό σοι Χριστὸς ἀνθ' ὧν νῦν κατέλιπες πάντα δι' αὐτόν, κλέος ἀπενεγκάμενος αἰώνιον ἔν τε τῷ μοναδικῷ τάγματι καὶ ἐν πάσῃ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. μὴ οὖν, παρακαλῶ, καταξαινέτω τὴν καρδίαν ἡ μνήμη καὶ ἀγγελία τῶν λυπηρῶν· γέγραπται γάρ, ὑπομιμνήσκω, οὔπω μέχρις αἵματος ἀντεκατέστημεν πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι. δυνατὸς δὲ ὁ θεὸς ποιῆσαι σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τῆς ἐλπίδος καὶ πιστός ἐστιν εἰς μαρτύριον ἡμῖν λογίσασθαι καὶ τὰ φθάσαντα καὶ φθάζοντα.

Διὸ ὑπομονῆς ἡμῖν χρεία ἔτι, ὦ πάτερ, ἵνα κομισώμεθα τὰς ἐπηγγελμένας παρὰ θεῷ ὑποσχέσεις. ἀπέχω δὲ καὶ ὑπεραπεδεξάμην τὴν ἐφ' οἷς ᾐτησάμην σου πειθὼ εἵνεκα τῆς ἀληθείας ὁμολογίαν καὶ συγκατάθεσιν· καὶ λογισθείη σοι εἰς χάριν, εἴπω, καὶ συγγνώμην τῶν ὀφληθέντων κατὰ κοινοῦ, ἐπειδὴ τοῦτο καὶ ὁ τῆς ἱεραρχίας κορυφεὺς οὐκ ἐπῃσχύνθη ὡμολογηκέναι θεῷ τε καί τισιν. ἀλλ' ἄγε τὸν / λόγον ἐπὶ τοὺς καθ' ἡμᾶς λογάδας. ποῦ ποτέ εἰσιν οἱ περὶ τὸν ἀββᾶν Ἰωσήφ, οἵ καὶ νῦν προσχήματι οἰκονομίας ἀσεβήσαντες καὶ ἀπορραγέντες οὐ μόνον ἡμῶν τῶν ταπεινῶν, ἀλλὰ γὰρ καὶ τῆς κεφαλῆς; καὶ ⟨ὃν⟩ τὰ πρῶτα εἰς πρόσωπον εὐλόγουν, ἐφάνησαν οὐ συνημμένοι αὐτῷ πνεύματι, ἀλλὰ κατὰ ἄνθρωπον· δεξάμενοι γὰρ καὶ

32 κορυφεύς: Nicephorus patriarcha

23 Hebr. 12,4   24 1 Cor. 10,13

6 ὃν: οὗ C Mai   10 ὧν: ἅ S^{pc} 12 καθ' ὅτι C Mai   16 δοκιμάσοι C Mai   19 κατέλειπες C Mai   23 ἀντικατέστημεν S   25 πιστός: πίστις Mai   26 τὰ ante φθάζοντα add S   28 θεῷ: θεοῦ S   29 πειθῶ omnes: correxi   31 κατακοινοῦ C Mai   34 οἳ omnes: correxi   36 ὃν inserui

κεκοινωνηκότες τῷ ἀντιθέτῳ καὶ χριστομάχῳ ἀπώσαντο σὺν Χριστῷ καὶ τὸν ἀληθινὸν ἡμῶν πατριάρχην. ἴδοι Κύριος καὶ ἐπισκέψοιτο τὴν ἐκκλησίαν αὐτοῦ ἐν τάχει, λελυμασμένην συῒ ἀγρίῳ, δῆλον ὅτι σαῖς προσευχαῖς καὶ πάντων ἁγίων ἱλεούμενος. μνημονεύειν μου τοῦ ἁμαρτωλοῦ μὴ ἐπιλάθῃ, ὦ ποθητέ, ὅπως ῥυσθείην ἀπὸ παντὸς ἔργου πονηροῦ, ἑπόμενος ὑμῖν κατόπιν, τοῖς ὁμολογηταῖς Χριστοῦ.

269. Γρηγορίῳ τέκνῳ

Ἄρτι ἀποκρίνομαι πρὸς ἃ ἐπέστειλας πάλαι, τέκνον, καὶ ἀποκρίνομαι οὐκ ἐξ ὧν ἔγραψας ὅτι μηδὲ κατὰ λόγον ὑποταγῆς, ἀλλὰ ἀφ' ὧν διήγγελμαι, ὅτι κρίμα μοι ἐπήρτηται ποιμενικὸν καὶ οὐαί μοι τῷ ἀθλίῳ, εἰ μὴ ἀρκούντως ἀναγγείλοιμι. εἰ μὲν γὰρ ἑώρων πρὸς μὴ γεγονότα ἐν ὑπακοῇ μου εἶναι τὸν λόγον, οὐδὲ ἅπαξ τυχὸν ἐδεοίμην λέγειν· ἐπειδὴ δὲ πρὸς τοιοῦτον, ὡς ὑπὸ μάρτυρι θεῷ καὶ ἀγγέλοις καὶ πάλιν μοι τὸ γράμμα ὁμοῦ μὲν παρακλητικόν, ὁμοῦ δὲ καὶ διαγγελτικόν, καὶ οἶδ' ὅτι πρὸς ἔχοντα οὖς ἀκουστικὸν διαλέξομαι. Ἀδελφὲ Γρηγόριε, μνήσθητι ἡμερῶν ἀρχαίων, μνήσθητι ἀναθέσεως υἱϊκῆς, μνήσθητι ἀγαπήσεώς μου, ταπεινῆς μέν, ἀληθινῆς δέ, ὡς πάντες ἴσασι· μνήσθητι ὅτι βασιλεῖς καὶ ἀρχιερεῖς οὐχ εὗρον ἰσχὺν διασχίσαι ἡμᾶς ἐξ ἀλλήλων πολλοῖς τρόποις κινηθέντες, τοῦ συνδέσμου τῆς ἀγάπης οὐδαμῶς ῥηγνυμένου. εἶτα, ὅτε πολλοὶ οἱ πολεμοῦντες καὶ πλείους οἱ ἀγῶνες, ἀήττητοι καὶ νικηταὶ καὶ ἀδιαίρετοι, ὁπότε δὲ παῦλα, τότε ἧττα καὶ διαίρεσις; φεῦ τῆς ταλαιπωρίας μου, ἀβάλε τῆς δαιμονικῆς / ἐπηρείας· οἷος ἦς ὀχυρὸς ἐξ ὧν ἔδρασας ἐν ὑποταγῇ, τίμιος, ἀξιόπιστος, περιφανής, πολλὰ τὰ ἕδνα προσφέρων τοῖς ἐντυγχάνουσιν. τί τὸ γεγονός, τέκνον μου; τί τὸ διατεμόν σε, σπλάγχνον μου; ὅτι ἐλύπησά σε ἐπιτιμῶν, κόπτων τὸ θέλημά

40 Ps. 79,14

40 δηλονότι S Mai

269. a. 815 – 818

10 Ps. 142,5

C (S)

1 αποκεσα in marg C 4 κρῖμα S οὐαῖ C 5 μὴ²: με codd: corr Mai 6 ἐδεοίμην: ἐδεόμην S 13 διασχῆσαι C 18 ἔδνα omnes: correxi 19 ἐντυγχάνουσι S

σου; ὁμολογῶ, ἀλλὰ διὰ θεὸν καὶ ψυχήν· εἰ δὲ καὶ ἀδίκως τυχόν, σύγγνωθι. μνήσθητι δὲ ὅτι καὶ τὴν φύσιν μου ἐξεβιασάμην, εἴπω, καὶ τὸ τῆς ὑποταγῆς δίκαιον ἐλυμηνάμην, τὰ τῆς ἀναπαύσεώς σου διώκων. καθομολογῶ καὶ τὰ σά, οὐ γὰρ εἰμὶ ἀγνώμων, υἱέ μου, ὅτι δι' ἐμὲ Χριστοῦ ἀκολουθήσει καὶ ὠνειδίσθης καὶ ἐρραπίσθης καὶ ἐφρουρήθης καὶ τὴν ψυχὴν μέχρις αἵματος προήσω· οἶδας τὰς βασιλικὰς ἀποκρίσεις, οἶδας τὰς ἐν τῷ παλατίῳ εἱρκτάς, τὰς ἐν τῷ Ἁγίῳ Μάμαντι ἀπαγωγάς· οἶδας τὴν φυλακιστικὴν ἀμφοτέρων ζωήν, τὴν εἰς ἀλλήλους συμφυΐαν, ἣν ἐθαύμασαν καὶ βασιλεῖς καὶ ἱερεῖς καὶ πᾶς τις ἄλλος. εἶτα, τί τὸ διαρρῆξαν; ὅτι τῶν διωξάντων καταποθέντων καὶ τοῦ σκανδάλου ἐκποδὼν ἀρθέντος σύμβασιν ἐποιησάμεθα μετὰ τοῦ ἀρχιερέως. ὢ τῆς ἐπηρείας· καὶ τί ἐβούλου; ἵνα, φησίν, ἐγένετο σύνοδος καὶ καθῃρέθη τὸ αἴτιον. καὶ τίς ὁ συνεδρεύων ἢ καθαιρῶν; οὐχ ὁρᾷς ἀνένδεκτα λέγων; ἀλλ' ὅτι οὐκ ὤφειλεν συνελθεῖν τῷ βασιλεῖ ὁ ἱεραρχῶν. ὁμολογουμένως, ὡς οὐδὲ ὁ πρὸ αὐτοῦ, ἐφ' ᾧ καὶ ὁ μείζων κίνδυνος, ἐξ οὗ καὶ συναπέρχεται δῆθεν οἰκονομίας ὁ δεύτερος.

Ἔα ταῦτα, τέκνον. γέγονεν ὡς γέγονεν, καὶ κριτὴς θεὸς τῶν τοιούτων. τοίνυν περιφανεστέραν καὶ ὁσιωτέραν πιστεύω τῷ θεῷ μου ὑπάρξαι τὴν ἕνωσιν τῆς ἐνστάσεως τῷ εὖ φρονοῦντι καὶ εἰδότι μέτρον καὶ ἀξιώματος καὶ ἐνστάσεως. καί γε ἔδειξεν ὁ χρόνος, ὁμολογίας στέφανον ἀναδησαμένου τοῦ ἀρχιεράρχου σὺν πολλοῖς ἄλλοις, κἀμοῦ τοῦ ταπεινοῦ συμπαρομαρτοῦντος τῷ ἀρχιεραρχοῦντι· ὃν καὶ ἐδεξάμην καὶ δέδεγ/μαι, ἐπὶ τὸν βασιλεύσαντα ἀνενεγκόντα τὸ αἴτιον. καὶ μὴ οἴου με, ἀδελφέ, φιλαρχοῦντα ταῦτα λέγειν, ὡς ἂν ἐναβρύνεσθαι ἢ νικᾶν ἐν τῇ ὑποταγῇ σου· μηδαμῶς. εἰ οἷόν τε γενέσθαι εὐάρεστον θεῷ, δέχομαι οὐ μόνον εἰπεῖν σοι τὸ ‚ἥμαρτον', ἀλλὰ καὶ ὑποταγῆναί σοι. καὶ δέομαί σου, τέκνον μου ἀγαπητόν, μὴ σκληρυνθῇς, ὁ θεός σε παρακαλεῖ δι' ἐμοῦ· ἴδε ὅτι τὸ κρίμα καὶ τῶν ὄντων μετὰ σοῦ τέκνων μου ἔχεις.

Παρακαλῶ σε μὴ ἀποτύχω μου τῆς ἐλπίδος ἐπ' ἀμφοτέροις, λέγω δὴ καὶ τοῦ ἀδελφοῦ μου Βασιλείου τοῦ ἠγαπημένου, ᾧ γράψαι ἰδίᾳ

---

32 ἀρχιερέως: Nicephorus 35 ὁ πρὸ αὐτοῦ: Tarasius 44 βασιλεύσαντα: Nicephorus I

---

30 Hebr. 11,29

24 καθ' ὁμολογῶ C 26 προΐσω C Mai 28 Ἁγίῳ om Mai 32 ὦ C Mai 34 ὤφειλε S 36 σὺν ἀπέρχεται C 38 γέγονε S (bis) 39 πιστεύω post μου transp Mai 44 ἀνενεγκότα Mai 50 τέκνον S

περισσότερόν τι οὐκ εἶχον. εἰ δέ, ὅπερ μὴ γένοιτο, ἀπειθήσητε, ἐγὼ μὲν ὁ ταπεινὸς ἀθῳῶ ἐμαυτὸν τοῦ αἵματος ὑμῶν, ὑμεῖς δὲ ὄψεσθε, ὃ καὶ ἴστε, τί τὸ τῆς ἀπειθείας κρίμα καὶ δέσμημα παρὰ θεῷ.

270. Πρωτοσπαθαρέᾳ

Ἐγώ, φειδόμενος καὶ εὐλαβηθεὶς μή τι διὰ τοῦ γράφειν με γενηθῶ σοι εἰς κόπον, κυρία μου, οὐκ ἐπέστειλα τὸ πρότερον· αὐτὴ δέ, οὐκ οἶδα πῶς ἰδοῦσα τὸν γραμματηφόρον, ἐπλήρωσας τὴν δεξιὰν αὐτοῦ ἀργυρίου, ἀποστείλασα εἰς ἀνάπαυσιν τῆς ταπεινώσεώς μου. καὶ ἱνατί ἐκαινοτόμησας τὴν εὐλογημένην σου οἰκίαν; καὶ ἱνατί πρὸς πλησμονήν σου ἐγενόμην; πλὴν ὁ πάντα ζυγοστατῶν καὶ σταθμίζων ἀποδῴη σοι ἀντίμισθον καὶ ἀντίξενον τὴν βασιλείαν αὐτοῦ, ὑπακούων σου τῆς πεποιθήσεως καὶ τῆς προκειμένης εὐχῆς, καταρραΐζων πᾶσάν σου θλῖψιν καὶ ἀδολεσχίαν, γαληνιαίαν τε καὶ εἰρηναίαν παρέχων σοι διαβίωσιν. μνημόνευε καὶ ἡμῶν ἐν τῇ ὀρθοδόξῳ καὶ καθαρᾷ σου λατρείᾳ· μανθάνω γὰρ ὅτι ἀντέχῃ εὐσεβείας, καί γε κρατυνθείης ἔτι.

271. Πασχαλίῳ πάπᾳ Ῥώμης

Τῷ τὰ πάντα παναγεστάτῳ, φωστῆρι μεγάλῳ, ἀρχιερεῖ πρωτίστῳ, κυρίῳ ἡμῶν δεσπότῃ ἀποστολικῷ πάπᾳ, Ἰωάννης, Θεοδόσιος, Ἀθα-

54 Matth. 27,24 55 Eph. 5,6

53 ἀπειθήσετε S 55 ἀπειθίας Mai κρῖμα omnes: correxi

270. a. 815 – 818

6 Is. 1,14

C (S)

1 πρωτοσπαθαρίᾳ C Mai 3 τοπρότερον S 6 ἵνα τί C Mai ἐκενοτόμησας Mai ἵνα τί C Mai 10 σου ante πᾶσαν transp S^{ac} θλίψιν omnes: correxi

271. a. 817

2 2 Paral. 7,20

C VM (ll. 1 – 38) N PS

2 τὰ om VMPS Sirm

νάσιος, Ἰωάννης, Θεόδωρος, ἐλάχιστοι πρεσβύτεροι καὶ ἡγούμενοι τῶν Καθαρᾶ, τῶν Πικριδίου, τοῦ Παυλοπετρίου, τῆς Εὐκαιρίας, τῶν Στουδίου.

Ἤδη που πάντως ἤκουσται τῇ κορυφαίᾳ ὑμῶν μακαριότητι τὰ κατὰ τὰς ἁμαρτίας ἡμῶν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ ἐπελθόντα (καὶ γὰρ γεγενήμεθα εἰς παραβολὴν καὶ διήγημα ἐν πᾶσι τοῖς ἔθνεσι, γραφικῶς εἰπεῖν), οὐ μὴν ἴσως ἡ ἀπαγγελία ἐντελῶς τε καὶ ἐπιστολικῶς. διόπερ ἡμεῖς οἱ ἐλάχιστοι, εἰ καὶ μέλος που τοῦ σώματος Χριστοῦ ἔσχατον τυγχάνοντες, ὅμως τῆς κεφαλῆς ἡμῶν εἰργομένης τῶν τε ἐν τῇ ἀδελφότητι προεχόντων ὧδέ τε κἀκεῖσε διεσπαρμένων ἠδυνήθημέν πως ἐκ τοῦ σύνεγγυς εἶναι καὶ διὰ τῆς εἰς ἀλλήλους καταμηνύσεως εἰς ἓν γενέσθαι καὶ πνεῦμα καὶ ῥῆμα, γράφοντες, εἰ καὶ τολμηρῶς, τάδε.

Ἄκουε, ἀποστολικὴ κάρα, θεοπρόβλητε ποιμὴν τῶν Χριστοῦ προβάτων, κλειδοῦχε τῆς οὐρανῶν βασιλείας, πέτρα τῆς πίστεως, ἐφ' ᾗ ᾠκοδόμηται ἡ καθολικὴ ἐκκλησία· Πέτρος γὰρ σύ, τὸν Πέτρου θρόνον κοσμῶν καὶ διέπων· λύκοι βαρεῖς εἰσεφθάρησαν ἐν τῇ αὐλῇ Κυρίου, πύλαι ᾅδου ὡς πάλαι προσερράγησαν αὐτῇ. τί τοῦτο; διώκεται Χριστὸς σὺν μητρὶ καὶ θεράπουσιν, εἴπερ ἡ τῆς εἰκόνος καταδρομὴ τοῦ πρωτοτύπου διωγμός· ἐντεῦθεν κατένεξις πατριαρχικῆς κεφαλῆς ἐξορίαι τε καὶ περιορισμοὶ ἀρχιερέων τε καὶ ἱερέων, μοναστῶν τε καὶ μοναζουσῶν, εἱρκταί τε καὶ σιδηρώσεις, βάσανοί τε καὶ τέλος θάνατοι. ὢ τοῦ φοβεροῦ ἀκούσματος· ἡ σεπτὴ εἰκὼν τοῦ Σωτῆρος ἡμῶν θεοῦ, ἣν καὶ δαίμονες φρίττουσιν, ἐνύβρισται, ἐξουδένωται, οὐ μόνον ἐν τῇ βασιλευούσῃ πόλει, ἀλλὰ γὰρ καὶ κατὰ πᾶσαν χώραν καὶ πολίχνην. θυσιαστήρια ἠφανίσθη, ναοὶ ἠμαυρώθησαν, ἱερὰ ἐκοινώθη, ἐχέθη αἵματα καὶ χέεται τῶν ἀντ/εχομένων τοῦ εὐαγγελίου, διωγμοὶ καὶ φυγαδεῖαι τῶν ἔτι ὑπολελειμμένων. ἐσίγησεν πᾶν εὐσεβοῦν στόμα δέει θανάτου, ἠνέῳκται ἡ ἀντίθετος καὶ βλάσφημος γλῶσσα, σεσάλευται πᾶσα σὰρξ ἀμφοτερίζουσα.

---

17 ἄκουε – 20 διέπων: primum edidit Allatius, De consensione 306

18 Matth. 16,18   20 Act. 20,29; cf. Bas. ep. 90,2 (PG 32,473 B = I 196,8 Courtonne)
21 Matth. 16,18   32 Bas. ep. 92,2 (PG 32,480 D sq. = I 201,37 Courtonne)

5 Καθαρὰ CVMNP Sirm   Εὐκερίας CPS Sirm: εὐ M, ubi pars altera vocis erasa   7 ποῦ CNPS   10 ἐντελὴς M   ἐπιστολικαί M   11 ποῦ CNPS   12 εἰργομένης C   13 τῇ om Mi   17 τοῦ ante Χριστοῦ inser M   18 πέτρᾳ N   25 εἶρκταί PS   27 θεοῦ: ἰησοῦ χριστοῦ N   οἱ ante δαίμονες add S   28 γὰρ om M   30 ἐκοινώθη: ἐκοινώθησαν VN   32 ἐσίγησε VMNPS Sirm   ἀνέῳκται N

οἴμμοι, φησίν, ὅτι ἐγενήθημεν ὡς συνάγων καλάμην ἐν ἀμητῷ καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγητῷ, οὐχ ὑπάρχοντος βότρυος.

Ἐφ' ἡμᾶς, ὦ μάκαρ, ἐγένετο πάντα ταῦτα. ἃ τίς μὲν οὐκ ἐπιστυγνάσειεν, εἰς ἑαυτὸν τὰ τοῦ πλησίον ἀναθεωρῶν πάθη, τίς δὲ οὐ λογίσοιτο προεισόδια εἶναι τῆς τοῦ Ἀντιχρίστου παρουσίας, τοσοῦτον διαφέροντα ὅσον εἰκὼν ἀρχετύπου, ἐφ' ᾗ καὶ μαίνεται; δεῦρο δὴ οὖν ἀπὸ δυσμῶν ὁ χριστομίμητος, ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος· πρὸς σὲ εἴρηκε Χριστὸς ὁ θεὸς ἡμῶν, καὶ σύ ποτε ἐπιστρέψας στηρίξεις τοὺς ἀδελφούς σου. ἴδε ὁ χρόνος καὶ ὁ τόπος· βοήθησον ἡμῖν ὁ ὑπὸ θεοῦ τεταγμένος εἰς τοῦτο, ὄρεξον χεῖρα καθ' ὅσον οἷόν τέ ἐστιν· ἔχεις τὸ ἰσχύειν παρὰ θεῷ ἐκ τοῦ πάντων πρωτεύειν ἐν ᾧ καὶ ἐτέθης. πτόησον, δεόμεθα, τοὺς αἱρετικοὺς θῆρας σύριγγι τοῦ θείου λόγου σου· ὁ ποιμὴν ὁ καλός, θὲς τὴν ψυχὴν ὑπὲρ τῶν Χριστοῦ προβάτων, ἱκετεύομεν. ἀκουσάτω ἡ ὑπ' οὐρανὸν ὅτι ὑφ' ὑμῶν ἀναθεματίζονται συνοδικῶς οἱ ταῦτα τετολμηκότες καί γε ἀναθεματίζοντες τοὺς ἁγίους πατέρας ἡμῶν. τοῦτο εἴη θεῷ εὐπρόσιτον, ἀγγέλοις καὶ ἁγίοις χαρμόσυνον, σαλευομένοις στήριγμα, ἑδραιουμένοις ἐπισφράγισμα, καταπεπτωκόσιν ἀνάστημα, πάσῃ ἐκκλησίᾳ ὀρθοδόξων ἀγαλλίαμα, καί γε τῇ σῇ κορυφότητι κατὰ τοὺς πάλαι προηγησαμένους μνημόσυνον αἰώνιον· οἳ ἐν τοῖς ὁμοίοις καιροῖς τὰ παρ' ἡμῶν τῶν ἁμαρτωλῶν νῦν αἰτούμενα δεδρακότες πνευματοκινήτως καὶ μνημονεύονται καὶ μεμακάρινται.

Πάντως δὲ πιστεύομεν ὡς ἐλέῳ οἰκτιρμῶν καμπτόμενος δέξῃ ἡμῶν τὸ εὐτελὲς γράμμα, Χριστὸν μιμούμενος, ὅς, θεὸς ὢν τῶν ἁπάντων, οὐκ ἀπηξίωσε τὴν παρὰ Αὐγάρου ἐπιστολὴν καὶ δέξασθαι καὶ πρὸς αὐτὴν ἀντιγράψαι.

---

39 δεῦρο – 44 πρωτεύειν: idem ibid.

---

34 Mi. 7,1 38 Bas. ep. 264 (PG 32,984 A = III 127 Courtonne) 40 Ps. 43,24 41 Luc. 22,32 46 Joh. 10,11 58 cf. Euseb. hist. eccl. 1, 13, 3 (p. 84 Schwartz-Mommsen)

---

34 οἴμοι VMNPS Sirm 36 πάντα ταῦτα C: ταῦτα πάντα cett Sirm 38 λογίσοιτο: hic desin epist in M verbis ἐνταῦθα λείπει πολύ manu rec in marg scriptis (septem folia excidisse videntur) 43 τοῦ post ὑπὸ add VNPS Sirm καθόσον P 46 Χριστοῦ om VNPS Sirm 47 ἱκετεύωμεν C 52 κορυφαιότητι V[pc]P[pc]S (fort recte; cf ep 272,13) 52 κατὰ – 53 μνημόσυνον om N 55 μεμακάρινσται VP

272. Τῷ αὐτῷ

Τῷ παναγεστάτῳ πατρί, κορυφαίῳ φωστῆρι οἰκουμενικῷ, κυρίῳ ἡμῶν δεσπότῃ ἀποστολικῷ πάπᾳ, Ἰωάννης, Θεοδόσιος, Ἀθανάσιος, Θεόδωρος, ἐλάχιστοι πρεσβύτεροι καὶ ἡγούμενοι τῶν Καθαρᾶ, τοῦ Πικριδίου, τοῦ Παυλοπετρίου, τῶν Στουδίου.

Ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, Χριστὸς ὁ θεὸς ἡμῶν, τὴν σὴν ἐν τῇ δύσει μακαριότητα ὥσπερ τινὰ λυχνίαν θεαυγῆ εἰς ἐπίλαμψιν τῆς ὑπ' οὐρανὸν ἐκκλησίας ἐπὶ τὸν ἀποστολικὸν πρώτιστον θρόνον θέμενος. καὶ γὰρ ᾔσθημεν φωτὸς νοεροῦ οἱ ἐν σκότει καὶ σκιᾷ θανάτου ἐνισχημένοι τῆς πονηρᾶς αἱρέσεως καὶ τὸ νέφος τῆς ἀθυμίας ἀπεθέμεθα καὶ πρὸς χρηστὰς ἐλπίδας ἀνενεύσαμεν, μεμαθηκότες δι' ὧν ἀπεστείλαμεν ἀδελφῶν ἡμῶν καὶ συνδούλων οἷα καὶ ἡλίκα πέπραχέ τε καὶ λέλεχεν ἡ ἁγία ὑμῶν κορυφαιότης, τοὺς μὲν αἱρετικοὺς / ἀποκρισιαρίους ὡς λωποδύτας μηδὲ εἰς ἱερὰν αὐτῆς θέαν προσηκαμένη, πόρρω δὲ ὄντας ἐνδίκως ἀποπεμψαμένη, τοῖς δὲ ἡμετέροις ταλαιπωρήμασι διὰ τῆς ἐπακροάσεως τῶν γραμμάτων καὶ διηγήσεως τῶν ἀποσταλέντων ἐπιστυγνάσασά τε καὶ ἐπιστενάξασα θεομιμήτως ὡς ἐπὶ οἰκείοις μέλεσι. καὶ ὄντως ἔγνωμεν οἱ ταπεινοὶ ὡς ἐναργὴς διάδοχος τοῦ τῶν ἀποστόλων κορυφαίου προέστη τῆς Ῥωμαϊκῆς ἐκκλησίας· ἀληθῶς πεπείσμεθα ὅτι οὐκ ἐγκατέλιπεν Κύριος τέλεον τὴν καθ' ἡμᾶς ἐκκλησίαν, μιᾶς καὶ μόνης τῆς παρ' ὑμῶν ἐπικουρίας ἄνωθέν τε καὶ ἐξ ἀρχῆς ἐν ταῖς συμβαινούσαις περιστάσεσιν ὑπαρχούσης αὐτῇ θεοῦ προμηθείᾳ. ὑμεῖς οὖν ὡς ἀληθῶς ἡ ἀθόλωτος καὶ ἀκαπήλευτος πηγὴ ἐξ ἀρχῆς τῆς ὀρθοδοξίας, ὑμεῖς ὁ πάσης αἱρετικῆς ζάλης ἀνῳκισμένος εὔδιος λιμὴν τῆς ὅλης ἐκκλησίας, ὑμεῖς ἡ θεόλεκτος πόλις τοῦ φυγαδευτηρίου τῆς σωτηρίας. ἀλλ'

---

272. inter aestatem ac autumnum a. 817 7 θεαυγῆ: ad vocem cf. Speck, Jambem 239 10 καὶ τὸ νέφος – 29 ἐλθεῖν: primum edidit Allatius De consensione 306 sq. 12 ἀδελφῶν: Studitae Dionysius et Euphemianus; cf. ep. 273,16 14 ἀποκρισιαρίους: legatos Leonis V 24 ἀκαπήλευτος: ad vocem cf. Richter, Primat 406 sq.

---

6 Luc. 1,78 9 Is. 9,1

C VN PS

---

2 voces τὰ πάντα ante παναγεστάτῳ add VNPS Sirm 4 Καθαρὰ CVNP Sirm τοῦ: τῶν VM Sirm 6 ὑμᾶς Mi 7 ἐπίλαμψιν C: περίλαμψιν cett Sirm 11 ἀθυμίας: ἀτιμίας Allatius l. l. 18 ἐπὶ om VNPS Sirm 20 ἐγκατέλειπεν C: ἐγκατέλιπε cett Sirm 21 τέλεον om VNPS Sirm 22 ἐξαρχῆς C 24 ἐξαρχῆς C

ὅτι τολμηρὸν παρ' ἡμῶν τῶν οἰκτρῶν καὶ ἀναξίων ἐγκώμια συναίρειν τὴν ὑπὸ θείων γλωσσῶν πάλαι μεμακαρισμένην ὑμῶν θεωνυμίαν δέον ἐπὶ τὸ πονοῦν ἐλθεῖν.

Οἱ μὲν οὖν ἀσεβοῦντες τὰ συνήθη σὺν πάσῃ σπουδῇ καὶ μανίᾳ ποιεῖν οὐκ ἐνδιδόασι, πάντας ὑφέλκοντες καὶ κατασπῶντες εἰς τὸ τῆς αἱρέσεως βάραθρον, δεδιττομένους τὸν θάνατον· ἀνάγκη γὰρ πᾶσα τὸν μὴ εἴκοντα τῇ πονηρᾷ φλογὶ τῶν μαστίγων ὑποβληθῆναι σὺν τοῖς ἀκολούθοις, ὥστε κατὰ μικρὸν ὑπορρέειν (τὸ σχετλιώτατον) καὶ ἐξ αὐτῶν τῶν ἠθληκότων. ἡμεῖς δὲ καὶ αὖθις οἱ ταπεινοὶ καὶ ἔσχατοι ἐν τοῖς μέλεσιν, ὑπέρ τε τῆς οἰκείας ἱερᾶς κεφαλῆς καὶ τῆς ἐνισταμένης ὑπερεχούσης πατρότητός τε καὶ ἀδελφότητος τολμῶντες, πρεσβεύομέν τε καὶ ἐκλιπαροῦμεν παρακληθῆναί σου τὴν ἁγίαν καὶ ἀποστολικὴν ψυχὴν πρῶτον μέν, ὅπερ καὶ πιστεύομεν ποιεῖν, μὴ καταλῆξαι τῆς ὑπὲρ στηριγμοῦ καὶ διασώσεως ἁπάντων θεοκλινοῦς προσευχῆς (ναί, δεόμεθα τὰ ἱερώτατα σπλάγχνα), ἔπειτα, ἃ πνευματοκινήτως αὐτῇ βεβούλευται καὶ ὥρισται ἐπ' ὠφελείᾳ μὲν ἡμῶν τῶν ταπεινῶν, αἰωνίῳ δὲ μακαρισμῷ τῆς οἰκείας ἀρετῆς, εἰς πέρας σὺν θεῷ ἀγαγεῖν.

273. Βασιλείῳ ἀρχιμανδρίτῃ Ῥώμης

Καὶ τὸ πρότερον οὐκ ἔγραψα διά τινα / περιπέτειαν, ἀλλά γε νῦν ἐπιστέλλω τῷ ἐμῷ ἠγαπημένῳ καὶ ἁγίῳ πατρί. καὶ πρὸς τίνα γὰρ ἄλλον ἔχω διαλέγεσθαι ἐν τοῖς αὐτόθι ἢ πρὸς τὸν ἄνωθεν καὶ ἐξ ἀρχῆς καὶ γνώριμον καὶ φίλον καὶ πατέρα καὶ προασπιστὴν καὶ σύμψυχον καὶ ταὐτόφρονα καὶ συζηλωτὴν καὶ ἐπίκουρον καὶ σύμβουλον καὶ πᾶν ὁτιοῦν ἐστιν εἰπεῖν εἰς οἰκειότητα καὶ προμήθειαν καὶ ἀντίληψιν διὰ μόνον θεὸν καὶ τὴν ἀρετήν, ἣν ἀμφίεσας ἑαυτῷ ἐνθέῳ πολιτεύματι; ἐραστὸς τῷ ὄντι καὶ προύχων τῷ ἀξιώματι ἐν τῇ πρωτίστῃ τῶν ἐκκλησιῶν τοῦ θεοῦ διαλάμπεις κἀξ αὐτῆς ἡλιοβολεῖς

32 Bas. ep. 243,2 (PG 32,905 A = III 69–70 Courtonne)

28 τὴν: τῇ VN Sirm μεμακαρισμένῃ VN Sirm θεωνυμίᾳ VN Sirm 29 πονοῦν C: πονεῖν cett Sirm 32 δεδειττομένους C 33 ἥκοντα C μαστίγων: βασάνων C (cf tamen Bas ep l. l.; vox surrepta ex ep 278,53, ut videtur)

273. primo semestri spatio a. 818

C (S)

4 ἐξαρχῆς codd: distinxit Mai 7 ὅτι οὖν C 8 ἀμφίεσας: ἠμφίασας S ἑαυτὸν S 9 τῳόντι S 10 διαλάμποις C Mai

οἱονεὶ τὰ πέρατα διὰ τῆς πανταχῇ ἐξακουομένης θεωνυμίας καὶ ὡς ἀληθῶς βασιλείου προσηγορίας σου.

Τοιοῦτος μὲν καὶ τηλικοῦτος σύ, ὁ τοῦ θεοῦ ἄνθρωπος καὶ ἀξιάγαστος πατήρ· ἡμῖν δὲ τὸ ἐπιστεῖλαι καὶ αὖθις ἀποστεῖλαι Εὐφημιανὸν τὸν πιστὸν υἱὸν ἡμῶν. ἡ ὑπόθεσις οὐ δι' ἄλλο τι ἢ δι' ἣν αἰτίαν καὶ τὰ πρότερα γράμματα, ἅπερ ἀπεσώσαντο Διονύσιος καὶ ὁ αὐτὸς Εὐφημιανός, οἱ γνησιώτατοι ἡμῶν υἱοὶ καὶ ἠγαπημένοι. οἵ, εἰ καὶ μὴ ἀντεκόμισαν ἀντίγραφα, ἀλλ' οὖν διά τε τῆς οἰκείας ἐξηγορίας καὶ τῆς τοῦ ἱεροῦ Μεθοδίου ὁμοῦ καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Μονοβασίας ἐπιστολῆς ἱκανῶς ἡμῶν ἀνεζωπύρησαν τὰς ταπεινὰς ψυχάς, εἰπόντες εὐκταῖα καὶ θεάρεστα μάλα καὶ ὄντως ἀποστολικῆς ψυχῆς ἄξια, ἃ ἐλαλήθη συμπαθῶς καὶ χριστομιμήτως καὶ μὴν καὶ ἐτυπώθη πνευματοκινήτως καὶ πατροπαραδότως παρὰ τοῦ ἁγιωτάτου ἀποστολικοῦ. οὕτω γὰρ καὶ ἡμεῖς οἱ ταπεινοὶ ἐποθοῦμεν ῥοπῇ τοῦ κρατοῦντος τῆς καθ' ὑμᾶς οἰκουμένης τὴν ἐπικουρίαν διὰ τῆς τοῦ πρωτοθρόνου μεσιτείας καὶ θεοδωρήτου ἐξουσίας γενέσθαι, ἀλλ' οὔπω ἐτολμῶμεν τοῦτο αἰτήσασθαι διὰ τὸ ὑπέρκαλον· ἐπὰν δὲ ἐνεπνεύσθη δακτύλῳ θεοῦ εἰς τὴν ἱερὰν καρδίαν, τοῦτο καὶ ζητεῖ ὁ λόγος, τοῦτο καὶ / περαιωθῆναι εὐχόμεθα οἱ ἀνάξιοι εἰς μὲν δόξαν θεοῦ προηγουμένως, ἥτις εἴη λυσιτέλεια μεγίστη τῆς ἑαυτοῦ ἐκκλησίας· ὡς γὰρ εἷς Κύριος, μία πίστις, εἷς θεός, οὕτω δῆλον ὅτι καὶ μία ἐκκλησία, κἂν κορυφιάζῃ ἀφ' ὑμῶν. ὥστε τὸ ὑμέτερον ἀσφαλίζεσθε, δεσπόται μου, τὸ ἡμέτερον φροντίζοντες· τὸ αὐτὸ γὰρ ὑπὲρ ἀλλήλων, φησί, μεριμνῶσι τὰ μέλη, καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη (ὑπεμνήσαμεν οἱ ἁμαρτωλοί, οὐκ ἐδιδάξαμεν, ἄπαγε), εἰς δὲ ὑμῶν τῶν ἁγίων κλέος.

Ταῦτα μὲν ὡς παρὰ τοῦ μακαριωτάτου ἀποστολικοῦ θεοκρίτως προερχόμενα· τίς δ' ἂν εἴη πλὴν σοῦ τοῦ καλοῦ παραστάτου καὶ συμβούλου δεξιοῦ καὶ κατὰ πάντα ἀποστολίζοντος συνθέσθαι καὶ συμπρᾶξαι καὶ συμπροθυμήσασθαι εἰς τελείωσιν τῶν θεοζητήτων,

16 Διονύσιος: cf. ep. 456,2 sq. 19 ἐπισκόπου: Ioannes; cf. ep. 274 25 κρατοῦντος: imperator Ludovicus Pius 26 πρωτοθρόνου: papa Paschalis I

28 Luc. 11,20 31 Eph. 4,5 33 1 Cor. 12,25 sq.

12 Βασιλείου Mai 20 Μονεμβασίας S 21 ἀπὸ στολικῆς C 24 ἀπὸ στολικοῦ C 27 ἐπ' ἂν Mai 31 δηλονότι S 32 κορυφιάζοι C Mai 33 τοαυτὸ S 39 post εἴη exc fort vox ἄξιος

ὡς καὶ τὰ πάλαι ἐπὶ τοῖς πάλαι ἐνεδείξω θεάρεστα, ζηλῶν τῷ Κυρίῳ ὡς ὑπέρμαχος ἀληθείας καὶ προστάτης μετὰ τὴν ἀποστολικὴν κορυφὴν τῆς Χριστοῦ ἐκκλησίας;

Δέομαί σου τῆς ἁγίας ψυχῆς ποιεῖσθαί μου μνήμην τοῦ τὰ πάντα ἁμαρτωλοῦ εἰς τὸ σῴζεσθαι ἐν παντὶ τρόπῳ.

274. Ἰωάννῃ ἐπισκόπῳ Μονοβασίας καὶ Μεθοδίῳ ἡγουμένῳ

Τοῖς θεοτιμήτοις καὶ πνευματικοῖς μου πατράσι Ἰωάννῃ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Μονοβασίας καὶ Μεθοδίῳ τῷ εὐλαβεστάτῳ ἡγουμένῳ Θεόδωρος ἁμαρτωλὸς μοναχὸς καὶ ἡγούμενος τῶν Στουδίου.

Καλὴν βουλὴν ἐβουλεύσατο ἡ ἐμμελὴς ὑμῶν ἁγιωσύνη, ἀπάρασα τοῦ τῇδε αἱρετικοῦ ψυχοφθόρου κλύδωνος καὶ πρὸς τὸν εὔδιον λιμένα τῆς πασῶν ἐκκλησιῶν πρωτοβαθρούσης εὐθυδρομήσασα, οὐ μᾶλλον τὸ καθ' ἑαυτὴν ἀσφαλισαμένη ἢ τὸ κοινῇ συμφέρον σκοπήσασα θεοβούλως, ὅπερ ἐστὶ τῆς ἀνωτάτω εὐφημίας· τοῦτο γὰρ ἐδήλωσεν ἥ τε ἱερὰ ὑμῶν συλλαβὴ καὶ μὴν καὶ ἡ γλῶσσα τῶν παλινοδησάντων ἀγαπητῶν ἡμῶν υἱῶν.

Ἀλλ' εὐλογητὸς ὁ θεός, ὁ καὶ τὸν λογισμὸν ἐνσκήψας καὶ τὸν τρόπον ὑποθέ/μενος καὶ εὐμενῶς ὑμᾶς προσδεχθῆναι ἐν τοῖς αὐτόθι εὐοδώσας, εἰ καὶ θάτερος θατέρου προέδραμεν ὡς ἐπὶ τοῦ θεοδόχου μνήματος· καὶ γὰρ χαρᾶς εὐαγγέλια ἄμφω, δι' ὧν οἵ τε τῆς αἱρετικῆς κουστωδίας ἠπράκτησαν ἥ τε ἡμετέρα δέησις τῶν ταπεινῶν εὐμαρεστέρως εἰς τὰ ὦτα τοῦ ἀποστολικοῦ εἰσελήλυθεν καὶ ἐξ ἀμφοῖν ἐτυπώθη τὰ δακτύλῳ θεοῦ ἐν τῇ ἀποστολικῇ καρδίᾳ βεβουλευμένα. ὡς γεραρὸς ὑμῶν ὁ πλοῦς, ὡς εὐκλεὴς ὁ ἀγών, τῶν ἐνταῦθα ἐναθλούντων τιμαλφέστερον τὸ κατόρθωμα ἐργασάμενος, εἴπερ δυοῖν ἀνδροῖν ἡ πάντων σωτηρία κατέπρακται. οὐ κότινος ὑμῖν †ἐξολογικὸς ἀλλ' ὑμνικὸς ἐκ ῥοδωνίας θεοπλόκου στέφανος τῷ ἰχνηλάτῃ τοῦ Προδρόμου, εἴη δὲ εἰπεῖν καὶ συνωνύμῳ, καὶ τῷ ὡς ἀληθῶς

---

274. primo semestri spatio a. 818 6 λιμένα: Roma 16 κουστωδίας: ad vocem cf. Hahn, Romanismus 233 et 261

14 Joh. 20,4 **18** Luc. 11,20

C (S)

1 Μονεμβασίας S 2 πατράσιν S 3 Μονεμβασίας S 17 εἰσελήλυθε S 21 οὐ κότινος: οὐκ' ότινος C ἐξολογικὸς codd, quod corruptum videtur: ἐξομολογικὸς Mai sine perspicuitate; fort est ἐξομολογητικὸς scribendum 22 ῥοδωνιᾶς S

Μεθοδίῳ, εἴπερ μέθοδος ἀρετῶν ὠφέλιμος τῇ Χριστοῦ ἐκκλησίᾳ ἡ σὴ πρᾶξις.

Τί οὖν τὸ λειπόμενον, ἴστε οἱ σοφοί, κἂν ἡμεῖς σιγῶμεν· ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν καὶ τηλικοῦτον σωτήριον τῇ ἑαυτοῦ ἐκκλησίᾳ θεὸς τελειώσειεν. διὸ ὑπομνήσκομεν καὶ παρακαλοῦμεν, ὃ πάντως ποιεῖν ὑμᾶς οὐκ ἀγνοοῦμεν, μὴ ὑφεῖτε προσκείμενοι καὶ ἐκλιπαροῦντες ἕως ἂν περαιωθῇ τὰ θεοειδῶς ἐγκεκριμένα τῷ ἁγίῳ πρωτοθρόνῳ· εἰς αὐτὸ γὰρ τοῦτο ἀπεστείλαμεν Εὐφημιανόν, τὸν ἀγαπητὸν ἡμῶν υἱόν, πρὸς τὸ καὶ ἄγγελον γενέσθαι ἀκριβῆ πάντων τῶν ἐνταῦθα πραττομένων. προσειπεῖν ἅπαντας τοὺς ὁμοζήλους καὶ ἁγίους, μάλιστα τὸν σεβασμιώτατόν μου ἀρχιμανδρίτην, ἀξιώσατε· ἐπεὶ καὶ ἡμεῖς περὶ ὑμῶν, εἴ που δυνηθείημεν, εὐαγγελίσασθαι τὰ ἀγαθὰ καὶ προσαγορεῦσαι τὰ εἰκότα σπουδάσομεν.

275. Πάπᾳ Ἀλεξανδρείας

Τῷ τὰ πάντα ἁγιωτάτῳ πατρὶ πατέρων, φωστῆρι φωστήρων, κυρίῳ μου δεσπότῃ μακαριωτάτῳ πάπᾳ Ἀλεξανδρείας, Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

Ὡς μέγιστον τῇ ἐμῇ ταπεινώσει δῶρον καὶ εὐχῆς τῆς ἀνωτάτω ἔργον διὰ γράμματος ἀξιωθῆναι εἰς ὁμιλίαν ἐλθεῖν τῆς ἀποστολικῆς σου κορυφῆς, οὐ μόνον διὰ τὸ εὐτελὲς τῆς σμικρότητός μου, ᾗς καὶ τὸ πρὸς ἴσους γράφειν ἐνδεές, μὴ ὅτι γε πρὸς οὕτω μεγάλην καὶ θείαν κεφαλήν, ἀλλὰ γὰρ καὶ διὰ τὴν ἐν τοσούτῳ μακρυσμῷ πάροδον, τῇ ἐθνικῇ ὅτι μάλιστα εἰργομένην διατειχίσει. ὅμως εὐδοκίᾳ τοῦ ὑπεραγάθου θεοῦ ἐξεγένετό μοι δυοῖν εἵνεκα, ἑνὸς μέν, ὡς ἂν ἣν πάλαι εἶχον ἐπιθυμίαν / ὁ ἁμαρτωλὸς ἀποπληρώσω διὰ νοερᾶς προσψαύσεως τῶν ἱερῶν σου ἰχνῶν (οὐδὲ γὰρ ἄλλως ἦν δυνατὸν τὸ

---

34 ἀρχιμανδρίτην: Basilius

26 Philipp. 1,6

28 τελειώσειε S ὑπομιμνήσκομεν S^{pc} 30 ἐγκεκριμένα: an ἐγκεκρυμμένα scribendum? 33 πρὸς εἰπεῖν C 36 σπουδάσωμεν codd: corr Mai

275. a. 818 2 τῷ-πατέρων: sic inscribitur etiam specimen epistularum ad patriarcham in cod. Palat. gr. 367 f. 101; cf. H. Rabe, in: RhM 64 (1909) 287

C VN PS

1 ἡ αὐτὴ δὲ ἐπιστολὴ καὶ πρὸς τὸν ἀντιοχείας πατριάρχην ἀπεστάλη in marg C 10 διατειχήσει C 11 δυεῖν C ὡς ἄν: ὡσὰν S

καταθύμιον πληρωθῆναι), ἑτέρου δέ, ὃ καὶ μᾶλλον κατεπεῖγον, πρὸς τὸ γνωριμώτερα παραστῆσαι τὰ ἐπελθόντα δεινὰ ἐνταῦθα τῇ θειοτάτῃ σου κορυφῇ ὡς συμπασχούσῃ τοῖς τοῦ ὅλου σώματος τῆς ἐκκλησίας μέλεσιν· ἃ ἐξήκουσται, ὡς οἶμαι, καὶ εἰς τὰ ἔσχατα τῆς οἰκουμένης διὰ τὸ τῆς κακίας περιβόητον.

Διωγμὸς κατείληφεν ἡμᾶς, ὦ μακαριώτατε, καὶ διωγμῶν ὁ βαρύτατος. πάλαι μὲν οὖν Ἀχαάβ, ζητῶν Ἠλίαν τὸν προφήτην, πάντα τόπον ἐμπρῆσαι λέγεται, τοῦ ἐμπρησμοῦ τὸν θυμὸν τοῦ ἀσεβοῦς ὑποφαίνοντος· νυνὶ δὲ ὁ Ἀχααβίτης καὶ τὴν ἀξίαν καὶ τὴν καρδίαν οὐ τὸν Ἠλιοῦ μόνον ἐγγεγραμμένον, ἀλλὰ καὶ τὸν τούτου δεσπότην Ἰησοῦν Χριστόν, τὸν Κύριον καὶ θεὸν ἡμῶν, τὴν Θεοτόκον καὶ πάντα ἅγιον ζητῶν ἐκζητεῖ καὶ εὑρὼν ἐξαφανίζει θυμῷ μεγάλῳ ἐκ πάσης πόλεως καὶ χώρας τῆς ὑπὸ χεῖρα. ἐντεῦθεν θυσιαστήρια κατεσκαμμένα, ναοὶ Κυρίου ἠχρειωμένοι καὶ κατ' οἴκους καὶ καθολικῶς καὶ ἐν ἀνδρῶσι καὶ ἐν παρθενῶσιν, οἱ πάλαι, οἱ νεωστὶ ἐγηγερμένοι· ἐλεεινὸν θέαμα, ὥσπερ ἐξοψισθέντας ἀνθρώπους, τέρατά τινα, οὕτως τὰς τοῦ θεοῦ ἐκκλησίας βλέπειν ἀφῃρημένας τὸν οἰκεῖον κόσμον καὶ ἀμορφώτους καθεστώσας. τίς ἤκουσε τοιοῦτον ἢ ἑώρακεν ἐν τοῖς πάλαι ἀσεβήσασι; τάχα ὁ ἐπικείμενος ὑμῖν Ἄραψ αἰδοῖ χρώμενος φιλοχριστότερον διέξεισιν ἐν τούτῳ, ἀλλ' οὐχ ὁ ἡμέτερος Ταβεήλ· φεῖσαι, Κύριε, καὶ μὴ δῷς τέλεον τὴν κληρονομίαν σου εἰς ὄνειδος. καίει τοὺς ἐν πίναξι χαρακτῆρας, τοὺς ἐν ἱεροῖς ἀναθήμασι, δέλτους τὰς ὑπομνηματιζούσας περὶ αὐτῶν, σκώπτει, κωμῳδεῖ, διασύρει ὡς βδελύγματα, ὡς θεοστυγῆ, τὰ θεοφιλῆ καὶ κόσμου σωτήρια.

Ὤ, τίς οὐκ ἐπιστάξειεν δάκρυον; τίς οὐκ ἀφήσει στεναγμόν, ἐκ βάθους καρδίας ἀναπεμπόμενον; ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἶναι τοὺς εὐσεβῶς διοδεύοντας. καί γε πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· ἱεραρχεῖν δοκοῦντες καὶ ἱερεῖς, μονασταὶ καὶ μιγάδες, πᾶν γένος καὶ πᾶσα ἡλικία, οἱ μὲν τέλεον ναυαγήσαντες περὶ τὴν πίστιν, οἱ δέ, εἰ καὶ τοὺς λογισμοὺς οὐ καταποντισθέντες, τῇ δὲ αἱρετικῇ κοινωνίᾳ ἐξ ἡμισείας δέει σωματικοῦ θανάτου συγκινδυνεύοντες. πλὴν ὅτι εἰσὶν ὑπολελειμμένοι οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βαάλ, καὶ τοσοῦτοι, ὁπόσοι καὶ ἠρίθμηνται Κυρίῳ· πρὸ πάντων ὁ πρώτι-

---

19 Bas. ep. 243,2 (PG 32,904 B = III 69 Courtonne) 20 3 Reg. 18,1 sq. 26 3 Reg. 19,10 34 Joel 2,17 39 Thr. 1,4 40 Ps. 13,3 45 1 Reg. 19,18; cf. Rom. 11,4

---

14 ὃ om C 20 ἡλίαν C 21 ἐμπρίσαι C 23 ἡλιοῦ CN: Ἠλιοὺ Sirm 24 voces τὸν Κύριον ante Ἰησοῦν transp VN 31 καθιστώσας N 32 ἀσεβήσασι C: ἀσεβήμασι cett Sirm ἡμῖν VN 35 καίει: καὶ εἰ VN Sirm 38 ὦ C ἐπιστάξειε VNPS Sirm 41 μονάσται VNP 45 βάαλ VNPS Sirm

στος, ἡ ἱερὰ ἡμῶν κεφαλὴ καὶ ὁμοταγὴς τῇ τελειότητί σου, ἱεράρχαι καὶ ἱερεῖς Κυρίου, μονασταὶ καὶ μονάζουσαι. τούτων οἱ μὲν ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, οἱ δὲ δεσμῶν καὶ φυλακῆς, ἄρτῳ μετρίῳ καὶ ὕδατι τρεφόμενοι, ἄλλοι ἐξορίαις περιορισθέντες, ἕτεροι ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἐνδιαιτώμενοι· ἔνιοι δὲ καὶ παραυτὰ μαστιγωθέντες μαρτυρικῶς πρὸς Κύριον ἐνεδήμησαν. εἰσὶ δὲ οἳ καὶ σακκισθέντες ἐθαλασσεύθησαν ἀωρίᾳ, ὡς σαφὲς γέγονεν ἐκ τῶν τούτους θεασαμένων. /

Τί τἄλλα; ἀναθεματίζονται οἱ ἅγιοι ἡμῶν πατέρες, ἀνακηρύττονται οἱ ἠσεβηκότες· τὰ νήπια ἐν τοῖς τῆς ἀσεβείας δόγμασιν ἀνατρέφονται τῷ δοθέντι τόμῳ τοῖς διδασκάλοις. οὐκ ἔστι που καταφευκτήριον σώσματος ἐν οἰκουμένοις· οὐκ ἔστι προέσθαι εὐσεβές τι ῥῆμα, καὶ ἡ θήρα ἐγγύθεν, ὡς φυλάττεσθαι ἄνθρωπον καὶ ἀπὸ τῆς συγκοίτου. μηνυταὶ καὶ πιττακοδόται εἰς αὐτὸ τοῦτο παρὰ τοῦ κρατοῦντος μεμισθωμένοι, ποῦ τίς τι λέγοι ἀπαρέσκον τῷ Καίσαρι ἢ μὴ κοινωνὸν τῇ ἀσεβείᾳ ἢ βίβλον ἔχων περὶ εἰκόνων ἔχουσάν τι λεγόμενον, ἤγουν αὐτὴν εἰκόνα· ἄν τε φυγαδευόμενον εἰσδεχόμενος ἢ τοῖς διὰ Κύριον φρουρουμένοις διακονῶν κἂν φωραθείη, εὐθὺς ἀνάρπαστος, δαρήσιμος, ἐξόριστος, ἐξ οὗ καὶ τοῖς δούλοις οἱ δεσπόται ὑποπίπτοντες δέει μηνύσεως. ἡμῖν πρέπει λέγειν ὅτι οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων οὔτε προφήτης οὔτε ἡγούμενος, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιον Κυρίου καὶ εὑρεῖν ἔλεος.

Διὰ τοῦτο ταῦτα ἐπεβοησάμεθα οἱ ἀνάξιοι τῇ ἁγίᾳ σου ψυχῇ ὡς ἀπὸ στόματος πάντων τῶν ἀντεχομένων τῆς ἀληθείας, εἰς ἀντίληψιν καὶ συμπάθειαν ἡμῶν ἐκκαλούμενοι αὐτήν· οἴδαμεν γὰρ ὅτι, κἂν μὴ οἷόν τε ἐπικουρεῖν ἄλλως, ἀλλά γε τῇ τῶν εὐχῶν βοηθείᾳ μέγα παρέξει ἡμῖν ἐν τοῖς ἀναγκαιοτάτοις τὸ ὄφελος, εὐμενῆ τὸν θεὸν ἔχουσα. ἵνα δὲ γνοίη ἐκ μέρους οἷα τὰ ἀσεβῆ δόγματα τῶν ἀθέων, συναπέστειλα τοῖς γράμμασι καὶ ταῦτα ἐν τετραδίοις· ἃ καὶ ἔδοξα ὁ

---

47 κεφαλή: Nicephorus 53 ἐθαλασσεύθησαν: nuntium pro veritatis traiectione habet Bury, Eastern Roman Empire 74 et adn. 4

---

48 Hebr. 11,36 51 Hebr. 11,38 52 2 Cor. 5,8 66 Bas. ep. 243,2 (PG 32,905 C = III 70 Courtonne) 67 Dan. 3,38

---

46 ἡμῶν post πρώτιστος add VN Sirm 48 μονάσται VN 53 ἐνεδήμησαν: ἐξεδήμησαν VN Sirm 55 τ᾿αλλα Sirm: τἆλλα P: τ'ἄλλα V: τ' ἄλλα C: τἄλλα NS Mi 57 ποῦ CVNP 58 σώσματος: σώματος Sirm προέσθαι: προέσται N 61 λέγει Sirm κοινωνῶν VNPS Sirm 62 ἔχον N εἰκόνος VN ἤγουν: ἤ γε N 65 ἐξόριστος S^{pc} (item in marg) 66 ὅτι om S 67 τοῦ καρπῶσαι om N 68 Κυρίου: σου S 69 διατοῦτο VNPS 70 ἡμῶν post ἀντίληψιν transp S 71 ὅτι om NS 73 παρέξει: πράξει VN 75 σὺν ἀπέστειλα C τετραδύοις P

ἀμαθὴς ἀνατρέπειν, προτραπεὶς παρὰ εὐσεβῶν. αἰτῶ δὲ ὑπὸ τῆς θείας σου μεγαλονοίας ἐπισκεφθῆναι καὶ τὸ ἐλλιπὲς ἀνορθωθῆναι καὶ συγγνώμην τῶν ἐπωφλημένων δέξασθαί με, λαμβάνεσθαί τε εἰς μνήμην ἐν ταῖς θεοκλινέσιν αὐτῆς προσευχαῖς ὡς ἀχρεῖον τέκνον.

276. Πατριάρχῃ Ἱεροσολύμων

Τῷ τὰ πάντα ἁγιωτάτῳ πατρὶ πατέρων, φωστῆρι φωστήρων, κυρίῳ μου δεσπότῃ πατριάρχῃ Ἱεροσολύμων, Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

Τίς ἀναγγελεῖ Ἀβραὰμ ὅτι Σάρρα θηλάζει; φησί που ὁ ἱερὸς λόγος· καὶ τίς ἐμοὶ τῷ ἀναξίῳ εὐαγγελίσοιτο, ὅτι μου τὸ ταπεινὸν γράμμα εἰς ἱερὰς χεῖρας φθάσειεν τῆς ἀποστολικῆς ὑμῶν μακαριωτάτης κορυφῆς; ὅμως πιστεύω ὅτι γενήσεται· οὐ γὰρ ἀλόγῳ ἐπιθυμίᾳ, ἀλλ' ἀναγκαίᾳ ὑποθέσει κινηθεὶς ὁ ἁμαρτωλὸς ἐτόλμησα καὶ τὸ γράμμα ἀποστεῖλαι καὶ τὸν ἐπιστοληφόρον Διονύσιον τὸν ποθεινότατον ἀδελφὸν συνεκπέμψασθαι, πιστὸν ὄντα καὶ δυνατὸν ὅσα ἐλλείπει τῇ ἐπιστολῇ ἀφ' ἑαυτοῦ ἐξηγορῆσαι.

Τοιγαροῦν ὡς ἀπὼν τῷ σώματι παρὼν δὲ τῷ πνεύματι πρῶτον μὲν ὁ ταπεινὸς κατασπάζομαι τὰ θεοβαδῆ αὐτῆς ἴχνη (τοῦτο γὰρ ἐμοὶ εὐλογία τε καὶ ἁγιασμός), ἔπειτα ὡς πρὸς αὐτῆς ἐπιτραπεὶς ἄπειμι ἐν τοῖς σεβαστοῖς τόποις· προσπτύσσομαι τὸ θεῖον ἔδαφος, οὗ τὰ θεῖα ἴχνη βέβηκεν, τὸ ζωοποιὸν μνῆμα, / ἐφ' ᾧ τὸ πανάγιον σῶμα τοῦ θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατετέθη, τὸν χῶρον τοῦ ἁγίου Κρανίου, ἐν ᾧ ἐσταύρωται ὁ Κύριος τῆς δόξης. μέτειμι ἀλλαχοῦ· ὁρῶ τὴν ἁγίαν Βηθλεέμ, προσκυνῶ τὴν θείαν φάτνην ὑπὲρ

---

79 ἡ αὐτὴ δὲ ἐπιστολὴ καὶ πρὸς τὸν τῆς Ἀντιοχείας πατριάρχην ἀπεστάλη post τέκνον add VNP Sirm   ἡ αὐτὴ δὲ ἐπιστολὴ καὶ πρὸς τὸν πατριάρχην ἀντιοχείας ἀπεστάλη in marg S

---

276. a. 818   11 ὅσα ἐλλείπει: cf. Hunger, Literatur I 230 et adn. 143   13 ὡς ἀπών: cf. Karlsson, Idéologie 34 sq.

5 Gen. 21,7   13 1 Cor. 5,3   19 1 Cor. 2,8

C VM (ll. 96 – 100) N PS

1 titulum om VNPS Sirm   3 καὶ ante δεσπότῃ add S   voces πατριάρχῃ Ἱεροσολύμων post ἁγιωτάτῳ (2) transp S   5 τῷ post ἀναγγελεῖ add S   ἀβραὰμ VNPS   Σάρρα post θηλάζει transp S   7 φθάσειε VNPS Sirm   8 ἀλλὰ VNP Sirm   13 τοίγαρ οὖν C   15 ἐπιτραπεὶς: προτραπεὶς N   ἄπειμι: ἀπίημι C   16 πρὸς πτύσσομαι C   17 βέβηκε VNPS Sirm   20 voces ὡς τὴν Ἐδὲμ ante προσκυνῶ add VNPS Sirm (fort recte)

τὴν στάμνον τὴν χρυσῆν, ἐν ᾗ οὐ μάννα, ἀλλ' ὁ τῆς ζωῆς ἄρτος τέθειται. καὶ μὴν βλέπω τὸ ἅγιον ὄρος, οὗ ἡ θειοτάτη μεταμόρφωσις, τὸ τῶν ἐλαιῶν ὄρος, ἀφ' οὗ ἀνέπτη πρὸς οὐρανοὺς ὁ τῶν ὅλων Κύριος, τὴν ἁγίαν Γεσσημανῆ, ἐφ' ᾗ ὁ τάφος τῆς πανσεβάστου δεσποίνης ἡμῶν Θεοτόκου, τοῦτο κἀκεῖνο, ἵνα μὴ μακρὸν ἀποτείνοιμι λόγον. ὥ, πῶς καὶ ἀπ' αὐτῆς μόνης τῆς ἐπιμνήσεως ἁγιασμοῦ ἐστι μετάληψις· ὤ, πηλίκων καὶ φρικτῶν σεβασμάτων ἡ τῆς σῆς μακαριότητος ὑπάρχει κορυφή. σὺ πρῶτος πατριαρχῶν, κἂν πεντάζοις τῷ ἀριθμῷ· οὗ γὰρ ὁ ἐπίσκοπος τῶν ψυχῶν καὶ τῶν ὅλων ἀρχιερεὺς καὶ ἐγεννήθη καὶ ἔδρασε τὰ θεουργὰ πάντα καὶ ἔπαθεν καὶ τέθαπται καὶ ἀνέστη καὶ ἔζησε καὶ ἀνελήφθη, ἐκεῖ δῆλον ὅτι τὸ ὑπεραῖρον ἁπάντων ἀξίωμα.

Ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα πόθῳ καὶ τρόμῳ τετόλμηταί μοι λαλῆσαι, ἐπὶ δὲ τὸ ἕτερον τρέψομαι ἀπάγγελμα. διωγμὸς ἡμᾶς κατείληφεν, ὦ μακαριώτατε, καὶ διωγμῶν ὁ ἑλληνοειδέστατος· ἐπεὶ γὰρ ᾔσθετο ὁ σατανᾶς ἐν προθύροις εἶναι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μείζους τῶν αἱρέσεων ἀνάπτει τὰς φλόγας, προεισόδια τῆς τοῦ Ἀντιχρίστου παρουσίας. τί τοῦτο; τὴν πάλαι ἐπὶ Λέοντος καὶ Κωνσταντίνου διεγερθεῖσαν ἀσέβειαν καὶ μανεῖσαν ἐπὶ πολὺ καὶ ῥαγεῖσαν θείᾳ ἐπιτιμήσει, αὖθις ἄρτι ὁ ὁμώνυμος καὶ συνώνυμος τῇ ἀσεβείᾳ κρατῶν ἀνενεώσατο, καὶ τοσοῦτον, ὡς ἀποκρύψαι τὴν ἐκείνων λύτταν. διώκει τὸν Χριστὸν ἐγγεγραμμένον σὺν μητρὶ καὶ θεράπουσι καὶ οὗ ἂν εὕροι καθαίρει, φλέγει· ἐντεῦθεν θυσιαστήρια κατεσκαμμένα, ἱεροὶ ναοὶ ἠμαυρωμένοι, σκεύη ἱερὰ ἐμπεπρησμένα· οὐκ ἔστιν ὅ τι μὴ ἐλλέλειπται μέρος τῆς ὑπ' αὐτὸν βασιλείας ἐαθὲν ἀκαθαίρετον, ἀλλ' εἴ πως εὑρεθείη τις ἐγκεκρυφὼς σεπτὴν εἰκόνα ἢ δέλτον, περὶ αὐτῆς λεκτόν τι ἔχουσαν, ἀνάρπαστος εὐθύς, μάστιξι καταξαινόμενος καὶ πᾶν ἄλλο δεινὸν ὑφιστάμενος. ἐντεῦθεν δείματα καὶ τρόμοι καὶ ἐκστάσεις περὶ πάντα ἄνθρωπον, ὡς καὶ χαίρειν λέγειν

---

44 θυσιαστήρια – 55 κομιδῇ; 60 τί – 61 πλάνης; 68 οἱ μὲν – 77 ἀθεωτάτη: laudavit S. Zampelios, Βυζαντιναὶ μελέται 418 sq.

---

21 Hebr. 9,4 Joh. 6,48 sq. 22 Matth. 17,1 sq. 23 Act. 1,9 sq. 29 1 Petr. 2,25 34 Bas. ep. 243,2 (PG 32,904B = III 69 Courtonne) 44 3 Reg. 19,10

---

24 Γεθσημανῆ VNPS Sirm ἐφ': ἐν N[ac] 25 ἀποτείνοιμι: ἀποτείνω N 26 ὦ C τῆς om VNPS Sirm 27 ὦ C 28 ὑπάρχει C Mi: ἐπάρχει cett Sirm πεντάζης NS 29 τῶν ψυχῶν in marg V 30 ἔπαθε VNPS Sirm 31 δηλονότι VNPS Sirm 34 τρέπομαι N 41 ἐπιτιμήσει: ἐπιμήσει N 44 καθαιρεῖ S 46 ἐλλέλειπται: λέλειπται VN μέρος: an ἱερὸν scribendum?

ἀδελφῷ ἀδελφὸν καὶ φίλῳ φίλον ἐκτρέπεσθαι. σύνοδος κυροῦσα τὴν πάλαι ἀσεβεστάτην καὶ καταθεματίζουσα τὴν ὀρθόδοξον. ἱερεῖς ἠφρονεύσαντο καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν, ἀλλὰ τὸ τῷ Ἀχαὰβ δόξαν συνεκρότησαν. πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, πλὴν ὀλίγων κομιδῇ· τίνων τούτων; ἐπισκόπων τε καὶ ἡγουμένων, μοναζόντων τε καὶ μοναζουσῶν, αὐτοῦ τε χάριτι θεοῦ τοῦ κορυφαιοτάτου ἡμῶν ἀρχιερέως· ὧν οἱ μὲν ἐμαστίχθησαν, ἄλλοι ὑπερωρίσθησαν, ἔνιοι δὲ καὶ παραυτὰ τῶν ποινῶν πρὸς Κύριον ἐξεδήμησαν, ἀθλητικὸν στέφανον ἀράμενοι.

Τί τὰ τῆς βλασφημίας; κωμῳδεῖται ἡ σεπτὴ καὶ / φρικτὴ εἰκὼν Χριστοῦ ὡς βδέλυγμα ἐρημώσεως, ὡς εἴδωλον πλάνης· οὕτως πᾶσα ἄλλη δεσποινική, ἁγιωτική. ἄρτι, φησί, καθαρὰ καὶ ἀμώμητος πίστις, ἄρτι, φησί, Κύριος ἐλάλησεν εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. ὡς ἤδη ἀρθείσης τῆς εἰρήνης, ἀφ' οὗ Χριστὸς ἔφη, εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν μέχρι τοῦ δεῦρο, καὶ ἐρρυπωμένης οὔσης τῆς ἐκκλησίας αὐτοῦ, ἣν ὁ ἱερὸς Παῦλος βοᾷ μὴ ἔχειν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' εἶναι ἁγίαν καὶ ἄμωμον, οἱ μὲν τέλεον περὶ τὴν πίστιν ἐναυάγησαν, οἱ δέ, εἰ καὶ τοῖς λογισμοῖς οὐ κατεποντίσθησαν, ὅμως τῇ κοινωνίᾳ τῆς αἱρέσεως συνόλλυνται. ἀλλὰ γὰρ καὶ αὐτοὶ οἱ κατὰ νοῦν ὀρθοδοξοῦντες τῇ ἐπιμονῇ τοῦ διωγμοῦ ἰλιγγιῶσι περὶ τὴν ἀλήθειαν, ὥσπερ οἱ ὑπὸ τρικυμιῶν θαλάσσης ἀπειρίᾳ πλεύσεως σκοτούμενοι. ἐλεεινὰ τὰ πάντα ἡμῖν καὶ ὀδυρμῶν ἄξια. παραστέλλονται ψαλμῳδίαι ἀρχαιοπαράδοτοι, ἐν αἷς περὶ εἰκόνων ᾄδεταί τι, ἀντᾴδεται τὰ νέα δόγματα, ἀσεβῆ εἰς προῦπτον κείμενα, ἄλλα τοῖς παισὶ πρὸς τῶν διδασκάλων παραδιδόμενα· καὶ μεταστοιχείωσις τῶν πάντων ἀθεωτάτη. ἐγενόμεθα κυρίως εἰπεῖν ὡς Σόδομα καὶ Γόμορρα κατὰ τὰς ἁμαρτίας ἡμῶν καὶ ἡ καταιγὶς τῆς αἱρέσεως κορυφουμένη κορυφοῦται ὁσημέραι, καὶ ὁ διαναστήσων Χριστὸν τὸν θεὸν ἡμῶν ἐπιτιμῆσαι τῇ πονηρᾷ ταύτῃ θαλάσσῃ οὐχ εὕρηται.

---

51 σύνοδος: vere a. 815 convocata 57 ἀρχιερέως: Nicephorus 75 περὶ εἰκόνων ᾄδεταί τι: cf. J. Gouillard, in: TM 2 (1967) 136

52 Jer. 10,21 54 Ps. 13,3 61 Dan. 12,11 62 Ps. 84,9 65 Joh. 14,27 67 Eph. 5,27 77 Is. 1,9

52 καταναθεματίζουσα Mi 53 ἀχαὰμ N 58 voces ἕτεροι ἐφυλακίσθησαν ante ἔνιοι add VNPS Sirm, quod additamentum ex ep 275,49 ortum esse videtur παρ' αὐτὰ N 62 δεσποινική: δεσποτικὴ N 63 εἰρήνην in marg V 68 σπῖλον VNPS Sirm 73 ὑμῖν Mi 75 ἀντ' ᾄδεται C ἀσεβῆ ante νέα transp VNPS Sirm 79 ὡσήμεραι C 80 ἐπὶ τιμῆσαι C

Ἀλλὰ γενοῦ ἡμῖν εἷς τῶν δώδεκα ἀποστόλων, ὦ μακαριώτατε, διύπνισον τὸν ἀκοίμητον ὀφθαλμόν, οἰκονομικῶς καθεύδοντα, ὅτι ἀπολλύμεθα τέλεον. εἴ πως καὶ ἄλλως ἐστί τι φάρμακον βοηθείας, ἰατρεῦσαι τοὺς ἠσθενηκότας ὡς ἐπιστήμων ἐπείχθητι. ναί, δεόμεθα, ἁγιώτατε, ἀντιβολοῦμεν, παρακαλοῦμεν· σοῦ ἐσμεν μέλη, ἐπεὶ οἱ πάντες πιστοὶ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. ἐπίτρεψον καὶ τοῖς ἄλλοις ἁγίοις πατράσιν ἡμῶν χεῖρα πρεσβευτικὴν ὀρέξαι, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς ἔλεος εἴη παρὰ θεοῦ. τούτου δὴ χάριν τὸ γράμμα, καὶ ὁ γραμματηφόρος πρὸς πάντων τῇ προθέσει ἀπεσταλμένος, εἰ καὶ παρ' ἡμῶν μόνων τῶν ἐλαχίστων, ἀναπληρούντων τὸ ἐκείνων πρόσωπον. ἵνα δὲ γνοίη ἐκ μέρους ἡ κορυφαιότης σου οἷα τὰ τῶν ἀθέων δόγματα, συναπέστειλα τοῖς γράμμασι ταῦτα ἐν τετραδίοις, ἃ καὶ ἔδοξα ὁ ἀμαθὴς ἀνατρέπειν, προτραπεὶς ὑφ' ἑτέρων. αἰτῶ δὲ παρὰ τῆς σῆς θεοσοφίας ἐπισκεφθῆναι καὶ τὸ ἐλλιπὲς ἀνορθωθῆναι, συγγνώμην τε τῶν ἐπωφλημένων δέξασθαί με, οὐ μὴν ἀλλὰ καὶ τὸν σύνδουλον ἡμῶν ἀδελφὸν συγκροτηθῆναι πρός τε διάδοσιν τῶν ἐν οἷς ἐπεστείλαμεν ἑτέρων ἁγίων προσώπων ἐπιστολῶν καὶ δή, θεοῦ θέλοντος, εἰς ἐπιστροφὴν παλινοδίας αὐτοῦ τῶν ἐνταῦθα.

277. Εἰς τὴν λαύραν τοῦ Ἁγίου Σάβα

Τῷ θεοτιμήτῳ, ἠγαπημένῳ καὶ πνευματικῷ μου πατρί, κυρίῳ καθηγεμόνι τῆς περιβοήτου λαύρας τοῦ παμμάκαρος ἁγίου πατρὸς ἡμῶν Σά/βα, καὶ τοῖς ὑπ' αὐτῇ ὁσίοις μου πατράσι Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

---

90 γραμματηφόρος: Dionysius 94 τετραδίοις: cf. p. 37* no. 27

---

87 1 Cor. 12,27

---

83 δι' ὕπνισον C 85 δεοίμεθα C 86 παρακαλοῦμεν om N 93 σὺν ἀπέστειλα C 94 τετραδύοις PN Sirm 95 ἐπὶ σκεφθῆναι C 96 συγγνώμην hic inc epist in M 97 ἡμῶν post ἀδελφὸν transp N 99 ἐπὶ στροφὴν C παλινῳδίας PS Sirm: παλινῴδίας N

---

277. a. 818

C (ll. 2–5 et 50–81) VM PS

1 titulum om CV ἡ αὐτὴ δὲ (om PS) ἐπιστολὴ ἀπεστάλη καὶ πρὸς τὴν μονὴν τοῦ ἁγίου θεοδοσίου in marg CPS σάββα V 4 σάββα V αὐτὴν VM

Χαρά μοι μεγάλη καὶ δόξης περιβολὴ τῷ ἀναξίῳ, ὅτιπερ ἠξίωμαι εὐτελές μου γραμματεῖον ἀποστεῖλαι ἐν τόπῳ ἁγίῳ, ἐν σκηναῖς ὁσίων τῆς ὑμετέρας περιποθήτου πατρότητος. ἐπειδὴ γὰρ τῇ τοῦ σώματος παρουσίᾳ οὐχ οἷόν τε ἦν παραγενέσθαι με πρὸς τὰ ἴχνη ὑμῶν καὶ ἰδεῖν τὸ ἅγιον τέμενος, τὴν ἱερὰν περιοχὴν ὑμῶν, ἣν ἐγὼ ὁ ταπεινὸς ὡς πόλιν θεοῦ δι' αἰδοῦς ἔχων εἰμί, εὐδόκησεν ὁ ἀγαθὸς θεὸς διὰ τῆς τοῦ γράμματος ἐπισκοπῆς τὸ καταθύμιόν μου πληρῶσαι τοῦ ἁμαρτωλοῦ. καὶ δὴ ὡς παρὼν πρὸ τῶν ποδῶν ὑμῶν καὶ περιπτύσσομαι ὑμᾶς τῷ ἁγίῳ πόθῳ καὶ προσκυνῶ τὸ θεῖον ἔδαφος, ἐν ᾧ τὸ ἐκλεκτὸν σκεῦος τοῦ θεοῦ τεταμίευται, τὸ φῶς τῶν μοναζόντων, ὁ λαμπτὴρ τῆς οἰκουμένης, ὁ τοῦ νοητοῦ Φαραὼ καταποντιστὴς καὶ τοῦ ἁγίου ἔθνους καθηγητής, ὁ τῆς ἁγίας γῆς ἐγκρατὴς καὶ τῶν θείων μονῶν κληροδότης. συνασπάζομαι καὶ τὰς λοιπὰς σεβασμίας θήκας, ἐφ' αἷς τὰ ἱερὰ σώματα τῶν ὁσίων, οἷς ὁ πλοῦτος τῶν ἀρετῶν ἐν νυκτὶ τοῦ τῇδε βίου ἄστροις ἐοικὼς θεοφαέσιν. ὁρῶ τὸν χῶρον, ἐφ' ᾧ ὁ στῦλος τοῦ πυρὸς τῷ στύλῳ τῶν ἀρετῶν ὦπται, ἡ πρὸς τοὺς ἀοράτους ἐχθροὺς νικηφόρος πάλη, τὸ τῆς θαυματουργίας δρᾶμα, τοῦτο κἀκεῖνο ποικιλλόμενον ταῖς κατὰ καιρὸν ἐνεργείαις τοῦ Πνεύματος. ὤ, πόσα μοι ὁ πόθος ἐπιβάλλει λέγειν καὶ ὁ τρόπος εἴργει τοῦ μὴ εἰς ἄμετρον ἐκπεσεῖν τὴν ἐπιστολήν· ὤ, πόσων ἀγαθῶν πράξεων σύμβολα καὶ ὑπομνήματα ἐν ὑμῖν, μονονουχὶ καὶ ὑπὸ θέας αὐτῆς δυνάμενα παρακαλεῖν ψυχὴν εἰς ἐπίδοσιν ἀρετῆς.

Ἀλλ' ὁ μὲν πρῶτος λόγος ἐχέτω ταῦτα, εἰ καὶ ἐνδεέστερον τῆς ἐπιθυμίας· ἐφ' ἕτερον δὲ μετελεύσομαι ὀδυρτικόν, οὐ περιχαρῆ, δι' ὃν καὶ ὁ πρότερος ὑφωρμήθη μοι ὑπάρξαι. ὀργὴ θεοῦ ἡμᾶς κατέλαβεν, ὦ πατέρες ἁγιώτατοι, διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγείσης τῆς ἀγάπης, ὡς ὁ Κύριος εἴρηκε, διωγμὸς ἑλληνοειδής, χαλεπώτατος λίαν. ἀπηλάθη τῆς αὐλῆς ὁ ἀρχιποιμὴν ἡμῶν, διεσκορπίσθη τὰ Χριστοῦ πρόβατα· λύκοι βαρεῖς εἰσεφθάρησαν ἐν τῇ ποίμνῃ καί γε μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. τί τοῦτο; πάλιν ἐνταῦθα ἠτιμάσθη ἡ σεπτὴ εἰκὼν τοῦ θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς

9 παρουσίᾳ: cf. Karlsson, ibid. 15 σκεῦος: S. Sabas 33 ἀρχιποιμήν: Nicephorus

14 Act. 9,15 20 Ex. 13,22 31 Matth. 24,12 34 Act. 20,29 35 Ps. 79,14

7 γραμμάτιον VMS 11 διὰ S^{sscr} 20 ἐοικόσι omnes: correxi στύλος omnes: correxi 22 δράμα VM 26 ὑπὸ: ἀπὸ M (fort recte) 27 ψυχὴν παρακαλεῖν P παρακαλεῖν δυνάμενα S^{ac} 30 ἠφορμήθη V 33 ἀρχιποίμην PS Sirm 34 εἰσεφθάρησαν: εἰσέφθασαν coni Sirm

Θεοτόκου, παντὸς οὑτινοσοῦν ἁγίου. διὰ τοῦτο ποιμένες ἠφρονεύσαντο καὶ οὐχ ὅτι τὸν Κύριον, προφητικῶς εἰπεῖν, οὐκ ἐξεζήτησαν (ἧττον γὰρ ἂν ἦν τὸ ἀσέβημα), ἀλλ' ὅτι συνήχθησαν ἰουδαϊκῶς κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ, ἀποδοκιμάσαντες αὐτοῦ τὴν ἁγίαν εἰκόνα τῆς τε αὐτοῦ μητρὸς καὶ τῶν θεραπόντων.

Διὰ τοῦτο θυσιαστήρια ἅγια ἠφανίσθη καὶ ναοὶ Κυρίου ἠμαυρώθησαν ἐν πάσῃ πόλει καὶ χώρᾳ τῆς τῇδε ἐξουσίας, εἰς πένθος προκείμενοι τοῖς ὁρῶσι, τὸν οἰκεῖον κόσμον τῆς θείας εὐμορφίας ἀφῃρημένοι· διὰ τοῦτο ἱερὰ σκεύη ἀναχωνευόμενα καὶ ἐσθὴς / θεία πυρὶ παραδιδομένη σὺν τοῖς ἐν πίναξι χαρακτῆρσι καὶ βίβλοις, ἐν οἷς τι λεκτὸν περὶ εἰκόνων· διὰ τοῦτο γελᾶται τὸ μέγα τῆς οἰκονομίας μυστήριον καὶ βδέλυγμα κέκληται (ὃ καὶ φρίττω λέγων) τὸ σωτηριόκοσμον ὁμοίωμα Χριστοῦ, μᾶλλον δὲ Χριστὸς σὺν μητρὶ καὶ θεράπουσιν, εἴπερ ὡς τῇ τιμῇ καὶ τῇ κλήσει ταὐτὸν ἀμφότερα, εἰκὼν καὶ πρωτότυπον· διὰ τοῦτο ἐξερευνήσεις καὶ ἐκζητήσεις καὶ κατ' ἄνδρα καὶ κατ' οἶκον, καὶ φόβοι καὶ ἀπειλαί, μὴ ὑπολειφθῆναι ἀνάλωτον τῇ αἱρέσει τινὰ μηδ' αὖ πᾶσαν εἰκόνα· διὰ τοῦτο ἱερεῖς ἀνομοῦντες καὶ μοναχοὶ ἀμόναχοι κατὰ τῶν ὁμοσχήμων φερόμενοι, φοιτηταὶ κατὰ τῶν ἡγουμένων, ἆθλον τῆς ἀποστασίας τὴν προεδρίαν κομιζόμενοι, καὶ ὁ τὰ πλεῖστα μανεὶς κατὰ Χριστοῦ πλείους καὶ τιμὰς ἠξιωμένος· διὰ τοῦτο μάστιγες, δεσμοί, φυλακαί, λιμοκτονήσεις, ἐξορίαι, θάνατοι ἐπὶ τοὺς ἐνισταμένους. οὐκ ἀρχιερωσύνη τοῖς ἀσεβέσιν αἰδέσιμος, οὐ πολιὰ οἰκτειρήσιμος, οὐκ ἄσκησις εὐσεβείας, οὐκ ἄλλο τι τῶν φειδοῦς ἀξίων· εἷς νόμος, τὸ τοῦ Καίσαρος θέλημα, καὶ μία σπουδή, ἅπαντας ἐν τούτῳ ἁλῶναι. αἱ ἐρημίαι τοὺς διαπεφευγότας ἔχουσιν, αἱ πέτραι καὶ τὰ σπήλαια τοὺς διασεσωσμένους. ὤ, πῶς ὡμοιώθημεν πελεκᾶνι ἐρημικῷ· ὤ, πῶς παρεδόθημεν εἰς χεῖρας, τοῖς ὀδοῦσι τῶν ἀσεβῶν, καὶ τὰ πλείω παρῆκα διὰ τὸ προσκορές.

Ἀλλὰ στενάξατε ἐφ' ἡμᾶς, ὦ συμπαθέστατοι, ὡς σύσσωμοι, ὀρέξατε χεῖρα πρεσβευτικὴν ὡς φιλάδελφοι. τῶν αὐτόθι χείρονα τὰ

---

67 τῶν αὐτόθι: Saraceni Palaestinae

37 Jer. 10,21 39 Ps. 2,2 47 cf. Eph. 3,9 59 Bas. ep. 243,2 (PG 32,904 C sq. = III 69 Courtonne) 63 Ps. 101,7

37 διατοῦτο VPS 42 διατοῦτο VMPS 45 διατοῦτο VP 47 οἷς: αἷς V[pc] Sirm (fort recte; cf ep 278,48) διατοῦτο VMPS 48 σωτηριόκοσμον: σωτήριον κόσμου V: σωτήριον κόσμῳ PS Sirm (cf ep 380,43) 50 εἰκὼν: hic inc textus epist in C 51 διατοῦτο VMPS καὶ[1] om C 53 διατοῦτο VMPS 54 ὁμοσχήμων: ὁμοσκήνων M 55 ἄθλον C 56 τοῦ post κατὰ add VM πλειόνων καὶ τιμῶν VMPS Sirm 57 διατοῦτο VPS 63 ὦ C (bis) 64 καὶ τά: τὰ δὲ M

ἡμέτερα βαρβαρίζεται. ὡς Σόδομα ἤδη γεγόναμεν καὶ ὡς Γόμορρα ἤδη ὡμοιώθημεν. διὰ τοῦτο τοιγαροῦν καὶ ἐπεβοησάμεθα τῇ ἁγιωσύνῃ ὑμῶν οἱ ταπεινοὶ ὡς ἐν ἑνὶ στόματι τῶν πάντων ἀδελφῶν καὶ συμπασχόντων· ἴσμεν γὰρ ὅτι ἰσχύει ἡ δικαία ὑμῶν δέησις ἐνεργουμένη, ὡς ἂν τῷ ἐξιλασμῷ αὐτῆς κοπάσῃ ἡ θραῦσις τῆς αἱρετικῆς ῥομφαίας, τοῦ Κυρίου εἰς εἰρηνικὴν ὀρθοδοξίαν ἐπανάγοντος καὶ τὴν καθ' ἡμᾶς ἐκκλησίαν. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς, ὦ σεβάσμιοι, ἐκ μέρους, οἷα τὰ ἀσεβῆ δόγματα τῶν ἀθέων, συναπέστειλα τοῖς γράμμασι ταῦτα ἐν τετραδίοις, ἃ καὶ ἔδοξα ὁ ἀμαθὴς ἀνατρέπειν, προτραπεὶς παρὰ εὐσεβῶν. αἰτῶ δὲ ὑπὸ τῆς θείας ὑμῶν ἀγχινοίας ἐπισκεφθῆναι καὶ τὸ ἐλλιπὲς ἀνορθωθῆναι καὶ συγγνώμην τῶν ἐπωφλημένων δέξασθαί με, λαμβάνεσθαί τε εἰς μνήμην ἐν ταῖς θεοκλινέσιν ὑμῶν προσευχαῖς, καὶ μὴν καὶ συντάττεσθαι ὡς ἔσχατον πάντων μέλος ἐν τῷ πληρώματι τῆς ἁγίας ὑμῶν ἐκκλησίας.

278. Εἰς τὴν λαύραν τοῦ Ἁγίου Χαρίτωνος

Τῷ θεοτιμήτῳ, ἠγαπημένῳ καὶ πνευματικῷ μου πατρί, κυρίῳ καθηγεμόνι τῆς μεγίστης λαύρας τοῦ παμμάκαρος ἁγίου πατρὸς ἡμῶν / Χαρίτωνος, καὶ τοῖς ὑπ' αὐτῇ ὁσίοις μου πατράσι Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου.

Ἐπειδὴ παρ' ἐλπίδα ἡ ἐπίτευξις τῶν γραμμάτων, θαυμαστικῶς βοήσομαι· ,πόθεν μοι τοῦτο, ἵνα ἀξιωθῶ ὁ εὐτελὴς ἐπιστεῖλαι ὑμῖν, τοῖς ἁγίοις μου πατράσιν;' ἰδοὺ γὰρ ὡς κατείληφεν ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν ὁ χαλεπώτατος διωγμὸς οὗτος, οὗ ἡ ἀκοὴ πάντως μέχρι καὶ ὑμῶν ἔφθασεν. ἐσκόπουν καὶ ἀνηρεύνων ὁ ταπεινός, πῶς καὶ δι' οὗτινος προσώπου δυνηθείην ἀποδύρασθαι καὶ πρὸς ὑμᾶς τοὺς ἁγίους τὰ συμβάντα ἡμῖν δεινά, οὐκ ἄλλου τινὸς ἕνεκεν ἢ τοῦ

68 Is. 1,9 72 Ps. 105,30

69 διατοῦτο VMPS τοίγαρ οὖν C 70 ἡμῶν Sirm 71 ἡμῶν Sirm 72 ὡς ἄν: ὡσὰν S 73 εἰς om C 75 σὺν ἀπέστειλα C 76 τετραδύοις VMP Sirm 77 παρὰ: ὑπὸ S 81 ἡ αὐτὴ ἐπιστολὴ ἀπεστάλη καὶ πρὸς τὴν μονὴν τοῦ ἁγίου Θεοδοσίου ad finem epistulae add Sirm

278. a. 818

C VM PS

1 titulum addidi ex indice titulorum codicis V (f. 188[v]): om codd Sirm ἡ αὐτὴ ἐπιστολὴ ἀπεστάλη καὶ πρὸς τὴν μονὴν τοῦ ἁγίου εὐθυμίου in marg CPS 4 αὐτὴν VM πατράσιν Sirm 7 μοι om VM: P[sscr]

εἰς συμπάθειαν ἐκκαλέσασθαι ὑμῶν τὰς ἁγίας ψυχὰς ἀντιλαβέσθαι ἡμῶν διὰ τῶν προσευχῶν, συμπάσχειν δῆλον ὅτι εἰδότων κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν, εἴπερ ἐσμὲν οἱ πάντες σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. καὶ ὡς ἤδη ταῦτα ἐνενόουν, ἐπέστη ἀθρόως καὶ ὁ γραμματηφόρος, ἐκ τῶν αὐτόθι ἥκων, καὶ οὗτος υἱὸς ἐμὸς ἐν πνεύματι καὶ λίαν πιστότατος. πῶς οὖν οὐκ ἔμελλον ὁ ἁμαρτωλὸς ἐκπλαγῆναι ἐπὶ τῷ ἑρμαίῳ, πῶς δὲ οὐκ ἀνθομολογήσασθαι Κυρίῳ τῷ θεῷ μου τὰ εἰκότα;

Ἀλλὰ πρὶν ἐξειπεῖν τὰ ὀδυνηρά, τὸν πρὸς ὑμᾶς μου πόθον ἀφοσιώσομαι ὁ ταπεινός. χαίρετε, ὦ μακαριώτατοι πατέρες, οἱ τῆς ἁγίας γῆς οἰκήτορες, τὸ χρυσοῦν γένος, οἱ τὴν πίστιν δοκιμώτατοι καὶ τῶν παθῶν πανδαμάτορες· χαίρετε, ἡ περιβόητος ὁμήγυρις Χριστοῦ, οἱ ἐργάται τῶν ἐντολῶν Κυρίου καὶ τῆς ἐν παραδείσῳ διαίτης τὴν θεοειδῆ ζωὴν μιμούμενοι· χαίρετε, ἡ τοῦ θεοῦ πόλις ἐκλεκτή, εἴπερ ἐν μέσῳ ὑμῶν Κύριος, διὰ τῆς τῶν ἀγαθῶν ἔργων ἀναλήψεως θεραπευόμενος. ἐβουλόμην ὄψει ὑπολαβεῖν τὴν θείαν ὑμῶν περιοχὴν καὶ προσάψασθαι τῶν ἱερῶν ὑμῶν ἰχνῶν, ἰδεῖν τὸ ἅγιον τέμενος, προσκυνῆσαι τὸ θεῖον ἔδαφος, ἕκαστα κατασκοπῆσαι, ποῦ ὁ ἅγιος τοῦ θεοῦ, ὁ φερωνύμως χαρίτων πεπληρωμένος, ἐνήθλησε μαρτυρικῶς τε ὁμοῦ καὶ ἀσκητικῶς, πῇ δὲ τὸ ἱερὸν αὐτοῦ σῶμα τεταμίευται, ὁ ὄντως θησαυρὸς τῶν ἀρετῶν, ὁ τῆς ἐρήμου πολίτης καὶ τῆς οἰκουμένης λαμπτήρ, οὗ τὸ ἔντιμον σπέρμα οὐκ ἐκλέλοιπεν οὐδὲ ἐκλείψειεν ἕως συντελείας τοῦ αἰῶνος. εἴθε εἶδον ταῦτα καὶ περιεπτυξάμην τὸν χοῦν ὡς ἔμψυχον· ὤφελον ἀπήχθην καὶ ἐν ταῖς λοιπαῖς θήκαις τῶν ὁσίων, ἀπ' αὐτῆς μόνης ὄψεως ἁγιαζόμενος.

Ἀλλ' ἐπεὶ ταῦτα ἐξ ὀλίγου μοι ὕμνηται, φέρε διηγήσωμαι καὶ τὰ ὀδύνης ἔμπλεα. ἀνέστη βασιλεὺς ἕτερος, φησί που τὸ ἱερὸν γράμμα, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. τοιοῦτος δὴ οὖν ὁ ἡμέτερος Φαραώ, ὦ ἁγιώτατοι, οὐ τὸν Ἰωσὴφ ἀγνοῶν, ἀλλὰ τὸν ἀγοράσαντα αὐτὸν δεσπότην ἀρνούμενος· δῆλον γὰρ ὡς ὁ ἀθετῶν αὐτοῦ τὴν εἰκόνα αὐτὸν ἀθετεῖ, οὕτω καὶ τὴν Θεοτόκον καὶ πάντα ἅγιον ἠθέτησεν. οὐ

---

17 γραμματηφόρος: monachus e Laura S. Charitonis

15 1 Cor. 12,27 39 Ex. 1,8

13 ὑμῶν om M 14 δηλονότι VMPS Sirm 15 ἐσμὲν: εἰσὶν M 17 γραμματοφόρος VP Sirm 21 μου om VM 23 γῆς: μονῆς M 24 δαμάτορες VMPS Sirm 29 τε post ἰδεῖν add M καὶ ante προσκυνῆσαι add M 31 Χαρίτων Sirm 34 ἐκλέλοιπεν: ἐκλείπει VM ἐκλείψειεν: ἐκλείψει M 35 τῆς post ἕως add VMPS Sirm 36 καὶ ante ἀπήχθην transp VMPS Sirm 38 διηγήσομαι codd Sirm: corr Mi

γὰρ ἔφερεν, φύσις ὢν ἀρνητική, μὴ οὐχὶ τῇ κεφαλῇ συμπεριελεῖν καὶ τὰ μέλη πάντα, ἵνα μόνη ἡ αὐτοῦ εἰκὼν ἐμφανίζηται Ναβουχοδονοσορικῷ δόγματι. ἐντεῦθεν ἐρήμωσις πασῶν τῶν ἐκκλησιῶν τοῦ θεοῦ, ἀφανιζομένης / πανταχοῦ πάσης σεπτῆς εἰκόνος· ἐντεῦθεν ἔμπρησις ἱερῶν ἀναθημάτων, ἐν οἷς εἰκών, καὶ βίβλων, ἐν αἷς περὶ αὐτῆς τι λεκτόν· ἐντεῦθεν τὰ τῆς ἀσεβείας χειρόγραφα ἀπαιτούμενα καὶ ἡ μέθεξις τῆς ἀθέου κοινωνίας διὰ πολλῆς ἐκζητήσεως καὶ ἐρεύνης, ὡς μὴ ὑπολειφθῆναι ἀνάλωτον πάντα ἄνθρωπον· δυοῖν γὰρ θάτερον ἀνάγκη, ἢ προσκυνῆσαι τῇ εἰκόνι τῇ χρυσῇ ἢ τῇ πονηρᾷ φλογὶ τῶν βασάνων ὑποβληθῆναι. καὶ ὅμως εὐαρίθμητοι οἱ ἀκαμπεῖς. τίνες οὗτοι; ὁ ἱερὸς ἡμῶν πατριάρχης, ἱεράρχαι τε καὶ ἱερεῖς, μονασταὶ καὶ μονάζουσαι· οὐδὲ γὰρ ἡ πόρνη ὄψις ᾐδέσθη καὶ μέχρι τούτων τὰς μάστιγας ἐπαφεῖναι. πῶς ἂν ἐναργῶς παραστήσαιμι τὰς θλίψεις, τὰς φυλακάς, τοὺς δεσμούς, τὰς λιμοκτονήσεις, τὰς ἐξορίας, τὰς ἐπαγωγάς, τοὺς θανάτους (ἐπεὶ καὶ μέχρι τοῦδε ἡ πεῖρα), τὰς ἐν ὄρεσι φυγαδείας, τὰς ἐν σπηλαίοις καὶ ὀπαῖς τῆς γῆς κατακρύψεις; Ἀβδιοὺ ὁ προφήτης, ἔτι ὢν τριστάτης Ἀχαάβ, τῆς Ἰεζάβελ φονώσης, λέγεται κατακρύψαι υἱοὺς τῶν προφητῶν ἀνὰ πεντήκοντα εἰς δύο σπήλαια, οὓς καὶ διέτρεφεν· ἐνταῦθα δὲ εἰ φωραθείη τις καὶ μόνον ἕνα κεκρυφώς, ἐν κινδύνῳ μεγάλῳ, ἀλλὰ γὰρ κἂν κρύβδην, φεύγων τὴν ἀσεβῆ κοινωνίαν, ἢ εἰκόνα φρουρῶν ἢ βίβλον περιέχουσαν τὰ κατ' αὐτήν. σιγᾷ τὰ τῶν εὐσεβούντων ἔνδον στόματα, ἀνεῖται βλάσφημος γλῶσσα, κωμῳδεῖται τὸ μέγα τῆς οἰκονομίας μυστήριον. ἄρτι, φησί, Κύριος ἐλάλησεν εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν, ὁ ἐν ἀρχῇ φήσας τοῖς οἰκείοις μαθηταῖς· εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. ἄρτι, φησίν, ἤρθη ἐκ μέσου βδελύγματα ἑλληνικῆς πολυθεΐας, τοῦ ἀποστόλου ἀρχῆθεν βοῶντος, οὐδὲν εἴδωλον ἐν κόσμῳ· ἄρτι, φησί, κεκάθαρται ἡ ἐκκλησία, ἣν πάλαι ἀπέφηνεν ὁ αὐτὸς ἀπόστολος μὴ ἔχειν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' εἶναι ἁγίαν καὶ ἄμωμον· ἄρτι, φασί, τὸ φῶς ηὔγασε τοῖς χριστιανοῖς, ἐνισχημένοις ζόφῳ ἀγνοίας, οἷς ἄνωθεν

---

51 Bas. ep. 243,2 (PG 32,905 A = III 69–70 Courtonne) 59 Hebr. 11,38 61 3 Reg. 18,13 67 Ps. 84,9 69 Joh. 14,27 72 1 Cor. 8,4 73 Eph. 5,27

---

44 ἔφερε VMPS Sirm 45 αὐτοῦ εἰκὼν: εἰκὼν αὐτοῦ VMPS Sirm 48 ἔμπρισις C 54 ὑμῶν Sirm 55 μονάσται VM πόρνης coni Sirm 56 γὰρ ante ἂν add MPS Sirm: cancell V 57 δησμοὺς Sirm 58 ἀπαγωγὰς Sirm 60 ἀβδιοῦ C ἰεζάβελ V 63 μόνον ἕνα: ἕνα μόνον M 65 σιγὰ C 70 φασὶν VMPS Sirm 72 φασὶ VMPS Sirm 73 ἀπ' ἔφηνεν C σπῖλον CPS Sirm

καὶ ἀπ' ἀρχῆς Χριστὸς ἔφησεν, ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. ὁρᾶτε, ἀδελφοὶ ἅγιοι, τὴν ἀποστασίαν, ἣν δεῖ πρῶτον ἐλθεῖν, καθά φησιν ὁ ἀπόστολος; ἤδη ἐν ὀφθαλμοῖς ἡμῶν ὁρῶμεν τὰ εἰσόδια τοῦ Ἀντιχρίστου. ἐκλελοίπαμεν, παρανηλώμεθα· ἐξέλιπεν φυσητήρ, ἀπελήλαται πᾶσα ἐλπὶς ὅσον κατὰ ἄνθρωπον.

Ἀλλὰ στενάξατε ἐφ' ἡμᾶς, ὦ συμπαθέστατοι, ὡς σύσσωμοι, ὀρέξατε χεῖρα πρεσβευτικὴν ὡς φιλάδελφοι. τῶν αὐτόθι χείρονα τὰ ἡμέτερα βαρβαρίζεται. ὡς Σόδομα ἤδη γεγόναμεν καὶ ὡς Γόμορρα ἤδη ὡμοιώθημεν. διὰ τοῦτο τοιγαροῦν καὶ ἐπεβοησάμεθα τῇ ἁγιωσύνῃ ὑμῶν οἱ ταπεινοὶ ὡς ἐν ἑνὶ στόματι τῶν πάντων ἀδελφῶν καὶ συμπασχόντων· ἴσμεν γὰρ ὅτι ἰσχύει ἡ δικαία ὑμῶν δέησις ἐνεργουμένη, ὡς ἂν τῷ ἐξιλα/σμῷ αὐτῆς κοπάσῃ ἡ θραῦσις τῆς αἱρετικῆς ῥομφαίας, τοῦ Κυρίου εἰς εἰρηνικὴν ὀρθοδοξίαν ἐπανάγοντος καὶ τὴν καθ' ἡμᾶς ἐκκλησίαν. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς, ὦ σεβάσμιοι, ἐκ μέρους, οἷα τὰ ἀσεβῆ δόγματα τῶν ἀθέων, συναπέστειλα τοῖς γράμμασι ταῦτα ἐν τετραδίοις, ἃ καὶ ἔδοξα ὁ ἀμαθὴς ἀνατρέπειν, προτραπεὶς παρὰ εὐσεβῶν. αἰτῶ δὲ ὑπὸ τῆς θείας ἀγχινοίας ὑμῶν ἐπισκεφθῆναι καὶ συγγνώμην τῶν ἐπωφλημένων δέξασθαί με, λαμβάνεσθαί τε εἰς μνήμην ἐν ταῖς θεοκλινέσιν ὑμῶν προσευχαῖς, καὶ μὴν καὶ συντάττεσθαι ὡς ἔσχατον πάντων μέλος ἐν τῷ πληρώματι τῆς ἁγίας ὑμῶν ἐκκλησίας.

279. Τοῖς ἐν τῇ ἁγίᾳ πόλει μονάζουσιν Ἰσαὰκ καὶ Ἀρσενίῳ

Ἀγαπητὸν ἡμῖν τοῖς ταπεινοῖς παντὶ πατρὶ τῶν τῆς ἁγίας γῆς προσφθέγγεσθαι, εὐοδωθεῖσιν ἀποστεῖλαι ἕνα τῶν ἀγαπητῶν ἡμῶν ἀδελφῶν ἐν τοῖς αὐτόθι, μὴ ὅτι γε ὑμῖν τοῖς ἁγιωτάτοις πατράσιν, ὧν ἡ ἐπ' ὀλίγον χρόνον συνουσία οὕτως ἐνεφυτεύθη φιλικῶς ἐν / τῇ

76 Joh. 12,46 78 2 Thess. 2,3 80 Jer. 6,29 84 Is. 1,9 88 Ps. 105,30

77 σκοτείᾳ C 79 ἡμῶν om S 80 ἐξέλειπεν C: ἐκλέλοιπε M: ἐξέλιπε cett Sirm 84 γόμορα C 85 διατοῦτο VMS τοίγαρ οὖν C καὶ om M 86 στόματι C: σώματι cett Sirm (cf tamen ep 277,70) 87 δέησις: αἴτησις M 88 κοπάσει C 91 σὺν ἀπέστειλα C 92 τετραδύοις MP Sirm 93 voces καὶ τὸ ἐλλιπὲς ἀνορθωθῆναι post ἐπισκεφθῆναι add VMPS Sirm (fort recte; cf ep 277,78) 94 συγνώμην C 97 ἡ αὐτὴ ἐπιστολὴ ἀπεστάλη καὶ πρὸς τὴν μονὴν τοῦ ἁγίου Εὐθυμίου ad finem epistulae add Sirm

279. a. 818 3 ἕνα τῶν ἀδελφῶν: Dionysius; cf. ep. 276,10

C (S)

ταπεινῇ ἡμῶν καρδίᾳ, ὡς ἀνεπίληστος εἶναι ταῖς ἀγαθαῖς μνείαις διὰ τὴν ἐν πᾶσι χρηστότητα τῶν τρόπων τε καὶ τῶν λόγων ὑμῶν. οὗ γὰρ ταπεινοφροσύνη, ἐκεῖ πᾶν ἀγαθὸν κατόρθωμα, ἐφ' ᾧ ἡ ἁγία ὑμῶν δυὰς μυρίζουσα οὐ μόνον τηνικαῦτα, ἀλλὰ γὰρ καὶ ἕως νῦν ὀσμὴν εὐωδίας ἡμῖν ἁγιάσματος ἐνίησι.

Τοιοῦτοι ὑμεῖς ὑπὲρ πάντας τοὺς ἐξ ἀνατολῆς ἐπιφοιτήσαντας ὤφθητε ἀξιεπαίνετοι, ἀγαθὰ ὑπομνήματα ἐναφήσαντες τοῖς ἀγαπῶσιν ὑμᾶς. οὗ δὲ εἵνεκα ἡ ἀποστολὴ τοῦ ἀδελφοῦ αὐτὸς διδάξει, οἶμαι δὲ οὐδὲ ὑμῖν ἀγνοούμενον, ἔτι οὖσιν ἐν τῷ Βυζαντίῳ τυρβαζομένης τῆς ὑποθέσεως. ἀνῆψε τοιγαροῦν τὴν κατὰ τῶν σεπτῶν εἰκόνων αἱρετικὴν φλόγα ὁ κρατῶν, ὡς ἐμπρῆσαι πᾶσαν τὴν ἐκκλησίαν καὶ ὀλέσαι σχεδὸν πάντα ἄνθρωπον ὑπαχθέντα τῇ ἀσεβείᾳ, ἄλλος τις Ἀχαὰβ ἢ Ναβουχοδονόσωρ γενόμενος· ὃς καθαιρέσει πάσης ἁγίας εἰκόνος τὴν ἑαυτοῦ μόνην προεστήσατο, ἣν οὐχ ὁ βουλόμενος προσκυνεῖν εὐθὺς παραδίδοται τῇ φλογὶ τῶν βασάνων.

Τὰ καθ' ἕκαστον λέγειν παρέλκον ἡγοῦμαι, ἐν τοῖς πρὸς τὸν ἁγιώτατον ὑμῶν πατριάρχην γράμμασιν ἐμφερόμενα, ἄλλως τε καὶ τοῦ ἀδελφοῦ δυναμένου ἀπαγγεῖλαι, τοῦτο δὲ παρακαλῶ ὁ ἐλάχιστος ὑμῶν ἀδελφός, διὰ τὴν ἐν Κυρίῳ ἀγάπην ἀνοῖξαι τῷ γραμματηφόρῳ σπλάγχνα οἰκτιρμοῦ εἴς τε προσέλευσιν καὶ προσκύνησιν τῆς ἁγίας κορυφῆς καὶ εἰς ὅ τι ἄλλο χρὴ τὸ φιλάδελφον ὑμῶν δοκιμάζειν· ἐπιφέρεται γὰρ καὶ ἑτέρας ἐπιστολὰς πρὸς ἕτερα πρόσωπα, καὶ μέντοι καὶ σύγγραμμα ἡμῶν τῶν ἀμαθῶν. ὡς οὖν σύσσωμοι καὶ συμμέτοχοι τῆς ταπεινώσεως ἡμῶν, μᾶλλον δὲ ὡς τοῦ θεοῦ θεραπευταὶ καὶ τοῦ κοινοῦ κηδεμόνες καὶ προσβλέψαι καταξιώσατε τὸν ἀδελφὸν καὶ εἰσδέξασθαι καὶ τροποφορῆσαι ἐν παντὶ τρόπῳ, ὡς ἂν θεοῦ εὐδοκοῦντος πάλιν ἀναπεμφθείη πρὸς ἡμᾶς. τὸ δὲ ἀποσταλὲν ἡμῖν γράμμα ὑμῶν ἀπεδεξάμεθα καὶ ἔγνωμεν δι' ἣν αἰτίαν ἀπάραντες ἐκ Κωνσταντινουπόλεως οὐκ εὐωδώθητε ἀπελθεῖν εἰς δύσιν./

---

28 σύγγραμμα: quaterniones adversus iconoclastas; cf. ep. 276,93 sq.

9 Ez. 20,41   19 Dan. 3,11   23 Bas. ep. 92,1 (PG 32,480 A = I 199,34 Courtonne)   25 Col. 3,12   28 Eph. 3,6

6 ταῖς: παῖς Mai   15 τοίγαρ οὖν C   17 ἄλλος τις: ἀλλ' ὅστις Mai   18 Ναβουχοδονόσορ omnes: correxi   21 καθέκαστον S   22 ὑμῶν scripsi: ἡμῶν codd Mai (est enim intelligenda ep 276 ad patriarcham Hierosolymitanum scripta)   25 οἰκτιρμῶν S   33 διῆν C   34 εὐοδώθητε C Mai

280. Νικήτᾳ ἡγουμένῳ

Οἷα τὰ συμβεβηκότα τῇ ἁγιωσύνῃ σου κατὰ τὰς ἐμὰς ἁμαρτίας τὸ πρὶν ἐγνωκὼς οὐ μικρὸν ἐστέναξα, ἀλλὰ καὶ μεγάλως ἀπωδυράμην, δάκρυον ἀγάπης ἀποστάξας ἀποφθέγματά τε θρηνητικὰ μελῳδήσας ὁ τάλας. τί γὰρ φίλου συμφορᾶς ἀνιαρώτερον; ὁποῖα δὲ τὰ δεύτερα εὐδοκίᾳ θεοῦ, τοῦ μὴ ἐάσαντος φροῦδα γενέσθαι σου τὰ πάλαι ἀγωνίσματα διὰ τῆς καλλίστης ἀναπαλαίσεως, αὖθις ἀκουτισθεὶς ἔνθους γέγονα, εὐχαριστήσας Κυρίῳ τῷ στρέψαντι τὸν κοπετὸν εἰς χαρὰν πᾶσι τοῖς εὐσεβοῦσιν· οὐδὲ γὰρ εἰς βραχὺ τὸ λυπηρόν, ἐξ οὗ ἤλπιζον κράτος διὰ τὴν ἐνοῦσαν ἀρετήν, ἐντεῦθεν πρόσκομμα εὑρηκέναι.

Ἀλλ' εὖγε, γενναῖε, ὅτι τῆς ἥττης περιφανεστέραν ἐργάζῃ τὴν νίκην, δι' ἧς ἐγνώρισέν σε τρόφιμον αὖθις ἡ τοῦ θεοῦ ἐκκλησία, ἐγκαταριθμήσασά σε τῷ καταλόγῳ τῶν ἑαυτῆς ὁμολογητῶν· τοιαύτη γὰρ ἡ τοῦ θεοῦ φιλανθρωπία, καὶ τοῖς εὐδρομοῦσι φιλοδωροῦσα καὶ τοὺς παλινδρομοῦντας καταστηριζομένη. φεῦ τῆς κακῆς συνεδρίας εἴτουν συνοδίας· ἐντεῦθεν γὰρ οἶδ' ὅτι εἴλω, τιμιώτατέ μοι. καί γε προύλεγον τὸν σκινδαλμὸν ἐκ τῶν προγεγονότων στοχαζόμενος· τοιοῦτος γὰρ ὁ τῶν πάντων προύχων. ὁ γὰρ πάλαι τὰς εὐαγγελικὰς παραβάσεις οἰκονομίας τιθέμενος, καὶ ταῦτα μετὰ διωγμῶν, αὐτὸς καὶ τὴν νῦν κοινωνίαν τῶν αἱρετικῶν, καί γε ἐν προύπτῳ, ἐξ ἧς ἡ κατὰ ἄρνησιν Χριστοῦ, τῆς τε Θεοτόκου καὶ οὑτινοσοῦν ἁγίου διὰ τῶν οἰκείων εἰκόνων ἐν οὐδενὶ τῶν ὀλεθρίων ἔθετο, συλλαβὼν καὶ συλλαμβανόμενος διὰ τοῦ κατ' αὐτὸν ὑποδείγματος ἀεὶ τοὺς ἀστυφελίκτους. καὶ εἰκότως· πῶς γὰρ ὁ ἐπὶ τοῖς πρώτοις ἀσεβήμασι μὴ καταγνοὺς ἑαυτοῦ ἐν τοῖς μεταγενεστέροις ἀγωνίσμασιν ἔμελλε θεῷ παριστᾶν ἑαυτὸν ἀκατάσειστον καὶ μὴ ἠσεβηκέναι;

Διὸ ἐρωτῶ σε καὶ παρακαλῶ, πάτερ μου, ἐν ὁμολογίᾳ ἀθετήσεως τῶν τότε πολυτρόπως πραχθέντων τὴν ἄρτι θείαν ὁμολογίαν διάνυε, εὐχόμενος ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ./

280. a. 816 exeunte vel a. 817 ineunte 2 τὰ συμβεβηκότα: defectio 18 προύχων: oeconomus Josephus

8 Ps. 29,11

C (S)

2 τοπρὶν S 4 ἀπὸ φθέγματά C 12 ἐγνώρισέ S 16 εἶτ' οὖν C συνοδείας C εἴλω C: ἤλω S: corr Mai 21 οὔτινος οὖν C 22 ἔθετο: an ἐτέθη scribendum?

281. Ἀρσενίῳ μοναχῷ

Ἐδεξάμην τὰ γράμματα τῆς ἀγάπης σου, ἃ κατανοήσας ἐμμελῶς ἐστέναξα μὲν ἐπὶ τῇ γεγενημένῃ δραματουργίᾳ, μᾶλλον δὲ ὑποπτώσει τῶν δοκούντων εἶναί τι, ὑφ' ἧς εἴλω καὶ ὁ σὸς πατήρ, ἐμὸς δὲ ὁμόψυχος ἀδελφός· οὗ καὶ ὑπὲρ τοὺς ἄλλους ἤλγυνέν με ἡ πρὶν ἧττα ὡς νῦν ηὔφρανεν ἡ ἀναμάχησις μάλα. ἐπῄνεσα δὲ λίαν τὸ διαπονητικόν σου, ἀδελφέ, περὶ τὸν αὐτὸν καθηγεμόνα, ὅτι ὡς ἀληθῶς μαθητοῦ ἀληθινοῦ ἀγαπήματα καὶ τέκνου ἀψευδοῦς ἀποκλαύματα τὰ ἐγκάρδια καὶ ἔμπυρα ῥήματα τῆς ἐξηγορίας σου· καὶ γὰρ τῷ ὄντι θάνατος ψυχῆς ἡ σύμπτωσις καὶ σωματοποίησις τῆς χριστομάχου αἱρέσεως καὶ ἡ ἅπαξ κοινωνία αὐτῆς τῷ ἑαλωκότι καὶ ταῦτα μετὰ ἔνστασιν γενναίαν, καὶ τοῦτο ἐν βαθμῷ καί γε ἱερατικῷ καὶ ἡγουμενικῷ.

Εἰκότως οὖν, πανσύνετε, ἀπεκλαύσω, εὐεπιγνώστως ἐλεεινολογήσω, ὡς ᾑμαγμένην ἐσθῆτα ὁρῶν τὴν πατρῴαν δυσημερίαν, μᾶλλον δὲ θηριοβρωσίαν νοητήν, ἐκεῖνα οἷον φθεγγόμενος, ‚θηρίον πονηρὸν ἥρπασεν οὐ τὸν Ἰωσήφ, ὃν πάλαι θρηνῶν ἦν Ἰακώβ, ἀπεμποληθέντα ὑπὸ τῶν ἀδελφῶν ἐν πλάσματι τοῦ ὑποδειχθέντος χιτῶνος, ἀλλὰ τὸν ἐμὸν πατέρα, θηρίον ἀνθρωπόμορφον Ἰωσήφ, ὁ εἰθισμένως θηρεύων τοὺς ὁμογνωμονοῦντας ταῖς ἐκείνου ἀσεβείαις, ἀλλ' οὐκ οἰκονομίαις'. ἐκεῖνος, ἀδελφέ, καὶ τὰ πάλαι εἷλεν ἐν ταῖς τοῦ εὐαγγελίου παραβάσεσιν οὐκ ὀλίγους, ἐκεῖνος καὶ νῦν ἐπὶ ἀθετήσει τῆς Χριστοῦ εἰκόνος τὴν κοινωνίαν οἰκονομίαν δογματίσας τοὺς ἀνόμως πεισθέντας συγκατέπτωσε.

Καὶ τοιοῦτος μὲν αὐτός, σὺ δὲ μεμακαρισμένος, καὶ θρηνήσας, καὶ ἄμφω τὼ χεῖρε συνανελκύσας τὸν πατέρα καὶ εἰς τὴν αὐτὴν ὁμολογίαν πάλιν καθιδρύσας· οὕτω γὰρ ἔχει. καὶ χαῖρε, ὅτι ζῶν ἐστιν ἐν Κυρίῳ, κἂν τεθνήκει πρῶτον· πατάξει γάρ, φησίν, καὶ μοτώσει καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσει. τίς ταῦτα; ὁ Λάζαρον τετραήμερον ἐγείρας ἐκ τάφου καὶ τὸν σὸν νῦν / δ' αὖ καὶ ἐμὸν πατέρα ζωοποιήσας.

---

281. a. 816 exeunte vel a. 817 ineunte 4 πατήρ: Nicetas

16 Gen. 37,33 28 Osee 6,2 29 Joh. 11,17 sq.

C (S)

4 εἴλω C: ἤλω S: corr Mai 5 ἤλγυνέ S 6 εὔφρανεν S 9 τῳόντι S 14 εὐ ἐπιγνώστως C 15 δυσημέριαν C Mai (fort recte) 21 ταπάλαι S 22 καὶ – 23 εἰκόνος om Mai 26 σὺν ἀνελκύσας C 28 φησι S μοττώσει S

γήθου, γήθου καὶ μηκέτι κλαῖε Μαρθαϊτικά, ἐφ' ὅσον οἷόν τε καὶ ἀπὸ τοῦ δεῦρο βοηθῶν αὐτῷ, ᾧτινι καὶ ἐπέστειλα.

282. Σεργίῳ ὑπάτῳ τοῦ ἀερικοῦ

Πάλαι ἂν ἐπέστειλα τῇ εὐγενείᾳ σου, δεδιδαγμένος μὴ ἀτονεῖν τοῦ φιλικοῦ καθήκοντος, ἀλλ' ἡ τῶν πραγμάτων μεταβολὴ ὑπενάρκησέ μου τὴν χεῖρα, μή πως ἀπευκτὸς ὢ καὶ τοῖς ἄγαν φίλοις, ἀλλοιωθεῖσιν οὐ τὴν καλὴν ἀλλοίωσιν καὶ ἧς ἔργον οὐκ ἐκ τοῦ κατόπιν εἰς τὸ πρόσω φέρεσθαι, ἀλλὰ τὴν ἐναντίαν καὶ πρὸς τὸ ἐναντίως καθυπάγεσθαι. ἐπεὶ δὲ οὐ τῶν τοιούτων ὁ τοσοῦτος τὴν ἀρετήν, πέπεικα ἐμαυτὸν ἐπὶ τὸ γράφειν ἐλθεῖν. καὶ δὴ διὰ τῆσδε τῆς γραφίδος προσφθέγγομαί σε τὸν ἐμὸν δεσπότην καὶ διαφερόντως ἐραστήν, οὗ πολλὴ μὲν ἡ γνῶσις, πατρόθεν δὲ ἠργμένη ἡ εὐσέβεια, καὶ οὗ τὸ συστέλλειν ἑαυτὸν τῶν πολλῶν καὶ θεῷ συγγίνεσθαι μᾶλλον ἐράσμιον, ὀλίγα δὲ φροντίζειν Καίσαρος καὶ τῶν περὶ Καίσαρα ἰδιώτατον. πῶς οὖν, ὢ φιλότης (παρρησιάσεται γὰρ ὁ λόγος), ὁ τηλικοῦτος ἐν τοῖς ὁρωμένοις ὑπήχθης; ἀρκετὸν γὰρ ἐν τοσούτῳ δηλῶσαι τὸ προκείμενον, αἰδοῖ τῆς περιεπούσης σε τιμιότητος.

Ἀλλὰ φεῦ τῆς ὀλισθηρᾶς φύσεως τῶν ἀνθρώπων· ταῦτα μὲν ὁ καιρὸς τοῖς κατὰ καιρὸν τὰς πίστεις μεταμείβουσιν, ἀλλ' οὐ παγίοις καὶ περὶ τοῦ αὐτοῦ ὡσαύτως ἀεὶ ἔχουσι. σὲ δὲ ὅμως εὔχομαι ὁ ταπεινὸς τοῖς ἐν μέσῳ ἐγκαλινδούμενον ὀλίγα μὲν τοῖς κατὰ βίον κύμασιν ἁλμυροῖς ῥαντίζεσθαι, ἄσπιλον δὲ ὁμοῦ καὶ ἄμωμον τὸν τῆς ὀρθοδοξίας χιτῶνα διατηρεῖν.

---

31 Μαρθαϊτικά scripsi: μαρθαητικά codd: Μάρθα ἤτοι καὶ Mai (quod vereor ne non recte interpretatus sim locum corruptum)

---

282. a. 815 – 818

C (S)

2 ἐπέστειλα: ἀπέστειλα Mai 4 τοῖς om Mai 7 fort exc ante οὐ vocula σὺ 9 πρὸς φθέγγομαί C 12 τῶν: τὸν C Mai ἰδιαίτατον S 18 ὡς αὕτως C ἀεὶ om S: ante ὡσαύτως transp Mai 19 κατὰ: ἐκ Mai 21 διατηροίην C: διατηροίης Mai

283. Ναυκρατίῳ τέκνῳ

Βραχέσι συλλαβαῖς ἀμείβομαί σου, τέκνον ἠγαπημένον, τοὺς πλείστους λόγους τῶν ἐγκωμίων, οὓς ἐπαΐω, δεδιὼς σφόδρα μὴ ὢν τοιοῦτος, ἀλλ' οἷος ὁ ἐρριμμένος ἐν τριοδίᾳ διὰ νεκρότητα ἁμαρτημάτων, οὔτε / λόγῳ οὔτε ἔργῳ εὐηρεστηκὼς πώποτε τῷ θεῷ μου. εἴη δ' ἂν τῆς ὑμετέρας εὐχῆς ἔργον ἄρξασθαί με ἀπὸ τοῦ δεῦρο θεοσεβεῖν ἐν τῷ κτήσασθαί με καινὴν καρδίαν, μισοῦσαν καὶ βδελυττομένην τὴν ὡς ἀληθῶς μυσαρὰν ἁμαρτίαν καὶ ἀγαπῶσαν τὴν μόνην ἐφετὴν καὶ ἐρασμιωτάτην ἀρετήν, ἥτις ἐστὶν ὁ θεός.

Σὺ δέ, ὦ παῖ καλέ, νῆφε ἐν πᾶσιν, ἔργον ποιῶν εὐαγγελιστοῦ διὰ τῆς καλλίστης σου διακονίας· οἶδα γάρ σε διατεινόμενον ὧδε κἀκεῖ καὶ φροντίζοντα πολλῶν ὡς οἰκονόμον θεοῦ. εἰ καὶ βρέμει ἀπειλῆς ὁ κρατῶν, μὴ πτοοῦ· οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. εἰ καὶ τοῖς σημείοις οὐκ εἴκουσιν οἱ ὑπεναντίοι, μὴ θαυμάσῃς, ἀλλὰ μακροθύμει· οὔτε γὰρ ἐκεῖνοι ἄλλως εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας εἴκουσιν οὔτε οἱ τοῦ θεοῦ εἰς τὸ κομίσασθαι τὴν μισθαποδοσίαν· δι' ἐλπίδος γὰρ καὶ πίστεως καὶ ὑπομονῆς πάντες οἱ ἅγιοι εἰλήφασι τὰς ἐπαγγελίας· ὥστε μὴ ζήτει καιροὺς καὶ προθεσμίας λήξεως τῶν κακῶν· τότε λωφήσουσιν, ὁπόταν συμφέρον ἡμῖν. διὸ τὸν προκείμενον ἡμῖν ἀγῶνα τρέχωμεν, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Χριστόν· ὅς, πέποιθα, τελειώσειεν ἡμῶν τὸν δρόμον, ἱλεούμενος ἱκεσίαις πατρικαῖς σὺν πάσαις ἁγίων.

Προσειπὲ τοὺς ἀδελφοὺς πάντας, ἐξαιρέτως τὸ δ̄, τὸ θ̄, τὸ λ̄. οἱ σὺν ἐμοὶ πλεῖστά σε προσαγορεύουσιν.

---

283. a. 817

10 2 Tim. 4,5 **13** Luc. 21,9 2 Tim. 1,7 **18** Apoc. 13,10 **21** Hebr. 12,2 **22** Act. 20,24

C (S)

3 δεδειῶς C 5 εὑερεστηκὼς Mai 13 πτοοῦ: φοβοῦ Mai 15 ἥκουσιν CS[ac] 16 ἥκουσιν S Mai: ἤκουσιν C: correxi 20 ὁπ' ὅταν C 23 σὺν πάσαις: συνπάσαις C Mai 24 πρὸς εἰπὲ C: πρόσειπε S τὸ θ̄ om Mai

284. Τῷ αὐτῷ

Εἰ καὶ οὐκ ἐδεξάμεθά σου γράμματα, τέκνον ἠγαπημένον, διὰ τοῦ ἀδελφοῦ Θεοδούλου, ἀγνοίᾳ σου ἀπάραντος καὶ ὡς ἐπ' ἄλλης ὁδοῦ, ἀλλ' οὖν ἡμεῖς καλῶς ἔχειν ἐνομίσαμεν ἐπιστεῖλαί σοι, γνωρίζοντες ὅτι χάριτι Χριστοῦ ὑγιαίνομεν σωματικῶς. εἴη δὲ καὶ κατὰ ψυχὴν ἐρρῶσθαι ἡμᾶς τοὺς ταπεινοὺς διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπικλήσεως τοῦ μακαρίου μου πατρός, ὅτι οὐκ οἴκοθεν οὐδὲ ἐξ ἔργων μου ἔχω ἰσχύν, δυνατὸς δὲ ὁ θεὸς δι' ὑμᾶς σῴζειν κἀμέ, εἰς ὃν ἀποκρέμασθε ἐν ἀγάπῃ ὥσπερ κἀγὼ ἐν ὑμῖν· τίς γάρ μου ἄλλη δόξα ἢ χαρὰ ἢ προθυμία πάρεξ ὑμῶν, διαφερόν/τως δὲ σοῦ τοῦ πιστοῦ καὶ ἀγαπητοῦ καὶ τὰ πάντα μοι μετὰ θεὸν ἐν τῇ ζωῇ ταύτῃ ἀνήκοντος;

Διὰ τοῦτο χαίρω ἐπὶ τῇ ζωῇ καὶ προκοπῇ σου, παρακαλῶν τὸν ἀγαθόν μου θεὸν ἵνα ἐπὶ πλεῖον δῴη σοι σύνεσιν ἐν φρονήσει τελείᾳ καὶ ταπεινώσει πληρεστάτῃ εἰς τὸ μὴ διαψευσθῆναι τὰς ἐλπίδας μου μηδ' αὖ τὰς τῶν πολλῶν ἐπὶ σοὶ ὑπολήψεις· καὶ γὰρ ἐν οὐκ ὀλίγων στόμασι κεῖσαι ἐπ' ἀρετῇ λόγου. βλέπε οὖν, τέκνον, τὸ ἔργον σου ὁποῖον, ὅτι ὁ προσθεὶς γνῶσιν προσθήσει ἄλγημα καὶ ὁ δεξάμενος ἔπαινον, εἴπερ θεῖος καὶ σοφός, συνέλαβεν πῦρ ζήλου ἐν πολλῷ τρόμῳ. τήρει σεαυτὸν καὶ πρὸς τὸν ἔσω ἄνθρωπον ἀκαταγώνιστον εἶναι ἐκ τῆς ἀκηρύκτου καὶ ἀνενδότου διαβολικῆς πάλης καὶ πρὸς τὸν ἔξωθεν διὰ τῆς ἐν ἅπασι εὐσυστροφίας καὶ εὐβουλίας. ἤδη ἀπεκδεχόμεθα καὶ τὸν ἀδελφὸν Προτέριον, δι' οὗ πάντως, εἴπερ οἰκονομεῖ θεὸς ἔτι ἐπιμένειν ὑμᾶς ἐν τοῖς αὐτόθι, καὶ δεξόμεθά σου γράμμα καὶ ἀνταποστείλωμεν.

Ὡς εἰρήνης υἱὸς εἰρηνοποίει, τέκνον μου, τοὺς ἀδελφούς σου χριστομιμήτως. γίνωσκε αὐτάρκως ἔχειν ἡμᾶς τὰ κατὰ χρείαν. ὠναίμην σου, τέκνον, ἐν Κυρίῳ, ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν τῷ καὶ σωματικῶς ὑγιαίνειν σε. προσαγορεύουσιν οἱ σὺν ἐμοί. τοὺς ἀδελφοὺς πλεῖστα ἀσπάζομαι. ἡ χάρις μετὰ σοῦ.

---

284. a. 817? 26 χριστομιμήτως: cf. Hausherr, L'imitation 237 et 249

17 Eccl. 1,18 18 Sophon. 1,18

C (S)

12 παρακαλῶ Mai 15 αὖ τὰς: αὐτὰς Mai 18 συνέλαβε S 21 ἅπασιν Mai 24 ἀντ' αποστείλωμεν C: ἀνταποστείλομεν S

285. Τῷ αὐτῷ

Ἕως πότε, τέκνον, οὐ παύσῃ ἀποσεμνύνων ἡμᾶς τοῖς λόγοις; ἕως τίνος οὐ λήξεις ἐπαίρων ἡμᾶς τοῖς ἐγκωμίοις; ἀλλ' οἶμαι ἐκ δυοῖν τρόπων τοῦτό σε πράττειν, ἑνὸς μὲν τοῦ ἕλκεσθαι ὑπὸ τῆς ἀγάπης, ὑφ' ἧς καὶ φιλεῖ συλᾶσθαι ὡς τὰ πολλά, καθά φησιν ὁ Θεολόγος, ἡ ἀλήθεια, ἑτέρου δέ, ὅπερ καὶ μᾶλλον τίθημι, ὡς ἂν διὰ τῶν ἐπαίνων στερεοῖς τὸ ἀνειμένον τῆς ταλαιπώρου μου ψυχῆς. δοίη τοίνυν Κύριος οὐ κατὰ τὰς ὑψώσεις σου (πολλαὶ γὰρ καὶ ὑπὲρ λίαν), ἀλλὰ μικρόν τι δι' εὐχῶν ὑμῶν ἁγίων ἐν κατορθώσει γενέσθαι με καὶ μὴ πάντῃ ἔκπτωτον τῆς τῶν καλῶς ἀγωνιζομένων ἰχνηλατίας.

Ἐδάχθην δὲ οὐ τὸ τυχὸν / ἐπὶ ταῖς προλαβούσαις σου θλίψεσι καί γε μάλιστα ἐπὶ ταῖς ἀνίαις τοῦ σώματός σου. ἀλλὰ τί λέγει ὁ ἀπόστολος; εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις· ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι. εἰς μὲν οὖν τὴν νόσον, παρακαλῶ, χρῆσαι τοῖς θεραπευτικοῖς· χρήζουσι γάρ σε πολλοὶ ὑγιαίνειν, ἐξαιρέτως ὁ ταπεινὸς ἐγώ. περὶ γὰρ τῶν κρυπτῶν ὁ καὶ ψυχῶν καὶ σωμάτων ἰατρὸς ῥώσειέν σε ὥσπερ καὶ ῥώννυσιν, ὁπόταν καὶ ὑποχαυνώσοιμεν ἐν τῇ ἀνενδότῳ ταύτῃ πάλῃ τοῦ τῆς ταπεινώσεως ἡμῶν σώματος καὶ μηδαμῶς ὀλιγωρήσοιμεν θᾶττον ἀνιστάμενοι· στεφάνων γὰρ ἡ ἀναπάλαισις, οὐ κατακρίσεως.

Σώσοι σε οὖν ἐν πᾶσιν ὁ ἀγαθὸς θεὸς ἡμῶν, ἀδελφὲ τιμιώτατε.

286. Νικηφόρῳ, τῷ ἁγιωτάτῳ πατριάρχῃ

Πολλάκις προθέμενος ἐπιστεῖλαι τῇ ἱερᾷ κορυφῇ τῆς μακαριότητός σου ἐνεκόπην, πῇ μὲν τὴν ἑαυτοῦ ἀναξιότητα ἐπαισθανόμενος, πῇ δὲ ὑποδεὴς ὢν διὰ τοὺς πειρασμούς. νυνὶ δὲ περιφρονήσας ἀμ-

---

285. a. 815 – 818

5 Greg. Naz. or. 2,1 (PG 35,408 B = p. 86 Bernardi) 13 2 Cor. 12,10

C (S)

2 ἀπὸ σεμνύνων C 4 τρόποιν S 5 ὑφ' ἧς: ὑφεῖς C ταπολλὰ S 11 οὐτοτυχὸν S 13 ὅτ' ἂν C γὰρ om Mai 17 ῥώσειέ S καὶ[1] om Mai

286. a. 816 – 818

C VM PS

2 ἐπὶ στεῖλαι C 3 ἐπαισθανόμενος C: ἐπαισθόμενος MPS: λογιζόμενος V Sirm 4 διὰ om Sirm

φοτέρων καὶ τῇ Τριάδι ὁ τάλας θαρσήσας λέγων εἰμὶ τάδε. χαῖρε ἀληθῶς νικητήριον ἀσεβείας, ὁ ἐν τεθρίππῳ ἀρετῶν διανύων τὸν τῆς πίστεως δρόμον· χαῖρε ὁ μέγας ἥλιος τῆς ὀρθοδοξίας, οὗ ταῖς ὁμολογητικαῖς ἀκτῖσι φωτοβολεῖται ἡ οἰκουμένη· χαῖρε ὑπέρμαχε τῆς ἀληθείας, κατὰ τοὺς ἔκπαλαι θεοφόρους διαπρέπων τῷ τῆς ἀρετῆς κλέει. ἀπέλιπες τὸν ὑψηλὸν θρόνον διὰ τὸν ἑαυτὸν ταπεινώσαντα μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· ἀπέλιπες ἀρχιερατικὰς ὑπηρεσίας καὶ ἀναπαύσεις, μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ ὁμολογητικῷ τρόπῳ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, ὅμως ὅτι οὐδὲ κατ' αὐτάς, κἂν ἐν αὐταῖς, ζῶν ἦς, νεκρῶν τὰ μέλη τῇ ἐν Κυρίῳ ζωῇ. ἤνεγκας ἁγίας μητρὸς στέρησιν, ἀδελφῶν τιμίων, πάντων ὁμοῦ ἐν ἅπασιν ἀφαιρεθείς. καὶ οὔπω λέγω τοὺς χριστοειδεῖς σου ὀνειδισμούς, τὰς ἐκ τῶν κρατούντων προσβολάς, ἐρεσχελίας, στενοχωρίας καὶ οἱονεὶ ἀποπνίξεις. κατηνέχθης σὺν Χριστῷ ἐν νυκτί, ἐπειδὴ καὶ αὐτὸς προδιδόμενος περιωρίσθης, μεθωρίσθης, ἐν γεωλόφῳ που καθεζόμενος ὁ μάρτυς Χριστοῦ.

Ἀλλ' εὖγε, ὅτι πάντα εἰς καλόν σοι. ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου ἀπὸ τῆς τοῦ νοῦ σκοπιᾶς καὶ ἴδε σου τὰ τέκνα εἴτουν πρόβατα ὁ ποιμὴν ὁ καλός, εἰ καὶ διεσκορπισμένα σώματι, ἀλλ' ἡνωμένα πνεύματι, διειληφότα σχεδὸν ἄλλο κατ' ἄλλο μέρος τὴν ἐκκλησίαν σου πᾶσαν καὶ ταῖς αὐγαῖς τῆς ὁμολογίας δίκην ἀστέρων φρυκτωροῦντα τοῖς ἐν νυκτομαχίᾳ τῆς αἱρέσεως τὸ φῶς τῆς ὀρθοδοξίας, τὰ μὲν τυθέντα θεῷ δι' ἀθλητικῆς τελειώσεως, τὰ δὲ ἀθλοῦντα, μηδὲν ὑποπτήσσοντα τῶν παρόντων, ἀλλὰ ῥωννύμενα ταῖς θεοκλινέσι σου προσευχαῖς. αὕτη ἡ δόξα σου τῆς ἐκκλησίας, τοῦτό σου τὸ / σύσσημον τῆς μαρτυρίας· ὅπερ ὁ μέλλων χρόνος ὑποδεξάμενος δοξάσειεν τὸν θεὸν ἐν σοὶ ὡς καὶ τανῦν. πολλά σου τὰ ἐγκώμια ὀφείλεται, τῷ ὑπὲρ τῆς εἰκόνος Χριστοῦ ἐναθλοῦντι.

Ἀλλά μοι σύγγνωθι, ὦ θεομίμητε, τολμήσαντι ἐκ πόθου ἐν οἷς ἐφθεγξάμην, χαριζόμενος τὴν ἱεράν σου προσευχήν, ὡς ἂν μὴ ἀποπέσοιμι τοῦ εἶναί σου ἐλάχιστον τέκνον, ὁ τῶν πάντων ἀχρειότερος διὰ τὰς ἁμαρτίας.

---

10 Philipp. 2,8 12 Hebr. 11,25 21 Is. 49,18 23 Joh. 10,11

5 θαρρήσας VMPS Sirm 10 κλέει C: κάλει S: κάλλει cett Sirm vocem ἑαυτὸν interavit P 17 στενοχωρίας in marg V: om M 18 ἀποπνίξεις: ἀπὸ πνήξεις C 19 ποῦ CPS 22 εἴτ' οὖν codd (εἴτοῦν PS) Sirm: correxi 27 τελειώσεως: σημειώσεως M 30 δοξάσειε VMPS Sirm 31 τανῦν S: τὸ νῦν M: τὰ νῦν cett Sirm σου C: σοι cett Sirm 33 θεοτίμητε M 34 ὡς ἂν: ὡσὰν S 35 πάντων C: ἁπάντων cett Sirm

287. Ναυκρατίῳ τέκνῳ

Ἐξ ἀγώνων εἰς ἀγῶνας καὶ ἐκ θλίψεως εἰς θλίψεις τὰ καθ' ὑμᾶς, τέκνον μου Ναυκράτιε, ὁ ἐπιπόθητος καὶ ἀειπόθητος. ἀλλ' ἀνθ' ὅτου ταῦτα; διὰ Χριστόν. οὐκοῦν οὐ λυπηρά, ἀλλὰ καὶ λίαν περιχαρῆ. ἐχαρίσθη καὶ ὑμῖν ἀπὸ θεοῦ τὸ ὑπὲρ Χριστοῦ πάσχειν. νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν (φωνή ἐστι τοῦ ἀποστόλου, συμβαλλομένη καὶ ἡμῖν τοῖς ἀναξίοις), ἐπειδὴ πάντα ἐγράφη πρὸς νουθεσίαν ἡμετέραν, ἵν', ὁπόταν ἐν τοῖς ὁμοίοις καιροῖς ἐμπίπτωμεν, ἔχοιμεν τὰ φάρμακα τῆς σωτηρίας. διεῖλαν καὶ τὸ μοναστήριον, ὡς ἔμαθον, οἱ ἄνθρωποι κατὰ ἄμυναν, ἀλλὰ δύο ταῦτα, ἓν μὲν ὅτι οἶδεν ὁ θεὸς τὰ κακῶς διαιρεθέντα καλῶς ἑνοῦν, ὁπόταν βούλοιτο, ἕτερον δὲ ὅτι ὑπὲρ Χριστοῦ καὶ ὁ ἐν Ἐδὲμ παράδεισος ἡμῖν καταφρονητέος. πλὴν ὅτι καὶ ἡμεῖς καὶ οἱ διειλάμενοι καὶ πᾶς τις ξένοι καὶ παρεπίδημοι πάσης τῆς γῆς.

Οὕτω μὲν ταῦτα. πῶς δὲ ἕξει τὰ καθ' ὑμᾶς ἔτι ἀσχάλλω μαθεῖν· τὰ γὰρ ἡμέτερα ἤδη διέγνωσται καὶ φέρομεν μεθ' ὑπομονῆς Κυρίου ἡμέραν ἐξ ἡμέρας τὴν κάκωσιν. ὅμως τί καὶ πεπόνθαμεν; οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, ἐάνπερ τελείως ἀγωνισώμεθα, ἀδελφέ. διὸ προσεύχομαι ὁ τάλας στεφανίτας ὑμᾶς ἀναδει/χθῆναι, Χριστὸν ἔχοντας συναθλοῦντα ὑμῖν ἐν πᾶσιν. ἐρώτα καὶ αὐτὸς περὶ ἡμῶν τὸν Κύριον σῴζεσθαι ἡμᾶς παντὶ τρόπῳ ἀπὸ τοῦ πονηροῦ.

Προσαγόρευσον τοὺς συνάθλους σου ἀδελφούς.

---

287. hieme a. 817 – 818

5 Philipp. 1,29 Col. 1,24 7 1 Cor. 10,11 13 Ps. 38,13 17 2 Petr. 2,8 Rom. 8,18 22 Matth. 6,13

C (S)

1 Ναυκρατίῳ τέκνῳ: τῷ αὐτῷ S Mai 3 ἀνθότου S 4 οὐκ οὖν C 5 ἡμῖν S Mai 8 οπότ' αν C 13 διηλάμενοι C 15 ἔτι om Mai 16 φέρωμεν C 21 ἡμῖν omnes: correxi

288. Σιλουανῷ τέκνῳ

Ἀξίαν τῆς εὐλαβείας σου, τέκνον ἐπιπόθητον, ἐχάραξάς μοι τὴν ἐπιστολήν· καί γε ἀνέθην καὶ ἐδόξασα τὸν ἀγαθόν μου θεόν, ὅτι σου ἡ πίστις ἡ εἰς ἐμὲ τὸν ἁμαρτωλὸν ζῇ καὶ ἡ ἀγάπη πυροβολεῖ καὶ ὁ πόθος ἀκμάζει. οὕτω κἀγὼ πρὸς σέ, μικρὸν λυπῶ, μικρὸν καθάπτομαι, καὶ τοῦτο ἐν φόβῳ, ἵνα τὰ προειρημένα συντηρηθείη, εἴπερ ὁ ἀγαπῶν ἐπιμελῶς παιδεύει.

Φυλαχθείης οὖν μοι, υἱέ μου ἀγαπητέ, ὡς υἱὸς φωτὸς ἐν τῷδε τῷ σκοτεινῷ χρόνῳ τῆς χριστομανίας. ὅπως δὲ ἐγκέκλεισμαι μετὰ τὸ δαρῆναί με σὺν τῷ ἀδελφῷ Νικολάῳ ὁρῶν τὸ χ̄ ἀκριβῶς μαθήσῃ· θέλω γὰρ συνοψίζεσθαί σε αὐτὸν ὅπου εὐοδοῦται ὑμῖν, ἐπειδὴ καὶ διὰ στόματος χρεία διαλέξεως. καὶ τί ἀπεσχοίνισας, ἀδελφέ, οὕτως; μή, παρακαλῶ. συνέρχεσθε εἰς ταὐτόν, ἵνα λυσιτελῇ ἀμφοτέροις καί γε ἐμοὶ τῷ ταπεινῷ· ὃν ἀεὶ λαμβάνειν ἐν τῇ προσευχῇ σου μὴ κατόκνει εἰς τὸ εὐαρεστεῖν με Κυρίῳ καὶ διασῴζεσθαι ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει σε.

289. Ἄννῃ μοναζούσῃ

Αἱ πρὸς τὰ τέκνα τῶν μητέρων ἀποστροφαὶ πρόσκαιρόν πώς εἰσιν· ὑπὸ γὰρ τῆς φύσεως εὐθὺς συνελκόμεναι πρὸς ἑαυτὰς ὑποστρέφουσιν αὐτά, διπλοῦν τὸ φίλτρον αὔξουσαι καὶ τὰ καταθύμια αὐτοῖς ἐν πᾶσι παριστῶσαι. τί δή μοι βούλοιτο δηλοῦν τὸ προοίμιον; ὅτι καὶ πρὸς ἡμᾶς τοὺς ταπεινοὺς ἡ σεβασμιότης σου μικρὸν ἀγανακτήσασα πάλιν οὐκ ἤνεγκε μὴ τὰ τῆς συνήθους ἀπαθείας ἐνδείξασθαι ἐν Κυρίῳ σπλάγχνα. διὰ τοῦτο μητροπρεπῶς καὶ ἐδωροφόρησε καὶ ἐνέδυσε

---

288. hieme a. 817–818

6 Prov. 3,12 8 Joh. 12,36

C (S)

2 ἐπὶ πόθητον C 5 ἀκμάζοι C Mai 7 ἐπὶ μελῶς C 13 συνέρχεσθαι C

---

289. hieme a. 817–818 5 τί δή μοι etc.: cf. Hunger, Literatur I 218

C (S)

1 τριφων in marg C 8 καὶ ἐνέδυσε om Mai

καὶ ἀπελογήσατο, τὸν οἶκτον διπλασιάσασα τοῦ ἐλέους.
Χάρις οὖν τῷ θεῷ, τῷ διὰ λύπης χαρὰν γεννήσαντι καὶ ἐν ἡμῖν τοῖς ἁμαρτωλοῖς· τίς γάρ ἐστι, φησίν, / ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ (εἰ καὶ μὴ ἐσμὲν ἄξιοι τοῦ λόγου ἡμεῖς); χαρισθείης μοι ἐπὶ πολὺ καὶ λυποῦσα καὶ εὐφραίνουσα, καὶ μὴν καὶ προσευχομένη μοι τὴν σωτηρίαν ὡς κἀγὼ ἀεὶ περὶ τῆς ἁγιωσύνης σου.

290. Ἰγνατίῳ τέκνῳ

Ὁσάκις ἂν δέξωμαί σου γράμμα, εὑρίσκων σου τὴν ἀληθινὴν πίστιν καὶ ἀγάπην, ἣν ἔχεις πρός τε τὸν θεὸν καὶ τὴν ταπείνωσίν μου, χαίρω ὁμοῦ καὶ δοξάζω τὸν Κύριόν μου, τέκνον ἠγαπημένον, εὐχόμενός σε προσμένειν ἐν ταύταις, δι' ὧν καὶ ψυχὴ καθαίρεται καὶ παρασκευὴ πάρεστιν ἀθλήσεως· μὴ γὰρ πάντως οἴου ἐκπεφευγέναι σε τοὺς διώκτας, τοὺς ἀδελφούς σου ὁρῶν ἐμπαρέντας. ἑτοιμάζου οὖν λοιπὸν μὴ καταπτήσσων· θεὸς μετὰ σοῦ. τοῦτο δὲ λέγω οὐχ ἵνα ἐπεισάξῃς ἑαυτόν, ἀλλὰ φεύγων μή πως καταλειφθῇς καὶ μὴ εὑρεθῇς ἀπαρασκεύαστος. ἔστω οὖν ὁ θεὸς μετὰ σοῦ, ὅπως ἂν καὶ οἰκονομῇ σου τὴν ζωήν· δέομαί σου, τέκνον, δόξασον τὸν θεὸν ἐν τῷ σώματί σου καὶ ἐν τῷ πνεύματί σου.

Οὗ δὲ εἵνεκα ὑπέμνησας, οὐχ οὕτως ἐγώ, ἀλλὰ ἁμαρτωλός, σαθρός, οὐ ῥιψοκινδύνως ἄρτι λαλῶν, ἀλλὰ γὰρ καὶ μετὰ πολλῆς συνοχῆς καὶ δέους μήτε ὑπερτείνειν μήτε καθυφίεσθαι, εἰ καὶ τανῦν τύψαντες ἡμᾶς ἀσφαλῶς ἐνέκλεισαν σὺν τῷ ἀδελφῷ Νικολάῳ. προσεύχου τοίνυν, υἱέ μου, φρουρεῖσθαί με ἐν Κυρίῳ ἐν τῇ φρουρᾷ καὶ ἕτοιμον εἶναι εἰς ὃ καὶ καλεῖ παθεῖν δι' αὐτὸν ἕτερον.

Προσαγορεύει ὁ ἀδελφός· προσειπὲ τῷ ἀδελφῷ Συνετῷ.

---

11 2 Cor. 2,2

13 ἐπιπολὺ S

290. a. 818 10 ὅπως ἂν καί: cf. Ph. Weber, Entwickelungsgeschichte der Absichtssätze, II. Würzburg 1885, 87 sq.

11 1 Cor. 6,20

C (S)

5 πρὸς μένειν C 15 τὰ νῦν C Mai 16 ἀσφαλῶς in marg S 19 προσειπὲ C[ac]: πρόσειπε C[pc]S Mai (cf tamen epp 208,26; 283,24 etc) συνετῷ Mai, ad detrimentum prosopographiae Studiensis

291. Θεοφάνει ἡγουμένῳ καὶ ὁμολογητῇ

Φίλον παιδὶ πατρικὴ προσφώνησις ὥσπερ καὶ τὸ ἔμπαλιν· διὰ τοῦτο καὶ πάλιν μοι τὸ γράμμα, ἐπεὶ ἐγὼ σὸς υἱὸς ἐν Κυρίῳ, ἀλλὰ φεῦ ὅτι οὐκ ἐοικὼς τῇ πατρῴᾳ ἀρετῇ. πλὴν ὅτι δόξα μοι τὰ παθήματα τῆς ὁμολογίας σου. ἄνθρωπος ἐν γήρει, ἐν νόσῳ χαλεπωτάτῃ, κλινήρης ὅλος, ἀλγυνόμενος σφόδρα, θανατούμενος καθ' ἑκάστην, καὶ τῆς ὁσίας μονῆς ἀποικισθῆναι καὶ τῆς ἱερᾶς ἀδελφότητος διαιρεθῆναι καὶ ὑπὸ φυλακὴν τηρεῖσθαι καὶ τῆς ἀναγκαίας ὑπηρεσίας ἀμοιρεῖ/σθαι καὶ πρὸς μηδὲν τῶν εἰρημένων κατακάμπτεσθαι εἵνεκα τῆς Χριστοῦ ἀγάπης, ἀλλ' ἐνίστασθαι καὶ ὁμολογεῖν, καὶ πρὸς τὰς πεύσεις τὰς ἀποκρίσεις διδεῖν. μαρτυροστεφὴς ὡς ἀληθῶς ὁ τοιοῦτος, ὦ μακάριε πάτερ. ὡς μέγα σου τὸ κλέος, ὡς πολύαθλόν σου τὸ ἀγώνισμα, ἑκούσιά σοι λογιζόμενα παρά τε θεῷ καὶ τοῖς εὐγνώμοσι τὰ ἀκούσια τῆς ἀσθενείας ἀλγήματα διὰ τὴν Χριστοῦ μαρτυρίαν. ἐστήριξας τοὺς ὀρθοδόξους, κατῄσχυνας τοὺς ὑπεναντίους, προσθείην δ' ἂν καὶ τοὺς προφασιζομένους προφάσεις ἐν ἁμαρτίαις εἴτουν ἀσθενείαις ἤ τισιν ἄλλαις αἰτιολογίαις.

Ἀλλ' ὁ ἀρχηγὸς τῆς ὁμολογίας σου Χριστὸς καὶ τελειωτὴς εἴη σοι, προσευχομένῳ περὶ ἐμοῦ τοῦ παιδός σου τὰ αὐτά. εἰ πάρεστιν ὁ πατήρ μου καὶ ἔξαρχος, προσαγορεύω ὁ ταπεινός.

292. Μοναζούσαις

Ἀγαθὴν ἀκοὴν ἐνηχούμενος περὶ τῆς τιμιότητος ὑμῶν χαίρω ὁ ταπεινός, καὶ μάλιστα ὅτι αἷμα καὶ πνεῦμά ἐστε τοῦ ἀνθρώπου τοῦ θεοῦ καὶ κοινοῦ πατρός. ἔτι δὲ περισσοτέρως ἥδομαι καὶ δοξάζω τὸν θεὸν μανθάνων ὅτι ἄχραντοι διαμεμενήκατε ἕως τοῦ νῦν τῆς τῶν

---

291. mens. Febr. a. 818 12 πολύαθλον: cf. adn. ad ep. 221,111 20 ἔξαρχος: Hilarion

6 Ps. 43,23 16 Ps. 140,4 18 Hebr. 12,2

C (S)

2 διατοῦτο S 6 καθεκάστην codd: corr Mai 16 τοὺς om Mai εἴτ' οὖν C: εἴτ' οὖν Mai

---

292. inter a. 815 ac mens. Mart. vel Apr. a. 818 3 τοῦ ἀνθρώπου: Theophanes confessor; cf. Pargoire, Théophane 53

C VM PS

3 καὶ[1] om VMPS Sirm

αἱρετικῶν κοινωνίας. καί γε δεῖ τοὺς τὰ σώματα ἀνέπαφα ἔχοντας καὶ κατὰ τὴν πίστιν παρθενεύειν· μοιχεία γάρ ἐστιν, ὦ πανσύνετοι, καὶ τὸ τῆς αἱρετικῆς κοινωνίας μετέχειν, ἧς ὑμᾶς Κύριος μέχρι τέλους διατηρήσειεν ἀψαύστους, ὁ νυμφευσάμενος ἑαυτῷ διὰ τοῦ κατὰ τὴν παρθενίαν ἐπαγγέλματος.

Οὗτος ὁ πρῶτός μοι λόγος. διδασκαλίαν δὲ παρ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἱνατί αἰτεῖσθε; ὑμεῖς θεοδίδακτοί ἐστε χάριτι Χριστοῦ· καὶ γὰρ καὶ ἐκ γονέων εὐσεβῶν ἀμφότεραι καὶ γνώσει διαφέρουσαι καὶ τῷ βίῳ τὸ διδασκάλιον τῶν ἐντολῶν προβαλλόμεναι. εἰ δέ τι καὶ παρ' ἡμῶν δέοισθε τῶν ἀμαθῶν, ὁ φόβος τοῦ θεοῦ τὸ ζητούμενον· οὗτος γὰρ ἐν καρδίᾳ δεχθεὶς φῶς ἔλαμψεν, τὰ πάθη ἐμείωσεν, ἐξ οὗ κατάνυξις, δάκρυον, μῖσος κόσμου, ἐπιθυμία οὐρανῶν. καὶ τί γὰρ οὐ καλὸν ἐντεῦθεν προσγίνοιτο;

Τοῦτο οὖν ἐστιν ἐνοίκησις θεοῦ· οὗ δὲ θεός, ἐκεῖ τῶν ἀγαθῶν ἡ πηγή, εἰρήνη, χαρά, ἀγάπη. παρακαλῶ οὖν ὑμᾶς ὁ ταπεινὸς μὴ πρὸς τὰ τῶν πλησίον ἀποβλέπειν παραδείγματα καὶ μάλιστα τῆς ἐπιπλάστως ἐν ταῖς πλείσταις τῶν μοναζουσῶν ἐπιδεδειγμένης πολιτείας χλιαρᾶς, ἵν' οὕτως εἴπω, καὶ συγκεχυμένης, ἀλλὰ πρὸς τὰ ἀρχέτυπα κάλλη, ὧν οἱ βίοι ἐν χερσὶν ὑμῶν, ἀστραπηφοροῦντες τοὺς θείους ἔρωτας· ἐπεὶ καὶ ζωγράφος οὐκ ἐκ φαύλων, ἀλλ' ἐξ ὡραϊσμένων καὶ ἀρχαιότητι διαφερόντων εἰκόνων μεταγράφοιεν εἰκόνα. τί ἦν ἐν ἐκείναις γνωστὸν ὑμῖν; λύσις τῶν δεσμῶν τῆς προσπαθείας, φυγὴ ἀρρενικῆς ὄψεως ὅσον ἐνδέχεται, καταβεβλημένον φρόνημα, ῥυπῶσα ἐσθής, ὄμμα κάτω νενευκός, οὖς φεῦγον ἀνωφελῆ ἀκούσματα, στόμα λαλοῦν ἔνθεα, ὑποπιεσμὸς σώματος· οὕτω γὰρ περιεγένοντο τοῦ τῆς σαρκὸς φρονήματος, ἐπείπερ ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, ὡς γέγραπται, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός, ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, καὶ ἀκήρυκτος πόλεμος. καὶ δεῖ ἡμᾶς πᾶσαν ἡμέραν, εἴπω καὶ ὥραν, ὁπλίζεσθαι κατὰ τῶν παθῶν ἀνδρικῶς μετὰ θεοῦ καὶ σὺν θεῷ ἐν πολλῷ ἀγῶνι νικῶντας τὸν ἐχθρόν, τὸν ἀεὶ διψῶντα τὴν ἀπώλειαν ἡμῶν, οὗ αἱ ῥομφαῖαι εἰς τέλος ἐξέλιπον τοῖς

---

24 Aristoph. Pax 722 31 Gal. 5,17 36 Ps. 9,7

8 αἱρετικῆς om Sirm 9 ἀψαύστους: ἐναψαύστους Sirm (ex antecedenti -εν seductus) 12 ἵνα τί C Sirm αἰτῆσθε C 13 καὶ γνώσει διαφέρουσαι om M 14 διδασκάλειον C ἐντολῶν: ἀρετῶν S, verbis γράφεται ἐντολῶν in marg scriptis 16 ἔλαμψε VMPS Sirm 17 μίσος CVM ἐπὶ θυμία C 21 πλησίων C ἀπὸ βλέπειν C 25 ἐξ ὡραϊσμένων: ἐξωραϊσμένων CMP 26 μεταγράφοιεν: an μεταγράφοι ἂν scribendum? ἦν: οὖν M 27 ἐστὶν post γνωστὸν add M 29 φεύγων S 30 ὑπωπιασμὸς V Sirm οὗ δὲ θεὸς ἐκεῖ τῶν ἀγαθῶν ἡ πηγή, εἰρήνη καὶ τὰ ἄλλα in marg S (cf supra 19) 34 ὁπλίσασθαι VMPS Sirm 36 ἐξέλειπον C

προσέχουσιν / ἀσφαλῶς. οὐκ ἔστιν δὲ μὴ ἡττᾶσθαι πάντως καὶ πλήττεσθαι τὸν ἀγωνιζόμενον ἐν λόγῳ καὶ ἐννοίᾳ καὶ ἐν τοῖς ὁμοίοις τοῖς μὴ πρὸς θάνατον ἁμαρτίας, ἀλλὰ τὸ θᾶττον ἀναπαλαίειν χρὴ καὶ ἐπὶ τῆς δεούσης ἵστασθαι καταστάσεως· παραπτώματα γὰρ τίς συνήσει καὶ τίς καυχήσηται τὴν ψυχὴν ἁγνὴν ἔχειν; καὶ ἐν θλίψει μὲν ὁ ἐν Κυρίῳ ζῶν, ἐπειδὴ στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, ὥσπερ καὶ ἡ ἐναντία τοῖς ἐναντίοις· ὅτε δὲ ἔλθοι τὸ πέρας τῶν ἀγώνων, τότε εἴσεσθε, ὦ νύμφαι Χριστοῦ, τί προεξένησεν ὑμῖν ἡ πολιτεία· ἀρθήσεσθε γὰρ ἐν χαρᾷ ἀνεκλαλήτῳ ὑπὸ ἀγαθῶν ἀγγέλων καὶ εἰσελεύσεσθε εἰς τὴν ἀχειρότευκτον παστάδα, εἰς τὸν οὐράνιον νυμφῶνα, πάντοτε σὺν Κυρίῳ εἰς αἰῶνα ἐσόμεναι.

Ἦν μὲν καὶ πλέον τι λέγειν, ἀλλ' ἐπειδὴ στοχάζομαι ὑπερβεβηκέναι τὸ μέτρον τῆς ἐπιστολῆς, ἐνταῦθα καταπαύσοιμι τὸν λόγον· ὑπὲρ οὗ χαρίσασθέ μοι τῷ ἁμαρτωλῷ τὰς ἁγίας ὑμῶν εὐχάς.

293. Λέοντι πατρικίῳ

Ὀφειλέτης εἰμὶ οὐ χάρτην καὶ μέλαν, ἀλλ', εἰ ἐνδέχοιτο, δέρμα καὶ αἷμα ἀποστέλλειν τῇ ἁγίᾳ σου ψυχῇ, οὕτως ἐπιδούσῃ ἑαυτὴν ἔκπαλαι τῇ ταπεινώσει μου καὶ ὁμειρομένῃ οὐ μόνον τὰ κατὰ σῶμα, ἀλλὰ γὰρ καὶ τὰ κατὰ πνεῦμα. καὶ μὴ ἀπιστήσῃς ὃ μέλλω λέγειν, δέσποτα· ἔστι γὰρ ἀληθὲς ὅτι, ἃ μήτε ἱεράρχαι μήτε ἱερεῖς μήτε μὴν μονασταὶ καὶ μιγάδες ἤ τις ἄλλος σχεδὸν οἰκεῖος καὶ φίλος εὐηργέτησεν ἢ ἐφρόντισεν ἐπ' ἐμοί, ταῦτα ἡ σὴ εὐσέβεια ὑπερβαλλόντως ἐνεδείξατο εἰς ἐμέ. καί, εἰ οἷόν τε ἦν ἐπιδεῖν τὴν καρδίαν μου τὴν μεγαλωσύνην σου, ἐθαύμασεν ἑαυτὴν μεγάλως ἄν.

Ἀλλὰ ταῦτα μὲν ἐν τούτοις, καὶ οὔ τί που παύσοιμι ἐπιστέλλειν τάχα γε καὶ μετὰ θάνατον ἀοράτως ἀοράτῳ. νῦν δὲ ἐκεῖνο ὁ τάλας

40 Ps. 18,13 41 Prov. 20,9 42 Matth. 7,14 45 1 Petr. 1,8

37 ἔστι VMPS Sirm 39 τοῖς: fort est τῆς scribendum 41 καυχήσεται VMPS Sirm 42 ἡ² om Sirm 43 καὶ om VMPS Sirm 48 ὑπὲρ βεβηκέναι C 49 ἐπὶ στολῆς C 50 χαρίσασθαί C

293. a. 815 – 818

C (S)

3 ἀπὸ στέλλειν C 4 ὁμηρομένῃ omnes: correxi 8 ὑπὲρ βαλλόντως C 9 ἐπ' ιδεῖν C

εὔχομαι, διαφυλαχθῆναί σε ἀσινῆ ψυχῇ τε καὶ σώματι καὶ διαφυγεῖν, εἰ καὶ μὴ τοῦ καπνοῦ, ἀλλά γε τοῦ αἱρετικοῦ πυρός. προσεύχου καὶ ὁ δεσπότης μου περὶ τῆς ταπεινώσεώς μου ἵνα, ὃ ἐνήρξατο Χριστὸς δωρεὰν ἐν ἡμῖν τοῖς ἀναξίοις, καὶ τελειώσειεν, ῥυόμενος ἐξ ὁρωμένων καὶ ἀοράτων ἡμᾶς ἐχθρῶν. /

294. Μακαρίῳ ἡγουμένῳ

Τί ποιεῖς, ὦ θεῖε πάτερ, ἑαυτὸν ταπεινῶν, τὸν ὑψηλὸν τῇ ἀρετῇ, κἀμὲ ὑψῶν ἐν τοῖς τιμίοις λόγοις σου, τὸν χθαμαλὸν τῇ κακίᾳ ὡς μυρίοις πάθεσι πολιορκούμενον καθ' ἑκάστην; ἐγὼ τοίνυν δοῦλος σὸς καὶ παῖς, μαθητιᾶν μᾶλλον ἐφιέμενος ἢ διδάσκειν δυνάμενος. ὅμως ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά· τοιοῦτος σὺ καὶ ὁρώμενος καὶ ἀναγινωσκόμενος.

Περὶ μὲν οὖν τοῦ τῆς Δημητριάδος καὶ τῶν μαθητῶν ὅτι ᾤχοντο, ἵνα γνοίης ἐκ τῶν καρπῶν τὸ δένδρον καὶ εὔξῃ ἐκείνοις μὲν μετάνοιαν, ἐμοί τε τῷ ἀθλίῳ στηριγμὸν πρός τε τοὺς πολεμοῦντας ἀοράτως τε καὶ ὁρωμένως, ὡς ἂν κατόπιν ἀξιωθείην ἐλθεῖν τῶν νυνὶ πάντων ὁμολογητῶν Χριστοῦ· ὁμολογητὴς γὰρ πᾶς ὁ ἐνιστάμενος. περὶ δὲ τῶν δύο ἄλλων κεφαλαίων τοιοῦτον τὸ παριστάμενόν μοι. ὑπογράψας πρεσβύτερος τῇ ἀσεβείᾳ μετανοεῖν ὀφείλει καὶ προσκλαίειν θερμῶς συγχωρηθῆναι αὐτῷ τὸ ἀσέβημα, λειτουργεῖν δέ, κἂν οὐ μνημονεύῃ τοῦ ἀσεβοῦς, οὐδαμῶς, ἀλλ' εἴργεσθαι τῆς ἱερουργίας, ἕως ἂν ἐπίδοι Κύριος καὶ δοίη καιρὸν ὀρθοδόξου συνόδου, ἐν ᾗ λήψεται ἕκαστα τὰ κατ' ἀξίαν θεοκρίτως. ἐγὼ δὲ συμβουλεύω, εἰ μετέσχεν τῆς ἀσεβοῦς κοινωνίας ἐν μεταλήψει, καὶ τῶν ἁγιασμάτων ἀπέχεσθαι μέχρις ἑνὸς ἢ δυοῖν χρόνοιν· γέγραπται γάρ, οὐ δύνασθε

---

16 τελειώσειε S

---

294. a. 816–818

6 Luc. 6,45 9 Luc. 6,44 20 1 Cor. 10,21

C VMT (ll. 13–31) PS

2 σεαυτὸν S 3 ἐν S[sscr] 4 καθεκάστην VPS Sirm 5 σὸς: σου Sirm μαθητειᾶν C 10 τε[1] C: δὲ cett Sirm 13 περὶ: hic inc epist in T titulo ἐκ τῆς πρὸς μακάριον ἡγούμενον ἐπιστολῆς praecedente δύο S[sscr] 14 ὀφείλει om M 15 κἂν P 16 ἀσεβῶς Sirm, voce ἀσεβοῦς in marg scripta 16 εἴργεσθαι C 17 ὀρθοδόξου: ὀρθοδοξίας τουτέστιν T (fort recte) ὀρθοδόξου post συνόδου add T 18 ἕκαστος VT Sirm καταξίαν CVT 19 μετέσχε VMTPS Sirm 20 δυεῖν C: δοιοῖν T δύνασθαι T

ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων, οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἐκκλησιῶν· τίς συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων; οὐ δεῖ οὖν εἰσιέναι εἰς τὰ μαρτύρια τῶν αἱρετικῶν προστέτακται ἡμῖν ὑπὸ τῆς ἁγίας συνόδου, οὐκ οἶδα, εἰ μὴ ὑπ' ἐξουσίαν τελέως γίνοιτο ὁ ναὸς ὀρθοδόξου τοῦ μηκέτι λειτουργεῖσθαι ὑφ' αἱρετικοῦ· τότε γὰρ καὶ εἰσιτέον / καὶ λειτουργητέον τὸν ὀρθόδοξον, οὐκ ὄντος προκρίματος τὰ προλαβόντα.

Οὕτω φρονῶ, πάτερ μου, ὁ ταπεινός, ἀναθεωρῶν τὰ ὑπὸ τῶν θείων πατέρων παραδείγματα, τῆς σῆς δ' ἂν εἴη τελειότητος τὰ κρείττονα καὶ θεωρῆσαι καὶ ἐμοῖς ὄμμασιν ὑποδεῖξαι. ἐρρωμένος καὶ ἐναθλῶν ὑπὲρ θεοῦ διαφυλαχθείης μοι ἔτι, ὁ ἐξάκουστος ἐν πατράσιν, ὁμοῦ τε καὶ ὑπερευχόμενός μου τῆς ἀναξιότητος· τὸ μὲν ἀγάπης, τὸ δὲ διὰ τὴν κελεύουσαν ἐντολήν.

295. Γρηγορᾷ λαϊκῷ

Ἐπέγνων σου, ἄνθρωπε τοῦ θεοῦ, τὴν ἐπιστολήν· ἀλλ' ἰδού σοι καὶ ἕτεροι ὁμολογηταί, τοὺς περὶ τὸν οἰκονόμον λέγω. ἔχου τοῦ ἁγίου ἔργου σου, τῆς ἐν Κυρίῳ προσφορᾶς σου, ἱερούργησον ἑαυτὸν διὰ τῆς ὑπηρεσίας. εἰ καὶ ὑποκίνδυνον τὸ ἐγχείρημα, ἀλλὰ θεὸς ὁ ἐξαιρούμενος· αὐτὸς γάρ σε κατέστησεν ὑπηρέτην τῶν μαρτύρων αὐτοῦ, ἀλείπτην τῶν ὁμολογητῶν, βοηθὸν τῶν ὀκλαζόντων. διέρχου τὴν θείαν διακονίαν σου, Χριστὸς προπορευόμενός σου, μὴ πτοοῦ.

Τὰς ἰσχάδας λόγῳ ἐδεξάμην ἀλλ' οὐκ ἔργῳ διὰ τὸν ἐγκλεισμόν. ἐπέστειλα τῷ πρεσβυτέρῳ, καὶ χάρις τῷ θεῷ ὅτι συνδιακονεῖ σοι παρὰ θεοῦ κληθείς. προσεύχου περὶ ἡμῶν, ἀδελφὲ καὶ κοινωνὲ τῶν παθημάτων.

---

23 2 Cor. 6,16 33 cf. Le. 19,18

21 δύνασθαι T 24 ὑμῖν S[pc] 25 ὑπεξουσίαν C: ἐπ' ἐξουσίαν cett Sirm γένοιτο T ὁ ναὸς om T 26 ὑφ': ὑπὸ T 27 εἰσιτητέον V[pc]MT καὶ λειτουργητέον om T οὐκ – 28 προλαβόντα om T 29 θείων: ἁγίων S 31 ὑποδεῖξαι: hic desin epist in T ἐρρωμενός Sirm 32 θεοῦ: χριστοῦ V 33 τε om M ἐξ ante ἀγάπης add VMPS Sirm καὶ ante διὰ add VMPS Sirm

---

295. a. 818 3 οἰκονόμον: Naucratius 10 πρεσβυτέρῳ: Theophylactus? cf. ep. 251

C (S)

5 ὑπὸ κίνδυνον S 9 τὰς: τοὺς Mai

296. Ναυκρατίῳ τέκνῳ

Ὅτι ζῇς ἐν Κυρίῳ καὶ διαμένεις ἄτρεπτος τῆς ἐν πίστει θεοῦ ἀληθείας μαθὼν διὰ τοῦ γράμματός σου, τέκνον μου καὶ ἀδελφὲ ἐπιπόθητε, ηὐχαρίστησα περιχαρῶς λίαν τῷ ἀγαθῷ θεῷ ἡμῶν· καὶ γάρ, εἰ καὶ περὶ πάντων μοι μέριμνα τῷ ἁμαρτωλῷ, ὅμως ἐναγώνιος σὺ ὁ διαφερόντως ποθητός τε καὶ τίμιος, οὐχ ἁπλῶς, ἀλλ' ὡς τῶν ἁπάντων προύχων ἐν τῇ ἀδελφότητι καὶ ὅτι ἐν ἄρκυσι μᾶλλον ὑπάρχεις τῶν ἀσεβούντων.

Ἀλλ' ὅπῃ θεὸς καὶ θεοῦ ἀλήθεια, ἐκεῖ ἀσθενῆ τὰ ἀνθρώπινα· οὐδὲν γὰρ οὐδαμῶς δύναιτ' ἂν μετακινῆσαι τὸν οὕτως βεβαιόπιστον, κἂν ἡ γῆ ταράσσοιτο, κἂν μετατίθοιντο ὄρη ἐν καρδίαις θαλασσῶν, καθὼς ᾄδει ὁ ἅγιος Δαυίδ. διὸ διψυχίαν ἀποθέμενοι πᾶσαν δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν· ὃς δῴη δύναμιν καὶ κραταίωσιν ἐνεγκεῖν ἡμᾶς τὰ ὑπὲρ αὐτοῦ παθήματα μέχρις αἵματος, ἤγουν θανάτου, καὶ μακάριος ὃς πιστεύσει ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις ὑπ' αὐτοῦ. οὐκ ἐᾷ με ὁ χρόνος μακρηγορεῖν ἕτερόν τι ἢ τοῦτο προστίθημι, τοῦ ἐπὶ πλέον προσκεῖσθαί σε τῷ θεῷ ἐν θερμῇ δεήσει τῆς αὐτῆς σοι μερίδος καὶ τῶν / οἷος σὺ μέτοχόν με τὸν ἀνάξιον διὰ τὰς ἁμαρτίας γενέσθαι.

Ὁ σὺν ἐμοὶ ἀδελφός σου προσαγορεύει.

---

296. a. 818 21 ἀδελφός: Studita Nicolaus

11 Ps. 45,3 12 Hebr. 12,1 sq. 15 Hebr. 12,4 16 Luc. 1,45

C (S)

2 διαμένοις C Mai 4 ἐπὶ πόθητε C εὐχαρίστησα S 5 ἐν ἀγώνιος C 9 ἀσθενεῖ omnes: correxi 10 οὕτω S 12 καθώς: καθ' ὡς C ἀπὸ θέμενοι C 18 ἐπιπλέον codd: distinxit Mai

297. Προτερίῳ τέκνῳ

Ὡς βαρεῖα ἡ ἐπιστολή σου, τέκνον, τοιαῦτα καὶ τηλικαῦτα μηνύσασα, ὥστε με ἀκούσαντα καταπλαγῆναι τὰς ἀκοὰς καὶ ὀδυνηρὸν στενάξαι· ἀλλ' ὅμως ἐνεκτέον καὶ προσευκτέον σφόδρα ἵλεω θεὸν ἐκ φιλανθρωπίας γενέσθαι, φείσασθαί τε τῶν ἁγίων ἐκκλησιῶν καὶ μὴ δοῦναι τὴν κληρονομίαν αὐτοῦ εἰς ὄνειδος. ὁ γάρ τοι καπνὸς μεγάλου πυρὸς ἄγγελος· ὅς, εἰ μὴ διασκεδασθείη Πνεύματος Ἁγίου αὔραις, ἐμπρήσειεν ἅπαντα. γρηγορεῖτε, φησὶν ὁ ἀπόστολος, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε· οἱ ἄνεμοι ἔπνευσαν, ἦλθον αἱ βροχαὶ εὐαγγελικῶς, προσρήσσοντες τῇ οἰκίᾳ. μακάριος ὁ ἐπὶ τὴν πέτραν Χριστὸν τεθεμελιωμένος, ὃς οὐ πτοηθήσεται, ἀλλ' ὑπερέξει καὶ μετὰ Χριστοῦ νικήσει καὶ μετὰ μαρτύρων χορεύσει αἰώνια. δεῖ οὖν ἐλθεῖν τὰ σκάνδαλα, ἵνα οἱ δόκιμοι Χριστοῦ φανεροὶ γένωνται.

Δεῖξον οὖν τὴν ἐπιστολήν, εἰ δυνατόν, τοῖς ὁμολογηταῖς ἀδελφοῖς, ἐπεὶ καὶ τοῖς ἀναποκλείστοις· μακάριοι γὰρ κἀκεῖνοι διωκόμενοι καὶ ὑπὸ σκέπην θεοῦ διαφέροντες τὸν διωγμόν. περὶ δὲ ἡμῶν οὐδεὶς λόγος, ἢ μόνον τοῦτο, ὅτι ἐλθὼν ἄνθρωπος τοῦ στρατηγοῦ καὶ ὑπαλλάξας τὸν παραφύλακα ἐζήτησεν ἰδεῖν ἡμᾶς· ἐπεὶ δὲ εἶδεν, οὔτε προσεκύνησεν, ἡμῶν ποιησάντων σέβας διὰ τῆς θυρίδος, οὔτε ἐχαιρέτησεν, ἀλλ' ἅμα τοῦ ἰδεῖν ᾤχετο. ἐάν τι ἄλλο γίνοιτο, δηλώσειεν ὁ χρόνος. τὸ ῆ λαβέτω τὰς ἐπιστολάς, ἃς φέρει ὁ γραμματηφόρος, καὶ ἀπίτω ἐν Κυρίῳ τὴν ὁδὸν αὐτοῦ. αὐτὸς δὲ μετὰ τὸ ἐκστρατεῦσαι τὸν βασιλέα τότε ἴθι, φέρων ἡμῖν τὰ συμβεβηκότα καὶ τὰς τῶν ἀδελφῶν ὑγιείας.

Σῴζοιο καὶ σύ, τέκνον μου ἀγαπητόν, ἐν Κυρίῳ ἀσινὴς ἀπὸ τῶν συνεχόντων πειρασμῶν. οἱ ἐν Κυρίῳ κοιμηθέντες ἀδελφοὶ μακάριοι εὔξονται ὑπὲρ ἡμῶν. /

297. mense Ianuar. vel Febr. a. 818 18 στρατηγοῦ: Thracesiorum 19 παραφύλακα: ad officium cf. H. Antoniadis-Bibicou, Recherches sur les douanes à Byzance. Paris 1963, 181 adn. 2

8 1 Cor. 16,13 9 Matth. 7,27 11 Matth. 16,18 13 Matth. 18,7 2 Cor. 13,7

C (S)

8 ἐμπρίσειεν C 16 ἀναποκλείστοις: cave legas ἐναποκλείστοις coll ep 103,15 19 ὑπαλλάξας τὸν: ὑπαλλάξαντος Mai ἴδεν C Mai 20 ἐχαιρέτισεν omnes: correxi 23 ἀπείτω C

298. Ἰωάννῃ ἡγουμένῳ

Παρὰ τὸ ἀρθῆναι τὸν ἀδελφὸν ἡμῶν, τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον, τῶν αὐτόθι, εἶτα καὶ τὸ μὴ δέξασθαι ἡμᾶς ἀντίγραφα ὧν ἀπεστείλαμεν τῇ πατρικῇ σου ἁγιωσύνῃ, ἡ ἔλλειψις τῶν ταπεινῶν ἡμῶν γραμμάτων, καὶ τρίτον τὸ κατέχεσθαι ἡμᾶς νῦν ἀσφαλῶς οὐκ ἔδωκεν ἡμῖν καιρὸν τῆς ἐν τοῖς γράμμασιν ἡδίστης σου ὁμιλίας. ἀλλὰ νῦν, εὐοδώσαντος τοῦ Κυρίου, καὶ ἐπιστέλλομεν καὶ προσαγορεύομέν σε γνησιώτατα, οἱονεὶ ἐπὶ προσώπου σε τῇ τοῦ νοῦ θεωρίᾳ λαμβάνοντες καὶ συμπλεκόμενοι τῷ πνευματικῷ σου καὶ ἁγίῳ πόθῳ· καὶ γὰρ οὐκ ἔξω τῆς ταπεινῆς ἡμῶν ψυχῆς ἡ θεοφιλία σου, ἀλλὰ ἄγαν στεργομένη καὶ ἀγαπωμένη καὶ εἰσαεὶ ἀναστρεφομένη. ἐπαινῶ σου τὸ φιλόθεον, δοξάζω τὸ ἐγκρατές, τὸ πρὸς τὸν πλησίον ἀγαπητικόν, τὸ ἁπλοῦν, τὸ εὐχαρές, τὸ εὐαπάντητον· ἔχεις γὰρ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ πλείω ὧν εἴρηκα χάριτι Χριστοῦ. ἄρτι δ' οὖν ὑμνῶ σου καὶ τὸ ἐνστατικὸν ἐπὶ τῇ ὁμολογίᾳ Χριστοῦ, καί γε οὐκ ἦν δίκαιον ἄμοιρόν σε εἶναι τοῦ τηλικούτου ἐγκωμίου τὸν ὑπὸ τοσούτων καλῶν κατωρθωμένον, ἀλλ' ὥσπερ κεφαλίδα τινὰ τοῖς λοιποῖς ἐγκαλλωπίζεσθαι. εἰ δὲ ὅτι ἐκτέταται ὁ διωγμός, μὴ θαυμάζωμεν, πάτερ· οὔπω ὡς ἐπὶ τῶν πάλαι τὰ νῦν. δεῖ ἡμᾶς ἔτι πειρασθῆναι, εἴπερ ἐν ἴχνεσι τῶν ἁγίων ἡμῶν πατέρων ἐφιέμεθα εἶναι. πλὴν πιστεύω ὅτι οὐ χρονιεῖ Κύριος ἐπισκοπὴν ποιήσασθαι, μόνον εἰ ἡμεῖς τὸ εὐχάριστον ἐν τοῖς θλιβεροῖς πρὸς αὐτὸν ἀποσῴζοιμεν.

Γράφε οὖν ἡμῖν καὶ αὐτός, παρακαλῶ, ὁμοῦ τε καὶ προσεύχου διασῴζεσθαι ἡμᾶς τοὺς ἀναξίους, ὡς ἂν ἔχωμεν ἀφορμὰς τοῦ ἀντεπιστέλλειν. τοὺς δὲ ἠξιωμένους τῇ ὁσιότητί σου ὑπηρετεῖν πλεῖστα προσαγορεύω.

---

298. a. 818

21 Prov. 29,13

C (S)

4 ἀπεστείλαμεν: ἐπεστείλαμεν S (fort recte) 7 ἐπὶ στέλλομεν C 10 θεοφίλειά S 11 εἰς ἀεὶ C 14 δ': δι' Mai 16 τὸν: τῶν C^{ac}S 17 καλῶν om Mai 21 ἐπὶ σκοπὴν C 22 ἀπὸ σώζοιμεν C

299. Νικολάῳ μάγκιπι

Ὅτι μνημονεύω σου, φίλε καλέ, ἰδοὺ τὸ γράμμα μάρτυς· πῶς δέ σου καὶ ἔστιν ἐπιλαθέσθαι, οὕτω περὶ ἡμᾶς λίαν καλῶς διακειμένου, μᾶλλον δὲ πρὸς Χριστόν; τί τοῦτο; / ὅτι ἐν μέσῳ πυρὸς τῶν αἱρετικῶν διαμένεις ἄφλεκτος, πηγαζομένην ἐν τῇ σεαυτοῦ καρδίᾳ ἔχων τὴν ὀρθοδοξίαν, ἐν ᾗ καὶ διαφυλαχθείης μέχρι τέλους. τοῦτο τὸ πρῶτον καὶ μέγιστον· δεύτερον τὸ τοὺς ἀδελφοὺς ἡμῶν εὑρίσκειν σε εἰσερχομένους ἐν τοῖς αὐτόθι λιμένα σωτηρίας ἐκ τῆς κυμαινούσης αἱρέσεως τοὺς πάντας· ἐν ᾧ ἀναψύχοντες διὰ τῆς ἐν ἅπασί σου φιλοφρόνου δεξιώσεως πάλιν ἀφίκονται πρὸς ἡμᾶς. πόσης οὖν ἡμᾶς εὐφροσύνης τοῦτο ἐμπίπλησι, πόσης δὲ οὐ θείας θεραπεύσεως μισθός σοι λογισθήσεται, εἴπερ φησὶν ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται.

Χριστὸν οὖν, ἀδελφέ, εἰσδέχῃ διὰ τῶν ἀδελφῶν κἀκεῖνον ἀναπαύεις· κἀκεῖνός σε προσλήψεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀνθ' ὧν ἐνταῦθα αὐτὸν ξενίζεις διὰ τῶν ἀδελφῶν. ἔρρωσο ἐν Κυρίῳ.

300. Κωνσταντίνῳ λαϊκῷ

Πολυτρόπως ὁ θεὸς τὰς τῆς σωτηρίας ὁδοὺς ἤνοιξεν ἡμῖν ἐν παντὶ μὲν καιρῷ, νῦν δὲ μάλιστα, ὁπότε τὰ σκάνδαλα εἰσῆλθον ἐν τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ καὶ δοκιμάζονται οἱ πιστοὶ τοῦ θεοῦ ὡς ἐν χωνευτηρίῳ. οἱ μὲν οὖν ἀθλοῦσιν ἐν φυλακαῖς τηρούμενοι διὰ τὸν λόγον τῆς ἀληθείας, τυφθέντες καὶ ἐτασθέντες ἕτεροι, ἄλλοι τὴν φυγαδείαν εἵλαντο, δευτερεύοντες τοῖς παθήμασι. τινὲς μὲν διατρέχουσι, λόγον ἐπιφερόμενοι βοηθείας, ἔνιοι δὲ κρύβδην διακονοῦσι

299. a. 815 – 818

12 Matth. 10,40

C (S)

1 μάγκηπι C 5 διαμένοις C Mai 10 οὖν in marg C 11 οὐ: οὖν Mai 13 ἀναπαύοις C Mai 14 πρὸς λήψεται C ἀνθ' ὧν: ἀνθῶν codd: corr Mai

300. a. 815 – 818

4 Sap. 3,6

C (S)

4 τοῦ θεοῦ S[sscr]

τοῖς φρουρουμένοις, οἱ δὲ καθ' ὁδὸν ὑποδέχονται τοὺς διερχομένους κατὰ Κύριον.

Αὗται αἱ ὁδοὶ καὶ ἔτι πλείους· σὺ οὖν, ὦ ἄνθρωπε τοῦ θεοῦ καὶ πιστὲ θεράπων, ὡς μανθάνω, εἷς ἐκ τῶν τοιούτων ὑπάρχεις, ξεναγῶν τοὺς ἀδελφοὺς ἡμῶν ὁδοιποροῦντας ἐν Χριστῷ. μακάριος εἶ καὶ καλόν σοι ἔσται· θεῷ προσφέρεις τὴν χάριν. ἔχου, παρακαλῶ, τῆς ἐργασίας ἧς κρατεῖς, ὅπως συναθλῶν τοῖς πονοῦσιν ἐν τούτῳ καὶ συναπολήψῃ τοὺς μισθοὺς παρὰ τοῦ πάντα μετροῦντος θεοῦ τὰ γινόμενα.

301. Θεόδωρος τοῖς διὰ Κύριον ἐν διαφόροις φυλακαῖς τηρουμένοις ἀδελφοῖς ἀγαπητοῖς ἐν Κυρίῳ χαίρειν

Τί τὰ παρόντα; χαρὰ καὶ ἀγαλλίασις, ὅτι ἐν τοῖς ὑπὲρ Χριστοῦ μαρτυρίοις ἐναθλεῖν ἠξιώμεθα, ὅτι φυλακαῖς τε καὶ θλίψεσι διὰ τὸν λόγον τοῦ θεοῦ παρεδόθημεν, ὅτι πληγαῖς τε καὶ ὕβρεσι διὰ Χριστὸν τὸν ὑπὲρ ἡμῶν μαστιχθέντα καὶ ὀνειδισθέντα, ἔπειτα καὶ σταυρωθέντα ὑπεβλήθημεν. τίς οὐκ αἰνέσειεν; τίς οὐ δοξάσειεν; ἀνατολὴ ἥδεται, δύσις εὐφραίνεται, πᾶσα ἐκκλησία τῆς τετραπεράτου κτίσεως ἀγάλλεται. καὶ τί λέγω τὸν περίγειον κόσμον; ὁ οὐρανὸς αὐτὸς θυμηδίας πεπλήρωται, ὅτι οὐ μόνον ὁ κορυφαῖος τῶν καθ' ἡμᾶς ἱεραρχῶν, ἱεράρχαι τε καὶ ἱερεῖς, καθηγεμόνες τε καὶ φοιτηταί, ἀλλὰ καὶ μονάζουσαι σὺν προεστώσαις εἵλαντο τὰ τῆς μαρτυρίας σκάμματα, ἐῶ λέγειν τοὺς ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἐκ φυγαδείας θλιβομένους, ὑστερουμένους, κακουχουμένους διὰ τὸν ὑπὲρ Χριστοῦ διωγμόν.

Εἰκότως οὖν, ἀδελφοί μου ἠγαπημένοι καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, χαίρω καὶ συγχαίρω ὑμῖν, τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε

---

9 καθοδὸν C 12 θεράπον codd: corr Mai ξεναγαγὼν Mai

301. a. 817 – 818 4 διὰ τὸν λόγον τοῦ θεοῦ: anceps 10 κορυφαῖος: Nicephorus patriarcha

13 Hebr. 11,38 16 Philipp. 4,1 17 Philipp. 2,17 sq.

C VM P_2P_1S

1 κατηχητικὴ ante tit add VMP_2 Sirm 2 ἐν Κυρίῳ C: om cett Sirm δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm δογματικὴ in marg C 7 αἰνέσειε VMPS Sirm 12 εἵλοντο VMPS Sirm 14 ὑστερουμένους om VM καὶ ante κακουχουμένους add M 16 ἐπὶ πόθητοι C

καὶ συγχαίρετέ μοι. Παύλου μὲν τοῦ μακαρίου αἱ φωναί, τῷ καιρῷ δὲ πρέπουσαι, ἐπειδὴ εἰς ἡμετέραν νουθεσίαν πάντα γέγραπται καὶ μιμητὰς αὐτοῦ ἐκλιπαρεῖ γίνεσθαι ἡμᾶς. πρῶτον μὲν ἐκεῖνο ἀληθὲς εἰπεῖν, ὅτι οὐχ ὅσον προαιροῦνται καὶ βούλονται οἱ κακοῦντες ἡμᾶς ταῖς θλίψεσι καὶ περιστάσεσι παραδιδόμεθα (οὕτω γὰρ ἂν ἀνύποιστος ἦν ἡ πεῖρα, καθὰ καὶ ἡ παρὰ τῶν δαιμόνων ἀοράτως ἡμᾶς προσβάλλουσα), ἀλλὰ καθόσον παραχωρεῖ ὁ ἀγωνοθετῶν καὶ συναθλῶν ἡμῖν Χριστός, μέτρῳ καὶ σταθμῷ τῆς ἑκάστου δυνάμεως ἐν κρίσει δικαίᾳ τοὺς ἀγῶνας ἐπαφεὶς ἢ εἰς ἔκτισιν ἁμαρτιῶν (εἰ καὶ αὐθαιρέτως ἥκομεν πρὸς τὸ πάσχειν) ἢ ἐπὶ στεφάνων ἀθλοφορικῶν ἀμοιβήν, ἐκ δόξης εἰς δόξαν προερχομένοις· μὴ γὰρ ὡς Πέτρος ἢ Παῦλος σὺν τοῖς ὁμοταγέσιν ἢ Γεώργιος καὶ Θεόδωρος σὺν τοῖς ὁμοκλεέσιν ἢ Θέκλα καὶ Φεβρωνία σὺν τοῖς ὁμοδόξοις βεβασανίσμεθα, οἷς πολὺ ἀγαπήσασιν ἀναλόγως περιέσσευσε καὶ τὰ Χριστοῦ παθήματα δεδωρημένα; οἷς δὲ τὸ τῆς ἀγαπήσεως ὀλίγον, ἐνδεέστερον καὶ τὸ πάσχειν, ὥστε λυπεῖσθαι καὶ δυσφορεῖν ὅτι μὴ πολλὰ πανθάνομεν, οὐκ ἀλλοιοῦ/σθαι δεῖν καὶ ἀποκάμνειν, ἐν οἷς μετρίως ἐσμὲν τιμωρούμενοι.

Εἰ δὲ ἐκπέσοιμεν (ὅπερ ἀπείη καὶ ἐννοεῖν), οὐ παρὰ τὴν θεόκριτον ἐπαφήν, παρὰ δὲ τὴν τοῦ καταμαλακισθέντος ἀτονίαν καὶ ἀκαρδίαν καὶ ἀθεΐαν· ὁ μὲν γὰρ δέδωκε τὸ ἰσχύειν κατὰ τοῦ πονηροῦ κράτους, νικηφόρον βουλόμενος τὸν ἀγωνιστὴν ἔσεσθαι, ὁ δὲ ὀλιγωρίᾳ ῥίψας τὰ τῆς ὑπομονῆς ὅπλα ᾤλετο. μάρτυς τοῦ λόγου ὁ κράζων, πιστὸς ὁ θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν. ὧδε ἡ ὑπομονή, ὦ ἀδελφοί, ὧδε οἱ θεόπλοκοι στέφανοι τῆς εὐπιστίας. μὴ οὖν ἐπαισχυνθῶμεν τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν μηδὲ ἀπολειφθῶμεν Θαδδαίου τοῦ νεοκλήτου μάρτυρος καὶ τῶν συνομολογησάντων καὶ συνεκδημησάντων ὀπίσω αὐτοῦ, ὧν ἴστε δὴ τὰ ὀνόματα. αἵματι μαρτύρων ἠρδεύθη καὶ νῦν ἡ ἐκκλησία τοῦ θεοῦ, ἐπεὶ καὶ ἀρδεύεται διὰ τῶν ἔτι ἀθλούντων καὶ πολυτρόπως ἐκπιεζομένων ταῖς θλίψεσιν. αἷμα κενοῖ ὁ καθειργμένος, ὁ μεμονωμένος, ὁ στενοχωρούμενος, ὁ ἀφηρπασμένος ἐκ παντὸς προσώπου, ὁ ὑστερούμενος τῶν κατὰ χρείαν, ὁ πεινῶν, ὁ διψῶν, ὁ μὴ τὴν τοῦ ἡλίου ἀκτῖνα

---

31 2 Cor. 1,5 36 Bas. ep. 262,2 (PG 32,973 B = III 120 Courtonne) 40 1 Cor. 10,13

23 ἡμᾶς C: ἡμῖν cett Sirm 24 καθ' ὅσον CV^{ac}M συναθλῶν: συναίρων M 30 τοῖς C: ταῖς cett Sirm 31 ἐπερίσσευσε S^{pc} 36 ἀπήει C 37 μαλακισθέντος VM 38 ἔδωκε V 43 ὦ om VM Sirm 44 ἀπὸ λειφθῶμεν C 45 νεοκλήτου C: νεολέκτου cett Sirm 46 σὺν ἐκδημησάντων C δὴ om P_1S 51 ὁ^2: καὶ M

δεχόμενος, καθ' ἡμέραν ἀποθνήσκων, ὡς βοᾷ ὁ Παῦλος, καὶ ὅλην τὴν ἡμέραν θανατούμενος, ὡς ᾄδει Δαυίδ. ἀλλ' εἰ ἀποθάνωμεν, καὶ συζήσομεν Χριστῷ· εἰ ὑπομείνωμεν, καὶ συμβασιλεύσομεν αὐτῷ. ἐν τοῖς ἄνω χρόνοις ἐξελέξατο ἡ χάρις οὓς ἐξελέξατο εἰς τὸ Χριστοῦ μαρτύριον, κατὰ γενεὰν καὶ γενεὰν ἀνίσχουσι μάρτυρες· ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάνδαλα, Χριστὸς ἔφησεν, ἵνα οἱ ἐκλεκτοὶ ἐκλάμψωσιν ἡλιοειδῶς καὶ τὰ ζιζάνια φανερὰ γένηται νυκτοειδῶς.

Γενοίμεθα, ὦ ἀδελφοί, ἐν τῇ γενεᾷ ταύτῃ τῇ σκολιᾷ καὶ διεστραμμένῃ ὡς φωστῆρες αὐγάζοντες τοῖς ἐν σκοτομήνῃ τῆς αἱρέσεως, καθὰ ἡμᾶς ἐξελέξατο Χριστὸς εἰς καύχημα αὐτοῦ, εἰς κλέος ὀρθοδοξίας. ὡς ἡμῖν οἱ ἀνέκαθεν, οὕτω ἡμεῖς τοῖς μετέπειτα στηριγμὸς καὶ ὑπογραμμὸς ὑποδειχθείημεν καὶ εἰς ἡμέραν Χριστοῦ εὑρεθείημεν χορεύοντες. καίτοι γε τῶν προσεχῶν ἡμεῖς μᾶλλον φανερώτερον τὸ μαρτύριον ἔχομεν· οὐδὲ γὰρ περὶ τῶν ἐν Χριστῷ φύσεων ἢ θελημάτων καὶ ὅσα πρὸς τούτοις ἀμφισβητούμενα, ὧν ἡ διαμάρτησις, κατὰ τὰ νοήματα οὖσα, οὐδὲν αἰσθητῶς παρεῖχε τὴν ἀπόδειξιν, νῦν δὲ σὺν τοῖς νοήμασι καὶ κατ' ὀφθαλμοὺς τὸ ἀμφισβητούμενον ἤτοι ἀσεβούμενον. τὸν γὰρ Χριστὸν οἱ ἀντικείμενοι οὐ μόνον οὐκ εἰκονίζεσθαι λέγουσί τε καὶ λοξονοοῦσι σὺν τῇ Θεοτόκῳ καὶ οὑτινοσοῦν τῶν ἁγίων, ἀλλὰ γὰρ καὶ ἐγγεγραμμένους ἐξαφανίζουσι, πλάνην καὶ ὄλεθρον ψυχῶν τοὺς θείους χαρακτῆρας δογματίζοντες. ὢ τῆς ἰουδαϊκῆς καὶ ἑλληνικῆς ἀντιπεπονθότως ἀσεβείας. οὐδὲν οὖν ἄρα τὸ καθόλου ἢ παρὰ τὸ τῆς οὐσίας διάφορον ἡ ἐξαλλαγή, ἐν ᾧ ὁ λόγος· φῇ ὁ Ἰουδαῖος ἤτοι ὁ Ἕλλην τῷ χριστιανῷ, ἄρνησαι τὸν Χριστόν, τὴν Μαρίαν· τοῦτο καὶ ὁ εἰκονομάχος. ἡ / γὰρ εἰκὼν Χριστοῦ ὥσπερ καὶ τῆς Θεοτόκου ὁμωνύμως Χριστὸς καὶ Θεοτόκος λέγεται. ὥστε λέγων τὴν εἰκόνα ἀρνεῖσθαι, τὸν οὗτινος ἡ εἰκών, ἐκεῖνον διαρρήδην ἐξαρνεῖσθαι ἀπαιτοίη. μὴ γὰρ ἐμοῦ τοῦ οὐδαμινοῦ ὁ λόγος; ἄκουε τί φησι τῷ Μωυσεῖ ὁ τῶν ὅλων θεός· ποίησον Χερουβίμ. καίτοι εἰκόνα Χερουβὶμ ποιῆσαι προστέταχεν· οὐ γάρ τοι φύσιν χερουβικὴν φρονῶν τις παραστῆσαι αὐτὸν φαῖεν ἄν. καὶ αὖθις· ποίησον ὄφιν χαλκοῦν. καὶ μὴν κἀνταῦθα εἰκόνα ὄφεως ποιεῖν προστάσσει.

52 1 Cor. 15,31 Ps. 43,23 53 2 Tim. 2,11 sq. 56 Matth. 18,7 58 De. 32,5; cf. Philipp. 2,15 80 Ex. 25,18 82 Num. 21,8

52 καθημέραν VP$_1$S Sirm ἀπὸ θνήσκων C ὁ C: om cett Sirm 53 ἀποθάνομεν P$_2$ 54 συζήσωμεν C συμβασιλεύσωμεν C 55 τοῦ ante Χριστοῦ add M 57 ἐκλάμψωσιν C: λάμψωσιν cett Sirm 60 τοῖς C: om cett Sirm 62 οὕτως VMPS Sirm 70 λέγουσί: ἐῶσι M οὗτινος οὖν C: οὑτινοσοῦν S 71 γὰρ C: om cett Sirm 72 ὦ C 73 ἀντιπεπονθότος P$_1$S Sirm ἆρα C 74 φῇ: φησὶν M: φὴ Mi 80 Μωϋσῇ C: Μωσεῖ cett Sirm 83 κἂνταῦθα C

Ἀλλὰ αὕτη ἡ φύσις πρωτοτύπου καὶ παραγώγου, τὸ παραχθὲν ἤγουν τὸ εἰκονισθὲν τοῦ ἀρχετύπου τῷ ὀνόματι καλεῖσθαι καὶ τῇ θατέρου ἀναιρέσει θάτερον ἀναιρεῖσθαι ὡς τῶν ἅμα ὄντων. ἦν ἄγγελος; διὰ τοῦτο καὶ εἰκὼν ἀγγέλου· ἦν ὄφις; διὰ τοῦτο καὶ εἰκὼν ὄφεως καὶ οὑτινοσοῦν ἄλλου τῶν ὄντων. καὶ καλοῦνται πῇ μὲν εἰκόνες ὧνπερ καὶ εἰσί, πῇ δὲ διὰ τὴν σχέσιν ὡς αὐτὰ τὰ ἀρχέτυπα ὀνομαζόμενα καὶ οὐκ εἰκόνες αὐτῶν. οὕτω φησὶ καὶ ὁ ἱερὸς ἀπόστολος, ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον, τῷ ὀνόματι τῶν πρωτοτύπων χρησάμενος ἐπὶ τῶν εἰκόνων. ἄκουε καὶ τοῦ Μεγάλου Βασιλείου· ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός. μὴ γὰρ εἶπεν, ‚ἐγγραφέσθω ἡ εἰκὼν τοῦ τῶν παλαισμάτων ἀγωνοθέτου Χριστοῦ', ἀλλὰ ‚Χριστός'. ἄκουε καὶ Γρηγορίου τοῦ Νυσσαέως, πρόκειται Ἰσαάκ, τὴν εἰκόνα τοῦ Ἰσαὰκ Ἰσαὰκ ὀνομάσαντος. ἄκουε τοῦ Χρυσοστόμου· εἶδον ἄγγελον ἐν εἰκόνι· μὴ γὰρ ἀγγέλου εἰκόνα ἔφη ἐν εἰκόνι ἰδεῖν, ἀλλὰ ἄγγελον. ἐν γὰρ τῇ εἰκόνι τὸ ἀρχέτυπον ἐκφαίνεται ὡς ἐν τῷ τύπῳ τοῦ σταυροῦ ὁ ζωοποιὸς σταυρός, καθὸ καὶ ἀχώριστόν ἐστι θάτερον θατέρου τῇ προσκυνήσει. διὰ τοῦτο καὶ τὴν κλῆσιν τοῦ πρωτοτύπου ἔχει τὸ εἰκόνισμα· σταυρὸς γὰρ ὁ τύπος τοῦ σταυροῦ κέκληται. οὕτω καὶ ἐπὶ βασιλέως καὶ παντὸς ἀνθρώπου καὶ παντὸς εἴδους ἀληθὲς ἡμῖν λέγειν ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκών. φησὶν ὁ θεῖος Βασίλειος· καὶ Πέτρος ἡ Πέτρου εἰκών. εἴπω τι καὶ ὑψηλότερον; καὶ θεὸς ὁ ἄνθρωπος ὡς θεοῦ εἰκών. τοιγαροῦν Βασίλειος ἔφη, καὶ Χριστὸς ἡ Χριστοῦ εἰκών· εἶπεν γάρ, καὶ αὖθις λέγω, ‚ἐγγραφέσθω τῷ πίνακι' οὐχὶ ‚ἡ εἰκὼν Χριστοῦ', ἀλλὰ ‚Χριστός'. εἰ δὲ οὐκ ἀνέχονται οἱ δύσερεις, πρῶτον μὲν ἀθετοῦσι τὰς θείας φωνάς, ἔπειτα ἐντεῦθεν μὴ ἄνθρωπον γενέσθαι τὸν Χριστὸν ἔργῳ, κἂν λόγῳ οὔ, δογματίζουσιν. εἰ γὰρ ἄνθρωπος, καὶ εἰκονίζεται δῆλον ὅτι· ἀνθρώπου γὰρ τὸ εἰκονίζεσθαι πρῶτον ἰδίωμα. εἰ δὲ οὐκ εἰκονίζεται,

---

91 Hebr. 9,5 93 Bas. in Barl. mart. 3 (PG 31,489 B) 96 Greg. Nyss. or. de deit. Fil. et SS. (PG 46,572 C); cf. Conc. Nic. II (XIII 324 B Mansi) 104 Bas. spirit. 18,45 (PG 32,149 C)

---

84 ἀλλ' Sirm 85 ἤγουν C: εἴτουν S: εἴτ' οὖν cett Sirm 87 διατοῦτο VMPS (bis) 88 καὶ[1] om M οὗτινος οὖν C: οὑτινοσοῦν P_1 89 ὧνπερ: ὥσπερ M 91 ὑπὲρ ἄνω C αὐτῆς: αὐτοῦ M 96 Νυσσέως Sirm (sed cf Psaltes, Grammatik 156 et 254) ὁ ante Ἰσαάκ add VMPS Sirm 98 ἀλλ' VM Sirm 99 καὶ post ὡς add VMPS Sirm 100 καθὸ C: καθὰ cett Sirm 101 διατοῦτο VMPS 102 οὕτως VM 103 καὶ[1] om VM 104 ὅτι: ὁ M 105 voces καὶ Παῦλος ἡ Παύλου εἰκών post εἰκών add VMPS Sirm (παῦ)λος – ὑψηλότερον in marg P_2 εἴπω – 106 εἰκών in marg V: om M τοιγαρ οὖν C καθάπερ post τοιγαροῦν add VMPS Sirm 107 εἶπε VMPS Sirm 108 οὐχὶ: οὐχ VM Sirm ἡ S^{sscr} 109 δύσερεις C: δυσέρις P_1: δύσερις cett Sirm πρῶτα P_2 Sirm 110 ἔργῳ om P_1S κἂν P: καὶ M 111 οὔ: αὖ V: om M δηλονότι VMPS Sirm

οὐκ ἄνθρωπος ἀλλὰ ἄσαρκος, καὶ οὔπω ἧκεν Χριστός, ὡς Ἰουδαῖοι φενακίζονται. διὰ τοῦτο καὶ τὴν Θεοτόκον εἰκονιζομένην ἐξορίζουσι καὶ πάντα ἅγιον ὡς οὐ μητέρα θεοῦ οὐδὲ θεράποντας ὄντας Χριστοῦ. καὶ βοᾷ ὁ χρυσορρήμων, τῶν λόγων σου τὰ ἔργα ἐμοὶ πιστότερα.

Συνῆκται οὖν ἐξ ἀληθείας ἰουδαΐζειν τοὺς εἰκονομάχους, καὶ ὁ πανθάνων ὑπ' / αὐτῶν διὰ Χριστὸν καὶ ὑπὲρ Χριστοῦ πάσχοι, διὰ τὴν Θεοτόκον καὶ ὑπὲρ τῆς Θεοτόκου, διὰ πάντα ἅγιον καὶ ὑπὲρ πάντων ἁγίων· μάρτυς ἀπαράγραπτος καὶ ὁμολογητὴς Χριστοῦ ὁ ἐναθλῶν καὶ ἐνιστάμενος. καὶ οὐδεὶς ἀντερήσει λόγος. οἱ Μακκαβαῖοι μάρτυρες, μὴ κρεῶν ὑείων ἀνασχόμενοι παρανόμως γεύσασθαι· ὁ Πρόδρομος μάρτυς ὑπὲρ ἐλεγμοῦ ἀληθείας, καὶ ἄλλος ὑπὲρ τοῦ μὴ καταβαλέσθαι ὀβολὸν εἰς οἰκοδομὴν εἰδωλείου, καὶ ἕτερος δι' ἕτερον ἔνταλμα. τί γὰρ δεῖ τὰ πολλὰ λέγειν; καὶ ἐνταῦθα προδήλως ὁ διὰ Χριστὸν ἐναθλῶν οὐ μάρτυς, ὥς φασί τινες τῶν δυστήνων; μάρτυς ἀληθής, μηδ' ὁτιοῦν ἐνδέων τῶν ἐφ' Ἑλλήνων ἢ Ἰουδαίων μαρτυρησάντων· καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. ὅλως οὖν, εἰ ὁ τὸν τύπον τοῦ σταυροῦ ἀθετῶν εἰς Χριστὸν ἀναφέρει τὴν ἀθέτησιν, πολλῷ μᾶλλον ὁ τὴν εἰκόνα Χριστοῦ ἀρνούμενος εἰς Χριστὸν ἀναπέμπει τὴν ἄρνησιν. οὕτως καὶ ὁ ἐφ' ἑκάτερα μαρτυρῶν μάρτυς ἀληθέστατος, καὶ μᾶλλον ἐν τῇ εἰκόνι, ὅτι ὁ μὲν σημεῖον, ἡ δὲ μορφὴ Χριστοῦ.

Παρακαλῶ δέ, ἀδελφοί μου ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, πρῶτον μὲν μνήμην μου ποιεῖσθαι τοῦ ταπεινοῦ, οἷς λέγω ἔργῳ ἀποδειχθῆναί με εὐχόμενοι, μηδαμῶς ὑποχαυνούμενον ἔκ τε τῶν ἀοράτων καὶ ὁρωμένων προσβολῶν, ἔπειτα προσέχειν ἑαυτοῖς καὶ τῇ ἐνισταμένῃ ἀθλήσει, ἀλλὰ μὴ τοῖς λογισμοῖς ἐμπυρίζεσθαι διὰ πτωχείαν συνέσεως ἐν τῇ τῶν πραγμάτων δείξει, ὑπὸ τῆς προνοίας διοικουμένων βαθέως καὶ ὡς οὐκ ἐφικτὸν ἀνθρώπου διανοίᾳ. μηδὲ ὃ ψάλλετε πάθοιτε, ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, τὸ καὶ τὸ θεωρῶν, ἀλλὰ μᾶλλον ἀκούειν τοῦ Κυρίου λέγοντος, ὑπόμεινόν με εἰς ἡμέραν ἀναστάσεώς μου καὶ ὅτι ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

---

128 Ps. 88,38 140 Ps. 72,2 142 Sophon. 3,8 143 Matth. 10,22

---

113 ἧκεν C: ἧκε cett Sirm οἱ post ὡς add V 114 διατοῦτο VPS 115 θεοῦ om S 117 οὖν: γοῦν VM 118 ὑπ': ὑπὲρ C πάσχοι: πάσχων VM Sirm 121 ἀντερίσει V (fort recte) 122 υἱῶν C 126 ἐν ἀθλῶν C 127 ἀληθής: ἀληθῶς M ότι οὖν C ἐφ': ὑφ' M 130 ἀναπέμπει: ἀναφέρει M 132 ἡ scripsi: ὁ codd Sirm 133 δὲ om VMPS Sirm: οὖν M ἐπουρανίας M 134 μὲν om Sirm 136 ἑαυτῷ M 138 πτωχῆς M συννεύσεως M δείξει: ὄψει V 140 ψάλλοιτε M παραμικρὸν CP_1S παρολίγον CVS 141 ἐζήλωσα: ὁ ζῆλος ὁ M 143 με om P_1S

302. Τοῖς ἀποῦσι πᾶσιν ἀδελφοῖς

Πάντοτε μὲν διατίθεσθαι τὰ πρὸς θάνατον χρὴ τὸν χριστιανόν, μάλιστα δὲ ὁπόταν πειρασμοῖς περιπαρεὶς θάνατον ἀπειλοῦσιν. ἐπεὶ οὖν τοιοῦτον τὸ καθ' ἡμᾶς διὰ τὴν σφύζουσαν τῶν διωκτῶν μανίαν εἵνεκα τῆς Χριστοῦ ἀγάπης, τοῦ προκειμένου δὴ μαρτυρίου τῆς περὶ αὐτὸν ὁμολογίας, καὶ οὐκ οἶδα τί μοι ἀποβήσεται ἀθρόως ὄντι μεμονωμένῳ καὶ περιειργμένῳ μακράν που ἀφ' ὑμῶν τῶν ἁπάντων ἀδελφῶν μου καὶ πατέρων, ἔδοξα καλῶς ἔχειν τελευταίαν οἱονεὶ φωνὴν ταύτην τὴν ἐπιστολὴν παραθέσθαι ὑμῖν καὶ δι' ὑμῶν πάσῃ τῇ ἀδελφότητι· καλὸν γὰρ πολλάκις διατίθεσθαι καὶ ἐπιμένειν ἢ προσδοκίᾳ ζωῆς ἐξάπινα ἀνάρπαστον γινόμενον ἀδιάθετον ἀβούλως ἐγκαταλιμπάνεσθαι. τί τοίνυν τὸ παρόν; ἐπειδὴ πολλάκις ὅσα ἔδει εἰπεῖν εἴτε βαρέως νοσήσας εἴτε διωγμῶν προκειμένων καὶ διεθέμην καὶ ὑπεμνηματισα καὶ οὔπω χρεία περὶ τῶν ἤδη λεχθέντων δευτερολογεῖν, ἐκεῖνο πρῶτον, ἀδελφοί μου, ἵνα μοι συγγνώμην / δοίητε ἐφ' οἷς παρὰ λόγον διὰ τῆς καθηγήσεως ἔλεξα ἢ ἔδρασα εἰς ὑμᾶς λογικῶς καὶ πραγματικῶς· ἁμαρτίας γὰρ τίς συνήσει; καί, πταίομεν ἅπαντες, καί γε μάλιστα ἐγὼ ὁ πάντων ἀχρειότερος ἀνθρώπων.

Διὸ καὶ ἐξαιτοῦμαι ὑμῶν τὴν προσευχὴν εἰς ἐπίτευξιν σωτηρίας τῆς ταλαιπώρου μου ψυχῆς, ἔπειτα διὰ τοὺς κατὰ τὰς ἁμαρτίας μου ἀπορραγέντας τῆς ἐν Πνεύματι Ἁγίῳ συναφείας ἡμῶν ἀδελφούς. ἔστι μὲν οὖν, ἔστι δεδηλωμένον ἅπασι τὸ ἔνδικον αὐτοῖς παρὰ θεῷ κρίμα, ἀλλ' ὅμως, ἐπεὶ τέκνα καὶ μέλη, συμπαθητέον καὶ διαμαρτυρητέον αὐτοῖς ἔτι· λέγω δὴ τῷ ἀδελφῷ Λεοντίῳ, Μαξίμῳ, Κλήμεντι, τοῖς ἄλλοις ἅπασι καθ' οἱονδήποτ' οὖν τρόπον προφασιλογίας ματαίας ἀποσχισθεῖσιν. τὰ εἰς ἐμὲ καὶ εἶπον πάλαι καὶ λέγω ἄρτι· συγχωρητέον αὐτοῖς. ἀλλ' ἐπειδὴ τὰ εἰς θεὸν οὐκ ἀνθρώπου λύειν ἀμετανόητα μένοντα (οὐ δήπου δὲ μετανενοηκότες φαίνονται,

302. a. 818 13 διεθέμην: scil. testamento suo; cf. supra p. 36*

17 Ps. 18,13 Jac. 3,2

C VM PS

1 ἀποῦσι πᾶσιν C: αὐτοῖς M: ἀποῦσιν cett Sirm 2 voces τὰ πρὸς θάνατον post χριστιανόν transp VMPS Sirm χρὴ ante διατίθεσθαι transp M 3 ὁπ' ὅταν C περιπαρῇ VMPS Sirm 6 ἀπὸ βήσεται C ἀθρόως om M 13 καὶ om VM 14 λεχθέντων: ῥηθέντων S 16 παρὰ λόγον: παραλόγως M 17 πταίωμεν C 21 ἁγίας M ὑμῶν M 22 ἐν ante ἅπασι add VPS Sirm ἅπασι om M αὐτοῖς: αὐτῶν M 23 κρῖμα CP Sirm 25 τοῖς post ἅπασι inser Sirm καθοῖον δήπ' ὁτ' οὖν C οἱονδηποτοῦν Sirm 26 ἀποσχισθεῖσι VMPS Sirm 27 ἄρτι om M 28 δὲ om M μετὰ νενοηκότες C

ἀλλὰ καὶ προσεξεργασάμενοι τοῦτο κἀκεῖνο, ἃ ἴσασι), παρακαλῶ δι' ὑμῶν ἢ νῦν εἴτε μετὰ θάνατόν μου φόβῳ τῶν πειρασμῶν δοθῆναι αὐτοῖς τὸν λόγον ὅτι ‚βλέπετε, ἀδελφοί, φοβερὸν τὸ κρίμα καὶ ἀπαραίτητον, εἰ μὴ μετανοίᾳ ἀξιολόγῳ ἐξιλεώσησθε τὸν θεόν· τὸ γὰρ ἐν ἐμοὶ τῷ ἁμαρτωλῷ συγχωρητέον ὑμῖν'.

Τοῦτό ἐστι τὸ ὑπολυποῦν με καὶ παριστάμενον, ὃ διατελέσαι πρὸς πάντας δυσωπῶ ὑμᾶς. ἔρρωσθε ἐν Κυρίῳ.

303. Προτερίῳ τέκνῳ

Ἐθροήθην, τέκνον μου ἠγαπημένον, ἐν τῇ παρουσίᾳ σου· ἀλλ' ἐπὰν ἀνέγνων τὴν ἐπιστολήν σου (οὐκ οἶδα, εἰ ἰδιόχειρόν σου· ταχὺ / γὰρ ἐξέμαθες, καὶ χάρις Κυρίῳ), τῆς θροήσεως ἀπηλλάγην εὐχαριστήσας τῷ θεῷ καὶ ἀνεπαυσάμην ἐφ' οἷς καλῶς ἐβουλεύσασθε, ὁ μὲν ἀπᾶραι ἐν ἄστει, ὁ δὲ πρὸ τοῦ Πάσχα παραγεγονὼς καί γε μετὰ τῶν ἐφοδίων τῆς ἑορτῆς. ἀνθ' ὧν θρέψειέν σε ὁ Κύριος τοῖς πνευματικοῖς χαρίσμασιν, οὕτως περιπονούμενον εἰς τὴν ταπείνωσιν ἡμῶν.

Ὑγιαίνομεν οὖν σωματικῶς, εἰ δὲ προσεύχεσθε, καὶ πνευματικῶς, ὥστε τῆς ἐφ' ἡμῖν ἀγωνίας σου ἀφέμενος μετ' ἐλπίδος καὶ χαρᾶς θερμότερος ἔσο τῇ προσευχῇ· θεοῦ γὰρ χάριτι καὶ εὐχαῖς τοῦ μακαρίου μου πατρὸς σὺν ἱκεσίᾳ καὶ ὑμῶν διανύομεν εὐχαρίστως καὶ μακροθύμως καὶ ὑπομονητικῶς τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἕτεροι ἐξ ἑτέρων γεγονότες παρ' ἐλπίδα, καὶ τοσοῦτον ὡς οὐκ ἄν ποτε ἐγενόμεθα, ἐξ ὅτε γινώσκομεν καλόν τε καὶ κακόν. θεοῦ τὸ δῶρον, οὐκ ἐξ οἰκείων ἔργων, μόνον ἐάνπερ καὶ πρὸς τὸ ἑξῆς μὴ ἐκκακήσητε παρακαλεῖν τὸν θεὸν ὑπὲρ ἡμῶν ὥσπερ καὶ ἡμεῖς ὑπὲρ ὑμῶν.

---

29 πρὸς ἐξεργασάμενοι C   31 κρῖμα CP Sirm   32 ἐξιλεώσεσθε VMPS Sirm

---

303. mense Mart. vel Apr. a. 818   6 Πάσχα: die 28 mens. Mart. a. 818   6 ἐν ἄστει: Cpoli   16 ἐξ ὅτε: cf. Psaltes, Grammatik 335

---

16 Eph. 2,8

C (S)

---

3 ἐπ' ἂν Mai   εἰ om S   7 θρέψειέ S   8 οὕτω S Mai   10 οὖν om S   προσεύχεσθαι C   11 σου om Mai   17 προστοεξῆς S

Τὸ πρόβλημα, ἐπεὶ ἄπορον εἴασεν ὁ πατήρ, πῶς δυνάμεθα ἡμεῖς διαλῦσαι οἱ ἀμαθεῖς; πλὴν ἡ παροῦσα αἵρεσις ἄρνησις Χριστοῦ ἐστιν ἀσφαλῶς· καὶ δῆλον μὲν καὶ ἐξ ἄλλων, δῆλον δὲ καὶ ἐκ τοῦ λέγειν ἐν τῷ πατερικῷ πρὸς τὸν πολεμούμενον ὑπὸ τῆς πορνείας· συμφέρει σοι μηδεμιᾶς ἑταιρίδος ἀποσχέσθαι ἢ τὴν εἰκόνα Χριστοῦ μὴ προσκυνεῖν. ὥστε οὐχ ἡ τυχοῦσα αἵρεσις, ἀλλὰ ἀρνησίχριστος· καὶ τοὺς προβαλλομένους τὸ τοῦ Κλίμακος ἄπορον ἐπὶ τοῦ ἐμπεσεῖν εἰς πορνείαν ἢ αἱρέσει ἁλῶναι, ὡς θατέρου αἱρετωτέρου ὄντος μᾶλλον, φοβείτω ἡ ἐν τῷ πατερικῷ ἀπόφασις καὶ μήτε εἰς πορνείαν μήτε ἐν τῇ χριστομάχῳ αἱρέσει ἐμπαρείτωσαν· καθ' ἑκάτερον γὰρ μοιχεία. καὶ ἔτι πλείονα εἶχον λέγειν, ἀλλ' οὐ χωρεῖ τὸ γράμμα.

Ὑγιαίνων ὑπόστρεφε προσαγορεύων τοὺς ἀδελφοὺς καὶ πάλιν ἐρχόμενος, ὅτε εὐδοκήσει Κύριος φθάσαι τοὺς ἀδελφούς.

304. Ζαχαρίᾳ ὑπάτῳ

Ἐγὼ καὶ γράφω πάλιν καὶ γράφειν οὐ παύσομαι, ἀπολογούμενος καὶ ὑπερευχαριστῶν τῇ / θεοφιλεῖ σου ἀγάπῃ εἵνεκα τῆς κατὰ Χριστόν σου σπουδῆς καὶ φιλαρέτου γνώμης πρὸς τὴν ἡμῶν ταλαιπωρίαν, ἣν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐνεδείξω, δωρεὰν εὐεργετῶν, δωρεὰν κατελεῶν, δωρεὰν ὑποτιθεὶς ἑαυτὸν μικροῦ δεῖν εἰς κινδύνους, οὐ τὸν καιρὸν τῆς δυσκολίας εὐλαβούμενος, ἀλλὰ τὸν ὅρον τῆς ἀγάπης ὑποφαινόμενος, οὐ τῷ πλήθει τῶν θεραπευομένων καταβαρούμενος, ἀλλὰ τῇ ἐλπίδι τῶν θείων δωρεῶν ἀναπτερούμενος· ὅπερ ἐστὶν ἀληθινοῦ χριστιανοῦ ἰδίωμα, φοβουμένου τὸν θεόν, ἡμέραν θανάτου καὶ κρίσεως ἐπὶ τοῦ φοβεροῦ δικαστηρίου Χριστοῦ ἐναργῶς διαμεριμνῶντος. τοιαύτης ἀρετῆς καὶ ἡ παρὰ θεῷ ἁρμοσθεῖσά σοι ὁμόζυγος, ἀλλὰ γὰρ καὶ οἱ παῖδες· καὶ εἰκότως, ἐπειδὴ ἀγαθῆς ῥίζης ἀγαθὰ εἶεν ἂν καὶ τὰ βλαστήματα. δοκῶ δὲ καὶ τοὺς ὑπὸ χεῖρα τοιούτους εἶναι, διότι οἷον τὸ ἄρχον τοιοῦτον καὶ τὸ ἀρχόμενον ὡς τὰ πολλὰ πέφυκεν ὑπάρχειν.

---

25 Jo. Clim. scal. 15 (PG 88,889 B)

27 φοβήτω C Mai 28 ἐμπαρήτωσαν C (ἐμπαρίτωσαν coni Kambylis) 31 εὐδοκήσει: εὐοδώσει Mai

---

304. a. 815 – 818

C (S)

12 τῷ ante θεῷ inser S

Τί οὖν ἐστιν εἰπεῖν πρὸς ταῦτα ἢ ὅπερ ὁ θεῖος Δαυίδ, ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; εὐλογήσαι σε Κύριος ἐκ Σιὼν καὶ ἴδοις τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλὴμ πανέστιος, ὁ παμπόθητός μου δεσπότης.

305. Ἡγουμένῳ

Ἐβράδυνα ἐπιστεῖλαι τῇ πατρικῇ σου ἁγιωσύνῃ, οὕτω πως ἐμποδισθεὶς ὑπὸ τῆς περιεχούσης με ἀσφαλείας· ἐπεὶ πάλαι ἀκηκοώς εἰμι τῆς διὰ Κύριον φυλακῆς καὶ ἐναθλήσεώς σου τὸν ἀγῶνα. ἀλλ' εὐλογητὸς ὁ θεός, ὁ καὶ τὴν σὴν ὁσιότητα καλέσας εἰς τὴν ὁμολογίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου καὶ θεοῦ ἡμῶν. οὐ γάρ τι ἄλλο ἐστὶν τὸ ὑπὲρ τῆς εἰκόνος τοῦ σωματικοῦ αὐτοῦ χαρακτῆρος ἐναθλεῖν ἢ τὸ περὶ αὐτοῦ μαρτυρεῖν· ἐπειδὴ ἓν καὶ ταὐτὸν τῇ ὁμοιωτικῇ ὑποστάσει ἡ εἰκὼν πρὸς τὸν εἰκονιζόμενον. ὅτι δὲ εἰκονίζεται Χριστὸς καὶ οἱ λίθοι κεκράγασι, διότι ὅμοιος ἡμῖν γέγονε κατὰ πάντα πλὴν ἁμαρτίας, καθὰ γέγραπται, ἁμαρτίας δέ, ὅτι ἄνευ σπορᾶς εἴληφε τὴν σάρκα καὶ ἐκυήθη παρθενικῶς ἐκ τῆς παναγίας αὐτοῦ μητρὸς καὶ Θεοτόκου.

Ἐπεὶ οὖν ἡμεῖς εἰκονιζόμεθα ἅπαντες (ὃς γὰρ οὐκ εἰκονίζεται, οὐκ ἄνθρωπος, ἀλλά τι ἔκτρωμα, ὅτι καὶ πᾶν ζῶον εἰς φῶς ἐλθὸν εἰκονίζεσθαι πέφυκεν), εἰκόνισται δῆλον ὅτι καὶ Χριστός, κἂν τοῖς ἀθέοις οὐ δοκῇ, ἀρνουμένοις ἐντεῦθεν τὸ τῆς σωτηρίου οἰκονομίας μυστήριον. πῶς γὰρ ἂν ὁμολογηθείη ὁ υἱὸς τοῦ θεοῦ ἄνθρωπος χρηματίσαι καθ' ἡμᾶς, ὧν καὶ ἀδελφὸς ἠξίωσε κληθῆναι, μὴ ἐφίσης ἡμῖν περιγραφόμενος; πῶς δὲ γεννηθῆναι νόμῳ φύσεως, μὴ ἐμφερὴς ὢν τῇ

---

17 Ps. 127,4 18 Ps. 133,3

18 εὐλογήσοι Mai

305. a. 818

C VM P_2P_1S

1 δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm 2 πῶς CP_1M 7 ἐστιν C: ἐστὶ VM Sirm: ἐστι cett 8 ἐν ἀθλεῖν C ὁμοιώτηκὴ C^{pc}: ὁμοιωματικῇ P_1S: ὁμοιωτικῇ cett Sirm 9 τόν: τὸ P_1S 10 κεκράγασιν M διότι: ὅτι M 12 παναγίας: ἁγίας P_1S 14 γὰρ V^{sscr} 15 καὶ om M 16 δηλονότι VMPS Sirm κἂν P_1 17 δοκεῖ P_1 18 θεοῦ V^{sscr} 19 ἐφίσης C: ἐπίσης cett Sirm

οἰκείᾳ μητρί; εἰ οὖν οὐ περι/γέγραπται, οὐκ ἐκ τῶν παρθενικῶν αὐτῆς αἱμάτων, ἐξ ὧν ἐπλαστούργησεν ἑαυτῷ ναόν, ἀλλ' οὐράνιον φέρων σῶμα, καθὼς Μαρκέλλῳ τῷ αἱρετικῷ δοκεῖ καὶ τοῖς πρὸ αὐτοῦ πάλαι ἀσεβέσιν. ἐντεῦθεν λοιπὸν οὐδὲ μήτηρ ἀληθὴς ἡ μήτηρ ἀλλὰ ψευδώνυμος, οὐδ' ἡμῖν ὅμοιος ἀλλ' ἑτερούσιος. οὐ μὴν οὔτε Ἀδὰμ ἀνακέκληται· πῶς γὰρ ἂν ἑτερογενεῖ ἀναστήσεται σώματι τὸ χοϊκόν; διότι τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνασῴζεσθαι δέδεικται. οὔτε οὖν ὁ θάνατος κατεπόθη κατὰ τὸ ἀκόλουθον οὔτε ἡ νομικὴ λατρεία πέπαυται· χρεία περιτομῆς καὶ τῶν λοιπῶν.

Ὁρᾷς, ὦ τοῦ θεοῦ ἄνθρωπε, εἰς ὃ βάραθρον ἀσεβείας ἐληλακότες ἐνεπάρησαν ἐκ τοῦ μὴ ἐγγράφεσθαι τὸν Χριστὸν ἐν πίνακι δοξάζειν οἱ εἰκονομάχοι; ἰουδαΐζουσιν ἄρα ἀσφαλῶς. ἐντεῦθεν οὔτε τὴν Θεοτόκον οὔτε τινὰ τῶν ἁγίων παραδέχονται, διὰ τῆς τῶν οἰκείων αὐτῶν χαρακτήρων ἀρνήσεως τοὺς χαρακτηριζομένους βδελυττόμενοι· ἡ γὰρ τῆς εἰκόνος τιμὴ καὶ ἀτιμία ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, ὥς φησιν ὁ Μέγας Βασίλειος. βδέλυξαι τὸν τύπον τοῦ σταυροῦ· καὶ τίνα βδελύσσῃ; οὐχὶ τὸν ζωοποιὸν σταυρόν; οὕτως τοῦ βασιλέως, οὕτως οὑτινοσοῦν ἀνθρώπου· οὕτω καὶ τοῦ Χριστοῦ, τῆς τε μητρὸς αὐτοῦ καὶ παντὸς ἁγίου. ἤρνηται νῦν ὁ Χριστὸς καὶ δεδίωκται καὶ ἐξουδένωται. καὶ μακάριος εἶ, πάτερ, ἐναθλῶν καὶ ἀντεχόμενος τῆς ὀρθοδοξίας.

Ἀλλὰ προσεύχου καὶ περὶ ἐμοῦ τοῦ οἰκτροῦ κατόπιν ἰέναι τῆς ἁγιωσύνης σου καὶ μὴ ἀπωσθῆναι διὰ τὰς ἁμαρτίας μου.

---

35 Bas. spirit. 18,45 (PG 32,149 C)

21 οὐ om VM 24 ἀληθὴς C: ἀληθῶς cett Sirm 25 ἡμῖν: οὐ μὴν C (ex sequ οὐ μὴν seductus, ut videtur) 31 πίναξι M 32 ἆρα C 33 παραδέξονται M 34 βδελυσσόμενοι S 35 ἀναβαίνει C: διαβαίνει cett Sirm 37 βδελύττῃ M 38 οὗτινος οὖν C οὕτω: οὕτως VM 39 πάντων ἁγίων M νῦν: οὖν M 40 ἐν ἀθλῶν C 42 περὶ C: ὑπὲρ cett Sirm

306. Οἰκονόμῳ

Ἤκουσα περὶ τῆς τιμιότητός σου ὅπως καλῶς ὑπὲρ Χριστοῦ ἠγωνίσατο, μάστιξιν ὑποβληθεῖσα καὶ φυλακῇ τηρουμένη, καὶ ηὐχαρίστησα πάλιν τῷ καλέσαντί σε εἰς τὴν αὐτοῦ ὁμολογίαν δεσπότῃ Χριστῷ, οὐ μόνον διὰ τὸ εἶναί σε τοῦ ἁγίου σχήματος, ἀλλ' ὅτι καὶ ἐν ὑποτακτίταις τελοῦντα, προσθείην δ' ἂν ὅτιπερ καὶ τοῦ ἐμοῦ μοναστηρίου· τὸ γὰρ ἐκ Συμβόλων εἶναι, ἐν ᾧ ὁ μακάριός μου πατὴρ καὶ ὑπετάγη τῷ ἱερῷ Θεοκτίστῳ καὶ ἠσκηκὼς ἐξέλαμψεν ἐν ἀρετῇ, ἐμοί ἐστι τῷ ταπεινῷ λογίζεσθαι τὸ σὸν κλέος καὶ μαρτύριον. εὖγε τοίνυν, ὦ καλὲ οἰκονόμε, στρατιῶτα Χριστοῦ, ἡγουμένους πολλοὺς ὑπερακοντίσας, μᾶλλον δὲ καταισχύνας, εἴ γε σὺ μὲν προβάτου τάξιν ἔχων ἀνάλωτος τῆς τῶν αἱρετικῶν θήρας ἀνεφάνης, οἱ δὲ τὸ δο-/κεῖν ποιμένες ὄντες, ὑπὸ τοῦ νοητοῦ λυκωθέντες θηρός, ἐλεεινὸν θέαμα πρόκεινται τοῖς πᾶσιν, αἱρέσει τῶν τῇδε καὶ φειδοῖ τῆς σαρκὸς προδεδωκότες διὰ τῆς συμπτώσεως εἴτε κοινωνίας εἴτε καὶ ὑπογραφῆς τῶν αἱρετιζόντων Χριστὸν τὸν θεὸν ἡμῶν, τὴν μόνην ἀλήθειαν.

Χαῖρε λοιπόν, ποιμὴν ὡς ἀληθῶς τοῖς ἔργοις, χαῖρε, μάρτυς Κυρίου· τὸ τελεώτερον ἀνδρίζου πρὸς τὸ ἑξῆς. ἐμαστίχθης σὺν Χριστῷ, φυλακίζῃ ὡς αὐτός· δεῦρο δέξαι καὶ ῥαπίσματα, ἥλοις ἐμπάρθητι, λογχεύθητι, ὑψώθητι τῷ σταυρικῷ πάθει. μέχρι τοῦδε καλεῖ ἡμᾶς ὁ λόγος καὶ ἀπαιτοίη τὸ χρέος· εἰ ἀποθάνωμεν, καὶ συζήσομεν Χριστῷ, εἰ ὑπομένωμεν, καὶ συμβασιλεύσομεν.

Τοιαῦται αἱ ἐπαγγελίαι τοῦ ἀψευδοῦς· σὺ δέ μοι, ὦ καλὲ ἀδελφὲ καὶ πατὴρ ποθητέ, μεμνῆσθαι διὰ παντὸς μὴ ἐπιλήσῃ, τυχεῖν με αἰτούμενος σὺν σοὶ θεοῦ τοῦ κεκληκότος.

---

306. inter aestatem a. 816 ac a. 818 7 πατὴρ: Platon

10 2 Tim. 2,3 22 2 Tim. 2,11 sq.

C (S)

3 εὐχαρίστησα S 7 συμβόλων Mai 11 ὑπὲρ ἀκοντίσας C 13 λυκοθέντες Mai 22 χρέως C Mai ἀποθάνομεν S συζήσωμεν C Mai 23 ὑπομένομεν S συμβασιλεύσωμεν C Mai 25 πάτερ Mai

307. Τιμοθέῳ τέκνῳ

Τί ἀκήκοα; καὶ σύ, τέκνον Τιμόθεε, μετὰ μαρτύρων ἠράσθης θεοῦ; ζηλῶν ἐζήλωκας τῷ Κυρίῳ· χαίρειν εἰπὼν τῇ φυγαδείᾳ παραδέδωκας σεαυτὸν εἰς μαρτύριον. ὡς μακάριόν σου τὸ βούλευμα, ὡς θεόληπτόν σου τὸ τῆς καρδίας διάπυρον, ὃ καὶ πάλαι ὑπαστράπτων ἐν πολλοῖς κατορθώμασιν ἐγνωρίζου. νῦν δὲ ἀνέλαμψας τελεώτερον, μάρτυς ἀναδειχθεὶς ὡς ἀληθῶς· λέγειν ἔστιν καὶ σοὶ ἐν χαρᾷ, τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας καὶ τὸ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, ὡς Χριστὸς διὰ Χριστόν, εἰ καὶ οὐχ οὕτως δοκεῖ τοῖς χριστοδιώκταις. εὐλογητὸς ὁ θεὸς ὁ ἐνισχύσας σε καταξανθῆναι ἐν ἑκατὸν καὶ πεντήκοντα μάστιξι καὶ μὴ πρόεσθαι τὴν σωτηρίαν, ἀλλὰ τοὐναντίον ἐλέγξαι τὸν τεκταίνοντα δυσσεβέστατον, οὗ αἱ μάστιγες μενοῦσιν αἰωνίζουσαι, μὴ μεταμελομένου δῆλον ὅτι. μιᾷ ῥοπῇ, ἀδελφὲ καλέ, δριμυχθεὶς οἷον αἰώνιον κλέος ἦρας· συνεβλήθης ὡς λίθος ἅγιος τῇ ἐνδομήσει τῆς ὁμολογίας Χριστοῦ, εἰς χαρὰν τῶν ἀδελφῶν καὶ συνάθλων σου, εἰς καύχημα ἐμοὶ τῷ ἁμαρτωλῷ καί γε τῷ θεο/φιλεστάτῳ ἀρχιεπισκόπῳ, ἀλλὰ γὰρ καὶ πάντων τῶν εὐσεβούντων. τίς ἀκούσας σου τὸν ἀγῶνα οὐκ ᾄσεται; τίς τῶν γνωριζόντων οὐ μακαρίσει σε; ἐστεφάνωσέν σε Χριστὸς οὐρανόθεν, ἠσπάσατό σε ὁ χορὸς τῶν ἁγίων.

Ἀλλ᾽ ἐπειδὴ οὐ τὸ καλῶς ἄρξασθαι μόνον μακαριστόν, τὸ δὲ τελειῶσαι τὸν ἀγῶνα τὸ ζητούμενον, στῶμεν, τέκνον ἀγαπητόν, πρὸς τὸ ἑξῆς ἀνδρειούμενοι, φέροντες τὰ κατὰ τὴν φυλακὴν δυσχερῆ γενναίως. Χριστὸς ὁ συμπαρών, ὁ μὴ ἐῶν ὑπὲρ ὃ δυνάμεθα ὑπενεγκεῖν πειρασθῆναι, ἀλλὰ διδούς σοι καρτερίαν μέχρι θανάτου καὶ τοὺς τῆς ἀθλήσεως στεφάνους ἐπὶ τέλει τῶν ἀγώνων χορηγῶν σοι. ὦ καλὲ Τιμόθεε, προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ἀναξίου ἵνα σῴζοιμι ἐν Κυρίῳ σὺν ὑμῖν τοῖς ἁγίοις.

---

307. a. 817 – 818 3 ζηλῶν ἐζήλωκας: cf. adn. ad ep. 508,9 17 ἀρχιεπισκόπῳ: Josephus

---

2 1 Tim. 1,18 7 Is. 50,6 15 1 Petr. 2,5 16 Philipp. 2,16 24 1 Cor. 10,13

C (S)

---

5 υπ᾽ ἀστράπτων C 7 ἔστι S 11 μάστιξιν Mai προέσθαι S^{pc} 13 δηλονότι S Mai 19 ἐστεφάνωσέ S 22 προστοεξῆς S 24 ὑπὲρ ὅ: υπεὸ C

308. Ἰγνατίῳ τέκνῳ

Ἃ γέγραφας, τέκνον ἠγαπημένον, ἔγνων, καὶ χαίρω ἀκούων σου τῆς φωνῆς, οὐ μὴν ὡς σὺ ὑπολαμβάνεις τὰ κατ' ἐμέ· ἕωλα γὰρ καὶ μηδαμινά. πλὴν εἰ λέγοις ὠφελεῖσθαι ἐν τοῖς λόγοις μου, γράφε καὶ δέχου, καὶ φθόνος οὐδείς.

Συνίημι βίον ἕλκειν σε στενοχωρητικὸν ἐν τῷ παρόντι διωγμῷ ὥσπερ καὶ οἱ ὁμότροποί σοι κρυπτόμενοι, ἀλλ' ἡ ἐλπὶς κουφιζέτω· ἔχε τὰ κατὰ σὲ ἀσφαλῶς μετὰ τοῦ καλοῦ Εὐσεβίου, ὃν καὶ προσαγορεύω. ἡ παρὰ τῶν αἱρετικῶν κοινωνία οὐ κοινὸς ἄρτος, ἀλλὰ φάρμακον, οὐ σῶμα βλάπτον, ἀλλὰ ψυχὴν μελαῖνον καὶ σκοτίζον. ῥίπτειν δὲ καὶ κρύβδην οὐκ ἐμοὶ τὸ λέγειν, ἀλλὰ τῶν ποιούντων φόβῳ, περὶ ὧν ἐκεῖνο λέγειν ἔστιν, ὅτι πολλοὶ τῶν ἀρχόντων ἐπίστευον εἰς αὐτόν, ἀλλ' οὐχ ὡμολόγουν διὰ τοὺς Φαρισαίους, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἢ τὴν δόξαν τοῦ θεοῦ· ὅτι ὀρθοδόξῳ αἱ εὐχαὶ τῆς ἱερουργίας. τί τοῦτο, εἰ παρὰ αἱρετικῶν γίνοιντο, συμβάλλεται; οὐ γὰρ ὡς ὁ ποιήσας αὐτὰς φρονοῦσιν οὐδὲ ὡς αὐταὶ αἱ φωναὶ σημαίνουσι πιστεύουσιν, ἐπείπερ πᾶσα ἡ μυσταγωγία Χριστὸν ἄνθρωπον ἀληθῶς γεγενῆσθαι δοξάζει. οἱ δὲ / ἀρνοῦνται, κἂν λέγωσι, διὰ τὸ φρονεῖν μὴ ἐξεικονίζεσθαι αὐτόν, ὡς ἂν εἰ καὶ λέγων τις ‚πιστεύω εἰς πατέρα καὶ υἱὸν καὶ Ἅγιον Πνεῦμα', φρονῶν δὲ ὅτι ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα μία ὑπόστασίς ἐστι τριώνυμος, ὅπερ ὑπάρχει δόγμα Σαβελλίου τοῦ ματαιόφρονος. τί οὖν; εἴπωμεν τὸν τοιοῦτον πιστεύειν εἰς Τριάδα; οὐδαμῶς, κἂν λέγῃ. οὕτως οὖν οὐδὲ ἐνταῦθα πιστεύει ὡς λέγει, κἂν ὀρθόδοξος ἡ μυσταγωγία, ἀλλ' εἰκαιολογεῖ ἑκάτερος, μᾶλλον δὲ ἐνυβρίζει, παίζων τὴν λειτουργίαν· ἐπεὶ καὶ γόητες καὶ ἐπαοιδοὶ χρῶνται θείαις ᾠδαῖς ἐν τοῖς δαιμονιώδεσι.

---

308. a. 818

12 Joh. 12,42 sq.

C (S_2) VMT (ll. 28 – 33) PS_1

4 λέγεις MS (fort recte) 7 ὁμότροποί S_2: ὁμοτρόποις C: ὁμοτρόπως cett Sirm 12 ἐστὶν codd Sirm: corr Mi 13 φαρισσαίους V^{pc} 15 ὅτι: εἰ δὲ Sirm ὀρθοδόξῳ CS_2: ὀρθοδόξων cett Sirm 19 γεγενῆσθε C 20 ὡς ἀνεὶ C: ὡσανεὶ S_2 Mai 22 ὑπάρ////χει V 25 κἂν P εἰ καὶ ὁλογεῖ C: εἰκαιολογεῖ S_2: εἰκαιολογεῖ cett Sirm: εἰ καὶ ὁμολογεῖ Mai 26 ἑκάτερος: ἑκάτερα M: ὁ τοιοῦτος Sirm δὲ om Mai 27 τοῖς: ταῖς VM

Συμφέρει τὸν ἀβάπτιστον, εἰ μὴ εὑρίσκοιτο ὀρθόδοξος ὁ βαπτίσων, ὑπὸ μοναχοῦ, ἢ καὶ τούτου μὴ ὄντος, ὑπὸ λαϊκοῦ βαπτισθῆναι, λέγοντος ‚βαπτίζεται ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος' ἢ ἀφώτιστον ἐκδημῆσαι. καὶ ἀληθῶς ἐβαπτίσθη· ἐξ ἀνάγκης γὰρ καὶ νόμου μετάθεσις, ὡς γέγονε πάλαι καὶ ἀποδέδεκται.

309. Μαρίᾳ αὐγούστῃ

Ἐνέτυχον καὶ αὖθις τῇ ἐπιστολῇ τῆς σεμνοπρεπείας σου καὶ ἐναθλητικῆς ὑπομονῆς καὶ εὐχαρίστησα τῷ Κυρίῳ, ὅτι διαμένεις τῇ αὐτῇ προθέσει, τῇ αὐτῇ ὁμολογίᾳ Χριστοῦ, ἔχουσα καὶ λόγον εὐπροσήγορον μετὰ γνώσεως καὶ βίον ἐνάρετον κατηρτισμένον διὰ πίστεως. αὐτῇ τοίνυν πρέπει αἶνος καὶ ἔπαινος ὡς ἀληθῶς τῇ βασιλίσσῃ τῶν παθῶν, οὐχ ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ οὐδαμινοῖς, εἰ καὶ οὕτω κελεύεις λέγειν.

Ἃ δὲ περὶ τοῦ ἀδελφοῦ προέγραψα, οὐχ ὡς ἐπ' ἀτόπῳ τινὶ (μὴ γένοιτο), ἀλλ' ἐπειδὴ τὸ παρ' ἄλλων γινόμενον ὑγιῶς ἑτέροις σκανδάλου ἐστὶν αἴτιον· ἐντετάλμεθα δὲ παρὰ τοῦ ἀποστόλου μὴ τιθέναι τῷ πλησίον πρόσκομμα ἢ σκάνδαλον. διὰ τοῦτο οὐ προϊσχόμην ἐκφυλακίζεσθαι τὸν ἀδελφόν, ὅπου γε, κἂν ἄφετος ἦν, οὐ λυσιτελὲς αὐτῷ ἐν παρθενῶσιν εἰσέρχεσθαι. καὶ τοῦτο οὐκ ὀφείλει σε λυπῆσαι, κυρία μου, εἰδυῖαν ὅτι σοῦ φροντίζω τὸ ἄψεκτον καὶ τὸ εὐκλεὲς ὡς μητρὸς / οἰκείας, ὅπερ καὶ ἔστι· μήτηρ γάρ μου σύ, ἐπείπερ τοῦ

---

32 Hebr. 7,12

---

28 συμφέρει: hic inc epist in T, scriptis ante συμφέρει vocibus καὶ μεθ' ἕτερα· τοῦτο titulo τοῦ αὐτοῦ ἐκ τῆς πρὸς ἰγνάτιον τέκνον ἐπιστολῆς praecedente εὑρίσκητο T βαπτίζων T^{ac} Sirm 32 γίνεται post μετάθεσις add T 33 ἀποδέδεικται CS$_2$VMT ἁπλοῦς ὁ λόγος· φησὶ γάρ που ὁ ἅγιος ἐπιφάνιος ἐν τῷ περὶ τοῦ πάσχα αὐτοῦ λόγῳ οἷος ἂν ᾖ ἄνθρωπος παρὰ τὰ ἐν τῇ θείᾳ γραφῇ κείμενα συμβουλεύων ἀπὸ καρδίας λαλεῖ καὶ ἐντάλματα ἀνθρώπων διηγεῖται· καὶ περὶ τῶν τοιούτων φέρων τὰ τοῦ ἀποστόλου λέγειν, ὅτι κἂν ἄγγελος ἐξ οὐρανοῦ ἐστιν, ἀνάθεμα αὐτῷ (= ep 1,47 – 52) ad finem epistulae add T

---

309. a. 817 – 818 9 προέγραψα: epistula perdita ut videtur

---

11 Rom. 14,13

C (S)

---

8 οὕτως S 11 ἔστιν C Mai 12 τῷ πλησίον om S voces τῷ ἀδελφῷ post πρόσκομμα add S διατοῦτο S 15 σου S

Κυρίου εἶ· εἰ μὴ γὰρ οὕτως εἶχόν σε, οὐκ ἂν τὰ πρότερα ἐπέστελλον, οὐκ ἂν ἐποίουν τὰ κατὰ σέ.

Ταῦτα γνοῦσα ἄφες τὴν λύπην καὶ πρόσθες τοῦ προσεύχεσθαι περὶ ἐμοῦ τοῦ ταπεινοῦ ὡς κἀγὼ ὑπὲρ σοῦ.

310. Εὐοδίῳ καὶ Ἰωάννῃ τέκνοις

Ἥσθην, τέκνα, ἐπὶ τῇ ἀμφοτέρων προσφωνήσει, ὅτι συνημμένοι ὄντες ὁμοῦ καὶ ἐφθέγξασθε, ἃ καὶ τὴν ὑγείαν ὑμῶν ἐδήλωσεν καὶ τὴν ὑποκρυβὴν ὑμῶν ἐσήμανεν καὶ τὸν περὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς πόθον ἔδειξεν καὶ τὴν ἑτοιμασίαν ὑμῶν τῆς ὁμοτρόπου τῶν ἀδελφῶν ὁμολογίας διεσάφησεν καὶ τὸ ὅλον μαθητὰς ὑμᾶς εἶναι Χριστοῦ κατεμήνυσε. πῶς οὖν ἡμᾶς ἔμελλεν μὴ χαίρειν καὶ γάνυσθαι ταῦτα ἀκηκοότας; ἀλλ' ὁ ἐν σκέπῃ αὐτοῦ τῆς τοῦ φιλανθρώπου προνοίας περιέχων, αὐτὸς καὶ πρὸς τὸ ἑξῆς περιθάλψειεν, ἐκθρέψειεν, παραγάγοι ὡς ἂν βούλοιτο, εἴτε ἀπροσλήπτους εἴτε καὶ προσληφθέντας ὑπὸ τῶν διωκόντων. μὴ οὖν, εἰ τὸ δεύτερον γένοιτο, δειλανθῆτε· ὁ γὰρ παραχωρήσας ἐμπαρεῖναι, αὐτὸς παράσχοιεν ἰσχὺν ὑποῖσαι τὰ ὑπὲρ αὐτοῦ ἀθλήματα.

Ἐμοὶ δὲ τῷ ταπεινῷ μὴ διαλείποιτε εὐχὴν σωτηρίας ποιεῖσθαι. καθὰ ᾐτήσασθε, ἐπέστειλα ταῖς δυσί. σωθείητε, ἀδελφοὶ πολυπόθητοι.

311. Ἀνατολίῳ τέκνῳ

Ἡ βραδυτής σου τῶν γραμμάτων, ὦ ἱερὸν τέκνον, εἰς λογισμούς με ἤγαγεν οὐκ εὐαγεῖς, ἐπεὶ καὶ ἡ μετάστασίς σου καὶ ἡ ἄφεσις αὕτη· καὶ ὅσον μὲν ἐξ ἀμφοτέρων ἔστιν ἐννοεῖν, πτῶσις (πῶς γὰρ ταῦτα

---

310. a. 817 – 818

C (S)

1 Εὐοδίῳ: Ἐνωδίῳ Mai 3 ὑγιείαν S 4 ὑμῶν om S 5 ἔδειξε S 6 διεσάφησε S 7 ἔμελλε S 9 περιθάλψοιεν Mai ἐκθρέψοιεν C Mai: ἐκθρέψειε S: correxi 12 an παράσχοι ἂν scribendum? 14 διαλείπητε S 15 τοῖς Mai

311. mens. Mart. vel Apr. a. 818

C (S)

3 ἡ^{2} om Mai

οὕτως, οὐκ ἐχούσης φύσεως ἄφετόν τινα εἶναι καὶ ὅπῃ θέλοι πορεύεσθαι ἐν τῷ διωγμῷ τῷ παρόντι; ὅθεν μοι οὐχ ἡ τυχοῦσα περιωδυνία), ὅσον δὲ ἐκ τῶν γραμμάτων διδαχθείς, ἀνέθην ὁ ταπεινός, ἐσκίρτησα, ἐδόξασα τὸν θεόν μου. καί γε Κύριος ὁ θεός μου ἄπτωτόν σε τῇ προνοίᾳ αὐτοῦ διαφυλάξοι, ἀμέτοχον τῆς αἱρετικῆς κοινω/νίας· βλέπε δὲ πῶς καθέζῃ καὶ ποῦ καὶ δίδαξον δι' ἑτέρας ἐπιστολῆς ἐντελέστερον τὸν τρόπον τῆς ἀφέσεως καὶ τὸ σῶσμα τῆς τιμίας σου ψυχῆς· καὶ φρόντισον καὶ σπούδασον ἐγγίζειν θεῷ τῷ μακρυσμῷ τῶν παθῶν· ὁ θάνατος γὰρ ἐγγύς. ἴδε, τέκνον, ᾤχετο καὶ ὁ τίμιος ἀνάδοχός μου, μακαρίως τελειωθεὶς ἐν τῇ ὁμολογίᾳ Χριστοῦ, ἄνθρωπος ἐν νόσῳ χαλεπωτάτῃ ἐξορισθεὶς καὶ μὴ ἁλοὺς ὑπὸ τῶν ἀσεβῶν. τί ἡμεῖς εἴπωμεν; οὐ στερεοκαρδήσομεν; οὐ στομωθησόμεθα φόβῳ καὶ ἀγάπῃ θεοῦ πάντα ἐνεγκεῖν καθὰ καὶ οἱ ἀδελφοὶ ἡμῶν; ναί, ἀντιβολῶ, υἱέ μου ἠγαπημένε, κλέος μου καὶ αὔχημα, μὴ τοῖς ὁρωμένοις θελχθῶμεν, ὅτι παρερχόμενα, ἀλλὰ τοῖς οὐρανίοις κρατηθῶμεν· ταῦτα γὰρ τὰ αἰώνια.

Οὕτω ταῦτα. περὶ τοῦ Σαββατίου, ὅτι οὕτως ἤχθη καὶ ἠγρίωται καί γε μετὰ πτῶσιν, πῶς οὐ λυπηρόν μοι; ἀλλὰ τί ἄλλο ἢ καὶ σὲ ὑπομεῖναι, ἃ σοὶ κατεπράξατο, καὶ ἡμᾶς τοὺς ταπεινοὺς προσεύχεσθαι τὴν ἀνακάλεσιν αὐτοῦ;

312. Ἰωάννῃ Καλχηδόνος

Καὶ ὡς πατὴρ ἠξίωσας τέκνον ἐλάχιστον προσειπεῖν καὶ ὡς σοφὸς τὰ θεῖα ἐδίδα/ξας τοὺς ἀμαθεῖς ἡμᾶς, ἐπαινέσας τοὺς ἀγεράστους, ὡς διδάσκαλος πολυειδὴς κέντρον ἀγάπης ἐνθεὶς ἡμῖν. ἤλυθας διὰ ταπεινοτέρων φωνῶν τὸ ὕψος τῆς ἀρετῆς σου, καὶ μὴ βουλόμενος ὑποδείξας ἄριστα· ὅτι δὲ προετρέψω καὶ αὖθις ἐπιστεῖλαι ἡμᾶς καὶ

13 ἀνάδοχος: Theophanes confessor

5 θέλει S πορεύεσθε C 6 περιοδυνία C Mai 7 ἐκ om Mai 23 σοι S

312. a. 816 – 818

C (S)

1 Χαλκηδόνος S; sed cf p. 300* adn 536 2 πρὸς εἰπεῖν C 6 ἐπὶ στεῖλαι C

μὴ ἐγκόπτειν, τοῦτο ἡμᾶς τέλεον εὔφρανεν καὶ εἰς πίστιν ἤγαγεν εὑρηκέναι σε οἷον ὁ λόγος ζητεῖ καὶ ὁ ποιμαντικὸς χαρακτηρίζει τρόπος. οὐδεὶς γάρ που οὕτω διείλεκται οὐδὲ ἐφέλκεται τῶν ὁμοταγῶν σου, ὡς ἔοικεν, ὅτι μηδὲ δεχόμενοι γράμματα ἀξιοῦσιν ἀντεπιστέλλειν· καὶ ὁ λόγος αὐτοῖς τὸ παρὰ τῆς ἐξουσίας ἐντετάλθαι μὴ διδάσκειν, μὴ χαράττειν γράμμα. καὶ συγγνώσειάς μοι, μακαριώτατε, σκινδαλμὸν δεξαμένῳ· εἰ γὰρ ἃ πράττει ὁ κρατῶν ἀπεναντίας θεοῦ δεῖ φυλάττειν, τί μὴ καὶ συναιρετίσωμεν αὐτῷ, ἀλλ' ἐξ ἡμισείας ὀρθοδοξοῦμεν;

Ἀλλ' αὐτοὶ μέν, οὐκ οἶδ' ὅπως, οὕτω φέρονται· σὺ δὲ καὶ ἐφώτισας καὶ ἐστερέωσας καὶ καθωδήγησας, πάντα εἰπών, ὅσα εἰκὸς τὸν ὡς ἀληθῶς ἱεράρχην ἔστιν φάναι. οὐ μὴν ἡμεῖς, ἱερὰ κορυφή, ὡς ἐκθειάζεις, πενιχροὶ δὲ καὶ ἁμαρτωλοὶ καὶ εὐχόμενοι μὴ πάντῃ ἀποστῆναι τοῦ ἱεροῦ πληρώματος τῶν ἐνισταμένων ἐν Κυρίῳ. ἃ δὲ εἴρηκας περὶ τῆς αἱρέσεως, οὕτως ἔχει· πραγματικῶς γὰρ μάχεται τῇ ἀληθείᾳ, ἓν ὅπλον κτωμένη, τὴν ἐξουσίαν· ἧς ἀναιρουμένης ἀκαμάτως συναναιρεθήσεται καὶ αὐτὴ τηνικαῦτα, ὁπόταν ἐκτριβείη ἡ ἀνομία, δι' / ἣν καὶ ἡ μάστιξ. ἐμὲ δὲ λυπεῖ ὅτι ἀσθενὲς τὸ σῶμα τῆς ἁγιωσύνης σου ὑποφέρειν τὰς ἐκ τῆς περιορίσεως κακοπαθείας· ἀλλ' ἰσχύς σοι παρὰ θεῷ, ᾧ πέποιθας καὶ δι' ὃν τὰ πάντα ἡγήσω σκύβαλα, πρότερον μὲν διὰ τῆς ἀναλήψεως τῆς μοναχικῆς τελειώσεως, νυνὶ δὲ διὰ τῆς ὁμολογητικῆς ἐνστάσεως.

Προσεύχεσθαι ὑπὲρ τοῦ ἐλαχίστου τέκνου σου, ἁγιώτατέ μου πάτερ, μὴ διαλείποις.

313. Πέτρῳ Νικαίας

Εἰδὼς ὅτι φιλεῖς φθέγγεσθαί με, τὸν οὐδενὸς ἄξιον, πρὸς σέ, τὴν ἱεράν μου κορυφήν, φιλίας χάριν, οὐ χρείας ἕνεκα ἤδη φθέγγομαι·

---

26 Philipp. 3,8

7 εὔφρανε S 11 μὴ διδάσκειν om Mai 14 σὺν αἱρετίσωμεν C 17 καθ' οδήγησας C ὡς ἀληθῶς S[sscr] 18 ἔστι S 22 κτωμένῃ Mai σὺν ἀναιρεθήσεται C 23 ὁπ' όταν C 30 διαλίπῃς S

---

313. a. 815 – 818

C VM PS

3 κορυφὴν C: κεφαλὴν cett Sirm φιλίας: φίλου M

φαίνομαι δὲ καὶ προσφθεγξάμενος δι' ἑτέρας ἐπιστολῆς, ἥν, εἰ ἐδέξατο, οὐκ ἐπίσταμαι. ἐν οὖν ἀμφοτέραις εἷς μοι ὁ λόγος, ὑγιαίνειν σε τῷ σώματι, τὸν ἐμὸν πατέρα, τὸν στερεὸν θεμέλιον τῆς ἀληθείας εἰς ἕδρασμα πολλῶν, εἰς σφραγῖδα πίστεως, εἰς ἔπαινον Χριστοῦ, εἰς κλέος τῆς ὅλης ἐκκλησίας· ἐπειδὴ περιφανὴς σὺ ὀφθαλμὸς παρὰ τοὺς ἄλλους, ἀνατολῇ καὶ δύσει γνωριζόμενος, ἔχων μετὰ τοῦ ἱεροῦ βίου καὶ τὸν λόγον πολλοστόν, ἐξ οὗ καὶ βασιλεῦσι γέγονας φιλητὸς καὶ ἄρχουσιν ἐραστὸς καὶ μονασταῖς ἐπαινετός. τῇ δὲ οἰκείᾳ ἐκκλησίᾳ τί δεῖ καὶ λέγειν; μακαρίζουσί σε καὶ ἐπιποθοῦσι δι' ἃ ἔδρασας πλεῖστα ὅτι μάλιστα κατορθώματα ὡς νήπια τοὺς μητρικοὺς μαζούς, ὡς νεοττοὶ τὴν τροφόν, ὡς ἄρνες τὸν ἀληθῶς ποιμένα (καὶ πῶς γὰρ οὔ;), ἔναυλα ἔχοντες τὰ ζωηρά σου ῥήματα, κατ' ὀφθαλμοὺς βλέποντες τοὺς ὑπὸ σοῦ ἀνορθωθέντας ναοὺς θεοῦ. καὶ οὔπω λέγω τὸ δαψιλὲς τῆς ἐλεημοσύνης καὶ τὰ λοιπὰ ὁσιώματα. καὶ μὴ δόξειας φιλίᾳ με χαρίζεσθαι· εἰ γὰρ καὶ μὴ ὄψει ὑπέλαβον, ἀλλ' ὅμως κατήκοος ἐγενόμην παρὰ τῶν εἰδότων. εἰ δὲ ὅτι νῦν κάθαρμα ὁ ὡς ἀληθῶς ἑτερόφθαλμος καὶ τοῖς ἔξω καὶ τοῖς ἔνδον ὄμμασι κατέχει ταῦτα, μὴ λυποῦ, ὦ μάκαρ, μήτε μὴν θαυμάσῃς· οἱ ἀπόστολοι ἐν τῷ ὑπερῴῳ ἦσαν καὶ τὸν περιβόητον ναὸν οἱ θεοκτόνοι περιελάμβανον. τοιαῦτα καὶ τὰ εἰκονομάχων καὶ ἰουδαιοφρόνων νῦν· οὓς ἐπιστρέψειεν ὁ Κύριος καί σε περιφυλάξειεν προσευχόμενον περὶ ἐμοῦ, τοῦ σοῦ τέκνου.

---

20 ἑτερόφθαλμος: successor Petri in cathedra episcopali Nicaeae; ad vocem cf. K. S. Kontos, in: Ἀθηνᾶ 1 (1889) 11 sq.

21 Bas. ep. 240,2 (PG 32,896 D sq. = III 63 Courtonne)

4 προφθεγξάμενος PS Sirm   ἐπὶ στολῆς C   7 σφραγίδα CVMP   11 μονάσταις VM   12 καὶ[1] om M   μακαρίζουσί C: μακαριζούσῃ cett Sirm   ἐπιποθοῦσι C: ἐπιποθούσῃ cett Sirm   post ἃ rasuram trium fere litt exhibet V   15 ἔχοντες τὰ: ἔχοντα C   βλέποντες: ἔχοντες VM   16 ὑπό σου Sirm   20 ἔξω καὶ τοῖς ἔνδον: ἔνδον καὶ τοῖς ἔξω VM   23 τῶν ante εἰκονομάχων add VM Sirm   ἐπιστρέψει M   24 σὲ VMPS   περιφυλάξειε VMPS Sirm   σου Sirm

314. Θεοφυλάκτῳ Νικομηδείας

Πάλαι ἐπεθύμουν ἐπιστεῖλαι τῇ μακαριότητί σου καὶ οὐκ ἐξεγένετό μοι τῷ ταπεινῷ ἀπορίᾳ γραμμα/τηφόρου. νῦν δὲ εὐδοκίᾳ θεοῦ ἐπιτυχὼν τὸν πόθον μου ἀποπληρῶ, ὃν εἰκότως ἐπ' αὐτῇ κέκτημαι, οὐ μόνον διὰ τὴν ἐν Κυρίῳ ὁμολογίαν, ἀλλὰ γὰρ καὶ ἰδίως διὰ τὴν ἐξαίρετόν σου παρὰ τοὺς πολλοὺς ἰδιοτροπίαν, τὸ μειλίχιον, τὸ ἁπλοῦν, τὸ ἐπίχαρι, τὸ γλυκὺ ἐν ταῖς ὁμιλίαις, τὸ εὐπροσήγορον ἐν ταῖς ἐντεύξεσι, τὸ περὶ πάντα ἀγαθοεργές· ἀφ' ὧν ὁ τῆς ἱερᾶς σου ψυχῆς χαρακτὴρ καὶ μὴ ὁρώμενος τεθεώρηται ὡραϊσμένος τῇ ποικιλίᾳ τῶν ἀρετῶν.

Ἀλλὰ περὶ τοῦδε μὲν ἱκανῶς, ὅτι μηδὲ καιρὸς ἐγκωμίων· τί δέ σοι ὦπται, ὦ μάκαρ, τὰ παρόντα; ἀλλ' οὐχὶ μικροῦ δεῖν ἰουδαϊσμός, ἤτοι ἑλληνισμός; ἀφῃρέθη ὁ κόσμος τῆς ἐκκλησίας, ἡ ὄψις τῶν ἱερῶν ναῶν, πυρὶ παρεδόθη τὰ ἅγια· ἄλλο τι σχῆμα γνωρίζεται ἐν τῷ χριστιανισμῷ, εἴ γε χριστιανισμόν, ἀλλὰ μὴ ἰουδαϊσμὸν καλεῖν. εὔκαιρον καὶ νῦν λέγειν, Κύριε τοὺς προφήτας σου ἀπέκτειναν καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν. καί γε ἔκτειναν, καί γε κατέσκαψαν· τὸ γὰρ ξέειν καὶ ἐξορύσσειν τὴν ὄψιν αὐτῶν οὐχὶ κατασκάπτειν ἐστὶν ἐμφανῶς; ἄφελε ὄψιν ἀνθρώπου, καὶ οὐκέτι ἄνθρωπος, ἀλλά τι ἔκτρωμα, εἴγε καὶ ἔστι ζῆν. ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου. καὶ ταῦτα ἀληθῶς, πᾶσαν θείαν εἰκόνα ἐν πάσῃ ὕλῃ χαραχθεῖσαν ἐμπρήσαντες. ἀνέῳκται γλῶσσα βλάσφημος, τὸν Χριστὸν εἴδωλον λέγουσα, τὴν Θεοτόκον, πάντα ἅγιον. καὶ γὰρ τοῦ ἀρχετύπου τὴν κλῆσιν τὸ παράγωγον κέκτηται, ἐπειδὴ καὶ τὴν προσκύνησιν· διὰ τοῦτο καὶ πάντα τύπον σταυροῦ σταυρὸν λέγομεν καὶ προσκυνοῦντες τὸν ζωοποιὸν σταυρὸν προσπτυσσόμεθα.

Ἀλλὰ ταῦτα ἐξετραγῴδησα ὁ ταπεινὸς οὐχ ὡς ἀγνοούσης σου τῆς πανσόφου τελειότητος τῆς πλάνης τὸν ὄλεθρον (μή τι πάθοιμι μωρι-

---

314. a. 817 – 818

16 3 Reg. 19,10 20 Ps. 73,7

C VM P_2P_1S

1 δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm 3 ἀπορίᾳ: εὐπορίᾳ VM ἐπὶ τυχὼν C 4 ἀπὸ πληρῶ C 15 δεῖ post γε add V Sirm 18 ξέειν: καίειν VP_1S 19 οὐκέτι: οὐκ ἔτι C 22 πᾶσα ante γλῶσσα add M 24 διατοῦτο VMP 25 πάντα – καὶ om Sirm τύπον post σταυροῦ transp Mi λέγομεν: καλοῦμεν Mi 26 πρὸς πτυσσόμεθα C

κόν), τὸ θλιπτικὸν δὲ πάθος παραμυθούμενος τῆς ἐμαυτοῦ καρδίας διὰ τῶν ἀναφορῶν, οἵ πως πεφύκασι λαλούμενοι κουφίζειν τὰ ἐν κρυφῇ ἀλγεινά, καὶ ἅμα ὑποκινῶν αὐτὴν θερμότερον προσιέναι θεῷ, ταχεῖαν ἐπιτίμησιν ποιῆσαι τῇ πονηρᾷ ταύτῃ αἱρέσει εἰς σωτηρίαν τοῦ λαοῦ αὐτοῦ.

Προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ἐλαχίστου σου τέκνου, ἁγιώτατέ μου πάτερ.

315. Τιμοθέῳ τέκνῳ

Οἷα σου ἡ ψυχή, τέκνον μου ποθητόν, τοιαῦτα καὶ τὰ γράμματα, θαρσαλέα, εὔθυμα, εὐπρόθυμα, φιλόθεα, φιλομάρτυρα. καί γε τῆς ψυχῆς εἰκόνες οἱ λόγοι καὶ ἐκ τοῦ περισσεύματος τῆς καρδίας ἕκαστος φέρει τὰ λόγια· ὥστε καὶ ἡμᾶς, ἀκούσαντάς σου τῶν ῥημάτων, ἐπιρρωσθῆναι καὶ μᾶλλον ἀνδρειωθῆναι καὶ πρὸς ἄθλησιν ἐπειχθῆναι. ἐμὲ δὲ καὶ ὁ ἀδελφὸς Ἀδριανὸς ἐξηγησάμενος πλέον ἐξένισεν, ἀναγγείλας σου τὸ εὔθαρσον καὶ σταθερὸν καὶ εὐπαρρησίαστον, καὶ μέντοι καὶ διαλεκτικὸν πρὸς τοὺς αἱρετίζοντας. πόθεν σοι ταῦτα; ἢ οὐχὶ ἐπὶ τῆς προαγούσης ἀγαθῆς διαθέσεως καὶ θείας περιποιήσεως, δι᾿ ἧς ἤνεγκας τὰ προλαβόντα καὶ ἕστηκας τῇ ἐλπίδι τῆς δόξης τοῦ θεοῦ, μέχρι θα/νάτου εὐτρεπιζόμενος; χαῖρε, εὐφραίνου· ἰσχύσεις σὺν θεῷ πάντα ἐνεγκεῖν, ἀθλοφορικὸν στέφανον ἀναδησάμενος.

Ἀλλ᾿ εὔχου κἀμοί, ἀδελφέ, συνέπεσθαι σοί τε καὶ εἴ τινι ἄλλῳ παραπλησίῳ. ἱκανοὶ δὲ χάριτι Χριστοῦ· καὶ γὰρ ὡς τὸ στάδιον λαμπρὸν καὶ ἐμφανὲς πλεῖστοι καὶ οἱ μάρτυρες. μὴ γὰρ οἴου τι ἄλλο εἶναι τὰ παρόντα ἢ Χριστοῦ ἄρνησιν ἐπὶ τοὺς διώκοντας καὶ Χριστοῦ

---

30 οἵ: scil. psalmi

---

30 οἵ: αἵ V^{pc}M Sirm: cancell P_1: om S πῶς CS: περ M λαλούμεναι V^{pc}M Sirm: λαλούμεν P_1 (ubi ultima cancell) : λαλοῦμεν S ἐνκρυφῇ Sirm 31 ὑποκινεῖν M 32 ταχείαν M 34 περὶ: ὑπὲρ M 35 μου om M

---

315. a. 817 – 818

---

4 Matth. 12,34

C VM PS

---

1 ὡραία ἐπιστολή in marg C 8 σταθηρὸν VPS Sirm 9 αἱρετίζοντας: ἐρεθίζοντας V Sirm 10 διαθέσεως: προαιρέσεως VM Sirm 11 περιποιήσεως: πεποιθήσεως V 12 μέχρι: ἄχρι M 15 κἀμοὶ: καμὲ V 17 μάρτυς P

μαρτυρίαν εἰς τοὺς τὰ ἆθλα φέροντας, καὶ τοῦτο εὔδηλον· ὡς γὰρ ἐν τῇ εἰκόνι τοῦ σταυροῦ ὁ ζωοποιὸς σταυρὸς καὶ ὡμολόγηται καὶ ἤρνηται, οὕτω καὶ ἐν τῇ εἰκόνι Χριστοῦ τὸ αὐτὸ ἀπαραλλάκτως, εἰ καὶ τετύφλωται ὁ κόσμος καὶ Χριστὸν ἀρνούμενος παίζει τὴν ὕβριν διὰ τὴν τοῦ ὑβριζομένου μακροθυμίαν. καὶ τί θαυμαστόν, εἰ ὑπομένει, ζητῶν τὴν τῶν παροινούντων ἐπιστροφήν; μὴ οὐχὶ στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ οἱ στρατευόμενοι; μὴ οὐχὶ καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν, οἵ καὶ ἔλεγον, χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων, καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα; ὁ δὲ ἔφερεν πάντα, καταγελώμενος, μυκτηριζόμενος καὶ ὅσα ἄλλα πάσχων ἐν τῷ σταυρῷ. τοιαῦτά ἐστι νῦν πάσχων διὰ τῆς εἰκόνος αὐτοῦ καὶ ἐν τῇ εἰκόνι αὐτοῦ, ἐπειδὴ τὸ ἀρχέτυπον ἐν τῇ εἰκόνι ἐκφαίνεται, ὡς εἴρηται τοῖς ἁγίοις.

Ἀλλ' εἴη ἔλεος ἐν τάχει τῇ ἐκκλησίᾳ αὐτοῦ, ἐνδυναμῶν τοὺς ὁμολογοῦντας. ἀκούω ὅτι νηστείαν ἕλκεις καὶ χαίρω μέν, συμβουλεύω δὲ καθ' ἑκάστην σε ἐσθίειν μετὰ τὰ ἑσπερινά· τοῦτο γὰρ ἡ βασιλικὴ ὁδὸς καὶ αὕτη ἐπαινετὴ ἐγκράτεια ἐν τῇ μαρτυρίᾳ.

316. Ἄννῃ ἡγουμένῃ

Ὅτι ἐπέστειλάς μοι, εἰκότως· μᾶλλον γὰρ διὰ τῶν γραμμάτων ἐν γνώσει γέγονα τῆς διασώσεως τῆς τιμιότητός σου καὶ ηὐχαρίστησα τῷ θεῷ, οὕτως ἐπιμενούσης σου τῇ καλῇ προθέσει καὶ ὁμολογίᾳ Χριστοῦ καὶ οὐ κατανοούσης τὴν μόνωσιν, τὴν φυλακήν. μηδέ γε ἀτονήσειας Χριστὸν ἔχουσα ὑφέστιον, ὑπὲρ οὗ καὶ δι' ὃν πάσχεις· ἔχε ἐπὶ νοῦ τῶν μακαρίων γυναικῶν τὰ ἆθλα, τῶν παρθένων τὰ σκάμματα, τὰς ὑπομονάς, τὰ πειρατήρια· ἀναθεώρει τὰ οὐράνια, τὰς

24 Matth. 27,29 25 Joh. 19,2 sq. 30 Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C)

19 ἄθλα CS 21 voces τὸ αὐτὸ post ἀπαραλλάκτως transp M 25 καὶ om M 26 αὐτῷ M 27 ἔφερε VPS Sirm 28 τῷ om VMPS Sirm 34 καθεκάστην CPS Sirm σε om Sirm 35 post αὕτη voculam ἡ eras C

316. a. 816 – 818

C (S)

3 τῆς[2] om Mai εὐχαρίστησα S 7 νοῦ: νοῦν Mai ἄθλα C 8 πειραστήρια Mai

ἡτοιμασμένας ἀναπαύσεις τῶν ἁγίων, τὸ φῶς τὸ ἄδυτον, τὴν χαρὰν τὴν ἀνεκλάλητον, τὴν ζωὴν τὴν ἀκήρατον, εἶτα ἀπεναντίας τὰς τιμωρίας τῶν ἁμαρτωλῶν, τὸ σκότος τὸ ἐξώτερον, τὸ τῆς γεέννης πῦρ, τὸν ἰοβόλον σκώληκα, τὰ δεσμὰ τὰ ἄλυτα, τὸ χάος, τὸν τάρταρον. ταῦτα δὴ ἐνθυμουμένη κούφιζε τὰς ὀλιγωρίας, στερεοῦ τῇ ὑπομονῇ, δίωκε τὰ πάθη, φωτίζου τὴν ψυχήν, ἑτοιμάζου πρὸς περισσοτέραν ἄθλησιν· οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. ἐὰν οὕτω διαμένουσα διαμείνοις, θεραπεύσεις θεόν, εὐφρανεῖς ἀγγέλους, αἰσχυνεῖς δαίμονας, μέγιστον κλέος καὶ ὄνομα ἄσβεστον καὶ ἐν τῷ νῦν αἰῶνι ἑαυτῇ περιποιουμένη.

Εὔχου περὶ ἡμῶν τῶν ἁμαρτωλῶν.

317. Βασιλείῳ ἡγουμένῳ

Πάντα καταμαθών, ἅπερ διὰ Κύριον ὑπέστη σου ἡ ὁσιότης σὺν τῷ ἱερῷ ὑπηκόῳ, ἐδόξασα τὸν ἀγαθὸν ἡμῶν θεὸν λίαν, ὅτιπερ ἀνέτειλας καὶ αὐτὸς φωστὴρ ἐν τῷ κόσμῳ σὺν ἄλλοις λαμπτῆρσιν ἐν τῇ νυνὶ νυκτομαχίᾳ τῆς αἱρέσεως, σκεῦος ἐκλογῆς, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας. ὡς θαυμαστὴ ἡ δυὰς ὑμῶν, ὡς ἐραστὴ τῷ Χριστῷ, πληγὰς δι' αὐτὸν ὑπομείνασα, ἀπαγωγάς, φυλακάς, καὶ ταῦτα ἕως τοῦ παρόντος. ἀλλὰ τί ὅτι πρὸ τῆς πείρας ἧκες πρός με τὸν ταπεινόν, καθὰ ἐδίδαξας, μὴ ἐπιτυχών μου τοῦ συνοψισμοῦ; καὶ εἰκότως· ἐπειδὴ γὰρ ὡς ὑπελάμβανες οὐκ ἦν (οἰκτρὸς γὰρ ἐγὼ καὶ σκοτεινός· τί ἵνα καὶ ἐβλάβης;), πλὴν ὅτι συνῆψας ἡμῖν ἑαυτὸν νυνὶ διὰ τοῦ γράμματος. καὶ ὁρῶμεν ἀλλήλους ἤδη τῷ πνεύματι καὶ εἰς ταὐτὸν συνήλθομεν ἐν πνεύματι, μία ψυχὴ ἐν Κυρίῳ γεγονότες, ἐγὼ

---

16 διαμένουσα διαμείνοις: cf. adn. ad ep. 530,52

9 1 Petr. 1,8 11 Matth. 8,12 15 Rom. 8,18

16 ἀπὸ καλυφθῆναι C

---

317. a. 816–818 6 δυάς: Basilius et Procopius; cf. ep. 389,29

5 Act. 9,15 1 Tim. 3,15 12 1 Cor. 14,23

C VM PS

1 ὡραία ἐπιστολή in marg C 3 ἡμῶν post θεὸν transp VM Sirm 4 φωστήρ: λαμπτὴρ VM 5 στύλος VMPS Sirm 6 ὡς[2]: καὶ M 11 σεαυτὸν M νῦν S

ὁ ταπεινὸς ἐν ὑμῖν τοῖς ἁγίοις καὶ ὑμεῖς ἐν ἐμοί, ὅτιπερ Χριστὸς ἐν μέσῳ ἀμφοτέρων κατὰ τὴν ἀψευδῆ ἐπαγγελίαν.

Τί λοιπὸν ἔτι; ἵνα, καθὰ ἐνηρξάμεθα ἐν τοῖς ὑπὲρ Χριστοῦ μαρτυρίοις, τελειώσωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, μηδὲν ὑποπτήσσοντες, μὴ πληγὰς αὖθις, μὴ δεσμά, μὴ στρεβλωτῆρας, μὴ πῦρ, μὴ ξίφος, μὴ ὕδωρ μηδὲ / μάχαιραν. οὕτω ὑποτίθεται ἡμῖν ὁ λόγος, οὕτως βοᾷ ὁ ἀπόστολος, οὕτως ἡ τελείωσις τῶν μαρτύρων· οὐκ ἐσμὲν ἀγενέστεροι αὐτῶν, κἂν ἐγὼ τάλας, ἐκ θεοῦ καὶ αὐτοὶ ἐγεννήθημεν, τὴν αὐτὴν μητέρα τῆς υἱοθεσίας κεκτήμεθα. ἐκεῖνοι ἠθλοφόρησαν καὶ ἡμεῖς ἀσχημονήσομεν; γυναῖκες καὶ κόραι ἐστέφθησαν καὶ ἡμεῖς φιλοσαρκήσομεν; γέροντες καὶ νήπια νενικήκασι τυράννους καὶ βασιλεύοντας καὶ ἡμεῖς ἰλιγγιάσομεν; οὐδαμῶς. δῶμεν τὰς σάρκας τοῖς σαρκοφίλοις, ἡ ψυχὴ ἄληπτος· μὴ φοβηθῶμεν τοὺς σωματοκτόνους, ἀλλὰ τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ ἀπολέσαι. τανῦν ἀγαλλίασις, θυμηδία· εἴπερ γὰρ συμπάσχομεν, καὶ συνδοξασθησόμεθα. θρηνείτω ὁ διάβολος καὶ οἱ αὐτοῦ ὑπηρέται· τοῦτο γὰρ πάσχουσιν ἐν τῇ ἀκαταπλήκτῳ ἐνστάσει τῶν μαρτυρούντων. φῂς μὴ ἰδέσθαι πώποτε βασιλέα μηδὲ ἄρχουσι παριστάναι, κἀντεῦθέν πως δεδιᾶν· μηδαμῶς, ὦ πάτερ, καταφρόνησον ἀμφοτέρων, ὁ Χριστὸν ἔχων ἐνδεδυμένον. ἐκεῖνός σε πτηξάτω ὥσπερ καὶ δαίμονες· ἄνοιξον σὸν στόμα παρὼν πρὸς αὐτόν· δοθήσεται γάρ σοι λόγος, Χριστὸς ἐπηγγείλατο. ἔλεγξον αὐτόν, εἰ ματαιολογεῖ· οὐ τὸν Ἀχαὰβ ἤλεγξεν Ἠλίας, οὐ τὸν Ἡρώδην Ἰωάννης, οὐκ ἄλλοι τοὺς ἄλλους, ἵνα μὴ κατονοματίζων μακρολογῶ; ὁ τότε θεός, καὶ νῦν· ὡς ἠγάπησεν ἐκείνους, καὶ ἡμᾶς. μαθητιῶν ἦς τοῖς ἀποστόλοις, μάρτυσι, προφήταις, πατράσιν, ὁσίοις. ὁ καρπὸς τῷ δένδρῳ ἐξομοιούσθω, καὶ εἰ μὴ οὕτω περιπατήσομεν, σκαιοὶ καὶ οὐχὶ μαθηταί, οὐδὲ υἱοί, οὐδὲ καρποί, ἀλλὰ τῆς ἀντικειμένης μερίδος, τῶν φιλοκόσμων δὴ λέγω καὶ δουλοσάρκων· ὧν τὴν μίμησιν φύγοιμεν, ἐπιτύχοιμεν δὲ θεοῦ, τελειοφρόνως ἀγωνιζόμενοι ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν τῷ εἰρηκότι, θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

---

14 Matth. 18,20 **17** Hebr. 12,1 **26** Matth. 10,28 **28** Rom. 8,17 **35** 3 Reg. 18,18 **36** Marc. 6,18 **39** Matth. 12,33 **44** Joh. 16,33

---

15 ἀπαγγελίαν C (cf tamen infra 34) **18** δεσμά: δεσμούς M **19** οὕτως S^{pc}V Sirm **20** οὕτως[1]: οὕτω V ἁπάντων post μαρτύρων add VMPS Sirm **24** φιλοσαρκήσωμεν S **25** ἰλιγγιάσομεν: φιλοψυχήσωμεν S **26** σαρκοφίλοις: σαρκοφάγοις M **28** τὰ νῦν codd καὶ ante θυμηδία add VM Sirm **30** μαρτυρησάντων M φῂς VMP **31** παρεστάναι VMPS Sirm πῶς CVMP Sirm **32** ἔχων ἐνδεδυμένον: ἐνδεδυμένος M **37** κατ' ὀνοματίζων C: κατονομάζων cett Sirm **38** μαθητειῶν C **41** δουλοσάρκων: φιλοσάρκων V **42** ἐπὶ τύχοιμεν C **43** τῷ[2] om VMPS Sirm

318. Ἰωάννῃ ἡγουμένῳ

Αὐτὸς εἰ οὐκ ἐπιστέλλεις, οἶδ' ὅτι οὐκ ὀκνίᾳ, ἀλλ' ἀπορίᾳ τόπου καὶ τρόπου γραφῖδος· ἐγὼ δὲ εἰ ἀπόσχομαι, ὁσάκις ἂν καὶ τύχοιμι γραμματηφόρου, ἐπιστέλλειν τῇ ὁσιότητί σου, δικαίως ἂν ἐγκληθείην παρ' αὐ/τῆς, ἄλλως τε καὶ τοῦ πόθου βιαζομένου οὐχὶ διὰ τόσου γε χρόνου, ἀλλὰ σχεδὸν εἰπεῖν καθ' ἑκάστην προσφθέγγεσθαί σε, τὸν ἐμὸν πατέρα καὶ ὁμολογητὴν Χριστοῦ πολύαθλον. ἔτι τοίνυν, ὦ μάκαρ, δέρου καὶ νίκα, προσευχόμενος καὶ περὶ ἐμοῦ τοῦ τέκνου σου κατόπιν ἰέναι σου· ἐὰν δέ τινες τῶν συνομολογητῶν πάρεισι, κἀκείνους σὺν σοὶ κατασπαζόμενος αἰτῶ τὰς ἱερὰς προσευχὰς αὐτῶν εἰς σωτηρίας ἐφόδιον.

319. Νικήτᾳ ἡγουμένῳ τοῦ Μηδικίου

Φιλῶ τοῦ δέχεσθαι ἀντίγραφα παρὰ τῆς τιμιότητός σου ὧν ἐπιστέλλω, οὐ μὴν δεχόμενος σιωπήσομαι. διὸ καὶ νῦν προσφθέγγομαι τὴν ὁσιότητά σου, τὸ τῆς ἀγάπης χρέος πληρῶν καὶ τὴν ἐμαυτοῦ ταλαιπωρίαν καταμηνύων ὡς ζῶν εἰμι εὐχαῖς σου ἁγίαις, πταίων μὲν πολλὰ τῷ θεῷ καθ' ἑκάστην, ἐπιθυμῶν δὲ σὺν ὑμῖν τοῖς ἁγίοις Χριστὸν θεραπεῦσαι πίστει δι' ἀγάπης ἐνεργουμένης.

Ἔγνως δὲ πάντως ὡς ἐνεδήμησε πρὸς Κύριον ὁ κοινὸς πατὴρ τῶν πολλῶν κἀμοῦ ἱερὸς ἀνάδοχος, ὁ ὡς ἀληθῶς Θεοφάνης. μακάριος ἐκεῖνος, καλῶς ἐν τῇ ἀσκήσει ἀγωνισάμενος καὶ καλλίστην κορωνίδα τῷ τέλει τοῦ βίου ἀπενεγκάμενος τὴν ὁμολογίαν Χριστοῦ ἐν τοιαύτῃ δυσφορωτάτῃ νόσῳ καὶ ἀνίᾳ καὶ γήρει σώματος· ἀλλ' ὅμως

---

318. a. 818

C (S)

5 ἄλλως τε: ἀλλ' ὥστε Mai

---

319. mens. Mart. – Apr. a. 818

8 2 Cor. 5,8

C (S)

1 τοῦ μιδικιου S: in marg C: om Mai: correxi 2 ἐπὶ στέλλω C 6 καθεκάστην codd: distinxit Mai

ὡς νεάζων τῷ σώματι ἠθλοφόρησεν, ἵνα γένοιτο στηριγμὸς μὲν τῶν ἑστηκότων καὶ ἀσφάλεια, ἔλεγχος δὲ τῶν προφασιζομένων προφάσεις ἐν ἁμαρτίαις· οὗ ταῖς εὐχαῖς ἅμα καὶ ὑμῶν τῶν πατέρων μου σωθείην κἀγὼ ὁ ἁμαρτωλός.

Τὸν ἐμὸν αἰδέσιμον ἀδελφὸν Ἀρσένιον πλεῖστα ἀσπάζομαι.

320. Ἰωάννῃ ἡγουμένῳ

Ἡδέως ἐδεξάμην σου τὴν ἁγίαν ἐπιστολὴν καὶ ἀνέγνων ἡδύτερον, ἀπὸ πατρὸς ἐμοῦ ὁμοῦ μὲν ἀγαπητοῦ, ὁμοῦ δὲ ὁμολογητοῦ ἀπεσταλμένην. χάρις, ἔλεος, εἰρήνη σοι ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ, ἄνθρωπε τοῦ θεοῦ, ἀνδρικὲ τῷ φρονήματι, στερρὲ τῇ καρδίᾳ. τί οὖν ἤθλησας, πρότε/ρον φυλακῇ ἀπορραγεὶς τοῦ ἀπατηθέντος ἀδελφοῦ ὡς υἱὸς φωτός; πάλιν κράτησις, πάλιν περιορισμός· καὶ ποῦ; ἀφ' οὗ ὀφείλεις στηρίζεσθαι, ἵνα ἐκεῖθεν διαλυθῇς. ἀλλ' οὐχ οὕτως· ἔλεγχόν σε τοῦ προάγοντος καὶ τῶν ἀκολουθούντων ἔθετο ὁ θεός.

Παρακαλῶ οὖν σε, πατήρ μου, μὴ συγκοινωνήσῃς αὐτοῖς ἔν τινι, ἀλλ' ὡς ἀληθῶς ἄμωμος καὶ ὁμολογητὴς Χριστοῦ διαφύλαξον ἑαυτὸν ἀπήμονα, ὡς ἂν ἐκλάμψῃς ἔτι μᾶλλον ἐν ἀρετῇ, φωστὴρ ἐν κόσμῳ καὶ γενόμενος καὶ λεγόμενος. ἐμοὶ δὲ εὔχου τοῦ σῴζεσθαι τῷ ἀχρείῳ παντάπασιν καὶ μηδὲν ἔχοντι ἐπαίνου ἄξιον, κἂν αὐτὸς φιλῶν τοῦτο κἀκεῖνο ἐνεκωμίασας.

---

14 Ps. 140,4

---

320. a. 818

7 Joh. 12,36 13 Philipp. 2,15

C (S)

11 συγκοινωνήσῃ Mai 13 ἐκλάμψοις C Mai

321. Ἀθανασίῳ ἡγουμένῳ

Τίνος ἕνεκεν ἐχρόνισα ἐπιστεῖλαι τῇ ἁγιωσύνῃ σου; πολλὰ τὰ αἴτια· πρῶτον μὲν ἡ ἀσφαλὴς φυλακή, ὡς διηγήσεται καὶ ὁ γραμματηφόρος, ἔπειτα ἡ σύλληψις τοῦ οἰκονόμου ἄλλα τε, ἅττα γράφειν ἐργῶδες. ἀλλὰ νῦν, ὅτι ἠξιώθην ῥῆξαι φωνήν, εὐχαριστῶ τῷ θεῷ μου· ἐμοὶ γὰρ φίλον ἀεὶ προσφθέγγεσθαι καὶ ἀκούειν φωνῆς σου, διότι σὺ ἀνὴρ ἀγαθός, ἀθλητὴς Χριστοῦ, σύμψυχος, ταὐτόφρων, ἰδιαίτερόν τι παρὰ τοὺς ἄλλους κεκραμένος μοι τῇ ἐν Κυρίῳ ἀγάπῃ.

Ἀλλὰ δεῦρό μοι, θρήνησον, ὦ πάτερ, τὰ παρόντα. ὁρᾷς ὅπως γεγόναμεν ὡς τὸ πρίν, ὅτε οὐκ ἦρχεν ἡμῶν Κύριος· πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν, πᾶς ναὸς ἠμαύρωται, πᾶν ἱερὸν κεκοίνωται, πᾶς θίασος βλασφημεῖ καὶ Χριστός καθεύδει. καὶ οὐδεὶς ὁ ἀξίως διαναστῆναι αὐτὸν ἱλεούμενος, ἐπιτιμῆσαι τοῖς ἀνέμοις καὶ τῇ πονηρᾷ ταύτῃ θαλάσσῃ τῆς αἱρέσεως· εἰ καὶ ἀξίως, ἀλλ' οὐκ εὐκαίρως· οἶδεν γὰρ αὐτὸς μόνος τὸν ὠφέλιμον καιρὸν καὶ τῆς ἰατρείας καὶ τῆς ἐκτομῆς. διὸ ἀναμονητέον καὶ μακροθυμητέον τὸν ἄριστον καὶ παντεπιστήμονα ἰατρόν, ὃς ἐν τέλει οὐκ ἐάσει τὴν ἐκκλησίαν αὐτοῦ κυμαίνεσθαι.

Σὺ δὲ φράσον ἡμῖν οἷα σου ἡ φυλακὴ καὶ ὅπως ζῇς ἐν αὐτῇ, εἰ ἄρά γε ἔστι λείψανον θεοσεβείας ἐν τοῖς / ἔγγιστα, ἢ παρὰ σοῦ ἱεροποιηθὲν νεωστὶ ἢ ἀφ' ἑαυτοῦ ὀρθοδοξοῦν, εἰ ἐν ταῖς χερσί σου βίβλοι, εἰ τρέφει τις Ἠλίαν, εἰ εὐγνώμων μαθητής, εἰ ὡς Πέτρος καὶ Ἰωάννης ἠκολούθηκεν αἰρομένῳ σοι οὐ πρὸς Ἄνναν καὶ Καϊάφαν, ἀλλὰ πρὸς ἴσους ἰουδαιόφρονας. ταῦτα δίδαξον καὶ τὸ λοιπὸν πρόσευξαι διυπνισθῆναι Χριστόν, εἰρηνευθῆναι τὴν ἐκκλησίαν, σωθῆναί με, τὸν πανάθλιον μέν, φιλοῦντα δέ σε λίαν.

---

321. a. 818 4 οἰκονόμου: Naucratius 12 Χριστὸς καθεύδει: cf. adn. ad ep. 333,22

---

10 Ps. 13,3 22 3 Reg. 18,13 Joh. 18,13 sq.

C (S)

---

2 ἐπὶ στεῖλαι C 4 ἅττα C 6 πρὸς φθέγγεσθαι C 14 οἶδε S 18 κοιμαίνεσθαι S 20 ἄρα S 22 Ἡλίαν C Mai 23 ἠκολούθησεν S 24 τολοιπὸν S

322. Βασιλείῳ μονάζοντι

Ὡς ἔμαθον ὅτι καὶ αὐτὸς συλληφθεὶς ὑπὸ τῶν ἀνόμων ἐνήθλησας ὑπὲρ Χριστοῦ, ἱερὲ Βασίλειε καὶ τοῦ Μεγάλου ἀπόγονε Βασιλείου, ἥσθην, ἐδόξασα, ἤνεσα, ηὐχαρίστησα τῷ Κυρίῳ, τῷ καλέσαντί σε εἰς κοινωνίαν τῶν παθημάτων αὐτοῦ δι' ὧν ἤνεγκας πληγῶν ἐν τῷ νώτῳ καὶ τῆς παρούσης φυλακῆς. ἔδει τοίνυν, ἔδει οὕτω φιλομαθῆ ὄντα καὶ φιλόθεον μὴ ἀγέραστον ὀφθῆναί σε τῆς τῶν ὁμολογούντων θεοδοξίας, ἀλλὰ συμμετασχεῖν τῶν ἄλλων καὶ ὀνομαστὸν γενέσθαι καὶ τεθῆναι εἰς φῶς τῶν ἐν σκότει.

Στῆθι οὖν, ὦ γενναῖε, καὶ πρὸς τὰ μέλλοντα, μὴ δεδοικώς τι· Χριστὸς γὰρ μετὰ σοῦ, ὁ νικῶν ἐν ἡμῖν καὶ νικήσας τὸν ἰσχυρὸν καὶ δοὺς ἡμῖν αὐτὸν ὑποπάτιον.

323. Μεγαλῷ καὶ Μαρίᾳ μοναζούσαις

Τὸ γράμμα ὑμῶν τίμιον καὶ ἡ προσηγορία συνετή· ἡ δὲ ἀγγελία, τί εἴπω, ὀδυνηρὰ ἢ χαροποιός; ὁ ἐμὸς πατὴρ ἐξεδήμησεν, ὁ ὁμολογητὴς Χριστοῦ, ὁ δεύτερος Ἰώβ, τὸ ἐγκαλλώπισμα τῶν μοναστῶν, ὁ τῆς ἀγάπης δημιουργός, ὁ παντοφίλητος ἀνήρ, ὁ τοῦ θεοῦ ἄνθρωπος, ὁ πολύδακρυς ὀφθαλμός, ὁ φιλομαθὴς νοῦς, ὁ θείᾳ γνώσει πεπλουτισμένος, ὁ πολὺς ἐν ταπεινοφροσύνῃ καὶ πολλοστὸς ἐν συνέσει, ὁ περιφανὴς πρὸ σχήματος καὶ μετὰ τὴν μοναχικὴν τελείωσιν ὑπέρτερος, ὁ δεθεὶς ἐν ἀγάπῃ θεοῦ κἀντεῦθεν μισήσας κόσμον δούς τε προῖκα πάντα Χριστῷ, πολύολβον οὐσίαν, εἶτα διαζευχθεὶς περιδόξου ὁμοζύγου γένους τε καὶ φίλων καὶ συνήθων· ὁ καταλελοιπὼς περίγειον ἀξίωμα, οἶκον, πόλιν, πατρίδα, καὶ ταῦτα ἐν ἀκμαζούσῃ

---

322. a. 815 – 818

9 Rom. 2,19

C (S)

4 ἥσθην C Mai   εὐχαρίστησα S

---

323. vere a. 818   3 ὁμολογητής: Theophanes; cf. Pargoire, Théophane 53

C VM PS

1 Μεγαλῷ καὶ Μαρίᾳ om C Mai   μεγαλὼ S   ὡραία in marg C   **8** πρὸ σχήματος: ἐν σχήματι M   **10** τε post περιδόξου add M   **11** καί[1] om M

ἡλικίᾳ εὐπρεπείᾳ τε προσώπου καὶ ὕψει ἡλικίας, εὐσθενείᾳ τε σώματος καὶ ἀμφοτεροδεξιότητι τρόπων νοητῶν τε καὶ ὁρατῶν. καὶ πλέον τούτων ἄν τις εἰπὼν ἐλάτ/τω ἔλθοι τῆς τοῦ ἀνδρὸς ἀρετῆς. οὗτος ᾤχετο, ἀνῆλθεν πρὸς Κύριον. ποῦ καὶ πῶς; ἀρθεὶς φόρτῳ ἐκ τῆς ποίμνης διὰ τὴν δύσοιστον νόσον, φυλακισθεὶς ἐν ἄστει ἄλλοις δύο ἔτεσι καὶ πρός, ἔπειτα ἐξορισθεὶς ἐν νήσῳ τινὶ κἀκεῖσε τελειώσας τὸν ὁμολογητικὸν δρόμον ὑπὲρ Χριστοῦ.

Οὐκ ὀδυνηρόν μοι οὖν τὸ πάθος, ἀλλὰ καὶ λίαν περιχαρές· οὐ τέθνηκεν, ἀλλὰ μετέστη εἰς αἰώνιον ζωήν, οὐ γῆ αὐτὸν ἐκάλυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. ὑπέλαβεν αὐτὸν ἡ ὁμολογητῶν χορεία, ἡ ἀσκητῶν ὁμοσκηνία, ὅπου τὸ φῶς τὸ ἀληθινόν, ἔνθα αἱ μακαρίαι ἀναπαύσεις, ἀνθ' ὧν εἵλετο κόπων καὶ πόνων ἐν σαρκὶ ἀσκητικῶς τε καὶ ὁμολογητικῶς. νῦν μοι πανήγυρις, ἑορτή, θυμηδία, ἀλλὰ μὴν καὶ πᾶσιν ὀρθοδόξοις, προστάτην εἰς θεὸν παραπέμψασιν σύνδρομον τῶν προδραμόντων μαρτύρων τανῦν. ἀγαλλιάσθω ἡ ἐκκλησία ὅτι στύλους ἔτι κτᾶται, εὐφραινέσθω ὁ ἱερὸς θίασος ὅτι φωστῆρες ἐν κόσμῳ πάλιν ἀνίσχουσι, φρυκτωροῦντες τοὺς ἐν σκότει τῆς αἱρέσεως. ὤ, ὤ, πάτερ, πάτερ, ὡς καλός σου ὁ δρόμος, ὡς ὅσιον τὸ μνημόσυνόν σου, ὡς μακάριον τὸ ὑπόμνημά σου· ὅλος σὺ φαιδρός, ὅλος χαρίεις. τίς σε ἰδὼν οὐκ ἠγάπηκεν, τίς δὲ συντυχὼν οὐ γεγλύκανται; ἡ συνουσία σου ἐφετή, ἡ ἀρετὴ γνωριστική. τί τὸ λοιπόν; μέμνησο ὡς τῆς ποίμνης σου κἀμοῦ τοῦ σοῦ υἱοῦ, κἂν ἐλαχίστου καὶ ἐρριμμένου. οἶδας τὸν πόθον σου τὸν ἐν ἐμοὶ ὡς κἀγὼ τὸν ἐν σοὶ ἐμοῦ. βόησον ὑπὲρ πάσης τῆς ἐκκλησίας πρὸς Κύριον, δεήθητι καὶ περὶ ἐμοῦ τοῦ οἰκτροῦ τάχει ἐλθεῖν πρὸς σέ, ἐν ᾧ τρόπῳ τετελείωσαι.

Αὗται μέν μοι αἱ φωναὶ πρὸς τὸν κοινὸν πατέρα. ὑμᾶς δὲ παρακαλῶ μὴ προδοῦναι τὴν πίστιν, ὁσίως βιοῦν ὡς ἐκείνου ὄντες θατέρα θατέρως, ἡ μὲν ὁμόζυγος, ἡ δὲ τῆς ὁμοζύγου ὁμαίμων, ὡς ἂν σὺν ἐκείνῳ δόξης τῆς ἀιδίου ἀπολαύσοιτε.

---

13 εὐσθενείᾳ σώματος: erat enim Theophanes crassus; cf. p. 282* adn. 481   18 νήσῳ: Samothrace   41 ὁμόζυγος: Megalo, uxor Theophanis   ὁμαίμων: Maria

---

28 1 Tim. 3,15   Philipp. 2,15

---

14 πλέον: πλείω V Sirm   15 ἐλάττων V Sirm   16 ἀνῆλθε C^{ac}VMPS Sirm Mai   φόρτᾳ Sirm   20 μοι οὖν: οὖν μοι M   23 μακάριαι Sirm   24 ἀσκητικῶν VM   25 ὁμολογητικῶν VM   26 παραπέμψασι VMPS Sirm   27 τανῦν S Sirm   30 ὢ C Mai (bis): $ὦ^{2}$ Sirm   32 σὺ ante χαρίεις add VM   ἠγάπηκε VMPS Sirm   γεγλύκαται VM   36 βόησον: βοήθησον V^{ac}MPS Sirm   37 καὶ om V   40 ὄντες: οὖσαι VM Sirm Mai   41 θατέρως C Mai: θατέρας cett Sirm   42 ἀπὸ λαύσοιτε C

324. Γενναδίῳ τέκνῳ

Ἃ μὲν γέγραφας, τέκνον, ἔγνων, καὶ ἃ γέγραφας πεποιθήσεως καὶ περιποθήσεως δείγματα· ἀλλ' ἡμεῖς οὐχ ὡς νομίζεις καὶ λέγεις, ἁμαρτωλοὶ δὲ καὶ ἐνδεεῖς φωτός. πλὴν ἡ πίστις σου σωσάτω σε ὅπουπερ ἂν ᾖς, τοῦτο μὲν ἐκ τῆς φονοκτονούσης αἱρέσεως, τοῦτο δὲ καὶ ἐκ πάσης ἁμαρτητικῆς ἐνεργείας. καλῶς ἐπιθυμεῖς ῥυσθῆναι τοῦ φθοροποιοῦ κόσμου, λύτρωσις δέ ἐστιν ἡ φυγὴ τῆς ἁμαρτίας, ἧς ἡ πρᾶξις θάνατος αἰώνιος καὶ ἡ ἀποχὴ ἀίδιος ζωή· ὁ οὕτω βιῶν οὐδὲν δέδοικεν, οὐδένα πτοεῖται.

Οὕτως εὔχομαί σε διαζῆν, ταὐτῶς καὶ σὺ περὶ ἐμοῦ, ἠγαπημένε υἱέ μου, τὴν εὐχὴν κράτει. /

325. Καλλίστῳ τέκνῳ

Ἐν βραχέσι συλλαβαῖς ἡ ἐπιστολή σου, τέκνον. καὶ εὖγε· ἀρκεῖ γὰρ σημᾶναί σε ὅτι ἔρρωσαι, ἐπειδὴ πυκνάζεις ἡμῖν τὸ γράφειν καὶ πολλαὶ αἱ ἐπιστολαὶ τῶν προσώπων. ἔνθεν κἀμοὶ βραχὺ τὸ γράμμα. ὑγιαίνειν με ἴσθι καὶ εὔχεσθαι ὑπὲρ σοῦ.

326. Κληδονίῳ τέκνῳ

Τί με ἐγκωμιάζεις, ὦ τέκνον, τὸν ἀνεγκωμίαστον; τί δὲ ἐπιζητεῖς τὴν ταχεῖαν ἀπαλλαγὴν τῶν λυπηρῶν; εἰκότως μὲν τὸ δεύτερον, ἀλλ' ὅμως μακροθυμητέον, ἕως ἂν ἐπίδοι Κύριος καὶ τὴν κάκωσιν τοῦ λαοῦ αὐτοῦ ἰάσηται· ὡς γὰρ οὐκ ἐνδέχεται κάμνοντα ἀναρρωσθῆναι,

---

324. a. 817 – 818

C (S)

2 ἃ² C^{sscr} 4 σωσάτω: σωζέτω Mai 8 πράξις C

325. a. 815 – 818

C (S)

3 ἔρρωσε C τὸ: τῷ coni Kambylis

326. a. 817 – 818

C (S)

ἕως ἂν ἡ ὑποκειμένη τῷ στομάχῳ ὕλη ὑπὸ πυρετοῦ μὴ ἐκδαπανηθείη, οὕτω δὴ καὶ τὴν εἰρήνην τῇ τοῦ θεοῦ ἐκκλησίᾳ ἀμήχανον ἀναλάμψαι, μὴ τῆς ἐκ τῶν ἁμαρτιῶν ἡμῶν κακώσεως ἐνδίκως ὑπὸ τῆς μαστιγούσης ἡμᾶς αἱρέσεως ἐκτριβείσης· μάστιξ γάρ ἐστι τοῦ θεοῦ, μικρὸν παιδεύουσα τοὺς φιλοῦντας αὐτόν, ἔπειτα καιρῷ τῷ καθήκοντι ἰωμένη. καὶ οὕτως ἄνωθεν καὶ ἀπ' ἀρχῆς τὰ καθ' ἡμᾶς ᾠκονόμηται. εἰ δὲ τοῖς μαθητιῶσι τηλικαύτη ἡ μάστιξ, τί τὸ κρίμα τῶν ἀπειθούντων καὶ διωκόντων; δῆλον ὅτι ἀπέραντον κατὰ τὴν τιμωρίαν.

Διὸ στῶμεν, ἀδελφέ, καὶ ὑπομείνωμεν τὸν Κύριον, ἵνα συνδοξασθῶμεν αὐτῷ. ἥσθην ὅτι οὐ μεμόνωσαι. ἀλλὰ τί πρὸς τὸν Λεόντιον καὶ τοὺς δυοῖν ἀδελφούς; εἶδες ἀμφοτέρων, ὡς εἶπας, κακίαν, τοῦ μὲν τέλεον ἠσεβηκότος καὶ ἰουδαϊκῶς προστατεύοντος, τῶν δὲ ζητούντων ὅπως σὺν αὐτοῖς ὀλέσωσίν σε; ἀλλὰ σύ, ὦ τέκνον ἀγαπητόν, ὡς υἱὸς φωτὸς διάμεινον, μὴ ὁμοιωθῇς τοῖς ἀνόμοις, τοῖς ἀπὸ θεοῦ ἀφεστηκόσι καὶ τῷ σατανᾷ ἑαυτοὺς πεπρακόσι. φύγε ἐκ τῆς πόλεως, ἐπεὶ ἁλώσῃ· ἔχεις τὸν Χριστὸν ἐπίκουρον, αὐτός σε διασώσειεν. εὔχου μοι πλεῖστα.

327. Μελετίῳ τέκνῳ

Ἀφ' οὗ ἔμαθον ἀπατηθῆναι τὸν ἐλεεινὸν Γρηγόριον διὰ τῆς ἀσεβοῦς ὑπογραφῆς, / ἐμερίμνων, τέκνον, τὰ κατὰ σὲ πῶς εἴη· καὶ ὡς ἐδεξάμην σου τὸ γράμμα ἀναγγέλλον τὴν ἐξ αὐτοῦ σου διάζευξιν, ἐστέναξα μὲν ἐπ' ἐκείνῳ πῶς ὄλωλεν καὶ ὅπως ἐπιπλάστως ἐδόκουν θεοσεβεῖν οἱ ἀμφότεροι (πάντως γὰρ καὶ ὁ Βασίλειος ἴσα φρονεῖ), εὐχαρίστησα δὲ τῷ θεῷ μου ἐπὶ τῇ σῇ διασώσει, ὅτι σὲ οὐ κατέπιεν ὁ δράκων, ἀλλ' ὡς ἐκ κήτους θαλασσίου ἀνειλκύσθης τῆς φθοροποιοῦ αἱρέσεως.

---

16 δυοῖν ἀδελφούς: Studitae Maximus et Clemens; cf. ep. 302,24

14 Rom. 8,17 19 Joh. 12,36

11 ἀπαρχῆς codd: distinxit Mai 12 μαθητειῶσι C Mai κρῖμα omnes: correxi 13 δηλονότι S 15 ἤσθην C 16 δυεῖν C Mai: δύο S: correxi 18 ὠλέσωσιν C: ὀλέσωσι S

---

327. a. 815 – 818

C (S)

2 ἀφοῦ codd: distinxit Mai 5 ὤλωλε S 6 ἶσα S 7 σε S

Μένε οὖν, τέκνον μου ἀγαπητόν, καθὰ διεσώθης, ὑφέλκων πρὸς ἑαυτὸν καὶ ἑτέρους τῶν ἀπαχθέντων ἀδελφῶν ἐν ἀγνοίᾳ (μᾶλλον ἀπειθείᾳ) ἀπ' ἐμοῦ τοῦ ταπεινοῦ, ἀληθὲς δὲ εἰπεῖν ἀπὸ θεοῦ. ὁ γὰρ ἀλόγως τοῦ ἰδίου ποιμένος ἀπορρηγνύμενος πῶς οὐχὶ τῆς ἀληθείας ἐστὶν ἀποσπώμενος; ἀλήθεια δέ ἐστιν ὁ θεός, ὃς καὶ φυλάξειεν καὶ στηρίξειεν. καὶ εἰ εὐδοκήσειεν συλληφθῆναί σε ὑπὸ τῶν χριστομάχων, δῴη δύναμιν καὶ κραταίωσιν ἐνεγκεῖν πάντα μέχρις αἵματος τῶν ὑπὲρ αὐτοῦ παθημάτων.

328. Ἰακώβῳ τέκνῳ

Γέγραφάς μοι τοῦτο κἀκεῖνο πολλοῖς λόγοις ἐπαινῶν με, ἀλλ' ἐγὼ οὐδὲν ἐμαυτῷ συνεπίσταμαι ἀγαθὸν ἔχων. σοὶ δὲ ἐγὼ εὔχομαι ἐναρξαμένῳ καὶ τελειῶσαι τὸ ἔργον τοῦ θεοῦ, τὸ μαρτύριον τῆς ὁμολογίας Χριστοῦ. διὸ καρτέρει, τέκνον μου ἠγαπημένον, τὰ τῆς φυλακῆς, τὸν ἔσω ἄνθρωπον καθαίρων δι' αἰχμαλωσίας τῶν ἐναντίων λογισμῶν· οὕτω γὰρ ἐμπαράσκευος ἔσῃ ἀεὶ πρὸς τὸν ὑπὲρ Χριστοῦ θάνατον. μακάριος οὐχ ὁ ἐναρξάμενος καλῶς ἁπλῶς, ἀλλ' ὁ τελειώσας τὸ ἔργον Χριστοῦ. τὸν ἀδελφὸν Λουκιανὸν κἀγὼ πενθῶ, ἀλλ' ὅμως ἥττηται κατὰ τὰς ἁμαρτίας μου, καὶ τὸ ἀνακαλέσασθαι ἦτταν δυσχερές.

Προσεύχου περί τε αὐτοῦ καὶ ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἀενάως.

329. Εὐπρεπιανῷ τέκνῳ

Ἐγώ, ὦ τέκνον, ἐπειδὴ ἐλθὼν σὺ πρός με εἰς Ἀνατολικοὺς ὑπέμνησας φιλεῖν σε, ἐγκεκλεῖσθαι μὲν τῷ διωγμῷ ἀπέτρεψα τότε, ἡνίκα δὲ

---

16 Hebr. 12,4

12 ἢ ante ἀπειθείᾳ add S   ἀπειθίᾳ Mai   14 ἔστιν omnes (bis): correxi   ἀπὸ σπώμενος C   φυλάξειε S   15 στηρίξειε S   εὐδοκήσειε S

---

328. a. 817–818

C (S)

2 λόγοις om Mai   12 ἀεννάως S

---

329. a. 818   2 Ἀνατολικούς: Bonetam

C (S)

διέστης τῶν ἀδελφῶν, ἐδόκουν τὸ πλεῖστον διὰ τὸ ἀγαπᾶν σε ἡσυ-/χίαν τοῦτο πεποιηκέναι καὶ οὐκ εἰς πολὺ ἐλάττωμά σου ἡγούμην αὐτὸ εἶναι· διὸ καὶ ἀνιστόρουν κατὰ νοῦν ἐπὶ τὰ Προυσινὰ ὄρη ἐνδιατρίβειν σε καὶ δουλεύειν τῷ θεῷ, καὶ ἔχαιρον. ὡς δὲ νῦν ἤκουσα οὐδὲν τοιοῦτον, ἀλλὰ κωμάσαντα δῆθεν οἰκονομίας τοῦ μὴ ἁλῶναι τῇ αἱρέσει καὶ ἀσπροφοροῦντα, μόνον τε ὄντα καὶ μειζοτερικῶς ἤγουν κουρατορικῶς τῇ ἡγουμένῃ δουλεύοντα ζῷά τε ἐπαγοράζοντα καὶ φορτοκομεῖν ἐκ τῶν ἔσω ἔξω, ἐξιόντα τε καὶ εἰσιόντα, ἐξέστην, παρείθην, ἐγενόμην ὡσεὶ νεκρός. οὐαί μοι, τῷ ἀθλίῳ· ἀδελφέ, τί πεποίηκας, πῶς ἐτόλμησας τοῦτο ὅλον πρᾶξαι; ὁ πρὶν ὁμολογητὴς ἐπί τε τῶν μοιχειανῶν καὶ νῦν τῶν εἰκονομάχων ἄρτι χριστέμπορος, ἐμπορίαν ἡγούμενος τὰ θεῖα· ὁ πάλαι ἀκριβὴς μέχρι βλέμματος νῦν γυναικόδουλος, ἵνα μή τι χεῖρον εἴπω· ὁ λίαν φυγὰς τῶν ἰδίων ἄρτι ὀπισθόρμητος καὶ σὰρξ καὶ αἷμα ἀδελφοῖς συζῶν· ὁ φυγόπατρις ἄρτι λωποδύτης. φησί που ὁ θεῖος Βασίλειος, καὶ τὸν συγκλητικὸν ἀπώλεσας καὶ μοναχὸν οὐκ ἐποίησας, καὶ ταῦτα διὰ τὸ μὴ ἀκριβῶς αὐτὸν ζῆν, ἀλλὰ παρακατασχεῖν τινα τῶν αὐτοῦ χρημάτων. σὺ δέ, συγχώρησον, οὐκ ἀπώλεσας τὸν μοναχόν, ἀλλ' ἤρνησαι· τί σε καλέσωμεν; μοναχόν; ἀλλὰ κωμαστὴς σύ. ἀλλά, φησί, λέγεις ἔνδον φορεῖν μαῦρον καὶ ἐν καρδίᾳ μὴ ἐξαρνήσασθαι. τοῦτο καὶ νῦν πάντες καὶ οἱ κοινωνοῦντες τῇ αἱρέσει λέγουσι. κρεῖττόν σοι, ἄνθρωπε, ἦν κοινωνῆσαι τῇ αἱρέσει καὶ μετανοεῖν ἢ ῥίψαντα τὸ ἅγιον σχῆμα ἀμετανόητον εἶναι· ῥίψας γὰρ αὐτὸ τὸν υἱὸν τοῦ θεοῦ κατεπάτησας, τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγήσω, τὸ πνεῦμα τῆς χάριτος ἐνύβρισας. διὸ οὐδὲ τῶν ἁγιασμάτων μετασχεῖν ἄξιος εἶ. ὤ, ὤ, τί ἔπραξας, καὶ ταῦτα ἐπιστήθιος ὤν; κατήγαγές με εἰς τὰ ᾅδου ταμιεῖα, ἐκέρασάς μοι ποτήριον θανάτου· ἔλαβέν σε ὁ διάβολος διὰ τρόπου ὅπου ἐβούλετο.

Ἀλλὰ ἀνάνηψον, τέκνον μου καλόν, Εὐπρεπιανέ· ἐπαίχθης ὑπὸ τοῦ σατανᾶ, δοκήσας παῖξαι αὐτόν, πρὸς ἡμέρας τινὰς κατὰ περίστασιν / ὑπακοῇ πατρικῇ καὶ διακονίᾳ ὑποφορῆσαι ἄσπρα καὶ κατακαλῦψαι τὴν κεφαλήν, ὥσπερ ἐποίησας σύ, ἐν ἐμοὶ ἐν τῇ φυλακῇ νύκτωρ ἐλθὼν διὰ τῶν κεραμιδίων. ναί, ἐνδέχεται, καὶ αὖθις ἀπιέναι οἴκοι καὶ ἀπορρῖψαι τὸ κάλυμμα τῆς κεφαλῆς καὶ τὸ ἐπανωφόριον καὶ ἔχεσθαι τῆς θείας ἐργασίας. οὕτως δέ, ὡς σὺ ἦς, ῥιψοσχημία ἐστίν. ἐλέησον σεαυτόν, ἀδελφέ, κἀμέ, τὸν ἀνάξιόν σου πατέρα καί,

6 προυσινὰ Mai: προυσηνὰ S 12 οὐαῖ C 23 οἱ C[sscr] 24 ἦν ante ἄνθρωπε transp S[ac] 28 ὢ C (bis) 30 ἔλαβε S 34 κατακαλύψαι C Mai

ἅμα δέξῃ τὰ γράμματα, καὶ τὴν κόμην κεῖρον καὶ τὸ λευκοφόρον ἀπόρριψον καὶ μετὰ ἀδελφοῦ συνδέθητι καὶ ὡς οἱ λοιποί σου ἀδελφοὶ καθέσθητι, ἀντιγράφων μοι εὐθύς, ἵνα πάλιν ἀνταποκριθῶ σοι. οἶδα ὅτι δοκῶν καλὸν ποιεῖν τοῦτο ἔπραξας. ἀλλὰ ἀνάλυσον, τοῦ πονηροῦ ἐστι δρᾶμα.

330. Σπαθαρίᾳ τοῦ Φλαβίου

Ἐν καιρῷ πειρασμοῦ οἱ ἀληθινοὶ φίλοι δοκιμάζονται ὥσπερ καὶ οἱ λιμένες, τοῖς χειμαζομένοις ἐκ καταιγίδος εἰς ὑποδρομὴν φαινόμενοι· καὶ γὰρ εἶ ὡς ἀληθῶς γυναικῶν εὐγενεστάτη καὶ εὐσεβεστάτη, ἄνωθεν καὶ ἐξ ἀρχῆς λιμὴν ὁμοῦ καὶ περιοχὴ πολλῶν ψυχῶν ἀστέγων καὶ ἀτρόφων. καὶ οὐκ ἔστι σχεδόν τις ἐν τοῖς μονασταῖς ὁ μὴ μεγαλύνων σου τὸ ὄνομα καὶ διηγούμενος τὸ φιλόξενον, κἂν αὐτὸς οὐ πέπονθεν, ἀλλ' ἐκ τῶν πεπονθότων ἀκροασάμενος, ὡς καὐτὸς ἐγώ, οὐ μόνον ἔτι ὢν ἐν τοῖς αὐτόθι, ἀλλὰ καὶ ἀπὼν μακροτέρως. τίνες δὲ οἱ ἀπαγγείλαντες; οὓς ὑπεδέξω καὶ ἐτροποφόρησας ἐν τῷ παρόντι καταποντισμῷ τῆς δυσσεβοῦς αἱρέσεως· ἧς ὑπερπλέειν σε εὔχομαι τῷ θεῷ μου, πηδαλιουχουμένην τῷ ἔμφρονι λογισμῷ τῆς εὐσεβείας, ᾗ συνέζησας καὶ ἣν ἐκτήσω ἄνωθεν ὑπερσύμβιον καὶ ἥ σε παραστήσει τῷ θεῷ ἐν τῇ ἐξ οὐρανῶν ἀποκαλύψει αὐτοῦ εὐμενῶς κληρονομοῦσαν τὴν αἰώνιον ζωήν.

Ταῦτά σοι εὔχομαι ὁ ἁμαρτωλὸς διὰ τοὺς περὶ Ἰγνάτιον ἀδελφοὺς ἡμῶν, τιμιωτάτη κυρία.

---

42 ἀντ' ἀποκριθῶ C: ἀποκριθῶ S

---

330. a. 817 – 818   4 εὐγενεστάτη: mulieres non raro alloquitur ita Basilius; cf. Dinneen, Titles 50   5 λιμήν: ad usurpationem vocis tectam cf. H. Rahner, Symbole der Kirche. Salzburg 1964, 548

10 De. 1,31

C (S)

1 fort est σπαθαρέᾳ scribendum, ut Theodorus saepe   4 καὶ εὐσεβεστάτη om Mai   5 ἐξαρχῆς codd: distinxit Mai   8 κ' αὐτὸς C: οὐκ αὐτὸς Mai   11 καταποντισμῷ: διωγμῷ S   ὑπὲρ πλέειν C   σε: τε Mai   13 ὑπὲρ σύμβιον S (fort recte)

331. Μαρίᾳ μοναζούσῃ

Ἀγαθὸν ὄνομα ἠκουτίσθη μοι τῆς τιμιότητός σου καὶ πρᾶξις δεξιὰ καὶ βίος ἐνά/ρετος παρ' ὧν ἀδελφῶν ἡμῶν ξενίζειν καὶ περιέπειν ἀπὸ θήρας τῶν διωκόντων εἵλετο ἡ θεοφιλία σου. καὶ χάρις τῷ θεῷ, ἔχοντι πολλοὺς ἐν ἀφανείᾳ βιωτικῇ περιφάνειαν ἔχοντας θεϊκήν· καὶ γὰρ ὁ Χριστός, παρωσάμενος τὰ ἐν κόσμῳ ἔνδοξα ἐν τῇ διὰ σαρκὸς ἐπιδημίᾳ αὐτοῦ, τὰ ἀσθενῆ καὶ ἐξουθενημένα ἐξελέξατο, ἵνα καταισχύνῃ τὰ πλούσια καὶ ὑψαυχοῦντα κατὰ σάρκα. ἐχέγγυον τῆς πολιτείας σου ταύτης ἡ τῶν ἀδελφῶν ἐστι πρόσληψις· οὓς σκέπουσα νόμιζε Χριστὸν σκέπειν (δι' αὐτὸν γὰρ ἡ φυγαδεία), ἔχουσα καὶ τὴν οἴκοθεν ἀρετὴν εἰς κλέος σωτηρίας. ἐφ' ᾗ φυλαχθείης αὔξουσα ἔτι ἐν ἀγαθοῖς, φρουρουμένη θεοπρεπῶς, πρεσβυτικὴν ἀρετὴν προσφέρουσα Κυρίῳ ὡς ἡ ἀοίδιμος Ἄννα καὶ εἴ τις ἄλλη τῶν ἐπαινετῶν ἐν γήρει πίονι λατρευσασῶν θεῷ.

332. Συμεὼν μονάζοντι

Δεξάμενος ἐπὶ χεῖρας τὴν τῆς ἁγιωσύνης σου ἐπιστολὴν καὶ ἀναγνοὺς καὶ διδαχθεὶς ἕκαστα τῶν συμβεβηκότων αὐτῇ τε καὶ τοῖς σὺν αὐτῇ ἁγίοις πατράσιν ἡμῶν, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς διὰ τὴν ἁπάντων ἱερὰν φυγαδείαν καὶ ἀλλοδαπῇ μετανάστασιν καὶ πειραστικὴν καὶ θλιπτικὴν διὰ τῆς ὧδέ τε κἀκεῖσε ἀπαγωγῆς τε καὶ φρουρητικῆς παρὰ τῶν ἀθέων καταπράξεως, ὁμοῦ μὲν ἐστέναξα ὁ ταπεινός, εἰς οἷα ἤγαγεν ὁ χρόνος πειραστήρια τὰς ἐκκλησίας τοῦ

331. a. 815–818 2 τιμιότητος: ad allocutionem cf. Dinneen l. l. 71 sq.

7 1 Cor. 1,27 sq. 13 Luc. 2,36 sq.

C (S)

2 πράξις C δεξιᾷ C 3 παρ' ὧν: παρὼν C 4 θεοφιλεία C Mai: θεοφίλειά S 12 πρὸς φέρουσα C 13 εἴ τις: ἥτις C

332. a. 815–818 2 ἁγιωσύνης: cf. adn. ad ep. 451,2

4 Philipp. 4,3

C VM PS

5 ἀλλοδαπῇ C: ἀλλοδαπὴν cett Sirm 8 πειρατήρια VMPS (fort recte; cf epp 316,8; 402,16; Bas ep 238 [PG 32,889 C]; attamen supra scripsit πειραστικὴν)

θεοῦ κατασκοπῶν, ὁμοῦ δὲ ἐμακάρισα τὰ ἆθλα τῶν δεδιωγμένων ἕνεκεν Χριστοῦ, ἔπειτα καὶ σέ, τὸν ἄγγελον ἡμῖν γεγονότα ἁπάντων τῶν δραματουργηθέντων, οὐκ ἀποκνήσαντα πρός με τὸν οὐδενὸς ἄξιον καὶ χεῖρα ἐπὶ τὸ γράψαι δοῦναι καὶ ἰχνομυθῆσαι ὅλην τὴν τῆς κακώσεως ὑπόθεσιν. ἀνθ' ὧν εὐλογήσαι σε Κύριος / στηρίξαι τε ἐπὶ πλέον καὶ βεβαιώσαι ἐν τῇ ἀμειλίκτῳ ἐνστάσει τῆς μαρτυρίας Χριστοῦ.

Καὶ γὰρ ἔμαθον ὅτιπερ συμβαλὼν μετὰ τὴν ἔνστασιν τῷ ἀσεβάρχῃ Ἰωάννῃ οὐχ ὑπεστάλης οὐδὲ δεύτερος ἦλθες τῆς εἰς λόγους συμπλοκῆς, ἀλλὰ στερρῶς ἀντικαταστὰς περιεῖλες αὐτὸν καὶ ἀπεστομάτισας νεανικῶς λόγῳ ἀληθείας τῆς δοθείσης σοι ὑπὸ ἐνεργείας τοῦ Ἁγίου Πνεύματος. καὶ γὰρ οὐδὲ πάρεστιν ἐν τοῖς ἠπατημένοις δύναμις λόγου, ἐπεὶ μηδὲ φῶς οὐδὲ ἀληθείας ἀπόδειξις οὐδέ τι εὐθὲς οὐδὲ ὅσιον, ἐν σκότει διαπορευομένοις τῇ ἀσυνέτῳ καρδίᾳ καὶ μεμωραμένῃ σοφίᾳ, τἀληθὲς δὲ εἰπεῖν, ἀσοφίᾳ καὶ ἀμαθίᾳ καὶ τυφλότητι. ἓν δὲ μόνον καὶ πρῶτον καὶ τελευταῖον, ἡ ἐξουσία τοῦ σκότους· τοῦτο αὐτοῖς καὶ λόγος καὶ ὅρος καὶ πίστις καὶ δόξα καὶ ὅπλον. ἐκ τῶν ἔργων αὐτῶν ἐπιγνώσεσθε αὐτούς, ἔφη ὁ Κύριος. τί γὰρ οὐκ ἔδρασαν ἀσεβές τε καὶ ἰουδαϊκόν; Χριστὸν ἐνύβρισαν, τὴν Θεοτόκον, τοὺς ἁγίους· ὧν γὰρ οἱ σωματικοὶ χαρακτῆρες ἀτιμάζονται, αὐτοῖς ἐκείνοις ἡ ὕβρις ἀναπέμπεται τοῖς πρωτοτύποις, καὶ διὰ τοῦτο εἰκότως Ἀντίχριστοι ῥηθεῖεν οἱ εἰκονομάχοι, ἐπειδὴ λέγει ὁ Θεολόγος καὶ εὐαγγελιστής, καὶ νῦν πολλοὶ Ἀντίχριστοι.

Ταῦτα μικρὰ μὲν πρὸς τὴν σὴν σύνεσιν, τῆς ἀγάπης δὲ σύμβολα τῆς ἐν ἑνὶ φρονήματι καὶ μιᾷ ψυχῇ δοθείσης ἡμῖν ὑπὸ θεοῦ. ἀλλά μοι προσεύχου, ἀδελφὲ καλέ, τὰ ἴσα σοι ἐναθλεῖν, καὶ γνωρίσαι μοι πάλιν ἀξίωσον ὅπως σύ τε διάγοις καὶ ὅπως ἔχει καὶ ἕξει τὰ τῆς ἱερᾶς σου συνοδίας.

---

17 Ἰωάννῃ: Grammatico   32 σύνεσιν: titulus saepe apud epistulas Basilii reperitur; cf. Dinneen l. l. 58

---

22 Rom. 1,21   24 Luc. 22,53   26 Matth. 7,20   31 1 Joh. 2,18

---

9 ἄθλα C   12 γράψαι: γράφειν M   14 βεβαιῶσαι CPS[ac]   16 ἀσεβάρχῃ: ἀσεβὰρ M   18 ἀλλὰ: ἀλλ' ὡς M   στερρὸς M   23 ἀμαθείᾳ S   26 ἐπιγνώσεσθαι C   ὁ om M   καὶ ante οὐκ add S   29 διατοῦτο VMPS   32 σύμβολον M   34 ἶσά VPS Sirm

333. Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ

Ὅσον μὲν ἀπὸ γραμμάτων, οὐκ ἔμαθον τὰ τῆς ὑγείας σου. ἀλλὰ φεῦ τῶν ἁμαρτιῶν μου, ὅτι οὕτω γέγονεν· ἐδηλώθη γάρ μοι ὑπὸ τῶν ἀδελφῶν ἡ τούτων μεθ' ἑτέρων ἀπώλεια. καὶ ἴδε, τοῦ διαβόλου ἐνέργεια. ἀλλὰ δόξα τῷ θεῷ τῷ κρύψαντι αὐτὰ ἀπὸ τῶν κρατούντων· ἤμελλον γὰρ πολλοὶ κινδυνεύειν. ἀλλ' ὅτι καὶ οἱ ἴαμβοι συναπώλοντο, οὓς εὖ ποιῶν ἐμέτρησας κατὰ τῶν εἰκονομάχων (οὐ πάντως δὲ ἀμεταγράφους καὶ ἀπαρασημειώτους ἔμελλες αὐτοὺς πέμπειν), ταῦτα μὲν ἐλύπησεν ἡμᾶς, ὡς τὸ εἰκός. ἐγὼ δὲ ὁ ταπεινὸς καὶ αὖθις προσαγορεύω τὴν ἁγιωσύνην σου, γλιχόμενός σου τὸ τίμιον πρόσωπον (καὶ τίνος γὰρ πρὸ σοῦ; καὶ οὐχὶ ἀεί;), οὐ τοσοῦτον ἐκ φύσεως ὅσον ἐκ συμπράξεως, οὐ τῆς χαμόθεν ἐγειρομένης, ἀλλ' οὐρανόθεν ἐνεργουμένης ἐκ πρώτης βαλβῖδος σχεδὸν μέχρι τοῦ δεῦρο, ὡς ἴσασι πάντες καὶ ἐμόρφωσαν οἱ γεννήσαντες, εἴπω καὶ σωματικῶς καὶ πνευματικῶς. εἴη δὲ μένειν ἡμᾶς καὶ πρὸς τὸ ἑξῆς ὡσαύτως καὶ μή με διαιρεῖσθαί σου τῆς ἀρετῆς πλήθει τῶν ἁμαρτιῶν, ἐκ θείας φιλανθρωπίας συγκροτουμένους καὶ ἐντεύξεως τῶν εἰς φῶς ἐνεγκόντων.

Τὰ μὲν δὴ τῆς εὐχῆς τοιαῦτα. τὰ δ' ἄλλα, οἷα καὶ ὅσα ἐπὶ τῆς ἐκκλησίας τοῦ θεοῦ στεναγμῶν καὶ ὀδυρμῶν ἄξια, ἤδη πάντως / ἀκούοις· ἃ γὰρ οὐδὲ οἱ πάλαι αἱρετίσαντες ἔπραξαν κατὰ Χριστοῦ, ταῦτα μανικώτερον ἐξείργασται νῦν. καὶ Χριστὸς καθεύδει, καὶ ἡ ἁλμυρὰ τῆς ἀπιστίας θάλασσα κεκορύφωται, πανωλεθρίαν ποιοῦσα. ἀλλ' εἴησαν σὺν σοὶ οἱ γνησιεύοντες τῶν μαθητῶν, Χριστὸν εἰς ἐπιτίμησιν καὶ καταστόρεσιν τῆς κινδυνεύσεως διεγείροντες. οἴχεταί μου καὶ ὁ τοῦ σχήματος ἀνάδοχος, ἀνὴρ ἀγαθός, ὁμολογίας ἆθλον ἀπενεγκάμενος ἐν τοιαύτῃ χαλεπωτάτῃ νόσῳ, ὡς ἐνδεῶς ἔχειν καὶ τοῦ ἐπὶ κλίνης στρέφεσθαι· πῶς; ἐνστὰς καὶ ἀρθεὶς καὶ φυλακισθείς,

---

333. vere a. 818 22 Χριστὸς καθεύδει: ad hanc elocutionem cf. Theod. Stud. or. 11,27 (829 D); P. J. Alexander, in: Speculum 37 (1962) 356 26 ἀνάδοχος: Theophanes confessor

22 cf. Epiph. hom. in die resurr. (PG 43,465 B) ὁ ὑπνῶν Κύριος

C VM PS

4 ἴδε C: ἤδε cett Sirm (sed cf ep 385,5) 6 ἔμελλον VMP^{pc}S Sirm σὺν ἀπώλοντο C: συναπώλλοντο V 7 ἐμέτρισας C 11 φύσεως: θλίψεως M 13 μέχρι: ἄχρι V 15 ὡς αὕτως C 21 ἀκούεις S^{pc} 23 πανολεθρίαν CP Sirm 25 καταστόρευσιν Sirm (quod lemma ex lexico Lampei delendum) 26 ἄθλον CS 27 ἐνδεῶς: ἡδέως M 28 πως M ἐνστὰς: καὶ στὰς M φυλακισθείς: φενακισθεὶς M

εἶτα καὶ ἐξορισθείς, καὶ ταύτῃ τὸ μαρτύριον τελέσας. οὐ παρεῖδεν οὖν αὐτοῦ Κύριος τοὺς ὑποτακτικοὺς κόπους, ὁπόσους οἶσθα, κἂν ἑάλω κατὰ τὰς ἁμαρτίας μου ἐν τοῖς μοιχειανοῖς φειδοῖ τοῦ σώματος, οὐ συναιρούμενος τῷ φρονήματι, ὡς τὰ πράγματα ἐδείκνυ. διὰ τοῦτο ὑπὸ θεοῦ καὶ ῥαγεὶς τῆς συμμορίας ἑτεραλκέα τὴν νίκην πεποίηται ὥσπερ καὶ ὁ Μηδικιώτης, ἀλλὰ μὴν καὶ ὁ Νικαίας, ὡς γράμμασιν αὐτοῖς ἐπιστώθην. καὶ τί λέγω τοῦτον κἀκεῖνον; καὶ γὰρ πείθομαι καὶ ἕκαστον τῶν ἐνισταμένων οὕτως ἔχειν· ἀλλὰ γὰρ καὶ αὐτὸς ὁ ἀληθινὸς ἡμῶν πατριάρχης ὁμολογῶν ἐστι τὴν ἀλήθειαν, ὡς ἔμαθον ἐκ στόματος τοῦ παρ' αὐτοῦ ἀκηκοότος καὶ ἐπαινοῦντος τὴν τότε ἔνστασιν.

Εἴρηκα ταῦτα, ὁμοῦ μὲν τὸν ἐκδημήσαντα εἰκότως ἀποτιμῶν, ὁμοῦ δὲ καὶ τῇ σῇ ὁσιότητι γνώριμα καθιστῶν τὰ ὀφειλόμενα. ἀλλ' οἶδας ὅτι τὸ ἐγκόλπιον κακὸν Λεόντιος ὁ ποτὲ ἡμέτερος ὡς συναπήχθη τοῖς μοιχειανοῖς πρότερον καὶ νῦν προστάτης τῶν εἰκονομάχων. διὰ τοῦτο καὶ τὰ Στουδίου παρέλαβεν καὶ τοῦ Σακκουδίωνος ἀνόμως ἄρχει. ἐξ ἀκαθάρτου οὐδὲν καθαρόν· οἷος ὁ φύσας κατὰ σάρκα, τοιοῦτον δὴ καὶ τὸ γέννημα. ὃν ὁ θεὸς μεταστρέψειεν εὐχαῖς σου ἁγίαις κἀμὲ στηρίξειεν τὸν ἁμαρτωλὸν εἰς φόβον αὐτοῦ. τοὺς ἠξιωμένους ὑπηρετεῖσθαι τῇ τιμιότητί σου προσφθέγγομαι. ὁ σὺν ἐμοί σε δουλικῶς προσκυνεῖ.

334. Ἀθανασίῳ τέκνῳ

Χαίρω, τέκνον, δεχόμενός σου γράμμα τῆς ἐμμελείας, ἐξ ὧν οὐ μόνον τῆς φωνῆς σου ἀκούων ἥδομαι, ἀλλὰ καὶ τὴν προκοπὴν τῆς ὑπαγορείας ὁρῶν εὐφραίνομαι. χρῶ τοιγαροῦν τῷ γράμματι, ἐπὰν

34 Μηδικιώτης: Nicetas   Νικαίας: Petrus   37 πατριάρχης: Nicephorus

33 Hom. Il. 16,362   45 Tit. 1,15

32 συναιρόμενος PS   τὰ πράγματα C: τὸ πρᾶγμα cett Sirm   διατοῦτο VMPS 36 καὶ^1 S^{sscr} 37 ἔστι C   42 τὸ V^{sscr} 43 διατοῦτο VMPS   44 παρέλαβε VMPS Sirm   σακουδίωνος S   47 στηρίξειε VMPS Sirm   49 σὲ Sirm: om PS

334. vere a. 818   2 ἐμμελείας: allocutio saepe cum litterarum mentione ut hoc loco coniungitur; cf. Dinneen, Titles 64 sq.

C (S)

4 σου post ὑπαγορείας inser Mai   τοίγαρ οὖν C

κατ' ἀμφότερα λυσιτελοίη· ἐπεὶ καὶ τὰ φρέατα ἀντλούμενα εὐρύνεται τοῖς ῥείθροις, ταῦτ' ἤδη καὶ γλῶττα ἐξεργαζομένη τὰς ἐπιστολάς. ἐγὼ δὲ οὐκ οἶδά τι ἐμαυτῷ δεξιόν, κἂν πλείονα τοῖς κατ' ἐμοῦ ἐγκωμίοις διεξερχόμενος εἴης· ἀλλά με τοσοῦτον συστέλλεις, ὁπόσον καὶ ἐπαινοίης, αἰσθόμενον τὰ κατ' ἐμαυτόν. εἰ δέ τι ὑμῖν φαίνοιτο εἰς ὄνησιν τῶν παρ' ἡμῶν λεγομένων, τῷ θεῷ ἀναθετέον τὸ πρᾶγμα, παρ' οὗ δι' ὑμᾶς καὶ ἐν τῷ τυφλῷ φῶς καὶ ἐν τῷ ἀλόγῳ λόγος, μικρός τις καὶ πενιχρός· ὃν οὐ συστελτέον, ἀδελφέ, ἀλλ' ἐξεργαστέον δέει τῆς ἀπειλῆς καὶ ἐλπίδι τῆς ἀποδοχῆς. ὅτι δὲ ὧδέ τε κἀκεῖσε περιέρχῃ, τόπον ἐκ τόπου ἀμείβων φειδοῖ τῶν διωκόντων, πῶς οὐ τοῦ καιροῦ, ὃ καὶ τληπαθὲς καὶ στενακτικόν; ἀλλ' ὅτι διὰ Χριστὸν εἴη, χαρμονικὸν καὶ διανυστικόν.

Εὖ δὲ ποιήσαι Κύριος τῷ ἀγαθῷ σπαθαρίῳ, ξεναγοῦντι καὶ περιέποντί σε διὰ Χριστόν· ὅς γε κἀμοὶ χρηστὸς ὦπται ἐν πολλοῖς. τα-/νῦν ἐπέστειλα τῷ ἀρχιεπισκόπῳ, τὸ δὲ μὴ πρότερον, ὡς ὑπέλαβες, μὴ ἀντίδοσιν τῶν προαγόντων δεξάμενος· ἐπεὶ ἐμοὶ τίς προτιμότερος ἐν κόσμῳ ἐκείνου ἐφ' ἅπασιν, ὡς τὸ εἰκὸς ἔχει καὶ δίκαιον; εἶδες δὲ σκαιωρίαν τοῦ δαίμονος, ὅτι ἀπώλοντο αἱ ἐπιστολαί· ἀλλὰ δόξα θεῷ τῷ μὴ ἔκφορα ποιήσαντι τὰ γράμματα τοῖς κρατοῦσιν. κεκοίμηταί μου ὁ πνευματικὸς πατήρ, καθὰ ἐσήμανας. ἀλλὰ ἀνάγνωθι τὴν ἐπιστολὴν τοῦ ἀρχιεπισκόπου κἀκεῖθεν γνοίης ὅσον ἐστέναξά τε καὶ ἐλάλησα καὶ περὶ ἑτέρων προσώπων. εἴη δὲ ἐν ἀναπαύσει καὶ ὁ στρατηγήσας ὁμώνυμός μου καὶ δι' αὐτὸ τὸ μνημονεῦσαί μου τοῦ ἀναξίου ἐν τοῖς τελευταίοις. ὡς ἐπαινετὸς σύ, παρὰ τοιούτων προσκαλούμενος καὶ ἐπὶ τοιαύταις ὑποθέσεσιν· ὀφθείης ἔτι ὁσιώτερος καὶ αἱρετώτερος ὑπὸ πολλῶν διὰ ⟨τὸ⟩ τὸν ἕνα σε καὶ μόνον Κύριον τῶν ἁπάντων θεραπεύειν· ᾧ μάλα προσκολλώμενος μᾶλλον ὑψωθήσῃ καὶ τιμηθήσῃ, εἴπερ ἀληθεύει λέγων, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ ὁ ἐξουθενῶν με ἀτιμασθήσεται.

Τί δὲ τοσαύτην ἕλκεις νηστείαν, ἀδελφέ, τριημερίζουσαν; εὖ ποιεῖς, δουλαγωγῶν τὴν σάρκα καὶ ὑποπιέζων· ἀλλὰ τήρησον μέτρον,

---

17 σπαθαρίῳ: Flavius? cf. ep. 330,1 19 ἐπέστειλα: ep. 333 ἀρχιεπισκόπῳ: Josephus 24 πατήρ: Theophanes

---

32 1 Reg. 2,30 35 1 Cor. 9,27

5 εὐρύνεται codd: corr Mai 12 an συσταλτέον? sed cf Psaltes, Grammatik 3 17 ποιῆσαι C Mai 18 τὰ νῦν C Mai 23 κρατοῦσι S 26 ἐν ἀναπαύσει in marg S 30 τὸ inserui τὸν C: τὸ S (quod sine supplemento mavult Kambylis) 31 ὑψωθήσει C 32 τιμηθήσει C an ⟨ὁ⟩ λέγων scribendum? 35 ὑποπιέζον C^{pc}: ὑποπιάζων S: corr Mai (cf ep 292,30)

ὃ δύνῃ ἀποπερᾶναι μεθ' ὑγείας τοῦ σώματος, καὶ τοῦτο κράτιστον. τὸ λοιπὸν προσεύχου περὶ ἐμοῦ τοῦ ταπεινοῦ εἰς τὸ σῴζεσθαι. ὁ σὺν ἐμοὶ προσαγορεύει. τοὺς σὺν σοὶ ἀσπάζομαι.

335. Ἄνθῳ τέκνῳ

Καὶ γράφων σοι, τέκνον, καὶ μὴ γράφων ἀληθάργητόν σε ἔχω ἐν τῇ ταπεινῇ μου ψυχῇ οὐ μόνον διὰ τὴν ἐκ παιδὸς ἐπιμέλειάν σου τῆς ψυχῆς, ὅτι οὐ παιδικὰ καὶ νηπιάζοντά σου τὰ φρονήματα, γηράλεα δὲ καὶ ἀνδρικά, οὐκ ἐμπαρέντος ἐν ἀκαθέκτοις ὁρμαῖς καὶ φαύλοις δράμασιν, ἀλλὰ γὰρ καὶ διὰ τὸ συνεῖναί σε τῷ ἐμῷ μόνῳ ἀδελφῷ καὶ σοῦ πατρί· ἀρετῆς γάρ σου οὐ τῆς τυχούσης δεῖγμα, ἐκ πάντων εἰλῆφθαι αὐτῷ εἰς συγκακοπάθησιν εἴτουν ὑπηρεσίαν. ἔχου τῆς διακονίας σου, ὡς ἐν ὀφθαλμοῖς Κυρίου πάντα ποιῶν καὶ λέγων, ἐν ᾧ ὁ μισθός σου πολὺς καὶ ἡ δοκιμή σου χρυσῆ καὶ ἡ πίστις σου ἀκραιφνής, καὶ ἡ ἐμὴ τοῦ ταπεινοῦ πρὸς σὲ ἀγάπη Χριστοῦ γνησιωτέρα καὶ ἀποδοχὴ τῷ ὄντι πο/λυτελεστέρα.

Βραχέα ταῦτα, ἀλλὰ δυνάμεως ἱκανῆς. προσεύχου, τέκνον ἠγαπημένον, περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ σου πατρὸς θερμῶς.

336. Εὐχαρίστῳ τέκνῳ

Καὶ πάνυ σοι χρεία ἐπιστεῖλαί με, ὦ τέκνον, κἂν αὐτὸς σὺ οὐκ ἐπεζήτησας· ἆρα γὰρ οὐκ ἐπαινετὸς καὶ ἀξιόδεκτος, ὅτι μόνος σχεδὸν ἀνατλᾶς κόπους καὶ ὁδοιπορίας κινδύνους τε καὶ περιστάσεις, διακονῶν τῷ ἁγίῳ ἀρχιεπισκόπῳ; ὡς μακαριστόν σου τὸ ἔργον, ὡς

---

36 ἀπὸ περᾶναι C: ἀποπεράναι S 37 τολοιπὸν S

---

335. vere a. 818

10 Matth. 5,12

C (S)

1 Ἄνθῳ: Ἀνατολίῳ Mai 4 γηράλαια S 8 εἴτ' οὖν C 10 ὁ om Mai 12 τῳόντι S

---

336. vere a. 818 5 ἀρχιεπισκόπῳ: Josephus

C (S)

ἀθλητικόν σου τὸ δρᾶμα· ἐν μέσῳ παγίδων εἴλω διαβαίνειν, ἐπ' ἀνθράκων πυρὸς περιπατεῖν· τοιαῦτα γὰρ τὰ τῶν δυσσεβούντων.

Ἀλλ' ἔτι ἴσχυε, τέκνον, καὶ ἀνδρίζου· τὴν διακονίαν σου πληροφόρησον, πολυπλασίασον τὸ τάλαντον, ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μακαριζόμενος εἰς αἰῶνας. τὸ λοιπὸν προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ταπεινοῦ σου πατρός.

337. Λέοντι

Εὖ πεποίηκας, τέκνον πνευματικόν, ἐπιστείλας ἡμῖν, εἰ καὶ βραχέα, πλὴν ὅτι ἀρκοῦσαν ἔχοντα δύναμιν τῆς συνέσεώς σου καὶ ὑποδεικνύντα ὅτι, εἰ καὶ τῷ σχήματι πρὸς ἡμᾶς πτόρθος, ἀλλ' οὐ τῷ τρόπῳ. σὺ δὲ καὶ ἄλλως δίκαιος ἂν εἴης συνάπτεσθαι ἡμῖν υἱικῶς, τέκνον χρηματίζων τοῦ ἀδελφοῦ ἡμῶν καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου, καὶ τέκνον γνησιώτατον· τὸ γὰρ ὀπαδὸν αὐτοῦ γενέσθαι ἐκ παντὸς τοῦ κληρικοῦ πληρώματος μόνον καὶ συναθλεῖν καὶ συνδιώκεσθαι τοῖς ὑπερέχουσι τῶν ἀδελφῶν ἀπόδειξιν πολλῆς γνησιότητος ἔχει, καὶ μὴν πρὸς θεὸν ἀγάπησιν κραταιάν. διὰ τοῦτό σε καὶ ἡμεῖς οἱ ταπεινοὶ καὶ ἀγαπῶμεν καὶ περιέπομεν καὶ ἐν τῷ καταλόγῳ τῆς ἀδελφότητος ἡμῶν ἀριθμοῦμεν.

338. Κωνσταντίνῳ

Τίς ἡ αἰτία τοῦ ἐπιστεῖλαί με τῇ τιμιότητί σου; ἡ καλή σου περὶ τὴν πίστιν ὀρθότης, ὅτι οὐ συναπήχθης τοῖς χριστοδιώκταις, ῥίψας τοὺς λογισμοὺς φέρεσθαι ὅπῃ ἄγουσιν, ἀλλ' ὡς ἐπιστήμων κυβερνήτης καθέζῃ ἐπὶ τῶν νοητῶν οἰάκων, εὐθύνων τὴν / ψυχικὴν ὁλκάδα εἰς καλοὺς τῆς ὀρθοδοξίας λιμένας, πρύμναν κρουσάμενος

6 Sir. 9,13 Prov. 6,28 8 2 Tim. 4,5 9 Matth. 25,14 sq.

6 δράμα Mai 10 τολοιπὸν S

337. vere a. 818

C (S)

3 ἀρκοῦσαν: ἀρκοῦσα οιει S^pc ὑποδεικνῦντα C Mai 5 υἱκῶς codd: corr Mai

338. a. 815 – 818

C (S)

τὰς αἱρετικὰς τρικυμίας αὔραις τοῦ πνεύματος. τοῦτο ἐπεὶ ἐδιδάχθην παρὰ τοῦ ἐπιδιδοῦντός σοι τὰ γράμματα ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ, καλῶς ἔχειν ἔδοξα ἐπιστεῖλαι, συνάπτων ἐμαυτὸν τῇ ἀγάπῃ σου, ὅπερ ποιεῖν τὸν χριστιανὸν ἀναγκαῖον, μάλιστα δὲ ὅταν τέτμηται αἱρέσεως μαχαίρᾳ ὑπὸ τοῦ διαβόλου ὡς νῦν τὸ σῶμα Χριστοῦ.

Φυλάττοιο δὴ οὖν, ὦ ἀγαθὲ ἄνερ, προμηθείᾳ θεοῦ ἀπήμων, ἐποικοδομῶν τῷ θεμελίῳ χρυσόν, ἄργυρον, ἤγουν λίθους τιμίους, ὡς ἂν ναὸς Κυρίου χρηματίσοις. εἶεν.

339. Πρεσβυτέρῳ

Ἐν χειμῶνι εἴ τις ἴδοιεν ῥόδον, εἰκότως προστρέχοι ὡς ξένου ὄντος θεάματος καὶ τῷ ὑποδείξαντι χάριν ὁμολογεῖ· τοιοῦτος σύ, ὦ ἱερὲ ἄνθρωπε τοῦ θεοῦ, ἐν τῷ τῆς ἀπιστίας χειμῶνι ἐγνώσθης ἡμῖν, καὶ ὁ ὑποδείξας σέ, τὸ ἔμψυχον ῥόδον καὶ ὀρθόδοξον, ὁ γραμματοδότης, ἐμὸς υἱὸς ἀγαπητός. εἶδον δὲ οὐκ αἰσθητῶς, τῇ τοῦ νοῦ δὲ θεωρίᾳ, καὶ προσέδραμον οὐ ποσίν, ἀλλὰ γράμμασι, καὶ ὠσφράνθην οὐ ῥισίν, ἀλλὰ πνεύματι, καὶ ἡδεῖά μοι ἡ ὀσμὴ μάλα, μᾶλλον δὲ Κυρίῳ· ὅς καὶ διαφυλάξειέν σε ἄδρεπτον ἐξ αἱρετικῶν χειρῶν, ὡς ἂν εὑρεθείης ἐν τῷ νοητῷ ἔαρι παριππεύσει τοῦ τῇδε πικροῦ κρυμοῦ εἰς πλοκὴν στεφανώσεως τῆς δόξης αὐτοῦ.

Χαρίζου ἡμῖν ὧν ἔχεις τὸ κάλλιστον, τὰς ἱερὰς προσευχάς.

---

12 1 Cor. 3,12

10 ὅτ' ἂν C 11 μάχαιρα C 12 ἐπ' οικοδομῶν C

---

339. a. 815 – 818 2 ῥόδον: cf. adn. ad ep. 393,6

C (S)

2 ἴδοιε S πρὸς τρέχοι C: προστρέχει S 9 διαφυλάξειέ S 10 ἔαρι om Mai

340. Θαλελαίῳ τέκνῳ

Καλῶς ἐποίησας ἐπιστείλας μοι, τέκνον ἠγαπημένον· ἔδειξας γὰρ ἐν τούτῳ τὴν πίστιν καὶ ἀγάπην σου. ἀλλὰ τί μοι ἐπαίνους ᾄδεις, ὧν ἀμοιρῶ κατὰ πάντα; οὐκ οἶδας ὅτι ἁμαρτωλὸς ἐγὼ καὶ ἰδιώτης τῷ λόγῳ; ἀλλ' ἡ ἀγάπη κλεπτίστατος, τὰ μὴ ὄντα τοῖς ἀγεράστοις παρὰ τῶν φιλούντων προσάπτουσα. ἀφέμενος οὖν τὸ ἐπαινεῖν προσεύχου μᾶλλον, τέκνον, στηρίζεσθαί με ἐν Κυρίῳ καὶ σῴζεσθαι ἐν παντὶ τρόπῳ ἀπὸ τοῦ πονηροῦ. ἡ σωματική σου ἀσθένεια ἐν εὐχαριστίᾳ εἴη πρὸς θεὸν καὶ μὴ λυποῦ τὸν τρόπον ἐξ οὗ ἦλθεν. οἶδεν Κύριος τὰ συμφέροντα ἑκάστῳ τιθέναι, πλὴν ἀγνοῶ ὅθεν σοι ἧκεν· ἡ βλασφημία καταφρονείσθω καὶ οἰχήσεται θᾶττον, φοβοῦσα δὲ μᾶλλον παραγίνεται. ἧς ῥυσθείης θεοῦ ἐπιρρώσει. εἰ καὶ καταπόνησις πολλὴ παρὰ τῶν διωκτῶν, ἀλλὰ τὸ βραβεῖον οὐράνιον. εἴπερ οὖν συμπάσχομεν, καὶ συνδοξασθῶμεν· οὐ γὰρ εὐπαθείας ὁ καιρός, ἀλλὰ μαρτυρίου. /

Τὸ πρόβλημα περὶ τοῦ πρεσβυτέρου τοῦ ὀρθοδοξεῖν δοκοῦντος, συνεσθίοντος δὲ ἐπισκόπῳ, καθὰ εἴρηκας, εἰ μὲν παύσοιτο τῆς τοιαύτης συνεστιάσεως μετ' ἐπιτιμίου ἀπείρξεως τῆς ἱερουργίας ἕως τινὸς χρόνου μηκέτι εἰς τὸν αὐτὸν ὄλισθον ὑποπίπτειν, ἔχει ἴασιν τοῦ ἱερουργεῖν θεῷ· εἰ δὲ ἀδιαφοροίη, μὴ γένοιτο λύτρον ἀνδρὸς ὁ ἴδιος πλοῦτος τοῦ φυγεῖν τῇ δόσει καὶ αἱρετικῆς κοινωνίας καὶ ἁμαρτητικῆς ἄλλης πράξεως, οὐ μὴν τῇ ἀνταλλαγῇ δοῦναι τὸ καλὸν καὶ λαβεῖν τὸ χεῖρον, οἷον δοῦναι φῶς καὶ λαβεῖν σκότος. οὐδ' ἂν τὰ ὅλα χρήματα τοῦ κόσμου παρέξει τις καὶ κοινωνοίη τῇ αἱρέσει, φίλος θεοῦ καθίσταται, ἀλλ' ἐχθρός. καὶ τί λέγω κοινωνίας; κἂν ἐν βρώματι καὶ πόματι καὶ φιλίᾳ συγκάτεισι τοῖς αἱρετικοῖς, ὑπεύθυνος· τοῦ Χρυσοστόμου ἡ ἀπόφασις, ἐπεὶ καὶ παντὸς ἁγίου. πῶς δὲ ἀκούσιον καὶ οὐκ ἔργον τῷ δοκοῦντι ὀρθοφρονεῖν, κοινωνοῦντι δὲ ὅμως

340. a. 816 – 818

2 Bas. ep. 262,1 (PG 32,973 A = III 119 Courtonne) 5 Greg. Naz. or. 2,1 (PG 35,408 B = p. 86 Bernardi) 13 Rom. 8,17 20 Prov. 13,8

C VM PS

1 θαλλελαίῳ CPS 6 τὸ C: τοῦ cett Sirm 8 εὐχαριστείᾳ C 9 οἶδε VMPS Sirm 10 ὡραῖον in marg C 12 παραγίνεται: περιγίνεται M, non infeliciter 14 ἵνα ante καὶ inser Mi 17 σὺν ἐσθίοντος C post ἐπισκόπῳ exc fort vox αἱρετικῷ 18 σὺν ἐστιάσεως C 19 μὴκ' ἔτι C αὐτὸ P 20 ἀδιφοροίη V 21 σὺν post φυγεῖν inser Sirm 22 ἀντ' ἀλλαγὴ C 24 κοινωνείη C: κοινωνῶν εἴη cett Sirm: correxi 26 πώματι C

τῇ αἱρέσει; ἀκούσιόν ἐστιν, ὅταν τὸ στόμα τις ὀρθοδόξου βιαίως ἀναχάνας ἐγχέῃ τὴν αἱρετικὴν κοινωνίαν, ὅπερ ἐποίησαν οἱ πάλαι αἱρετικοὶ καὶ ποιοῦσιν, ὡς ἔμαθον, οἱ νυνὶ χριστομάχοι· τὸ δὲ ἀφ' ἑαυτοῦ μετασχεῖν ἑκούσιον. εἰ δὲ ὅτι δέει (τοῦτο γάρ ἐστι τὸ ζητούμενον), οὐδὲ οὕτως ἕξει ἀπολογίαν· μὴ φοβεῖσθε γὰρ ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, ἀλλὰ θεόν, τὸν τὸ συναμφότερον γεέννῃ αἰωνίου πυρὸς παραπέμποντα, ἀκούομεν. ἀληθῶς ὁ κόσμος ὅλος ἀντάξιος μιᾶς ψυχῆς οὐκ ἔστιν, τῆς φυλαττούσης ἑαυτὴν ἀμέτοχον καὶ αἱρετικῆς κοινωνίας καὶ παντὸς κακοῦ· οἱ δὲ ἀμφοτέρων μέτοχοι χόρτῳ ἰσότιμοι, ξύλοις, καλάμῃ. ἃ κατακαύσειεν τὸ δοκιμαστικὸν πῦρ τῆς κρίσεως, τοὺς δ' αὐτῶν πράκτορας συντηρήσει ἀιδίως φλογιζομένους καὶ μὴ χωνευομένους.

341. Θεοδούλῳ τέκνῳ

Ἡδέως ἔχω, τέκνον μου, δεχόμενός σου γράμματα, ἐλυπήθην δὲ ὅτι ἐν πόνοις εἶ τοιούτοις μετὰ καὶ τῆς φυλακῆς· ἀλλ' ὅτι διὰ Χριστόν, ὑπομονητέον πάντα. ἆρα δὲ ἐάσει σοι τὸν συνόντα ἀδελφὸν ὁ ἀγνώμων μαθητὴς καὶ προδότης τῆς ἀληθείας Λεόντιος; αὐτὸς γὰρ παρέλαβεν καὶ τὸ Βοσκοίτιον, ὡς Ἰούδας τὴν ἀγχόνην κληρωσάμενος· ὅς γε καὶ τοὺς ἀδελφοὺς ἔσω ἐστενοχώρησεν, καὶ σὲ τὸ αὐτὸ οἴομαι αὐτὸν ποιεῖν.

Ἀλλὰ στῆθι, ἀδελ/φέ μου, μέχρις αἵματος κατὰ τοὺς μακαρίους ἀδελφούς σου, ἵνα σὺν αὐτοῖς σωθείης ἐν Κυρίῳ. εὔχου μοι θερμῶς. προσειπὲ τὸν ἀδελφόν.

33 Matth. 10,28 35 Hebr. 11,38

29 αἱρέσει: ἀρέσει Mi ὅτ' ἂν C τοῦ ante ὀρθοδόξου inser Sirm 30 ἐγχέει C 33 an ἀποκτεννόντων scribendum? cf Matth l. l. 34 τοσυναμφότερον S 35 παραπέμποντος C ὅλος ante ὁ transp M ἀντ' ἄξιος C ἀντάξιος post ἔστιν transp VMPS Sirm 38 κατακαύσειε VMPS Sirm

341. a. 817 – 818 6 Βοσκοίτιον: monasterium Saccudionis; cf. ep. 333,44 sq.

9 Hebr. 12,4

C (S)

6 παρέλαβε S Βοσκοίτιον: legitur Βοσκύτιον in ep 130,9; vita A 6,7 (121 B – D) 7 ἐστενοχώρησε S Mai 11 πρὸς εἰπὲ C: πρόσειπε S

342. Συμεὼν τέκνῳ

Ἄρτι ἔφθασα ἐπιστεῖλαί σοι, τέκνον μου ἠγαπημένον· δι᾽ ἣν αἰτίαν ἐβράδυνα οἱ ἀδελφοὶ ἀπαγγελοῦσιν. ἃ μὲν οὖν προέγραψας, ἔγνων καὶ ἀπεδεξάμην ἐν πᾶσιν, ὅτι ἀγαθῆς διαθέσεως πάντα· καὶ ἐπαινετὸς εἶ, ὅτι καλῶς καθέζῃ ἐπὶ σωτηρίᾳ μὲν σαυτοῦ καὶ τῶν ὄντων μετὰ σοῦ, ἐπ᾽ οἰκοδομῇ δὲ τῶν ἔξω, μὴ ἀστατῶν μηδὲ γυροκοπῶν, ἀλλ᾽ ἐν ἡσυχίᾳ καὶ εὐχαριστίᾳ καὶ ὑπομονῇ τὸν διωγμὸν παραπέμπων. διὰ τοῦτο καὶ ἀσπαστὸς γέγονας τοῖς ξενίζουσί σε καὶ ἀκούουσιν. ἔτι οὖν ἔχου τῆς ἐργασίας σου, σοφιζόμενος τὰ θεῖα, φωτιζόμενος τοὺς νόας, φεύγων τὸν ἐχθρόν, ἐγγίζων τῷ θεῷ, ἵνα ἐπιτυχὼν αὐτοῦ κληρονομήσῃς βασιλείαν οὐρανῶν. βοήθει, καθὼς καὶ προέγραψά σοι, εἴ τις τῶν ἀδελφῶν κακοτροπεῖ, γράφων αὐτῷ ἢ καὶ ἀπιὼν πρὸς αὐτόν. ὁ Ἀκάκιος, ὁ κατὰ σάρκα ἀνεψιός σου, μετὰ τῶν ὑπηρετούντων μοί ἐστι καὶ ἔγραψέν μοι· ὁ γὰρ οἰκονόμος συνελήφθη.

Προσεύχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ὁ σὺν ἐμοὶ ἀδελφὸς προσαγορεύει. τοὺς σὺν σοὶ ἀσπάζομαι. ὁ Κύριος μετὰ σοῦ.

343. Εὐθυμίῳ τέκνῳ

Χαῖρε ἐν Κυρίῳ, καλὲ Εὐθύμιε· ἠξίωμαι καὶ αὖθίς σε ἰδεῖν διὰ τοῦ γράμματος, ὁμοῦ δὲ καὶ περιπτύξασθαι ὡς ὀφθαλμόν μου, ὡς σπλάγχνον μου, ὡς υἱὸν φωτός, ὡς ὁμολογητὴν Χριστοῦ. εἰ δὲ ὅτι βραδύ, διηγεῖται ὁ γραμματηφόρος τὰς αἰτίας. ἔτι οὖν καιρὸς ὑπομονῆς. διὸ μακροθυμήσωμεν, ἀδελφέ, ἵνα τὰς ἐπαγγελίας τοῦ θεοῦ κομισώμεθα, βιοῦντες εὐσχημόνως εἰς δόξαν θεοῦ διὰ πάσης φυλακῆς τῶν ἐντολῶν αὐτοῦ.

---

342. hieme a. 817 – 818 vel vere a. 818 14 οἰκονόμος: Naucratius 15 ἀδελφὸς: Studita Nicolaus

11 1 Cor. 6,10

C (S)

8 διατοῦτο S

---

343. hieme a. 817 – 818 vel vere a. 818

4 Joh. 12,36

C (S)

Προσεύχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζοιμι. ὁ σὺν ἐμοὶ ἀδελφὸς πρασαγορεύει σε. ὁ Κύριος μετὰ σοῦ. /

344. Ἐφραὶμ τέκνῳ

Χάρις σοι παρὰ Κυρίου, τέκνον Ἐφραίμ· ἰδοὺ καὶ πάλιν ὁρῶ σε τῷ γράμματι. πῶς ἔχεις; πῶς ἡ ὑπομονή; πῶς ἡ ἐργασία; οἶδα ὅτι καλῶς, ἐπείπερ διὰ Χριστὸν ἡ ἐξορία καὶ ὁ περιορισμός. ἐβράδυνα ἐπισκέψασθαι, ἀλλὰ τὴν αἰτίαν ἀπαγγελοῦσιν οἱ ἀδελφοί. ὑπομένων ὑπόμεινον τὸν Κύριον, διαβιβάζων διαβίβαζε πᾶσαν ἡμέραν ὡς στρατιώτης Χριστοῦ, καθαίρων λογισμούς, φωτίζων τὴν ψυχὴν τῇ μνήμῃ θεοῦ καὶ τῶν αἰωνίων ἀγαθῶν. ὁ κόσμος ὄναρ, ἡ ἀρετὴ ζῶσα· ταύτην διώξωμεν, ἵνα δοξασθῇ ὁ θεὸς ἐν ἡμῖν καὶ σωθῶμεν ἡμεῖς.

Προσεύχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει σε. ὁ Κύριος μετὰ σοῦ.

345. Ἀφροδισίῳ τέκνῳ

Εὖγε, τέκνον μου Ἀφροδίσιε, εὖγε, τέκνον μου ἠγαπημένον· εἰρήνη σοι ἐν Κυρίῳ, ἐν ᾧ ἡ ἐλπίς σου, δι' οὗ ἡ ἐξορία καὶ ὁ περιορισμός. πῶς δή, καλῶς ἔχεις; ὑπομένων ὑπομένεις τὸν Κύριον; καί γε προσσχοίη σοι καὶ εἰσακούσοι τῆς δεήσεώς σου, φυλάττων καὶ σκέπων σε ὡς κόρην ὀφθαλμοῦ.

Ὅτι βραδεῖα ἡ ἐπίσκεψις, ἀπαγγελεῖ ὁ ἀδελφός. ἔτι στῆθι, ἔτι μακροθύμησον, ἔτι δεήθητι, ἐγγιεῖ Κύριος, ταχυνεῖ τοῦ ἐπισκέψα-

---

9 ἁμαρτωλοῦ: ἀδελφοῦ Mai

---

344. hieme a. 817 – 818 vel vere a. 818 6 διαβιβάζων διαβίβαζε: cf. adn. ad ep. 360,2

5 Ps. 39,2 6 2 Tim. 2,3 7 2 Cor. 10,4

C (S)

2 σε: τε Mai 7 τοῦ post μνήμῃ add S

---

345. hieme a. 817 – 818 vel vere a. 818

4 Ps. 39,2 5 Ps. 16,8 8 Ps. 26,4

C (S)

5 προσχείη omnes: correxi εἰς ἀκούσῃ C: εἰσακούσῃ S

σθαι τὸν λαὸν αὐτοῦ. μόνον ἡμεῖς φόβῳ καὶ τρόμῳ δουλεύσωμεν αὐτῷ. δεῖξον ἑαυτὸν τοῖς ὁρῶσί σε καὶ ἀκούουσιν ἄγγελον ἐν σώματι, φωστῆρα θεοφανῆ, ἵνα δοξάζηται διὰ σοῦ ὁ θεός. προσεύχου καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἵνα σῴζωμαι. προσαγορεύει ὁ σὺν ἐμοὶ ἀδελφός. ὁ Κύριος μετὰ σοῦ.

346. Ὑπερεχίῳ τέκνῳ

Εὖγε, εὖγε, Ὑπερέχιε τέκνον μου· φέρε, φέρε τὸν χαλεπὸν καιρόν, τὴν ἐξορίαν, τὴν κάκωσιν. διατί βραδεῖα ἡ ἐπισκοπή, διδάξουσίν σε οἱ ἀδελφοί· πλὴν ἐγὼ καὶ ἄλλην σοι ἐπιστολὴν ἔπεμψα, ἐν ᾗ ἔδωκά σοι τὴν συγχώρησιν, καὶ νῦν ὁ θεὸς συγχωρήσει σοι καὶ ἐκεῖνο καὶ πάντα.

Ἀπόθες τὴν λύπην· πᾶς πατὴρ καὶ παιδεύει καὶ πάλιν παρακαλεῖ, καὶ / ὁ ἀπαίδευτος καὶ ἀνεπιτίμητος ἄχρηστος. σὺ οὖν γίνοιο χρηστός, δόκιμος, καθὼς καὶ ἔπαθες ὑπὲρ Χριστοῦ. βλέπε, τέκνον, σεαυτὸν πῶς καθέζῃ, πῶς διαζῇς, φύγε τὰς τῶν πτωμάτων ἀφορμὰς καὶ τοὺς τρόπους καὶ τοὺς τόπους, ἵνα σῴζῃ ὡς υἱὸς φωτός. ὑπόμεινον ἔτι. προσεύχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. προσαγορεύει σε ὁ σὺν ἐμοί. ὁ Κύριος μετὰ σοῦ.

---

13 ἀδελφός: Studita Nicolaus; cf. p. 239* adn. 329

9 Ps. 2,11 **11** 1 Petr. 4,11

11 σου Mai **12** σε post προσαγορεύει inser S

---

346. hieme a. 817–818 vel vere a. 818 **4** ἐπιστολήν: ep. 247?

11 Joh. 12,36

C (S)

3 διὰ τί Mai διδάξουσί S **4** καὶ om Mai **10** διὰ ζῇς C σο in marg C **11** τόπους καὶ τοὺς τρόπους S^{ac}

347. Ἀμμωνᾷ τέκνῳ

Καλὲ Ἀμμωνᾶ, χαῖρε χαρᾷ μεγάλῃ, ὅτι διὰ Χριστὸν ἡ ἐξορία καὶ ὁ περιορισμός σου. ἰδοὺ καὶ πάλιν γράφω, εἰ δὲ ὅτι βράδιον, ἀπαγγελοῦσιν τὴν αἰτίαν οἱ ἀδελφοί. πλὴν ὅτι ἀεὶ βλέπω σε τῷ πνεύματι καὶ προσεύχομαι ἵνα σῴζῃ· τοῦτο καὶ αὐτὸς ποίει ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. μόνος εἶ ἄρα ἢ μετὰ τοῦ ἀδελφοῦ; ἀγαπῶ αὐτὸν εἶναι μετὰ σοῦ, ἐπειδὴ ὡς σὺ κἀκεῖνος, τέκνον μου. μανθάνω ὅτι καλῶς καθέζῃ καὶ ἀναστρέφῃ, καὶ χαίρω. καί γε οὕτως ἔσο ἐπὶ πλέον εἰς ὑπόδειγμα καλὸν τοῖς ἀδελφοῖς σου· λάμπειν γὰρ δεῖ τὸ ἔργον ἡμῶν τοῖς πᾶσιν ὡς χριστομαρτύρων εἰς δόξαν θεοῦ. ἰσχύς σοι παρὰ Κυρίου, ἔλεος, εἰρήνη, εὐλογία, σωτηρία αἰώνιος. περὶ ἐμοῦ τὸν ἀδελφόν. προσαγορεύει σε ὁ σὺν ἐμοί. ὁ Κύριος μετὰ σοῦ.

348. Στεφάνῳ τέκνῳ

Χαῖρε, Στέφανε, τέκνον μου τιμιώτατον· ἀπὸ θεοῦ σοι χάρις, ἔλεος, εἰρήνη πληθυνθείη. εἰ καὶ ἐβράδυνα ἐπισκέψασθαι, τὴν αἰτίαν ἀπαγγελοῦσιν οἱ ἀδελφοί· ἐγὼ δὲ καὶ μὴ γράφων ἐν τῇ καρδίᾳ μου ἔχω σε ἀεί. ἀνδρίζου οὖν ἔτι καὶ ἴσχυε ἐν Κυρίῳ, φέρων γενναίως τὰ παρόντα λυπηρὰ διὰ τὰ μέλλοντα ἀγαθά. ἡμέραν ἐξ ἡμέρας εὐθύμως πορεύου εἰς ὁδὸν εὐθεῖαν θεοῦ· δίωκε τὰ πάθη, κάθαιρε τὴν καρδίαν, εὐάρεστει θεῷ, ᾧ ἀνέθου σεαυτόν, δι' ὃν καὶ ἐμαστίχθης, ὑπὲρ οὗ καὶ ἡ ἐξορία. αὐτὸς οὖν ἀνταποδώσει σοι ἀνταπόδομα τὴν βασιλείαν αὐτοῦ, ἐὰν μέχρι τέλους ὑπομείνῃς αὐτόν.

Προσεύχου περὶ ἡμῶν. ὁ ἀδελφὸς ὁ σὺν ἐμοὶ ἀσπάζεται. ὁ Κύριος μετὰ σοῦ. /

---

347. hieme a. 817 – 818 vel vere a. 818 2 Ἀμμωνᾶ: cf. adn. ad ep. 249,2

7 Hebr. 13,18 10 1 Tim. 1,2

C (S)

1 Ἀμωνᾷ omnes: correxi 2 Ἀμωνᾶ omnes: correxi 3 βράδειον C Mai ἀπαγγελοῦσι S 8 ἐπιπλέον S 11 προσεύχου ante περὶ inser Mai (attamen preces praescripsit iam supra; subaudienda, ut videtur, vox προσαγόρευσον; cf ep 135,16 προσαγόρευσον τοὺς σὺν σοὶ περὶ ἡμῶν) τὸν ἀδελφόν: τοῦ ἀδελφοῦ σου Mai

---

348. hieme a. 817 – 818 vel vere a. 818 11 ἀδελφός: Nicolaus

5 Dan. 10,19 9 Joel 4,7 10 Matth. 10,22

C (S)

349. Συμεὼν τέκνῳ

Χαίροις, Συμεὼν τέκνον μου. ἰδού σοι πάλιν ὁ λόγος· εἰ δὲ ὅτι βραδύ, διηγήσονται οἱ ἀδελφοί. πῶς ἔχεις, πῶς διαζῇς; βλέπε, τέκνον, ἐποικοδόμησον ἐν τῷ ἔργῳ τοῦ θεοῦ, ὃ ἐχαρίσθη σοι ὑπ' αὐτοῦ, τὴν καλὴν ἀναστροφήν, τὴν ὑπομονήν, τὴν μακροθυμίαν, τὴν ἐν τῷ περιορισμῷ ἀκινησίαν· ἐπειδὴ ἤκουσα ὅτι προόδους ποιεῖς καὶ ἐλυπήθην, ὅτι οὐκ ἔστι θέλημα θεοῦ οὐδὲ συμφέρον τῇ ψυχῇ σου. ὁ Χριστός σε ἐκάλεσεν εἰς μαρτύριον αὐτοῦ, οὐκ εἰς τὸ ἰατρεύειν σώματα, εἰς τὸ καθέζεσθαι καὶ καθαίρειν ἑαυτὸν ἀπὸ παντὸς κακοῦ, οὐκ εἰς τὸ γυρεύειν καὶ φαντασιοκοπεῖσθαι.

Μὴ λυπηθῇς ὅτι ὑπομνήσκω, ἀλλὰ φύλαξαι, τέκνον μου, ἀπὸ τοῦ νῦν καὶ εὐαρέστει τῷ θεῷ καὶ εὔχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει σε. ὁ Κύριος μετὰ σοῦ.

350. Παρθενίῳ τέκνῳ

Ὦ καλὲ Παρθένιε, χαῖρε, τέκνον μου ποθητόν, υἱὲ φωτὸς ἀληθινοῦ. πάλιν ὁμιλῶ σοι διὰ τοῦ γράμματος, αὖθις ὁρῶ σε καὶ προσπτύσσομαι· ὅτι ἐβράδυνα, ἀπαγγελοῦσιν οἱ ἀδελφοὶ τὴν αἰτίαν, ὅμως ὅτι ἀληθάργητόν σε ἔχω ἐν τῇ καρδίᾳ, εὐχόμενός σε διαμένειν σῶον, κατηρτισμένον εἰς πᾶν ἔργον ἀγαθόν. ὡς καλός σου ὁ δρόμος· ὁμολογία γὰρ Χριστοῦ. ὡς αἰνετόν σου τὸ ὑπομονητικόν· πρόξενον γὰρ βασιλείας οὐρανῶν.

Μὴ δὴ ὀλιγωρήσειας, ὦ παῖ μου· ἔτι μικρὸν μακροθύμησον, ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν. οἵαν χαρὰν μέλλεις ἔχειν ἐν τῇ

---

349. hieme a. 817 – 818 vel vere a. 818

5 cf. Col. 1,11

C (S)

3 διὰ ζῇς C   4 ἐπ' οἰκοδόμησον C   11 ὑπομιμνήσκω S[pc]

---

350. hieme a. 817 – 818 vel vere a. 818

2 Joh. 12,36   9 Ps. 144,9 + 18

C (S)

3 πρὸς πτύσσομαι C   9 μὴ δή: μηδὲ Mai

ἀναλύσει ἢ τοῦ τόπου ἢ τοῦ σώματος. ἀλλὰ τίς ἄξιος ἄρτι τοῦ δευτέρου ἐπιτυχεῖν; φοβοῦ τὸν θεόν, πρόσεχε σεαυτῷ, μίσει τὴν ἡδονὴν ὡς λίαν ὀδυνηράν, φίλει τὸν θεὸν ὡς μόνην χαράν· ὅς σε καὶ διατηρήσειεν μέχρι τέλους ἀσινῆ. εὔχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ὁ σὺν ἐμοὶ ἀδελφός σου προσαγορεύει. ὁ Κύριος μετὰ σοῦ.

351. Ἡγησίμῳ τέκνῳ

Ἡ χάρις σοι ἀπὸ θεοῦ, Ἡγήσιμε, τέκνον μου ἠγαπημένον· ἐβράδυνα τοῦ ἐπισκέψασθαί / σε, ἀλλὰ τὴν αἰτίαν διηγοῦνται οἱ ἀδελφοί. ἐρωτῶ σε καὶ παρακαλῶ ἐπιμένειν καὶ μακροθυμεῖν τὴν ἐξορίαν, τὸν περιορισμόν. ὅρα τὸν τόπον καὶ τὸν τρόπον τοῦ καθίσματός σου, ἵνα ἐν Κυρίῳ ᾖ· βλέπε τοὺς ἀοράτους ἐχθρούς, ἵνα μὴ λάβωσι χώραν ἐν σοὶ δι' ὑποδοχῆς τῶν πονηρῶν λογισμῶν. καθ' ἡμέραν πόλεμος ἀλλὰ καὶ στέφανοι, μὴ ὑποπιπτόντων ἡμῶν.

Οὕτως βίωσον ὡς ἄγγελος, ὡς μάρτυς Χριστοῦ· κἂν ὑποχαυνοῦσαι καὶ τιτρώσκεσαι ὑπὸ τοῦ ἐχθροῦ, ἀλλὰ θᾶττον ἀνάστηθι, καθάρθητι, ἀσφαλίσθητι, καὶ οὕτω διεξιὼν διασῴζου, προσευχόμενος καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ὁ σὺν ἐμοί σε ἀσπάζεται. ὁ Κύριος μετὰ σοῦ.

352. Δωροθέῳ τέκνῳ

Εὐλογηθείης ὑπὸ Κυρίου, τέκνον μου Δωρόθεε· χάρις σοι καὶ ἔλεος, ἰσχὺς καὶ κραταίωσις. τὴν βραδυτῆτα τῆς ἐπισκέψεως ἀγγελοῦσιν οἱ ἀδελφοί. βλέπε, ἀδελφέ, πῶς ἀναστρέφῃ, πῶς διαζῇς· μὴ

---

12 ἐπὶ τυχεῖν C 14 διατηρήσειε S εὔχου — ἁμαρτωλοῦ in marg S

---

351. hieme a. 817 – 818 vel vere a. 818

C (S)

8 στέφανος Mai

---

352. hieme a. 817 – 818 vel vere a. 818

C (S)

3 βραδύτητα Mai ἀπαγγελοῦσιν S 4 ἀναστρέφει C: ἀναστρέφεις Mai διὰ ζῇς C: διαζῇ Mai

ἀθύμει, ἀλλὰ μακροθύμει· μὴ ὀλιγώρει, ἀλλ' ὑπόμενε. μὴ ἄνοιγε θύραν τοῖς πονηροῖς λογισμοῖς, ἀλλ', ὅταν ἐπαναστῶσιν, ἀνθίστα, βρῦξον πρὸς αὐτούς, καὶ αὐτοὶ ἐν ὀνόματι Κυρίου οἰχήσονται φυγαδευθέντες. ψάλλε οὓς οἶδας ψαλμούς, εὔχου πλεῖστα· ἐν τῇ καρδίᾳ φόβος Κυρίου, ἐν τῷ στόματι δόξα θεοῦ, ὅπως φυλαχθείης ἀσινής.

Τὸ λοιπὸν εὔχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ὁ σὺν ἐμοὶ ἀδελφὸς προσαγορεύει. ὁ Κύριος μετὰ σοῦ.

353. Πέτρῳ τέκνῳ

Αὐτὸς οὐ διαλιμπάνεις δι' ἑκάστης ἐπιστολῆς ἐγκωμιάζειν ἡμᾶς τοὺς ἀγεράστους, ἡμεῖς δέ, τὰ καθ' ἑαυτοὺς ἐπαισθανόμενοι, στένομεν μᾶλλον ἢ χαίρομεν, μὴ ὄντες οὕτως. πλὴν ἀποδεχόμεθά σου, τέκνον ἠγαπημένον, τὴν πίστιν, ἐξ ἧς καὶ οἱ λόγοι σοι τοιοῦτοι. ἃ δὲ ἐπεζήτησας ἀποκριθῆναί με, ἐν ἐξαιρέτῳ πιττακίῳ ἐσήμανα κοινῇ πᾶσι· πολλοὶ γάρ εἰσιν οἱ τὰ αὐτὰ ἐρωτῶντες καὶ κόπος μοι πρὸς πάντας ἀποδιδόναι λόγον. αὐτὸς δὲ θερμοτέρως προσεύχου τῆς ταπεινώσεώς μου ἵνα σῴζοιμι ἐν Κυρίῳ ὁ ἁμαρτωλός. καὶ πάλιν τὰς ἀποστολάς σου ἐδε/ξάμην· καὶ ἕως πότε οὐ μὴ ἀνῇς; ὅλως ἀνταμείψεταί σοι Κύριος ἃ φιλεῖς.

Ὁ σὺν ἐμοὶ προσαγορεύει σε, τοὺς σὺν σοὶ κἀγώ.

354. Τῷ οἰκονόμῳ τῆς Συμβόλου

Ἀπεδεξάμην τὴν ἐπιστολὴν τῆς ἀγάπης σου καὶ ἀνέγνων καὶ ἐπέγνων τὴν ταπεινοφροσύνην σου, δι' ἧς ὑψοῖ θεὸς τοὺς ἀγαπῶντας

---

5 cf. Matth. 15,19

7 βρύξον codd: θρύξον Mai: correxi 10 τολοιπὸν S

353. a. 818 6 πιττακίῳ: ep. 359?

3 cf. Hebr. 13,17

C (S)

2 ἐπὶ στολῆς C 6 ἀπὸ κριθῆναί C 7 πᾶσι: πάσῃ C Mai 8 ἀπὸ διδόναι C ὑπὲρ post προσεύχου inser Mai

354. a. 817–818

C (S)

αὐτόν· ἔνθεν καὶ ἠξίωσαι κοινωνὸς τῶν παθημάτων αὐτοῦ γενέσθαι ἐν τῇ νυνὶ μαρτυρίᾳ. εἰ δὲ ὅτι ἡττηθέντες οἱ χριστομάχοι τῇ καρτερᾷ σου ὑπομονῇ ἀπέλυσάν σε, τοῦτο οὐδέν σοι ἐλάττωμα, ἀλλὰ νίκη. εὐαρέστει οὖν τῷ θεῷ ἐν ᾧ τόπῳ καθέζῃ· μαρτύριον γὰρ καθ' ἑκάστην ἐστὶ τὸ κατὰ συνείδησιν τῷ ἀγωνιζομένῳ καὶ καθαίροντι ἑαυτὸν ἀπὸ τῶν ἐπανισταμένων δαιμονικῶν λογισμῶν.

Φυλαχθείης μοι εὔθυμος, εὔσωστος, εὐκλεής, προσευχόμενος περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἀνεπιλήστως. τοὺς σὺν σοὶ ἀδελφοὺς προσκυνῶ.

355. Ἰωσὴφ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ

Ὅτι ἤκουσα τῆς φωνῆς σου, ὦ τριπόθητε, ἐσκίρτησεν τὸ ταπεινόν μου πνεῦμα καὶ ἔδοξα ἐν ὀφθαλμοῖς σε ὁρᾶν, περιφὺς ὅλος τῷ ἱερῷ σου προσώπῳ, οὗ τὰ ἰνδάλματα οὔποτε ἀπολήγει μοι οὐδ' ἂν ἀπολήξοι, κἂν ἐπέκεινά σε Γαδείρων ἀποίσωσιν οἱ σώματι διατέμνειν ἡμᾶς ἐξουσιάζοντες, οὕτω τοῦ πόθου βιαζομένου, ὡς τὸ εἰκός. σὺ δὲ ἡμᾶς, ἁγιώτατε, ὡς ἀδελφὸν μὲν ποθῶν καὶ ἐπαινῶν οὐκ ἂν δέξαιο κατηγορίας ἔγκλημα (φέρει γὰρ ἡ φύσις), ἄλλως δέ πως εὐφημῶν τὴν ἀλήθειαν ἀδικοίης· εἰμὶ γάρ, ὡς οἶσθα, ἁμαρτωλός, ἐνδεὴς φωτός, οὐ φωτίζων, οὐδέ τι μεγαλειότερον τῶν σῶν, οὔ τινος ἄλλου τῶν νῦν ἐνισταμένων ὑπὲρ Χριστοῦ φέρων.

Εἴθε τὰ ἴσα. ἀλλὰ πῶς ὁ καιρὸς ἤνεγκε τὰ τῆς καθ' ἡμᾶς ἐκκλησίας, πῶς δοκιμάζονται οἱ πάντες ὡς ἐν χωνείᾳ· καὶ ὅμως ὀλίγοι οἱ χρυσοειδεῖς, τῶν ἁπάντων σχεδὸν μολυβδιώντων. τοῦ Κυρίου ὁ λόγος· ἀλλ' ὅτι καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. λάβε μοι τὸν Λεόντιον πρὸς τῶν ἄλλων· οἷα θὴρ ἀνήμερός ἐστι διώκων τοὺς συμμαθητὰς καὶ / πορθῶν τὰς ἐκκλησίας τοῦ θεοῦ· ὃν ὁ Κύριος ἐπιστρέψειεν καὶ ἡμᾶς ἐνισχύσειεν εἰς τὸν προκείμενον ἀγῶνα, ὃν

---

7 2 Cor. 1,12

7 καθεκάστην S

355. a. 818

5 Greg. Naz. or. 43,24 (PG 36,528 C); cf. Greg. Naz. ep. 173,4 (PG 37,284 A = II 62 Gallay); Pind. Nem. 4,69 15 Matth. 10,36 17 Gal. 1,13

C (S)

1 ἀρχιεπισκόπῳ: ἐπισκόπῳ Mai 2 ἐσκίρτησε S Mai 3 ὅλως S 4 ἀπὸ λήγει C 8 ἄλλως δέ: ἄλλωσδε C πῶς omnes: correxi 10 an οὔτινος scribendum? 16 τῶν ἄλλων: τοῖς ἄλλοις S 18 ἐπιστρέψειε S

οὐκ ἄλλο τι ἡγητέον ἢ μαρτύριον Χριστοῦ ἰσόρροπον τοῖς πάλαι.

Προεδιώχθης ὑπὲρ ἀληθείας, ἐφυλακίσθης, ἐμονώθης, οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς τληπαθήσας πολλά· τρισσεύεις τοῖς πάθεσι νῦν, φέρων ἃ φέρεις, τρίπλοκόν σοι παρὰ τῆς Ἁγίας Τριάδος τὸ στεφάνωμα, ὁσιώτατε. ἐχέτω ἡ Θεσσαλονίκη τοῖς προλαβοῦσι καὶ τὰ σὰ καλλωπίζεσθαι αἰωνίως, ἐχέτω καὶ Θεόδωρος ἐπ' ἀδελφῷ τοιούτῳ γάννυσθαι καὶ αὐχεῖν, μηδὲν οἴκοθεν φέρων αἰνέσιμον. τοῦτο ἡ εὐγένεια τοῦ πνεύματος, ζῆν καὶ μετὰ θάνατον, αὕτη ἡ ζητουμένη παρὰ θεῷ πρᾶξις, τοῦτο ὁ ἀρραβὼν τῆς ἀτελευτήτου βασιλείας· ἧς σὺν σοὶ ἀξιωθείην κἀγὼ ὁ τάλας, συνεπόμενος ὀρθοδόξως καὶ ὀρθοβίως.

Ὁ σὺν ἐμοί σε καὶ μάλα δουλοπρεπῶς ἀσπάζεται, ὡς κἀγὼ τὸν ἱερὸν Ἄνθον.

356. Λιτοΐῳ τέκνῳ

Μετὰ τὸ ἀπαρτίσαι με τὴν ἀνατροπὴν ἐδεξάμην πάλιν τοὺς ἰάμβους καὶ ἐγένετό μοι εἰς κόπον, πλὴν καλῶς ἐποίησας, τέκνον, δήλους αὐτοὺς γνωρίσας. ἡ οὖν διὰ μέσου ἀκροστιχὶς οὐ διασῴζεται· οὐ γὰρ ἐπὶ πάντων τῶν στίχων ἐκ τῆς ἑβδόμης συλλαβῆς ἄρχεται, ἀλλὰ ἐξ ἄλλης καὶ ἄλλης, διατέμνει δὲ καὶ τὴν ὀπίσω συλλαβήν, καὶ τοῦτο οὐκ ἔστιν ἀκροστιχίς. πλὴν ἴδε πῶς ἐποίησα καὶ γνώσῃ τὸ σαφές. δέξαι τοίνυν τὰ τετράδια καὶ ἀνάγνωθι καὶ εὐθὺς μετάγραψον, ἀποδιδοὺς πάλιν ταῦτα. ἀσφαλῶς δὲ κάτεχε, μὴ ἐκφερομυθῶν αὐτὰ εἰς τοὺς ἀσεβεῖς· θανάτου γὰρ παραίτιον. ἐὰν δέ τις πιστὸς ἀναγνοὺς εὕροι τι ἐλλιπὲς ἢ ἀντίστοιχον, ἤγουν λέξιν ἤτοι νόημα, ἢ καὶ αὐτὸς διερχόμενος ἐπανορθώσει, μᾶλλον δὲ δηλοποιήσει μοι· οὐ γὰρ ὡς ἔτυχεν ἔγραψά τι, ἀλλὰ καὶ πολὺς λόγος ῥεῖ ἀληθείας, ὡς δοκῶ, ἐν αὐτοῖς.

Μνημόνευε ἡμῶν, τέκνον, ἀεὶ ἐν Κυρίῳ σῴζεσθαι, ὥσπερ καὶ ἡμεῖς περὶ σοῦ. /

---

21 τρισσεύεις: tertium in exsilium expulsus

---

356. a. 816–818 2 ἀνατροπήν: spectat ad refutationem et subversionem impiorum poematum; cf. PG 99,436 sq.; Dobroklonskij II 384 4 ἀκροστιχίς: cf. P. Speck, in: Ἑλληνικά 18 (1964) 33 sq.; W. Hörandner, in: JÖB 40 (1990) 14 11 ἀντίστοιχον: cf. E. Follieri, Ἀντίστοιχα, in: Δίπτυχα 4 (1986–1987) 217 sq.

C (S)

1 λιτωΐῳ C: λητοΐῳ S: Λητωΐῳ Mai: correxi **11** ἀντίστοιχον: cave corrigas ἀντίστιχον (ut in PG 99,1740 C) coll E. Follieri l. l. 219 sq **15** ὑμεῖς Mai

357. Θεοδούλῳ τέκνῳ

Ἐφ' ὅσον ᾠκονόμησεν ὁ θεὸς οὕτω γενέσθαι, οὐδὲν ἥμαρτες, τέκνον, ὑποχωρήσας ἐκ μέσου, εἰ καὶ ὅτι τελειότητος ἔργον οὐκ ἔστιν. πλὴν στέρξον μεθ' οὗ εἶ ἀδελφοῦ, ὃν καὶ προσαγορεύω, διασῳζόμενοι ἀμφότεροι καὶ εἰς ἑαυτοὺς διὰ φόβου θεοῦ μεσιτεύοντος, καὶ μὴν καὶ ἀπὸ τῶν αἱρετικῶν θηρῶν ὧδέ τε κἀκεῖσε, ἐν ὄρεσιν, ἐν σπηλαίοις κρυπταζόμενοι καὶ τελειοῦντες τοῦ μακαρισμοῦ τὸν δρόμον, εὐχόμενοί τε καὶ περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ εἰς τὸ σῴζεσθαι.

Ὁ σὺν ἐμοὶ προσαγορεύει.

358. Ναυκρατίῳ τέκνῳ

Ὅτι ἀνέσφηλας, εἰ καὶ μὴ τελέως, ἧς ἐπάλαισας δυσφορωτάτης ἀσθενείας μαθὼν ηὐχαρίστησα τῷ Κυρίῳ, ἠγαπημένε. ἔστι δὲ ἡ νόσος γυμναστήριον ψυχῆς, συμφερόντως παρὰ τοῦ οἰκονομοῦντος τὰ καθ' ἡμᾶς θεοῦ ἐπαγομένη, ἐφ' ᾗ εὐδοκεῖν ἡμᾶς δεῖν· ὅταν γὰρ ἀσθενῶ, φησίν, τότε δυνατός εἰμι.

Οὕτως μὲν οὗτος ὁ λόγος. τί δὲ ἡ μανία τοῦ ἐλεεινοῦ Λεοντίου καθ' ἡμῶν, οὕτως τοὺς ἀδελφοὺς ἐκθλίβοντος λίαν καὶ χωρὶς αἱματεκχυσίας αἰσθητῆς τὸ αἷμα αὐτῶν κενοῦντος τῇ τῶν σαρκῶν κατατήξει; ὅμως, ἵνα ὁ λόγος τοῦ Κυρίου πληρωθῇ, ὅτι καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ· μὴ γὰρ καὶ αὐτὸς οὐ πρὸς τοῦ οἰκείου μαθητοῦ προδίδοται εἰς θάνατον; ὅρα οὖν οἱ ἀθλοῦντες τίνι ὡμοίωνται, ὅτι Χριστῷ τῷ πρωτομάρτυρι, καὶ τίνι ὁ κολαστὴς ἐπέοικεν, ὅτι οὐ μόνον Ἰούδᾳ τῷ δυσγνώμονι, ἀλλὰ καὶ Πιλάτῳ καὶ Καϊάφᾳ τοῖς θεοκτόνοις. ἐκ προλαβόντων ἧκεν καὶ τὰ παρόντα ἀκόλουθα τῷ δεινῷ

---

357. a. 818

6 Hebr. 11,38   7 Matth. 5,10

C (S)

2 ἐφόσον S   4 ἔστι S

---

358. a. 818   8 ἀδελφούς: Studitae Carterius Aphthonius Agapius; cf. ep. 402,22 sq.

5 2 Cor. 12,10   8 Hebr. 9,22   10 Matth. 10,36

C (S)

5 δεῖ S Mai   ὅτ' ἂν C   6 φησι S   7 οὕτω S   8 οὕτω S   13 ἐπ' ἔοικεν C   15 ἧκε S

Λεοντίῳ, ὡς οἶσθα, ἐκ μοιχειανισμοῦ εἰς τὸ εἰκονομαχεῖν, μᾶλλον δὲ χριστομαχεῖν, καὶ τοσοῦτον εἰς ἀσέβειαν πρὸς τὸν κρατοῦντα, ὅσον καὶ κατὰ τοὔνομα ἐγγίζων τῆς κλήσεως· ὁ μὲν γὰρ Λέων τὸ κύριον, ὁ δὲ Λεόντιος τὸ παράγωγον, ὡς ἐκ πυρὸς φλὸξ καὶ ἐκ σιδήρου κέντρον. ἀλλ' ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν, συντρίψων τὸ κέντρον, λεπτύνων δὲ καὶ τὸν σίδηρον. διὸ μὴ ἐκκακῶμεν τοῖς πα/θήμασιν, ἀδελφέ, εἰδότες ὅτι καὶ ἡ μακροπάθεια δοκιμῆς ἔργον καὶ στεφάνων πληθυσμὸς πᾶσι τοῖς ἀγαπῶσι τὸν θεὸν γίνεται, καθάπερ ἄνωθεν καὶ ἀπ' ἀρχῆς τοῖς ἁγίοις. ἐπικρατείτω λοιπὸν ὁ χρόνος, πληθυνέσθωσαν οἱ μάρτυρες, δοκιμαζέσθω ὁ ἀκίβδηλος χρυσός· οὐ γὰρ εἴη ἀξιόδεκτος τῷ χρυσεψητῇ θεῷ τις μὴ κεκαθαρμένος, ταῖς ἀρκούσαις διαπυρώσεσι τὸ δοκίμιον τῆς πίστεως ἀποδεικνύς.

Περὶ τοῦ Εὐπρεπιανοῦ ὅτι οὕτως, λυπηρόν μοι τῷ ἁμαρτωλῷ, πλὴν εὐκτέον τὰ περὶ αὐτοῦ. οὐχ οὕτως δὲ ἔχει, οἶδα κἀγώ, περὶ ὧν ἠρώτησας, ὅμως ὅτι κρυπτάγιοι οἱ τοιοῦτοι, εἰς τὸ ἀεὶ λευκοφοροῦντες ἔξω, κἂν ἔνδοθεν φαιοφόροι ὡς μονάζοντες ἢ μονάζουσαι. τοῦτο γὰρ τρόπος οἰκονομίας, ὁ παρὰ τὴν ὑπόκρισιν λεγόμενος, ἐπὶ μικρὸν καὶ χρόνον καὶ τόπον ὑπαλλάξαι καὶ σχῆμα καὶ ἕξιν καὶ ἀναστροφήν, οὐ τὸ εἰς ἀεί· καὶ τοῦ μὲν πρώτου πράκτωρ ὁ Ἅγιος Ἀβράμιος, τοῦ δευτέρου ὁ Ἅγιος Δαυίδ, τοῦ δὲ τρίτου ὁ Ἅγιος Πέτρος. δυοῖν οὖν προκειμένων κακῶν, πτώσεως καὶ χωλεύσεως, τὸ κουφότερον αἱρετέον, ἤγουν τὸ δεύτερον· συμφέρει γὰρ κρυπτομόναχον εἶναι καὶ ἀμέθεκτον τῆς ἀσεβείας ἐξ ἀδυναμίας προφασιζομένης ἢ ἔκπτωτον γενέσθαι παντάπασιν.

Περὶ οὗ εἴρηκας διὰ στόματος τοῦ γραμματηφόρου ὀγδόου κεφαλαίου ἐλλιπῶς ἔχειν διὰ τὸ ὑπὸ κανόνα κεῖσθαι τοῦ Ἁγίου Πέτρου ἠγνόουν. κρατείτω ὁ κανών· τίς γάρ εἰμι ἐγὼ ὁ τάλας ἵνα ἀντινομοθετῶ; πλὴν ὅτι συμβουλευτικῶς καὶ ἃ ἐν τοῖς ἄλλοις κεφαλαίοις καὶ ἐν οἷς ἄρτι ἐπεζήτησας καὶ ἐφ' οἷς παρ' ἄλλων ἐρωτηθεὶς ἀπεκρίθην, οὐ κανονικῶς, οὐ νομοθετικῶς ὅσον εἰς προὖπτον πρὸς τοὺς ἔξω, ἐπεὶ μὴ θεμιτὸν μηδὲ ἐξουσιαστικόν· ἱερεὺς γάρ εἰμι, εἰ καὶ

---

32 ἐπὶ – 33 τόπον: cf. ep. 396,15   35 Ἀβράμιος: S. Abramius Crataeensis, de Crataea ad Palaestinam profectus; cf. S. Vailhé, in: Dict. d'hist. et de géogr. ecclés., I (Paris 1912) 168 sq.   Δαυίδ: eremita Thessalonicensis?   36 Πέτρος: patriarcha Alexandrinus

20 Ps. 144,9 + 18   21 Dan. 2,40   27 1 Petr. 1,7   35 Δαυίδ: cf. Delehaye, Synaxarium 771 sq.   36 Πέτρος: cf. ibid. 256 sq.   cf. Aristaen. 1,13 δύο δὲ κακῶν εἰς αἵρεσιν προκειμένων, τὸ μετριώτερον αἱρετέον   41 cf. Petr. epist. canon. can. 5 (PG 18,473 D sq.)

18 κατατούνομα C: καθ' οὔνομα Mai   24 ἀπαρχῆς S   30 εἰστοαεὶ S   34 οὐ τὸ: αὐτὸ Mai   εἰσαεὶ S   36 δυεῖν C Mai   41 ἐλλειπῶς C Mai

ἀνάξιος, οὐκ ἱεράρχης· τοῦ τοιούτου γὰρ καὶ τῶν αὐτῷ ὁμοταγῶν καθολικῶς κανονίζειν καὶ νομοθετεῖν. /

359. Πρὸς τοὺς ἀντιλέγοντας μὴ περιγραπτὸν εἶναι τὸν Χριστόν

Ὁ μὴ περιγραπτὸν εἶναι σώματος χαρακτῆρι τὸν Χριστὸν λέγων εἱρμῷ τινι πάντως φυσικῷ καὶ ἀποδείξει λογικῇ κεχρημένος τὴν περὶ τούτου ἔνστασιν πεποίηται εἰς βεβαίωσιν ἀληθείας καὶ διασάφησιν τῶν ἀμυήτων. οὐκοῦν παρελθὼν διδασκέτω ὅπως ἔχει φύσεως ὁ λόγος καὶ τίς ἡ αἰτία τῆς ἀγραφίας· ὅτι τῷ καθ' ἡμᾶς εἴδει οὐ μεμόρφωται; ὅτι ὀστέοις τὸ σῶμα οὐ διείληπται; ὅτι βλεφάροις καὶ ὀφρύσι τὰς ὀπτικὰς κόρας οὐκ ἐφήρμοσται; ὅτι ὠσὶ τοὺς ἑλικοειδεῖς πόρους οὐ τετόνωται; ὅτι ῥισὶ τῶν ὀσφραντῶν ἀντιλαμβάνειν οὐκ ηὐθείασται; ὅτι παρειαῖς ἡβώσαις οὐκ ἐξήρτυται; ὅτι στόματι καὶ γλώττῃ χείλεσί τε καὶ ὀδοῦσιν οὐ διείλεκται, βέβρωκέ τε καὶ πέπωκεν; ὅτι ὤμων καὶ ὠλένων καὶ χειρῶν περιθέσει οὐ διέπλασται; ὅτι στέρνα αὐτῷ καὶ νῶτα σὺν κνημῖσι καὶ ποσὶν οὐκ ἐμπέφυκεν; ὅτι παράτασιν χρονικὴν κατὰ προκοπὴν καὶ αὔξησιν ἡλικίας οὐκ εἴληφεν; ὅτι κίνησις αὐτῷ πορευτική, ἡ ἄνω, ἡ κάτω, ἡ ἐντός, ἡ ἐκτός, ἡ δεξιά, ἡ ἀριστερά, ἡ κυκλοφορικὴ οὐ συνεκπέφανται; ὅτι κόποις καὶ / ἀχθηδόσι καὶ τοῖς ἄλλοις ἀδιαβλήτοις πάθεσιν οὐ συνουσίωται, θριξὶ τὴν κεφαλὴν κομῶν καὶ χιτῶσι τὸ ὅλον σῶμα σκεπόμενος; εἰ δὲ ἐν τούτοις ὁμολογουμένως ὦπται, ὧν ἡ ἄθροισις ἄνθρωπος ἀληθὴς καὶ οὗ ἡ κατὰ τὸν σωματικὸν χαρακτῆρα ἐξεικόνισις γραφὶς ἀψευδὴς καὶ ἧς ἄνευ οὐδὲ συστῆναι πᾶν σῶμα σύνθετον οἷόν τε, εἴπερ ἐν ἁφῇ καὶ χροιᾷ τὸ τοιοῦτον, τίς ἡ ἄγαν τυφλότης καὶ ἄθεος ἔρις, τὸν ἡμῖν ὁμοούσιον καὶ ὅμοιον κατὰ πάντα πεφηνότα ἄγραπτον Χριστὸν λέγειν; πῶς δὲ καὶ τοῦ γραπτοῦ οἰχομένου οὐ συνοιχήσεται ἅπαντα τὰ σύστοιχα ἰδιώματα; ἡ γὰρ ἰδιότης, φησὶν ὁ Θεολόγος, ἀκίνητος· ἢ πῶς μένοι ἰδιότης κινουμένη καὶ μεταπίπτουσα; εἰπάτω ὁ ἀντικείμενος.

---

359. a. 818? 26 ἀντικείμενος: anceps

7 Bas. ep. 16 (PG 32,280 B = I 46,10 Courtonne) εἰ ὀστέοις τὸ σῶμα διείληπται 14 Arist. de an. 432^{b} 14 τὴν πορευτικὴν κίνησιν 21 Arist. meteor. 382^{a} 26 τὰ σώματα τὰ σύνθετα 25 Greg. Naz. or. 29,12 (PG 36,89 B = p. 202 G.-J.)

C VMN (ll. 1 – 24) P_2P_1S

1 ἀντιλέγοντας C: λέγοντας cett Sirm 6 ἡ om N 9 ῥισὶ – 10 ὅτι[1] om N ἐξήρτηται omnes: corr Kambylis 11 διήλεκται C: διείλικται M 12 ὠλενῶν P_1P_2 Sirm 13 κνημῆσι P_1S: κνημίσι CP_2VNM 20 γραφὶς: γραφῆς M 24 οἰχομένου: hic desin epist in N 25 ἰδιώτης C μείνοι M 26 ἰδιώτης C

360. Τιμοθέῳ τέκνῳ

Ὑπομένων ὑπόμεινον τὸν Κύριον, τέκνον μου πεποθημένον Τιμόθεε· γέγραπται γάρ, εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν αὐτῷ. ἡλίκη ἡ ἐπαγγελία, βασιλέα σε δειχθῆναι ἐν οὐρανοῖς, συμπληροῦντα τὸ μαρτύριον τῆς ὁμολογίας αὐτοῦ. καὶ μὴ ξενόφωνόν σοι εἴη τὸ λεχθέν· βασιλείαν ἡμᾶς ἐποίησεν, ἱερεῖς τῷ θεῷ καὶ πατρὶ αὐτοῦ, φησὶν ὁ Θεολόγος καὶ ἀπόστολος. καὶ τί λέγω τοῦτο; καὶ θεὸν τὸν ἄνθρωπον ὁ θεὸς κεκέλευκεν γίγνεσθαι· ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. ὥστε ὁ μὴ ἀποθνήσκων τῇ ἁμαρτίᾳ μηδὲ πίπτων τῇ ἀσεβείᾳ εἴληφεν τὸ ἀξίωμα.

Διὸ στῶμεν, ἀδελφέ, καὶ μήποτε ἀποθάνοιμεν, ἵνα θεοὶ καὶ βασιλεῖς χρηματίσωμεν. πρὸς ταῦτα φυλακαί, θλίψεις, στενοχωρίαι, λιμοί, πῦρ, ξίφος, μυρίοι θάνατοι, τῆς ἀγάπης τοῦ θεοῦ οὐδὲν τὸ χωρίζον· κεχρήσθωσαν οἱ ἀσεβοῦντες οἵοις βούλοιντο κολαστηρίοις. ἐμοὶ μὲν ἰσχὺς οὐδεμία, ἀλλὰ πᾶσα ἐξ ἁμαρτιῶν ἀπορία, ὁ δὲ τῆς ἀληθείας λόγος ὑπέδειξε τὸ ζητούμενον· οὗ σὺ χάριτι Χριστοῦ καὶ ἀπήρξω καὶ μάλα προθυμῇ, ὡς ἀκούω.

Ἀλλ' εὔχου καὶ περὶ ἐμοῦ τοῦ οἰκτροῦ κατόπιν σου προθυμηθῆναι ἐλθεῖν. ὁ σὺν ἐμοὶ προσαγορεύει σε.

361. Βασιλείῳ μονάζοντι

Τίς οὗτος ὁ ἀπὸ δύσεως ἡμῖν ἀνατείλας ἀστὴρ τῆς εὐσεβείας, οὗ ἡ αὐγὴ τοῦ λόγου περιφαὴς καὶ ἡ ἀκτὶς τοῦ βίου διαγλαής; αἱ ἀναβάσεις σου ἀναβάσεις ἡλιακαὶ καὶ αἱ ὁμολογίαι σου ὁμολογίαι μαρτυρικαί, εἰ καὶ μὴ παρεχωρήθη τῇ τοῦ ὁμολογουμένου οἰκονομίᾳ τῆς δαρτικῆς σε ἀθλήσεως τέως μετασχεῖν, τάχα ἵνα τῇ ὑποκρατήσει

---

360. a. 818 2 ὑπομένων ὑπόμεινον: cf. Blass – Debrunner – Rehkopf 350 sq.

2 Ps. 39,2 3 2 Tim. 2,12 6 Apoc. 1,6 8 Luc. 6,35 12 Rom. 8,35 13 Rom. 8,39

C (S)

3 ὑπομένωμεν C Mai συμβασιλεύσωμεν C Mai 11 ἀπὸ θάνοιμεν C 15 οὐδὲ μία C

---

361. inter aestatem a. 816 ac annum 818 exeuntem

C (S)

τοῦ δώρου πλείονα τὸν πόθον ἀναφθῆναι τῆς λήψεως εὐοδώσειεν ὁ ἀγαθὸς ⟨θεὸς⟩ ἐν τῇ τιμίᾳ σου ψυχῇ, οἷα τὰ τῶν μητέρων πρὸς τὰ ἔγγονα, ταῖς ἐφ' ἑτέροις τῶν ὁμαιμόνων διαδόσεσιν ἐκκαίοντες τῶν ἐλλειφθέντων τὸ φιλόδωρον· / ἢ πάλιν, ἵνα μὴ λείπῃ τὸ τῶν μαρτύρων αἷμα χεόμενον πρὸς τὸ ἑξῆς, ἀφ' οὗ καὶ χρόνος λαμπρύνεται καὶ ἔδαφος ἁγιάζεται καὶ ὁ τῶν ὀρθοδόξων θίασος ἐστερέωται.

Χαίρω οὖν καὶ συγχαίρω σου τῇ συνεισφορᾷ τοῦ καταλόγου τῶν ὁμολογούντων καί, ὡς ἰδὼν κατ' ὀφθαλμούς, περιφὺς ἀσπάζομαί σε τῷ πνεύματι καὶ ὡς ὁμογνώμονα κρίνω καὶ ὡς πατέρα εἴτουν ἀδελφόν, οὐχ ὡς αὐτὸς ἐκ πολλῆς ταπεινώσεως φῄς. ἔχω καὶ περιέπω καὶ δεξιὰς ὑπὸ μάρτυρι θεῷ ἀοράτως δίδωμι τῆς ἐπὶ τὸ αὐτὸ συμφρονήσεως καὶ συνομολογήσεως μέχρις αἵματος, οὐχ ὡς ἔτυχεν, ἀλλὰ τοῦ μὴ ἐξαρνήσασθαι ἡμᾶς τὸν ποιήσαντα ἡμᾶς Χριστὸν τὸν θεὸν ἡμῶν μήτε μὴν τὴν Θεοτόκον μήτε τινὰ τῶν ἁγίων· δῆλον γὰρ ὅτι τῇ τῆς εἰκόνος ἑκάστου ἀρνήσει ὁ εἰκονιζόμενος ἤρνηται ἀπαραλλάκτως, εἴπερ ταὐτὸν ἀμφότερα, ἀρχέτυπον καὶ εἰκών, τιμῇ τε καὶ τῷ κράτει. εἰ δὲ τοῦτο οὕτως, ὥς φασιν οἱ θεοφόροι, δῆλα δὴ καὶ τῇ ὁμολογίᾳ καὶ ἀρνήσει. ἐπεὶ οὐδὲ ἤρνηται ὁ ζωοποιὸς σταυρὸς ἐκπτυομένου τοῦ τύπου αὐτοῦ; ἀλλ' ἤρνηται σαφῶς· οὐδὲ ἠθέτηται ἀντιρρητικῶς τῆς εἰκόνος αὐτοῦ; ἀλλ' ἠθέτηται ἀσφαλῶς. τί φησιν ὁ Κύριος; ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ. καί γε εἰκὼν ἄνθρωπος θεοῦ καὶ ἔγγυος μᾶλλον ἡ τέχνη [τῇ] τοῦ σωματικοῦ χαρακτῆρος αὐτοῦ ἢ ἄνθρωπος, καθόσον πλείστη ἐμφέρεια ἐπὶ θατέρας τοῦ πρωτοτύπου Χριστοῦ ἢ μίμησις ἐπὶ τῆς ἑτέρας τῆς ἀνεμφεροῦς ἐν πᾶσι τοῖς οὖσι θεότητος, κἂν κατά τι ἐνδεχόμενον λέλεκται ὡμοιῶσθαι. τοιγάρτοι αὐτὸς ὁ Κύριος εἴρηκεν κατὰ τὸ ἀκόλουθον τῆς διανοίας δυνάμει, ὁ ἀθετῶν τὴν εἰκόνα μου ἐμὲ ἀθετεῖ· καὶ ἀλλοίως οὐκ ἔστιν, εἰ καὶ μὴ δοκοίη τοῖς ἀρνησιχρίστοις.

Στήτω ὁ λόγος ἐνταῦθα, μὴ ὑπεραλλόμενος τοῦ τῆς ἐπιστολῆς μέτρου· καὶ προσευχέσθω ἡ ἁγιωσύνη σου περὶ τῆς οὐθενότητός μου, ἀφεμένη τῶν κατ' ἐμοῦ ἐγκωμίων, οὐδὲν ἔχοντος ἀγαθὸν οὔτε μὴν πράξαντος. εἰ δὲ ὅτι ὁ φοιτητὴς ἡμῶν ἀδελφὸς Ὑπάτιος ἐπαινετέος σοι, χάρις τῷ ὅρπηκι, οὐ τῇ ῥίζῃ· πολλοὶ γὰρ καὶ εὐθύκομοι βλαστοὶ ἐκ κακορρίζων καὶ μάλιστα ἐπὶ τῶν προαιρετικῶν. /

13 Philipp. 2,17 26 Luc. 10,16

8 θεὸς inser Mai 10 ἠλλειφθέντων Mai 11 προστοεξῆς S 17 ἐπιτοαυτὸ S 27 ἔγγυος coll Hebr. 7,22 scripsi: ἔγγιος codd Mai 28 τῇ om S: del Mai 29 καθ' ὅσον Mai ἡ codd: corr Mai 30 ἑτέρας τῆς om Mai 32 εἴρηκε S

362. Μακαρίῳ ἡγουμένῳ

Αὐταρκῶς διιππεύων ὁ τῆς σιωπῆς χρόνος· διὸ ἀναγκαῖον ἡγησάμην ἀφῆσαι φωνήν μου οἰκτρὰν μέν, ὅμως ἀγαπητικὴν πρὸς τὴν πατρικήν σου ὁσιότητα. τίς γὰρ καὶ ὁ συναπτικώτερός σου ἡμῖν εἰς τὰ πρὸς Κύριον, ἔκ τε τοῦ βίου καὶ τοῦ λόγου κατηγλαϊσμένου, προσθείην δ' ἂν καὶ τῆς ταὐτοπαθείας ἔκπαλαι συνημμένου;

Τί δέ σοι, πατέρων ἄριστε, δοκεῖ τὰ παρόντα, ἀλλ' οὐχὶ προεισόδια τῆς τοῦ Ἀντιχρίστου ἐλεύσεως; ἤρθη Χριστὸς ἐκ μέσου γραφόμενος σὺν μητρὶ καὶ θεράπουσιν, ὅπερ ἐστὶν ἰουδαϊσμοῦ ἤτοι ἑλληνισμοῦ. ἄρχουσιν οὐ ποιμένες ἀλλὰ λύκοι, ὅλους τοὺς ὑπὸ χεῖρα ὁμοίους ἔχοντες καί, εἴ που πρόβατον Χριστοῦ εὑρεθῇ, σπεύδουσι θηριάλωτον αὐτὸ ἀπεργάσασθαι. δυοῖν τῶν ποτέ μου μαθητῶν νῦν ἀθέως ποιμαίνοντες ἀγριώτερον τῶν ἄλλων μαίνονται, τοὺς συμμαθητὰς οὓς μὲν κατεσθίοντες τῇ ὑφαρπαγῇ τῆς αἱρέσεως, οὓς δὲ κολάζοντες ὡς οὐκ ἄλλος τῶν κολαζόντων. καὶ τί δεῖ καταλέγειν; τὰ πάντα συγκέχυται καὶ ἠφάνισται, τῇ τῶν προϋπαρξάντων κακῶν συμπλοκῇ συναπαρτηθέντα εἰς ὑπερβολὴν καθ' ὑπερβολὴν τὰ νῦν ἀσεβούμενα.

Τίνος εἵνεκα ἐξεῖπον ταῦτα; τὸ μὲν ὡς ἂν ῥᾳστώνην τινὰ λάβοιμι διὰ τῆς ἀναφορᾶς τῶν τὴν ταπεινήν μου ψυχὴν λυπούντων, τὸ δὲ ὅπως προσεδρευτικώτερον ποιήσαιμι τῇ νύξει τοῦ λόγου τὴν ἁγιωσύνην σου ἐντυγχάνειν εἰς λύσιν τῶν κατεχόντων τῷ ἀγαθῷ ἡμῶν θεῷ· εὐιλατεῖται γὰρ δικαίου σου ὄντος, οἶδ' ὅτι, ὁ φιλάνθρωπος.

363. Κωνσταντίνῳ ἡγουμένῳ

Προστίθημι τῇ προτεραίᾳ ἐπιστολῇ καὶ τήνδε, προσαγορεύων τὴν πατρικήν σου ἁγιωσύνην, ἣν ἐγὼ ἔχω διὰ πάσης ἀγαπητικῆς διαθέσεως οὐ μόνον διὰ τὴν ἀρχῆθεν κραθεῖσαν ἡμῖν ἐν Χριστῷ σχέσιν,

---

362. a. 818 12 δυοῖν: Studitae Leontius et Lucianus

2 Bas. ep. 223,1 (PG 32,820 C = III 8 Courtonne) ἐπειδὴ αὐτάρκης ὁ τῆς σιωπῆς ἐγένετο χρόνος, εὔκαιρον λοιπὸν ἀνοῖξαι τὸ στόμα 11 Ex. 22,13

C (S)

2 αὐτάρκως S 12 δυοῖν: δύο S 13 ποιμένοντες Mai 15 ἄλλους Mai 17 συναπαρτιθέντα C: συναπαρτισθέντα S Mai: correxi 20 νύξι C

363. a. 816 vel a. 817–818 2 ἐπιστολῇ: ep. 305? 3 ἁγιωσύνην: cf. adn. ad ep. 451,2

C (S)

ἀλλὰ γὰρ καὶ διὰ τὴν ταὐτοπάθειαν τῶν ὑπὲρ Χριστοῦ μαρτυρίων. πρότερον οὖν ἐν ἄστει σε εἶναι ἔμαθον, διαγωνιζόμενον τὴν ὁμολογίαν κάλλιστά τε καὶ θερμότατα, εἶτα ἐξωρίσθαι ἐν τῇ Θρᾳ/κῴων χώρᾳ, ἄρτι πάλιν ἦρθαι καὶ μεθορισθῆναι ἐν τῇ Βυζαντίδι. διαυλεῖς, ὦ μάκαρ, τὸν τῆς εὐσεβείας δρόμον.

Ἀλλὰ χαῖρε, ὅτι σοι στέφανοι θεόπλοκοι καὶ ἔπαθλα ἄφθαρτα αἰωνίως ταμιευόμενα. φθέγξαι καὶ αὐτὸς ἡμῖν τοῖς ταπεινοῖς ῥήματα ζωῆς (τοιαῦτα γὰρ τὰ παρὰ σοῦ, εἰ καὶ βραχυλογούμενα), εἰ δὲ μή, ἀλλά γε τὸ ὑπερεύχεσθαι τῆς ἀθλιότητός μου μὴ διαλείποις εἰς τὸ σῴζεσθαι.

364. Μιχαὴλ Συννάδων

Πάλαι ἔμαθον ὅτι σέ, τὸν στῦλον καὶ ἑδραίωμα τῆς ἀληθείας, μεθῆκαν τοῦ προτέρου περιορισμοῦ οἱ καταλύται τῆς εὐσεβείας, ἐν ἄστει κατέχοντες· καὶ ἐβουλόμην ἐπιστεῖλαι τῇ μακαριότητί σου, ἐπέσχον δὲ ἐμαυτὸν ἐκ τοῦ ἅπαξ καὶ δὶς φθέγξασθαι καὶ μὴ ἀξιωθῆναι ἀντακοῦσαι. ἀλλ' ἐπεὶ ἔκρινα εἰς ἑαυτὸν μέγα εἶναί μοι τῷ σμικρῷ καὶ εὐτελεῖ τὸ καὶ μόνον προσηγορίαν ἀκοῦσαι παρ' αὐτῆς, ἣν νῦν ἐδεξάμην ὑπὸ τοῦ συνάθλου σου πατρός μου ἁγίου τῶν Καθαρᾶ διὰ γράμματος, εὐθύμως ἀφορμηθεὶς ἦλθον ἐπὶ τὸ γράφειν, οὐδεμίαν ὄνησιν φέροντος τοῦ λόγου τῇ θεοτελεῖ σου ἀρετῇ, ἐπεὶ πενιχρὸς καὶ ἀσύφηλος, ἐμοὶ δὲ τῷ ἁμαρτωλῷ παρηγορίαν ἐμποιοῦντος, ὡς παιδί τινι πατρὶ ἀξιαγάστῳ διαλεγομένῳ, ἐναθλοῦντι γενναίως ὑπὲρ Χριστοῦ· συνίημι γὰρ τὸν τόπον, ἐν ᾧ κατέχῃ, κολαστήριον εἶναι, ἐκλελεγμένον οὐ τῇ θέσει τοῦ τόπου, ἀλλὰ τῇ κακώσει τοῦ κρατοῦντος. καὶ συνῆλθεν εἰς ταὐτὸν δόκιμος κολαστὴς πρὸς δοκιμώτερον ἀνταγωνιστήν, καὶ τὸ θέατρον κοινόν, τοῖς μὲν ἀσεβέσι κατ' ἐλπίδα

---

11 Act. 5,20

12 εἴδεμὴ S   13 διαλίποις S

364. a. 817 – 818   3 περιορισμοῦ: in Eudociade urbe Phrygiae   8 πατρός: Ioannes abbas monasterii Cathara; cf. epp. 271,3; 272,3   13 τόπον: monasterium SS. Sergii et Bacchi   15 κολαστής: Ioannes Grammaticus?

2 1 Tim. 3,15

C (S)

1 συνάδων codd: Συνάδωνι Mai: correxi   6 ἀντ' ἀκοῦσαι C   9 οὐδὲ μίαν C   11 ἀσύφιλος codd: corr Mai   13 κατέχει C   16 ἀντ' αγωνιστήν C   κατελπίδα C

τεύξεσθαι τῶν ἐφετῶν, ἣν ὁ Κύριος ἀπορραπίζει, ἡμῖν δὲ ἐναγώνιον (πῶς γὰρ οὔ;), ὅμως καὶ ἑδράσιμον, ἐν τῇ εὐανδρίᾳ στομουμένοις πρὸς τὴν ἄθλησιν.

Αὕτη μου ἡ βραχεῖα προσφώνησις, ἣν συγκαταβατικῶς δεξάμενος ἀνταμείψεταί μοι τὰς ἱερὰς προσευχὰς εἰς ψυχῆς σωτήριον, ἁγιώτατε ὁμοῦ καὶ τριπόθητε. /

365. Τιθόῃ τέκνῳ

Καλῶς καὶ προσηκόντως, ἀδελφέ, τὸ γράμμα σου, οὔτε πολυλογίαν ἔχον οὔτε ἐλλεῖπον τοῦ δέοντος, ὥστε με ἡδέως ἀναγινώσκοντα εὐλογεῖν σε καὶ εὔχεσθαι διαρκῆ εἶναι καὶ λόγῳ καὶ ἔργῳ. ἴσχυε οὖν ἔτι καὶ ἀνδρίζου, ἑαυτὸν ἀεὶ παρασκευάζων εἰς τὸν ὑπὲρ Κυρίου θάνατον, τεχνούμενος ἐν ἀναγνώσει, ἐν τῇ καταλήψει τῶν τῆς ἀληθείας δογμάτων καί γε τῆς προκειμένης εὐσεβείας. χαῖρε καὶ μὴ λυποῦ, ἀλλ' εὐχαρίστει τὸν ἠγαπηκότα σε Χριστὸν ἐν τοιούτῳ μέτρῳ φθάσαι τῆς ὁμολογίας αὐτοῦ, ἐφ' ᾗ ζωὴ αἰώνιος καὶ χαρὰ ἀνεκλάλητος, κἂν μελοκοπώμεθα, οὐχ ὅτι ἐὰν ἐγκεκλείσμεθα καὶ μονούμεθα καὶ ῥιγῶμεν καὶ ὀλιγοψωμιζώμεθα· ὁ γὰρ μὴ οὕτως παρεσκευασμένος ξηραίνεται ὡσεὶ χόρτος ἤγουν ἐκπίπτει, ὡς ἐξέπεσαν οἱ ἐκπεπτωκότες.

Σὺ οὖν, ὦ τέκνον μου, στῆθι, κακοπάθησον ὡς καλὸς στρατιώτης Χριστοῦ, τὴν ὁμολογίαν σου ἐκπλήρωσον, ὀρέγων χεῖρα, καθὰ καὶ γέγραφα πρότερον, τοῖς εἰς τὰ Στουδίου ἀδελφοῖς, εἰ ἔτι σῴζονται ἐν Κυρίῳ, ἐπειδὴ ἐξαιρέτως ἀνήκουσί σοι ὡς σύναθλοι καὶ σύνοδοι. ὁ Κύριος χρυσώσοι σε τῇ καθαρότητι τῆς καρδίας. προσεύχου περὶ ἡμῶν τῶν ἁμαρτωλῶν, ἠγαπημένε.

---

22 τριπόθητε: περιπόθητε Mai

---

365. a. 817–818 16 γέγραφα: ep. 402? ἀδελφοῖς: cf. adn. ad ep. 358,8

2 Bas. ep. 130,1 (PG 32,561 B = II 42 Courtonne) 9 1 Petr. 1,8 12 Is. 40,7 14 2 Tim. 2,1 2 Tim. 2,3

C (S)

1 Τιθόϊ C Mai 11 ὀλιγοψωμιζόμεθα C Mai οὔτω S 18 χρυσώσει C Mai

366. Σιλουανῷ τέκνῳ

Ἤινεσα τὸν θεόν μου, μαθών σου διὰ τοῦ γράμματος, τέκνον, τὴν ὑγιείαν, ἥσθην δὲ καὶ πάνυ ὅτι ἐξέδραμες τῶν ἐν ἄστει, συναφθεὶς τῷ ἀδελφῷ σου Λουκιανῷ· καὶ ζῆτε ἐν τοιούτῳ τόπῳ, οὗ ἀπέδρα κόμπος καὶ τάραχος καὶ ἡ τῆς αἱρέσεως φλόξ, ἐναυλίζεται δὲ ἡσυχία καὶ ἀταραξία, ἀφ' ὧν ἐγγίνεται ἕξις ἀγαθὴ τῇ ψυχῇ, μάλιστα δὲ καὶ σοὶ ἔμμισθον ὁμοῦ καὶ φιλάδελφον ἐν τῇ λύπῃ τοῦδε καὶ ἐμοὶ εὐπαρήγορον, οὐκ ἀπαθῶς φέροντι. εὐλογημένος εἶ, ἀγαπητέ, καλῶς διανοηθείς. εὐοδωθείη ὑμῶν τὸ σύνταγμα ἐν Κυρίῳ, κατευθυνθείη ὑμῶν τὸ ἔργον ὁσίως, εὐκτικῶς ἐχόντων καὶ περὶ ἡμῶν τῶν ἁμαρτωλῶν ἵνα σῳζοίμεθα κατὰ πάντα. /

367. Εὐοδίῳ καὶ Ἰωάννῃ τέκνοις

Μικρᾷ συλλαβῇ τὴν ὑγείαν καὶ σεσωσμένην ὑμῶν δυάδα εἴδομεν ὡς κατ' ὀφθαλμοὺς καὶ χαίρομεν ὅτι ζῆτε ἐν Κυρίῳ κἂν θλιπτικῶς (πῶς γὰρ οὔ;) τῷ διωγμῷ. ἀλλ' ἡ ἐλπὶς κουφιζέτω τὰ λυποῦντα· οὐδεὶς χαίρων τὴν τοῦ κόσμου χαρὰν χαρήσεται εἰς οὐρανοὺς καὶ οὐδεὶς θλιβόμενος διὰ Κύριον ἔνθεν ἀποτεύξεται τῆς αἰωνίου ἀγαλλιάσεως. στερεοῦτε ἑαυτούς, παρακαλεῖτε, συμφράττεσθε, γνωσιματίζεσθε, ὡς ἂν ἔργῳ καὶ λόγῳ δοῦλοι θεοῦ χρηματίζοιτε, τῆς τοῦ θεολέκτου μακαρισμοῦ καταξιούμενοι.

Ἀεὶ γράφετε, ἵνα καὶ ἀεὶ δέχησθε ἐπιστολῇ ἐπιστολήν. προσεύχεσθε καὶ περὶ ἡμῶν τῶν ἁμαρτωλῶν εἰς τὸ σῴζεσθαι.

---

366. a. 817 – 818

C (S)

3 ὑγιεῖαν C: ὑγίειαν S   ἥσθην C Mai   9 διανοηθείς om Mai   εὐοδωθείη: διανοηθείη Mai

---

367. a. 817 – 818

8 Matth. 5,10

C (S)

1 εὐωδίῳ C: Ἐνωδίῳ Mai   3 χαίρω μὲν codd: corr Mai   5 ὡραῖον in marg C   χαρίσεται omnes: correxi   7 στερεοῦται C   παρακαλεῖται C   8 τῆς eras S (attamen est βασιλείας supplendum; cf Matth 5,10)

368. Συμεὼν τέκνῳ

Ἐπειδὴ ἀνέγνων σου τὴν ἐπιστολὴν καὶ κατέμαθον ὅπου καθέζῃ καὶ ὅπως καὶ μεθ' ὅσους καὶ οἵους ἀδελφούς σου, τέκνον ἠγαπημένον, πάνυ ἀνεπάην ὁ ταπεινὸς καὶ εὐλόγησα ἀμφοτέρους καὶ πρό γε τῶν ἄλλων σέ, τὸν καλῶς προηγούμενον καὶ ἐξ ἀγαθῆς καταστάσεως ὑφ' ἑαυτὸν ἑλόντα καὶ τοὺς λοιπούς. τοιγαροῦν φυλαχθείητέ μοι ἐπὶ τὸ αὐτό, συζῶντες ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ καὶ τὸν τοῦ διωγμοῦ καιρὸν διανύοντες σωτηρίως καὶ μεμακαρισμένως· καὶ γὰρ μακαρίους ὑμᾶς εἴρηκεν ἐν εὐαγγελίοις ὁ Κύριος. ἡ εὐφημία μεγάλη, ἡ ἐλπὶς ἀνυπέρβλητος· καὶ γὰρ βασιλεία οὐρανῶν.

Στῆτε οὖν, παρακαλῶ, ἀδελφοί μου, στῆτε ἀκαταγώνιστοι ἔκ τε τῶν ὁρωμένων ἐχθρῶν καὶ ἀοράτων, παρασκευαζόμενοι μήπως καὶ συλληφθῆτε καὶ ἵνα ἀθλοφορήσοιτε δυνάμει θεοῦ, καθὰ καὶ πολλοὶ τῶν ἀδελφῶν ὑμῶν. τέως δέ, ἕως ἂν οἰκονομῇ Κύριος ἀσυλλήπτους μένειν, μένοιτε εὐζωοῦντες, τοῦτο μὲν ἀγαπητῶς ἔχοντες πρὸς ἀλλήλους καὶ ἀπαρρησιάστως, τοῦτο δὲ ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ, δῆλον ὅτι κεφαλῆς σοῦ, ἀδελφέ, προηγουμένου· πᾶν γὰρ τὸ ἀκέφαλον καὶ ἄναρχον ἄτακτον καὶ στασιῶδες, οὗ λυτρωθείημεν. προσεύχεσθε περὶ εἰρήνης τῆς τοῦ θεοῦ ἐκκλησίας, περὶ πάντων τῶν διεσπαρμένων ἀδελφῶν ὑμῶν, καὶ μάλιστα τῶν / εἰς τὰ Στουδίου ὑπὸ τοῦ ἀθέου Λεοντίου πιεζομένων καὶ λίαν τετρυχωμένων καὶ μέντοι ἐνισταμένων κραταιότατα, ἔπειτα καὶ περὶ ἡμῶν τῶν ἁμαρτωλῶν, ἵνα σῳζοίμεθα ἐν Κυρίῳ. ὁ ἀδελφὸς ὑμῶν Νικόλαος πλεῖστα προσαγορεύει.

---

368. a. 818

8 Matth. 5,10 10 ibid. **16** Eph. 5,21

C (S)

6 τοιγαρ οὖν C ἐπιτοαυτὸ S 7 καιρὸν om Mai 16 ἀπαρρησιάστως: cave corrigas εὐπαρρησιάστως, coll ep 315,8; est enim nimia fiducia Theodoro iudice mater malorum; cf ep 249,21 17 σου S Mai 23 ἡμῶν S

369. Κωνσταντίνῳ λαϊκῷ

Εὐλογία Κυρίου ἐπὶ σὲ καὶ ἐπὶ πάντα τὸν οἶκόν σου ἀνθ' ὧν ἀποστέλλεις τῇ ταπεινώσει ἡμῶν, ἄνθρωπε τοῦ θεοῦ, κρίνον ὀρθοδοξίας, φίλε διάπυρε. εἰ κτᾶσαι φίλον, ὥς φησιν ὁ λόγος, ἐν πειρασμῷ αὐτὸν κτῆσαι, ἐπειδήπερ ἐστὶ κοινωνὸς θλίψεως, πίστεως φύλαξ, οὗπερ οὐκ ἔστι σταθμὸς τῆς καλλονῆς. τοιοῦτος σύ, ἐξ ὧν ποιεῖς καὶ λέγεις πιστούμενος τὸν λόγον. ἀλλ' ἄνες, παρακαλῶ, μὴ ὑποπιέζεις σεαυτόν. εἰ δὲ οὐκ ἀνέχῃ, μηδὲ σὲ ὁ ἀγαθὸς θεός, ἀοράτως εὐεργετῶν· ὃς καὶ διαφυλάξειέν σε ἔτι ἀσινῆ πανοικί.

370. Κασσίᾳ

Οἷα ἡμῖν καὶ αὖθις ἐφθέγξατο ἡ κοσμιότης σου ὁμοῦ μὲν σοφά, ὁμοῦ δὲ καὶ συνετά, ὥστε με εἰκότως ἐστὶ ξενολογεῖσθαι καὶ εὐχαριστεῖν τῷ Κυρίῳ, ἐπὶ κόρῃ ἀρτιφυεῖ τηλικαύτην γνῶσιν ἐνορῶντα, οὐ μὲν οὖν κατὰ τὰς πάλαι (πολλοῦ γὰρ ἀποδέομεν καὶ ἄπειρον καὶ ἄνδρες καὶ γυναῖκες τῆς ἐκείνων σοφίας καὶ παιδεύσεως οἱ νῦν), ὅμως δ' οὖν ὅτι κατὰ τὸ παρὸν ὑπερῆρας ὅτι μάλιστα καὶ κόσμος σοι ὁ λόγος, πάσης ἐπικήρου εὐπρεπείας ὡραιότερος. ἀλλὰ τὸ ζητούμενον ὅτι σύνδρομος καὶ ὁ βίος τῷ λόγῳ καὶ οὐ σκάζοις περὶ θάτερον, εἴπερ οὕτω προείλου ἐν τῷ νυνὶ διωγμῷ πάσχειν ὑπὲρ Χριστοῦ, οὐχ ὅτι ἐμαστιγώθης πάλαι ἀρκουμένη, ἀλλὰ γὰρ καὶ αὖθις σφαδάζουσα οἱονεὶ καὶ φέρειν οὐκ ἰσχύουσα τὸν πυρπολούμενον ἔρωτα τῆς καλῆς ὁμολογίας. ἐν ᾗ φυλαχθείης διαζέουσα· ὄντως γὰρ οἶσθα τί καλὸν καὶ τί τερπνὸν ἀλλ' ἢ τὸ πάσχειν ὑπὲρ ἀληθείας καὶ πλεονεκτεῖν ἐν τοῖς παθήμασι. χρυσὸς δὲ καὶ ἄργυρος, δόξα καὶ εὐπάθεια καὶ πᾶν

---

369. a. 815 – 818

4 Sir. 6,7 6 Sir. 6,15

C (S)

6 οὔπερ C 9 διαφυλάξειε S

---

370. a. 816 – 818 4 ἀρτιφυεῖ: ut inter annos 800 ac 805 nata; cf. Rochow, Kassia 31

10 Philipp. 1,29 13 Ps. 132,1

C (S)

1 Κασίᾳ omnes: correxi (cf ep 217,1; Rochow, Kassia 3 sq) 5 οὔμενουν S 9 σκάζεις S

ὁτιοῦν δοκοῦν εὖ ἔχειν τῶν ἐπιγείων οὐδὲν οὐδα/μῶς, κἂν ἐξωνόμηνται τῶν καλῶν εἶναι, ἐπείπερ ἐν ῥοῇ καὶ ἀπορροῇ, ὀνειρόμοια καὶ σκιόεντα.

Τί τὸ ἑξῆς; ἡ φιλομόναχός σου αἵρεσις τοῦ βίου, ὡς φῇς, μετὰ τὴν παῦλαν τοῦ διωγμοῦ. ὅπερ οὐκ ἐξένισέν με, εἰ καὶ ξένον· διατί; ὅτι ἐκ τῶν προηγουμένων τὰ ἑπόμενά τις τεκμαίρεται καὶ διάλληλος ἡ δεῖξις. εἰ καπνός, πάντως πῦρ προελεύσεται· κἀνταῦθα, ἐπεὶ ὁμολογία Χριστοῦ, δῆλον ὅτι βίος τῆς μοναχικῆς τελειότητος ἀναλάμψειεν. ὡς μακαρία σὺ κατ' ἀμφότερα. πλὴν ἐπιβολὴν ἐμῆς χειρὸς μὴ ἀποκαραδόκει, ἐπειδὴ ἁμαρτωλός, ἀλλ' ἐκείνης, ἧς τῇ σεπτῇ ἐπιθέσει καθαγιασθήσῃ.

Τὴν ἐνεγκοῦσάν σε εἰς φῶς διαπλάσει τοῦ ἀληθινοῦ φωτὸς ὡς ἡμέρας μητέρα πλεῖστα προσαγορεύω· ἧς σὺν τοῖς ἀπὸ σοῦ εἰληφὼς τὰ δῶρα δῶρον ἀνεθέμην τῷ Κυρίῳ μου τὴν εὐχαριστίαν καὶ τὴν ὑπὲρ ἀμφοτέρων ἔντευξιν. πλὴν ὅτι πολὺ ὑμᾶς κατεβάρησα· ἀλλὰ κουφίσειεν ὑμᾶς νοουμένου φορτίου ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

371. Μακαρίῳ ἡγουμένῳ

Πάνυ ἐφιέμενος μαθεῖν ποῦ ποτ' ἂν μεθορισθεῖσά σου ἡ ὁσιότης τηρεῖται, ἐπειδὴ ἐδεξάμην αὐτῆς τὸ γράμμα καὶ κατέμαθον, χαρᾶς ἐνεπλήσθην ὁ ταπεινὸς καὶ πρὸ τῆς ἀναγνώσεως· ἐπειδὴ δὲ καὶ ἀνέγνων, πῶς οὐκ ἂν ἔμελλον γήθειν, ὅτι μου ὁ πεφιλημένος πατὴρ ζῇς ἐν Κυρίῳ, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνιζόμενος, τὸν θεοστιβῆ δρόμον διαυλίζων καὶ τὴν πίστιν ἀποστολικῶς τηρῶν; μακάριος εἶ φερωνύμως, ὦ Μακάριε, καὶ μακαριστέος σου ὁ ἄεθλος, καὶ πάλαι γνωριζόμενος καὶ ἄρτι ἀκουτιζόμενος, ὅτι τῆς ἀγάπης τοῦ θεοῦ οὐδὲν

---

31 Joh. 1,29

---

16 ὅτι οὖν C Mai 20 ἐξένισέ S διὰ τί Mai 26 καθ' ἁγιασθήσῃ C 31 ἡμᾶς C[ac]S αἶρων C Mai

---

371. a. 818 7 μακάριος εἶ: cf. H. Hunger, in: Byzantina 13_1 (1985) 9

---

6 2 Tim. 4,7

C (S)

---

2 ποῦ ποτ' ἂν: πουπ' οτᾶν C 7 ἀπὸ στολικῶς C 8 μακάριε Mai ἄθλος Mai

προέκρινας οὐδὲ ἐθέλχθης ὑποσχέσεσι τῶν τῇδε πρὸς τοῦ κρατοῦντος εἰσποιουμέναις, οὔτε μὴν ἐχαυνώθης ἀπειλαῖς ὑπανακρουομέναις, ἀλλ' ἔμεινας ὁ αὐτός, στρατιώτης Χριστοῦ, ὁμολογητὴς ἱερός, μάρτυς ἐτίζωος, μὴ καταισχύνας τὸν πάλαι βίον, τοὐναντίον δὲ λαμπρύνας τοῖς φθάσασιν ὅτι μάλιστα.

Τὸ δὲ ἡμέτερον οὐχ ὡς ἐξ ἀγάπης καὶ ἄγαν ταπεινώσεως φῄς ἔχει, ὦ πατέρων κράτιστε, ἀλλ' ὡς αὐτοὶ ἡμεῖς ἐν ἑαυτοῖς / ἴσμεν· πῶς; ὅτι ἀνάξιοι καὶ τοῦ καλεῖσθαι ὑμῶν τοῦ ἀριθμοῦ διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν. πλὴν ὅτι στένομεν ἐπὶ τοῖς προκειμένοις, πῶς ἀπελάκτισαν οἱ ἠγαπημένοι, πῶς καὶ οἱ δοκοῦντες εἶναί τι ἐξ ἐναντίας ἔστησαν· οὕς, κἂν μὴ ἐξονοματίσοιμι, ἐπίσταταί σου ἡ ἁγιωσύνη. προσθείην δ' ἄν, καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ, καὶ Ἀβεσσαλὼμ οὐχ εἷς, ἀλλὰ πολλοί· καὶ ἄνθρωποι πονηροὶ καὶ γόητες προκόπτοντες ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι· καὶ τὰ σπήλαια τοὺς διωκομένους ἔχουσι καὶ γελᾶται τὸ μέγα τῆς εὐσεβείας μυστήριον καὶ κωμῳδεῖται Χριστὸς ἐγγεγραμμένος σὺν μητρὶ καὶ θεράπουσι.

Ταῦτα πῶς οὐ λυπηρὰ καὶ δακρύων ἄξια; ἀλλ' ὦ ἱερώτατε, δίδου χεῖρα πρεσβευτικὴν τῇ πεπτωκυίᾳ ἐκκλησίᾳ, ὅπως ἐξεγερθεῖσ' ὡς ὁ ὑπνῶν Κύριος ἐπιτιμήσειεν τῷ νοητῷ λαίλαπι καὶ καταστορέσειεν εὐδίαν εἰρηνόδωρον. προσεύχου περὶ τοῦ παιδός σου καί γε περὶ τοῦ συνόντος μοι ἀδελφοῦ, ὃς καὶ προσαγορεύει, διασῴζεσθαι ἡμᾶς ἐν Κυρίῳ.

372. Εἰρήνῃ πατρικίᾳ

Τί σοι κόπους παρέχω, ὦ φιλόθεε καὶ φιλομόναχε; αἱ ἀποστολαί σου ὑπὲρ τὴν ἀξίαν μου. ἤρκουν αἱ πάλαι καὶ πρόπαλαι πολλαὶ καὶ

19 ἠγαπημένοι: Leontius? 28 ὁ ὑπνῶν Κύριος: cf. adn. ad ep. 333,22

12 2 Tim. 2,3 18 De. 32,15 21 Matth. 10,36 22 2 Tim. 3,13 24 1 Tim. 3,16

15 ἔχοι C 19 ἐξεναντίας codd: distinxit Mai 21 οἰκειακοὶ Mai 23 vocem προκόπτοντες iteravit S 28 πεπτωκυίᾳ S^{sscr} ἐξεγερθεὶς omnes: correxi

372. a. 815 – 818

C (S)

ἡλίκαι· τί καὶ αὗται; ἀλλ' ἔοικας τῇ Σολομωντείῳ βδέλλῃ, τῇ περὶ τὸ εὖ ποιεῖν οὐ κορεννυμένῃ, καὶ οἱονεὶ ἐκπιέζουσα τὸ οἰκεῖον αἷμα εἰς τροφὴν ἄλλων. καίπερ οὐ τοῦτό σοι μόνον γνώριμον, ἀλλὰ πολλὰ τὰ συντρέχοντα, ζῆλος, πόθος, ἔρως εἰς θεόν· κἂν μικρὸν ὑποπεπτώκαμεν, πάλιν οὖν ἀνακλητέον καὶ τὴν ὁδὸν Κυρίου πορευτέον. πάρες τὸ λυπηρόν, ἀνάλαβε χαρὰν πνευματικήν, ἐπείπερ ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν, ὅς, ἔτι λαλούντων ἡμῶν τὰ τῆς προσευχῆς ῥήματα, ἐρεῖ ,ἰδοὺ πάρειμι'.

Τῇ κυρίᾳ Εἰρήνῃ εἰρήνη θεοπάροχος, ἧς ἀπεδεξάμην καὶ τὴν εὐλογίαν, ἣν ἐλπίζω εἰς τὸν ὑψηλὸν βίον τῆς μοναδικῆς πολιτείας ἀναδραμήσεσθαι, ὁπότε μεταστρέψειεν Κύριος τὴν καταιγίδα εἰς αὖραν. /

373. Παύλῳ τέκνῳ

Ἀνέγνων σου τὴν ἐπιστολήν, τέκνον, καὶ εὑρὼν ὅτι ὑγιαίνεις καὶ σώματι καὶ πνεύματι ηὐχαρίστησα τῷ Κυρίῳ· καὶ καλῶς ἐποίησας ὅτι ἔγραψας, μάλιστα σημάνας ὅτι σου καὶ ὁ νοῦς ἡδραίωται ἐν τῇ πίστει. ἀλλ' εἴη καὶ ἐν τῇ πράξει· διὸ πρόσεχε σεαυτῷ, φεύγων γυναικείας ὄψεις, φεύγων πᾶσαν παρρησίαν ὡς ὄλεθρον ψυχῆς· ἀπέχου καὶ τῶν πονηρῶν λογισμῶν ὡς ἐμπυρισμὸν καρδίας καὶ ἀπώλειαν· φοβοῦ τὸν θεὸν καὶ ἐν τρόμῳ δούλευε αὐτῷ, τελῶν τὰς καθηκούσας ψαλμῳδίας καὶ ἀγρυπνίας· μὴ ἔσο ἀργὸς ἀλλὰ καματηρός, μὴ γελοιαστὴς ἀλλὰ θρηνητής, μὴ ἀργολόγος ἀλλὰ χρησιμορρήμων.

Ταῦτα οὐ σοὶ μόνῳ, ἀλλὰ καὶ τῷ Ἀντιπάτρῳ καὶ τῷ ἑτέρῳ ἀδελφῷ λέγω· οὓς καὶ προσαγορεύω καὶ εὔχομαι ὡς ἁμαρτωλὸς σῴζεσθαι ἀμφοτέρους.

---

13 εὐλογίαν: donum

4 Prov. 30,15 9 Ps. 144,9 + 18

4 σολωμοντίῳ omnes: correxi 14 μεταστρέψειε S 15 αὔραν Mai

373. 7 Matth. 15,19

C (S)

3 εὐχαρίστησα S 5 φεύγων – 6 ὄψεις om Mai 10 μὴ γελοιαστὴς ἀλλὰ θρηνητής, θρηνητής in marg S

374. Λιτοΐῳ τέκνῳ

Χαίρω ἀκούων σου τῆς φωνῆς, τέκνον, ὡς αἱ μητέρες τῶν νεοττῶν, καὶ μάλιστα ὅτι ἐγγιώτερον μᾶλλον ἡ παροικία σου, ἤγουν ἡ φυγαδεία, τῇ φυλακῇ ἡμῶν κατέστη, ἀφ' οὗ γέγονεν οἰκονομία μεταγράψαι σε τὰς προλαβούσας ἐπιστολάς. ἀλλὰ δέξαι καὶ ἑτέρας. οἶδα δὲ ὅτι πολὺ κεκοπίακας, ἀλλὰ καὶ ἔτι, ἀγαπητέ, κοπίασον, εἰδὼς ὅτι μισθός σοι οὐχ ὁ τυχών, ἡμισεύοντί μοι τῷ ἁμαρτωλῷ εἰς κέρδος ψυχῆς. εὖ δὲ ποιήσειεν Κύριος τῷ ξενοδοχοῦντί σε, ὅτι ἐμνήσθη φιλίας καὶ ἔχεται εὐσεβείας· ὃν διὰ σοῦ πλεῖστα προσαγορεύω, ἀπολογουμένου ὡς ὅτι ἐμοὶ τὴν ἐλεημοσύνην ποιεῖται.

Τὰ κεφάλαια ὅτι ἐκστηθίζεις, καλῶς· μᾶλλον γὰρ εἴσῃ τὴν δύναμιν τῶν λεγομένων. πλὴν ὅτι παρὰ τοὺς ἄλλους κεχορήγηταί σοι ὑπὸ Κυρίου τὸ νοεῖν· ἀντίδος αὐτῷ εὐχαριστίαν ἔμπρακτον, τέκνον, καὶ προσεύχου περὶ ἡμῶν. ὁ ἀδελφὸς προσαγορεύει σε. σωθείης ἀεί.

375. Κανονικαῖς

Ἐπειδὴ ὑμεῖς οὐκ ἐνδιδεῖν φιλεῖτε εἰς τὸ εὖ ποιεῖν, οὐδὲ ἡμεῖς οἱ ταπεινοὶ εἰς τὸ ἐπιστέλλειν. ἀλλὰ μικροπρεπὴς ἡ ἀντά/μειψις, ἔργῳ λόγοι, πείθομαι δὲ καὶ ἔργα, καὶ πολὺ τῶν τῇδε ἔργων τιμαλφέστερα. πηνίκα καὶ πρὸς τίνος; παρὰ θεοῦ καὶ ἐν τῷ μέλλοντι αἰῶνι· οὐδὲν γὰρ θεῷ ἀλόγιστον. καὶ μάλιστα τῆς ὑμετέρας μεγαλοψυχίας ἡ προσφορά, ἣν δεξάμενοι καὶ νῦν τὰ εἰκότα ὑμῖν ὑπερηυξάμεθα, ἀρκούμενοι καὶ μὴ ἐπιζητοῦντές τι ἕτερον· ἀρκετὸς γὰρ ὁ κόπος.

---

374. a. 818 **4** μεταγράψαι: cf. p. 42* adn. 8 **14** ἀδελφός: Nicolaus

C (S)

1 Λητοΐῳ S Mai **4** ἀφοῦ codd: distinxit Mai **8** ποιήσειε S **11** τὴν om Mai **13** καὶ om Mai

---

375. a. 815 – 818

C (S)

7 ὑπερευξάμεθα S Mai

Ὑμεῖς δέ, μητέρες καὶ ἀδελφαὶ ἐν Κυρίῳ, τὸν καλὸν ἀγῶνα τῆς μοναδικῆς πολιτείας ἀγωνιζόμεναι, χαίρετε, εὐσθενεῖτε ἐπειγόμεναι πρὸς τὰ κρείττονα, ἐπειδὴ οὐ στάσις τῷ πορευομένῳ τὴν εἰς ἀρετὴν φέρουσαν ὁδόν· ἄφθαστος γὰρ καὶ καταλαμβανομένη. μακάριαι οὖν ἐστε, προελόμεναι τὸν ἐν παρθενίᾳ βίον, τὸν ὄντως ἀγγελικὸν καὶ οὐράνιον, ὃς κοπῶδες μὲν καὶ βίαιον οὐ τὸ τυχόν, ἀλλὰ καὶ μάλα ἱδρωτικὸν ἔχει, ἀνταπόδομα δὲ βασιλείαν οὐρανῶν. οὐ μὴν ἀθυμητέον καὶ ὑποχαυνωτέον ἐν τοῖς πόνοις· εἰ γὰρ ὁ τῶν ἐπικήρων ἐφιέμενος τυχεῖν οὐχ ὑποκλάζει οὐδὲ ἐνδίδωσιν, ἕως ἂν κατάσχοι τὸ ζητούμενον, καίπερ ὂν οὐκ ἀναφαίρετον ἀλλὰ μεταπῖπτον καὶ ἀπολλύμενον, τυχὸν δὲ καὶ ἐφόδιον αἰωνίου κολάσεως, πόσῳ μᾶλλον ἡμῖν οὐκ ἀποκνητέον, ἀλλ' ἐμπυριστέον εἰς τὸ δουλεύειν θεῷ ζῶντι καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν ἀνθρωποπρεπεῖ θέᾳ, ὃν ἀρνοῦνται ἐγγεγραμμένον οἱ νῦν αἱρετίζοντες; φεύγοιτε, κυρίαι, τὸν ὄλεθρον, οὕτως ἐλεύσεται, ὃν τρόπον ὤφθη ἀναλαμβανόμενος. πῶς δὲ ὦπται; ὡς ἄνθρωπος εἰκονιζόμενος κρῖναι τὰ σύμπαντα σὺν τοῖς ἠρνημένοις αὐτὸν γραφόμενον. τὸν βίον, παρακαλῶ, σύνδρομον τῇ πίστει ἀκριβεύεσθε· αἱ ὑπὸ ζυγόν, φησίν, δότε τι καὶ θεῷ, αἱ παρθένοι τὸ πᾶν θεῷ. μὴ γίνοισθε ὥς τινες τῇ ἀκαλλεῖ συνηθείᾳ ἐμφυρόμεναι, ὑλάζουσαι τὰ περιττά· ἐφήμερος ἡ ζωή, διὰ χειρῶν ὁ βίος. τῶν σχέσεων ἀπορράγητε, τῷ Χριστῷ συνδουλούμεναι, ἐπείπερ διχοδεσμεῖσθαι οὐχ οἷόν τε· τὴν σάρκα ὑπωπιάζοιτε, δουλαγωγοῦσαι τῷ πνεύματι, τὴν καρδίαν καθαίρετε, ἵνα κατ' ἀμφότερα παρθενεύητε· τοῦτο γὰρ τὸ ὑπερ/φυὲς καὶ ζητούμενον.

Ἀγαπῶν ἐν Κυρίῳ ὡς ἂν ἐπὶ μητρός μου ἢ ἀδελφῆς ὑπέμνησα, αὐταὶ δὲ προσεύχεσθε ἵνα ὧν ἄλλοις καθίσταμαι διδάσκαλος, τούτων πληρωτὴς γένοιμι. σωθείητε.

376. Ναυκρατίῳ τέκνῳ

Τί τούτου χαριέστερον, τοῦ ἀκοῦσαί με τὸν ἁμαρτωλὸν ὅτιπερ σύ, ὁ ἀγαπητός μου υἱός, μεθ' ἑτέρων ἑπτὰ ἀδελφῶν σου, ὧν τὰ ὀνόματα

9 1 Tim. 6,12 30 1 Cor. 9,27

22 φεύγετε Mai κύριαι omnes: correxi 34 καθ' ἵσταμαι C

376. a. 818 ineunte

3 Philipp. 4,3

C VM PS

ἐν βίβλῳ ζωῆς, ἐμαστίχθητε ὑπὲρ Χριστοῦ, τοῦ ἀγαθοῦ ἡμῶν θεοῦ; δόξα τῷ καλέσαντι ὑμᾶς εἰς τὴν ὁμολογίαν τῆς ἀληθείας αὐτοῦ· δόξα τῷ σταθερώσαντι τὰς τιμίας ὑμῶν ψυχὰς τῶν ἄλλων προκινδυνεῦσαι εἰς τὸ μὴ πτῆξαι μηδὲ ὑποχωρῆσαι ἀπὸ προσώπου τοῦ ἀλάστορος, ἀλλὰ τὴν καλὴν ὑμῶν ὁμολογίαν ὁμολογῆσαι καὶ διὰ ταύτην σὺν Χριστῷ δοῦναι τὸν νῶτον εἰς μάστιγας. προσετέθητε χορὸς ἄλλος ὁμολογίας τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, ηὐξήσατε τὸ κλέος τῆς ἐν Χριστῷ ἀδελφότητος. μακάριοι ὄντως, ποθητοί μου, καὶ τρισμακάριοι, μακάριαι καὶ αἱ κοιλίαι, αἵ εἰς φῶς ὑμᾶς ἤγαγον· εἰ δέ τι καὶ περὶ ἐμοῦ, μακάριος κἀγὼ ὁ ἀμακάριστος καὶ ἄθλιος, ὅτι τηλικούτων ἀκούω πατὴρ τέκνων, θεοῦ υἱῶν καὶ κληρονόμων Χριστοῦ. τίς ἡ χαρὰ αὕτη; ἀλλ' οὐχὶ πάσης χαρᾶς θυμηρεστέρα; τίς ἡ δόξα αὕτη; ἀλλ' οὐχὶ τῶν τὰ διαδήματα φορούντων θαυμασιωτέρα, στίγματα φέρειν τοῦ Χριστοῦ, τὰ ζωοποιὰ αὐτοῦ πάθη ὡς στέφη;

Οὕτως μὲν οὖν τὰ καθ' ὑμᾶς, ἃ καὶ οὐρανὸς ἤνεσεν καὶ γῆ ἠκουτίσθη. τὰ δὲ ἡμέτερα μηδαμινὰ καὶ ἁμαρτωλά, πλὴν ὡς ἀπήγγειλεν ὁ ἀδελφὸς Ἀδριανός· πάντως γὰρ ἀποσέσωσται. εἰ δέ τι δέοι προσθεῖναι, ταῦτα καὶ δηλώσομεν. μετὰ τὸν δαρμὸν ἔκλεισαν ἡμᾶς τοὺς δύο εἰς ἀνώγαιον, ἀναφράξαντες τὴν θύραν καὶ ἄραντες τὴν κλίμακα. κυκλόθεν φύλακες, μή πού τις θίγῃ μηδὲ ἅψηται τοῦ δωματίου· ἀλλὰ καὶ πάντα τὸν εἰσερχόμενον εἰς τὸ κάστρον προϋπαντῶντες οἱ φύλακες οὐκ ἐῶσί που τραπῆναι πάρεξ τοῦ ἰδίου οἴκου, ἕως ἂν αὖθις ἐξέλθοι. παραγγελία κραταιὰ μὴ ἐπιδοθῆναι ἡμῖν τι πάρεξ ὕδατος μόνου καὶ ξύλου· οὕτως ἁπλῶς θέμενοι ὡς ἐν τάφῳ καὶ πρὸς τὸ κτεῖναι ἡμᾶς. ὁ δὲ θεὸς ἐλέει φιλανθρωπίας αὐτοῦ δι' ὧν προεισηνέγκαμεν χρειῶν καὶ ἔτι δι' οὗ ἐπιδίδοται ἡμῖν τὸ προσταχθὲν δι' ὀπῆς τῆς θυρός, / ἐπὶ κλίμακος ἀνιόντος κατὰ τὴν ὥραν ἑστώσης, διατρέφει. οὐ τολμῶμεν φῆσαι ἐκεῖνο, ὅ φησιν ὁ Δανιὴλ δεξάμενος παρὰ τοῦ Ἀμβακοὺμ τὸ ἄριστον, ἐμνήσθη γάρ μου ὁ θεός, πλὴν ὅτι ἐμνήσθη καὶ ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεεῖ καὶ περιέπει καὶ σκέπει. ἕως ἂν οὖν πάρεστιν ἡμᾶς τρέφεσθαι ἐκ τῶν ἔνδον ἢ ὅπως ποτέ, ἑνὸς

21 τοὺς δύο: cum Nicolao

8 1 Tim. 6,13 16 Gal. 6,17 32 Bel 38

18 τὰ: τὰς Sirm ἤνεσε VMPS Sirm 20 καὶ ante προσθεῖναι add V Sirm 22 ἀνώγεων VMPS Sirm (cf Marc 14,15 ἀνάγαιον) 23 κυκλῶθεν C: κύκλωθεν M πού τις C: τίς που cett Sirm δωματίου: δώματος M 25 αὖθις: αὖτις coni Sirm 26 ἐξέλθῃ M 28 προεισενέγκαμεν V[pc]P Sirm 29 ἐπὶ δίδοται C: ἐπιδίδοται M: ἐπιδέδοται cett Sirm 30 θυρὸς CP: θύρας S: θυρίδος cett Sirm 31 φησι Sirm ὁ om Sirm 32 ἀββακοὺμ MS 34 ἔνδων C ὁπώσποτε codd: corr Sirm

τῶν πορταρίων οἴκοθεν λάθρα ἐπιδιδοῦντος τοῦ καὶ ἑβδομαρησίου, τρέφει ἡμᾶς καὶ δοξάζομεν τὸν θεόν. ἐπιλιπόντων δὲ τῶν χρειῶν οἰκονομίᾳ θεοῦ συγκαταλείψομεν καὶ ἡμεῖς τὴν ζωήν· καὶ ἐν τούτῳ χαίρομεν, καὶ τοῦτο τῆς μεγαλοδωρεᾶς τοῦ θεοῦ. καὶ τίς εἰμι ἐγὼ ὁ τάλας, τοιούτῳ τρόπῳ καταληφθεὶς ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ καὶ πρὸς τὸ ἑξῆς, ὡς κελεύει, δόξης περισσοτέρας τὸν ἀγέραστον καταξιῶσαι σὺν τῷ ἀδελφῷ;

Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, συναγωνίσασθέ μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἡμῶν πρὸς τὸν θεὸν ἵνα ῥυσθῶ ἐν παντὶ τρόπῳ διὰ παντὸς ἐκ τοῦ πονηροῦ καὶ ἵνα ὁ ἐναρξάμενος ἐν ἡμῖν ἔργον ὁμολογίας αὐτοῦ διὰ σπλάγχνα οἰκτιρμῶν οὐκ ἐξ ἔργων μού τινων (οὐ γὰρ ἐποίησά τι ἀγαθὸν ἐπὶ τῆς γῆς ἀλλὰ τοὐναντίον) αὐτὸς καὶ ἐπιτελέσειεν ἐν ἀμφοτέροις. τοῦτο καὶ ἡμεῖς οἱ ταπεινοὶ πρὸς ὑμᾶς τοὺς τὰ αὐτὰ πάσχοντας αἰτεῖσθαι οὐ διαλιμπάνομεν μετὰ δακρύων. οὐ μόνον τοὺς ὀκτώ, τὴν ἐκλογὴν τοῦ Κυρίου, ἀλλὰ καὶ τὸν ἀββᾶν Πέτρον καὶ τὸν καλὸν Λιτόιον καὶ εἴ τινα ἄλλον ἀσπαζόμεθα ἐν Κυρίῳ.

377. Ἐπιφανίῳ τέκνῳ

Ἰδού, τέκνον μου ἠγαπημένον, καθὼς προεθυμήθης ἀπᾶραι ἐν τῇ Δύσει, εἰπόντος μου ἆραι γράμματα ταῦτα. ἀπέστειλα δύο ἐπιστολάς, τοῦ τε ἀποστολικοῦ καὶ τοῦ κυροῦ Μεθοδίου· οἱ γὰρ περὶ τὸν ἀδελφὸν Διονύσιον εὐδοκίᾳ θεοῦ καὶ ἀπεσώθησαν ἕως τῶν ἐκεῖ καὶ χρηστὰς ἐλπίδας ἤνεγκαν· πρὸς οὓς καὶ πάλιν ἐπιστεῖλαι εὖ ἐνόμισα. ἐπέστειλα δὲ οὐχ ὡς ἀπ' ἐμοῦ μόνον, ἀλλ' ὡς τὸ πρότερον, ἐξ

---

35 πορταρίων: cf. Triandaphyllidis, Lehnwörter 124 49 ὀκτώ: Naucratius cum sociis; cf. l. 3

---

42 Rom. 15,30 sq. 44 Philipp. 1,6

---

35 ἐπιδιδόντος VMPS Sirm 36 ἐπιλειπόντων codd Sirm: corr Mi 38 καίρομεν (sic) Sirm 39 τοιούτῳ τρόπῳ: τοιουτοτρόπως M 40 προστοεξῆς S 42 συναγωνίσασθαι M 43 ὑπὲρ ἡμῶν: ὑμῶν V Sirm 47 ἐπιτελέσει M ὑμεῖς M[ac] 48 αἰτεῖσθαι post διαλιμπάνομεν transp VPS Sirm 50 Λητόϊον VMPS Sirm

---

377. altero semestri spatio a. 817 2 ἐν τῇ Δύσει: Romam 4 ἀποστολικοῦ: papa 5 Διονύσιον: cf. ep. 456,2 sq.

C VM PS

---

2 μου om VM ἀπάραι CPS Sirm 3 ἄραι PS vocem ἀπέστειλα iteravit S 6 οὓς scripsi: ἃς codd Sirm 7 ἀπ' om M

ἀμφοτέρων τῶν ἡγουμένων, οὓς δηλοῖ ἡ ἐπιστολή, πάρεξ τοῦ τῆς Εὐκαιρίας· οὗτος γάρ, ὡς ἔμαθον, κατὰ τὰς ἁμαρτίας μου κατέπεσεν. γνώσει οὖν καὶ κοινῇ γνώμῃ διὰ μηνύματος λαθραίου καὶ ἀναγνώσεως τῆς ἐπιστολῆς ὡς τότε ἐπεστείλαμεν, ὡς καὶ ἐδήλου τὸ ἀπιὸν γράμμα. νῦν δέ, κἂν οὐ δεδύνημαι τοῦτο ποιῆσαι διὰ τὴν ἀσφάλειαν, ἀλλ' ὡς ἤδη ὁμογνωμονούντων ἀμφοτέρων καὶ αὕτη ἡ ἐπιστολή· ἴσως δὲ καὶ μετὰ ταῦτα ἐνδέχεται κἀκείνους ἐπιγνῶναι.

Ἄπιθι οὖν, ὦ καλὲ Ἐπιφάνιε· ἐπίφανον τῇ Δύσει ἄγγελος πιστός, φρόνιμος, ἀρχαιογνώριστος, ἀποδιδοὺς τὴν ἐπιστολὴν καὶ κατὰ τὰ θεοκινήτως τυπωθέντα ἐν τῷ ἁγίῳ ἀποστολικῷ ὑποθετικῷ τρόπῳ καὶ λόγῳ τοῦ ἱεροῦ Μεθοδίου καὶ τοῦ τῆς Μονοβασίας ἁγίου ἐπισκόπου καὶ αὐτὸς συνεπιπρεσβεύων καὶ ἐκλιπαρῶν εἰς πέρας ἐνεχθῆναι ταῦτα θεοῦ εὐδοκίᾳ, τοῦ ἔχοντός σε καὶ ἀποσῶσαι καὶ παραστῆσαι τῇ ἱερᾷ καὶ μακα/ρίᾳ κορυφῇ. μὴ δείσῃς· πολύς σοι ὁ μισθὸς καὶ μέγας ὁ ἀγών· Χριστὸς μετὰ σοῦ. προσειπὲ πάντας τοὺς ἁγίους καὶ μάλιστα τοὺς γνωριμωτέρους, ἐξαιρέτως τὸν ἅγιόν μου πατέρα τὸν ἀρχιμανδρίτην, ἀλλὰ καὶ τὸν δεσπότην μου τὸν χαρτοφύλακα, οὗ ἡ ἀγάπη ἔγκειται ἐν τῇ ταπεινῇ μου καρδίᾳ.

378. Τῷ αὐτῷ

Καὶ αὖθις ἤκουσα τῆς φωνῆς σου, τέκνον ἠγαπημένον, καὶ ἔδοξα κατ' ὀφθαλμοὺς σε ὁρᾶν καὶ περιπτύσσεσθαι. ἀλγεῖς ὅτι ἀφέθης ἄδεσμος εἶναι; χάρις τῷ οὕτως οἰκονομήσαντι Κυρίῳ, σὺ δὲ τῇ

9 Εὐκαιρίας: abbatis Ioannis 18 ἐπισκόπου: Ioannes; cf. ep. 274 24 ἀρχιμανδρίτην: Basilius; cf. ep. 273 χαρτοφύλακα: bibliothecarius S. Sergii? cf. Sansterre, Les moines I 180 sq.; II 204 adn. 73

21 Matth. 5,12

8 τοῦ V^{sscr}: om M 9 ἐμάθομεν PS κατέπεσε VMPS Sirm 11 ὡς^{1} om VPS Sirm καὶ om VM 12 κἂν P 13 ὁμογνωμονούντων: ὁμογνωμόνων αὐτῶν M 14 μεταταῦτα MP 18 Μονεμβασίας S Sirm 22 πρὸς εἰπὲ C: πρόσειπε cett Sirm 23 γνωριμωτάτους VM Sirm καὶ ante ἐξαιρέτως add P

378. altero semestri spatio a. 817

C (S)

1 τῷ αὐτῷ: ἐπιφανίῳ τέκνῳ S 4 εἶναι: εἴη Mai

προθέσει δέσμιος καὶ τῇ ὁμολογίᾳ μακάριος. πλὴν οὐκ οἶδας τί τέξεται ἡ αὔριον. ἔσο τοίνυν παρεσκευασμένος καὶ ὅπῃ τῷ θεῷ φίλον ἀγέσθω τὰ κατὰ σέ· παντὶ φυλακῆς χρεία, ἑκασταχοῦ ὁ διώκτης ἐχθρός. ἔχου, τέκνον μου, τῆς σωτηρίας σου ὅπουπερ ἂν εἴης, προσευχόμενος περὶ τοῦ ἁμαρτωλοῦ σου πατρὸς εἰς τὸ ἀπᾶραί σε πρὸς τὰ δυτικά, ἡνίκα ὑπέστρεψαν οἱ ἀδελφοί, δι' εὐχῆς μοι μάλα πληροῦντα τὰ θεοφιλῆ καὶ ἀναγκαῖα, αἴροντα δηλονότι καὶ τὰ γράμματα.

Ἃ δὲ ἐκεῖσε πέπρακται ὑπὸ τοῦ πρὶν προεδρεύσαντος μαθὼν ἐξέστην καὶ εἰς ἐλεεινολογίαν κατέληξα· πῶς δὲ οὐκ ἐσήμανας περὶ τοῦ Φιλαγρίου, οὗ ἡ μέριμνα πιέζει μου τὴν ταπεινὴν ψυχήν;

379. Τῷ αὐτῷ

Ἐκ παραδόξου μοι τὸ γράμμα σου, ὦ φίλτατον τέκνον· ὃν γὰρ προσεδόκουν ῥωμαΐζειν, ἐκ Βυζαντίου μοι φθέγγεται, καὶ ὃν ἐλογιζόμην ἀφέμενον εἶναι, δέσμιος ἥκει. τί τοῦτο; δῆλον ὅτι προνοίας θεοῦ τὸ ἔργον, ἵνα καὶ σὺ μετασχοίης σὺν τοῖς ἱεροῖς ἀδελφοῖς σου τῶν ὑπὲρ Χριστοῦ παθημάτων, οὐ μόνον ὡς τῶν προεχόντων ὤν, ἀλλὰ καὶ τῶν πολλῶν ἐν γνώσει διαφέρων καὶ τὸ πρωτεῖον τῶν γραφέων ἔχων, προσθείην δ' ἂν καὶ ὡς στόμα τῆς ταπεινώσεώς μου ὑπάρχων. σὺ μὲν οὖν ἐφθέγξω ἃ ἐφθέγξω ἐν τοῖς γράμμασιν ἐκθειάζων τὰ ἐμὰ (σὰ δὲ εἰπεῖν ἄληθες, ἐπειδὴ υἱῷ τὰ πατρὸς ἀνήκει) καὶ τοῦ μέτρου διὰ τὸν πόθον ἐξιστάμενος, ἐγὼ δέ σε παρακαλῶ στῆναι γενναίως ἐν τοῖς ὑπὲρ Χριστοῦ ἀγωνίσμασι, πάντα φέρων τὰ μέ-/χρις αἵματος, ἐπειδὴ οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς, ὡς γέγραπται, ἄλλως τε ὅτι καὶ προῄρου κατ' ἀρχὰς ὑποβληθῆναι τοῖς ὁμολογηταῖς καὶ

---

10 ἀδελφοί: Studitae Dionysius et Euphemianus

5 Prov. 3,28

9 ἀπάραι S Mai 11 δῆλον ὅτι C 14 πιέζῃ C

379. hieme a. 817–818 3 ῥωμαΐζειν: Roma morari; ad verbum cf. Psaltes, Grammatik 329

13 Rom. 8,18

C (S)

4 δηλονότι S 6 προεχόντων: προσευχόντων Mai 10 ἀληθὲς Mai 11 σε om Mai 15 καταρχὰς S

σαυτὸν ἐπέρριψας μικροῦ δεῖν τῷ κινδύνῳ. νόμιμον οὖν τὸ μαρτύριόν σοι ᾠκονομήθη, ἀδελφέ, ἄρτι ἀχθέντι κατὰ λόγον. μὴ οὖν ἀναδύωμεν, ἀντιβολῶ, μηδὲ ἐλεήσωμεν σάρκας, ἀλλὰ προησώμεθα ταύτας εἰς ὅ τι ἂν καὶ παρασκευάσοι Χριστός, ἵνα καὶ ψυχὴν καὶ σῶμα εἰς ἀθάνατα ἀγαθὰ ἐμβάλωμεν.

Προσεύχου καὶ αὐτὸς τὰ ἴσα περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. ὁ σὺν ἐμοὶ ἀδελφὸς προσαγορεύει.

380. Ναυκρατίῳ τέκνῳ

Χαίρω ἐπὶ σοί, ἀδελφέ μου Ναυκράτιε, ὅτι τῆς χαρᾶς υἱὸς χρηματίζεις, ὅπερ ἐστὶ τὸ διὰ Χριστὸν πάσχειν. καὶ τί γὰρ τούτου χαριέστερον, τί δὲ εὐκλεέστερον; ἐμαστίχθης οὖν χριστομιμήτως, ἤρθης ἐκ φυλακῆς εἰς φυλακήν, παραδοθεὶς εἰς χεῖρας Ἰωάννου τοῦ ἀσεβοῦς, ἐφ' ᾧ ὁ ταπεινὸς καὶ ἠγωνίασα· ἀλλ' ὅτι προσβαλόντος αὐτοῦ οὐ περιετράπης, τοὐναντίον δὲ καὶ ἀπεπέμψω διελεγκτικῶς τὸν ματαιόφρονα, πάνυ ὁ τάλας ἧσα καὶ εὐθύμησα. εἴη δέ σοι καὶ πρὸς τὸ ἑξῆς πρὸς πᾶν ὁτιοῦν τῶν συμβησομένων παρὰ Κυρίου βοήθεια. ἐπειδὴ δὲ ἔφης προτεῖναι αὐτὸν ἐν τῇ διαλέξει φωνὰς ἐπ' ἀνατροπῇ τῶν ἁγίων εἰκόνων, ἤγουν Ἀστερίου, Ἐπιφανίου καὶ Θεοδότου, ἀναγκαῖον ᾠήθην πρὸς καταρτισμὸν ἀμφοτέρων παραθέσθαι ἐνταῦθα, εἰ καὶ ὑπερτείνει τὸ ἐπιστολιμαῖον ὕφος, αὐτὰς ἐκείνων τὰς φωνὰς καὶ τὴν σὺν θεῷ παρ' ἡμῶν τῶν ἀμαθῶν ἀνατροπὴν αὐτῶν.

Ἡ οὖν τοῦ Ἀστερίου ἐπὶ λέξεως τάδε· ‚μὴ γράφε τὸν Χριστόν· ἀρκεῖ γὰρ αὐτῷ ἡ μία τῆς ἐνσωματώσεως ταπεινοφροσύνη, ἣν αὐθ-

---

18 ἀντὶ βολῶ C προϊσώμεθα C Mai 20 ἐμβάλλωμεν S 21 ἶσα S

---

380. a. 818 4 χριστομιμήτως: cf. adn. ad ep. 284,26 15 ad verba Asterii cf. F. Combefis, S. patris nostri Asterii Amaseae episcopi ... orationes et homiliae. Paris 1648, 238 sq.; Marx, Der Bilderstreit 81

15 Aster. Amas. hom. 1, 4, 10–13 (p. 9 Datema); cf. Conc. Nic. II (XIII 305 B sq. Mansi)

CH (ll. 95–249) VM P_2P_1S

1 δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm 6 πρὸς βαλόντος C: προσβαλλόντος S 7 ἐλεγκτικῶς S 8 ἧσα C: ἥσθην cett Mi: ἤσθην Sirm 9 ὅτι οὖν C 10 ἐπ': ἐν Sirm 15 σχόλιον (om MP_2)· ἰστέον ὡς ἔστιν ἀστέριος ὑπὸ τοῦ ἁγίου (ἁγιωτάτου P_2) σωφρονίου ἐν τοῖς αὐτοῦ συνοδικοῖς ἀναθεματιζόμενος καὶ ὑπὸ ἄλλου πατρὸς ὡς ἀνέγνων ἀπολιναρίῳ καὶ εὐτυχεῖ συνταττόμενος in marg CP_2M

αιρέτως δι' ἡμᾶς κατεδέξατο. ἐπὶ δὲ τῆς ψυχῆς σου βαστάζων νοητῶς τὸν ἀσώματον λόγον περίφερε'. ἐρωτάσθω τοιγαροῦν ὁ λογογράφος, ἀνθ' ὅτου ἀπαγορεύσας Χριστὸν γράφεσθαι ἀρκεῖν αὐτῷ λέγει τὴν μίαν τῆς ἐνσωματώσεως ταπεινοφροσύνην, ὡς καὶ τὴν ἅπαξ αἱρεθεῖσαν ἄδοξον ὑποφεύγοντι τὴν δευτερεύουσαν τῆς ταπεινοφροσύνης φανέρωσιν. καὶ πῶς αὐθαίρετος, εἰ ἄδοξος; τὸ γὰρ αὐθαίρετον ἔνδοξον, οὐκ ἔχον τοῦ ἀκουσίου τὸ ἄδοξον. εἰ δὲ τοῦτο οὔ, ἀλλ' ὅτι δευτέρωσις, πῶς δευτέρωσις ἡ τὸ αὐτὸ καὶ πρῶτον καθ' ὁμοίωσιν δεικνύουσα γραφή; πῶς δὲ καὶ τὸ ὑπομνηματίζεσθαι δι' ἀκοῆς οὐ παραιτήσεται, εἴγε τὸ δι' ὄψεως θριαμβεύεσθαι ὡς δευτέρωσιν φέρον νεμεσητὸν αὐτῷ; ἑκάτερον γὰρ θατέρου σύνοδόν τε καὶ ἰσοδύναμον, ὡς τὸ θεῖον στόμα, Βασίλειος ὁ Μέγας, ἀπεφθέγξατο. λογισθήσεται δὲ κατὰ τὸ ἀνάλογον καὶ τὸ τὸν σταυρὸν ἅπαξ γραφῆναι ἑτέρου δηλαδὴ σταυροῦ δευτέρωσις, ὡς καὶ ἐπὶ τοῦ εὐαγγελίου· καὶ ἐπειδὴ ἀεὶ γράφεται ἀμφότερα, ἀπείρους σταυρούς, πρὸς δὲ καὶ εὐαγγέλια, οὐχ ἕνα καὶ ἓν ὑπάρχειν. εἰ δὲ εἷς καὶ οὐ δεύτερος, κἂν μυριοστῶς γράφοιτο, σταυρός, καὶ ἓν καὶ οὐ δεύ/τερον, κἂν ἀπείρως γράφοιτο, εὐαγγέλιον, καὶ εἷς καὶ οὐ δύο, κἂν ὡσαύτως γράφοιτο, Χριστός. γραφόμενος γάρ ἐστιν ὡς ἀναγινωσκόμενος καὶ οὐ πλησθήσεται οὖς ἀπὸ ἀκροάσεως οὔτε μὴν ὀφθαλμὸς ἀπὸ ὁράσεως· ὅτι ὁ θεὸς ἄνθρωπος γέγονε καὶ ὅτι ὤφθη βρέφος ὁ αἰώνιος· καὶ γαλακτοτροφεῖται ὁ τρέφων τὰ σύμπαντα καὶ ἀγκαλίζεται ὁ ἀπερίληπτος καὶ χρηματίζει ἀνὴρ ὁ ὑπέρθεος καὶ βαπτίζεται ἡ τῆς σοφίας ἄβυσσος καὶ δρᾷ τὰ θεοπρεπῆ τε καὶ ἀνθρωποπρεπῆ ὁ ὑπερούσιος καὶ σταυροῦται ὁ τῆς δόξης Κύριος καὶ θάπτεται καὶ ἀνίσταται ὁ ζωῶν τὰ σύμπαντα καὶ ἀναλαμβάνεται ἀνθρωποπρεπῶς ὁ μηδαμοῦ χωρούμενος. παυσάσθω ἀπαγορεύειν τὴν οὕτω σωτήριον κόσμου καθ' ἑκάτερα φανέρωσιν, καὶ τὴν δόξαν Κυρίου ἀδοξίαν ὑποτιθέμενος καὶ τὴν αὐθαίρετον ταπεινοφροσύνην ἀκούσιον ὑποβαλλόμενος, παυσάσθω δὲ καὶ τῷ Μεγάλῳ Βασιλείῳ ἀντιφερόμενος, οὗ ἡ φωνὴ θεοῦ φωνή, ὧδέ που προστάσσοντι· ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός.

---

18 ἀσώματον λόγον: cf. Martin, History 193

35 Eccl. 1,8 47 Bas. hom. in Barl. mart. 3 (PG 31,489B)

18 τοίγαρ οὖν C 20 τῆς S^{sscr} 24 πῶς δευτέρωσις om Sirm 26 παραιτήσεται: παραστήσεται M 27 συνῳδόν VM (fort recte) 29 καὶ ante κατὰ inser Sirm 30 εἷς ἐστι χριστός, κἂν γράφωνται μυρίοι· καὶ σταυρὸς οὕτω, κἂν γίνωνται πλείονες in marg MPS 32 οὐ δεύτερος: οὐδέτερος Sirm μυριοστὸς VM: μυριστὸς P_2^{ac} 33 οὐ δεύτερον: οὐδέτερον Sirm κἂν P_1 34 κἂν P_2 ὡς αὔτως C 38 ἀγγαλίζεται S 40 τε om VMP_2 Sirm 41 ζωῶν: ζωογονῶν VM: ζωοποιῶν Sirm 45 ὑποβαλλόμενος: προβαλλόμενος M

Ἐρρίφθω δέ που θείου χοροῦ σὺν τῇ παρούσῃ ἀποφάσει καὶ ἡ ἑξῆς κατάφασις, ὡς τὸ ἴσον τῆς ἀτοπίας ἔχουσα. τί γάρ φησιν; ‚ἐπὶ δὲ τῆς ψυχῆς σου βαστάζων νοητῶς τὸν ἀσώματον λόγον περίφερε'. ὢ τῆς ἀλογίας· οὔ τί που γὰρ θεῖον στόμα ἀσώματον τὸν λόγον μετὰ τὸ γενέσθαι αὐτὸν σάρκα λέλεχεν. οὐκέτι μὲν γὰρ σάρκα Χριστόν, ἀλλ' οὐκ ἀσώματον ὁ ἱερὸς ἀπόστολος εἴρηκεν, ἐν οἷς φησιν· ἡμεῖς δὲ ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. ὅπερ ἑρμηνεύων ὁ Θεολόγος Γρηγόριος τὰ σαρκικά, ἔφη, πάθη καὶ χωρὶς τῆς ἁμαρτίας ἡμέτερα· ὡς καὶ ἀλλαχοῦ φησιν, οὐκέτι μὲν σάρκα, οὐκ ἀσώματον δέ. ὁ δὲ ἀσώματον τὸν λόγον φήσας οὐ μόνον τοῖς δυσίν, ἀλλὰ γὰρ καὶ πᾶσι τοῖς θεοφόροις μαχόμενος εἶεν.

Δέδεικται τοίνυν φύσεως λόγῳ ἀτόπῳ ἄτοπον ἐπακολουθῆσαν· καὶ τῇ τοῦ ψεύδους ἀνατροπῇ κείσθω ἀντιστρόφως ἡ ἀλήθεια. πῶς; γράφε τὸν Χριστὸν ὅπου δεῖν, ὡς ἔχων αὐτὸν κατοικοῦντα ἐν τῇ καρδίᾳ σου, ἵνα καὶ ἀναγινωσκόμενος ἐν δέλτῳ καὶ ὁρώμενος ἐν γραφῇ ὡς ταῖς δυσὶν αἰσθήσεσι γνωριζόμενος διττῶς φωτίζῃ σου τὰς φρένας, μαθόντος ὅπερ διὰ λόγου κατηχήθης τοῦτο βλέπειν κατ' ὀφθαλμούς. καί γε ἐν τῷ οὕτως ἀκουτίζεσθαι καὶ ὁρᾶσθαι οὐκ ἔχει φύσιν μὴ οὐχὶ δοξάζεσθαι θεὸν καὶ κατανύττεσθαι ἄνθρωπον εὐσεβῆ· οὗ τί ἂν γένοιτο σωτηριωδέστερον καὶ θεῷ εὐπρόσιτον; οὕτως οὖν οἱ οὐδαμινοὶ νοοῦμεν τἀληθῆ, εἰ καί τινες τῶν πρὸ ἡμῶν ἱερῶν πατέρων ἑτέρως ὑπειλήφασι τὸ διελεγχθὲν πρόβλημα.

Τῆς γοῦν τοῦδε φωνῆς περαιωθείσης, τίς ἡ τοῦ Ἐπιφανίου; ‚νοήσει ἡ σὴ θεοσέβεια, εἰ πρέπον ἐστὶ / θεὸν ἔχειν ἡμᾶς ζωγραφητὸν διὰ χρωμάτων'. ὅρα δὴ τὸν ψευδηγόρον· οὐ Χριστὸν εἶπεν, ἐφ' ᾧ δηλοῦται ἡ περιγραφὴ μετὰ τοῦ ἀπεριγράπτου (ὧδε γὰρ τῶν ἑκατέρων φύσεων ἡ δήλωσις), ἀλλὰ θεὸν ἔχειν ἡμᾶς ζωγραφητόν, ἀπαμφιεννὺς τὸν λόγον τῆς ἀνθρωπότητος μανιχαϊκῷ φρονήματι καὶ θεὸν γυμνὸν

75 ἀπεριγράπτου: cf. M. V. Anastos, in: Late class. and med. Studies in Honor of A. M. Friend Jr. Princeton 1955, 180 adn. 19

54 2 Cor. 5,15 57 Greg. Naz. or. 30,14 (PG 36,121 C = p. 256 G.-J.) 58 Greg. Naz. or. 40,45 (PG 36,424 C = p. 306 M.-G.) 72 Epiph. fr. 21 (p. 360 Holl) 77 cf. adn. ad ep. 532,102

50 ἶσον VMP Sirm 52 οὐτίπου Sirm 53 οὐκ ἔτι CP_2 54 voces τὸν λόγον post ἀσώματον add VMPS Sirm 56 οὐκ ἔτι CP_2 γινώσκωμεν C 57 τῆς om VMP_2 Sirm 58 ὡς: an ὅς scribendum? 60 γὰρ om VMPS Sirm 61 ἐπ' ἀκολουθῆσαν C 62 κείσθω: καίσθω Sirm 63 δεῖν: δεῖ Mi 65 φωτίζει C 71 διελεχθὲν V 72 γ' οὖν C τοῦδε: τῆσδε P_1S σχόλιον (om P_1SP_2)· ἰστέον ὡς ἐπιφάνιος ὑπὸ τοῦ ἁγίου ἐπιφανίου ἐν τῷ λβ̅ κεφαλαίῳ τῶν αἱρέσεων (= PG 41,544 A sq) οὐαλεντίνῳ (ἰουαλεντίνῳ P_1) καὶ ἰσιδώρῳ συντάττεται, ὑπὸ δὲ τοῦ ἁγίου σωφρονίου μετὰ καρποκράτην ἐπιφάνιος ἀναθεματίζεται in marg CPS

προτείνας, ὡς ἂν τῷ ἀτόπῳ τῆς προτάσεως τὸν ἀκροατὴν ἐκπλήξειεν. οὕτω δὴ καὶ ὁρατὸν θεὸν εἰπεῖν ἔκτοπον, εἴπερ φησὶ τὰ ἱερὰ λόγια, θεὸν οὐδεὶς ἑώρακεν πώποτε. καὶ μὴν ὁ μονογενὴς υἱός, θεὸς ὢν καὶ ὁρώμενος, τοῦτο ἐξηγήσατο· ἀλλ' εὔδηλον ὅτι γυμνὸν θεὸν ἀνθρωπότητος οὐδεὶς ἑώρακεν. ἐπεὶ δὲ ὁ μονογενὴς οὐ γυμνὸς μετὰ τὴν σάρκωσιν, διὰ τοῦτο καὶ ὁρατός. καὶ βεβόηκεν ὁ ἱερὸς ἀπόστολος· θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. τὸ οὖν ἐν σαρκὶ ἐπὶ πάσῃ ἀποφάνσει ἀπὸ κοινοῦ ληπτέον· εἱρμὸς γάρ τίς ἐστιν ἡ πρώτη φωνὴ οὐ μόνον ταῖς ἐφεξῆς, ἀλλὰ γὰρ καὶ πάσαις ταῖς τῆς ἐνσωματώσεως ἰδιότησιν. ὡς οὖν θεὸς ἐφανερώθη ἐν σαρκὶ καὶ ἐφ' ἑκάστῳ τῶν προειρημένων (οὐ γὰρ ἂν ἔχοι φύσιν μὴ προσυπακουομένου τοῦ ἐν σαρκὶ ἢ ὀφθῆναι ἢ ἀναληφθῆναι), οὕτω δηλαδὴ καὶ γαλουχεῖται ἐν σαρκὶ καὶ προκόπτει ἡλικίᾳ καὶ βαδίζει ποδὶ καὶ ἱδροῖ ἀγωνίᾳ καὶ διαλέγεται γλώττῃ καὶ ὅσαπερ ἄλλα τῆς αὐτῆς συστοιχίας.

Εἰ δὲ ταῦτα οὕτως, ἐπειδὴ ἓν τῶν ἁπάντων ἰδιωμάτων τοῦ σώματος καὶ ἡ περιγραφή, εὔδηλον ὅτι καὶ περιγράφεται θεὸς ἐν σαρκὶ εἴτε χρωματουργικῶς εἴτ' οὖν ἑτεροτρόπως. δυοῖν γὰρ ἑκάτερον πᾶσα ἀνάγκη· εἰ ὦπται ἐν σαρκί, καὶ περιγράφεται ἐν σαρκί, ἐπείπερ σύστοιχον καὶ ἀλληλαίτιον ἑκάτερον ἑκατέρου. εἰ οὖν μὴ τὸ δεύτερον ἄληθες, οὐδ' ἄρα τὸ πρῶτον· ἀλλὰ μὴν τὸ πρῶτον ἄληθες, οὐκοῦν καὶ τὸ δεύτερον. οὕτω καὶ κατὰ τὰ θεῖα λόγια καὶ κατὰ κοινὸν συλλογισμὸν ἠλίθιον τὸ μὴ ὁμολογεῖν θεὸν ἐγγράφεσθαι ἐν σαρκί, εἴπερ ὦπται ἐν σαρκί. ἐπεὶ καὶ ἑτέρωθι ὁ γεννάδας φησίν· ‚ἤκουσα ὅτι καὶ τὸν ἀκατάληπτον υἱὸν τοῦ θεοῦ τινες γράφειν ἐπαγγέλλονται· φρῖξαί ἐστι τὸ ἀκοῦσαι'. τίς γοῦν νοῦν ἔχων οὐκ ἐγγελάσειεν τὸν ματαιόφρονα; οὔ τί που ἀνέγνω ὅτι συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν αὐτόν, καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον τὸν ἀρχιερέα; καὶ ἑτέρωθι πάλιν· ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ἐν ὀθονίοις μετὰ τῶν ἀρωμάτων; οὐχ ὁμολογεῖ θεὸν τὸν Ἰησοῦν;

---

80 Joh. 1,18 84 1 Tim. 3,16 102 Epiph. fr. 22 (p. 361 Holl) 105 Joh. 18,12 107 Joh. 19,40

---

79 ἤπερ P_1S ἱερὰ: θεῖα Sirm 80 ἑώρακε VMPS Sirm 83 διατοῦτο VPS 85 ἐν[1] om VM 86 ἀποφάσει M γάρ M[sscr] 87 ἐφ' ἑξῆς C 88 ὁ ante θεὸς inser Sirm 89 καὶ om PS 94 ἁπάντων om S 95 εὔδηλον: hic inc epist in H θεὸς S[sscr] 96 εἴτ' οὖν: εἴτε HS ἑκάτερον: ἕκαστον M 98 καὶ om M 99 ἀληθὲς VMPSH Sirm (bis) ἆρα C οὐκ οὖν C 100 κατακοινὸν C: κατάκοινον H 102 εἴπερ – σαρκί om H 104 φρίξαι VPS Sirm ἐστι: ἐπὶ Sirm τὸ CH: τοῦ cett Sirm γ' οὖν C: γ' οὖν M ἐγγελάσειεν CH: ἐγγελάσειε M: ἐκγελάσειε cett: ἐπιγελάσειε Sirm 105 οὐτίπου Sirm

εἰ θεὸς οὖν, πῶς ὁ ἀκατάληπτος ἐλήφθη καὶ ἐδέθη; ἢ δῆλον ὅτι ἐν σαρκί, καθὰ εἱρμολόγησεν ὁ πάνσοφος Παῦλος; σιγάτω οὖν λυττῶν κατὰ Χριστοῦ καὶ οὗτος ὁ πλάνος. ἐὰν δέ που ἀκούσειεν ὅτι καὶ ἐσθιόμενον ἔχομεν θεόν, τάχα ἂν οὐ μόνον φρίξοι, ἀλλὰ καὶ διαρρηχθείη, μὴ φέρων τὸ ἄκου/σμα. ἀλλὰ τί φησιν ὁ Χριστός; καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται δι' ἐμέ· οὐκ ἂν δὲ ἄλλως βρωθείη, εἰ μὴ ἐν σαρκί. καὶ γὰρ ὁ Χριστός, θεὸς ὁμοῦ καὶ ἄνθρωπος τέλειος ὑπάρχων, ὁπόταν καθ' ἑκάτερον τῶν ἐξ ὧν συνετέθη φύσεων ὀνομάζοιτο, καὶ καθ' ἕτερον κυρίως νοούμενος λέγοιτο, οὐ τῆς θατέρου ἰδιότητος ἐν τῷ μοναδικῷ τῆς ὑποστάσεως μειουμένης ἢ συμφυρομένης. καὶ μάρτυς τοῦ λόγου αὐτὸς ὁ θεὸς καὶ λόγος, πῆ μὲν λέγων, τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; (καίτοι γε ὁ λέγων καὶ θεὸς ἀθάνατος ἦν), πῆ δὲ φάσκων, ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, ὅτι εἶπον· υἱὸς τοῦ θεοῦ εἰμι· καὶ μὴν ὁ εἰπὼν καὶ υἱὸς ἀνθρώπου ἦν. οὕτω τὸ πεφυκὸς ἑκατέρου ὀνόματος θατέρᾳ φύσει ἀπονέμοντες οὔ τί που διασφαλλόμεθα.

Ἐπεὶ δὲ καὶ τοῦδε τέλος εἴληφεν ἡ φωνή, τίς ἡ τοῦ Θεοδότου; ‚τὰς τῶν ἁγίων εἰδέας οὐκ ἐν εἰκόσιν ἐξ ὑλικῶν χρωμάτων ἀναμορφοῦν παρειλήφαμεν, ἀλλὰ τὰς τούτων ἀρετὰς διὰ τῶν ἐν γραφαῖς περὶ αὐτῶν δηλουμένων οἷόν τινας ἐμψύχους εἰκόνας ἀναμάττεσθαι δεδιδάγμεθα, ἐκ τούτου πρὸς τὸν ὅμοιον αὐτοῖς διεγειρόμενοι ζῆλον· ἐπεὶ εἰπάτωσαν οἱ τὰς τοιάσδε ἀναστηλοῦντες μορφάς, ποίας ἆρα ἐκ τούτων καταπολαύοιεν ὠφελείας ἢ ἐν ποίᾳ διὰ τῆς τούτων ἀναμνήσεως ἀνάγονται πνευματικῇ θεωρίᾳ. ἀλλ' εὔδηλον ὡς ματαία ἡ τοιαύτη ἐπίνοια καὶ διαβολικῆς μεθοδείας εὕρεμα'. εὐθὺς ἡ βαλβὶς τοῦ λόγου οὐ νεμεσητή, εἰ καὶ τῶν ἐφεξῆς ἀτόπων κατασκευαστική, ἐπεὶ καὶ πολλοὶ τῶν ἱερῶν διδασκάλων τῆς εἰκονικῆς θέας τὴν διὰ

---

109 1 Tim. 3,16 **113** Joh. 6,57 **120** Joh. 8,40 **121** Joh. 10,36 **125** (Ps.-) Theod. Ancyr. in Conc. Nic. II (XIII 309E sq. Mansi)

---

109 ὁ om H δηλονότι HP_1SP_2 **110** καθὼς M εἱρμολόγησεν: ὡμολόγησεν Sirm **111** καὶ[1] om P_1S **112** φρίξοιε P_2 **115** ὁμοῦ ante θεὸς transp VMP_2 Sirm τέλειος post ὁμοῦ transp H **116** ὁπόταν: ὁπότερον P_2V Sirm: ὁποτέρως M ἑκάτερον: ἕτερον H: ἑκατέραν M **117** ἕτερον CH: ἑκάτερον cett Sirm καθεκάτερον P_1 **119** βλέπε καὶ ἄκουε ὁ ἔχων ὦτα καὶ ὀφθαλμούς, καθά φησιν ὁ σωτήρ (Marc 8,18), ὁρᾶν καὶ ἀκούειν τὰ ἱστορούμενα καὶ γραφόμενα in marg P_2 **120** ἀλήθειάν V **121** γε om H **123** τοῦ ante ἀνθρώπου add P_1S (fort recte) ἑκατέρῳ ὀνόματι M **125** τοῦ om Sirm σχόλιον (om PS)· ἰστέον ὡς θεόδοτοι δ̅ (τέσσαρες PS) ὑπὸ τοῦ ἁγίου σωφρονίου ἀναθεματίζονται· ἀλλ' οἱ μὲν τρεῖς πρόδηλοι, ὁ δὲ εἷς ἀνώνυμος. ὑπὸ δὲ ἑτέρου πατρός, ὡς ἀνέγνων, θεόδοτος ἀγκύρων διαβέβληται in marg CPS **126** ἰδέας VMSH Sirm ἀνὰ μορφοῦν Sirm **130** ἄρα VPSH **131** καταπολάβοιεν H **134** οὐ om VM ἐφ' ἑξῆς C

λόγου ἱστορίαν προὐργιαιτέραν τίθενται, οὐ διαβάλλοντες τὴν θατέραν, ἕτεροι δὲ τὸ ἔμπαλιν. ἔχοι δὲ τὸ ἴσον, καθά φησιν ὁ Μέγας Βασίλειος· ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας δι' ἀκοῆς παρίστησι, ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι. καὶ οὐ πάντες ζωγράφοι οὐδὲ πάντες λογογράφοι, ἀλλ' ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισε μέτρον χάριτος.

Ὥστε τήνδε τὴν πρότασιν παρεὶς λεγέτω τὴν ἑξῆς· ‚ἐπεὶ εἰπάτωσαν οἱ τὰς τοιάσδε ἀναστηλοῦντες μορφάς, ποίας ἐκ τούτων ἄρα καταπολαύοιεν ὠφελείας ἢ ἐν ποίᾳ διὰ τῆς τούτων ἀναμνήσεως ἀνάγονται πνευματικῇ θεωρίᾳ'. ἀντερωτάσθω οὖν ὁ γεννάδας· ποίαν γὰρ ὄνησιν καὶ ἱερὰν θεωρίαν οὐκ ἔστιν ἐντεῦθεν εὑρᾶσθαι; εἰ γὰρ αὕτη φύσις εἰκόνος, μίμημα εἶναι τοῦ ἀρχετύπου, καθά φησιν ὁ Θεολόγος Γρηγόριος, καὶ ἐν τῇ εἰκόνι τὸ ἀρχέτυπον ἐκφαίνεται, καθά φησιν ὁ πάνσοφος Διονύσιος, δῆλον ὅτι ἐκ τοῦ μιμήματος, / ἤγουν εἰκόνος, πολὺ τὸ ὄφελος πρόεισι καὶ διὰ τοῦ μιμήματος πλείστη ἐπὶ τὸ ἀρχέτυπον ἡ πνευματικὴ θεωρία ἄνεισι. καὶ μάρτυς ὁ αὐτὸς θεῖος Βασίλειος, ὧδέ που λέγων· ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει. εἰ δὲ ἀναβαίνει, καὶ κάτεισιν εὔδηλον ἐπὶ τὴν εἰκόνα ἀπὸ τοῦ πρωτοτύπου. οὐκ ἂν δέ τις ἀνοηταίνων ἀνωφελῆ τὴν τιμὴν εἴποιεν οὐδ' αὖ τὸ μίμημα μὴ οὐχὶ τοῦ μεμιμημένου ἀποτύπωμα, ὡς εἶναι ἑκάτερον ἐν ἑκατέρῳ κατὰ τὸν θεῖον Διονύσιον· οὗ τί ἂν γένοιτο ὠφελιμώτερόν τε καὶ ἀναγωγικώτερον; ἔμφασις γάρ ἐστιν τῆς αὐτοψίας καὶ σεληνιαῖόν τι φῶς, ἵνα καὶ οἰκείῳ παραδείγματι χρήσωμαι, πρὸς ἡλιακὸν φάος ἡ εἰκών· ἐπεὶ εἰ μὴ τοῦτο, τί ὀνίνησι τοὺς πάλαι ἡ σκηνὴ τοῦ μαρτυρίου, μίμημα οὖσα τῶν ἐπουρανίων; κἀκεῖ γὰρ μετὰ τῶν ἄλλων χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον, τουτέστιν εἰκόνες ἀνθρωπομόρφῳ εἴδει διατυπούμεναι, ἀναγωγικὰ πάντα καὶ τῆς ἐν πνεύματι λατρείας θεωρήματα. μάτην δὲ ἡμῖν ὅσον ἐπὶ τῇ τοιᾷδε προτάσει καὶ ἡ σταυροειδὴς εἰκών, μάτην καὶ ἡ λογχοειδής,

---

157 αὐτοψίας: cf. Beck, Kirche 304 et adn. 5; Speck, Jamben 180

138 Bas. hom. in quadr. mart. 2 (PG 31,509 A); cf. Conc. Nic. II (XIII 300 C Mansi) **146** Greg. Naz. or. 30,20 (PG 36,129 B = p. 268 G.-J.) **148** Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C) **152** Bas. spirit. 18,45 (PG 32,149 C) **156** Dion. Ar. ibid. **161** Ex. 25,20

136 λόγων Sirm **137** ἔχω M ἴσον VPSH Sirm καθὼς M **140** τὸ ante μέτρον add H **143** ἆρα VPS Sirm ἄρα ante ἐκ transp S **145** ἀντ' ερωτάσθω C **146** εὔρασθαι M: εὑρέσθαι Sirm (sed cf Schmid, Atticismus IV 603) **148** φαίνεται VM **149** δηλονότι SH τίς ἡμῖν τοῖς χριστιανοῖς ἡ ἐκ τῶν ἁγίων εἰκόνων ὠφέλεια in marg P_1 **151** ante ἀρχέτυπον vocem μιμήματος cancell H **153** καὶ om M **157** ἐστι VMPSH Sirm **158** χρήσομαι C **159** φῶς VMP Sirm **160** εἶναι ante οὖσα cancell H **161** τοῦτ' ἐστιν C **162** τυπούμεναι P_1S **164** τοιαύτη V

μάτην καὶ ἡ σπογγοειδὴς (ἐπείπερ καὶ ταῦτα μιμήματα, κἂν οὐκ ἀνθρωπόμορφα), μάτην καὶ ὅσα ἄλλα αἰσθηταῖς εἰκόσι, Διονυσαϊκῶς εἰπεῖν, παραδέδοται ἡμῖν, δι' ὧν ἐπὶ τὰς νοητὰς κατὰ τὸ δυνατόν, φησίν, ἀναγόμεθα θεωρίας. ἔπειτα καὶ ἡ μία τῶν πέντε τῆς ψυχῆς δυνάμεων ἡ φαντασία, φαντασία δὲ δόξειέν τις εἰκών· ἰνδάλματα γὰρ ἀμφότερα. οὐκ ἀνωφελὴς ἄρα ἡ εἰκών, τῇ φαντασίᾳ ἐοικυῖα. εἰ δὲ ἀνωφελὴς ἡ προὐργιαιτέρα, πολλῷ οὖν μᾶλλον ἡ ὑφειμενεστέρα, μάτην συνυπάρχουσα τῇ φύσει· καὶ εἰ μάτην, καὶ αἱ σύστοιχοι αὐτῆς, αἴσθησις, δόξα, διάνοια, νοῦς. οὕτω φυσιολογῶν ὁ λόγος ἄνουν ὑπαγορεύει διὰ θεωρίας ἐπαγωγικωτέρας τὸν τῆς εἰκόνος ἤτοι φαντασίας ἐξουδενωτήν. ἐγὼ δὲ καὶ ἄλλως ἄγαμαι τὴν φαντασίαν· φασὶ γάρ τινες γυναῖκα κατὰ τὸν τῆς συλλήψεως καιρὸν Αἰθίοπα φαντασθεῖσαν Αἰθίοπα ἀποτεκεῖν. τοιοῦτον καὶ τὸ κατὰ τὸν πατριάρχην Ἰακὼβ ἐπὶ τῷ τῶν ῥάβδων λεπισμῷ, ἐξ ἧς φαντασίας ἐποικίλλοντο τὰ ἐν τοῖς θρέμμασι τικτόμενα. καὶ ὢ τοῦ θαύματος, ὅτι πραγματικῆς ἐνεργείας ἡ εἰκονοειδὴς φαντασία ὦπται ἀποτέλεσμα.

Ἀλλ' ἐπὶ τὸ προκείμενον ὁ λόγος· ‚εἰπάτωσαν οἱ τὰς τοιάσδε ἀναστηλοῦντες μορφάς, ποίας ἐκ τούτων ἄρα καταπολαύοιεν ὠφελείας ἢ ἐν ποίᾳ διὰ τῆς τούτων ἀναμνήσεως ἀνάγονται θεωρίᾳ'. καὶ τίς, ὦ τᾶν, οὐκ ἐκ τῆς εἰκονικῆς εἰδέας, εἴπερ ἐναργῶς ἀτενίσειεν, δεξιᾶς τε ἢ ἀριστερᾶς ἰνδάλματα λαβὼν ἐν νῷ ἄπεισιν; ἀλλ' εἰ μὲν ἐξ ἀρίστης, ἄριστα, εἰ δὲ ἐξ αἰσχίστης, αἴσχιστα, ὥστε πολλάκις καὶ οἴκοι μένων τῇ μὲν κατανύττεσθαι, τῇ δὲ παθαίνεσθαι. ἢ οὐχὶ καί τις ἐνίοτε ἀφυπνώσας τοῖς νυκτερινοῖς φαντάσμασι περιχαρῶς ἢ λυπηρῶς διανίσταται; εἰ δὲ ἐκεῖ οὕτως, πολλῷ οὖν μᾶλλον ἐν τοῖς καθ' ὕπαρ εἰκονίσμασι διατί/θεσθαι ἔστι πρὸς ἑκάτερα τὸν βλέποντα. οὐ δήπου ἀνέγνως, ὦ βέλτιστε, ὡς οἱ πάλαι ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων; τί ἑκάτερον; οὐκ εἰκών; οὐκ ἐν εἰκόνι ἀνήγοντο πρὸς τὴν τῶν ἐπουρανίων θεωρίαν; οὐκ ἐν εἰκόνι διαπορεύεται πᾶς ἄνθρωπος, Δαυιτικῶς εἰπεῖν; οὐκ αὐτὸς σὺ ὁ εἰκονο-

166 Dion. Ar. coel. hier. 1,3 (PG 3,124 A = p. 73 H.-G.) 168 Arist. de an. 428[a] 3 173 ibid. 428[a] 4; cf. Jo. Damasc. de fid. 2,22 (PG 94,941 C = II 89 Kotter) 178 Gen. 30,38 191 Hebr. 8,5 193 Ps. 38,7

166 Διονυσιακῶς VMPSH Sirm εἰπεῖν διονυσιακῶς V 167 εἰπεῖν om H ἡμῖν παραδέδοται V ἐπὶ: καὶ H 168 ἡ om V 169 δόξειέ VMPSH Sirm 170 ἆρα C 176 τῆς om Sirm 178 δὲ post ἐπὶ add H λεπτισμῷ V 179 ὦ C πραγματικῆς: πρακτικῆς M 182 ἄρα VPSH Sirm ἄρα ante ἐκ transp V Sirm 183 ἢ: καὶ M πνευματικῇ ante θεωρίᾳ cancell V 184 ὦ τᾶν: ὦτ' ἂν C εἰδέας CP_2^{ac}: ἰδέας cett Sirm ἀτενίσειε VMPSH Sirm 185 ἢ: καὶ V 188 ἔνι ὅτε C 189 οὖν om HP_2V Sirm ἐν: ἐπὶ H 190 καθύπαρ PS ἐστι VPS τὸν: τὰ P_1S 194 Εἰκονομάχος Sirm

μαχῶν εἰκὼν θεοῦ καὶ κατὰ εἰδέαν πατρῴαν γεννηθεὶς καὶ εἰκονικῶς ἐν πίνακι ἐγγραφόμενος; ἢ μόνος σὺ ἀνεξεικόνιστος ὡς οὐκ ἄνθρωπος ἀλλὰ ἀμβλωθρίδιος, καὶ διὰ τοῦτο καὶ τοὺς ἁγίους οὕτως οἰόμενος;

Ἀλλ' ἵνα μᾶλλον ὁ περὶ τοῦδε λόγος πίστωσιν δέξοιτο, παρεὶς τὸ οἴκοθεν δογματίζειν αὐτοὺς προστήσεται τοὺς τῆς οἰκουμένης λαμπτῆρας, ἀποκρινομένους σοι πρὸς τὴν ἐρώτησιν. Γρηγόριος ὁ Νυσσαεύς· εἶδον πολλάκις ἐπὶ γραφῆς εἰκόνα τοῦ πάθους καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργῶς τῆς τέχνης ὑπ' ὄψιν ἀγούσης τὴν ἱστορίαν. ὁ Χρυσόστομος· ἐγὼ καὶ τὴν κηρόχυτον ἠγάπησα γραφὴν εὐσεβείας ἕνεκεν πεπληρωμένην· εἶδον γὰρ ἄγγελον ἐν εἰκόνι ἐλαύνοντα βαρβάρων στίφη, εἶδον πατούμενα βαρβάρων φῦλα καὶ τὸν Δαυὶδ ἀληθεύοντα· Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις. Κυρίλλου Ἀλεξανδρείας· εἶδον ἐγὼ κατὰ τοίχου γραφῆς ἐναθλοῦσαν τοῖς σκάμμασι κόρην καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν κατώπτευσα. Γρηγόριος ὁ Θεολόγος· τῆς δὲ ἦν ὑπερκύπτων Πολέμων ἐν εἰκόνι· ἑταιρὶς ταύτην ἰδοῦσα (καὶ γὰρ ἦν σεβασμία) ἀπῆλθεν εὐθὺς καὶ θέας ἡττημένη, ὡς ζῶντα αἰσχυνθεῖσα τὸν γεγραμμένον. Βασίλειος ὁ Μέγας· ἀνάστητέ μοι νῦν, ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι, τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν εἰκόνα ταῖς ὑμετέραις μεγαλύνατε τέχναις· ἀμαυρότερον παρ' ἐμοῦ τὸν στεφανίτην γραφέντα τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. ἀπέλθω τῇ τῶν ἀριστευμάτων τοῦ μάρτυρος νενικημένος γραφῇ. χαίρω τῇ τοιαύτῃ τῆς ὑμετέρας ἰσχύος σήμερον νίκῃ ἡττώμενος· ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ' ὑμῶν γραφομένην τὴν πάλην, ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας τὸν παλαιστὴν γεγραμ-

---

202 εἶδον πολλάκις etc.: cf. Marx l. l. 72 210 τῆς δὲ ἦν ὑπερκύπτων etc.: cf. ibid. 95 213 ἀνάστητέ μοι etc.: cf. ibid. 72 sq.

---

202 Greg. Nyss. de deit. Fil. et SS (PG 46,572 C); cf. Conc. Nic. II (XIII 324 B Mansi) 204 Jo. Chrys. de legisl. 6 (PG 56,407); cf. Conc. Nic. II (XIII 300 C sq. Mansi) 207 Ps. 72,20 210 Greg. Naz. poem. mor. 10,804 sq. (PG 37,738 A); cf. Conc. Nic. II (XIII 13 C Mansi) 213 Bas. hom. in Barl. mart. 3 (PG 31,489 A sq.); cf. Conc. Nic. II (XIII 80 C Mansi)

---

195 ἰδέαν VMPSH Sirm 197 ἀλλ' VM Sirm διατοῦτο VM 202 Νυσσεὺς Sirm 205 ἕνεκα V 206 φύλα CVM 208 Κύριλλος VM Sirm Ἀλεξανδρίας Sirm κατατοίχου C (fort recte) 209 γραφὴν SP_2 Sirm 210 τῆς: τίς C δὲ: δ' Sirm τῆς δὲ: τῆσδε VMPSH ὑπερκύπτων: προκύπτων P_1S 211 ἑταιρὶς om Sirm 212 ζῶντ' VMPS Sirm αἰσχυνθεῖσα CH: ἐπαισχυνθεῖσα cett Sirm 216 περιλάμψετε P_1S 217 voces παρ' ὑμῶν ante νενικημένος add H 220 πάλην: πάλιν C

μένον εἰκόνος. κλαυσάτωσαν δαίμονες καὶ νῦν ταῖς τοῦ μάρτυρος ἐν ὑμῖν ἀριστείαις πληττόμενοι· φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω. ὁρᾷς ὅπως ὁ μὲν προτίθησι τῆς λογογραφίας τὴν ζωγραφίαν, ἐν ᾗ ἡλίκη ἡ ἐκθείασις, ὡς καὶ κλαίειν τοὺς δαίμονας, ὁ δὲ πηλίκως πως σεβαστὴν τὴν εἰκονουργίαν κέκληκεν, ὡς ἑταιρίδος σωφρονισμὸν ὑπάρξασαν; εἶτα πάλιν πῶς ὁ ἕτερος οὐκ ἄδακρυς ἐκ τῆς γραφικῆς θέας ἄπεισιν, ἐν τῇ γραφῇ ἀθλοῦσαν βλέπων τὴν μάρτυρα; πάλιν πῶς ὁ ἄλλος ἠγαπημένην καλεῖ τὴν κηρόχυτον γραφήν, ὡς ἐν αὐτῇ ἰδὼν τὰ πρωτότυπα; ἔπειτα καὶ ὁ μετ' αὐτούς, πῶς οὐδ' αὐτὸς ἐκ τῆς γραφῆς τῆσδε ἄδακρυς ἄπει/σιν, ὡς αὐτὴν ὑπολαβὼν τὴν αὐτοψίαν; ἴδε ὅσα τὰ ὀνησιφόρα, σκόπησον πηλίκα τὰ ὠφέλιμα. καὶ ἐπειδὴ ἐρωτήσας ἤκουσας οὐ παρὰ τοῦδε καὶ τοῦδε σμικρῶν ἀνθρώπων καὶ οὐδαμινῶν, πρὸς αὐτῶν δὲ τῶν πνεύματι θεοῦ φθεγξαμένων καὶ βροντώντων τὴν ὑπ' οὐρανόν, φράσον καὶ τὸ συμπέρασμα τοῦ λόγου, ὦ δογματιστά. ,ἀλλ' εὔδηλον ὡς ματαία ἡ τοιαύτη ἐπίνοια καὶ διαβολικῆς μεθοδείας εὕρεμα'. εὔκαιρον ἐνταῦθα ἐκβοῆσαι μέγα· ἔκστηθι, οὐρανέ, ἐπὶ τούτῳ, ὅτι ματαίαν ἐπίνοιαν καὶ εὕρεμα μεθοδείας διαβόλου τὰ παρὰ τῶν θεοφόρων ἱερὰ δόγματα ἐκπέφασται. ἀλλ' οὐχ οὕτως, ὦ πλάνων μέγιστε, τοὐναντίον δὲ ἐπὶ σοὶ ἀναθετέον τὰ τῆς γλώσσης σου ἀμαρύγματα.

Ἐπεὶ οὖν τέλος ἔχει τὸ ὕφος, ἐκεῖνο βούλομαί σε, ἀδελφέ, εἰδέναι, ὅτι, ἅσπερ προφέρουσι χρήσεις οἱ εἰκονομάχοι, αἱ μὲν προδήλως αἱρετικῶν (οὐ γὰρ ἔστιν, οὐκ ἔστι μὴ οὐχὶ παρυφίστασθαι τῇ ἀληθείᾳ τὸ ψεῦδος, ὡς καὶ τῷ σίτῳ τὰ ζιζάνια), αἱ δὲ πατέρων ἁγίων, στρεβλῶς ὑπὸ τῆς ἐσκοτισμένης αὐτῶν διανοίας ἐκλαμβανόμεναι, αἱ δὲ παντάπασιν ἀλλόκοτοι, τὰ κατὰ εἰδώλων τῇ εἰκόνι Χριστοῦ ἀνάπτουσαι· ὧν οὐ δεῖ ὡς ἔτυχεν προσίεσθαι φωνὴν οὔτε μὴν συναίρειν λόγον αἱρετικοῖς παρὰ τὴν ἀποστολικὴν νομοθεσίαν.

Τὸ λοιπὸν σῴζοιο, τέκνον, καί με σῴζεσθαι προσεύχου.

---

237 Jer. 2,12 238 Eph. 6,11 244 Matth. 13,25 247 Matth. 18,23 Tit. 3,10

---

222 ἡμῖν H 224 καὶ om V κλάειν S 225 πῶς CP_2V Sirm (fort recte) 228 πάλιν post ἄλλος transp V: post πῶς transp M 233 θεοῦ om H: post φθεγξαμένων transp VM Sirm 240 γλώττης VMPS Sirm 243 ἔστι: ἔστιν H 246 εἰκόνι post Χριστοῦ transp H 247 ἔτυχε VMPSH Sirm 249 μὲ Mi: post σῴζεσθαι transp H

ΤΟΥ ΑΥΤΟΥ ΒΙΒΛΙΟΝ Β̄

381. Θεόδωρος ταῖς πανταχοῦ διεσπαρμέναις ἀδελφότησιν. κατηχητική

Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη· δίκαιον γὰρ ἀπὸ φωνῶν ἀποστολικῶν τοῖς διὰ Χριστὸν δεδιωγμένοις ἐπιφθέγγεσθαι. εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἀνοίξας ἡμῖν τοῖς ταπεινοῖς θύραν, καίπερ τηρουμένοις ἀσφαλῶς, τῇ διὰ τοῦ γράμματος ὁμιλίᾳ συναφθῆναι ὑμῖν τοῖς ἠγαπημένοις ἀδελφοῖς ἡμῶν. ὄντως ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται, κἂν δεσμεῖν οἱ κρατοῦντες οἴωνται· ὄντως μέγα ὀφείλομεν χαίρειν, ὅτι ὁρῶμεν ἐν ἡμῖν αὐτοῖς τοῖς ἁμαρτωλοῖς τὰς ἐκβάσεις τῶν θείων προρρήσεων. δεῦτε, εἴπωμεν, ἀδελφοί, μετὰ τοῦ ἀποστόλου· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ; θλῖψις ἢ στενοχωρία ἢ λιμὸς ἢ διωγμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; μὴ γὰρ δι' ἑαυτὸν μόνον ταῦτα εἴρηκεν, ἀλλ' οὐχὶ καὶ ὑπὲρ ἡμῶν, ἵνα καὶ ἡμεῖς τοιαύτῃ διαθέσει τὰ πρὸς θεὸν ἔχωμεν; ὥστε μὴ ἐκκακῶμεν ἐν οἷς ἐσμεν θλιβεροῖς, ἀλλ' ἀγαπῶμεν καὶ τὰ ἐλλείποντα παθήματα ὑποῖσαι μετὰ χαρᾶς· χαρὰ γάρ ἐστιν ἀνεκλάλητος ὑπὲρ Χριστοῦ καὶ μετὰ Χριστοῦ πάσχειν, καθὼς ἔδειξαν οἱ ἅγιοι πάντες μέχρι Θαδδαίου τοῦ ἡμετέρου μάρτυρος καὶ οὗτινος ἄλλου ὁμολογητοῦ μετόπισθεν ἀπάραντος ἢ ἐκ φυλακῆς ἢ καὶ ἔκ τινος ἄλλου φυγαδείας τόπου καλῇ προθυμίᾳ καὶ ἀξιοδιώκτῳ πράξει. /

---

381. a. 819 ineunte

3 1 Petr. 1,2 8 2 Tim. 2,9 11 Rom. 8,35 16 1 Petr. 1,8 17 Philipp. 1,29

C VM PS

τοῦ αὐτοῦ βιβλίον β̄: ἀρχὴ βιβλίου β̄ PS: in marg Sirm: om VM

1 ἀδελφότησι P Sirm 2 κατηχητική ante titulum transp VPS Sirm: om Mi 11 χωρήσει C 12 θλίψις omnes: correxi 13 ταὐτα S 15 ἀλλ': ἀλλὰ VPS 16 γάρ om PS 19 οὔτινος C 20 καὶ[1] om VM Sirm ἀξιοδέκτῳ S

Γενοίμεθα, ἀδελφοί μου, καὶ ἡμεῖς μάρτυρες τοιουτοτρόπως ἐν τῷ ἀεὶ παρεσκευάσθαι συλληφθῆναι, ὁμολογῆσαι, φραγελλωθῆναι, ἀποθανεῖν. τοῦτό ἐστι καθ' ἡμέραν μαρτυρεῖν, τοῦτο καθ' ἡμέραν ἀποθνήσκειν, ἐξ οὗ καθαίρεσθαι συμβαίνει τὴν ψυχήν, ἀναχωρεῖν τῶν παθῶν, ἐγγίζειν τῷ θεῷ, μισεῖν κόσμον, φαντάζεσθαι οὐρανόν, τὰ εἰς αἰῶνας ἀποκείμενα ἀγαθὰ ἀλλ' οὖν καὶ σκυθρωπά· οὐδὲ γὰρ ἂν ἡ τοιαύτη παρασκευὴ δίδωσι σχολὴν τῷ νῷ φιληδονεῖν καὶ διαχεῖσθαι προσπαθῶς ὧδε κἀκεῖσε, ἀλλὰ νευροῖ μᾶλλον τὴν καρδίαν, κατανύσσει δακρυρροεῖν τοὺς ὀφθαλμούς, ἐφίεσθαι τὴν ἀπὸ σώματος ἔξοδον ὡς ἔκ τινος δεσμωτηρίου ἐπαχθοῦς. σκοπῶμεν οὖν λοιπὸν ὁποῖοί ἐσμεν καί, εἰ οὕτως, εὖγε μάλα, εἰ δ' ἄλλως, ἐπαναγώμεθα, καθαιρώμεθα· φεύγωμεν τὸν ἀνήμερον δράκοντα διάβολον, τὰ πεπυρωμένα τῆς πικρᾶς καὶ θανασίμου ἐπιθυμίας βέλη. οὐκ ἔστιν ἡδονή, ἀλλ' ὀδύνη, οὐχ ἡδύτης, ἀλλὰ χολή, οὐκ εὐπάθεια, ἀλλὰ δυσμένεια, δουλεία, φθορά, δαιμονισμός, ἀλλοίωσις τῆς κατὰ φύσιν ἕξεως. ἐπεί, εἰ καλὴ καὶ ἡδεῖα, πῶς οὓς ἕλῃ εὐθὺς δείκνυσι μωρούς, κτηνώδεις, ᾐσχυμμένους, δουλοπρεπεῖς, δυσελπίστους, ἐκλελυμένους, ὑποδίκους θανάτου αἰωνίου· ὥστε φαρμακεύει ἐξιστῶσα καὶ ἀλλοιοῦσα, οὐκ οὖσα ὡς ὑποτίθεται ἡ ἀρχιφάρμακος, καθάπερ τοὺς δαιμονῶντας, οὐ συνιόντας ὃ ὑφίστανται, εἰ μὴ μετὰ τὴν ἀνάνηψιν. βλέπωμεν οὖν λοιπόν, ἀγαπητοί, τὰ καταγώγια ἡμῶν, τὰς ἀναστροφὰς ποῦ καὶ μεθ' οὗ· καὶ εἰ βλαβερὸν ἐκεῖ, μεταστατέον, καὶ εἰ μετὰ σκανδαλίζοντος, ἐκκοπτέον, καὶ εἰ οὐ μεθ' οὐδενός, προσληπτέον, ἐπείπερ ἀρατὸν τὸ μεμονωμένον, ἕως ἂν ἀναγκαῖος τρόπος οὐ πάρεστιν. τηρητέον τἄλλα, τὴν βρῶσιν, τὴν πόσιν, τὸν ὕπνον, τὴν ἐργασίαν, ὡς ἂν τὰ πάντα στάθμια, δυνατοῦντα τὸ σῶμα ὑπουργεῖν ταῖς ἐντολαῖς, ἀλλ' οὐκ ἐξαγριοῦντα κατεξαναστῆναι τῆς ψυχῆς. πῶλός ἐστιν· ἐὰν ὑπερμαζῇ, ἀτακτεῖ, φέρει κάτω τὸν ἀναβάτην νοῦν. ἀφ' ἡμῶν καὶ τὰ ὑμῶν ἐξηγοροῦμεν, ἐπεὶ πάντες ἄνθρωποι τὰς ἡνίας τοῦ αὐτεξουσίου ὁμοίως πρὸς θεοῦ εἰληφότες αὐτοκρατορικῶς, κἂν ἀεὶ πόλεμος ψυχῆς καὶ σώματος ἀντικαθεζομένων.

---

24 1 Cor. 15,31 49 cf. Plat. Phaedr. 254 a

---

23 παρεσκευᾶσθαι CSV: παρασκευᾶσθαι P 24 καθημέραν PS (bis): καθημέραν^{2} C 27 ἀποκείμενα: ἀγαπώμενα VM 29 διαχεῖσθαι C: διακεῖσθαι cett Sirm 32 εὖγε: εὖ VM 33 καὶ ante καθαιρώμεθα add VMPS Sirm 39 φαρμακεύειν V^{pc} 40 ἀλλοίουσα Sirm ἡ: καὶ Sirm 42 ἀγαπητοί post ἡμῶν transp S 43 μετὰ στατέον C 44 μεθ' C: μετ' cett Sirm 45 ἐπείπερ: ἐπεὶ V πάρεστι VMPS Sirm 46 τᾶλλα VP: τἄλλα CS Mi 48 κατεξαναστῆναι: καταναστῆναι M 51 voces πρὸς θεοῦ ante ὁμοίως transp V

῾Ο μὲν δὴ περὶ τούτου λόγος ἐχέτω ταῦτα· τί δὲ τὰ ἑξῆς; ἡ πίστις ἀκλινής, ἀπερίτρεπτος, καθὼς παρέδωκα ὑμῖν καὶ παρέλαβον παρὰ τῶν ἁγίων, μᾶλλον δὲ ἀμφότεροι ἀφ' ἑνὸς καὶ τοῦ αὐτοῦ πνεύματος. Χριστὸς οὐ Χριστός, εἰ μὴ ἐγγράφοιτο· ἅμα γὰρ εἰπεῖν Χριστὸν ἐννοεῖν ἐστι τὸ τῆς σωματώσεως αὐτοῦ μυστήριον· οὐ γὰρ ἂν Χριστὸς λέγοιτο γυμνὸς σώματος ὁ λόγος ἐννοούμενος. ἐπεὶ δὲ σὰρξ ὁ λόγος, σαρκὶ δῆλον ὅτι καὶ περιγράφοιτο καὶ τῷ ‚Χριστὸς' ὀνόματι καὶ τὸ τῆς περιγραφῆς συνεισήνεκται καὶ συνεπινενόηται ἰδίωμα. ὥστε οἱ μὴ λέγοντες αὐτὸν γράφεσθαι, ἤγουν εἰκονίζεσθαι, ἄσαρκον αὐτὸν ὑπολαμβάνουσιν καὶ πόρρω τῆς αὐλῆς Χριστοῦ, κἂν Πέτρος εἶεν κἂν Παῦλος, ὡς / αὐτὸς Πέτρος καὶ Παῦλος ἀπέφηνεν πρὸς ἀσφάλειαν ἡμετέραν· οὐχ ὅτι τις τῶν ἀποστόλων ἢ τῶν μετ' αὐτοὺς ἁγίων εἴρηκεν μὴ περιγραφόμενον σώματι Χριστὸν (ἄπαγε), ὡς οἱ δυσσεβεῖς τὰ νόθα προφέροντες λέγουσιν.

Ταύτην τὴν εἰλικρινῆ πίστιν κατέχωμεν, ὦ ἀδελφοί, τήνδε τὴν καλὴν ὁμολογίαν ὁμολογῶμεν, μηδόλως παραφερόμενοι. ἀρνησίχριστοι οἱ μὴ οὕτως ἔχοντες· χριστομάρτυρες οἱ ἐνιστάμενοι μετὰ τῶν τεσσαράκοντα, μετὰ τῆς ἀπ' αἰῶνος ἀθλητικῆς ὁμηγύρεως. οὐά· ὑπὲρ τοῦ μὴ ἀπογεύσασθαι ὑείων κρεῶν τὸ τηνικαῦτα παρανόμως τοὺς Μακκαβαίους, μαρτύριον, καὶ σὺ ὑπὲρ τοῦ μὴ ἐξαρνήσασθαι Χριστὸν ἐγγεγραμμένον πανθάνων οὐ μάρτυς; Ἰωάννης ὁ Πρόδρομος ὑπὲρ ἐλεγμοῦ ἀληθείας τῆς πρὸς Ἡρώδην τυμπανισθεὶς μαρτύρων διάκοσμος, καὶ σὺ οὐκ ἐν μάρτυσι θνήσκων ὑπὲρ Χριστοῦ; μηδεὶς ὑμᾶς ἐξαπατάτω κενοῖς λόγοις, δι' οὓς ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. μάρτυς ἀπαράγραπτος ὁ ὁμολογῶν καὶ τοσοῦτον, ἐφ' ὅσον καὶ πλεονάζει τοῖς παθήμασιν. μὴ σαλευέτω ὑμᾶς ἡ ἐπικράτησις τοῦ διωγμοῦ· οὔπω ἐπολυετήσαμεν κατὰ τοὺς προλαβόντας ὁμολογητάς, οὔπω ἐπυρώθημεν τῷ διαρκεῖ πυρὶ τῆς δοκιμωτάτης πείρας· ἔτι μόλιβδος ἐμμιγής, ἔτι ῥυτὶς ἁμαρτητική. σὺ τίς εἶ, ὁ ἐμβατεύων ἐν τοῖς τῶν ἀθεωρήτων κριμάτων βάθεσιν; ἃ προσετάγη σοι, ταῦτα διανοοῦ. τὸ ἐπαγγελθὲν σπέρμα ἐν εὐλογίᾳ θεοῦ Ἀβραὰμ κληρονομεῖν τὴν ἁγίαν γῆν, τετρακόσια τριάκοντα

---

77 μάρτυς ἀπαράγραπτος: cf. adn. ad ep. 186,12

54 1 Cor. 11,2 62 Gal. 1,8 67 1 Tim. 6,12 75 Eph. 5,6 83 Gen. 15,13

54 παρὰ: ἀπὸ V 57 ἔστι Mi 59 δηλονότι VMPS Sirm 62 ὑπολαμβάνουσι VMPS Sirm 63 ἀπέφηνε VMPS Sirm 65 εἴρηκε VMPS Sirm 66 λέγουσι VMPS Sirm 68 μηδ' ὅλως CPS Sirm 71 γεύσασθαι V ὑείων: ὑιῶν C 72 ἀρνήσασθαι V Sirm 77 ὁ om Sirm 78 ἐφόσον P παθήμασι VMPS Sirm 80 πυρὶ: περὶ Sirm 84 ἀβραὰμ VMPS τετρακοσίους M

⟨ἔτη⟩ ὑπὸ χεῖρα Φαραὼ προδεδουλῶσθαι ᾠκονόμησε θεός. ὁ χριστιανισμὸς ἀπ' ἀρχῆς τοῦ κηρύγματος τῶν ἀποστόλων ὑπὲρ τὸ διακοσιοστὸν ἔτος μέχρι Κωνσταντίνου τοῦ πρώτου βασιλέως χριστιανῶν ἐν διωγμῷ βρέμοντι. οἱ μετέπειτα ὑφειμένως μέν, ὅμως μακροετίζοντες, πάρεξ τοῦ κατὰ Ἰουλιανὸν τὸν ἀποστάτην. Παῦλος ὁ μέγας τριακονταπέντε ἔτεσιν διωκόμενος καὶ καθ' ἡμέραν ἀποθνήσκων, καὶ σὺ ἐν πέντε χρόνοις ἡτονηκώς; Κλήμης ὁ πολύαθλος εἰκοσιοκτὼ ἔτεσιν μαρτυρῶν, καὶ σὺ ἀχανιῶν ἐν βραχέσιν; ποῦ μοι καιρὸς τὰ τῶν ἄλλων μαρτύρων λέγειν; οὐκ ἤκουσας τὴν ὑπομονὴν Ἰώβ; οὐχὶ πεντεκαίδεκα ἔτη ἢ καὶ πρὸς ἕλκει πονήρῳ ἐβασανίζετο πρὸς τοῖς ἐπενεχθεῖσιν αὐτῷ ἄλλοις τραγῳδήμασιν, καὶ ταῦτα οὐ συνειδώς τι πεπραχέναι τῶν ἀριστερῶν, μᾶλλον μὲν οὖν γε καὶ τῶν λίαν δεξιῶν; ἀλλὰ τί αὐτῷ ὁ χρηματισμός; ἵνα δίκαιος, φησίν, ἀναφανῇς. οὕτω καὶ νῦν κοσκινίζει ἡ πρόνοια οἱονεὶ τοὺς παρόντας, ἵνα τὰ ζιζάνια ἔτι ἐκριφῇ, ἵνα ὁ σῖτος ἐναπομείνοι καθαρός. οὐκ ἀκούεις τί λέγει τῷ Ἱερεμίᾳ; κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον καὶ σκέψαι εἰ δοκίμιόν ἐστιν, καθὼς ἐγὼ ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. ἐνέγκωμεν ἔτι, ὦ γενναῖοι στρατιῶται Χριστοῦ. αἱ ἡμέραι ὡσεὶ σκιαὶ παράγουσιν, κἂν οἱ διώκοντες ἐπιμένειν οἴωνται· εἰ ἐμὲ ἐδίωξαν, φησίν, καὶ ὑμᾶς διώξουσιν· / εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. ἐπ' ἀληθείας γὰρ οὐκ οἴδασιν ὅτι ὁ θεὸς καὶ πατὴρ ἔπεμψεν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν οἰκουμένην τῷ ἰδίῳ πατρὶ κατακτήσηται. ἢ γὰρ ἂν οὐκ ἂν ἠρνοῦντο αὐτὸν ἐγγράφεσθαι· οὐδεὶς γὰρ ἐκ γυναικὸς γεννώμενος ἀνεικόνιστος, εἰ μηδ' ἂν εἶεν ἔκτρωμα.

91 πέντε χρόνοις: a. 814–819

90 1 Cor. 15,31 93 Jac. 5,11 94 Jb 2,7 99 Matth. 13,30 100 Zach. 11,13 103 Joh. 15,20 sq. 107 Gal. 4,4 sq.

85 ἔτη inserui ᾠκονόμησε: ᾠκονόμησεν ὁ M 86 ἀπαρχῆς C τοῦ κηρύγματος in marg V: om M 87 τοῦ ante Κωνσταντίνου inser Sirm τῶν ante χριστιανῶν add S 89 μακροετήζοντες Sirm 90 ἔτεσι VMPS Sirm καθημέραν CP Sirm 92 ἔτεσι VMPS Sirm βραχέσι VMPS Sirm 93 λέγειν: λέγων Sirm 94 πέντε καὶ δέκα M 95 τραγῳδήμασι VMPS Sirm 96 συνειδὸς C μὲν οὖν: μενοῦν S 98 κοσκηνίζει VMPS Sirm 99 ἐναπομείνῃ Mi 101 ἐστι VMPS Sirm 103 σκιὰ M παράγουσι VMPS Sirm 104 φησὶ VMPS Sirm 105 ὑμῖν: ὑμᾶς M 107 ἔπεμψε VMPS Sirm 108 γεν̆όμενον C 110 ἢ: ἢ M Sirm ἂν[2] M[sscr] ἐγγράφεσθαι: ἐγγράφως M 111 γενόμενος S

Οὕτω τοιγαροῦν, ἀδελφοί, καταρτίζωμεν ἑαυτοὺς καὶ οὕτω παρακαλούμεθα τοῖς λόγοις τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀναμένοντες τὴν ἀνταπόδοσιν. ἀλλ' οἴδατε οἷος ὁ Λεόντιος· εὐνούχων γένος οὐ μόνον ἄτιμον, ὥς τις τῶν θεοφόρων εἴρηκεν, ἀλλὰ καὶ ἀρνησίχριστον· καὶ οὐδ' οὕτως ἀρκούμενον, ἀλλὰ καὶ ἀγρίως τιμωρούμενον ἀδελφοὺς ἡμῶν. ὁ πρὶν μαθητὴς νῦν ἀρνητὴς ἰουδαΐζων, ὁ ἐν ἀδελφοῖς ὑπερέχουσιν κατὰ τῶν ἀδελφῶν ὑπὲρ ἅπαντας τοὺς κολάζοντας· ὁ μὴ λέγων ἁπλῶς εἰκόνα, ἀλλὰ ἁγίαν εἰκόνα Χριστοῦ τυχόν, τῆς Θεοτόκου ἤ τινος οὖν τῶν ἁγίων ἄρτι ἐστὶ καίων, καθαίρων, ὡς θὴρ μαινόμενος βλασφημῶν. ἐξ οὗ καὶ τῷ κρατοῦντι φιλούμενος καὶ τῶν μοναστηρίων ἡμῶν ἄρχων καὶ πάντα πράττων ὁ τάλας εἰς Χριστοῦ ὕβριν. ἀλλ' οὐαί μοι· ἐμὰ γὰρ τὰ ἐκείνου κωμῳδήματα· ὅμως ὅτι τῷ κατὰ σάρκα φύσαντι ὅμοιος, ἐπεὶ κἀκεῖνος ἐν τοῖς πάλαι καιροῖς ἀκροθίνιον ἀσεβείας, ὥσπερ καὶ τοῦ Ἑρμίου· ἄμφω γὰρ δαιμονῶσιν καὶ οὐ μίγει ὁ θεὸς κορώνην καὶ περιστεράν, ἀλλὰ τὰ ὅμοια τοῖς ὁμοίοις.

Ἐκεῖνοι μὲν οὕτω· καὶ δοίη αὐτοῖς Κύριος ἐπίγνωσιν ἀληθείας, ἐζωγρημένοις ὑπὸ τοῦ διαβόλου εἰς τὸ ἐκείνου θέλημα. ὑμᾶς δὲ Χριστὸς σὺν οἷς ὁ ἀποστάτης κολάζει στηρίξειεν, δυναμώσειεν, κρατύνειεν ὑπενεγκεῖν ἔτι πεινῶντας, διψῶντας, γυμνητεύοντας, κολαφιζομένους, ἀστατοῦντας, κοπιῶντας, λοιδορουμένους, διωκομένους, βλασφημουμένους, ὡς περικαθάρματα ὄντας τοῦ κόσμου, πάντων περίψημα κατὰ Παῦλον τὸν μέγαν, μεθ' οὗ εἶεν καὶ ἡ μερὶς ὑμῶν. ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν τῶν ἁμαρτωλῶν ἵνα σῳζοίμεθα, ἀξιούμενοι πάντων τῶν ἐνισταμένων τοῦ ἐσχάτου βαθμοῦ. ἀσπάζεται ὑμᾶς ὁ σὺν ἐμοὶ ἀδελφὸς Νικόλαος. ἡ χάρις μετὰ πάντων ὑμῶν. ἀμήν.

---

122 τῶν μοναστηρίων: societas Studiensis; cf. supra p. 11*

114 Bas. ep. 115 (PG 32,532 A = II 20,18 Courtonne) 131 1 Cor. 4,11 sq. 132 1 Cor. 4,13 137 Tit. 3,15

112 τοιγὰρ οὖν C 116 ἀρνησίχρηστον C 118 ὑπερέχουσι VMPS Sirm 119 κολάζοντας C: δικάζοντας cett Sirm ἀλλ' S 120 τινος οὖν C: οὑτινοσοῦν V: τινοσοῦν cett Sirm 121 καθαιρῶν VMPS Sirm 126 δαιμονῶσι VMPS Sirm 128 οὕτως VMPS Sirm 129 ἐζωγρημένους P[ac] 130 στηρίξειε VMPS Sirm στηρίξειε post δυναμώσειε transp M δυναμώσειε VMPS Sirm 131 κρατύνοιεν PS Sirm 135 ἡμῶν M 137 voces τοῦ θεοῦ ante μετὰ add VMPS Sirm

382. Κατηχητική. Θεόδωρος ταῖς πανταχοῦ διεσπαρμέναις ἀδελφότησιν

Χαίρετε, ἐπιπόθητοί μου ἀδελφοὶ καὶ πατέρες, ὅτι χαρᾶς εὐαγγέλια. πάλιν ἠξιώθημεν οἱ ἀνάξιοι ὁμολογῆσαι τὴν καλὴν ὁμολογίαν, πάλιν ᾐκίσθημεν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἀμφότεροι· καὶ γὰρ καὶ ὁ ἀδελφὸς Νικόλαος ἐνήθλησεν κάλλιστα καὶ πιστότατα. εἴδομεν ἐκ σαρκῶν ἡμῶν κενούμενα ἐπὶ τῆς γῆς αἵματα οἱ ταπεινοί, ἐθεασάμεθα μώλωπας, ἰχῶρας, τὰ τούτοις ἀκόλουθα. οὐ ταῦτα χαρᾶς; οὐ ταῦτα ἀγαλλιάσεως ψυχικῆς; ἀλλὰ τίς εἰμι / ἐγὼ ὁ τάλας σὺν ὑμῖν τοῖς ἀξίοις Χριστοῦ ὁμολογηταῖς ἐνταγῆναι, πάντων ἀνθρώπων ὢν ἀχρειότερος; τὸ δὲ αἴτιον, οὗ χάριν τὸ συμβάν, ἡ πάλαι κατήχησις, ἣν ἐπὶ χεῖρας δεξάμενος ὁ κρατῶν πέπομφε πρὸς τὸν στρατηγοῦντα, παραγενέσθαι ἐγκελευσάμενος τὸν τῆς κόρτης κόμητα πρὸς ἡμᾶς· ὃς ἐληλυθὼς σὺν ἄρχουσι καὶ στρατιώταις ἐν ἀωρίᾳ καὶ περιστοιχίσας τὸ οἰκίδιον ἐν ᾧ ἦμεν ἀθρόως μετὰ κραυγῆς ὡς ἐπί τι θηράσιμον εὕρεμα ὀρυκτῆρσι κατέαξαν τὸ ἀνάφραγμα τάχιστα, εἶτα ἐξήνεγκεν, ἀνέκρινεν, ὑπέδειξεν τὴν κατήχησιν. ὡμολογήσαμεν ἡμεῖς αὐτὴν πεποιηκέναι, ὡς ὁ θεὸς ἠθέλησεν. ὁ μὲν ἓν ἐζήτει μόνον, ἐλθεῖν ἡμᾶς εἰς τὸ τοῦ βασιλέως θέλημα. εἴπομεν ὅπερ ἀπῄτει ἡ ἀλήθεια (μὴ γένοιτο· οὐκ ἀθετοῦμεν τὸν θεὸν ἡμῶν), ὅσα τε ἄλλα ἦν ἀκούοντας ἀνταποκρίνασθαι. ἐν τούτοις ἔδειρεν βαρέως. καὶ ὁ μὲν ἀδελφὸς οὐδὲν τοιοῦτον μετὰ τὴν εὐθὺς κάθειρξιν καὶ ἀναφραγὴν δεινὸν ἐν πόνοις ὑπέστη· ἐγὼ δὲ ὁ ταπεινὸς καὶ σαθρὸς πυρετοῖς λάβροις συσχεθεὶς καὶ πόνοις δυσυποίστοις μικροῦ δεῖν ἐξηπορήθην καὶ τοῦ ζῆν. ὅμως ὁ ἀγαθὸς θεὸς κατὰ μικρὸν ἐλεῶν ἠλέησέν με, συνυπουργοῦντος καὶ τοῦ ἀδελφοῦ ἐν τοῖς καθήκουσιν, κἂν ἔτι αἱ

---

382. vere a. 819 11 κατήχησις: epistula catechetica a Theodoro scripta (= ep. 381?); cf. vitam B 42 (296 A) 13 κόμητα: Craterus; cf. ibid. 296 B 14 ἐν ἀωρίᾳ: die 23 mens. Febr. a. 819; cf. ibid. 296 C

23 cf. Bas. ep. 193 (PG 32,705 B = II 146 Courtonne)

C VM PS

1 κατηχητική om Mi: post ἀδελφότησιν (2) transp M 3 εὐαγγέλιον M 6 ἐνήθλησε VMPS Sirm ἴδομεν C 7 κενούμενα: χεόμενα praeter necessitatem coni Sirm τῆς om VMPS Sirm 9 ἡμῖν M^{ac} 13 τὸν καρτερὸν (κρατερὸν PS) λέγει in marg CPS 14 περιστοιχήσας C: περιστοιθίσας Sirm 16 κατέαξαν: κατέαξεν coni Sirm 17 ὑπέδειξε VMPS Sirm 21 ἀνταποκρίνεσθαι M^{pc} ἔδειρε VMPS Sirm 22 ἀναφραγὴν C: ἀναγραφὴν cett Sirm 24 λαύροις VMPS Sirm σχεθεὶς M^{ac} 25 ἠλέησέ VMPS Sirm 26 καθήκουσι VMPS Sirm κἂν P

πληγαὶ ἐπιμένωσιν, μὴ λαβοῦσαι τελείαν ἴασιν.

Ταῦτα μὲν ἐν τούτοις, καὶ ἐξηγόρησα ὑμῖν τὸ πάθος, εἰδὼς ἐφιεμένους μαθεῖν εἰς συνάλγησιν· τί οὖν; ἐπειδὴ τὰ τοιαῦτα, καὶ ἡ ἀπειλὴ δεινοτέρα καὶ ἡ ἀσφάλεια κραταιοτέρα· δαρμοὶ γὰρ καὶ ἐπὶ τοὺς φύλακας καὶ τὸν παραφύλακα τοῦ μὴ γρύξαι ἡμᾶς, μὴ ὅτι γε καὶ γράφειν τινί. ὑποπτήξομεν ἄρα καὶ ἀποσιωπήσομεν, πειθαρχοῦντες τῷ φόβῳ ἀνθρώποις καὶ οὐχὶ θεῷ; οὐ μὲν οὖν· ἀλλ' ἕως ἂν ἀνοίγῃ ἡμῖν θύραν ὁ Κύριος, οὐ παυσόμεθα τὸ δέον ἀποπληροῦν κατὰ τὸ ἐφικτὸν ἡμῖν, φοβούμενοι καὶ τρέμοντες τὸ ἐπηρτημένον τῆς σιωπῆς κρίμα. ἐὰν ὑποστέλληται, φησίν, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. καὶ πάλιν ὁ ἀπόστολος· ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

Διὰ τοῦτό μοι καὶ ἡ παροῦσα ἐπιστολὴ πρὸς μὲν πάντας τοὺς διεσπαρμένους ἀδελφοὺς καὶ διαφέροντας τὸν διωγμὸν θλιπτικῶς, ἐξαιρέτως δὲ εἰς ὑμᾶς τοὺς ὁμολογητὰς Χριστοῦ. ἐνέγκωμεν, ἀδελφοί μου ἀγαπητοί, ἔτι μᾶλλον καὶ μᾶλλον δυναμούμενοι, ἀλλ' οὐ καταπτήσσοντες ἐν τοῖς παθήμασι. σάρκες εἰσί, μὴ φεισώμεθα· ὑπὲρ Χριστοῦ βασανιζόμενοι ἀγαλλιώμεθα. ὁ περισσεύων ἐν τοῖς πόνοις χαιρέτω μᾶλλον ὡς πλεονεκτῶν ἐν τοῖς μισθοῖς· ὁ δειλαινόμενος μαστίγων ἐνεγκεῖν πόνους διὰ τοῦτο ἀποσειέτω τὸ δέος, τὰς αἰωνίους ἀνίας ἐννοούμενος· αἱ γὰρ πληγαὶ αὐτῶν πρὸς ἐκείνας ὄναρ, βέλη νηπίων. ναί, δέομαι, ἀντιβολῶ· γλυκανθῶμεν ἐν τοῖς ὑπὲρ Χριστοῦ ἀλγήμασι, κἂν λίαν ὀδυνηρὰ κατὰ σάρκα· ἀναθεωροῦμεν τὰ μέλλοντα καὶ μένοντα, ἀλλὰ μὴ τὰ παρόντα καὶ παρερχόμενα. ποθήσωμεν τὸ αἷμα ἡμῶν μίξαι τῷ τῶν μαρτύρων αἵματι, τὸ μέρος ἡμῶν τῇ τῶν ὁμολογητῶν μερίδι, ἵνα χορεύσωμεν / σὺν αὐτοῖς αἰώνια. τίς φρόνιμος, τίς σοφός, τίς καλὸς πραγματευτής, δοῦναι αἷμα καὶ λαβεῖν πνεῦμα, καταφρονῆσαι σαρκὸς καὶ ἐπιτυχεῖν βασιλείας θεοῦ; ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, εἶπεν ὁ Κύριος, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ αἰῶνι τούτῳ εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. ἐνωτισθῶμεν τοὺς λόγους αὐτοῦ, ἀκολουθήσωμεν αὐτῷ· ὅπου εἰμὶ

---

31 παραφύλακα: cf. adn. ad ep. 297,19

36 Hab. 2,4; cf. Hebr. 10,38 37 Hebr. 10,39 47 Ps. 63,8 54 Joh. 12,25 57 Joh. 12,26

27 ἐπιμένωσι VMPS Sirm 28 ἐξηγόρευσα M 31 ἐπὶ ante τὸν add V Sirm γρῦξαι S 32 ἆρα PS ἀποσιωπήσωμεν C 33 οὐ μὲν οὖν: οὔμεν οὖν CVMP: οὔμενουν S Sirm: οὐμενοῦν Mi 34 ἀπὸ πληροῦν C 36 κρῖμα PS^{pc} Sirm 39 διατοῦτο VMPS 42 καὶ μᾶλλον om Mi 46 διατοῦτο VMPS 49 ἀναθεωρῶμεν $MP^{pc}S$ Sirm

ἐγώ, φησίν, ἐκεῖ ἔσται καὶ ὁ διάκονος ὁ ἐμός. ποῦ ἐκεῖνος; ἐπὶ σταυροῦ· καὶ ἡμεῖς οἱ ταπεινοὶ ἐκεῖ, ὡς μαθητιῶντες αὐτῷ.

Παρακαλῶ ὑμᾶς ἀνέχεσθαι τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ διὰ βραχέων ἡ ἐπιστολή. γινώσκετε ἡμᾶς τοὺς ἁμαρτωλοὺς χαίρειν, ἀλλ' οὐκ ἀθυμεῖν, ἕως ἂν ὑμεῖς μόνον στήκετε ἐν Κυρίῳ. ἀσπάζεται ὑμᾶς Νικόλαος ὁ σύγκλειστος καὶ σύμπονος καὶ συστρατιώτης μου, ὑμῶν δὲ ἀδελφὸς ἀληθέστατος. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. οἱ ἀθληταὶ τοὺς συναθλητάς, οἱ δεδιωγμένοι τοὺς δεδιωγμένους, οἱ πάντες τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. εἴ τις οὐχ ὁμολογεῖ τὸν Κύριον Ἰησοῦν Χριστὸν ἐγγραφόμενον σώματι, ἤτω ἀνάθεμα ἀπὸ τῆς Τριάδος.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. ἀμήν.

383. Ἀθανασίῳ τέκνῳ

Πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἡμῖν ἀγαθὸν ἐν ταῖς ἡμέραις ταύταις ἀγωνιζομένοις ὑπὲρ ἀληθείας θεοῦ, συχνότερον τῆς παρ' ἀλλήλων φωνῆς διὰ τοῦ γράμματος ἀκούειν καὶ ἀνακοινοῦσθαι τὰς ἐν καρδίᾳ διαθέσεις. ὁρᾷς γάρ, ἀδελφὲ ἠγαπημένε, ὅπως ὡσανεὶ ἐφημερίδες αἱ ἐπιστολαὶ ὑπάρχουσιν, συνάπτουσαι ἡμᾶς φιλικώτερον; ἴδε πόσα καλὰ ὁ ὑπὲρ Χριστοῦ διωγμὸς παρέσχετο καὶ ἔτι παράσχοιεν, ἐὰν θερμοτέρους ἡμᾶς πρὸς τὸ ἑξῆς λάβοιεν, μηδὲν ὑποπτήσσοντας τῶν ἀνθρωπίνων, ἀλλὰ γλιχομένους τὰ θεομίμητα ὑποίσειν παθήματα, δι' ἃ ὧδε κἀκεῖσε φερόμενος καὶ αὐτὸς ἀθλεῖς. ἀλλ' εὖ ἔσται τοῖς βοηθοῦσι καὶ συνδιαφέρουσί σοι τὰ ἀγωνίσματα, οἷς καὶ καλῶς προαπελογησάμην καὶ αὖθις δὴ ἀπολογήσομαι.

Ἐπὶ δὲ τὴν ἐρώτησιν μέτειμι, ἐῶν ὑπὲρ ὧν δῶρον ἐγκωμιάζεις με τὰς ἀντιλέξεις ἀποίσειν, ὡς μὴ οἰηθῆναί με συγκαταθέσθαι τοῖς ἐπαίνοις· εἰμὶ γὰρ ἔρημος παντὸς ἀγαθοῦ. ὅπου οὖν ὁ Μέγας Βασί-

60 Hebr. 13,22 64 Rom. 16,16 67 Gal. 1,8 69 1 Thess. 5,28

58 ἐγώ ante εἰμὶ transp VM Sirm φησὶ VM Sirm 59 ἐκεῖ post αὐτῷ (57) transp V Sirm ταπεινοὶ ὡς V^{sscr} 60 ἀνέχεσθαι: cave legas ἀντέχεσθαι secundum Hebr. l. l. 62 μόνον om VM 66 ὑμᾶς VPS Sirm 67 ἡμῶν post Κύριον add VMPS Sirm (fort recte) ἤτω Sirm

383. a. 818

C VM PS

2 ἀγαθὸν om VM 3 παραλλήλων C 5 ὡς ἀνεὶ C ἐφημέριδες VM 6 ὑπάρχουσι VMPS Sirm 7 ἐπὰν MP 8 τοεξῆς S 12 προαπελογισάμην P 13 δώρων Sirm

λειος, τὸ φῶς τοῦ κόσμου, ἀποφήσειεν, τίνι τολμητέον ἔχοντι νοῦν ὅλως ἀντιφέρεσθαι; ἔστι δὲ τοῦτο ἐν τῇ ἐρωτήσει τῶν ἀσκητικῶν, καθὼς ὑπεσημήνω, ἤγουν· εἰ χρὴ οἰκονομίας δῆθεν χρησίμου ψεύδεσθαι. πρὸς ὅν φησιν· ἡ ἀπόφασις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦτο οὐ συγχωρεῖ, ἅπαξ εἰπόντος ὅτι τὸ ψεῦδος ἐκ τοῦ διαβόλου ἐστίν, διαφορὰν ψεύδους μηδεμίαν ἐμφήναντος. καὶ ὁ ἀπόστολος δὲ μαρτυρεῖ γράψας ὅτι, κἂν ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ.

Ταῦτα μὲν παρὰ τοῦ πατρός. ἔφης δὲ προσκεῖσθαι ἐν τῷ κεφαλαίῳ σχόλιον, ὅτι χρησίμου ἕνεκεν ἡ ἐρώτησις, οὐκ ἀναγκαίου· οὐ γὰρ ταὐτὸν ἀμφότερα. καὶ πάλιν / ἐν ἑτέρῳ κεφαλαίῳ τὸν αὐτὸν φωστῆρα λέγειν ὅτιπερ δεῖ τιθέναι τὴν ψυχὴν ὑπὲρ τῶν φίλων μέχρι θανάτου, εἴτε ἁμαρτωλοῦ εἴτε δικαίου ὄντος τοῦ φίλου, ὡς ἐντεῦθεν ἀπορεῖν σε πῶς καὶ μὴ ψεύδεσθαι ὅλως ἐν ταῖς συμβαινούσαις ἀνάγκαις, εἰς θάνατον ἠκούσαις ἀδελφοῦ, καὶ πάλιν τὴν ψυχὴν ὑπὲρ αὐτοῦ τιθέναι· ‚ἐὰν γὰρ μὴ ψεύσωμαι', φῇς, ‚ἀποθνήσκειν τὸν φίλον, καὶ ψευδόμενος οὐκ ἀθλῶ νομίμως καὶ ἐκπίπτω τοῦ θεοῦ'. τοῦτο οὖν τὸ κεφάλαιον καὶ ἐμοὶ ἠπορημένον ἐστί, δοκῶ δὲ καὶ πολλοῖς. πειράσομαι δ' οὖν ὅμως, ὡς οἷόν τέ μοι, δοῦναι ἀπόκρισιν τῇ ἀγάπῃ σου, εὐδοκοῦντος θεοῦ. ὅτι μὲν οὖν κατὰ τὸ σχόλιον οὐ ταὐτὸν χρήσιμον καὶ ἀναγκαῖον, ἀληθές· τὸ μὲν γὰρ ἐνδεχόμενόν ἐστιν· οἷον, χρήσιμον δὴ διαλεχθῆναί με τῷ δεῖνι περὶ τοῦδε· ἀλλὰ μήν, κἂν οὐ διαλέξοιμι, ἔστι δυνατὸν ἐπιτυχεῖν τοῦ ζητουμένου. καὶ πάλιν· χρήσιμόν ἐστιν ἀποστραφῆναι τὸν ὁ δεῖνα· ἀλλὰ γάρ, κἂν σήμερον μὴ ἀποστραφῶ, δυναίμην αὐτὸν αὔριον ἀποστραφῆναι. τοιοῦτόν ἐστι τὸ χρήσιμον, ἤτοι ἐνδεχόμενον. τὸ δὲ ἀναγκαῖον ἀπαραίτητόν ἐστι, τὸ πάντως μὴ ἀμφοτερίζειν· οἷον, ἐάν εἰμι ἀμύητος, οὐκ ἐνδέχεται μὴ βαπτισθησόμενον σωθῆναί με. καὶ πάλιν· ἐὰν εἴπω ‚δύναμαι μὴ ἀναπνεῖν καὶ ζῆν', ψεῦδος· ἀναγκαῖον γὰρ τὸ ἀναπνεῖν, οὗ χωρὶς οὐκ ἔστι ζῆν.

Αἱ τοίνυν ἐντολαὶ τοῦ θεοῦ κατὰ τὸ ἀναγκαῖον παρὰ τοῦ ἀψευδοῦς στόματος διηγορεύθησαν καὶ ἐξ ἀνάγκης ὀφείλουσι φυλάττεσθαι, οὐ τρεπόμεναι εἰς τὸ πῇ μὲν ἐνδέχεσθαι φυλάττεσθαι, πῇ δὲ οὔ, ἢ

---

19 Bas. reg. br. 76 (PG 31,1136 C); cf. Joh. 8,44 22 2 Tim. 2,5 27 Joh. 15,13 44 cf. Arist. metaph. 1015^{a} 21 οἷον τὸ ἀναπνεῖν καὶ ἡ τροφὴ τῷ ζῴῳ ἀναγκαῖον· ἀδύνατον γὰρ ἄνευ τούτων εἶναι

---

16 ἀποφήσοιεν C: ἀποφήσειε VPS Sirm: τί φήσειε M 18 καθὰ V Sirm 21 ἐστί VMPS Sirm μηδὲ μίαν C 22 κἂν P ἐὰν C: εἰ cett Sirm 23 ἀθλήσει VMPS Sirm 27 vocem τιθέναι post ψυχὴν transp M 29 πῶς om Sirm 31 ψεύσομαι SM φὴς VMP 35 σημείωσαι· ὡραῖον (ὅλον τὸ χωρίον P) in marg CP 37 τοῦδε: τούτου M κἀν P διαλέξαιμι VMPS Sirm 39 ὁ om VMS Sirm ὁδεῖνα P κἀν P 41 ἤτοι: ὁήτοι C 43 ἀναπνεῖν: ἀναπεῖν C^{ac} 44 οὗ: οὐ M 46 ἐξανάγκης CPS

ὑπὸ τοῦδε μὲν ναί, ὑπὸ τοῦδε δὲ οὔ, ἢ ποτὲ μὲν ναί, ποτὲ δὲ οὔ, ἀλλ' ἀεὶ καὶ ἐπὶ παντὸς προσώπου καὶ καιροῦ. κατὰ τοῦτο εἴρηκεν ὁ Μέγας Βασίλειος ‚διαφορὰν ψεύδους μηδεμίαν ἐμφήναντος', ὡς ὅτι ἐξ ἀναγκαίου ἡ ἀπόφασις, κἂν ἡ ἐρώτησις προετάθη ὡς ἐνδεχομένη· ταὐτὸν γάρ, ὡς ἔφην, χρήσιμον καὶ ἐνδεχόμενον. εἶτα τί γενήσεται, καθὰ προέφης, ἐν τῇ συμβάσει τοῦ ἀποθνήσκειν τὸν ἀδελφὸν τῷ μὴ αἱρήσασθαί με ψεύσασθαι; τοῦτο δὲ οὐκ ἔστι ψεῦδος, ὡς δοκῶ. οἷον, μετασχηματίζω εἰς ἐμαυτὸν τοιοῦτόν τι· ἦλθεν κόρη πρός με διωκομένη ὑπό τινος φθορέως, αἰτοῦσα ‚μὴ φανερῶσαι τῷ φθορεῖ ἐρωτῶντι ὅτι με φυλάττοις, ἐπεὶ φθείρει με πάντως'. τοίνυν ἐλθόντος τοῦ φθορέως καὶ ἀνακρίναντος ‚ἦλθεν ὧδε κόρη πρὸς σέ;', λέγων ἐγὼ ‚οὒ' οὐ ψεύδομαι, οὐχ ὅτι οὐκ ἔχω τὴν κόρην λογιζόμενος, ἀλλ' ὅτι οὐ ποιήσει τοῦτο ἐγγύς μου τὸ πονηρὸν κατὰ τὸ σιωπώμενον λέξας. καὶ πάλιν ἄλλο· παρέθετό μοί τις ξίφος πρὸς τὸ ἀναιρεῖν ἑαυτόν, εἶτα ἐλθὼν ἐπιζητεῖ τοῦτο παρ' ἐμοῦ. ἐὰν οὖν εἴπω ὅτι ‚οὐκ οἶδα οὐδὲ ἔλαβον' οὐ ψευδοεπῶ. ‚οὐκ οἶδα' γάρ, λέγω, ‚οὐδὲ ἔλαβον πρὸς τὸ ἐπιδοῦναί μέ σοι τὸ ξίφος εἰς θάνατον'· ἐπεί, ἐὰν εἴπω ‚ναί', ἐφθάρη ἡ κόρη καὶ ἔσφαξεν ἑαυτὸν ὁ δοὺς τὸ ξίφος· καὶ ἔστι τοῦτο κακόν. τὸ δὲ κακὸν οὐκ ἐξ ἀγαθοῦ, ἀλλ' ἐκ ψεύδους· πατὴρ γὰρ τοῦ ψεύδους ὁ τῆς κακίας εὑρετής. τὸ δὲ μὴ φθαρῆναι τὴν κόρην / καὶ μὴ ἀναιρεῖν ἑαυτὸν τὸν ξιφοδότην ἀγαθόν, τὸ δὲ ἀγαθὸν ἡ ἀλήθεια· ὁ θεὸς γὰρ ἀγαθὸς ὁμοῦ καὶ ἀλήθεια. εὑρέθη οὖν τὸ δοκοῦν ψεῦδος ἀλήθεια ὁμολογουμένη εἶναι· καὶ ἔθηκα τὴν ψυχὴν ἐν τῷ δῆθεν δοκοῦντι ψεύσματι ὑπὲρ τοῦ φίλου καὶ ἔρρωται ἀμφοτέρωθεν ἡ ἐντολή, οὐκ ἐν ψεύσματι, ἀλλ' ἐν ἀληθείᾳ τελειωθεῖσα. οὐ μέντοι γε εἵνεκα ἑαυτοῦ, ἵνα μὴ ἀποθάνω, τοῦτο ποιεῖν χρὴ (ψεῦδος γὰρ ὧδε) οὔτε μὴν ὀμόσαι τὸ καθόλου οὔτε περὶ ἑαυτοῦ οὔτε περὶ ἄλλου σωτηρίας· προφανὴς γὰρ ἡ παράβασις.

Οὕτω τὸ ἐμοὶ φαινόμενον ἔχει. ἐπεὶ καὶ ἡ Σάρρα εἶπεν τῷ Ἀβιμέλεχ ὅτι ἀδελφή εἰμι τοῦ Ἀβραάμ· καὶ ὁ προφήτης Ἱερεμίας τοῖς

---

50 Bas. ibid. 66 Joh. 8,44 70 Joh. 15,13 77 Gen. 12,13 Jer. 39,3 sq.

48 δὲ[1] om C 49 καὶ ante κατὰ add V 50 μηδὲ μίαν P 53 τῷ: τὸ M 54 οὐκ ἔστι: οὐκέτι M 55 ἦλθε VMPS Sirm 57 φυλάττεις S^{pc} φθείρει: φθείρῃ PS^{ac} (cave conicias φθαρεῖ, coll infra 61 ἀναιρεῖν) **58** ἀνακρίνοντος V πρός σε Sirm 60 ποιήσῃ S σιωπόμενον M 68 ἀναιρεῖν: ἀνελεῖν V 74 ὁμῶσαι S 76 εἶπε VMPS Sirm 77 ἄβραάμ VMPS

ἐρωτῶσιν αὐτὸν ἄρχουσι, τί σοι εἶπεν ὁ βασιλεύς; ἄλλο ἀντ' ἄλλου ἀπεκρίθη, καθότι ὑπέθετο αὐτῷ ὁ βασιλεύς, δέει θανάτου καὶ τότε τοῦ οἰκείου. καὶ εἰς τὰ ἀποφθέγματα τῶν πατέρων ἐμφέρεται τὸ τοιοῦτον. εἰ δέ τι αὐτὸς παρὰ σεαυτοῦ ἢ παρ' ἑτέρου εὕροις, φανερῶσαι ἡμῖν μὴ παραιτήσῃ πρὸς ἐπίγνωσιν ἀληθείας καὶ φωτισμὸν νοὸς ἡμῶν ἀμυδροῦ.

Τὸν συγκακοπαθοῦντά σοι προσαγορεύω. ὁ σὺν ἐμοὶ προσαγορεύει σε.

384. Ναυκρατίῳ τέκνῳ

Εἴωθας ἀεὶ μακρὸν ποιεῖσθαι τὸ τῆς ἐπιστολῆς προοίμιον, πολλὰ ἡμῖν τοῖς ἀναξίοις συμφέρων τὰ ἐγκώμια, οὐκ ὄντα ἀληθῆ, φιλικῆς δὲ διαθέσεως ἐνδείγματα. ἐγὼ δὲ ἐν βραχέσι· τί τοῦτο; ἵνα ὑγιαίνοις ἐν Κυρίῳ, ἀδελφέ μου, θερμότερος ἀεὶ γινόμενος τῇ ἀγάπῃ Χριστοῦ ὑποφέρειν τὰ ὑπὲρ αὐτοῦ, ἀλλ' οὔ τί που ὑπολήγειν ἐκ ῥαθυμίας. καὶ εἴη σοι ἔτι ἔξαψις, ὡς ἂν ἐπᾴδειν σε μετὰ τοῦ Δαυὶδ τοῦ ἁγίου, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ θεός. τοῦτο δὲ ἐνεργῶς ᾄδοιεν ἄν τις κεκαθαρμένην ἔχων τὴν καρδίαν ἢ καθαιρομένην· οὗ γὰρ κάθαρσις, ὥς φησιν ὁ Θεολόγος, ἔλλαμψις. ὡς μακαρία ἡ ψυχὴ αὕτη, ὑφ' ἧς τὸ πάντα παθεῖν διὰ Χριστὸν ἐπιπόθητον λίαν καὶ τὸ βδέλυγμα ἡγεῖσθαι ἅπαν σαρκὸς ἔργον. εὖξαι, ἀδελφέ, ὀσφρανθῆναί με τῆς εὐωδίας ταύτης, τὸν ὀδωδότα τοῖς πάθεσιν.

Οὗτος ὁ πρῶτος λόγος. ὁ δεύτερος περὶ τοῦ Ἀνατολίου· ὡς λυπηρόν μοι τὸ πτῶμα αὐτοῦ. πλὴν ἀπεδεξάμην σου τὴν ἰατρείαν· ἔτι οὖν ἐπιμελήθητι αὐτοῦ φιλαδέλφῳ διαθέσει. ὁ τρίτος περὶ ὧν προέτεινας κεφαλαίων.

---

78 ἀντὶ VMPS Sirm   80 τοῦ om VMPS Sirm   84 σοι: σε S

---

384. a. 818   15 Ἀνατολίου: cf. p. 218* adn. 253

8 Ps. 41,2   10 Greg. Naz. or. 39,8 (PG 36,344 A = p. 164 M.-G.)

C VMT (ll. 17 – 54) PS

4 μᾶλλον ante διαθέσεως inser M   5 voces ἀδελφέ μου ante ἐν transp S   6 οὐτίπου Sirm   7 τοῦ om VMPS Sirm   Δαβὶδ Sirm   9 πρός σε Sirm   ἐναργῶς VM   ᾄδειεν VM   10 καθαιρομένην: καθαιρόμενος V   11 ⟨ἐκεῖ⟩ ἔλλαμψις coll ep 387,24 coni Kambylis   13 εὔξαι CVP Sirm   15 τοῦ om S   17 ὁ τρίτος: hic inc epist in T titulo τοῦ αὐτοῦ ἐκ τῆς ἐπιστολῆς πρὸς ναυκράτιον praecedente

Ἐὰν ὀρθόδοξος διαβληθεὶς ὡς μὴ κοινωνῶν ποιήσῃ σταυρὸν ὅτι ‚κοινωνῶ', μηδὲν ἕτερον πολυπραγμονηθεὶς ὑπὸ τῶν αἱρετικῶν, αὐτοῦ δὲ ἔχοντος κρύβδην τῷ λογισμῷ ὅτιπερ ‚ἐξ ὀρθοδόξου κοινωνῶν εἰμι', οὐκ οἰκονομία τὸ τοιοῦτον, ἀλλὰ προδοσία τῆς ἀληθείας. τὸ ἐπιτίμιον ἡμισευμένον πρὸς τὸν ὁλοτρόπως τῇ αἱρέσει κοινωνήσαντα. πόσον δὲ τὸ τοιοῦτον ἤδη προερωτηθεὶς καὶ ἀποκριθεὶς περιττόν ἐστι δὶς τὰ αὐτὰ ἐπανακυκλεῖν. /

Ἐάν τις πρὸς πληροφορίαν τῶν ἀσεβῶν ἐπ' ὄψεσιν αὐτῶν ἐνέγκοι κρυπταζόμενον πρεσβύτερον κατὰ τὸ τῆς ὀρθοδοξίας δόγμα καὶ μηδὲ ἀναφέροντα αἱρετικὸν καὶ πρὸς αὐτοῦ μεθέξοι τῶν ἁγιασμάτων, καὶ οὗτος ὡς προδότης ἀληθείας τὸ ἐπιτίμιον ἐχέτω, ἐνιαυτὸν ἀποχὴν τῶν ἁγιασμάτων.

Ἐάν τις ὀμόσῃ μὴ προσκυνεῖν θείαν εἰκόνα μήτ' αὖ δέξασθαι ὀρθόδοξον μονάζοντα, μετὰ τὴν ὁρκωμοσίαν εἰδὼς τὸ πταῖσμα μετανοῇ καὶ προσκυνῇ κρυπτῶς, βαρὺ τὸ πτῶμα· ἤδη ἔξαρνος ἐγένετο Χριστοῦ, τῆς τε Θεοτόκου καὶ τῶν ἁγίων· τριετῆ χρόνον εἰργέσθω τῶν ἁγιασμάτων σὺν πολλῇ φιλανθρωπίᾳ.

Ἐάν τις χρίσειεν δεδοικὼς εἰκόνα Χριστοῦ ἤ τινος τῶν ἁγίων, ἐνιαυτὸν εἰργέσθω τῆς κοινωνίας.

Ἐάν τις ἱερεὺς ἀναφέρῃ τὸν αἱρετικὸν δημοσίᾳ, ἰδίᾳ δὲ προσκαλούμενος ὑπό τινος ὀρθοδόξου ἐν εὐκτηρίῳ στέλλεται ἀναφέρειν τὸν αἱρετικόν, εἰ ἄρα ἐν τῷ τοιούτῳ εὐκτηρίῳ τὸν ἀκριβῆ δεῖ προσεύχεσθαι; οὐδαμῶς.

Ἐάν τις ἐπὶ τῷ οἰκείῳ ἐπιτιμίῳ δύναται κατὰ λόγον προσλαβέσθαι τινὰ εἰς ἐπικουφισμὸν τοῦ ἐπιτιμίου; ἐπὶ μὲν τῆς κοινωνίας οὐδαμῶς, ἐπὶ δὲ τῶν ἄλλων οὐκ ἀπόβλητον. οὔτε δὲ ἐλεημοσύναις δύναιτ' ἂν ὑφαιρεῖν τι τοῦ ὁρισμοῦ ὡς ἀφ' ἑαυτοῦ· ὁ γὰρ ἐπιτιμιάζων οἶδε πάντως καὶ πρόσωπον καὶ χρόνον καὶ τὰ ἐκτὸς δοκιμάζειν πρὸς τὸ ὑφεῖναι. ὅρῳ γὰρ ἐπὶ τῶν ἐνδεχομένως κειμένων κανόνων περιλαβεῖν τὰ τοιαῦτα οὐχ οἷόν τε, καθὼς αὐτὸς ὁ Μέγας Βασίλειος εἴρηκεν· δοὺς γὰρ ἐξουσίαν τῷ ἐπισκόπῳ προσθήκης καὶ ὑφέσεως οὐκ ἐξ

---

19 α' ante ἐὰν inser Mi: in marg Sirm ποιήσοι C: ποιήσει T 20 ὑπὸ C: παρὰ cett Sirm 21 ἐξορθοδόξου S εἰμὶ ante κοινωνῶν transp VT 23 ὁλοτρόπῳ M 24 πρὸ ἐρωτηθεὶς C 25 ἐστιν T 26 β' ante ἐάν inser Mi: in marg Sirm 27 τὸ om MPS: V[sscr] 28 μεθέξει VT 29 τῆς ante ἀληθείας add VMTPS Sirm 31 γ' ante ἐάν inser Mi: in marg Sirm ὀμόσῃ C: ὀμόσας cett Sirm 32 δὲ post μετὰ add T (fort recte) μετανοεῖ C 33 προσκυνεῖ C 34 τε om T 35 πολλῇ φιλανθρωπίᾳ item in marg S 36 δ' ante ἐάν inser Mi: in marg Sirm χρίσῃ T: χρίσειε VMPS Sirm 38 ε' ante ἐάν inser Mi: in marg Sirm ἀναφέρει T 40 ἄρα VPS Sirm 42 ϛ ante ἐάν inser Mi: in marg Sirm οἰκείῳ: ἰδίῳ T 46 καὶ τὰ – 47 ὑφεῖναι in marg S τὰ: τοὺς M 48 εἴρηκε VTPS Sirm 49 ἐξουσίαν post ἐπισκόπῳ transp VMTPS Sirm ἐξαναγκαίου CPS

ἀναγκαίου, ἤγουν ἀπαραιτήτου, τὸν κανόνα ἔθετο, ἀλλ' ἐνδεχομένως. ὥστε ὁ διδοὺς βλεπέτω πῶς δίδοι· κἀγὼ γὰρ ὁ ταπεινὸς οὐχ ὁριστικῶς, ἀλλ' ἐκβιαστῶς, ἤτοι συμβουλευτικῶς, ὡς πολλάκις εἴρηκα, ἀποκρίνομαι πρὸς τὰς προτεινομένας μοι εἴτε ὑπὸ σοῦ εἴτε παρ' ἄλλου πεύσεις.

Τὸ λοιπὸν προσεύχου περὶ τῆς ταπεινώσεώς μου, βοηθῶν τὸ κατὰ δύναμιν τοῖς εἰς τὰ Στουδίου ἐναθλοῦσιν, ἐπεὶ καὶ ὅπουπερ ἂν ἰσχύῃς ἐν Κυρίῳ. ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει σε.

385. Θεοφίλῳ τῆς Ἐφέσου

Καὶ τὴν ἱεράν σου συλλαβὴν ἐδεξάμην ὡς βιβλίον θεόγραφον καὶ τὴν εὐλογίαν συναπεδεξάμην ὡς πόθου ἐμπύρευμα. καὶ τίς εἰμι ἐγὼ ὁ τάλας, τοιαῦτα παρὰ τοῦ ἁγίου σου στόματος εὐφημούμενος, ὁ μηδὲ τοῦ λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματός σου ἐπάξιος; ἴδε ταπεινοφροσύνης θεομιμήτου ἰδιώματα. σύ, ὦ μακαριώτατε προπάτορ, μέγας καὶ λαλούμενος, μεγαλυνόμενός τε καὶ ἐπαινούμενος ἀνατολῇ τε καὶ δύσει, ὁ τοῦ μεγίστου ἀποστόλου, εὐαγγελιστοῦ τε καὶ θεολόγου κοσμήσας τὸν θρόνον ἐπάξια δι' ὧν ἤθληκας καὶ ἔτι ἀθλεῖς, αἵμασι σαρκός σου ἁγίας λαμπρύνας τὸν βίον καὶ Χριστὸν ὁμολογῶν ἐγγρά/φεσθαι ὡς ἐνσώματον, ἀλλ' οὐχὶ ὡς οἱ ἀσεβεῖς ἐξαρνούμενος, ἐπὰν οὐ δέχωνται αὐτὸν εἰκονιζόμενον· ὃ γὰρ οὐκ εἰκονίζεται, οὐδὲ ἐνσώματον. ἐῶ λέγειν ὅτιπερ καὶ ἄγγελος, ὢν ἀσώματος, αἰσθηταῖς

56 ἐναθλοῦσιν: cf. adn. ad ep. 358,8

51 διδοῖ Sirm 54 πεύσεις: hic desin epist in T, additis verbis τοῦ ἁγίου ἀθανασίου προστάσσοντος (= Athan. c. Arianos 49 [PG 25,336 B]) μηδεμίαν κοινωνίαν ἔχειν ἡμᾶς πρὸς τοὺς αἱρετικούς, ἀλλὰ μὴν μηδὲ πρὸς τοὺς κοινωνοῦντας μετὰ τῶν ἀσεβῶν· τὰ αὐτὰ καὶ ὁ Φίλιξ πάπας (= Felix II) 56 ἐπεὶ: ἐπείπερ VM (ex sequenti ὅπουπερ seducti) Sirm ἰσχύῃς: ἰσχύσῃς S

385. a. 816–818 8 ἀποστόλου: Ioannes; quod vero pervestigatio temporis nostri refutavisse videtur; cf. E. Schwartz, Über den Tod der Söhne Zebedäi, in: Johannes und sein Evangelium, WdF 82. Darmstadt 1973, 238 sq.; O. Zurhellen, Die Heimat des vierten Evangeliums, ibid. 352 sq.

5 Joh. 1,27

C VM P_2P_1S

1 τοῦ δευτέρου βιβλίου ante titulum P_1 ἐγράφη manu rec in marg C δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm 6 προπάτωρ CM 9 ἐπ' ἄξια C 11 οὐχ P_1S 12 ἐπ' ἂν VP_1 Sirm: ἐπὰν MP_2 δέχονται C Sirm

εἰκόσιν ὑπὸ τῶν θεολόγων ἀναγράφεσθαι παραδέδοται. οἱ δὲ καὶ τὸν ἐνσώματον δεσπότην καὶ τὸν ἀσώματον δοῦλον, προσέτι τήν τε θεοῦ μητέρα σὺν πᾶσι Κυρίου θεράπουσιν ἤρνηνται ἐγγεγράφθαι, διὰ τῶν εἰκόνων ἀριδήλως συναπαρνούμενοι τὰ πρωτότυπα, οὐδ' αὐτὸ τοῦτο ἐννοοῦντες, ὅτι τῇ παραδοχῇ τοῦ οἰκείου χαρακτῆρος τὸ κρατεῖν ἔχουσιν, οὗ ἀφαιρεθέντος ἢ ἀτιμασθέντος ἀφῄρηται δῆλον ὅτι καὶ ἠτίμωται αὐτῶν τὸ κράτος· ἀλλ' ὅμως οὐ βούλονται συνιέναι τοῦ ἀγαθῦναι.

Ἐκείνοις μὲν οὖν εἰς κέντρα λακτίζειν ἔστιν· σὲ δὲ ἡ κραταιὰ χεὶρ περιφυλάξειεν εἰς κλέος τῆς ἑαυτοῦ ἐκκλησίας ὡς στῦλον, ὡς ἑδραίωμα, ὡς πρόμαχον. καὶ ἴδοιμέν σε οἱ ταπεινοὶ ἢ ἔνθεν ἐπὶ τὴν Ἀσιάτιδα χθόνα ἐπαναστρέφοντα, ὡς οἱ πάλαι ἀπὸ τῆς ἐν Πάτμῳ φυλακῆς τὸν τοῦ εὐαγγελίου ἥλιον, ἢ ἐν οὐρανοῖς ἐπάνω δέκα πόλεων ἱεραρχικῶς δοξαζόμενον.

386. Θαλελαίῳ τέκνῳ

Ἃ μὲν οὖν ἐσήμανας διὰ τῆς ἐπιστολῆς, ἐπέγνων, τέκνον, ἃ δὲ ἐγὼ ἀποκρινοῦμαί σοι, ταῦτά ἐστιν· στέλλεσθαι ἡμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, διακελεύεται ὁ ἱερὸς ἀπόστολος. πῶς οὖν λέγει Γρηγόριος ὁ τῶν Ἀδελφίων ἀλόγως ὑμᾶς αὐτὸν ἀποστρέφεσθαι, ὁπότε αὐτὸς οὐχ ἁπλῶς ἀτάκτως, ὁλοτρόπως δὲ συναπήχθη τοῖς εἰκονομάχοις, ὑπογράψας τῇ αἱρέσει, συνεσθίων τε καὶ συμπίνων καὶ συναναστρεφόμενος αὐτοῖς; εἰ δὲ λέγοι μετανενοηκέναι καὶ ἐπιτίμια κρατεῖν, δειξάτω τοῦτο διὰ ἐγγράφου ὁμολογίας,

26 ἥλιον: Ioannes

22 Act. 26,14 23 1 Tim. 3,15 26 Luc. 19,17

15 πρὸς ἔτι C καὶ ante τήν inser Sirm τοῦ ante θεοῦ add VM Sirm 19 οὗ: οὐκ Mi δηλονότι VMPS Sirm 22 ἐστίν C: ἔστι Mi: ἐστί cett Sirm 23 στύλον omnes: correxi

386. a. 816 – 818

3 2 Thess. 3,6

C VM P_2P_1S

1 θαλλελαίῳ CP_1P_2 δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm 3 ἐστί VMPS: ἐστι Sirm ὑμᾶς S (fort recte; cf 2 Thess l. l.) 5 ἡμᾶς S 8 μετὰ νενοηκέναι C 9 διὰ C: δι' cett Sirm

ἀναθεματίζων τε τοὺς αἱρετικοὺς σὺν τῇ αἱρέσει καὶ μηδαμῶς συναπτόμενος αὐτοῖς. ἕως δ' ἂν τοῦτο οὐ ποιῇ, ἀποτρόπαιος ὑμῖν ἔστω, τοῖς φοβουμένοις τὸν Κύριον· δόλιος γάρ ἐστιν ἐν προσποιήσει ἐπιστροφῆς, ὑφελκόμενος ὑμᾶς καὶ ὑποσπείρων λόγους λυμώδεις ὡς ἐκ προσώπου δῆθεν τῶν ἐναντίων. ὅθεν σύ, ὡς ἀτελέστερος ἐμπαρεὶς τῇ διαλέξει αὐτοῦ, ἠπόρηκας εἰς τοῦτο κἀκεῖνο.

Ἀλλ', ἐπειδὴ ᾔτησας τὴν λύσιν, δέξαιο συνετῶς. τὸ εἰρηκέναι τὸν Χρυσόστομον ὁ ἡμέτερος Χριστὸς τοίχοις οὐ περιγράφεται, ἐγκωμιάζοντα τὸν Ἅγιον Ῥωμανόν, οὐχ ἁπλῶς ἐκλαμβάνειν δεῖ, ἀλλὰ γνῶναι τίνι διαλεγόμενος εἴρηκεν, ἐπειδὴ ἐν ταῖς διαλέξεσιν παρατηρητέον καὶ χρόνον καὶ πρόσωπον καὶ τρόπον· χρόνον, διὰ τὸ μὴ τὰ αὐτὰ νενομοθετῆσθαι τοῖς πάλαι πρὸς τοὺς ἐν τῇ χάριτι· πρόσωπον, ὅτι ἄλλο αἱρετικὸν καὶ ἕτερον ὀρθοδόξου· τρόπον, ἐπειδὴ οὐ ταὐτόν ἐστι δογματικῶς διαλέγεσθαι καὶ ἁπλοϊκώτερον προτείνειν τὸν λόγον. τίνι οὖν διελέλεκτο ὁ Χρυσόστομος; ἆρά γε ὀρθοδόξῳ ἀναστηλοῦντι τὴν εἰκόνα Χριστοῦ; οὐδαμῶς· ἀλλά τινι Ἕλληνι, ὃς τὴν πάντων ὑπερκειμένην αἰτίαν καὶ ἐκ τῶν ἐν τοῖς οὖσιν ἐσχάτων χαρακτηρίζει, ὥς φησιν ὁ θεῖος Διονύσιος, καὶ οὐδὲν αὐτὴν ὑπερέχειν φῇ τῶν πλατ/τομένων αὐτῷ ἀθέων καὶ πολυειδῶν μορφωμάτων. καλῶς οὖν καὶ πάνυ εἰκότως ἔφη ὁ πατήρ, ὁ ἡμέτερος Χριστὸς τοίχοις οὐ περιγράφεται· προσυπακουστέον ‚τῇ τῆς θεότητος φύσει', ὡς τῶν ἐκείνου θεῶν ἐν τοίχοις ἱδρυμένων κἀκεῖ περιωρισμένων καὶ οὐκ ἐχόντων τι ἄλλο νοούμενον παρ' ὃ βλέπονται τοῖς ὁρῶσιν. ὀφθαλμοὶ αὐτοῖς καὶ οὐ βλέπουσιν, ὦτα καὶ οὐκ ἀκούουσιν, χεῖρες καὶ οὐ ψηλαφῶσιν, πόδες καὶ οὐ περιπατοῦσιν, ῥῖνες καὶ οὐκ ὀσφραίνονται, καθὰ προφητικῶς κατηγοροῦνται.

Ὁ δὲ ἡμέτερος Χριστὸς οὐ κατὰ τὸ ὁρώμενον μόνον ἄνθρωπος κυρίως καὶ ἀληθῶς, ἐπείπερ ὅμοιος ἡμῖν κατὰ πάντα χρηματίσας, καὶ ἐνσώματος καὶ ἔμπνους καὶ ἐνῆλιξ καὶ ὅσα ἄλλα γνώριμα τῇ ἀνθρωπείᾳ φύσει πλὴν μόνης ἁμαρτίας, ἀλλὰ καὶ θεὸς φύσει καὶ

---

17 Jo. Chrys. hom. in Rom. mart. 2,3 (PG 50,616) 26 Dion. Ar. myst. theol. 1,2 (PG 3,1000 A) 33 Ps. 113,13 sq. 38 cf. Greg. Naz. or. 26,6 (PG 35,1236 B = p. 240 M.-L.) πάντα ὅσα ἐγώ, πλὴν ἁμαρτίας

---

11 οὐ M[sscr] ἀποτροπαῖος P$_1$S 13 λοιμώδεις VMPS Sirm 19 διαλέξεσι VMPS Sirm 21 τῇ om P$_1$S 22 αἱρετικοῦ S 28 φῇ: φησὶ M Sirm αὐτῷ P$_2$ 30 πρὸς ὑπακουστέον C 31 καὶ om VM Sirm 32 βλέπονται: βλέπεται coni Sirm 33 ἀκούουσι VMPS Sirm 34 ψηλαφῶσι VMPS Sirm περιπατοῦσι VMPS Sirm ῥίνες VMP$_2$ Sirm 38 ἐνήλιξ CPS

ἀληθείᾳ, καὶ ὁ αὐτὸς ἀμφότερα. οἷόν τι λέγω, ὥς φησί που ὁ αὐτὸς Χρυσόστομος, κάτω κοπιᾷ καὶ ἄνω συγκροτεῖ τὰ στοιχεῖα, κάτω πεινᾷ καὶ ἄνωθεν ὑετοὺς χορηγεῖ, κάτω δειλιᾷ καὶ ἄνω βροντᾷ, κάτω δικαστηρίῳ παρίσταται καὶ ἄνωθεν πάντα θεωρεῖ. κατὰ τοῦτο οὖν εἴρηται αὐτῷ πρὸς τὸν Ἕλληνα, ὁ ἡμέτερος Χριστὸς τοίχοις οὐ περιγράφεται· καὶ οὐχ ἡγεῖτο χρῆναι ἀκριβολογεῖσθαι περὶ τὴν ἀπόφασιν εἵνεκα τῆς νυνὶ λυττώσης αἱρέσεως. δῆλον δὲ ὅτι τὸν κοπιῶντα καὶ πεινῶντα, δειλιῶντά τε καὶ παριστάμενον κριτηρίῳ οἶδεν ἀσφαλῶς ὁ ἅγιος σώματος χαρακτῆρι περιγράφεσθαι εἴτε ἐν τοίχῳ χρώμασιν εἴτε ἐν πίνακι. καὶ ἐν τοῖς ἐναργέσιν οὐκ ἦν λόγος αὐτῷ διασαφήσεως· εἰ γὰρ τὸν ἀσώματον ἄγγελον ἰδεῖν ἔφη ἐν εἰκόνι, τὸν ἐνσώματον Χριστὸν οὐ βλέπει εἰκονιζόμενον; ἠλίθιον οὖν τοιοῦτόν τι περὶ τοῦ ἁγίου ὑπολαμβάνειν. εἰ οὖν εἰς μαρτυρίαν αὐτὸν ἔχουσι τοῦ πονηροῦ αὐτῶν δόγματος, τί τὸν αὐτὸν ἀποβάλλονται, μὴ δεχόμενοι ἄγγελον εἰκονίζεσθαι μηδ' αὖ τινα τῶν θεοφόρων, λέγοντος ὧδέ που πάλιν τοῦ Χρυσοστόμου· ὅπερ γοῦν ἐν ὀνόμασιν ἐποιήσατε, τοῦτο καὶ ἐπὶ τῆς εἰκόνος ἐπράξατε τῆς ἐκείνου (ἤγουν Μελετίου τοῦ ἁγίου)· καὶ γὰρ καὶ ἐν δακτυλίων σφενδόναις καὶ ἐν ἐκπώμασι καὶ φιάλαις καὶ ἐν θαλάμων τοίχοις καὶ πανταχοῦ τὴν εἰκόνα τὴν ἁγίαν ἐκείνην διεχάραξαν πολλοί. ἀλλ' ὅμως οὐδὲ ἀκοῦσαι αὐτοῦ ἀνέχονται.

Περὶ τῆς ἱστορίας τοῦ Ἁγίου Παγκρατίου, ὅτι οὐ δηλοῖ πρὸς τίνος συνεγράφη, τί τοῦτο; σχεδὸν πάντα τὰ μαρτυρογράφια ἀνεπίγραφά εἰσιν· ἀλλ' ὅμως βέβαιά εἰσιν, κἀκεῖθεν οἱ διδάσκαλοι ἀφορμίζονται ποιεῖν τὰ τῶν μαρτυρησάντων ἐγκώμια. ὁ Ἅγιος Παγκράτιος ἐν Σικελίᾳ τιμᾶται ναῷ μεγίστῳ, ἐν ᾧ φασι καὶ σημεῖα γεγενῆσθαι. ὁ οὖν μὴ δεχόμενος τὴν ἱστορίαν συναπεβάλετο τὸν μάρτυρα δῆλον ὅτι.

Ταῦτα μὲν ὡς ἐν ὀλίγοις. σὺ δέ, τέκνον, ὑγίαινέ τε / καὶ σῴζοιο καὶ τοῦ Γρηγορίου μακρὰν ἀπόστηθι, μή σε ὀλέσῃ ἐξ ἀπροσεξίας.

---

65 ἐν Σικελίᾳ: Tauromenio; cf. Act. SS. April. I (Antverpiae 1675) 238 B

---

55 Jo. Chrys. hom. in Melet. Ant. 1 (PG 50,516)

---

40 ἀλήθεια P_1 ποῦ C 41 κάτω — στοιχεῖα om P_1S 42 ἄνωθεν: ἄνω V 55 λέγοντα S πάλιν om VM Sirm τοῦ Χρυσοστόμου om S γ' οὖν C: γ' οὖν M: οὖν V^{ac} 56 καὶ om VPS Sirm 58 ἐκπόμασι CPS Sirm 59 ἐκείνην ante τὴν ἁγίαν transp V 61 δὲ post περὶ add S^{sscr} οὐ om M 63 εἰσί[2] VMPS: εἶσι Sirm 67 δηλονότι VMPS Sirm 68 ὀλίγοις: λόγοις M 69 ὀλέσει C

387. Ἐγκλειστῇ

Ἀνέγνων σου τὸ γράμμα τῆς εὐλαβείας. ἀλλὰ τίς ὁ ἔπαινος, ὃν ἐποίησας ἡμῖν, ξένοις οὖσι παντὸς ἀγαθοῦ; τίς δὲ καὶ ἡ ἐπιζήτησις τοῦ διδασκαλικοῦ λόγου μὴ ἔχουσιν οἰκειοποτεῖν, οὐχ ὅτι γε καὶ ἑτέροις ἄρδειν νάματα; ὅμως ἐπειδὴ γέγραπται παντὶ τῷ αἰτοῦντί σε δίδου, δέξαιο βραχυλογίαν τινὰ τῆς πενιχρότητος ἡμῶν. τῶν ἐν τῷ κοινῷ βίῳ ἀναστρεφομένων οὐχ οὕτως δύναιτ' ἂν ὁ τῆς διανοίας ὀφθαλμὸς κεκαθάρθαι, ὡς ἐνατενίζειν ἀπαραποδίστως τῷ κάλλει τῆς δόξης τοῦ θεοῦ, οἷόν τινι λύμῃ τῇ τῆς σαρκὸς προσπαθείᾳ μυωπάζων· ἡμῖν δέ, οἷς πᾶσιν ἀποτακτέον καὶ μόνον τὸν Χριστοῦ σταυρὸν αἴρειν ἐγκελευομένοις, εὐπετὴς ἡ θεοπτία, ἤγουν τὸ μηδὲν ἄλλο καὶ ἔχειν καὶ ἐννοεῖν ἢ τὸ πῶς εὐαρεστήσοιμεν τῷ Κυρίῳ καθαρᾷ καρδίᾳ λατρεύειν αὐτῷ ἐν ἀπορρήξει πάσης σχέσεως σαρκικῆς. ἔστω οὖν ὑμῶν ἡ τῆς ἐγκλείσεως περιοχὴ πόλις θεοῦ πεποικιλμένη χρυσέοις κατορθώμασιν, μὴ κλεῖς περὶ τὸ σῶμα μόνον, ἀλλὰ γὰρ καὶ κατὰ πνεῦμα. προσῆκον τοίνυν φεύγειν ὑμᾶς τὰς τῶν ἀνδρῶν ὄψεις, τὰς πρὸς τοὺς ἀφ' αἵματος σχέσεις, τὰς πρὸς ὅλον τὸν κόσμον φιλίας, αὐτὰς δὲ ἐφ' ἑαυτὰς συνανεστράφθαι καὶ ἔχειν μίαν ψυχὴν καὶ καρδίαν κατὰ μίμησιν τῶν ἀρχῆθεν ἐπὶ τῶν ἀποστόλων πεπιστευκότων. ἡ καθηγουμένη οὕτω καθηγείσθω ὡς Χριστοῦ ἐπέχουσα χαρακτῆρα, ποιοῦσα πρῶτον, εἶθ' οὕτως διδάσκουσα, μηδὲν ἐλλιμπάνουσα τῶν κατ' ἐντολὴν πρακτικῶς ὑποδεικνύναι, ἡ καθυποτασσομένη οὕτω πείθεσθαι καὶ ὑπείκειν ὡς αὐτῷ Χριστῷ τὴν ὑπακοὴν ἀνύουσα. ὅπου δὲ ταῦτα, ἐκεῖ πάσης ἀγαθοεργίας καρπός, οὗ δὲ οὐ ταῦτα, ἐκεῖ πάντως τὰ ἐναντία, ἑταιρίαι, φιλονεικίαι, ψιθυρισμοί, ἰδιοκτημοσύναι, φυσιώσεις, προσπάθειαι πρός τε ἀλλήλας καὶ πρὸς τοὺς ἔξωθεν εἴτε ἐκ γένους εἴτε ἐκ φιλίας ἄλλης.

Οὕτω μὲν οὖν ὡς ἐν ὀλίγῳ ἡ περὶ τοῦδε ὑπόμνησις. ἐγὼ δὲ ὁ ταπεινὸς παρακαλῶ σὺν τῷ βίῳ καὶ τὴν πίστιν ἠγλαϊσμένην κεκτῆσθαι ὑμᾶς, μηδαμῶς τῇ χριστομάχῳ αἱρέσει κοινωνεῖν, ἥτις ἰου-

---

387. a. 815 – 818

5 Luc. 6,30 18 Act. 4,32 25 2 Cor. 12,20

C VM PS

1 Ἐγκλείστῃ Mi 3 δὲ interavit Sirm: δὴ post δὲ inser Mi 6 τινὰ S[sscr] 8 ἀπαρεμποδίστως VMPS Sirm (cf Arr Epict 2, 13, 21) 9 λήμῃ CVP 15 κατορθώμασι VMPS Sirm 22 ὑποδεικνῦναι CSV 25 ἰδιοκτημοσῦναι M

δαϊσμοῦ οὐδὲν διενήνοχεν, τὴν σωτήριον Χριστοῦ οἰκονομίαν διὰ τῆς καθαιρέσεως τῶν σεπτῶν εἰκόνων αὐτοῦ τε Χριστοῦ, τῆς τε Θεοτόκου καὶ πάντων τῶν ἁγίων ἀρνουμένη· ἐπειδήπερ ἡ εἰκὼν ταὐτόν ἐστι τῷ πρωτοτύπῳ τιμῇ τε καὶ προσκυνήσει, οἷον ἐπ' αὐτοῦ τοῦ ζωοποιοῦ σταυροῦ καὶ τοῦ τύπου. μὴ δὴ οὖν ἀρνήσησθε τὸν Χριστὸν αἱ χριστοφόροι τῷ ἁγίῳ περιβλήματι μήτε τοὺς τοσούτους κόπους, οὓς ἀνατλᾶτε, τὸν ἐν παρθενίᾳ βίον μετὰ καθείρξεως διανύουσαι, ἔνθεν ὀλέσαι καὶ τῆς ἀντικειμένης μερίδος, ὅπερ ἀπείη καὶ ἐννοεῖν καὶ λέγειν, γινόμεναι, ἀλλ' εἰδυῖαι ὅτι οὔτε βίος δίχα πίστεως ὀρθῆς οὔτ' αὖ πίστις ἄτερ πράξεως θείας σῴζειν δύναιτο ἀμφοτέρωθεν εἴητε δι/ηυγασμέναι εἰς δόξαν θεοῦ, εἰς κλέος τῆς ἐκκλησίας, εἰς ἐπίτευξιν τῶν ἐν ἐπαγγελίαις αἰωνίων ἀγαθῶν, προσευχόμεναι καὶ περὶ ἡμῶν τῶν ἁμαρτωλῶν ὡς ἂν σῳζοίμεθα.

388. Συμεὼν τέκνῳ

Ὀψὲ μέν, ὅμως ἐδεξάμην τὰ ἀντίγραφά σου, τέκνον, καὶ ηὐχαρίστησα τῷ Κυρίῳ ἐπὶ τῇ ἀπολογίᾳ σου, τῇ τε συνέσει καὶ διασώσει καὶ ὅτιπερ καὶ τοσούτους ἀδελφοὺς ἔχεις συνδιαφυλάττων ἀπὸ τῆς θήρας τῶν αἱρετιζόντων καὶ οὐ σάρκας, ἀλλὰ ψυχὰς σπαρασσόντων, πλὴν ὅτι καὶ σώματα δι' ὧν ἐπιφέρουσι πληγῶν καὶ θανάτων. ὑγίαινε, υἱέ μου ἀγαπητέ, ἀρίστευε, ἡγοῦ τῶν ἀδελφῶν σου, προθυμοποίει, παραδείκνυε τὰ τῆς ἀληθείας, παράθηγε εἰς μαρτύριον· ὁ γὰρ καιρὸς τοιοῦτος, κἂν ὑποκρύβεσθε ἐννόμως. τὸ γὰρ ἐπιρρῖψαι ἑαυτὸν ἐν πειρασμῷ καθὰ ἐζήτησας μαθεῖν, τοῦτό ἐστι, τὸ ἀφ' ἑαυτοῦ κινηθῆναί τινα καὶ φανερῶσαι ἑαυτὸν τοῖς φονεύουσιν. εἰ δὲ ὅτι ὁ Ἅγιος

---

39 οὔτε βίος – 40 δύναιτο: primum edidit Allatius, De consensione 1327

38 Bas. ep. 262,2 (PG 32,973 B = III 120 Courtonne)

31 διενήνοχε VMPS Sirm Χριστοῦ om S 34 τιμή C 35 σταυροῦ om Sirm 38 ὀλέσαι καὶ: ὀλέσητε V: ὀλέσητε καὶ M 40 ἄτερ C: δίχα cett Sirm

---

388. a. 818

2 Bas. ep. 250 (PG 32,929 C sq. = III 87 Courtonne)

C VM PS

2 post μὲν rasuram quattuor fere litt exhibet C 4 καί[1] om VMPS Sirm 8 παράθιγε C μαρτυρίαν Sirm 9 ὑποκρύβησθε S[pc] (fort est ὑποκρύβησθε, ὑποκρύβεσθε scribendum) ἐπιρρίψαι CPSM Sirm

Γόρδιος, ὥσπερ καί τινες ἄλλοι τῶν μαρτύρων, αὐτόκλητοι ἧκον, ὁ τρόπος οὕτως ἀπῄτει, οὐδενὸς ὡς ἔτυχεν παρρησιαζομένου καὶ ἀναπτούσης τῆς ἀθεΐας σφοδρότερον, ἔπειτα καὶ καθαρᾷ καρδίᾳ θεὸν ἐνοπτρισάμενοι καὶ πρὸς αὐτοῦ νυχθέντες· ἐπεὶ καὶ ὁ μέγας Πρόδρομος ῥιψοκινδύνως ἤλεγξεν τὸν Ἡρώδην, ἄρτι δὲ πολλοὶ χάριτι θεοῦ ἐνιστάμενοι καὶ μαρτυροῦντες, καὶ οὐκ ἔννομον τὸ ἐπιρρῖψαι.

Ἐχάρην δὲ λίαν ὅτι καὶ ἕτεροι πατέρες συμπνέουσί σοι, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς· οὓς καὶ προσαγορεύω διὰ σοῦ καὶ δεδέημαι τῶν ἁγίων προσευχῶν εἰς ἐπικουρίαν σωτηρίας. ὤφελον ὅτι παρὰ τοῦ ἀδελφοῦ Ὑπατίου εὗρές τι τῶν καλῶν· ἀδελφοὶ ἐν ἀνάγκαις ἔστωσαν χρήσιμοι ἡ Γραφὴ ἐγκελεύεται. παρὰ γὰρ τῆς ἐμῆς ταπεινώσεως οὐδὲν ὄφελος, κἂν αὐτὸς μεγαλαυχῇς ἡμᾶς ἐξ ἀγάπης. ἐπειδὴ δὲ ἐπεζήτησας καὶ κατήχησιν, ἣν πρὸς πάντας τοὺς ἀδελφοὺς ἐποίησα, ἄρτι ἀπέστειλα καὶ πρὸς σέ, σύ τε προσεύχου ἀδιαλείπτως τὴν σωτηρίαν μοι.

Τὸ κισσύβιον ἐδεξάμην καὶ ἔχω σου εἰς ἐναργεστέραν μνήμην. τὴν ἐννάδα τῶν ἀδελφῶν μου καὶ τέκνων προσαγορεύω, πλεῖστα δεόμενος καὶ τῆς εὐχῆς. ὁ ἀδελφὸς Νικόλαος, ὁ σὺν ἐμοὶ ἐγκεκλεισμένος, προσαγορεύει σε σὺν πᾶσιν. ἡ χάρις μεθ' ὑμῶν. ἀμήν.

389. Βασιλείῳ ἡγουμένῳ

Ἡδέως σου ἀνέγνων τὸ γραμματεῖον, ὦ πατρότης ἁγία, ὡς ἀπὸ καρδίας καθαρᾶς προσενηνεγμένον, οὐ μὴν ἐν τοῖς ἐπαίνοις ἥσθην,

---

12 αὐτόκλητοι: ad rem cf. H. Chadwick, Die Kirche in der antiken Welt. Berlin 1972, 27 sq. 21 Ὑπατίου: cf. p. 285* adn. 492 24 κατήχησιν: ep. 392 vel ep. 393 28 τὴν ἐννάδα: cf. adn. ad ep. 246,13

12 cf. Bas. hom. in Gord. mart. 3 (PG 31,497 B) ἑκουσίως ἐπέδωκεν ἑαυτὸν τῷ ἀγῶνι etc. (= Act. SS. Jan. I [Antverpiae 1643] 131 sq.) 15 Matth. 14,3 sq. 18 Philipp. 4,3 21 Prov. 17,17 30 2 Tim. 4,22

13 ἔτυχε VMSP Sirm 16 ἤλεγξε VMPS Sirm 17 ἐπιρρίψαι CMPS Sirm 23 ἡμᾶς in marg S ἐπειδὴ C: ἐπεὶ cett Sirm 24 ἐζήτησας Sirm 25 ἐπέστειλα Sirm πρός σε Sirm τε C[sscr] 27 κισύβιον C ἔχω: ἔστω Mi: ἔθω Sirm 28 ἐννεάδα PS Sirm (sed cf Greg Nyss epist can [PG 45,232 A])

---

389. a. 817–818

C VM PS

2 γραμμάτιον VMS 3 ἥσθην CV

ὡς ξένος τῶν λελεγμένων. ἀλλ' αὐτός, εἰ βούλει, μᾶλλον προσεύχου τῆς μερίδος καὶ στάσεώς σου ἐγγύθεν παραθήγειν.

Τοῦτο μὲν τοιοῦτον. εἴη δὲ κατὰ τὸ ῥῆμά σου χρησιμεύειν τῷ θεῷ Ὑπάτιόν τε τὸν ἀδελφὸν καὶ ὅντινα ἄλλον τῶν ἐναθλούντων, ὡς ἂν δι' αὐτῶν σχοίημεν καὶ ἡμεῖς οἱ ταπεινοὶ εὐμενὲς τὸ θεῖον. τὸ ἐρώτημα τῶν ἐμπαρέντων ἐν τοῖς κατὰ φύσιν ἢ παρὰ φύσιν / πτώμασιν ἐκείνην ἔχει τὴν ἀπόκρισιν, ὅτι ἡ ἀληθὴς μετάνοια ἐν ἐπιδείξει τῶν κατ' αὐτῆς καρπῶν. ἅτινά ἐστιν· ἡ ἀποχὴ τῶν ἁγιασμάτων κανονικῶς μετὰ καὶ τῆς συντελουμένης ἐγκρατείας τὴν συγχώρησιν τῶν ἡμαρτημένων ἀντιλαμβάνει καὶ ἄνευ μαστίγων καὶ μαρτυρίου. ἕως ἂν γὰρ μὴ ἀποκλείσῃ καθ' ἡμῶν, ὡς γέγραπται (ἀπόκλεισις δὲ ὁ θάνατος), κἂν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ζωῆς ἡ ἀληθὴς μετάνοια φθάσειεν, ἔσωσε τὸν ἐπιστρέψαντα τῆς ἁμαρτίας. οὕτω θεὸς διὰ Ἰεζεκιὴλ τοῦ θεολόγου διωρίσατο· καὶ τοιοῦτον φιλάνθρωπον θεὸν ἔχομεν, τὸν καὶ λῃστὴν μιᾷ ὥρᾳ εἰσοικισάμενον, τὸν πάλαι καὶ τὸν ἔσχατον, καὶ τελώνην ὡσαύτως δικαιώσαντα. εἰ δὲ κατὰ τὰ φθάσαντα ἄρτι ἐπιδοῖεν ἑαυτὸν ὁ ἡμαρτηκὼς καὶ πληγὰς ἐπὶ νώτου δέξασθαι καί τι ἄλλο περισσότερον, τίς ἀμφιβάλοι μὴ συγκεχωρῆσθαι αὐτὸν τῆς ἁμαρτίας; τὸ γὰρ καὶ θανεῖν ἐν τῇ ὁμολογίᾳ Χριστοῦ μάρτυρα ἀποτελεῖ κυρίως Κυρίου. ἀλλ' ἴσως ὁ λόγος περὶ τοῦ ἐπιτιμίου, ὅτι, ἐὰν ὑποβληθῇ βασάνοις, μὴ μέντοι θάνοι, τοῦτο παρὰ τοῦ δόντος τὸ ἐπιτίμιον κανονιζέσθω, πόσον ὑφελεῖν διὰ τὰ παθήματα, ὅλον, τὸ ἥμισυ· ἡμῖν γὰρ ὁρίζειν οὐχ οἷόν τε.

Οὕτως ὁ τῆς ταπεινώσεως ἡμῶν λόγος. εἰ δὲ δεῖ ἄλλως, δίδαξον, πάτερ, καὶ φώτισον ἡμᾶς τοὺς ἀμυήτους. τὸν ἀδελφόν μου, τὸν κῦριν Προκόπιον, πλεῖστα προσειπέ.

---

14 Luc. 13,25 **16** Ez. 33,14 **18** cf. Luc. 23,43 **19** cf. Luc. 5,27 sq.

5 παραθήγειν coll epp 388,8; 403,16 scripsi: παραθίγειν codd Sirm (quod lemma ex lexico Lampei delendum) **7** τε C[sscr] ὀντιναοῦν M **15** κἂν: κὰν P ἡ om MPS σημείωσαι in marg C **17** ἰεζεκιὴλ V **19** ὡς αὔτως C **20** ἄρτι: ἤδη S ἐπινώτου CS **21** ἀμφιβάλλοι CSM **23** Κυρίου om V **24** μὴ: οὐ S θάνῃ S **25** ὅλου Sirm **27** οὕτως: οὗτος M **28** κύριν C **29** πρόσειπε VMPS Sirm

390. Ἀρκαδίῳ μοναχῷ

Δὶς ἄρτι γράφω, ἀφ' οὗ συνελήφθης, ἠγαπημένε, ὑπὸ τῶν ἰουδαϊζόντων. τὴν πρώτην οὐκ ἐδέξω· εὔχομαι κἂν ταύτην τὴν ἐπιστολὴν εἰς χεῖράς σου ἐλθεῖν. ἐγὼ γάρ, πρῶτον μὲν κατὰ τὸν κοινὸν τῆς ἀγάπης νόμον χρεώστην ἐμαυτὸν λογιζόμενος, ὅτι χρὴ ἀλλήλους συμπροθυμοποιεῖσθαι τοὺς ἐπὶ τὸ αὐτὸ συνημμένους τῷ φρονήματι τῆς ὁμολογίας Χριστοῦ, τὸ ἐπιστεῖλαί σοι ἀναγκαίως ἔχω· ἔπειτα καὶ διὰ τὴν ἰδιότροπον σχέσιν, ἣν οἶσθα ὁποία καὶ πόση ἀπ' ἀρχῆς ἡμῖν ὑπῆρξε, πάνυ ἐπειγομένως γράφω.

Ἀλλὰ χάρις τῷ θεῷ, ἀδελφέ μου τιμιώτατε, ὅτι ἐν τῷδε τῷ πικρῷ χειμῶνι τῆς ἀπιστίας ἄνθος διεφάνης ὀρθοδοξοῦν, μᾶλλον δὲ ὁμολογητὴς Χριστοῦ· ἅπαξ ἐνεχθεὶς εἰς ὄψιν τῶν κρατούντων οὐχ ὑπέπτηξας, ὡμολόγησας τὴν καλὴν ὁμολογίαν. ἐμαστιγώθης ἱκανά, ἐξωρίσθης, περιωρίσθης ὧδέ που ἐν παραβύστῳ· πάλιν ἤχθης ἐν χειροῖν κολαστῶν, οὐκ ὠλιγώρησας, οὐκ ἐξηρνήσω τὴν πίστιν, κατεξάνθης αὖθις ταῖς πληγαῖς καὶ μεμένηκας ἀήττητος, μὴ φοβούμενος ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, ἀλλὰ τὸν μόνον Κύριον καὶ θεὸν καὶ βασιλέα κατὰ τὸ ὑπ' αὐτοῦ ἐντεταλμένον. μακάριος εἶ καὶ καλόν σοι ἔσται· ὡς εὐγενὴς σὺ καὶ τῶν ἀφ' ἡλίου ἀνατολῶν εὐγενέστερος. εἰ δὲ ὅτι τοῖς ἱστουργοῖς σε συναρίθμησαν ὡς βασιλικὸν οἰκέτην, μὴ / θαυμάσῃς· τοιαῦτα γὰρ τοῖς ἁγίοις. ἔπειτα ὅτι καὶ μὴ βουλόμενοι ὡς ἀληθῶς ὑπέδειξαν τῷ κόσμῳ δοῦλόν σε εἶναι τοῦ βασιλέως τῶν οὐρανῶν, ἔνδειγμα μαρτυρίας θεοῦ, ἔλεγχον ἀσεβείας.

Στῆθι οὖν, γενναῖε στρατιῶτα Χριστοῦ, ἀρίστευσον τελείως, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν ὁμολογίαν σου πληροφόρησον, ἔχων ἀοράτως θεὸν ἐπίκουρον, τὸν φύλακα τῆς ζωῆς σου ἄγγελον κυκλοῦντά σε, περιέποντά σε, χαίροντα ἐπὶ σοὶ λίαν

390. a. 817 – 818 3 τὴν πρώτην: ep. 202

13 1 Tim. 6,12 16 Matth. 10,28 18 Matth. 16,17 24 2 Tim. 2,3 25 2 Tim. 4,5

C VM PS

6 ἐμπροθυμοποιεῖσθαι M τοὺς om M ἐπιτοαυτὸ MPS ἐν ante τῷ add M 7 τὸ om M 8 ἀπαρχῆς C Sirm 9 ὑμῖν VMP γράφω: γράφειν M 12 ἅπαξ ἐνεχθείς: ἀπενεχθεὶς V[ac]M ὄψιν: ὕψος VM Sirm οὐχυπέπτηξας S: οὐχ ἔπτηξας M 13 ἐμαστίχθης VM 15 χεροῖν MPS Sirm: χερσὶν coni Sirm 19 ἀφηλίου CP 20 συνηρίθμησεν M: συνηρίθμησαν VPS Sirm 24 στρατιῶτα P 25 ὁμολογίαν: an διακονίαν scribendum? cf 2 Tim 4,5 27 ἐπὶ σοὶ om Sirm

καὶ τὰς προσευχάς σου ἀναφέροντα εἰς θεὸν εἰς ὀσμὴν εὐωδίας· ἐν αἷς μέμνησο καὶ ἡμῶν τῶν ἁμαρτωλῶν μέν, ποθούντων δέ σε λίαν.

391. Ἡγουμένῳ

Ἐπειδὴ ἔμαθον εἰσαγώγιμόν σε γενέσθαι καὶ τετύφθαι ὑπὲρ Χριστοῦ, ὦ τριπόθητε, χαίρω καὶ συγχαίρω σοι· τοῦτο γὰρ χαρὰ καὶ ἀγαλλίασις, οὐ κατὰ τὴν τοῦ κόσμου χαρὰν (ἀχαρὴς γὰρ ἥδε, δοκοῦσα μέν, οὐκ οὖσα δέ, ἐπείπερ ῥέουσα οὐχ ἵσταται καὶ τελευτῶσα θάνατον κατεργάζεται), ἀλλὰ τὴν κατὰ θεόν· αὕτη γὰρ καὶ μόνον θυμηδία καὶ ὡσαύτως ἔχουσα, ἧς τὸ τέλος ζωὴ αἰώνιος. εἰκότως οὖν γήθω καὶ συγγήθω σοι, πάτερ τιμιώτατε. ἀλλ' ὅτι, ὥς φασιν, ἑκατοστεύουσα ἡ νιφὰς καί γε βαρύδαρτος, ἴδε πάλιν ἐπίτασις τῆς εὐφροσύνης· οὐκ ἀπαθῶς ἤνεγκα τὴν ἀκοὴν καὶ ἀπών. ἀλλ' ὅμως δόξα τῷ δοξάσαντί σε θεῷ ἐπὶ νώτου σε κτανθῆναι ὑπὸ τῶν ἀσεβῶν· ἄσβεστόν σου τὸ κλέος, ἱερόν σου τὸ πάθος, στήριγμα τῶν συνομολογούντων, προθυμία τῶν ὀρθοδοξούντων, διάρρηξις τῶν αἱρετιζόντων, οἰκοδομὴ τῆς τοῦ θεοῦ ἐκκλησίας. λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς, ὥς φησιν ὁ προφήτης· τί τοῦτο; εἰς ὁμαλισμὸν εὐσεβείας, εἰς ἐνδόμησιν τῆς ἐκκλησίας. τῶν ἁπάντων οὖν εἷς καὶ αὐτός, ὑπὸ τοῦ Ἁγίου Πνεύματος τῷ ἀκρογωνιαίῳ λίθῳ συναρμολογούμενος καὶ συμβιβαζόμενος.

Ἀλλὰ μέμνησο καὶ ἡμῶν τῶν ἁμαρτωλῶν, ἁγιώτατε, ἐν ταῖς προσευχαῖς μὴ ἀποπεσεῖν τῆς ἐνδομήσεως, ἀλλ' ὧδέ που κἂν ὡς χάλιξ εὑρεθῆναι χάριτι καὶ φιλανθρωπίᾳ τοῦ ἀγαθοῦ ἡμῶν θεοῦ.

---

28 Ex. 29,18

28 εὐοδίας S   29 μέν om VM

391. a. 818

3 Philipp. 2,17   13 1 Cor. 14,12   14 Zach. 9,16   17 Eph. 2,20 sq.

C VM PS

2 τοῦ ante Χριστοῦ add M   4 ἄχαρις VM   καὶ ante δοκοῦσα add V   5 οὐχ: οὐκ C   6 μόνη VM Sirm   7 ὡς αὔτως C   8 συνγήθω CPS   φασι Sirm   9 ἴδε: ἤδε coni Mi (sed cf adn ad ep 333,4)   11 ἐπινώτου C   σε² scripsi: τε CVPS Sirm: om M   κτανθῆναι: παρακτανθῆναι M: ξανθῆναι corrigere possis coll Demosth 19,197 ξαίνει κατὰ τοῦ νώτου πολλάς; sed verbum de more nostratum dictum esse putat Kambylis coll verbis σκοτώνω στὸ ξύλο aliisque id genus   20 χάληξ VPS: κάλιξ Sirm   21 ἡμῶν post θεοῦ transp VM Sirm

392. Θεόδωρος ταῖς πανταχοῦ διεσπαρμέναις ἀδελφότησι σὺν τοῖς ἐναθλοῦσιν ἐν τῇ ὁμολογίᾳ Χριστοῦ χαίρειν

Πᾶσαν χαρὰν ἡγητέον, ἀδελφοί μου, ἐν τοῖς παροῦσι θλιβεροῖς, ἐπείπερ διὰ Χριστὸν καὶ ὁ διωγμὸς τῶν διωκομένων καὶ αἱ φυλακαὶ τῶν καθειργμένων, προσθείην δ' ἂν καὶ αἱ μάστιγες τῶν μαστιγουμένων. οὐκ ἀποπαύσοιμι τοιγαροῦν καὶ κοινῇ πᾶσιν καὶ ἰδίᾳ ἑκάστῳ προσφωνεῖν, παρακαλεῖν, ὑπομιμνήσκειν, καίπερ εἰδὼς ἐστηριγμένους ὑμᾶς ἐν τῇ πίστει καὶ οἴκοθεν ἔχοντας τὸ παρακλητικὸν καὶ νουθετητικόν. ἀλλ' ὅμως ὀφειλέτης εἰμὶ ὁ ἁμαρτωλὸς / καὶ τὸ παρ' ἐμαυτοῦ προστιθεῖν, ἄλλως τε καὶ τοῦ πόθου ἐκβιαζομένου· ζηλῶ γὰρ ὑμᾶς ζήλῳ θεοῦ, ἐγκαλλωπίζομαι ὁ ἀκαλλώπιστος ταῖς ὁμολογητικαῖς ὑμῶν ἀρεταῖς. χαρά μοι καὶ στέφανος ὑμεῖς, ἔρεισμα καὶ ἀκαταγώνιστον κραταίωμα. ναί, ἐρωτῶ καὶ παρακαλῶ ἀσαλεύτους διαμένειν ἅπαντας ἐν πάσῃ εὐθυμίᾳ καὶ προθυμίᾳ· πάντοτε, φησὶν ὁ θεῖος ἀπόστολος, χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε. καὶ οὐ χαρὰ ταῦτα καὶ ἀγαλλίασις, ὅτι, εἴπερ συμπάσχομεν, καὶ συνδοξασθησόμεθα, εἰ ἀποθάνωμεν, καὶ συζήσομεν, εἰ ὑπομένωμεν, καὶ συμβασιλεύσομεν, ὡς γέγραπται; ἡλίκη ἡ ἐπαγγελία, ἀγαπητοί· εἰ καὶ εἰς πῦρ ἐμβληθῶμεν, οἴσομεν, εἰ καὶ θηρσὶν ἐκδοθῶμεν, ἐνέγκωμεν. οὕτω γὰρ ἤνεγκαν οἱ ἀπ' αἰῶνος ἀθλοφοροῦντες, ἄνδρες τε καὶ γυναῖκες, τὰ ἐκεῖθεν προβλέποντες καὶ τὸ παρὸν ὀδυνηρὸν ταῖς ἐλπίσι κουφίζοντες καὶ τρυφὴν ἡγούμενοι τὰ ἐπώδυνα καὶ τὴν προσθήκην τῶν παθημάτων ἐπιθυμοῦντες, οὐκ ἀποστυγοῦντες, ὥσπερ οἱ τὰ πλείω χρήματα τῶν συνεταίρων ἁρπάζοντες, ὡς ἴστε ὑμεῖς, ἀφ' ἑαυτῶν γευσάμενοι τῆς ἀθανάτου γλυκύτητος. ὦ κόσμε πλάνε· ὅτι πικρόν σου τὸ δοκοῦν ἡδὺ καὶ θανάσιμον κατὰ πᾶσαν ἡδονὴν καὶ περιχάρειαν· καὶ ὦ πόθε Χριστοῦ· ὅτι σὺ ἡ εὐλογία

---

392. a. 818

10 2 Cor. 11,2 12 Philipp. 4,1 **14** 1 Thess. 5,16 sq. 16 Rom. 8,17

C VM PS

2 ἐναθλοῦσι M 3 ἐν om M ʽγράφεται in marg C (ad aspirationem vocis ἡγητέον spectat) 6 τοιγὰρ οὖν C πᾶσι VMPS Sirm 10 προστιθέναι VM Sirm 11 καὶ ante ἐγκαλλωπίζομαι add VM 16 συμπάσχωμεν C 17 ἀποθάνομεν VPS συζήσωμεν C 18 ὑπομένωμεν C: ὑπομείνομεν S: ὑπομείνωμεν cett Sirm συμβασιλεύσωμεν CV 19 καὶ[1]: γὰρ Mi οἴσωμεν CVS Sirm 26 ἡμῖν ante ἡδὺ add M ἡδὺ in marg M 27 σὺ: σοι Sirm: σοὶ V Mi

καὶ ἡ χαρὰ καὶ ἡ δεσποσύνη καὶ ἐπὶ τοὺς κατόχους σου. ἴδετε πηλίκοις ὑμῖν φθέγμασι παρακαλῶ ὁ εὐτελής, οὔ τί που τῶν ἀξιεπαίνων, ἀλλ' ὅτι φιλικοῖς. ὅσοι βραδυτῆτα ἡγοῦνται τὴν ἐπισκοπὴν Κυρίου, ἐκεῖνο ἐννοείτωσαν, ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιαν ἄγει τοὺς διώκοντας, εἰς δοκιμὴν δὲ τοὺς πάσχοντας, καὶ μὴ ἀθυμείτωσαν μηδὲ τὰ κρίματα Κυρίου ἐξεταζέτωσαν. οὐκ εὐγνωμόνων δούλων λέγειν ‚ἕως πότε;' οὐκ εἶπεν τοῦτο Ἰὼβ ὁ ἀοίδιμος, οὐχ ὁ Πέτρος οὐδ' ὁ Παῦλος, οἱ μυρίαθλοι, οὐδέ τις τῶν μαρτύρων. οἶδεν ὁ ἀκοίμητος ὀφθαλμὸς τὸ ἀρκοῦν ἐπ' ἀμφοτέροις. οὐκ ἐλεεῖς, ὅτι θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ. ὁ τοιοῦτος, οὗ οὐκ ἔστι πέρας τῆς κολάσεως οὐδὲ ἐξαγόρευσις τῶν ἐν πυρὶ ἀσβέστῳ ἀνυποίστων ἀνιῶν (καὶ παρακαλεῖν ἡμᾶς δεῖ τὴν ἀνοχήν, ὅσον τὸ ἐφ' ἡμῖν, εἰ μὴ ἄν, διὰ τοὺς ὀλλυμένους καὶ ἐκπεπτωκότας τῆς ὑπομονῆς), ὁ ἐπειγόμενος τὸν θάνατον ἰδεῖν τοῦ ἁμαρτωλοῦ οὐ δύναται εἰρήνην ἔχειν πρὸς τὸν θεόν, οὗ χεῖρον οὐδέν· ἀεὶ γὰρ ἐν ταραχῇ κατὰ ψυχήν, ἐπιθυμῶν ὅπερ θεὸς ἀποστυγεῖ καὶ θέλων ὃ οὐ θέλει. ἐντεῦθεν ἀκηδίαι, ἐκλύσεις, βλασφημίαι καὶ τὰ λοιπὰ βλαστήματα τῆς πονηρίας. εἴπωμεν, ἀδελφοί· γενηθήτω τὸ θέλημά σου ἐκ καρδίας, κτηνώδης ἐγενήθην παρὰ σοί, κἀγὼ διὰ παντὸς μετὰ σοῦ. καὶ οὕτως εἰρηνεύουσα ἡ ψυχὴ παρρησίαν ἕξει πρὸς θεόν, ἑκατονταετίζειν ἐν τοῖς ὑπὲρ αὐτοῦ παθήμασι προαιρουμένη· οὔτε γάρ, ἐὰν κατευξώμεθα, τὸ τάχος ἐπιστῇ οὔτ', ἂν ἐπευξώμεθα, βραδυνεῖ, ἀλλὰ τότε ἥξει, / ὁπηνίκα ὁ πρὸ καταβολῆς κόσμου διορίσας τὸ συμφέρον δίκαιον κρίμα οἶδεν θεός.

Προσεύχεσθε περὶ ἡμῶν τῶν ἁμαρτωλῶν, παρακαλῶ, ἵνα σῳζοίμεθα. ὁ ἀδελφὸς ὑμῶν τε καὶ ἐμοῦ Νικόλαος προσαγορεύει ἅπαντας. ἡ χάρις μεθ' ὑμῶν. ἀμήν.

---

31 Rom. 2,4 37 Rom. 2,5 46 Matth. 6,10 Ps. 72,22 sq. 54 2 Tim. 4,22

29 ὑμῖν: ὑμᾶς V Sirm 30 βραδύτητα Mi: βραδυτῆτος M 34 εἶπε VMPS Sirm 38 οὗ om M 39 οὐδὲ: οὐδ' M voces βασάνων καὶ ante ἀνιῶν add M 40 ὑμᾶς Sirm 45 εἴπομεν C 46 ἐγεννήθην S 50 ἥξοι S 51 τὸ συμφέρον in marg V κρῖμα PS Sirm οἶδε VMPS Sirm

393. Τοῖς διὰ Κύριον πεφυγαδευμένοις πνευματικοῖς ἁγίοις μου πατράσιν Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου ἐν Κυρίῳ χαίρειν

Καὶ ἀφ' ἑνὸς ὀρθοδόξου τὸ δέξασθαι γραμματεῖον ἐν ταῖς χαλεπαῖς ἡμέραις ταύταις, μὴ ὅτι γε ἐκ πολλῶν ἐπὶ τὸ αὐτὸ συνεληλυθότων, ξένον πως τῷ καιρῷ, ὡς ἐν χειμῶνι πολύφυλλον ῥόδον, καὶ τῇ ἐμῇ ταπεινώσει χαρίεν ὅτι μάλιστα, ὥστε ἀπ' αὐτῆς τῆς προγραφῆς σκιρτῆσαί μου τὸ πνεῦμα καὶ ἀνθομολογήσασθαι Κυρίῳ τὰ εἰκότα· ὅς καὶ ἐν τῷ παρόντι Ἀχααβικῷ διωγμῷ κατέλιπεν ἑαυτῷ τοσούτους μὴ κάμψαντας γόνυ τῇ Βαάλ. οἶμαι γὰρ τῶν τηνικαῦτα ἰσαρίθμους εἶναι τοὺς νῦν ἀκαμπεῖς οὐ μόνον διὰ τῶν εἰς προὖπτον κειμένων ἐξ ὁμολογίας, ἀλλὰ γὰρ καὶ διὰ τῶν ὧδέ τε κἀκεῖσε διασεσωσμένων ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀποστολικῶς εἰπεῖν, καθάπερ καὶ τὴν ὑμῶν ὁμάδα τὸ τρικόρυφον ὄρος ὡς τρισόλβιον κλέος φέρον ὡραΐζεται.

Χάρις οὖν τῷ θεῷ, τῷ πλουτοῦντι ὑμᾶς σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ· ἐπαινῶ τὴν ἱερὰν φυγαδείαν ὑμῶν, ὑμνῶ τὴν ὀρεινὴν συνοικίαν ὑμῶν, ὅτι, εἰ καὶ τληπαθής, ὅμως θεοποιός. Μωσῆς ἐν ὄρει τῷ Σιναίῳ θεῷ συνωμίλει, Ἠλίας ἐν ὄρει τῷ Χωρὴβ θεὸν ἰδεῖν ὡς δυνατὸν ἠξίωται· Ἰησοῦς αὐτὸς ὁ θεαρχικώτατος εἰς τὸ ὄρος ἄνεισιν ἀνθρωποπρεπῶς προσεύξασθαι. τί τοῦτο; ἐμοὶ δοκεῖ σύμβολον τῆς κατὰ ψυχὴν ἀναβάσεως τὸ θεώρημα εἶναι· ὡς γὰρ τὸ ὄρος ὑπερανεστώς ἐστι τῆς ὑπουρείου πεδιάδος τε καὶ κοιλότητος, τοσούτῳ δὴ μέτρῳ ὁ νοῦς τοῦ προσευχομένου ἄνεισι πρὸς θεὸν διὰ τοῦ μετεώρου τόπου. ὁρᾶτε, ὦ τριπόθητοι, οἷον καὶ ἡλίκον ὑμῶν τὸ ἐνδιαίτημα; μιμνήσκεσθε καὶ ἡμῶν τῶν ἁμαρτωλῶν καὶ χαμοζώων ἐντεῦθεν, ὡς ἂν συναναφθείημεν ὑμῖν τοῖς ὑψιπετέσιν ἀετοῖς Κυρίου.

---

393. a. 817 – 818 6 ἐν χειμῶνι ῥόδον: cf. C. Joret, La rose dans l'antiquité et au moyen âge. Paris 1892, 265

5 1 Cor. 7,5 **10** 1 Reg. 19,18; cf. Rom. 11,4 **13** Hebr. 11,38 **16** Rom. 10,12 sq. **19** cf. Ex. 34,1 sq. 3 Reg. 19,8 sq. **20** Luc. 9,28

C VMT (ll. 57 – 107) PS

2 πατράσι VMPS Sirm 4 τοῦ ante ὀρθοδόξου inser Sirm γραμμάτιον VMS 5 ἐπιτοαυτὸ VMPS 6 πῶς C 7 χάριεν VMPS Sirm τῆς: τῆς τῆς S 8 τῷ ante Κυρίῳ add M 9 Ἀχαβαϊκῷ PSV[ac]M Sirm κατέλειπεν C 10 μὴ P[sscr] Βάαλ VMPS Sirm 11 ἐξομολογίας P 15 φέρων C 16 ἡμᾶς S 19 συνομίλει C ἠλίας C 23 ὑπερανεστός C: ὑπὲρ ἀνεστηκός S ὑπουρίου C: ὑπωρείου cett Sirm τε καὶ C: καὶ τῆς cett Sirm 27 συναναφθείημεν C: συναφθείημεν cett Sirm

Ἀλλ' ἐχέτω μὲν ταῦτα ὧδε, εἰ καὶ ὁ πόθος ᾄττει πλέον λέγειν. τί δὲ εἰς τοσοῦτον ἐληλύθατε ταπεινώσεως μέτρον, παρ' ἐμοῦ τοῦ ἀμαθοῦς μαθεῖν ὧν προετείνατε πεύσεων τὰς ἀποκρίσεις; αὐτοὶ χάριτι Χριστοῦ ἀφ' ἑαυτῶν εἰδότες τὸ δέον· εἰ δὲ μή, πρὸς τῶν προεχόντων καὶ ἀξιώματι καὶ λόγῳ. εἰσὶ γὰρ πλεῖστοι, ὡς ὑπέδειξεν ὁ λόγος, ὀφείλοντες ἐκδιδαχθῆναι. ἵν' οὖν μὴ δόξω λυπεῖν ὑμᾶς, ἅμα τε καὶ δεδιὼς τὸ ἀνήκοον, καθίημι ἐμαυτὸν πρὸς τὸ ἐπίταγμα. ἀλλὰ πρῶτον ἐκεῖνο ἔχω λέγειν, ὅτι ἡ αἵρεσις αὕτη, εἰ καὶ τοῖς προλαβοῦσιν ἐφάνη ἄλλως ἢ καί τισι φαίνοιτο νῦν μεσοπόνηρος οὑτωσί πως καὶ οὐ λίαν χαλεπή, ἐμοὶ γοῦν τῷ ἀμύδρωπι οὐδὲν ἄλλο δοκεῖ ἢ ἄρνησις Χριστοῦ εἶναι· εἰ γὰρ ἐν τῇ εἰκόνι τὸ ἀρχέτυπον ἐκφαίνεται, ὥς φησιν ὁ πάνσοφος Διονύσιος, καὶ εἰ ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον / ἀναβαίνει, ὥς φησιν ὁ Μέγας Βασίλειος, ἐξουδένωται δὲ νῦν ἡ εἰκὼν Χριστοῦ, ἤρνηται, πεπάτηται παρὰ τῶν χριστομάχων, ἄρα ἐν τῇ εἰκόνι αὐτοῦ καὶ διὰ τῆς εἰκόνος ἠρνήθη Χριστός, ἠτιμάσθη, ἀπεδοκιμάσθη ἰουδαϊκῶς· καὶ ἀλλοίως οὐκ ἔστιν ὑπεξαγαγεῖν τὸ θεώρημα. διὰ τοῦτο θρήνων καὶ κοπετῶν ὁ καιρός, διὰ τοῦτο καὶ τοσοῦτοι οἱ ἐνιστάμενοι, οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες, ὡς λογικῶς τε καὶ πραγματικῶς ἀρνουμένου Χριστοῦ, ὅπερ ἐπὶ τῶν πάλαι αἱρέσεων οὐκ ὦπται· λογικῶς μὲν ἐν τῷ φαίειν τοὺς ἀσεβεῖς μὴ οἷόν τε ἐγγεγράφθαι Χριστὸν σώματος χαρακτῆρι, πραγματικῶς δέ, ὅτι καθαιροῦσι πᾶσαν εἰκόνα ἁγίαν Χριστοῦ, τῆς Θεοτόκου, ἀγγέλων, ἁγίου παντὸς καὶ ἁγίας ἐκ πάσης ἐκκλησίας, ἀπὸ παντὸς ἱεροῦ ἀναθήματος, πυρὶ παραδιδόντες, ἐπιτωθάζοντες, γελῶντες τὸ μέγα τῆς εὐσεβείας μυστήριον, βδέλυγμα Χριστὸν ἐγγεγραμμένον σὺν μητρὶ καὶ θεράπουσιν ἀποκαλοῦντες. ὅπερ φρονεῖν καὶ λέγειν καὶ πράττειν Ἰουδαίων ἐστὶ καὶ Ἑλλήνων· οἱ γὰρ Ἄραβες καὶ Σκύθαι αἰδοῖ χρώμενοι οὐδὲν τοιοῦτον ἐφάνησαν πεποιηκότες. πῶς οὖν οὐκ ἄρνησις τῆς οἰκονομίας Χριστοῦ ταῦτα;

Ἀλλ' ἐπὶ τὰς προτάσεις ὁ λόγος. ᾱ. τινὲς ἐξ ἰδίας προαιρέσεως ὑπέκυψαν ἄνευ τοῦ καταναγκάζοντος· β. ἄλλοι μετὰ πληγῶν· γ̄. ἄλλοι δὲ δι' ἀπειλῆς καὶ μόνης· δ. ἕτεροι ἄνευ ἀπειλῆς καὶ βασάνων, δέει

38 Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C) 39 Bas. spirit. 18,45 (PG 32,149 C) 51 1 Tim. 3,16

33 ἡμᾶς M καὶ om VM 34 δεδειὼς C καὶ post δεδιὼς add VM καθίειμι C 36 οὑτωσί πως om VMPS Sirm 37 ἐμοὶ γοῦν: ἔμοιγ' οὖν M γοῦν: γ' οὖν C 39 εἰ om C 40 ἀναβαίνει C: διαβαίνει cett Sirm 44 διατοῦτο VMPS διατοῦτο VMPS 45 γὰρ post μόνον add M 47 φαίειν S: φαίην CMP: λέγειν V Sirm 49 ἁγίαν om V 51 ἐπιτῶ θάζοντες C 57 ἀλλ': hic inc epist in T, inscriptione decurtata ᾱ om Mi: in marg M Sirm 58 β̄ om Mi: in marg M Sirm γ̄ om Mi: in marg VM Sirm 59 δὲ om VMTPS Sirm δ̄ om Mi: in marg VM Sirm

καὶ μόνον· ε̄. ἄλλοι διὰ τὸ μὴ ἐκπεσεῖν τῶν ἰδίων· ς̄. τινὲς δὲ καὶ κατὰ ἄγνοιαν. τούτους ἐπιστρέφοντας πῶς δεῖ ἀποδέχεσθαι; ἐπιδεικνυμένους δῆλα δὴ ἀξίους καρποὺς τῆς μετανοίας ἅπαντας. τίνες δὲ οὗτοι; ἀποχὴ τῶν ἁγιασμάτων μετὰ προσκλαύσεως καὶ ἐπιπόνου δεήσεως, ἐπὶ μὲν τῶν πρώτων τριετίζουσα, ἐπὶ δὲ τῶν δευτέρων διετίζουσα· ἐπὶ τῶν τρίτων καὶ τετάρτων καὶ πέμπτων ἡ τῶν πρώτων, ἐπὶ τῶν ἕκτων ἐνιαυσιαία. μετὰ τὴν ἐκπλήρωσιν πῶς δεῖ ἔχειν αὐτούς; εἰ μὲν ἐκ τοῦ ἱερατικοῦ πληρώματος καὶ οὐχ ὑπέγραψεν, μηκέτι μετέχων τῆς ἀσεβοῦς κοινωνίας τις, ὡς ἐν ᾧ ἐτέτακτο κλήρῳ· εἰ δὲ καὶ ὑπογράψας εἴη, ὡς εἰργόμενος τῆς ἱερουργίας ἕως ὀρθοδόξου συνόδου, κοινωνῶν δ᾽ οὖν ὅμως τῶν ἁγιασμάτων. τοῖς πάντῃ ἀσεβέσιν, εἰ ἔξεστιν κατὰ ἀνάγκην δέους ἕνεκα ἢ διὰ λιμὸν ἢ καὶ ἄνευ ἀνάγκης ἢ καὶ διὰ βίαν ἄλλοις κοινωνοῦσιν, ὀρθοδόξους δὲ ἑαυτοὺς ὁμολογοῦσι συνεσθίειν; οὐδαμῇ οὐδαμῶς, εἰ μή τί γε τοῖς ἐσχάτοις, οὐκ ἀδιαφόρως, ἀλλ᾽ ἐξ ἀναγκαίου τινὸς τρόπου ἅπαξ ἢ δίς. εἰ τῶν τούτοις ἐδωδίμων τὰ λείψανα ἐσθίειν κατὰ ἀνάγκην ἢ καὶ ἄνευ ἀνάγκης, διότι προεσχημάτισται ἐν αὐτοῖς ὁ σταυρός; εἰ μὲν παρὰ ἱερέως, οὐδαμῶς· εἰ δὲ μή, μεταληπτέον κατὰ βίαν. εἰ δεῖ εἰς εὐκτήριον αὐτῶν εἰσέρχεσθαι εὐχῆς χάριν καὶ εἰ δεῖ τὴν ἁγίαν ἀναφορὰν ἐν αὐτῷ ἐπιτελεῖν μετὰ ἰδίας τραπέζης; οὐδαμῶς ἑκάτερον. εἰ δεῖ χαίρειν αὐτοῖς λέγειν καὶ ἀσπάζεσθαι; οὐδαμῶς, ὥς φησιν ὁ Μέγας Βασίλειος, ὁ Κύριος ἐκώλυσεν τὸν κοινὸν ἀσπασμόν· ὥστε τοῦτο κατὰ σύμβασιν, ὡς δὲ ἐξ ἀγάπης καὶ φιλίας φευκτέον, ἵνα πληρωθῇ ἐν τούτῳ· οὐκ ἔστι λέγειν χαίρειν τοῖς ἀσεβέσιν. εἰσί τινες τῶν μοναστηρίων, οἳ οὔτε ἔργῳ οὔτε λόγῳ συνῆλθον, φυγῇ / τὴν σωτηρίαν ποριζόμενοι καὶ πάλιν μετὰ τὴν ὑποχώρησιν τῶν ἀσεβῶν ἀνθυποστρέφοντες. εὖ ἂν ἔχοι· εἰ δὲ καὶ ἐλειτουργήθη ἐκκλησία ὑπὸ τῶν ἀσεβῶν, εἰ μὲν ἅπαξ, εἰσίτωσαν, ἐπιτελοῦντες ἐν αὐτῇ τὰς προσευχὰς μόνον, εἰ δὲ πολλάκις, ὑποχωρείτωσαν ταύτης πόρρω. κοσμικοί τινές εἰσιν ἢ καὶ μοναχοί, σφοδρῶς μυσαττόμενοι ἢ καὶ

83 Is. 57,21; cf. 2 Joh. 10; Bas. ep. 44,1 (PG 32,361 A = I 109 Courtonne)

60 ε̄ om Mi: in marg VM Sirm ς̄ om Mi: in marg VM Sirm καὶ[2] om VMT 61 κατ᾽ T 62 δηλαδὴ omnes: distinxi 63 οὗτοι: τούτων T 66 δὲ post μετὰ add T 67 ἐκ τοῦ: ἐξ Sirm ὑπέγραψε VMTPS Sirm 69 οὗ post ἕως inser T 70 ἐλθούσης post συνόδου add T κοινωνοῦν T οὖν om T 71 ἔξεστι VMTPS Sirm 72 δ᾽ M ἑαυτοὺς CM: αὐτοὺς PT Sirm: αὑτοὺς cett Mi 74 ἐξαναγκαίου S 77 δεῖ: δὲ Mi 78 αὐτῶν om T προσέρχεσθαι T 79 ἐπιτελεῖν om T 81 ἐκώλυσε VMPS Sirm 82 δὲ V[sscr]: om M 84 voces οὔτε ἔργῳ post λόγῳ transp VMTS[ac] 86 ἡ ante ἐκκλησία add VPS Sirm 87 μὲν: μὴ Mi 89 εἶσι VT ἢ[1] om VT

ἀποδυρόμενοι τὴν ἀσέβειαν, διὰ δὲ τὰς ἀπειλὰς τῶν ἀθέων προσέρχονται τῇ αὐτῶν κοινωνίᾳ, οἰόμενοι αὐτὴν δηλητήριον εἶναι, αἰτοῦνται δὲ εὐχὴν ὑπὲρ αὐτῶν ἡμᾶς ποιεῖσθαι· εἰ ἔξεστιν αὐτοῖς μεταδιδόναι τῶν θείων μυστηρίων; εὐχὴν μὲν ποιεῖσθαι ἐξόν, οὐ μὴν μεταδιδεῖν, κἂν ὅ τι ἂν λέγωσιν ἢ πράττωσιν. σταυροὺς ἐὰν ἱστῶσιν κατὰ τὰς λεωφόρους, εἰ δεῖ προσκυνεῖν; οὐ κωλυτέον. εἰ δεῖ τῶν τοιούτων τὰς προσφορὰς προσκομίζειν; οὐδαμῶς.

Ταῦτα οὖν, ὡς ὁ Κύριος κατὰ νοῦν ἐπήγαγεν ἡμῖν, ἐφθεγξάμεθα, οὐ νομοθετικῶς (ἐπεὶ μηδὲ ἐσμὲν τῶν ἱεραρχούντων· αὐτῶν γὰρ τὸ τυποῦν κανονικῶς), ἀλλὰ συμβουλευτικῶς, ἐπεὶ ἐσμὲν ὑμῖν ὁμοταγεῖς καὶ ἐπειδὴ ἐξ ἀπορίας τῶν ἱεραρχικῶς ὀφειλόντων τυπῶσαι ἀναγκασθέντες ὑφ' ὑμῶν ἐληλύθαμεν εἰς τοῦτο. ὑμεῖς δέ, ἁγιώτατοι πατέρες, σύγγνωτε, εἴ τί ἐστιν ἀπαρέσκον ὑμῖν ἐν τοῖς εἰρημένοις. πλὴν ὅτι ὁ ἰατρὸς καὶ ψυχῆς καὶ σώματος καὶ προσώπου ποιότητα καὶ καιροῦ ἰδιότητα, ἕξιν τε καὶ πάθος, δύναμίν τε καὶ ἀδράνειαν ἐπιτηροίη καὶ οὕτω φαρμακεύοι καὶ ἰᾶται, ἐλλείψεσι καὶ προσθήκαις χρώμενος· ἃ ἐν κεφαλαίῳ περιλαβεῖν οὐχ οἷόν τε κανονικῶς, ὡς καὶ αὐτοὶ οἱ ἅγιοι πατέρες ἡμῶν ὡρίσαντο.

394. Λουκιανῷ τέκνῳ

Ὁ ἀγαθὸς θεὸς ἡμῶν, εἰδὼς τὸ τῆς ἀνθρωπίνης φύσεως εὐόλισθον καὶ ὅτι, εἰ καὶ δοκεῖ τις κατ' ὀρθὸν πορεύεσθαι, ὡς οὐκ οἶδεν μικρὸν ῥαθυμήσας ὑποσκελίζεται, φιλανθρώπως ἐδωρήσατο τὴν μετάνοιαν, ἀνακαλουμένην τὸν ἄνθρωπον τῆς πτώσεως καὶ εἰς τὸ ὑγιὲς ἀποκαθιστῶσαν. ἐπεὶ οὖν καὶ αὐτός, ἀδελφέ μου, πέπονθας ὃ πέπονθας καὶ τὸν τῆς ἀξιολόγου μετανοίας καιρὸν πεπλήρωκας, πολλῇ κατανύξει καὶ πλείστοις δάκρυσιν, ὡς ἀκήκοα, ἐξιλεωσάμενος τὸν θεόν, ἐπιζη-

---

92 καὶ ante εἰ add T 93 μετὰ διδόναι C 94 μετὰ διδεῖν C: μεταδιδόναι cett Sirm ἂν om VMTPS Sirm πράττωσι V Sirm ἱστῶσι VMTPS Sirm 96 προφορὰς T 97 ἡμῖν, ἐφθεγξάμεθα: φθεγγόμεθα T 98 μηδὲ: οὐδὲ T 99 ὑμῖν: ὑμῶν S 101 ὑφ': ἀφ' VT Sirm ἐληλύθειμεν M 103 καὶ[1] om T 105 οὕτως T φαρμακεύει T[pc] 106 καὶ post αὐτοὶ transp M

---

394. a. 818 vel a. 819 ineunte

C VM PS

2 θεὸς ἡμῶν C: ἡμῶν θεὸς cett Sirm 3 κατ' ὀρθὸν VM: κατορθῶν cett Sirm οἶδε VMPS Sirm 8 ὡς ante ἐξιλεωσάμενος inser Mi

τοίης δὲ ἄρτι λύσιν, καθὰ διά τε τοῦ οἰκονόμου καὶ τοῦ παροικονόμου ἐδηλώθη μοι, εἴη σοι αὕτη παρὰ Κυρίου· καὶ ἔσῃ ὑγιαίνων ἐκ τοῦ δεῦρο, υἱέ μου, καὶ χαίρων ἐν Χριστῷ καὶ κατευοδούμενος ἐν αὐτῷ, μηκέτι συμπίπτειν διδοὺς ἐγγυὰς τῷ δεσπότῃ, ἀλλὰ θνήσκειν ὑπὲρ αὐτοῦ, ὡς καὶ αὐτὸς ὑπὲρ σοῦ ἔπαθεν.

Πρότερον μὲν οὖν διὰ γράμματος ὁ ἀνάξιος κλαυθμυρικῶς ἐφθεγξάμην πρός σέ, Ἀδάμ, ποῦ εἶ; τὴν θείαν φωνὴν ὑπειπών, διὰ τὸ / ἐξ ὑψηλοῦ σε βίου οἱονεὶ παραδεισιακοῦ ἐκπεπτωκέναι· νῦν δὲ ἀναγκαῖον ἀποτολμῆσαί με τὸν τάλανα καὶ εἰπεῖν· εἰρήνη σοι, ἀνάστα, Χριστὸς κελεύει, ζῆθι εἰς αἰῶνα.

395. Ἀλβενέκᾳ πρωτοσπαθαρέᾳ

Ἐξένισέν με τὸ γράμμα τῆς εὐγενείας σου οὐκ ὀλίγον, οὕτω μὲν ἐκ φιλοθέου καρδίας ὑπαγορευθέν, οὕτω δὲ ὑπὸ συντετριμμένης καὶ τεταπεινωμένης διαθέσεως προαχθέν, ὥστε δὶς ἐπὶ τὸ αὐτὸ ἀναγνόντα με ἐπιλέγειν· τίς καὶ ὁποία καὶ ἡλίκη ἡ ψυχὴ αὕτη, ἡ ταῦτα φθεγγομένη πρός με τὸν ταλαίπωρον; ὡς δὲ καὶ παρὰ τοῦ γραμματηφόρου ἀνηγγέλη μοι ἅπερ ζώσῃ φωνῇ παρέθου αὐτῷ ἐξειπεῖν, τότε καὶ μᾶλλον ἠγάσθην λίαν καὶ ἐδόξασα τὸν ἀγαθὸν ἡμῶν θεόν, ὃς ἐνέπνευσέν σοι τοιοῦτον διαλογισμόν, καὶ εἰς ἔργον αὐτὸν προαγαγεῖν ἐφιεμένην.

Μέγα τοιγαροῦν τὸ ἔργον, ὃ ἐπεπόθησας, κυρία, καὶ τῶν δυσανύστων, οὐ μόνον διὰ τὸ ὑψηλὸν καὶ οὐράνιον τοῦ βίου (οὐδὲν γὰρ

---

14 γράμματος: ep. 258,2

15 Gen. 3,9

12 ἐγγύας VMPS 13 σου Sirm ἔπαθε VMPS Sirm 14 voces ὁ ἀνάξιος post κλαυθμυρικῶς transp VM 15 σε Sirm 18 ζῆθι εἰς αἰῶνα om M αἰῶνας V

---

395. a. 815 – 819 ineunte

12 Offic. magni habitus (p. 407 Goar) ἡ ἀποταγὴ τοίνυν οὐδὲν ἄλλο ἐστὶν ... εἰ μὴ σταυροῦ καὶ θανάτου ἐπαγγελία; cf. Bas. reg. fus. 8,1 (PG 31,936 B sq.)

C VM PS

1 ἄσπαθαρέᾳ M: πρωτοσπαθαρίῳ V in indice titulorum (f. 189) V[ac]: πρωτοσπαθαρίᾳ V[pc]PS Sirm 2 ἐξένισέ VMPS Sirm 4 προαχθέν: πραχθέν VMP Sirm ἐπιτοαυτὸ VMS ἀναγνῶντά C 8 ἐνέπνευσέ VMPS Sirm 9 σοι om MPS: V[sscr] αὐτὴν VM 11 τοιγὰρ οὖν C

ἄλλο ἡ ἀποταγὴ ἢ σταυροῦ καὶ θανάτου ἐπαγγελία τῷ γε ἀληθινῶς μονάσαντι), ἀλλὰ καὶ διὰ τὸ δεδέσθαι σε ἀνδρί, οὗπερ οὐχ ὡς ἔτυχεν ἔστι διαζευχθῆναι, διὰ τὸ θεοσύναπτόν σοι εἶναι δῆλον ὅτι. τίς οὖν ἀποσυνάψειεν ἢ δῆλα δὴ ὁ συνάψας, ἐπὶ μείζονα ἐπειγμένην προελθεῖν πολιτείαν; δεῖ οὖν, καθάπερ ἡ διαταγὴ τοῦ Ἁγίου Βασιλείου, πρῶτον τὰ πρὸς τὸν ὁμόζυγον εὖ διαθέσθαι· τί τοῦτο; ἀπογυμνῶσαι τὸν λογισμὸν τῆς ἐφέσεως, ὑποδεῖξαι τὸ τοῦ κόσμου μάταιον καὶ ὀνειρῶδες, ὡς οὐδὲν μόνιμον ἐν αὐτῷ, ἀλλὰ παρατρέχον ἴσα καὶ σκιαῖς, κἂν περιχαρές τι, κἂν ἀπολαυστικόν, κἂν πολύολβον, κἂν ἐνήδονον, κἂν βασιλεία αὐτή· ὡσεὶ ἄνθος γὰρ τοῦ ἀγροῦ πάντα ἀφίπταται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ κρίμα ἀπαραίτητον ἐπὶ τῶν προσπαθῶς ζησάντων ἐν τῷ παρόντι αἰῶνι καὶ μὴ κατὰ τὰς ἐντολὰς τοῦ Χριστοῦ· ὅπερ ἐργῶδες ἐκτελέσαι ἐν τῷ κοινῷ βίῳ.

Ταῦτα λάλησον, παρακάλεσον, ἐκμείλιξαι, ὡς ἂν πείσειας αὐτὸν συναιρήσασθαί σοι τὸν σκοπὸν τῆς ἀποταγῆς (τί γὰρ οἶδας, φησί, γύναι, εἰ τὸν ἄνδρα σώσεις;), καὶ τοῦτο ἐπὶ χρόνον ἱκανόν. καὶ εἰ μὲν συνέλθοιεν, εὖ ἂν ἔχοι, εἰ δὲ μή, τότε, εἰ τοσοῦτον ἀνάπτει σε ὁ θεοῦ πόθος, πράττεις τὰ δόξαντά σοι καὶ μὴ βουλομένου τοῦ ὁμόζυγος. ἀλλ', ὡς προείρηται, δυσεξάνυστον τὸ πρᾶγμα, καὶ μάλιστα ἐν ταῖς τοῦ διωγμοῦ ἡμέραις καὶ ὅτι οὐχ ἡ τυχοῦσα αὐτή, ἀλλὰ τῶν ὑπερεχουσῶν καί γε τῶν συναίμων τῇ βασιλευούσῃ· ἐφ' ᾧ καὶ θαυμάζειν ἐστί, πῶς ἐν τῇ ἄγαν εὐδοξίᾳ τοῦ τῆδε βίου ταύτην βδελυσσομένη τὴν ταπείνωσιν Χριστοῦ ἐπιποθεῖς ἐνδύσασθαι. εὐλογητὸς Κύριος ὁ οὕτω πείθων· καὶ γὰρ πρὸς τὴν τοῦ θεοῦ δόξαν ὡς ἀληθῶς βδέλυγμά ἐστι τὰ ἔνδοξα τοῦ ματαίου βίου.

Ἔχου τοίνυν τοῦ καλλίστου βίου σου· ἀκούω γὰρ οἷα ἀγαθουργεῖς καὶ πῶς ἀφιεμένη τὰς βασιλικὰς διατριβὰς σχολάζοις ἐν ἑαυτῇ καὶ ἐν ἀγαθοῖς (ἔστι γὰρ καὶ ἐν τῷ / βίῳ σωθῆναι καὶ μετὰ ἀνδρός), καὶ πάλιν πρὸς τὸ ἑξῆς, ὡς ὁ Κύριος εὐοδώσειεν, οὕτω καὶ διαγίνῃ, μὴ

18 ὁμόζυγον: protospatharius Anastasius? cf. ep. 401,1

22 Ps. 102,15 27 1 Cor. 7,16

13 γε post ἀληθινῶς transp V ἀληθῶς MS 15 ἐστι MPS δηλονότι VMPS Sirm 16 δηλαδὴ omnes: distinxi ἠπειγμένην VMPS Sirm 20 ἶσα VMPS Sirm 22 αὕτη VM 23 κρῖμα PS Sirm ἐπὶ om VM 27 τῶν σκοπῶν M 28 γῦναι M σώσεις M: σώζεις PS 32 οὐχ ἡ: οὐχὶ V Sirm 34 ἔστι Mi (fort recte) πως Mi 39 ἀφεμένη V σχολάζεις MS ἑαυτῇ: αὑτῇ VM 41 οὕτως S

λυποῦσα τὸν ὁμόζυγον, ἀλλὰ μᾶλλον κατακάμπτουσα διὰ τῆς ἐνθέου διαγωγῆς. περὶ τῆς ἀδελφῆς, δεδήλωκα αὐτῇ τὸ παριστάμενόν μοι· περὶ τοῦ οἰκονόμου μου καὶ ἀγαπητοῦ τέκνου, πλεῖστά σοι ἀπευχαριστῶ, συμπαθῶς ἐπειχθείσῃ πρὸς αὐτόν. εὕροις ἔλεος παρὰ Κυρίου.

396. Μαρίᾳ μοναζούσῃ

Ἀνέγνων σου τὴν τιμίαν συλλαβὴν καὶ ἐπέγνων σου τὸν εὐσεβῆ λογισμόν, ὅτι τῆς αὐτῆς τῷ μακαρίῳ ἐκείνῳ πατρὶ διαθέσεως ἀκολούθως ἔχεις ὑπὲρ Χριστοῦ πάσχειν· καὶ εἰκότως, ἵνα φανῇ ὅτι ἡ μία σὰρξ ἓν καὶ φρόνημα κρατεῖ, οὐχ ἑτεροζυγοῦσα περὶ τὴν πίστιν. χάρις οὖν θεῷ, τῷ οὕτως ὑμᾶς διὰ τὸν φόβον καὶ πόθον αὐτοῦ διαζεύξαντι ἀπ' ἀλλήλων μαχαίρᾳ εὐαγγελικῇ σωματικῶς καὶ πάλιν τῷ ἑνὶ πνεύματι καὶ φρονήματι συνάψαντι ψυχικῶς. σπούδασον οὖν, κυρία μου, τῆς ἴσης αὐτῷ μερίδος ἀξιωθῆναι καὶ συντεύξασθαι ἐκεῖ καὶ συνεῖναι εἰσαεί, αἱρουμένην αὐτὸν ὡς ᾑρετίσατό σε· καὶ γὰρ πολλῇ ἀγάπῃ πολλὴν καὶ φροντίδα ἔσχεν ἐν τῇ σωτηρίᾳ σου, ὡς οἶδα κἀγώ, καθότι κοινωνῶν ἦν τῇ ταπεινώσει μου τὰ καθ' αὐτὸν ὡς υἱῷ.

Περὶ τῆς κατὰ ἀνάγκην τοῦ διωγμοῦ ὑποκριτικῆς σου ἔξωθεν κοσμικοφορήσεως πρὸς μικρὸν χρόνον καὶ τόπον, εὕρηται ἐν τοῖς ἁγίοις κατά τινα ἀναγκαίαν ὑπόθεσιν, εἰς δὲ τὸ ἀεὶ οὐδαμῶς. λοιπὸν οὐκ οἶδα τί εἴπω· ἐὰν ἐπιτρέψω ῥῖψαι τὴν ὑπόκρισιν, εἴποις ἂν μὴ φέρειν τὸ μαρτύριον· ἐνεχθήσῃ γὰρ καὶ εἰς βάσανα· ἐάν τε πάλιν ἐπαφήσαιμι οὕτως, οὐκ ἔχω γραφικὴν μαρτυρίαν. δύο τοίνυν κακῶν προκειμένων κρεῖττόν ἐστι κρυπτομόναχον εἶναι ἤ, μὴ φέροντα τὰς πληγάς, κοινωνῆσαι τῇ ἀρνητικῇ αἱρέσει καὶ ἀποστῆναι Χριστοῦ, ἐφ' ᾧ ἔσται ἀεὶ ἡ μερίς σου.

44 μου om VM Sirm 45 ἐπιχθείσῃ P: ἐπ/χθείσῃ S: ἐπαχθείσῃ M Κυρίῳ Sirm

396. a. 818 3 πατρί: Theophanes 15 ἐν τοῖς ἁγίοις: Actis SS. Abraamii Davidis Petri; cf. ep. 358,34 sq.

5 2 Cor. 6,14 19 cf. Aristaen. 1,13 δύο δὲ κακῶν εἰς αἵρεσιν προκειμένων, τὸ μετριώτερον αἱρετέον

C VM PS

5 κρατῇ C 6 τῷ ante θεῷ add VM Sirm 8 ἑνὶ: ἐν M 10 εἰς ἀεὶ C αὐτὸν CM: αὐτῷ cett Sirm 11 πολλὴ ἀγάπη C 15 κοσμοφορήσεως V^{ac}MPS Sirm τόπον: τρόπον Sirm 16 τοαεὶ S 18 καὶ om VM 20 φέρουσαν S

397. Μοναζούση παραινετική

Ὁ παρὼν καιρὸς τοιοῦτος, ὃς ἀναγκάζει ἡμᾶς μεριμνᾶν ὑπὲρ ἀλλήλων διὰ τὸ τῆς ἰσοψυχίας καὶ ὁμοπιστίας ἀξίωμα, ἐπειδὴ ὡς μίαν ἐκκλησίαν, ἤγουν συνοδίαν, συνεκαλέσατο ὁ θεὸς ἅπαντας τοὺς ἀντεχομένους τῆς ἀληθείας καὶ ἐν αὐτῇ ὁμολογοῦντας. καθάπερ οὖν οὐκ ἀκίνδυνον τῷ τῆς αὐτῆς μονῆς ὄντι μὴ ὑπὲρ τῶν συμμαθητῶν φροντιοῦντι, ἢ καθηγουμένῳ τὸ μὴ περὶ τῶν φοιτητῶν ὡσαύτως φροντίζειν, οὕτω δὴ καὶ ἡμῖν πᾶσιν, ἐπειδήπερ, ὡς εἴρηται, μία ἐκκλησία κοινοβιακή ἐσμεν.

Ἐπισκέπτομαί σε διὰ τοῦ γράμματος καὶ ἐρωτῶ πῶς δὴ ἔχοις ἐν Κυρίῳ, ὦ ἀδελφὴ πνευματική, εἰ ἐμμένεις ἐν τῇ καλῇ ὁμολογίᾳ Χριστοῦ, εἰ τηρεῖς τὴν παρακαταθήκην τῆς πίστεως διὰ Πνεύματος Ἁγίου ἀσφαλῆ, εἰ κρατύνῃ ἐν θεῷ, μὴ πτυρομένη ἀπὸ τῶν ἀσεβῶν. / εὖγε, εὖγε· στηριχθείης ἔτι πλειόνως καὶ τοσοῦτον, ὡς ἂν ᾄδειν σε σὺν τῷ ἁγίῳ Δαυίδ· οὐ φοβηθήσομαι ἐν τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. καὶ γὰρ ὁ ὡς ἀληθῶς βεβαιόπιστος ἀμετακίνητός ἐστι πάμπαν τῆς ἀγάπης Χριστοῦ, ἧς οὐ θλῖψις, οὐ στενοχωρία, οὐ λιμός, οὐ διωγμός, οὐ κίνδυνος, οὐ μάχαιρα χωρίζειν δύναται. ταύτῃ τῇ πεποιθήσει οἱ ἅγιοι πάντες ἐτελειώθησαν, τῇ αὐτῇ καὶ ἡ σὴ τιμιότης εἴη· οὐ γὰρ εἶ ἀγενεστέρα Θέκλης, Φεβρωνίας καὶ τοῦ περὶ αὐτὰς μακαρίου χοροῦ. θυγάτηρ θεοῦ, νύμφη Χριστοῦ ὡς κἀκεῖναι καὶ αὐτή, ὑπὲρ οὗ καὶ τανῦν τὸ μαρτύριον ὥσπερ τηνικαῦτα.

Ὑπομείνωμεν οὖν, παρακαλῶ, οὐχ ὅτι ἐν οἷς ἐσμεν θλιπτικοῖς, ἀλλὰ κἂν τὰ προειρημένα ἅπαντα ἐπιστῇ. ἀπροσωπόληπτος ὁ θεός, τῇ αὐτῇ ἀγάπῃ ἀγαπῶν ἡμᾶς ᾗ ἠγάπησεν καὶ τοὺς πάλαι. ταῦτα ὡς ἐν ὀλίγοις, εἰδὼς ὅτι οἴκοθεν καὶ ἐξ ἄλλων τὰς παρακλήσεις ἔχει σου ἡ σεμνοπρέπεια· ὅμως καὶ παρ' ἡμῶν, ἵνα γνοίης ὅτι οἰκειοπαθοῦμέν σοι ὀφειλομένως καὶ ὅπως προσεύχῃ τοῦ στηρίζεσθαι καὶ ἡμᾶς τοὺς ἁμαρτωλούς.

---

397. a. 815 – 819 ineunte

11 1 Tim. 6,12   13 Philipp. 1,28   15 Ps. 45,3   17 Rom. 8,35   25 Gal. 2,6

C VM PS

1 παραινετική in marg Sirm: om Mi   7 τὸ: τῷ PS   ὡς αὔτως C   10 ἔχεις VMS   11 ὦ πνευματικὴ ἐν κυρίῳ ἀδελφή V: ἐν κυρίῳ ὦ πνευματικὴ ἀδελφή M   ἐνμένεις C   13 πτυρομένη: πυρουμένη VM   15 Δαβίδ Sirm   16 ὁ ὡς: ὡς ὁ VM   18 θλίψις omnes: correxi   21 φεβρονίας C   22 τὰ νῦν CVMP   26 ἠγάπησε VMPS Sirm   29 καὶ² om VMS Sirm

398. Βασιλείῳ πατρικίῳ

Τῆς θεοτιμήτου σου συγκαταβάσεως ἔργον οὐ μόνον εἰς ὄψιν σου ἱερὰν ἐνεγκεῖν τὸν ἀδελφὸν ἡμῶν ἐν πνεύματι ὁμιλῆσαί τε τὰ δόξαντα οὕτω προσηνῶς καὶ μετρίως, ἀλλ' ὅτι καὶ τὴν κυρίαν καὶ ἐμοὶ σεβασμίαν πατρικίαν ἅμα τοῖς εὐγενεστάτοις σου βλαστοῖς ἀγαγὼν κλῖναί τε οὐ κεφαλήν, ἀλλὰ γόνυ πρὸς αὐτὸν ἐπιτέτραπας. ὢ τῆς μεγίστης σου ταπεινοφροσύνης· ὢ τῆς φιλοθέου σου συνέσεως· ὢ τῆς ὑπερβαλλούσης σου ἐν ἁμαρτωλοῖς πίστεως. καὶ οὐκ ἀποτεύξῃ τοῦ τῆς εὐαποδεξίας μισθοῦ διὰ ταῦτά τοι πάντα, καὶ ἔτι πλέον εἰς ἀρετῆς λόγον εἰκότως ὁ ἐμὸς δεσπότης καὶ αἵματι καὶ πνεύματι φιλούμενος γέγονας πρὸς πάντων τῶν γνωρισάντων καὶ ὁρώντων σε. καὶ μάρτυρες τοῦ λόγου αἱ κατὰ τὰς ἀξίας ὑπεροχαί σου, ἀρετῆς ἔπαθλον ὑπάρξασαι· ἐφ' ᾗ σὺν τῷ τῆς φύσεως νόμῳ μορφώσας υἱούς τε καὶ θυγατέρας ἅμα τῇ ὁμοζύγῳ εἰκόνας ὄντως ἐναργεῖς τῆς εὐσεβείας σου ἐναπέδειξας, ἐκ τῆς πρὸς σὲ ἐπιφαινομένης αὐτοῖς ὁμοιότητος ἐπιγινωσκομένους ἀψευδέστατα.

Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος τοιοῦτος. τίνα δὲ λόγον παραμυθητικὸν ἐπὶ τῷ πάθει τοῦ τοῦ Προδρόμου ὁμωνύμου ἔρνους σου παγκαλλίστου ἐξεύροιμι ὁ ταπεινός, λεαίνοντα μικρόν τι τὸ τῶν τιμίων ὑμῶν ψυχῶν θλιβερόν; ἐπεὶ ἀπηγγέλη μοι πρὸς αὐτοῦ τοῦ ἀδελφοῦ ὁποῖον τὸ ἄλγος, οἷα τὰ δάκρυα, ἀποστάζοντα θερμὰ ἐξ ὀφθαλμῶν, τάς τε ἀνακλήσεις, ἐλεεινολογίας τε καὶ στοναχήσεις, ὡς ἀκούσαντι ἕκαστα τὰ τοῦ παιδὸς πλεονεκτήματα, παθεῖν τι μικροῦ δεῖν ὁμοιοπαθὲς ὑμῖν. ὢ πῶς ὡμοιώθημεν τῷ θείῳ Δαυίδ, πενθήρη ψαλμὸν ἐπὶ υἱῷ ᾄσαντι. εἰ δὲ ἐκεῖνος οὕτως ἐπὶ ἀτασθάλῳ καὶ ἀντάραντι καὶ δικαίαν δίκην τῆς πατραλοίας δώσαντι, τί δεῖ ἐνταῦθα εἰπεῖν καὶ πηλί/κον ἔρανον τοῦ λόγου ποιήσασθαι; οἴχεται παῖς αὐτὸ τῆς ἡλι-

398. a. 815 – 819 ineunte

27 Bas. ep. 300 (PG 32,1045 A = III 175,24 Courtonne)

C VM PS

2 θεοτιμήτου C: θεομιμήτου cett Sirm (fort recte; cf ep 286,33) 3 ὁμιλῆσαί – 4 μετρίως in marg S 6 κλίναι VS ἐπιτέτραφας Mi ὦ C 7 ὦ C (bis) σου² om VMPS Sirm 9 τοι C: σοι cett Sirm 18 τοῦ τοῦ: τοῦ Sirm 20 ὑμῶν post ψυχῶν transp VMPS Sirm 24 ὦ C ὁμοιώθημεν S θείῳ om VMPS Sirm Δαβὶδ Sirm πενθήρει C: πενθηρῆ Sirm τῷ ante υἱῷ add VMPS Sirm 26 πατρολοίας C δόσαντι C

κίας ἄγων τὸ βιώσιμον, εὐπαίδευτος καὶ τρόπῳ καὶ λόγῳ, εὐμελὴς καὶ ἤθει καὶ φθέγματι, ἀπ᾽ αὐτῆς τῆς ὁράσεως εἰς φίλτρον ἐπισπώμενος τὸν θεώμενον· τὸ μεῖζον, καθαρὸς τὸ σῶμα, λευκὸς τὴν ψυχήν, τὸ μὲν τῇ παρθενίᾳ, ὅπερ ἐστὶν ἀξιάγαστον, μὴ κατὰ τοὺς ῥηξίφρονας ἁλούς, ἀλλὰ τοῦ πάθους ὑπεραλλόμενος, τὸ δὲ τῇ ἀμεθεξίᾳ τῆς νῦν κορυβαντιώσης αἱρέσεως. ὅπερ θαυμασίως εἰς ταὐτὸν συνέδραμεν, ἀφθορία, ἀφθορία ψυχῆς, σώματος. ὡς ἐπαινετέοι οἱ γεννήτορες, τοιούτου παιδὸς πατέρες χρηματίσαντες, ἐνεγκόντες οὐ σωματικῶς μόνον, ἀλλὰ γὰρ καὶ πνευματικῶς εὐφυέστατον ἔρνος. ὡς μακαριστὸς ὁ γόνος, ὁμοῦ μὲν πατρῴζων, ὁμοῦ δὲ καὶ ἑαυτὸν Χριστῷ ἰνδαλματίσας· ὃς τῇ παρθένῳ γεννήσει τὴν παρθενίαν τιμήσας ὀπαδὸν αὐτοῦ ὡς υἱὸν φωτὸς τὸν υἱὸν ὑμῶν εἴληφε.

Τί οὖν; κλαυθμοῦ τὸ δρᾶμα ἢ χαρᾶς; δῆλα δὴ εὐφροσύνης, κἂν ἀνίας ὑμῖν ὁ χωρισμὸς αὐτοῦ ἐνεποίησεν. οὗτος χαίρει χαρᾷ νῦν ἐν οὐρανοῖς πρέσβυς καθιστάμενος. δεῖ οὖν συγχαίρειν ἡμᾶς τῷ χαιρομένῳ ἀπ᾽ ἄρτι, ἀλλὰ μὴ λυπεῖν αὐτὸν ἐν τῷ λυπεῖσθαι. πέρας ὁ λόγος ἐχέτω, τὴν ἐπὶ τῇ πεμφθείσῃ εὐλογίᾳ εὐχαριστίαν καὶ ἀπολογίαν συναποφερόμενος.

399. Γρηγορᾷ λαϊκῷ

Χαῖρε, ὁμολογητὰ τοῦ Χριστοῦ· εἰκότως ἄνθρωπον τοῦ θεοῦ πάλαι προηγόρευσά σε. ἴδε, οὐ διεψεύσθη ὁ ταπεινός μου λόγος, ὑψηλὸς ἐν σοὶ ἀποφανθείς. πῶς ἡ φυλακή; φέρεις καὶ σίδηρα, ὡς ἀκούω, ἔνδον πιεζόμενος τὰς σάρκας. κοπῶδες τὸ πρᾶγμα· πλὴν ἐνδυναμωθείης ἐν Κυρίῳ, ὁσίως καὶ μαρτυρικῶς διαθλῶν. ἔ, ἔ, ἀδελφέ, ποῖος ἐξέλαμψας, ἡλίκον ὑψώθης· εἷς ἐκ πάντων λαϊκὸς (τῶν ὑπὸ τήνδε τὴν ἐξουσίαν λέγω) σὺ μόνος τῷ θεῷ ὁμολογῶν ὑπεδείχθης καὶ ἀνθρώποις καὶ ἀγγέλοις. ὁρᾷς ποῦ σε καὶ κατέχουσιν οἱ διῶκται;

29 Bas. ep. 300 (PG 32,1045 B = III 175,27 Courtonne) 39 Joh. 12,36

34 ἀφθορία post ψυχῆς transp VMPS Sirm (fort recte) ἐπαινετοὶ Sirm 36 γὰρ om VMPS Sirm 38 αὐτοῦ om VMSP Sirm 40 δράμα VM δηλαδὴ omnes: distinxi 42 πρέσβις codd: corr Sirm 43 ἀπάρτι codd Mi: ἀπάρτη Sirm: correxi

399. a. 818 vel a. 819 ineunte

C VM PS

2 τοῦ om S 3 προσηγόρευσά VMPS Sirm 6 ἔ, ἔ C: εὖ εὖ V^{sscr}: ὤ, ὤ cett Sirm: om M 9 ἀγγέλοις καὶ ἀνθρώποις VMPS Sirm καὶ^{3} om S

εἰς τὰ βασίλεια, ὡς μαργαρίτην, ὡς βασιλέα τῶν παθῶν, κἂν οὐχ οὕτως νομίζουσιν. μὴ δή, φίλε, δείσῃς μηδ' αὖ φοβηθῇς μάστιγας ἐρχομένας. ὑποίσειας· Χριστὸς ὁ συγκουφίζων, ὁ συναντιλαμβανόμενος, ὁ συναθλῶν καὶ συντυπτόμενος. ἐὰν οὖν κατεχόμενος ὑπό τινος τῶν ὑπὸ χεῖρα εἶχες τὸν βασιλεύοντα ὑπερασπιζόμενόν σου καὶ ἐν τῷ δέρεσθαι συνδερόμενόν σοι τῇ διαθέσει, οὐκ ἂν ἔχαιρες παθεῖν φιλῶν τὸν κόσμον, ὡς ἂν τῷ πάθει ἐδρέψω ἃ ἐπόθεις χρήματα, δόξας, πρωτεῖα; πόσῳ δὴ ὧδε μᾶλλον τοῦτο νοητέον· ὃ καὶ φιλητέον ἡμῖν ἐξ ἀναγκαίου, ἵνα μὴ τὰ ὀνειρώδη ταῦτα καὶ μάταια, ἀλλὰ τὰ ἀίδια καὶ ἀληθινὰ καὶ ἀνεκλάλητα ἀγαθὰ ἀπολάβοιμεν, φυγόντες τὰς αἰωνίους τιμωρίας, ἃς οἱ ἀπαρνούμενοι Χριστὸν ἐγγράφεσθαι ὑποστήσονται. ὧν ῥυσθείημεν, ἀδελφέ, ὑπὲρ ἀλλήλων προσευχόμενοι.

400. Λέοντι πατρικίῳ καὶ σακελλαρίῳ

Εἰ αὐτὸς φιλεῖς μανθάνειν τὰ τῆς ταπεινῆς / ζωῆς ἡμῶν, ὡς τῇ ἀγαθῇ καὶ φιλαλλήλῳ διαθέσει χρώμενος εἴρηκας, πόσον ἐγὼ ὁ ταπεινὸς προθυμηθείην ἐπιστέλλειν τῇ ἀνυπερβλήτῳ σου ὑπεροχῇ, αὐτὸ τοῦτο μανθάνων τὰς εὐκταίας ὑγείας σου καὶ δοκῶν ὁρᾶν σου τὸ φιλούμενον πρόσωπον καὶ ἀκούειν σου ἡδυτάτης φωνῆς τῇ πρὸς τὸν γραμματηφόρον συγκαταβατικῇ ὁμιλίᾳ καὶ θεωρίᾳ σου (δέχῃ γὰρ διὰ θεὸν εὐμενέστατα καὶ ὁμιλεῖς εὐπρόσιτα καὶ τῷ τυχόντι)· ὃς καὶ ἀπήγγειλέν μοι ὅπως ἐπιστυγνάζεις τοῖς ἤδη κατὰ τὰς ἁμαρτίας ἡμῶν τετολμημένοις, στένων καὶ ἀλγῶν τὴν καρδίαν ἐφ' ἑκάστῳ τῶν γιγνομένων. καὶ εἰκότως· ἄνθρωπος γὰρ εἶ θεοῦ, νοῦν ἔχων ἱερόν, ψυχὴν χριστοφιλῆ, γνῶσιν θεοτελῆ, διάνοιαν ἐμμελῆ, δόξαν εἰλικρινῆ ἐν οἷς σφαδάζεις, μὴ δυνάμενος βοηθῆσαι τοῖς πράγμασι κατὰ

11 νομίζωσι VMPS Sirm μὴ δή: μηδὲ Sirm 12 σὺν ἀντιλαμβανόμενος C 13 ὁ CM: ὡς cett Sirm συντιπτύμενος C (an συντυπτήμενος scribendum?) 14 post εἶχες duas litt eras V βασιλεύοντα: βασιλέα VM ὑπὲρ ἀσπιζόμενόν C 15 καὶ — σοι in marg C σὺν δερόμενόν C σοι: σου PS 17 ὧδε VM 18 ἐξαναγκαίου C

400. a. 818 vel a. 819 ineunte

C VM PS

1 καὶ σακελλαρίῳ om S 6 τῆς ante ἡδυτάτης inser VMPS Sirm 9 ἀπήγγειλέ VMPS Sirm 11 τοῦ ante θεοῦ inser V 12 εἰλικρινῇ S

τὸ εἰωθός, ἀλλ' ὁρῶν οὕτως κινδυνεύουσαν τὴν ἐκκλησίαν, ἣν περιεποιήσατο Κύριος διὰ τοῦ οἰκείου αἵματος. ὦ δέσποτα, εἰς οἷα δεινὰ ἐφθάσαμεν καὶ ἡλίκα κακὰ τεθεάμεθα. ἀμοιβαὶ ταῦτα προλαβόντων ἁμαρτημάτων· ἐπειδὴ γὰρ οὐκ ἐδοκιμάσαμεν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει διὰ φυλακῆς τῶν ἐντολῶν αὐτοῦ, ἀλλ' ἐλύσαμεν οὐ μίαν ἀλλὰ καὶ πολλὰς καὶ ἰδίᾳ καὶ δημοσίᾳ σχίσαντες τὸ εὐαγγέλιον τοῦ Χριστοῦ (οἶσθα, ὁ σοφός, ἃ λέγω), παρέδωκεν ἡμᾶς ὁ θεὸς ἐν οἷς πάσχομεν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν, καί γε οἱ δοκοῦντες εἶναί τι. ὥστε μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς οἱ ἀσεβοῦντες ὡς ἄρα εὐσεβοῦντες, ἀλλὰ καὶ λίαν γινωσκέτωσαν Χριστὸν ἀρνεῖσθαι τῇ ἀθετήσει τῆς σεπτῆς αὐτοῦ εἰκόνος· ὃς ἔτι ἀναβάλλεται ἐπαφεῖναι τὴν ἐκδίκησιν φειδοῖ καὶ ἐλέῳ φιλανθρωπίας καὶ μετανοίας, οἶδεν δὲ ἐν τέλει ἀμύνασθαι τοὺς ἀνεπιστρόφους.

Αὐτὸς οὖν προσεύχου ὡς θεοφιλὴς τὴν τῶν δυσχερῶν λύσιν, ἀλλὰ μὴ ἡμῖν ἐπίτρεπε, οἳ οὐκ ἀρκοῦμεν κἂν περὶ τῶν οἰκείων ἁμαρτιῶν ἐξιλεοῦσθαι τὸν ἀγαθὸν θεόν· ὅμως, ὅτι καὶ ἡμεῖς αἰτούμεθα.

401. Ἀναστασίῳ πρωτοσπαθαρίῳ

Ὡς καλὴ ἡ φιλία, τά τε ἄλλα καὶ ὅτι ἀποῦσα ὡς παροῦσα τοὺς φιλουμένους εὐεργετεῖν εἴωθεν. τοιαύτη δὴ ἡ περιφανής σου καὶ ἀγάπη καὶ εὐσέβεια πρός με τὸν δύστηνον ἔκπαλαι καὶ μέχρι τοῦ δεῦρο καὶ παροῦσα κατ' ὀφθαλμοὺς καὶ ἐν τοσούτῳ ἀπειροπληθεῖ μήκει διεστῶσα, ἀπὸ Σικελίας με εὐεργετοῦσα ἐν τῷ Βυζαντίῳ ὄντα καὶ ἀπὸ τοῦ Βυζαντίου ὧδε κἀκεῖ περιωρισμένον, ὥσπερ καὶ τανῦν. καὶ τί τοῦτο, ὅτι εἰς ἄνθρωπον ἁμαρτωλὸν καὶ ἀνάξιον τῆς εὐγενείας σου οὕτω πράττεις; πλὴν ὅτι ἀγαπῶντά σε λίαν διὰ τὴν ἐν ἅπασιν ἀρετὴν καὶ φιλοθεΐαν σου, ἣν ᾄδει οὐ μόνον Σικελία καὶ ἡ τίσδε χώρα καὶ τίς, ἀλλὰ γὰρ καὶ αὐτὴ ἡ βασιλεύουσα πόλις. διὰ τοῦτο

---

14 Act. 20,28 **17** Rom. 1,28 **20** ibidem **21** 1 Cor. 11,32

14 οὕτω VMPS Sirm **25** οἶδε VMPS Sirm

---

401. a. 816 – 819 ineunte **10** ἡ τίσδε καὶ τίς: cf. Speck, Jamben 172

C VM PS

3 εἴωθε VMPS Sirm 5 ἀπειροπλήθη VMPS Sirm 7 κἀκεῖσε Sirm περιορισμένον C τὰ νῦν VMP 11 γὰρ om VMPS Sirm διατοῦτο VMPS

καὶ βασιλεῦσι σὺ φιλητὸς καὶ τοῖς ἐν τέλει, καὶ αἱ ἀξίαι σοὶ ἀπὸ ἀρετῆς. οὕτω φιλῶν τὸν θεὸν πεφίλησαι καὶ ὑπ' αὐτοῦ καὶ παρὰ τῶν αὐ/τοῦ.

Ἐγὼ δὲ ὁμοῦ μὲν ἀπόθητος, ὁμοῦ δὲ καὶ ὀρφανός. ὁ πατήρ μου ἐγκατέλιπέν με χωρήσας πρὸς Κύριον, καθὰ πάντως διέγνως καὶ αὐτός, ὡσαύτως καὶ ὁ Καλόγηρος. ὁ ἀδελφὸς καὶ ἀρχιεπίσκοπος μόνος μοι ἐγκαταλέλειπται· ἀλλὰ καὶ οὗτος διὰ τὰ νῦν κατειληφότα ἡμᾶς δεινὰ διεσπασμένος λίαν πόρρω. στενά μοι ἑκατέρωθεν, ὅμως ὅτι διὰ Χριστὸν καὶ λίαν γλυκεῖα καὶ εὐρύτατα. ἀλλὰ τί πρὸς τὸν κλύδωνα τῆς ἀπιστίας, ἐφ' ᾧ τὸ παγκόσμιον ὅσον τὸ κατὰ τὴν καθ' ἡμᾶς ἐξουσίαν ναυάγιον; ἴδε, δέσποτα, εἰς οἷα πονηρὰ ἐταμιεύθημεν, οὐδὲν ἢ μικρόν τι ἀποδέοντα ἰουδαϊσμοῦ, ἡνίκα ἡ εἰκὼν Χριστοῦ, τῆς τε ἁγίας Θεοτόκου καὶ παντὸς ἁγίου ἠθέτηται, ἐξουδένωται, ἐνυβρίζεται· αὐτὸς γὰρ Χριστὸς σὺν μητρὶ καὶ θεράπουσίν ἐστιν ὁ ταῦτα ὑφιστάμενος, κἂν οὐ δοκῇ τοῖς ἀρνουμένοις.

Ἀλλὰ σὲ Κύριος φυλάξειεν ἐν τῷ ὀρθῷ φρονήματι ἀκαταβάπτιστον, εἰ καὶ τοῖς αἱρετικοῖς κύμασι καταρραντιζόμενον ἔξωθεν (ἐπεὶ οὐχ οἷόν τε διαφυγεῖν σε παντάπασιν, ἐν μέσῳ ἐνστρεφόμενον), καὶ τὸν ὑπὲρ τῆς ἐμῆς ταπεινώσεως μισθόν σοι παράσχοι πολυπλασίονα ὧδέ τε καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

402. Τοῖς εἰς τὰ Στουδίου ἀδελφοῖς

Χαίρετε ἐν Κυρίῳ, ἀδελφοὶ καὶ πατέρες, χαίρετε, στρατιῶται τοῦ Χριστοῦ, χαίρετε, τριὰς ἀδελφική, τῆς Ἁγίας Τριάδος τὴν χάριν καταπλουτήσαντες, ὄντως ἄξιοι τοιούτων χαιρετισμῶν, ὅτι διὰ Χριστὸν φέρετε γενναίως τὴν δεινοτάτην φυλακήν, ὑπὸ Λεοντίου τοῦ ἀλάστορος κολαζόμενοι. ὢ τῆς ἀποστασίας τοῦ ἰουδαιόφρονος· εἰ

15 πατήρ: Platon 17 Καλόγηρος: de morte Studitae Calogeri cf. ep. 72,23

12 ἀπ' Sirm 16 ἐγκατέλιπέ VMPS Sirm 17 ὡς αὔτως C Καλόγηρως VMPS Sirm 20 γλυκέα VMPS Sirm (sed cf app cr ad ep 1,75) 25 ὑβρίζεται V 29 στρεφόμενον VMPS Sirm

402. a. 818 exeunte vel a. 819 ineunte 6 ἰουδαιόφρονος: ad hanc vocem cf. Martin, History 34 adn. 4

2 Philipp. 3,1 2 Tim. 2,3

C VM PS

6 ὦ C

θὴρ ἦν ἄγριος, τοσούτοις χρόνοις ἐκκενῶν τῇ κακώσει καὶ πίνων τὸ αἷμα ὑμῶν, ἐκορέσθη ἄν. ὁ δὲ μένει ἀκόρεστος αἱματοπότης, ἀγριούμενος ὁ δαιμονῶν, οὐ λαμβάνων αἴσθησιν ἐλέους, οὐκ οἰκτιρμὸν φιλανθρωπίας εἰς ὑμᾶς τὰ ἀρνία τοῦ Χριστοῦ, ἀλλ' ἐκθλίβων καὶ παντὶ τρόπῳ μηχανουργῶν σὺν τῷ σατὰν καταπιεῖν ὑμᾶς, ἵνα ἐγκαυχήσηται ὁ δράκων, ἵνα πτοήσῃ δι' ὑμῶν καὶ ἡμᾶς πάντας. ἀλλ' οὐδαμῶς· πιστὸς γὰρ ὁ θεός, ὅς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. ἀναμνήσθητε τῶν ἀπ' αἰῶνος ἁγίων, ὅτι οὐδεὶς ἄνευ πειρατηρίων καὶ πολλῶν θλίψεων εὐηρέστησε τῷ θεῷ· ὁ μὲν ἐπρίσθη, ὁ δὲ ἐλιθάσθη, ἄλλος πυρίκαυστος γέγονεν, ἕτερος ἀπετυμπανίσθη. καὶ ποῦ καιρὸς ἐξαριθμεῖν τὸ περικείμενον ἡμῖν νέφος τῶν μαρτύρων;

Ὧν ὄντες καὶ ὑμεῖς κοινωνοὶ καὶ σύναθλοι χαίρετε, ἀδελφοί μου, χαρᾷ ἀνεκλαλήτῳ, βασιλεύοντες κατὰ τῆς αἱρέσεως, κατὰ τῶν παθῶν. σὺ ὁ φερωνύμως καρτερόψυχός μου Καρτέριος, σὺ ὁ ἐν ὑπομονῇ δεδαψιλευμένος ἀφθονώτατα Ἀφθόνιος, σὺ ὁ εὐσθενημένος τῇ θείᾳ ἀγάπῃ ἀληθέστατα Ἀγάπιος. τὸ ζοφῶδες τῆς φρουρᾶς πρόξενον ὑμῖν τοῦ αἰωνίου καὶ ἀπροσίτου φωτός, ἡ λιμοκτόνησις τῆς τρυφῆς τοῦ παραδείσου, ἡ γυμνήτευσις τοῦ / τῆς ἀθανασίας περιβολαίου, ἡ μόνωσις τῆς μετὰ θεοῦ διαγωγῆς, ἡ τῆς κόμης ἄκαρσις τῆς εὐπρεποῦς θεομορφίας, εἰς τὸ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτρίζεσθαι. οὐκ ἔνι χαρὰ ταῦτα; οὐκ ἔνι ἀγαλλίασις, πάσης ἀγαλλιάσεως ὑπεραίρουσα; τάχα ὀφείλομεν καὶ ἀνιᾶσθαι, ὅτι μὴ καὶ εἰς ξύλον ὁ ποῦς καὶ ἅλυσις περικειμένη· ὅσον γὰρ πλεονάζει τὰ παθήματα, τοσοῦτον καὶ ἡ παράκλησις τῆς δόξης τοῦ θεοῦ.

Ταῦτα ἐν ὀλίγοις, εἰδὼς ὅτι οἴκοθεν ἔχετε τὴν ὑπομονήν, παρεκάλεσα ὑμᾶς, φίλτατοι· ὑμεῖς δὲ ἀντιδοίητέ μοι σὺν τῷ συνόντι Νικολάῳ, τῷ ἀδελφῷ ἡμῶν, ὃς ὑμᾶς καὶ προσαγορεύει, τὰς ἱερὰς προσευχὰς εἰς τὸ σῴζεσθαι ἡμᾶς.

---

13 1 Cor. 10,13 **18** Hebr. 12,1 **21** 1 Petr. 1,8 **32** 2 Cor. 1,5

---

11 σατᾶν codd Sirm **16** θλίψεων ante πολλῶν transp M **17** ἐπρήσθη VM **22** ὁ^{2} om MP: V^{sscr} **23** ἀφθονώτατος VMPS Sirm (sed cf sq ἀληθέστατα) **24** ἀληθέστατος VM **26** γυμνίτευσις M **30** ἀνιάσθαι C **31** ἄλυσις S Sirm **35** μοι post συνόντι add S **36** ὑμῶν S

403. Μοναζούσαις

Χρέος, εἴπερ ἄλλο τι, ἐμοὶ τῷ ταπεινῷ ὑμᾶς τὰς τοῦ Κυρίου ἀδελφὰς καὶ μητέρας κατὰ τὸ ἀληθές, ὡς αὐτὸς ἔφησεν, ἡ ἀλήθεια, λόγῳ παρακαλεῖν καὶ παραινέσει ἀλείφειν, ὑπομενούσας διὰ Χριστὸν καὶ στέρησιν μητρὸς πνευματικῆς καὶ διάζευξιν ἀλλήλων καὶ μονῆς εὐαγοῦς ἀφαίρεσιν καί γε φυλακῆς τήρησιν, ἤδη προμαστιχθείσας ὁμολογίᾳ ἀληθείας. ἀλλά τι τοσοῦτον εἴπω, ἐπαίρων ὑμῶν τὸ ἀξιόχρεων ἐγκώμιον· μιᾶς μονῆς ὅλη ἀδελφότης τριακοντάριθμος ἐν τῷ παρόντι χρόνῳ, ὅτε ἐξετράπησαν ὁμοῦ μὲν ἄρχοντες καὶ ἀρχόμενοι, δέει θανάτου παρακρουσάμενοι τὸν τοῦ Κυρίου λόγον, ὁμοῦ δὲ μονάζοντες καὶ μονάζουσαι, εἰ καί τινες ὀλιγοστοὶ ὑπελείφθησαν, ὁμοψυχῆσαι οὕτως καὶ τὸν ὑπὲρ Χριστοῦ ἄεθλον ἀναδήσασθαι, τοῦτο τοῖς πάλαι χρόνοις παραβλητέον· τῶν Ἁγίων Τεσσαράκοντα ἡ ὁμοίωσις ἤ τισιν ἄλλοις τῶν μακαρίων ἀθλοφόρων ἐξεικονιζόμενον. ὡς μακάριαι ὑμεῖς, μία τῆς μιᾶς τῷ διαπύρῳ ζήλῳ ὑπερβάλλουσαι καὶ πᾶσαι ὁμοῦ ἀλλήλας παραθήξασαι εἰς τὸ τῆς ὁμολογίας στάδιον. ἄξιον θέαμα ἀγγελικῆς χορείας, μαρτυρικῆς ὁμηγύρεως ἐπέραστον θεῷ, ὑπὲρ οὗ καὶ τὰ παθήματα.

Δεῦρο δὴ οὖν, θυγατέρες τῆς ἄνω Ἱερουσαλήμ, κλήματα τῆς ἀληθινῆς ἀμπέλου, μαθήτριαι ἀψευδῶς τοῦ λόγου, ἀγαλλιασώμεθα θεοπρεπῶς, ἀνθομολογησώμεθα τῷ δυναμώσαντι ἡμᾶς Χριστῷ ὑποῖσαι τὰ φθάσαντα, εἶτα καὶ πρὸς τὰ μέλλοντα παρασκευασώμεθα. τί τοῦτο; κἂν αὖθις μάστιγες, κἂν δεσμά, κἂν πῦρ, κἂν ξίφος, μηδαμῶς ἀναδυῆναι, ἀλλὰ πάντα προθυμηθῆναι ἐνεγκεῖν σὺν Χριστῷ· ἰσχύσομεν γάρ. ἐπείπερ εἴρηκεν· τῷ πιστεύοντι πάντα δυνατά. ὁρᾶτε οἷα τὰ ἐγκώμια; τί λοιπὸν τὰ μέλλοντα ἀνταποδόματα, βασιλεία οὐρανῶν, χαρὰ ἀνεκλάλητος; μή τις οὖν ὑποπίπτουσα τῷ σατανᾷ, μή τις φιλόζωος, ὡς εἷς τῶν τεσσαράκοντα, ἐκ τῶν τριάκοντα. ἐκεῖνοι τῆς ἐγκρατείας τὸ ἀπεικόνισμα, ὑμεῖς τῆς Ἁγίας Τριάδος τὸ ὑποτύπωμα, τριαδικῶς δεκατούμενον.

Τοιαύτη ἡ οὐδαμινὴ ἡμῶν παράκλησις· ὑμεῖς δὲ ἀντιδοίητέ μοι τὰς προσευχάς, ὦ μητέρες τρισόλβιοι, εἰς σωτηρίας ἐφόδιον. /

---

403. a. 818 vel a. 819 ineunte

25 Marc. 9,23 27 1 Petr. 1,8 28 Bas. hom. in quadr. mart. 6 (PG 31,520 A)

C VM (ll. 1–6 et 30–32) PS

6 καίγε Sirm γε: hic desin pars prima epist in M (exciso folio) 7 ἀξιόχρεον C 21 ὑμᾶς VPS[pc] Sirm 24 ἰσχύσωμεν C 25 εἴρηκε VPS Sirm 29 ἀπ' εικόνισμα C 30 δεκατούμενον: hic inc pars altera epist in M 31 οὐδαμεινὴ C

404. Κανονικαῖς

Καὶ ἀπὸ τῶν προλαβόντων ἱκανὴν ἀπόδειξιν τῆς εὐσεβοῦς ὑμῶν πρὸς τὴν ταπείνωσιν ἡμῶν διαθέσεως εἰλήφαμεν, νῦν δὲ καὶ μάλα, ὡς ἐκστῆναι ἡμᾶς τῷ ὄντι, διαβλέποντας τὰς δωρεὰς ὑμῶν ὁπόσαι καὶ ἡλίκαι, ἔπειτα καὶ ἐκδιδαχθέντες παρὰ τοῦ γραμματηφόρου, αὐτοψεὶ ὑπειληφότος ὅση ἡ φειδὼ καὶ ἡ φροντὶς περίεστιν ὑμῖν ἐλεεῖν, οἰκτείρειν, τρέφειν, ποτίζειν, ἐνδιδύσκειν, εἴ τι ἄλλο ἐπιτήδειον ζωῆς εἰς τὴν εὐτέλειαν ἡμῶν ἐπειγομέναις ποιεῖν καὶ ἐκζητούσαις μαθεῖν εἰς τὸ τελεῖν. ἆρα οὖν οὐκ εἰκότως εὐχαριστεῖν με ἔστιν ἐν τούτοις τῷ θεῷ, μητέρας εὑρηκότα καὶ ἀδελφὰς πνευματικάς; ἆρα οὐκ ὀφειλομένως πρέπον μοι ὕμνους ὑμῖν ἀναθεῖναι, ἐκζητούσαις θεὸν ὁλοκαρδίως;

Χαίρετε, μητέρες καὶ θυγατέρες ἐν Κυρίῳ, χαίρετε, φιλεργάτιδες τῶν εὐαγγελικῶν προσταγμάτων, χαίρετε, κρίνα τοῦ ἀγροῦ τοῦ νοητοῦ, ἐν μέσῳ ἀκανθῶν ἐνειμέναι κατὰ τόπον, κατὰ δὲ τρόπον τῆς αἱρετικῆς ἀκανθώσεως πορρωτέρω θέουσαι· χαίρετε, ἡ καλὴ ξυνωρίς, ἐν ἀλλήλαις ἐχόμεναι καὶ δι' ἀλλήλων πρὸς θεὸν συνδεσμούμεναι. ἡλίκη ὑμῶν ἡ κατὰ θεὸν ὁμόνοια, ἡ ἀγαπητικὴ σύνδεσις, ἡ μοναδικὴ βίωσις. χαῖρε, ἡ κυρία τῆς κυρίας, ἡ μήτηρ τῆς μητρός, ἡ καθηγουμένη τῆς καθηγουμένης, ὁμοῦ μὲν ἄρχουσα, ὁμοῦ δὲ καὶ ἀρχομένη· ὡς καλή σου ἡ ἐργασία καὶ τὸ ἐπιτήδευμα, ἵνα καὶ τὸν ἐξ ὑποταγῆς μισθὸν ἐρανίζῃ καὶ τῇ προεστώσῃ ἀσφάλεια ὑπάρχῃς. χαῖρε, ἡ καθηγουμένη καὶ ὑποτασσομένη, τὸ μὲν τῶν πολλῶν, τὸ δὲ τῇ μιᾷ· μακαρία σου ἡ σύνεσις, κυβερνῶσα καὶ κυβερνωμένη καὶ εἰς λιμένα σωτηρίας ἀπευθυνομένη.

Βραχέα τὰ ἐγκώμια, ἀλλ' ἐξ ὀλίγων τὰ πολλὰ συνεξακούεται. ἀνταποδῴη ὑμῖν Κύριος τὸν ὑπὲρ ἡμῶν μισθόν, τὸν ὑπὲρ τοῦ οἰκονόμου, τὸν ὑπὲρ οὑτινοσοῦν ἄλλου εὖ πανθάνοντος. φυλάξατε ἔτι ἑαυτάς, παρακαλῶ, τῆς ψυχοφθόρου αἱρέσεως, ἧς ἡ κοινωνία ἀλλοτρίωσις Χριστοῦ. τὴν πολιτείαν ὁμοῦ φαιδροτέραν ἀπεργάζοισθε, τὴν χρυσῆν σειρὰν καὶ τοῖς πολλοῖς ἄπλοκον, ἵνα ἐξ ἀμφοτέρων κοσμούμεναι λαμπραῖς ταῖς λαμπάσιν εἰς τὸν νυμφῶνα Κυρίου καταντήσοιτε, τῶν αἰωνίων ἀγαθῶν ἀπολαύουσαι.

---

404. a. 815–819 ineunte 27 οἰκονόμου: Naucratius; de munere cf. De Meester, De statu 281 sq.; C. Bradford Welles, in: AJA 42 (1938) 252 sq.

C VM PS

6 αὐτοψὶ C (fort recte) 8 ἐπειγόμεναι C 9 με: μὴ Sirm ἐστιν VPS 11 οὔκ M 13 θυγατέραις C 14 κρῖνα PS 22 ἀσφαλείᾳ Mi ὑπάρχεις C 28 οὔτινος οὖν C 31 χρυσὴν C

405. Ναυκρατίῳ τέκνῳ

Τοιούτου πιστοῦ γραμματηφόρου ἐπιτετύχηκας, δι᾽ οὗ οἰκονομίαν ἡγησάμην εἶναι τοῦ ἀγαθοῦ θεοῦ ἡμῶν κἀγὼ ὁ ταπεινὸς ἐπιστεῖλαί σοι, ἱερὸν τέκνον. αὐτὸ μὲν οὖν τὸ μαθεῖν ἡμᾶς ὅτι ὑγιαίνεις σὺν πᾶσι τοῖς ὁμολογηταῖς καὶ ἀδελφοῖς σου, πόσης οὐκ ἂν εἶεν ἡμῖν τοῖς ἁμαρτωλοῖς χαρᾶς, σοῦ μάλιστα τοῦ κορυφαιοτάτου εὐσταθοῦντος καὶ συμπεριφερομένου τῷ λόγῳ τῆς ἀγάπης καὶ φροντίδος πρὸς ἅπαντας θεοπρεπῶς; ἔπειτα, ὅτι τε καὶ ὁ ἀδελφὸς Ἀδριανὸς ἀποσέσωσται μέχρι τῶν αὐτόθι, ἀνείθημεν τῆς μερίμνης, εὐχαριστήσαντες / τῷ Κυρίῳ, εἰ καὶ ὅτι εἰσαεὶ διὰ τὸν ἀδελφὸν Ἐπιφάνιον, καθὰ προεδήλωσας, ἐμμέριμνοί ἐσμεν καὶ ἐμπαράσκευοι πρὸς πειρασμόν, ὑπονοούμενοι τὰ ὑφορμῶντα κατὰ τὸ εἰκός. ὅπῃ δὲ τῷ θεῷ φίλον ἐχέτω ταῦτα καὶ ἀγέσθω· τοῖς ἀγαπῶσι θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν, ὥς φησιν ὁ ἱερὸς λόγος. τοιούτους ἡμᾶς, ἀδελφέ, προσεύχου γενέσθαι, κἂν μακρὰν ἐσμεν ἀπὸ θεοῦ ταῖς ἁμαρτίαις· καὶ οὐ φοβηθησόμεθα τί ποιήσειεν ἡμῖν ἄνθρωπος. οὐδὲν οὖν τοιοῦτον, οἷον ᾖσας ἡμῖν, καταστέφων τοῖς ἐπαίνοις, ὑπέστημεν· εἰ δὲ καί τι δεξιόν, ἀλλὰ καὶ τοῦτο δι᾽ ὑμᾶς καὶ ὑφ᾽ ὑμῶν ταῖς εὐχαῖς δυναμωθέντες καὶ ἀξιωθέντες. εἴη καὶ πρὸς τὸ ἑξῆς τὸ ἔλεος τοῦ Κυρίου ἐφ᾽ ἡμᾶς τοὺς ἀναξίους.

Ἥσθην ὅτι συμπεριηνέχθης τῇ πατρικίᾳ ἐν Κυρίῳ, καὶ τοῦτο δι᾽ ἡμᾶς· καὶ γὰρ κἀκείνη αὐτὸ τοῦτό μοι δεδήλωκε καὶ προσετέθη μᾶλλον ἀγαθοποιεῖν. δι᾽ ἡμᾶς ζῇς, ἀδελφέ, ἀλλὰ καὶ ἡμεῖς δι᾽ ὑμᾶς. μὴ θαύμαζε ὅτι κορυβαντιῶσιν οἱ χριστοδιῶκται μηδ᾽ ὅτι ἀνέχεται Χριστός· δεῖ πάντα τελεσθῆναι, ἵνα καὶ οἱ δόκιμοι φανερώτεροι ἐκλάμψωσι καὶ οἱ ἀνομοῦντες τέλεον ἀποτίσωσιν ὧν εἰργάσαντο τὴν ἀντιμισθίαν.

Ἀπέσταλκά σοι βιβλιδάκιον καὶ τετράδας δεκατέσσαρας, ἐφ᾽ οἷς εἰσι λόγοι καὶ βίοι τῶν ἀδελφῶν ἐμμέτροις στίχοις· ἅπερ ἀναγνοὺς αὐτός τε καί τινες τῶν πιστῶν ἀδελφῶν ἀσφαλῶς κατάκρυψον. οὐδὲν

---

405. a. 818 28 βιβλιδάκιον etc.: cf. p. 37* no. 28 29 λόγοι καὶ βίοι: cf. P. Speck, in: Ἑλληνικά 18 (1964) 31

---

12 Plat. Phaedr. 246 d ἀλλὰ ταῦτα μὲν δή, ὅπῃ τῷ θεῷ φίλον, ταύτῃ ἐχέτω τε καὶ λεγέσθω 13 Rom. 8,28 25 1 Cor. 11,19

VM PS

5 πόσης: πῶς VM Sirm 6 χαρά VM Sirm 7 τῆς om Sirm 8 τε om VM Sirm: S^{sscr} 11 εὐπαράσκευοι V^{ac}M 15 κἀν P 18 ἡμῶν V 19 τοεξῆς S 21 ἥσθην P 25 καὶ om VM φανερώτερον VM

οὖν ποιῶ, ἀδελφέ, ἄξιον λόγου· ἀλλ' ἐπειδὴ εὐκαιρῶ καὶ ἐπειδὴ νύσσομαι ὡς ὑπὸ τοῦ ἁγίου μου πατρός, ἀκούων τε πάλιν τοῦ θείου Παύλου λέγοντος τῷ ἁγίῳ Τιμοθέῳ, μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὡς ἀνάξιος μετὰ φόβου καὶ τρόμου ποιῶ ἃ ποιῶ.

Τὸν ἀδελφὸν Ἀθανάσιον σὺν τῷ παροικονόμῳ ἄσπασαι. εἰ καὶ ἔγραψα ὡς ὅτι εἰσῆλθεν ὁ ἀδελφὸς Ἀδριανός, ἀγνοῶν εἶπον, ὕστερον μαθὼν ὅτι οὔπω ἔφθασεν ἡνίκα ἐπέστειλας. ὁ ἀδελφὸς Νικόλαος πλεῖστά σε προσαγορεύει, αἰδούμενος τοὺς λόγους σου. ὁ Κύριος μετὰ τοῦ πνεύματός σου, ἀδελφόπατερ.

406. Κατήχησις

Πρώην ὑμῖν ἐξ Ἀνατολικῶν ἀναγινωσκόμενος νῦν ἀπὸ Θρᾳκησίων ἐπιφαίνομαι· ἐν γὰρ τῇ Σμύρνῃ μεθωρίσαντο ἡμᾶς οἱ ἄρχοντες τοῦ αἰῶνος τούτου καὶ μᾶλλον τῆς προτέρας φυλακῆς ἀσφαλέστερόν τε καὶ πειραστικώτερον. ἀλλ' ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται οὐδ' ὁ πόθος ἠρεμεῖ οὐδ' ἡ ἐντολὴ παρασιωπᾷ· διὰ τοῦτο πάλιν ὁ ταπεινὸς φθέγγομαι.

Χαίρετε ἐν Κυρίῳ, πατέρες καὶ ἀδελφοί, χαίρετε, οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, χαίρετε, οἱ ἐν ὄρεσι καὶ σπηλαίοις ἐνδιαιτώμενοι, ἀλλὰ μὴν καὶ οἱ ἐν πόλεσι καὶ ἐρημικωτέροις τόποις κρυπταζόμενοι· εἰ γὰρ πάντοτε δεῖν ἡμᾶς χαίρειν ἐπιτέτραπται παρὰ τῷ ἀποστόλῳ, πόσῳ γε μᾶλλον ἄρτι, ὁπότε ὑπὲρ Χριστοῦ ἐστι τὰ παθήματα τοῦ ἐγγραφομένου τῷ πίνακι, τοῦ ἐμφαινομένου ἐν τῇ οἰκείᾳ εἰκόνι, τοῦ / τιμωμένου δι' αὐτῆς; μὴ γὰρ ἐμὰ τὰ ῥήματα τοῦ οἰκτροῦ; Διονυσίου τοῦ πανσόφου καὶ Βασιλείου τοῦ Μεγάλου. καὶ οὔπω καιρὸς τῶν ἄλλων θεοφόρων τὰς χρήσεις ἐπεισάγειν ἐν τῷδε τῷ

---

35 παροικονόμῳ: de munere cf. De Meester l. l. 283 adn. 1

33 1 Tim. 4,14 38 2 Tim. 4,22

37 ἐπέστειλα V[ac]M

---

406. mens. Maio vel Jun. a. 819

5 2 Tim. 2,9 8 Philipp. 3,1 Matth. 5,10 9 Hebr. 11,38 11 1 Thess. 5,16 15 cf. Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C) cf. Bas. spirit. 45 (PG 32,149 C)

C VM PS

6 ἠρεμεῖ CPS οὐδὲ VMPS Sirm πάλιν post ταπεινὸς transp V Sirm 12 ὁπόταν V ἐστι om VMPS Sirm 13 ἐνγραφομένου V 14 τὰ M[sscr] οἰκτροῦ: ἐχθροῦ M 16 ἐπεισάγειν C: εἰσάγειν cett Sirm

γράμματι. ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ· Μωὰβ ἠθέτησεν, ἡ Βυζαντὶς δῆλον ὅτι τὸν εὐαγγελικὸν ζυγὸν ἀπεσείσατο, ὡς δάμαλις παροιστρῶσα ἠφηνίασεν. ὁδούς σου εἰδέναι οὐ βούλομαι, πραγματικῶς τε καὶ λογικῶς ἀπεφθέγξατο. κορυβαντιᾷ, μαίνεται, αἱμοποτεῖ ὡς λέαινα, ὡσεὶ ἀσπὶς βυοῖ τὰς ἀκοάς, ἐλεγχομένη ἀποτινάσσεται. ἧκεν αὐτῇ φωνὴ ὑπομνηστικὴ ὡς ἀπ' οὐρανοῦ, ἐκ τοῦ κορυφαιοτάτου, ἐκ τοῦ Ῥωμαϊκοῦ θρόνου, ‚τί πέπραχας;' βοῶσα· ‚Χριστὸν ἤρνησαι, Χριστοῦ τὴν εἰκόνα ἀθετοῦσα, τῆς Θεοτόκου, τῶν πάντων ἁγίων. ἄνοιξον εὐήκοον οὖς, ἐνώτισαι λόγους εὐαγγελικούς, ἀποστολικούς, προφητικούς, πατρικούς'. καὶ οὐ προσήκατο, οὐκ ἐδέξατο, ἀλλὰ διαρρήξασα ἑαυτὴν τοῦ πεντακορύφου σώματος τῆς ἐκκλησίας (ἐπειδὴ ἔτι ζῇ καὶ Νικηφόρος ὁ ἱερὸς) τραχηλιᾷ κατὰ θεοῦ παντοκράτορος, ἐνυβρίζουσα Χριστόν, πατοῦσα τὰ ἅγια.

Τοιαῦτα τὰ παρ' αὐτῆς, ὦ τριπόθητοι· καὶ μεθ' ἡμῶν ὁ θεός, ἀνατολή, δύσις, βορρά, θάλασσα. ἐν τούτοις ἡ χαρά· εἰ δὲ καὶ θρῆνος διὰ τοὺς ἀπολλυμένους, δεῦρο δὴ στῆτέ μοι γενναῖοι, εὐχάριστοι, ἁρπάζοντες τὰ ὑπὲρ Χριστοῦ παθήματα ὡς θησαυρίσματα. οἵ, οἷος ὁ καιρὸς ἀγαθὸς πρὸς τοὺς ἀγωνιζομένους, ἡδύπνους, μυρίζων τὰ ἀθλοφορήματα ὑπὲρ πάντα τὰ ἀρώματα. αἷμα ῥεῖ μαρτυρικὸν ἐπὶ τὴν ἐκκλησίαν, ἄρδον αὐτὴν ὑπὲρ Ἐδὲμ ἐκ τετραποτάμου κρήνης ποτιουμένην. προστίθενται οἱ χοροὶ τῶν ἀπ' αἰῶνος μαρτύρων, τῶν ὁμολογητῶν τὰ πάλαι μακαριζόμενα ἐν ὀφθαλμοῖς νῦν ὁρᾶται. ἆρ' οὖν οὐκ ἐπείγῃ πρὸς τὴν ἄθλησιν ὁ ἀκούων, δυσχεραίνων τὴν ὀρεινὴν ἢ τὴν ἐρημίαν ἢ τὴν ὁπωσοῦν κρυπταδίαν; ἀλλ' ὅμως μένε ἐν οἷς εἶ· ἔχεις καὶ σὺ τὸν μακαρισμὸν ἡλίκον. προσεύχου καὶ ἐπαίνει τοὺς πλεομακαρίστους, βάλλε μοι τὸν ἀόρατον δράκοντα, τρέπε μοι τὸν ἐμφύλιον τῆς σαρκὸς πόλεμον. νικάτω τὸ πνεῦμα, δουλούτω τὸ σῶμα, ὡς ἂν ἡ ψυχὴ ἐλευθεριάζοι, ἡ κυρία καὶ δέσποινα, εἰρήνην ἔχουσα πρὸς τὸν θεόν. ἐὰν οὕτω, μαρτύριον καθ' ἑκάστην, στέφανοι θεόπλοκοι.

---

22 κορυφαιοτάτου: Paschalis I

17 Is. 1,2 18 Osee 4,16 19 Jb 21,14 25 Gen. 4,23 28 Jb 15,25 41 Matth. 5,10

18 δηλονότι VMPS Sirm εὐαγγελικὸν: ἀγγελικὸν V 21 ὡσεὶ C: ὡς cett Sirm βυοῖ C: βύει cett: μύει Sirm 22 αὐτῇ: αὐτὴ C 30 τὰ om VM 31 βορρᾶ S 33 οἵ, οἷος scripsi: οἳ C: οἷος PS: om VM 34 ἡδύπνοους V 37 οἱ: ὁ C 38 ἄρ' C Mi 40 ὅπως οὖν C 43 ἐμφύλλιον S 44 ἐλευθεριάζει Mi 45 καθεκάστην CVPS Sirm

Περὶ ἡμῶν τῶν ἁμαρτωλῶν μὴ ἀνιᾶσθε, κἂν ἀκηκόατε ὅτι καὶ αὖθις ἐμαστιγώθημεν. ἠνέγκαμεν εὐχαῖς ὑμῶν εὐχαρίστως, περιχαρῶς, κἂν πρὸς ὀλίγον ἡ δρίμυξις. μόνον μὴ ἀνῆτε τὰς ὁσίας ὑμῶν χεῖρας ἐκτείνοντες· πιστεύομεν γάρ, εἰ καὶ ἀσθενεῖς λίαν, ἐν τούτῳ τὸν Ἀμαλὴκ τροπώσασθαι. ἀσπάζεται πολλὰ Νικόλαος, ὁ ἀδελφὸς ὑμῶν. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ, αἱ συνοδίαι τὰς συνοδίας, οἱ μικροὶ τοὺς μεγάλους καὶ μέντοι τοὺς πλησιάζοντας πατέρας. καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, μὴ παραιτήσησθε καὶ παρ' ἐκείνοις ἀναγνωσθῆναι, ἐὰν ᾖ ἀξία μόνον, ἐπειδὴ πάντες ὁμόψυχοι καὶ ἓν σῶμα, κἂν διάφορα μέλη. ὁ Κύριος Ἰησοῦς Χριστὸς μεθ' ὑμῶν καὶ μεθ' ἡμῶν τῶν ἁμαρτωλῶν. ἀμήν. /

407. Ναυκρατίῳ τέκνῳ

Οὐ πλησθήσεται τὸ οὖς μου ἀπὸ φωνῶν σου ἀκροάσεως· φωνεῖς γὰρ ἀναγκαῖα καὶ κατεπείγοντα. ἃ καὶ νῦν ἐνωτισθείς, ὦ παῖ καλέ, ᾖσα ὁ ταπεινὸς χαριστήρια, ὡς οὐ καταλέλοιπεν τέλεον Κύριος τὴν ἐκκλησίαν αὐτοῦ, ἀλλ' ἔδειξεν ἔτι ἔχειν τὴν ἰσχὺν αὐτῆς, κινήσας τοὺς ἀπὸ Δύσεως ἀδελφοὺς ἡμῶν ἔλεγχον τῆς παροινίας τῶν τῇδε καὶ φωτισμὸν τῶν νυκτομαχούντων τῇ αἱρέσει. κἂν ἀπεσείσαντο οἱ ἀτεράμονες, κἂν ὀφθαλμοὺς καρδίας οὐκ ἤνοιξαν (μαρτυριῶ ἄρτι κατενώπιον θεοῦ καὶ ἀνθρώπων), ἑαυτοὺς ἀπέρρηξαν τοῦ σώματος τοῦ Χριστοῦ, τοῦ κορυφιακοῦ θρόνου, ἐν ᾧ Χριστὸς ἔθετο τὰς κλεῖς τῆς πίστεως, ἧς οὐ κατίσχυσαν ἀπ' αἰῶνος οὐδ' ἂν κατισχύσωσι μέχρι συντελείας πύλαι ᾅδου, τὰ τῶν αἱρετικῶν δηλαδὴ στόματα, ὡς ἡ τοῦ ἀψευδοῦς ὑπόσχεσις.

Χαιρέτω οὖν ὁ μακαριώτατος καὶ ἀποστολικὸς καὶ φερωνύμως Πασχάλιος, ὅτι τὸ ἔργον Πέτρου ἐξεπλήρωσεν. σκιρτάτω πᾶς ὀρθοδόξων θίασος, ὅτι κατ' ὀφθαλμοὺς εἶδεν τὴν ἐπισκοπὴν Χριστοῦ

52 Rom. 16,16

47 κἀν P 54 ὅτ' ἂν C

407. mens. Maio vel Jun. a. 819 4 οὐ καταλέλοιπεν – 19 ἐλεεινότατον: verba iuris publici primum fecit Allatius, De consensione 308

2 Eccl. 1,8 11 Matth. 16,18

C VM (ll. 1–23 et 47–74) PS

4 καταλέλοιπε VMPS Sirm ὁ ante Κύριος add VM 5 κινήσασα VMPS 8 μαρτυρῶ Mi 9 κατ' ἐνώπιον MPS 10 ὁ ante Χριστὸς add VM 11 κατ' ισχύσωσι C 14 φερώνυμος Mi 15 ἐξεπλήρωσε VMPS Sirm 16 εἶδε VMPS Sirm

κατὰ τοὺς πάλαι ἁγίους πατέρας ἡμῶν· τὰ γὰρ ἄλλα ὅπῃ τῷ θεῷ φίλα ἀγέσθω. ἀρδευέτω τὸ μαρτυρικὸν αἷμα τὴν ἐκκλησίαν, αὐξανέσθω ὁ χορὸς τῶν ὁμολογητῶν· τοῦτο εὐδοκία θεοῦ, τοῦτο χαρὰ καὶ ἀγαλλίασις, κἂν διὰ τοὺς ἀπολλυμένους ἐλεεινότατον. τί φήσοιεν οἱ ἐναντίοι; Ἀνατολὴν οὐκ ἔχουσιν, Δύσεως ἐστέρηνται, τοῦ πεντακορύφου ἐκκλησιαστικοῦ σώματος (ζῇ γὰρ ἔτι καὶ Νικηφόρος ὁ ἱερὸς) διεσπάσθησαν. οὐκοῦν ἠλλοτρίωνται Χριστοῦ, ἄρα ἐνεκρώθησαν, ἄρα ἐν σκότει διαπορεύονται. εἰ δὲ ὅτι ἄρχουσιν ἐπ' ἐρήμου αἱρέσεως, τοῦτο καὶ λῃσταί, ἐπεὶ καὶ κτείνουσιν ὥσπερ καὶ οὗτοι, αἵματα κενοῦντες ὡς ἔπος εἰπεῖν καθ' ἑκάστην.

Ἐχέτω ταῦτα ὧδε. ἡλίκον δὲ ᾄσομαι ἐπὶ τῇ μεταβολῇ Λεοντίου; ὢ τῶν μεγίστων τοῦ θεοῦ τεραστίων· σὺ μέν, ὦ τᾶν, εἰς τοῦτο κἀκεῖνο μετεσχημάτισας τὸν δύσχριστον, ἐγὼ δὲ κυπριανίζειν αὐτὸν ἐν τῷ πράγματι ᾠήθην, ἀποκρουσθέντα παρὰ τοῦ βασιλέως προσδραμεῖν τοῖς ἀθλοφοροῦσι καὶ ἐναγωνιζομένοις κατὰ Ἰουστίναν τὴν ἀοίδιμον. δῴη Κύριος τέλεον ἐπ' ἀμφοῖν τὰ ἀμφότερα ἀποφανθῆναι. ἡ φυλακή σου ὅτι ἐνδότερον ἐγένετο λυπηρόν μοι διὰ τὸ ἀσθενεῖν σε· πλὴν ἴσχυε καὶ κραταιοῦ, ὁμολογητὰ Χριστοῦ, ὡς προεσημάναμεν. ἵνα δὲ γνοίης ἔτι λευκότερον, προστίθημι καὶ ταῦτα, ὡς ἔτι ἀσφαλίζεται ἡμᾶς ὁ φρούραρχος. διατί καὶ πῶς; ἐπεὶ γὰρ δεῖ οἰκονομίᾳ κεχρῆσθαι ἐν τοῖς ἀναγκαίοις, ὁπηνίκα συνωψίσθημεν τῷ Χωνῶν αἱρεσιάρχῃ (ἐκεῖ γὰρ πρῶτον ἀπήχθημεν ὑπὸ τῶν ἀπὸ Ἀνατολικοὺς ἀράντων ἡμᾶς), καὶ γόνυ ἐκλίναμεν, συγγονυκλιτήσαντος κἀκείνου, καὶ ἠσπασάμεθα αὐτόν. καὶ ἐπειδὴ εἴασεν εἰς ταὐτὸν ἐλθεῖν ἐμέ τε καὶ τὸν κύριον Ἀθανάσιον, καὶ συνεπίομεν αὐτῷ ἅπαξ καὶ δίς, οὐ μέντοι συνεφάγομεν, ἐκλιπαροῦντος τοῦ ὄφεως καὶ ψιθυρίζοντος ἀπατηλά. τούτῳ τῷ μέτρῳ / ἐχρησάμεθα ἀπαχθέντες ἔνθεν καὶ πρὸς τὸν ἐν ᾧ ἐσμεν δράκοντα· ὅς, προμαθὼν τὸν εἱρμόν, οὐδὲν πλέον ἠνάγκασεν ὡς μὴ ἰσχύων πεῖσαι, συνεκίνησεν δ' οὖν ὅμως λόγους ἐν τῷ ἰδεῖν ἡμᾶς περὶ τῆς ὑποθέσεως· ὡς οὐδέν ἐστι, φησί, καὶ

---

21 πεντακορύφου: cf. adn. ad ep. 478,64 37 συνωψίσθημεν etc.: cf. A. Ducellier, L'Église byzantine. Paris 1990, 150 sq. 44 δράκοντα: metropolita Smyrnaeus

17 Plat. Phaedr. 246 d 29 κυπριανίζειν: cf. Greg. Naz. or. 24,12 (PG 35,1184 A sq. = p. 66 M.-L.)

17 φίλον VM 21 ἔχουσι VMPS Sirm 23 οὐκ οὖν CVM Χριστῷ Sirm Χριστοῦ: hic desin prima pars epist in M (exciso folio) 26 καθεκάστην CPS Sirm 28 ὢ: ὦ C 30 ἀπὸ κρουσθέντα C προδραμεῖν Sirm 31 κατ' VPS Sirm 32 τέλεον S^{sscr} ἐπ': ἐπὶ Mi 33 ἀσθενεῖν σε C: ἀσθενές σου cett Sirm 36 διὰ τί Sirm 37 συνοψίσθημεν C χονων C 38 Ἀνατολικῶν PS Sirm 39 συγγονυκλιθέντος V 43 ἀπατηλᾶ P 45 συνεκίνησε VPS Sirm

σμικρόν τι τὸ ἀμφισβητούμενον. πρὸς ἃ ἀπεκρινάμην ὅτι ‚καὶ τῶν μεγίστων λίαν καί, εἰ κελεύεις, λέγε καὶ ἀντάκουε'. ἀλλ' ἐάσωμεν τὸ νῦν ὃ καὶ γέγονεν· τἆλλα μὲν πολλοῦ τὸ λέγειν, ἐπὶ δὲ τὸ τελεώτερον ὁ λόγος, δι' ὃ καὶ ἀπηρξάμην. ᾤετο ὁ δεινὸς κατὰ μικρὸν ἡμᾶς ἕλκειν, οὐκ ἐκ τοῦ συναίρειν λόγον περὶ εἰκόνων, ἀλλ' ἐκ τοῦ ἀγαθοποιεῖν τυχὸν τοῦ τε φιλικὰ ὁμιλεῖν καὶ ἀνατίθεσθαι τοὺς τῆς ἐξαρχίας λόγους (ἐπὶ γὰρ τῶν πέντε θεμάτων τέθειται), καὶ μὴν καὶ τὰ τοῦ κρατοῦντος ἐκθειάζειν. ἧκεν, ἐκίνησεν τὰς τοιαύτας ὁμιλίας, ἔτι, ὃ οὐδ' ἅπαξ ἐποίησεν ἐν τῇ φυλακῇ, ἐπέδωκεν πιεῖν. ἔλαβον δαχθείς, ἔπιον κατασφραγίσας τρὶς (ἐφοβήθην τὸ δρᾶμα· οὐά, κατὰ βραχύ, ἀνεπαισθήτως κατασπᾷ), συνῆρα λόγον περὶ ἀληθείας. ὠτρύνθη κἀκεῖνος, ἀντετοξεύσαμεν χρήσεσιν ἀλλήλους, αὐτοῦ μὲν ἀποστομίζοντος χλευαστικῶς κἀμοῦ ὑφειμένως ἐρχομένου ἔν τισιν διὰ τὸ ἀποτείνεσθαι τοὺς λόγους πρὸς τὸν βασιλέα καὶ τὸ μὴ ταραχῇ καταδιαστῆναι ἀλλήλων, ἐπειδὴ καὶ πρότασίν μου προτείναντος ἠπόρησεν. καὶ εἶπον· ‚βλασφημία τίς αὕτη; ὁ πατὴρ καὶ τὸ πνεῦμα κεκοινώνηκεν ἐν οἷς ἔδρασεν ἀνθρωπίνως ὁ Χριστός, ναὶ ἢ οὔ;' ὁ δὲ κατένευσεν καὶ διισχυρίζετο οὕτως ἔχειν. διά τοι ταῦτα ἡ ὕφεσις καὶ ἡ ὡς ἐν μάχῃ διάστασις. ὁ δὲ ἐξελθών φησιν· ‚ἐδόκουν ὅτι ᾔδει τι· οὐδόλως, ἀλλὰ καὶ ἀπεστομάτισα αὐτόν'. ἐγὼ δὲ ἔγνων μὲν αὐτὸν ἄλογον ὅτι μάλιστα σὺν ἀσεβείᾳ, ἓν δὲ ἐζήτησα, τὴν ὑπόκρισιν ἀποθέσθαι με καὶ ἄλλο πρόσωπον ἐπιδεῖξαι, ὡς δεῖ πρὸς ἀσεβάρχην· ἐπεὶ οὐ θεμιτὸν εἰς ὕας βάλλειν τοὺς μαργαρίτας. ἐντεῦθεν ἡ πολλὴ ἀσφάλεια καὶ παραγγελία τοῦ μὴ ἰδεῖν ἡμᾶς ἄνθρωπον, κἂν ἄλλως οἰκονομῇ θεός.

Ταῦτα, εἰ καὶ παρεκβατικώτερον, ὅμως ἀναγκαίως εἴρηται πρὸς τὸ θερμῶς αἰτεῖσθαί σε ῥυσθῆναι ἡμᾶς ἀπὸ τῆς ἐνέδρας τοῦ ἀσεβοῦς. ὁ ἀδελφός σου προσαγορεύει σε.

---

53 ἐξαρχίας: cf. Bury, Eastern Roman Empire 10 adn. 4, qui tamen de duce militari disputat 56 κατασφραγίσας τρίς: ad hunc gestum cf. Gretser, De S. Cruce I 364 74 ἀδελφός: Studita Nicolaus

---

51 Matth. 25,19 58 cf. Aristoph. nub. 943 sq. ῥηματίοισιν καινοῖς αὐτὸν κατατοξεύσω 69 Matth. 7,6

---

47 τι om VPS καὶ τῶν: hic inc pars altera epist in M 48 ἀντ' ἄκουε C 49 γέγονε VMPS Sirm τἄλλα CS 50 διὸ CPS καταμικρὸν S 54 ἐκίνησε VMPS Sirm 55 ἐπέδωκε VMPS Sirm 56 δράμα VM 59 ἀποστοματίζοντος V Sirm (fort recte; cf l. 66 infra) τισι VMPS Sirm 60 ἀποτείνασθαι PS Sirm 62 ἠπόρησε VMPS Sirm τις Sirm 64 κατένευσε VMPS Sirm 66 οὐδ' ὅλως omnes: correxi 69 ὗας VM 73 τῆς ἐνέδρας in marg S

408. Θεόδωρος ἁμαρτωλὸς μοναχὸς τοῖς πνευματικοῖς μου πατράσι καὶ ἀδελφοῖς, ὁμολογήσασι καὶ ἐναθλοῦσιν ἐν εἱρκταῖς, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς

Ἀκηκοώς, ὦ τριπόθητοι, τὸ μαρτύριον τῆς καλῆς ὑμῶν ὁμολογίας ὑπὲρ Χριστοῦ ὕμνησα, ἐδόξασα θεὸν τὸν καλέσαντα ὑμᾶς ἐκ τῆς ἀλλοδαπῆς ἐν τῇ βασιλίδι τῶν πόλεων οἱονεὶ ἄρνας λογικοὺς αἷμα κενῶσαι εἰς ὀσμὴν εὐωδίας αὐτῷ, φῶς τῶν ἐν σκότει τῆς αἱρετικῆς νυκτομαχίας· εἶτα ἐπιθυμίᾳ ἐπεθύμησα ὁ ταπεινὸς ἰδεῖν ὑμᾶς τοὺς ἀθλητὰς καὶ περι/πτύξασθαι ἕνα καθ' ἕνα, πόθῳ διαπύρῳ ἑλκόμενος. ἀλλ' ἐπειδὴ τοῦτο σωματικῶς ἀδύνατον, διὰ τοῦ γράμματος ἁρπαγεὶς καὶ μέσος ἑστὼς καὶ ἀσπάζομαι τὰ ἅγια ὑμῶν ἴχνη καὶ φιλῶ φιλήματι ἁγίῳ τὰ ἱερὰ ὑμῶν πρόσωπα. ὦ καλοὶ στρατιῶται Χριστοῦ, ὡς ἀπ' οὐρανίου στρατολογίας κεκλημένοι· ὦ ἀστέρες φαεινοί, ἐν νυκτὶ ἀσεβείας διαυγάζοντες ὀρθοδοξίαν, ὑπὲρ χρυσίον τιμαλφέστεροι, ὑπὲρ σμαράγδων καὶ μαργάρων ἐκλαμπρότεροι. πολλοῖς ὑμᾶς ὀνόμασι καταστέφειν ἀξιολόγως ἐφιέμενος οὐ παραχωροῦμαι, τῷ μέτρῳ τῆς ἐπιστολῆς στενοχωρούμενος, ἑνὶ δὲ λόγῳ τὸ πᾶν περιλαβὼν λέγοιμι ὅτι τὸ μαρτύριον ὑμῶν ἰσοστάσιον τοῖς ἄνω μαρτυρίοις, ἐπείπερ τηλαυγῶς Χριστὸν ὁμολογεῖ ὁ τὴν εἰκόνα Χριστοῦ ὁμολογῶν δέχεσθαι, ὡς καὶ τὸ τῆς ἀρνήσεως ἔχει· ἡ γὰρ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, ὡς ὁ Μέγας Βασίλειος ἔφη, καὶ τὸ ἀρχέτυπον ἐν τῇ εἰκόνι ἐκφαίνεται, ὡς αὖθις Διονύσιος ὁ πάνσοφος εἶπεν. καὶ ἐπεὶ Χριστὸς ἄνθρωπος τέλειος, μηδὲν ἐλλελοιπὼς τῶν ἐν ἀνθρώπῳ θεωρουμένων, ἔχει τὸ ἐξεικονίζεσθαι ὡς πᾶς ἄνθρωπος, ὥσπερ ἔχει τὸ μὴ περιγράφεσθαι, καθὸ καὶ θεὸς ὁ αὐτὸς τέλειος. εἰ δ' οὐκ ἐγγράφοιτο σωματικῷ χαρακτῆρι, οὔ τί που ἄνθρωπος· σημεῖον γὰρ πρῶτον καὶ ἄληθες ὅτι ἄνθρωπος, εἰ ἐξεικόνισται. καὶ οὔπω λέγω περὶ τῆς δεσποίνης τοῦ παντὸς Θεοτόκου καὶ ὅλων

---

408. a. 818 – 819 11 ἀσπάζομαι: cf. Karlsson, Idéologie 36

2 Philipp. 4,3 7 Ex. 29,18 8 Luc. 22,15 11 Rom. 16,16 12 2 Tim. 2,3 20 Bas. spirit. 18,45 (PG 32,149 C) 22 Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C)

C VM PS

1 Θεόδωρος — μοναχὸς cancell S ὁ ante ἁμαρτωλὸς add PM Sirm 2 ἀδελφοῖς S^{sscr} εἰρκταῖς CM 5 τὸν ante θεὸν add VM Sirm 7 εὐοδίας S 9 καθένα VMP 10 γράμματος: πράγματος V^{ac}M 15 σμαράγδους M: σμάραγδον $VP^{pc}S$ Sirm μαργάρους VM: μάργαρον $P^{pc}S$ Sirm 20 ἡ: εἰ CM 23 εἶπε VMPS Sirm ἐκλελοιπὼς Sirm 24 ἀνθρώποις VM Sirm θεωρούμενον M 25 καθ' ὃ C 26 οὐτίπου Sirm 27 ἀληθὲς VMPS Sirm 28 λέγω om Sirm

συλλήβδην τῶν ἁγίων, ὧν ἀθέτησις ἡ τῶν σεπτῶν αὐτῶν εἰκόνων ἀναίρεσις· ἀλλ' ὁ συνιῶν συνιεῖ καὶ ὁ ἀθετῶν ἀθετεῖ ὀλεθρίως, τοῖς λογίοις ἀντιφθεγγόμενος, καὶ ἡ ἐξουσία δρᾷ ἀεὶ ἐξουσιαστικῶς. καὶ οἱ τοῦ θεοῦ ὀλίγοι, εἰ καὶ πάντες πλάσματα, καὶ τέλος τῇ θεοκλήτῳ πέτρᾳ ἄνωθεν καὶ ἐξ ἀρχῆς πύλαι ᾅδου προσρήγνυνται, ἀλλ' οὐδαμῶς κατίσχυσαν οὐδ' ἂν κατισχύσωσιν αὐτῆς, ὡς ἡ τοῦ ἀψευδοῦς ὑπόσχεσις.

Διό, πατέρες μου καὶ ἀδελφοί, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε ἐν Κυρίῳ. οἱ χοροὶ τῶν μαρτύρων πρὸς ἑαυτοὺς ὑμᾶς ἐκκαλοῦνται, τῶν ὁμολογητῶν ὡσαύτως. ταῦτα ὡς ἐν ὀλίγοις, συνάπτοντες ὑμῖν ἑαυτοὺς οἱ ἐλάχιστοι καὶ ἀπόντες τῷ πνεύματι, ὡς ἂν γνοίητε ὅτι ἔχετε μέλος ἔσχατον ὧδέ που περιωρισμένον ἐπὶ τῇ αὐτῇ ὁμολογίᾳ καὶ αἰτοῦν ὑμᾶς συλλαμβάνειν ἐν ταῖς ἁγίαις προσευχαῖς κατόπιν ἰέναι τῶν τιμίων ὑμῶν ἰχνῶν.

409. Ναυκρατίῳ τέκνῳ

Ἐπειδὴ ἔμαθον παρὰ τοῦ γραμματηφόρου, ὦ καλὲ ἀδελφέ, ὅτι ἔριδες ἐν ὑμῖν ἀνεφύησαν (λέγω δὲ τοῦτο, ὅτι ὁ μὲν λέγει, ‚ἐγὼ τὴν εἰκόνα τοῦ Χριστοῦ ὡς αὐτὸν τὸν Χριστὸν προσκυνῶ', ὁ δὲ ἀπαναίνεται), οὔτε ἀλύπως ἐδεξάμην, εἰδὼς ὅτι ἐρεσχελίαι αὗται παρὰ τοῦ διαβόλου ὑποσπειρόμεναι τέμνειν εἴωθεν / καὶ αὐτὸ τὸ ὑγιαῖνον μέρος τῆς ὀρθοδοξίας, ὅπερ ἐστὶ χαροποιὸν τοῖς ἐναντίοις, ἐκ τῶν ἡμετέρων ἀρρωστημάτων τὸ οἰκεῖον ἀσέβημα βεβαιουμένοις εὖ ἔχειν, οὔτε μὴν σιωπῇ τὸ ἀκουσθὲν κατασχεῖν καλὸν ἐνόμισα, ἀλλά τι καὶ παρ' ἐμαυτοῦ φάρμακον ἐξευρεῖν θεραπείας, θεοῦ εὐδοκοῦντος.

---

33 Matth. 16,18 36 1 Cor. 16,13

29 αὐτῶν post εἰκόνων transp VM 30 συνιὼν CP Sirm 33 ἐξαρχῆς CS 34 ἀψευδῶς P Sirm 38 ἐγκαλοῦνται Mi ὡς αὔτως C 40 ὧδέ VM περιορισμένον C 42 ἰέναι S

---

409. a. 818 – 819

CH VM P_2 P_1S

1 Ναυκρατίῳ τέκνῳ: τῷ αὐτῷ H δογματικὴ καὶ ἀναγκαία πάνυ περὶ τῆς παναγίας τοῦ χριστοῦ εἰκόνος, ἐφερμηνεύουσα πῶς δεῖ νοεῖν τὸ προσκυνεῖν τὴν εἰκόνα χριστοῦ ὡς αὐτὸν χριστόν· ὅτι ὁμοιοματικῶς εἴτ' οὖν σχετικῶς, ἀλλ' οὐ βεβαιωτικῶς ἤτοι φυσικῶς titulo add P_1S: in marg Sirm 4 τοῦ om VMP_2H Sirm τὸν om V 5 αἱ ante ἐρεσχελίαι add H Sirm ἐρεσχέλιαι P_2 6 εἴωθεν C: εἴωθε cett: εἰώθασι Sirm

Ἔστιν οὖν τὸ λῆμμα τοιοῦτον· τὸ ‚ὡς‘ πῆ μὲν ἐπὶ ὁμοιώσεως εἴληπται παρὰ τῇ θεοπνεύστῳ Γραφῇ, πῇ δὲ ἐπὶ βεβαιώσεως. τὸ πρῶτον· ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματι καὶ ἐγὼ ὡσεὶ ἐλαία κατάκαρπος. τὸ δεύτερον· ὡς ἀγαθὸς ὁ θεὸς τοῦ Ἰσραὴλ καὶ ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· οὐ γὰρ καθ' ὁμοίωσιν ἀλλὰ βεβαίωσιν ἐνταῦθα ὁ λόγος. εἰ οὖν οὕτω λέγοι τις προσκυνεῖν τὴν εἰκόνα Χριστοῦ, ὡς αὐτὸν Χριστόν, ἔρρωται τῷ φρονήματι, εἰ δὲ βεβαιωτικῶς, οὐδαμῶς· οὐ γὰρ ταὐτὸν εἰκὼν καὶ ἀρχέτυπον τῇ φύσει, ἀλλὰ ταὐτὸν τῇ ὁμοιώσει. ταὐτιζόμενα γὰρ ἄμφω τῇ οὐσίᾳ διαφορεῖται παντάπασιν, ἐπὶ τῶν τεχνητῶν εἰκόνων δὴ λέγω. πῶς οὖν τὴν εἰκόνα ὡς αὐτὸν Χριστὸν προσκυνήσει βεβαιωτικῶς, οὐκ ἐν αὐτῇ ὄντος τοῦ Χριστοῦ φυσικῶς ἀλλὰ σχετικῶς, ἤγουν ὁμοιωματικῶς; διέψευσται τῆς ἀληθείας καὶ ἄλλως τὸ λεγόμενον. ἐν εἰκόνι ἐκφαίνεται τὸ ἀρχέτυπον καὶ ἐν εἰκόνι προσκυνεῖται Χριστός· τὸ οὖν εἰπεῖν ‚ἐν εἰκόνι‘ ἐν ἑτέρῳ ἕτερον δεδήλωται καὶ δι' ἄλλου ἄλλο προσκυνεῖται. εἶδεν ὁ Χρυσόστομος ἄγγελον ἐν εἰκόνι, ὁ δὲ Κορνήλιος αὐτὸν τὸν ἄγγελον· βλέπομεν Χριστὸν ἐν εἰκόνι, οἱ δὲ ἀπόστολοι αὐτὸν τὸν Χριστόν· ἑωράκαμεν γάρ, φησί, τὸν Κύριον. προσκυνοῦμεν αὐτὸν ἐν τῇ οἰκείᾳ εἰκόνι, οἱ δὲ αὐτὸν ἐκεῖνον· καὶ ἰδόντες αὐτόν, φησίν, προσεκύνησαν. ὁμοιωματικῶς οὖν προσκυνεῖται ἐν εἰκόνι εἴτ' οὖν σχετικῶς εἴτ' οὖν ὁμωνύμως ὁ Χριστὸς (εἰς ταὐτὸν γὰρ ἀμφότερα συντρέχει), οὐκ αὐτοπτικῶς. καὶ δίχα οὖν εἰκόνος ἐστὶ προσκυνούμενος νοερῶς· οὐ γὰρ πάντως πάντοτε αἰσθητῇ εἰκόνι βλέποιτο. εἰ δέ τις φαίη, ‚οὐκοῦν, ἐπειδὴ ἔστι μοι νοερῶς προσκυνεῖν, παρέλκον ἐν εἰκόνι‘, ἴστω ὁ τοιοῦτος ἠρνῆσθαι καὶ τὸ νοερῶς προσκυνεῖν Χριστόν· εἰ μὴ γὰρ ὁ νοῦς ἐνοπτρισθείη ἐν ὁμοιώματι ἀνθρώπου αὐτὸν ἐν δεξιᾷ τοῦ θεοῦ καὶ πατρὸς κεκαθῆσθαι, οὐκ εἰσοίσει τὴν προσκύνησιν, εἰ μή τι ἄρα ἀποσκευάζει σάρκα γενέσθαι τὸν λόγον. τὸ δὲ ὡμοιῶσθαι αὐτὸν ἀνθρώπῳ μάρτυς ἡ εἰκὼν αὐτοῦ πιστή· καὶ τῇ αὐτῆς παραδοχῇ καὶ προσκυνήσει παραδέδεκται

---

18 οὐ – **21** λέγω: verba laudavit Hennephof 91

---

13 Ps. 101,8 Osee 14,7 **14** Ps. 72,1 **15** Ps. 83,2 **24** Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C) **26** cf. Jo. Chrys. de legisl. 6 (PG 56,407) **27** Act. 10,3 **28** Joh. 20,25 **29** Matth. 28,17

---

13 ὡσεὶ: ὡς VMP_2 Sirm **16** βεβεβαίωσιν P_2 **22** ὄντως C **28** τὸν[1] om H φησί: φησιν αὐτὸν M **29** προσκυνούμενον VM αὐτὸν om M **31** εἴτουν[1] S εἴτουν[2] S: ἤγουν H **33** ἐστὶ S Sirm: ἔστι cett **34** οὐκ οὖν CVM ἐστί Sirm μοι om H **36** προσκυνεῖσθαι M τὸν ante Χριστόν add H **37** καὶ S[sscr] **38** ἀποσκευάζοι H **39** τὸ C: τοῦ cett Sirm ὁμοιοῦσθαι M **40** πιστός H

καὶ προσκυνεῖται Χριστός, ὡς ἔμπαλιν ἐπὶ τῆς ἀθετήσεως. προσεκύνησεν Αὔγαρος δεξάμενος πίστιν νοερῶς Χριστόν, προσεκύνησεν δὲ μᾶλλον αὐτὸν ἐμφανέστερον ἐν τῇ πρὸς αὐτοῦ Χριστοῦ πεμφθείσῃ αὐτῷ ἀχειροποιήτῳ εἰκόνι. ὥστε ἐν αὐτῇ ὁμοιωματικῶς ὁμοῦ τε καὶ νοερῶς προσκεκύνηται Χριστός, νῦν μὲν οὕτως, ἐν δὲ τῷ μέλλοντι αἰῶνι αὐτοπτικῶς, τῆς μὲν ὁρατῆς αὐτοῦ θεοφανείας, ὥς φησιν ὁ πολύσοφος Διονύσιος, ἐν πανάγνοις θεωρίαις ἀποπληρού/μενοι, φανοτάταις ἡμᾶς μαρμαρυγαῖς περιαστραπτούσης, ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει, τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας ἐν ἀπαθεῖ καὶ ἀΰλῳ τῷ νῷ μετέχοντες.

Ταῦτα εἴτε ἐλλιπῶς εἴτε ἀρκούντως πρὸς ἡμῶν. ὑμᾶς δὲ παρακαλῶ ἐν τοῖς περὶ θεοῦ λόγοις εὐλαβῶς τε ἅμα καὶ προσεκτικῶς τὰς ἐπιζητήσεις ποιεῖσθαι καὶ ἢ παρ' ἑαυτῶν ἢ καὶ παρ' ἑτέρων τὸ ἀληθὲς ἐξευρίσκειν, πόρρω ἀφέντας τὸ ἐρεσχελεῖν, οὐ μὴν ἀλλὰ καὶ εἴ τι ἐσφαλμένον ἐν τοῖς εἰρημένοις διορθώσεως τυχεῖν, ἐπείπερ ὀλιγόνους καὶ ἁμαρτωλὸς ἐγώ.

410. Κατήχησις

Τὸ παρὸν κοινῶς πᾶσι καὶ οὐκ ἰδίᾳ ἑκάστῳ ἐπιστεῖλαί με οὐκ ἐκ καταφρονήσεως οὐδὲ ἐξ ὀλιγωρίας, ἄπαγε (πῶς γὰρ ἂν καταφρονήσαιμι τῶν ἐμῶν σπλάγχνων καὶ ὁμολογητῶν Χριστοῦ, μὴ οὐχὶ μᾶλλον καὶ τὸ αἷμά μου κενοῦν ἀντὶ μέλανος καὶ τὰς σάρκας παρέχειν ἀντὶ χάρτου εἰς τὸ καθ' ἑκάστην, εἰ οἷόν τε ἦν, γράφειν καὶ προσφωνεῖν ὑμᾶς; καὶ οὐχ ὅτι οὐκ ἐστὲ ἀφ' ἑαυτῶν ἐστηριγμένοι· οἶδα γὰρ καὶ πέπεισμαι ὅση ὑμῖν ἡ παρὰ θεοῦ δύναμις), ἀλλὰ τὸν ἐμαυτοῦ πόθον θεραπεύων καὶ τὸ τῆς ἐντολῆς ἀποπληρῶν χρέος. αἴτιον δὲ τὸ τῆς φυλακῆς μᾶλλον ἀσφαλέστερον, μεθορισθέντων ἡμῶν ἄρτι, καθὼς καὶ προηκούσατε, ἐξ Ἀνατολικῶν εἰς Θρᾳκησίους ἐν Σμύρνῃ,

---

46 Dion. Ar. div. nom. 1,4 (PG 3,592 C) 48 Marc. 9,3; cf. Matth. 17,2

42 Αὔγαρος: αὔαρος P_1P_2 πίστιν: πίστει H προσεκύνησε VMPSH Sirm 51 ἐλλειπῶς C 53 ἐπιζητήσεις: αἰτήσεις P_1S καὶ^2 om VP_2 Sirm 54 ἀφέντας: ἀφέντες H

---

410. mens. Maio vel Jun. a. 819

C VM PS

6 καθεκάστην CPS Sirm 9 ἀπὸ πληρῶν C 10 ἡμῶν: ἡμῖν CP

τό τε μὴ δέξασθαι ἀντίγραφα ἀπὸ χρόνου καὶ ἄλλως ὅτι τοῖς ἴσοις ἀγωνισταῖς ἡ αὐτὴ ἐπιστολὴ ἀρκέσειεν ἄρα.

Δεῦρο δὴ οὖν, ἀδελφοί μου, ᾄσωμεν καὶ νῦν χαριστήρια, ὅτι ἠξιώθημεν δουλεύειν θεῷ ζῶντι καὶ ἀληθινῷ, οὐ μὴν ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, ὅπερ ἐστὶ δόξης ἁπάσης ἐνδοξότερον καὶ χαρᾶς ἁπάσης χαριέστερον. ἐν τίνι γὰρ τὸ πάθος ὑμῖν; ἀλλ' οὐχ ὑπὲρ τοῦ Χριστοῦ, Χριστὸν ὁμολογοῦσιν ἄνθρωπον γεγονότα ἀληθινῶς σαρκὶ περιγράφεσθαι, εἴτουν ἐξεικονίζεσθαι, καὶ τὴν τῆς εἰκόνος παραδοχὴν τῆς ἐνανθρωπήσεως αὐτοῦ εἶναι πίστωσιν; ἧς ἀναιρουμένης καὶ ἀθετουμένης δῆλον ὅτι συνανῄρηται καὶ συνηθέτηται καὶ ἡ ἐνανθρώπησις. ἀλλ' ἐπειδὴ ἐτύφλωσεν ὁ θεὸς τοῦ αἰῶνος τούτου τὰ νοήματα τῶν εἰκονομάχων πρὸς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τῆς εἰκόνος αὐτοῦ, διὰ τοῦτο ἐν σκότει διαπορευόμενοι ἀρνοῦνται Χριστόν, ἀρνούμενοι αὐτοῦ τὴν εἰκόνα, καὶ φιλονεικοῦσι πάντας συνεκτυφλωθῆναι αὐτοῖς, διώκοντες, αἰκίζοντες, φυλακίζοντες καὶ ὡς εἰπεῖν ἀεὶ ἀποκτένοντες. ἀλλ' οὐχ ἕλξουσι τοὺς βεβαιωθέντας καὶ ἐστηριγμένους τῇ ἀμεταπτώτῳ ἀληθείᾳ οὐδ' οὐ μὴν διέφυγον μὴ οὐχὶ καὶ ὑπὸ τοῦ κορυφαίου θρόνου τῆς ἐκκλησίας διελεγχθῆναι, καθὼς καὶ ἐγένετο καὶ οἴδατε. καὶ ἦν μὲν ἡμῖν τὸ ἀσφαλὲς καὶ εἰλικρινὲς καὶ πρὸ τῆς τῶν Δυτικῶν ἐλεύσεως, προσεγένετο δὲ πλέον ὅτι μάλιστα κἀν/τεῦθεν, ὡς ἂν γνῶμεν ὅτι ἀκόλουθα ταῖς ἄνω γενεαῖς καὶ τὴν καθ' ἡμᾶς ὁ θεὸς ἐπισκοπῶν ἐπισκοπεῖ καὶ ὑπ' ὄψιν ἤγαγεν τὸ μαρτύριον, ὅτι ἠλλοτρίωνται αὐτοῦ οἱ τῆς εἰκόνος ἀρνηταί· εἰ γὰρ τοῦ κορυφαίου εἰσὶν διερρηγμένοι τῶν τε ἑτέρων τριῶν πατριαρχῶν, δῆλα δὴ καὶ τοῦ Χριστοῦ, ὃς κεφαλὴ τῶν προειρημένων. καὶ πενθεῖν ἔστι καὶ σκυθρωπάζειν ἐπ' αὐτούς, ἡμῖν δὲ χαίρειν μέγα καὶ ὑπερφυές.

Ἐνέγκωμεν οὖν λοιπόν, ἀγαπητοί, τὰ θλιπτικὰ τῆς φυλακῆς, τὰ προσδοκώμενα ἔτι πειρατήρια, αὐτὸ τοῦτο, ἀποθνήσκειν καθ' ἡμέραν, μαρτυρεῖν, ἀθλεῖν, ἕως ἂν ἐπιστῇ ὁ καιρὸς τῆς εἰρήνης, ὃν ὁ Κύριος δεδοκίμακεν ἀρκούντως ἔχειν εἰς δοκίμιον τῶν ὁμολογούντων καὶ ἀνταπόδομα τῶν ἀπειθούντων. ἡ ἡμέρα τὴν ἡμέραν διαβιβαζέτω δι' ὑπομονῆς καὶ προθυμίας, ἡ χεὶρ ἐργαζέσθω οἱονδηποτοῦν ἔργον, τὸ στόμα ψαλλέτω, τὸ σῶμα δουλαγωγείσθω, ὁ νοῦς προσεχέτω ἑαυτῷ μὴ ἀνοίγειν θύραν τοῖς πάθεσιν, ὡς ἂν ἡ φυλακὴ

---

15 Philipp. 1,29 22 2 Cor. 4,4 24 1 Joh. 1,6 39 1 Cor. 15,31

12 τό: τῷ Mi τότε Sirm 15 τὸ om V 19 εἴτ' οὖν omnes: correxi 21 δηλονότι VMPS Sirm 24 διατοῦτο VMPS 27 οὐκ C 30 εἱλικρινὲς S 31 ὅτι S[sscr] 33 ὁ θεὸς S[sscr] ἤγαγε VMPS Sirm 35 εἰσὶ VMPS Sirm 36 δηλαδὴ omnes: distinxi 37 ἔστι CPS Sirm (fort recte) αὐτούς C: αὐτοῖς cett Sirm ὕπερ φυές C 39 καθημέραν CPS Sirm 42 ἀνταπόδωμα C 43 οἷον δήποτ' οὖν C 45 ἑαυτῷ om VM

εὐρύχωρος εἶεν, εὐχάριστος, γλυκεῖα, παλάτιον Χριστοῦ· τὸ γὰρ ἐναντίον πρόδηλον. πίστις παρὰ τῶν ἔξωθεν πρὸς ὑμᾶς ἀνδρῶν τε καὶ γυναικῶν, μοναζουσῶν τε καὶ μιγάδων. καὶ εἰκότως· ἐπεὶ φῶς ἐστε χάριτι θεοῦ τῆς Βυζαντίδος, ἵνα μὴ εἴπω ὅλου τοῦ κόσμου. ἀλλὰ βλέπωμεν τὸν ἐπισπείροντα τῷ σίτῳ ζιζάνια διάβολον καὶ τῷ διανοητικῷ κοσκίνῳ τὴν μὲν πίστιν προσιέμεθα, τὰς δὲ σχέσεις ἀποσειώμεθα, ἵνα μὴ ἡ ψυχικὴ χώρα λυμαίνηται. εἶχεν καὶ Παῦλος ὁ μέγας ἀγαπητάς· τὴν Ἀπφίαν, τὴν Περσίδα καὶ Εὐοδίαν παρακαλεῖ, καὶ Συντύχην παρακαλεῖ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ ὡς συγκοπιώσας καὶ συναθλούσας καὶ διακονούσας. καὶ ἀναγκαῖον πάντως ἔχειν, ἀλλ᾽ ἔχειν ὡς εἶχεν ἐκεῖνος· ἐπεί φησι περὶ Πρισκίλλης καὶ Ἀκύλα, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν.

Ὁρᾷς τὸ θερμὸν τῆς ἀγάπης καὶ τὴν ἀποστολικὴν ἀποδοχήν; οὕτω, ἀδελφοί μου, καὶ ἡμεῖς καὶ ὑμεῖς καὶ ἔχωμεν καὶ ἀσπαζώμεθα τὰς ἐν τάξει τῶν τοιούτων ἡμῖν καθισταμένας, ὡς ἂν δοξάζηται ὁ θεὸς καὶ φωτίζωμεν, ἀλλὰ μὴ θολούμεθα καὶ συγχεώμεθα. ἤκουσταί μοι περὶ ὑμῶν τῶν τριῶν ὅτι ἡνώθητε ὑπὸ μεταμελείας τοῦ ἐλεεινοῦ Λεοντίου καὶ τὸν θεὸν ἐδόξασα ὁ ἁμαρτωλὸς ἐπί τε τῇ μετοκλάσει ἐκείνου, εἴπερ καὶ διαμείνοι, καὶ τῇ ὑμετέρᾳ ἐναθλήσει· ὅτι ὡς ἀπὸ καμίνου πυρὸς οἱ ἅγιοι τρεῖς παῖδες καὐτοὶ τῶν δεινῶν φυλακῶν ἀσινεῖς ἐξεληλύθατε, καταπλήξαντες τὸν τύραννον. ἀλλ᾽ ἔτι, γενναῖοί μου, ἐναθλοῖτε καὶ τὸ πειρασθῆναι ἑτοιμάζεσθε μέχρις αἵματος. τοιοῦτος γὰρ ὁ νόμος τῆς μαρτυρίας. εὐλογηθείησαν καὶ οἱ ἀλεῖπται ὑμῶν, οἱ ἔνδοθεν καὶ ἔξωθεν.

Ἡμεῖς οἱ ταλαίπωροι καὶ αὖθις ἐμαστιγώθημεν, ἀλλ᾽ εὐχαρίστως ἐδεξάμεθα καὶ εὐδοκοῦμεν μᾶλλον καὶ ἔτι. ὥστε ὑμεῖς μὴ ἀνιᾶσθε ἐν τῇ ταπεινώσει ἡμῶν, ἀλλὰ μᾶλλον χαίρετε καὶ προσεύχεσθε ἰσχύειν ἡμᾶς ἔτι ἐν πᾶσιν οἴσειν τε καὶ τὰ παρὰ τῶν ἐξουσιαζόντων ἐπαγόμενα φέρειν τε καὶ τὰ ὑπὸ τοῦ ἀοράτου / πολέμου συμβαλλόμενα σὺν τῷ ἀδελφῷ Νικολάῳ, ὃς καὶ προσαγορεύει ὑμᾶς θερμότατα. μνημονεύετέ μου τῶν στεναγμῶν. ἡ χάρις μεθ᾽ ὑμῶν. ἀμήν.

---

62 τριῶν: cf. adn. ad ep. 358,8

50 Matth. 13,25 53 Rom. 16,12 Philem. 2 Philipp. 4,2 56 Rom. 16,3 sq. 64 Dan. 3,46 sq. 76 1 Tim. 6,21

46 εὐρύχωρος S γλυκεία S 48 ἐπειδὴ V 49 θεοῦ C: Χριστοῦ cett Sirm 50 ἐπισπείραντα M 52 ἀποσεισώμεθα Sirm λυμήνηται VMPS Sirm εἶχε VMPS Sirm 53 Εὐωδίαν CPS Sirm 57 ἑαυτὸν Sirm 59 οὕτως VM Sirm ἡμεῖς: ὑμεῖς M[ac] 61 θολοίμεθα VM: θολώμεθα S Mi 62 ἐλεεινοῦ: ταπεινοῦ VM Sirm 67 ἐναθλεῖτε S τὸ om V 68 καὶ om VMPS Sirm 74 ὑπὸ: παρὰ VM Sirm πολεμίου VM Sirm

411. Ναυκρατίῳ τέκνῳ

Παρ' ἐλπίδα μέν, ἐπ' ἐλπίδι δὲ ὅμως ἐδεξάμην σου τὴν ἐπιστολήν, τίμιον τέκνον· τὸ πρῶτον διὰ τὴν ἐπίσφιγξιν τῆς φυλακῆς ἐξ ἐπιτροπῆς τοῦ βασιλέως, τὸ δεύτερον διὰ τὴν ὑπεράπειρον ἀγαθότητα τοῦ φιλανθρώπου θεοῦ, δι' ὑμᾶς τοὺς ἁγίους καὶ τὰ ἡμῶν τῶν ἁμαρτωλῶν εὖ διατιθεμένου, κἂν οἱ ἄνθρωποι δυσδιεξόδευτα πειρῶνται φέρειν. καὶ τί εἴπω ἢ τί διανοηθῶ ὁ τάλας ἢ ὅτι πάντα τὰ ὀστᾶ μου ἐροῦσι Κύριε, Κύριε, τίς ὅμοιός σοι, ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ;

Αὕτη μου ἡ πρώτη φωνὴ τοῦ οἰκτροῦ, κἂν ἐκ Δαυιτικῆς ᾠδῆς. δεύτερον ὅτι καὶ ἀδολεσχίας ἀνέθην ἀναγνοὺς τὸ γράμμα, ἐπεὶ εὗρον τὴν μέθειρξίν σου οὕτως ἔχουσαν, ὡς ἐδίδαξας· ἤμην γὰρ προμαθὼν ὅτι μόνον μετεφρουρήθης. εὐψύχει, ἀδελφέ, καὶ εὐφραίνου, ὅτι καθὼς πλεονάζει τὰ παθήματα τοῦ Χριστοῦ εἰς σὲ καὶ εἰς τοὺς ὁμόφρονάς τε καὶ ὁμοτρόπους σοι, οὕτω καὶ ἡ παράκλησις καὶ ὁ μισθὸς καὶ τὸ κλέος. καὶ πῶς ἂν εἶχεν εἰς τοὐμφανὲς ἐλθεῖν τὰ σκεύη τῆς ἐκλογῆς, εἰ μὴ παρῆν τὰ σκάνδαλα, παραχωροῦντος θεοῦ, τοὺς μὲν ποιοῦντας αὐτὰ δεικνύντος οἷοι εἶεν, ὡς ζιζάνια τηρούμενα εἰς καῦσιν πυρὸς αἰωνίου, τοὺς δὲ ὑπομονητικοὺς τῶν πειρασμῶν δοκιμάζοντος, ἡλιοειδῶς ἐκλάμψοντας ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; ὥστε μή σε ξενιζέτω τὰ γιγνόμενα καθ' ἑκάστην, εἰ ὁ μὲν ἤρθη, ὁ δὲ δέδεται καὶ ἄλλῃ τέτυπται, ἑτέρᾳ δὲ ὑπερώρισται καὶ ὅσα ἄλλα οὕτως ἢ ἑτέρως ἔχει· ἥξει μικρὸν ὕστερον ὁ τῆς ἀνταποδόσεως καιρός.

Ἀνέγνων ὃ πέπομφας (καὶ ἐπιγνοὺς καὶ εὐχαριστήσας τῷ Κυρίῳ αὖθις ἀντέπεμψα) περὶ τοῦ ἀββᾶ Ἰγνατίου· οἴμοι, ὅτι ἑάλω, ἐπεὶ φίλος ὁ ἀνὴρ διαφερόντως. ἀλλ' εὖ γε πεποίηκας, δοὺς μετανοοῦντι τὴν ἰατρείαν· ἱκανόν, τέκνον, τὸ παρὰ σοῦ δοθὲν κἀγὼ ὁ τάλας εὔχομαι αὐτῷ τὴν ἀναπάλαισιν, οὗ καὶ δέδεγμαι τὰς προσφοράς. εἰς τὸν ἀδελφὸν Ἀνατόλιον σπλαγχνίζομαι ὁ ταπεινός, ἐπεὶ φιλαδελφὴς

411. a. 819

7 Ps. 34,10 14 2 Cor. 1,5 16 Act. 9,15

C VM PS

11 ἀνείθην VMPS Sirm 15 τε C: σοι S: σου cett Sirm 17 ποιοῦντας: ποιοῦντος P 18 δεικνῦντος CVMP 20 ἐκλάμψαντας VM 21 καθεκάστην CPS Sirm 22 ἄλλη omnes: correxi ἑτέρα omnes: correxi 23 ἔχεις Mi ἀνταποδώσεως CS 25 οἴμμοι C 27 ἰατρείας P 29 φιλαδελφεῖς omnes: correxi

καὶ αὐτός. διὰ τοῦτο τολμῶ καὶ λέγω· κουφισθήτω αὐτῷ καὶ ἕτερος χρόνος, ὥστε πληρουμένης τῆς διετίας μετεχέτω τῶν ἁγιασμάτων. οἱ κοιμηθέντες τῶν ἀδελφῶν, φωτὸς υἱοὶ ὑπὲρ φωτὸς τῷ διωγμῷ τελειωθέντες, προσεύξοιντο περὶ ἡμῶν. οἱ ἄλλως τεθνηκότες ἐλεεινοὶ τῆς ἐκδημίας κατὰ τὰς ἐμὰς ἁμαρτίας, ὡς λέλεχας· τοιοῦτος καὶ ὕπερ ὁ Σευηριανός.

Πλὴν καὶ ἐκ τῶν ἐνδιαστρόφων εὐστροφία τοῖς ἐμμελέσι καὶ ὁ λόγος βαλλέσθω εἰς ζήτησιν, ὁσάκις προσίοι, κἂν ἐκ τῶν ἐναντίων, ὡς ἂν τῇ βασάνῳ καθάπερ ἐν παρατρίψει λίθων τὸ πῦρ ἐξάλλοιτο τῆς ἀληθείας. καὶ δὴ καὶ νῦν τοιαύτη / ἡ πρότασίς σου. ἔν τισιν ἱστορίαις εὕρηνται εἰκόνες ἐπιγράφουσαι ‚θειότης', ‚κυριότης', ‚βασιλεία'· δῆλον ὅτι ἐπὶ τῆς Χριστοῦ εἰκόνος τοῦτο λέγοις. καὶ πῶς τοῦτο; αἱ τοιαῦται φωναὶ κοινῶς ἐπὶ τῆς Τριάδος, οὐκ ἐφ' ἑνὸς προσώπου διακεκριμένως νενόηνται. εἰ γὰρ καὶ θεὸς καὶ Κύριος ἕκαστον πρόσωπον λέγοιτο, ἀλλ' οὐχ ἁπλῶς καὶ θεότης καὶ κυριότης· οἷον, ἐγὼ ὁ θεὸς τοῦ πατρός σου, φησίν, οὐχ ἡ θεότης· ἐγώ εἰμι ὁ ὤν, οὐχὶ ὀντότης, καὶ ἔβρεξε Κύριος πῦρ παρὰ Κυρίου, οὐχὶ κυριότης παρὰ κυριότητος. εἰ οὖν ἐπὶ τῆς θεολογίας οὕτως, πολλῷ οὖν μᾶλλον ἐπὶ τῆς οἰκονομίας οὐκ ἔχει λόγον τὴν εἰκόνα Χριστοῦ ‚θειότης' ἐπιγράφειν ἢ ‚κυριότης'· θεὸς μὲν γὰρ λέγοιτο καὶ Κύριος ἤ τι τῶν ὁμοδυνάμων τούτοις (ἀλλὰ καὶ τοῦτο ὁμωνύμως), οὐ μὴν θεότης ἢ κυριότης. ὡς, φέρε εἰπεῖν, καὶ ἐπὶ τοῦ γεγραμμένου ἀνθρώπου, ἄνθρωπος μὲν λέγοιτο, οὐ μὴν ἀνθρωπότης, καὶ βασιλεὺς τῶν ἐπὶ γῆς, οὐ μὴν βασιλεία. ἐσφαλμένως οὖν ἔχει, ὡς ἐμοὶ δοκεῖ, ἡ ὑπογραφή· συμπεριγράφει γὰρ καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα, ὅπερ ἄτοπον.

Τοσαῦτα μὲν ὡς κατ' ἐπιτομήν. αὐτὸς δὲ προσεύχου περὶ τῆς ταπεινώσεώς μου θερμότερον, ἀλλὰ καὶ ὑπὲρ τοῦ ἀδελφοῦ, ὃς καὶ προσαγορεύει γνησιώτερον. τὸ ἱμάτιον ἐδεξάμην· καὶ ἕως πότε οὐ παύσῃ ἐνδιδύσκων ἡμᾶς, ἀγαπητέ; ἀντιθάλψειέν σε Κύριος ἐν πνεύματι. τὰ ἐλλείποντα ὁ γραμματηφόρος ἀπαγγελεῖ. ἔρρωσο ἐν πᾶσιν.

---

32 φωτὸς υἱοί: cf. G. A. Deissmann, Bibelstudien. Marburg 1895, 163; E. Buonaiuti, Figli del giorno e della luce. Rivista storico-critica delle scienze teologice 6 (1910) 89 sq. 56 ἀδελφοῦ: Nicolaus

---

32 Joh. 12,36 40 cf. Dion. Ar. div. nom. 12,3 (PG 3,969 C) ἁγιότητα καὶ κυριότητα καὶ βασιλείαν ὑπερκειμένην καὶ ἁπλουστάτην θεότητα 45 Gen. 28,13 Apoc. 1,8

---

30 διατοῦτο VMPS 35 σεβηριανός S 37 προσίει S 38 ἂν: ἐν Sirm: ἂν ἐν VM (fort recte) 41 δηλονότι VMPS Sirm τοῦτο: ταῦτα VM λέγεις S 42 ἐφ': ἀφ' VM 45 οὐχ ἡ: οὐχὶ $V^{pc}M$ 46 οὐχὶ[1]: οὐχ ἡ S^{pc} (fort recte) 49 ἤ: εἴ $CM^{ac}P^{ac}$ 53 ὑπογραφή CM: ἐπιγραφή $V^{ac}P^{ac}S$ Sirm 56 γὰρ post ἀλλὰ add VMPS Sirm (fort recte) 58 ἀντιθάλψειέ VMPS Sirm

412. Εἰρήνῃ πατρικίᾳ

Πρότερον, ἡνίκα ἡ ὑπόπτωσις, λυπηρόν μοι τὸ γράμμα πρὸς τὴν τιμιότητά σου, νῦν δὲ καὶ λίαν περιχαρὲς διὰ τὴν ἐξανάστασιν καὶ τὰς ἐπὶ τῶν τιμίων σου σαρκῶν ὑπὲρ ὁμολογίας Χριστοῦ μάστιγας. καὶ εὖγε, εὖγε, ἀνδρειοτάτη ἐν γυναιξίν, ὅτι τῆς ἥττης περιφανεστέραν τὴν ἀναπάλαισιν ἀπειργάσω, εὐφράνασα θεόν τε καὶ ἀγγέλους καὶ τῶν ἀνθρώπων τοὺς εὐσεβεστάτους. καὶ σὺ ὄντως ἀληθῶς εὐγενής, τῶν ἀφ' ἡλίου ἀνατολῶν ὁρμωμένη· σὺ φιλόθεος καὶ φιλάρετος, σὺ παθοκτόνος καὶ ἐχθρόκοσμος. ὡς αἰνετόν σου τὸ ὄνομα καὶ διαλαλητή σου ἡ μαρτυρία. τί ταῦτα; ἔλαβες τὴν εὐαγγελικὴν μάχαιραν ὡς στρατιῶτις Χριστοῦ, διέκοψας ἐν ἐκστάσει τὰς σχέσεις τοῦ σώματος, ἀπετμήθης κεφαλῆς ὑποκυπτούσης, θυγατρὸς μονοκλαδούσης, ‚ἔρρωσθε' φράσασα πόλει βασιλευούσῃ, γένει περιβλέπτῳ, φίλοις ὑπερέχουσιν, οἰκίᾳ ὑπερλάμπρῳ, ἀξίᾳ ὑπερφυεστάτῃ, τῶν κατὰ χθόνα οἰκετῶν πλήθει, ὑπάρξει παντοδαπῇ, τοῖς ἄλλοις, οἷς οὐκ εὐμαρῶς μοι λέγειν, καὶ ἀραμένη τὸν σταυροφόρον βίον ἀπεωρίσθης που μακράν, ὡς μεμάθηκα, ἐν νήσῳ. εὐλογημένη σὺ καὶ εὐλογημένος ὁ καρπὸς τῆς μαρτυρίας σου. καὶ πόθεν σοι τοῦτο ὅλον τὸ ἀγαθόν, τὸ μέγα κλέος, ἡ μεγίστη εὐφημία ἀλλ' ἢ ἐκ τῶν προϋπηργμένων σοι κατορθωμάτων, / ἐκ τῆς πολλῆς σου ἐντεύξεως καὶ προσευχῆς, ἐκ τῆς ὑπερβαλλούσης σου φιλευποιίας καὶ φιλομονάχου καρδίας; οὐκ ὤλλυντο οἱ καρποί, κἂν ἐπὶ μικρὸν διεσείσθησαν, οὐ κατέαξέν σου τὸν ἀρετῆς πύργον ὁ ἀντικείμενος ὄφις, εἰ καὶ δέδακεν· ἀποκέκρουσται φθόνος τῶν ἐπιτωθασάντων, πέπτωκεν ὀνειδιζόντων ὕθλος. νενίκηκε Χριστὸς ἐν σοὶ καὶ διὰ σοῦ, ὦ καλλίγυναι, ὦ φιλομάρτυς καί, τὸ τρίτον, ὦ μῆτερ ἐμή· καλῶ γὰρ τοῦτο ἐν πνεύματι ὡς σύναθλον καὶ τῶν ἀπὸ σαρκὸς γνωριζομένων σπλάγχνων ἐγγύτερον· οὕτω γὰρ οἶδεν τὸ πνεῦμα συνάπτειν τοὺς ἀπ' αὐτοῦ κυοφορουμένους.

---

412. a. 818 – 820?

17 Luc. 1,42 sq.

C VM PS

13 ἐρρῶσθαι VMPS Sirm 14 οἰκίαν ὑπέρλαμπρον C 16 εὐμαρές VMPS Sirm 17 ποῦ CVM 20 σου: σοι V 22 ὤλοιντο C: ὤλοντο cett Sirm: correxi 23 κατέαξε VMPS Sirm πῦργον S 25 φιλόμαρτυς VMPS Sirm 28 οἶδε VMPS Sirm

Οἶδά σου τοὺς πόνους, οἶδα τὰς ἰνοκοπίας τῆς ψυχῆς, πάντα, ὅσα ῥαγεῖσα κόσμου ὑποίσω. ἀλλὰ θάρσει· πολύς σου ὁ μισθὸς ἐν οὐρανοῖς· νύμφη Χριστοῦ χρηματίζεις, κἂν ἀπὸ ἀνδρός, συμπολῖτις τῶν δικαίων καὶ ἁγίων, εἴπερ ἐμμενοῦμεν ταῖς θείαις ὁμολογίαις ἕως τέλους. νῦν δὲ παραινῶ καὶ λιπαρῶ ὑπομονητικῶς σε ἐνεγκεῖν τὴν ἐξορίαν καὶ ἐρημίαν πάντων, ἀναθεωροῦσαν τὰ οὐράνια, εἰδυῖαν τὸ ἐπὶ γῆς παίγνιον καὶ ὠκύμορον. μετὰ σοῦ ὁ φύλαξ σου τῆς ζωῆς ἄγγελος, Χριστὸς αὐτός, ὁ εἰπών· ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. ἓν δὲ ὑπομνήσκω· σεαυτὴν περιποιοῦ, δίαιταν παρακλητικωτέραν ἀσπαζομένη· οὐ γὰρ καιρὸς ἐγκρατείας ἄρτι τοσοῦτον, ὅσον τὸ πρότερον. καὶ τέλος προσεύχου περὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὡς ἂν τοῖς λόγοις τὸν βίον συναρμόσοιμι.

413. Εὐφημίᾳ ἐγκλειστῇ

Εἰ καὶ ἐλλείπομεν συχνότερον τῇ τιμιότητί σου ἐπιστέλλειν, ἀλλ' οὖν τοῦ μεμνῆσθαι αὐτῆς ἐν Κυρίῳ οὐκ ἐπιλελήσμεθα διὰ τὸ κοινωνικὸν τῆς προθέσεως καὶ τὸ ἐπιδοτικὸν τῆς προαιρέσεως, ὃ ἱκανῶς ἔχει. ὡς μανθάνω, ἀπὸ πρώτης ἡλικίας ᾑρετίσω τὸν σταυροφόρον βίον καὶ ἔτι τὴν φρουρητικὴν διαβίωσιν. καὶ ἡλίκον σου τὸ ἐγκώμιον, νύμφη Χριστοῦ. ἀλλ' ὑπομνήσκω περιέπων σε πνευματικῶς ὡς ἀδελφήν· ἐπείχθητι, κυρία, ἐπείχθητι θεραπεῦσαί σου τὸν νυμφίον. ἡ νυμφευθεῖσα, πάσης σχέσεως ἑαυτὴν ἀποδιίστασο, ὅλην τὴν καρδίαν καὶ ὅλην τὴν ψυχὴν καὶ ὅλην τὴν διάνοιαν ἐρωτικῶς πρὸς τὸν ἑαυτῆς νυμφίον ἔχουσα. εἰ τοῦτο ἐπὶ τοῦ φθαρτοῦ καὶ ῥέοντος ⟨οὕτως⟩ ἔχει, πόσῳ οὖν μᾶλλον ἐπὶ τοῦ ἀφθάρτου καὶ ἀθανάτου; οὕτως ὀφείλομεν (κοινὸς ὁ λόγος) καὶ ἡμεῖς διακεῖσθαι πρὸς τὸν Κύριον καὶ δεσπότην καὶ μὴ λαμβάνειν κόρον τοῦ πόθου αὐτοῦ, καὶ ἐν τούτῳ ἐξίστασθαι πάσης ἡδονῆς καὶ ⟨σχέσεως⟩ φθοροποιοῦ, ὅτι

---

30 Matth. 5,12 34 Greg. Naz. or. 7,19 (PG 35,777 C) τοιοῦτο τὸ ἐπὶ γῆς παίγνιον 36 Joh. 14,23

31 κἂν P συμπολίτις codd Sirm: corr Mi 33 λιπαρῶ καὶ παραινῶ V Sirm 37 ποιήσωμεν C ὑπομιμνήσκω VMPS Sirm 39 τοπρότερον S

413. a. 816 – 820 2 τιμιότητι: allocutione alloquitur plerumque mulieres; cf. epp. 85,2; 87,2; 412,3; 434,2; 454,4; 472,2; 539,2 etc.

C VM PS

1 ἐγκλείστη Mi 7 ὑπομιμνήσκω VMPS Sirm 8 νύμφιον S 9 ἀπὸ διΐστασο C 10 ὅλην τὴν[1] om Mi 12 οὕτως supplevi οὖν om V 13 ὀφείλωμεν C κοινῶς C καὶ om PS Sirm 15 σχέσεως supplevi

καὶ αὐτὸς ἐρωτικῶς πρὸς ἡμᾶς ἔχεται καὶ οἱονεὶ ἐξίσταται τῇ ὑπεραπείρῳ ἀγαπήσει· μὴ γὰρ οὐ διὰ σὲ θεὸς ὢν δούλου μορφὴν ἀνέλαβεν, ἣν νῦν ἀτιμάζουσιν οἱ εἰκονομάχοι; μὴ οὐκ ἐπτώχευσεν πλούσιος ὤν; μὴ οὐχ ὑπέμεινεν τὰ θλιβερὰ ἅπαντα, ὕβριτας, ἐμπτύσματα, ῥαπίσματα, μάστιγας, σταυρὸν καὶ θάνατον; οὕτως ὀφείλει ἑκάστη ψυχὴ διατίθεσθαι, ὡς ὑπὲρ αὐτῆς μόνης, κἂν ὑπὲρ πάσης, τὰ παθήματα, καὶ στέργειν καὶ ἀγαπᾶν καὶ ἐφίεσθαι ἐξ ἴσου ἀντι/πεπονθέναι· κἂν τυχὸν οὐ παραχωρῆται ὑποῖσαι ταῦτα, καὶ ἡ πρόθεσις ἀποδέδεκται εἰς ἔργον, οὕτω τοῦ ἀγαθοῦ θεοῦ φιλοτιμουμένου.

Ταῦτα οὐχ ὡς οὐκ ἐχούσης σου ἔναυλα, ἀλλ' ὡς συμψυχῶν σοι ἐν Κυρίῳ.

414. Θεοφίλῳ τῆς Ἐφέσου

Δανείσας τὸ γράμμα ἀπεκαραδόκουν λήψεσθαι τὸ χρέος τῆς ἀγάπης, ἀλλ' ἐπεὶ οὐκ εἴληφα, φιλῶ καὶ αὖθις δανεῖσαι· ἡδὺ γάρ μοι τὸ δάνειον λίαν, ἤγουν τῇ σῇ ἱερᾷ κορυφῇ διαλέγεσθαι διὰ Χριστὸν πασχούσῃ, μᾶλλον δὲ ὁμολογητικῶς στεφανουμένῃ τε καὶ καλλωπιζομένῃ. οὐ γάρ, οἷς ὀφθαλμοῖς βλέπει κόσμος, τούτοις ἀθρεῖ καὶ νοῦς ὁρῶν θεὸν καὶ θεῖα, ὅτι ὁ μὲν τὰ φθειρόμενα καὶ ἀπολλύμενα οἴεται τῶν ἀγαθῶν μοῖραν τυγχάνειν, κακῶς εἰδὼς καὶ πεπλανημένως, ὁ δὲ ἐκεῖνο καὶ μόνον κρίνων μακάριον, ὃ οὐκ ἐνταῦθα τὴν εὐπάθειαν ὁρίζοι, ἀλλ' εἰς τὸν μέλλοντα αἰῶνα ἐναποθησαυριζόμενον εἰς χαρὰν ἀπεράντου θυμηδίας.

Οὕτω τὰ κατὰ τὴν ἁγιωσύνην σου ἐγὼ ὁ τάλας ὁρῶν χαίρω καὶ συγχαίρω σοι, τριπόθητε. περιεφρόνησας δόξης ἐπιγείου, εἵλου σὺν Χριστῷ τὰ ταπεινὰ καὶ ἐξουθενημένα, μᾶλλον δὲ θλῖψιν καὶ στε-

---

17 Philipp. 2,7

16 ὑπὲρ ἀπείρῳ C 18 ἐπτώχευσε VMPS Sirm 19 ὑπέμεινε VMPS Sirm ὕβριτας C: ὕβριν VM: ὕβρεις cett Sirm 22 ἐξίσου CVP Sirm 23 κἂν P παραχωρεῖται CV[ac]

---

414. a. 816 – 820 4 τῇ σῇ ἱερᾷ κορυφῇ: his vocibus plerumque imperator appellatur in epistulis; cf. Dinneen, Titles 33

13 1 Cor. 1,28 14 Rom. 8,35

C VM PS

1 θεοφίλου C 4 κορυφῇ: κεφαλῇ V 7 τὸν ante θεὸν add S 11 ἀπέραντον C[ac] Sirm 13 σοι om VMPS Sirm τρισπόθητε P 14 θλίψιν omnes: correxi

νοχωρίαν, πληγὰς καὶ ἐξορίας. ὡς μακάριά σου τὰ πρακτέα, ὡς αἰνετά σου τὰ παθήματα, ἀνατολῇ καὶ δύσει διαβοούμενα, ἐν οὐρανοῖς ἀπογραφόμενα, ἀγγέλους εὐφραίνοντα, ὁμολογητὰς καὶ μάρτυρας ἡδύνοντα, δαίμονας καὶ τοὺς τούτοις ὁμόφρονάς τε καὶ ὁμοτρόπους εἰκονομάχους στίζοντα. εἰκότως οὖν σοι συναγάλλομαι, πατροπάτορ· ἀλλ᾽ αἰτῶ δέεσθαί σε καὶ περὶ ἐμοῦ τοῦ κατὰ πάντα οἰκτροῦ, ὡς ἂν μὴ ἀποπεσεῖν με τῆς κατ᾽ ἴχνος ὑμῶν παραστάσεως.

415. Ναυκρατίῳ τέκνῳ

Ὠψίσθημεν ἐπιστεῖλαί σοι, τέκνον ἠγαπημένον, ἀλλ᾽ ὅτι καὶ ἐνταῦθα διωγμὸς ζέων, πληγαί, δεσμά, φυλακαί, οὕτω τοῦ κατέχοντος ἡμᾶς πνέοντος θυμοῦ καὶ ἀπειλῆς καὶ τοὺς ὧδε κἀκεῖσε εὑρισκομένους εὐσεβεῖς συλλαμβάνοντός τε καὶ κολάζοντος· ὅς γε καὶ ἀπαίρων ἐν ἄστει (αὐτόθι γὰρ νῦν διατρίβει) οὐκ ὤκνησεν εἰπεῖν ὅτιπερ ‚ἐξαιτήσομαι τὸν βασιλέα βασιλικὸν συνεπᾶραι εἰς τὸ πάντως ἀποκεφαλίσαι ἢ καὶ γλωσσοκοπῆσαι'. οὐκ οἶδα μέν, εἰ ὁ λόγος εἰς πέρας ἔλθοι· ἐφ᾽ ᾧ ἡμεῖς μὲν τὰ συντακτήρια ἤδη ἐποιησάμεθα καὶ ἄλλως στοχαζόμενοι ἔκ τε τῆς κακοηθείας τοῦ ἀνδρὸς καὶ τῆς συνδρομῆς τῶν ἐν τοῖς αὐτόθι ἐπισκόπων· ἐπείπερ, ὥς φασιν, πάρεισιν, ὅτι τοιοῦτόν τι ἀποτελεσθείη. ὁ δὲ ὑπηρέτης ἔμφοβος καὶ ἔντρομος γενόμενος (ἐπείπερ ἦν καὶ προαπειλούμενος σφόδρα πρὸς αὐτοῦ τοῦ ἀσεβάρχου, εἰ εὑρεθείη κἄν τι μικρὸν ὑπαίτιος, μηκέτι ζῆν) ἔδεισε παντάπασιν ἐπιδοῦναι ἡμῖν χάρτην καὶ μέλαν. ἐντεῦθεν ἡ βραδυτής. ἔπειτα προσεγένετο εἰς ἐμπόδιον καὶ ἀκοὴ τοιαύτη, ὅτι τοι αὐτὸς ἐπήρ/θης τῆς φυλακῆς, ἀλλ᾽ ὅτι καὶ δι᾽ ἀνοσιουργίαν τινὰ ὁ Σάρδης, ποῖος οὐχ ὡρισμένως, ἐκαρατομήθη. ἐξ ἀμφοτέρων οὖν ἡ ὑποκράτησις. ὅμως ὅτι ἠξιώθημεν οἱ ταπεινοὶ καὶ αὖθις ῥῆξαι φωνὴν εἰς τὰ ὦτά σου, γνωρίζοντές σοι ὅτι ἐρρώμεθα σώματι, εἴη δὲ εἰπεῖν καὶ πνεύματι, εὐχαῖς ὑμῶν ἁγίαις σὺν τοῦ μακαρίου μου πατρός.

---

16 διαβοώμενα VMPS Sirm 19 πατροπάτωρ C: προπάτορ V^{ac}M: πρωτοπάτορ V^{pc} Sirm 21 ἀποπεσεῖν με: ἀποπέσοιμι V

---

415. altero semestri spatio a. 819 3 τοῦ κατέχοντος: metropolita Smyrnaeus 6 ἄστει: Cpolis 18 ποῖος: Euthymius vel Ioannes

C VM PS

2 ante ἐπιστεῖλαι exc fort vocula τοῦ; cf ep 527,2 4 ὧδε VM 7 συνεπάραι CPS Sirm 11 ἐν τοῖς om VMPS Sirm φασι VMPS Sirm 13 πρὸ ἀπειλούμενος C (fort recte) 18 ὁρισμένως C

Πρὸς ἃ δὲ αὐτὸς ἐσήμανας, τί εἴπω καὶ τί λαλήσω ἢ ὅτι κατὰ τὸ χαλεπὸν τῆς αἱρέσεως ἀκόλουθος καὶ ὁ πικρὸς διωγμός; τί γὰρ βούλει ὁρᾶν, ἐπὰν ὁ Χριστὸς ἤρνηται δι' ὕβρεως τῆς ἁγίας αὐτοῦ εἰκόνος; οὐχὶ αἵματα κενούμενα καὶ σάρκας τεμνομένας, οὐ θλίψεις καὶ στενοχωρίας, οὐ δεσμὰ καὶ φυλακὰς καὶ ἄλλην παντοίαν κάκωσιν, οὐχὶ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν, ὧν εἷς ὃν εἶπας; καὶ ἔτι ὄψει, ἀδελφέ, δεινότερα, ἐπὰν μακροχρονῇ ἡ αἵρεσις. ἀλλὰ μακάριοι οἱ ὑπομένοντες, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· ἤδη οἱ χοροὶ τῶν ὁμολογητῶν, τῶν μαρτύρων ἀγάλλονται, εὐφραίνονται, οὓς μὲν διὰ θανάτου αἰσίου ὑποδεχόμενοι, οὓς δὲ ἐπαλείφοντες ἀοράτως ταῖς ἐπισκέψεσιν. καὶ τί λέγω μάρτυρας; αὐτὸς Χριστὸς ὁ μαρτυρούμενος χαίρων τε καὶ συναθλῶν ἐστιν ἑνὶ ἑκάστῳ τῶν ὁμολογούντων. εἰ μὴ γὰρ οὕτως, οὐκ ἂν ἔφερον οἱ φέροντες τὰ παρόντα γενναίως, οὐκ ἂν καὶ γυναῖκες ἠνδρίζοντο κατὰ τὰς πάλαι ἁγίας, οὐκ ἂν καὶ λαϊκοὶ καὶ συγκλητικαὶ ἀπεδύοντο πρὸς τοὺς ἀγῶνας, οὐκ ἂν καὶ κόραι κατεφρόνουν ὄψεως ἀρρένων ἀσεβούντων, οὐκ ἂν ἐδείκνυντο πανταχοῦ δημόσιοι φυλακαὶ καὶ ἐπληροῦντο ἔρημοι ὄρη τε καὶ νάπαι καὶ σπήλαια τῶν διὰ Κύριον πεφυγαδευμένων, οὐκ ἂν ἐκωδωνεῖτο ἡ ὑπ' οὐρανὸν τέλος εἰπεῖν. ὥστε πιστευτέον ἐναργῶς ὅτι Χριστὸς δεδίωκται, ὥστε ἐλπιστέον ὁμοῦ καὶ προθυμητέον ὅτι οἴσειεν πᾶς τις ἐν ἀληθείᾳ πιστεύων πᾶν ὁτιοῦν κολαστικὸν μετὰ Χριστοῦ καὶ σὺν Χριστῷ.

Τοιαῦτα τὰ ἡμέτερα διηγήματα. ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν, ἀκουέτω ἀνατολὴ καὶ δύσις τὰ ἐν Βυζαντίῳ καὶ αἰνείτω· ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. ὧδε ἔνστασις ἀθλητική, ὧδε αἷμα ῥεῖ, ἄρδον τὴν ἐκκλησίαν Χριστοῦ ὑπὲρ τὸν ποτισμὸν τοῦ ἐν Ἐδὲμ παραδείσου. ζῶ ἐγώ, λέγει Κύριος, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω καὶ ὁ ἐξουθενῶν με ἀτιμασθήσεται. ἀπόγραφε καὶ σύ, ὅστις ἂν εἴης, ζηλῶν τῷ Κυρίῳ, τὰ νεουργά, μᾶλλον δὲ θεουργὰ μαρτύρια, ὡς ἂν ἴδοιεν οἱ μεταγενέστεροι ὅτι ὁ θεὸς ὄντως ἐν ἡμῖν ἐστιν καὶ ζῇ τὸ σπέρμα τῶν δικαίων καὶ χριστοφορεῖ

---

25 Rom. 8,35   27 Rom. 9,22   29 Matth. 5,10   38 Hebr. 11,38   44 Ps. 33,3   46 Rom. 5,20   48 1 Reg. 2,30   51 Gal. 2,20

---

23 ἀκόλουθος S[sscr]   24 ἐπᾶν MP   ὕβρεως S[sscr]   27 καὶ post εἷς add S   28 ὄψη C   ἐπᾶν P   31 ὑπαλείφοντες S   32 ἐπισκέψεσι VMPS Sirm   34 post φέροντες voculam νῦν cancell S   36 συγκλητικοὶ V Sirm   40 πιστευτέον scripsi: πιστεύοντε C: πιστεύεται MS: πιστεύονται cett Sirm   42 οἴσειε VMPS Sirm   ὅτι οὖν C   46 ὑπὲρ ἐπερίσσευσεν C   ὧδε VM   47 ὧδε VM   48 τοῦ: τὸν VM   51 εἴδοιεν C: εἰδοῖεν cett Sirm: εἰδεῖεν Mi: correxi   52 ἐστι VMPS Sirm

τὸ χρυσοῦν γένος τῶν μαρτύρων, οὗ πύλαι ᾅδου οὐ κατίσχυσαν οὔτε κατισχύσειεν, ὡς ἡ ὑπόσχεσις τοῦ ἀψευδοῦς. σκληρόν σοι, φησί, πρὸς κέντρα λακτίζειν, καὶ ἀλλοίως οὐκ ἔστιν.

Ἐγὼ μὲν ὁ τάλας ταῦτα προσφωνῶ, σὺ δέ, ὦ παῖ ἱερέ, ἀντιδίδου μοι τὰς εὐχάς. ἄσπασαι τοὺς συνομολογητάς σου κατ' ὄνομα καὶ συμμαθητὰς καὶ οὐ μόνον τούσδε, ἀλλ', εἰ φθάζοις, καὶ τοὺς ἄλλους ἅπαντας τοὺς ἐκλεκτοὺς τοῦ θεοῦ, τοὺς ἐκλελοχισμένους ἀπὸ μυριάδων, τοὺς / ἐν κόσμῳ φωστῆρας, τὰ σκεύη τοῦ ἐλέους, τοὺς χρησίμους θεῷ, τοὺς ἐφετοὺς τῇ Τριάδι, ὧν εὐχαῖς σωθείημεν καὶ ἡμεῖς οἱ ἀνάξιοι. σὲ σὺν πᾶσι καὶ ὁ σὺν ἐμοὶ ἀσπάζεται.

416. Νικολάῳ τέκνῳ

Ἐπειδὴ φιλοπευστεῖς μαθεῖν, ἀδελφὲ Νικόλαε, ἀπὸ ποίων τεττάρων ὑποθέσεων ἡ περὶ τὴν σεπτὴν εἰκόνα Χριστοῦ ἀλήθεια κρατύνεται, ἰστέον ἀπὸ φυσικοῦ δόγματος, ἀπὸ ἀρχαίας ἱστορίας, ἀπὸ φωνῶν ἁγίων, ἀπὸ συνοδικῆς ἐκφωνήσεως.

Πῶς ἀπὸ φυσικοῦ δόγματος; ὅτι αὕτη φύσις σώματος, ἁφῇ καὶ χροιᾷ ὑποπίπτειν, τὸ δ' ἁφῇ καὶ χροιᾷ ὑποπῖπτον περιγραπτόν, ἤγουν ἐξεικονιζόμενον· τοιοῦτον δὲ τὸ σῶμα τοῦ Χριστοῦ, καθάπερ καὶ τὸ ἡμέτερον, ἁπτὸν καὶ ὑπόχροιον. καὶ γοῦν γέγραπται· καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσῴζοντο. καὶ ἑτέρωθι· ἐγένετο τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον. οὐκοῦν ἐγγράφεται κατὰ τὸν τοῦ σώματος χαρακτῆρα, μηδὲν πεπονθὼς εἰς τὸ ἀπερίγραπτον αὐτοῦ τῆς θεότητος, ὅτι μηδὲ ἐγὼ σώματι περιγραφόμενος ἐξ ἀνάγκης καὶ κατὰ τὴν ἀθέατον ψυχὴν συμπεριγέγραμμαι· οὐδὲ ἐπειδὴ τὸ μὲν σῶμά μου περιγραπτόν, ἡ δὲ ψυχὴ ἀπερίγραπτος, ὁ εἷς εἰς δύο τέτμημαι. οὕτω

---

53 Matth. 16,18   54 Act. 26,14   60 Philipp. 2,15

54 κατισχύσειαν VMPS Sirm   58 φθάζεις VMPS Sirm   59 ἐκλελοχισμένους: ἐκλελεγμένους VM: ἐκλελογισμένους Sirm

---

416. a. 815 – 820

9 Marc. 6,56   10 Luc. 9,29

CH VM P_2P_1S

1 δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add P_1S: in marg Sirm   2 τεσσάρων Sirm   5 καὶ ante ἀπὸ add H   6 $\bar{α}^{ον}$ in marg S   α′ in marg Sirm $\bar{α}$ in marg P_1 6 ⟨ἡ⟩ φύσις dubitanter Kambylis   7 ὑποπίπτει Mi   τὸ – ὑποπῖπτον om C   ὑποπίπτον omnes: correxi   9 καὶ[3] om VMH   10 καὶ ante ἐγένετο add VPS Sirm   11 οὐκ οὖν C   14 μου: σου P_1S   15 τέτμηται MPS Sirm

πολλῷ μᾶλλον οὐδὲ Χριστὸς τομὴν ἢ διαίρεσιν ὑφίσταται διὰ τὸ ἐξεικονίζεσθαι αὐτὸν σωματικῷ χαρακτῆρι.

Πῶς ἀπὸ ἀρχαίας ἱστορίας; ὅτι ἡ ὑπ' οὐρανὸν ἀπ' αὐτῆς τῆς ἀναλήψεως Χριστοῦ τὴν σεπτὴν αὐτοῦ εἰκόνα ἐν τοῖς ἱεροῖς ναοῖς ἐγγεγραμμένην ὑποδείκνυσιν· οὗ τί ἂν γένοιτο εἰς ἀπόδειξιν ἀληθείας ἐναργέστερον, εἴπερ ἔργον λόγου βεβαιότερον καὶ ὀφθαλμὸς μάρτυς ἀκοῆς ἀξιοπιστότερος;

Πῶς ἀπὸ φωνῶν ἁγίων; ὅτι που μὲν ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος λέγει· ἐξένεγκον τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐντύπωσον αὐτὴν ἐν τῷ πυργίσκῳ, ἵνα ἴδωσιν οἱ λαοὶ οἵαν μορφὴν ἀνέλαβεν ὁ υἱὸς τοῦ θεοῦ· πού δὲ ὁ Μέγας Βασίλειος φάσκει· ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός. οἷς συνομοφρονοῦσι δῆλα δὴ πάντες οἱ ἅγιοι.

Πῶς ἀπὸ συνοδικῆς ἐκφωνήσεως; ὅτι ἡ μετὰ τὴν ἕκτην οἰκουμενικὴν σύνοδον συναθροισθεῖσα τάδε φησίν· ὁρίζομεν τοίνυν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

Εἰ δὲ λέγοιεν καὶ οἱ εἰκονομάχοι ταῖς αὐταῖς τέσσαρσιν ὑποθέσεσιν τὸ ἑαυτῶν κρατύνειν δόγμα, δειξάτωσαν οἷον ἐπὶ τοῦ πρώτου κεφαλαίου ὅπως τοῦτο. πότερον, σῶμα τοιοῦτον λέγουσιν οἷον ὑπέδειξεν ἡ ἀλήθεια ἢ οὔ; εἰ μὲν τοιοῦτον, καὶ μὴ βουλόμενοι συνομολογήσουσιν ἐξεικονίζεσθαι Χριστόν· εἰ δὲ οὐ / τοιοῦτον, λειπόμενόν ἐστι πάντως λέγειν αὐτοὺς ἀναφές τε καὶ ἄχροιον· τούτων γὰρ μέσον οὐδέν, ὡς οὐδὲ ἐνύλου καὶ ἀΰλου, ὁρωμένου τε καὶ ἀοράτου. τὸ δὲ τοιοῦτον ἀνειληφέναι τὸν Χριστὸν σῶμα λέγειν Μανιχαίων, δοκήσει καὶ φαντασίᾳ τὴν σωτήριον Χριστοῦ οἰκονομίαν φληναφούντων γεγενῆσθαι. ἐπὶ τοῦ δευτέρου, κἂν αὐτοὶ σιωπῶσιν τὴν ἀλήθειαν, οἱ λίθοι κεκράξονται τὴν ὑφ' ἡλίῳ τῇ εἰκόνι Χριστοῦ περιαστράπτε-

---

29 ἡ μετὰ τὴν ἕκτην: synodus in Trullo a. 691 – 692 convocata

21 Apost. cent. 18,71 (CPG II 7) 24 cf. Act. SS. April. I (Antverpiae 1675) 237 27 Bas. hom. in Barl. mart. 3 (PG 31,489B) 30 Conc. quin. can. 82 (XI 980A Mansi) 42 Luc. 19,40

16 πολλῷ om P_1S 18 β̄ in marg P_1P_2 β'] in marg Sirm τῆς om VMPSH Sirm 19 αὐτοῦ post ἱεροῖς add VM 23 γ̄ in marg P_1P_2 γ' in marg Sirm 24 ἐξένεγκε H: ἐξενεγκὼν VM 25 καὶ om VM 26 ἀνέλαβεν: ἔλαβεν S ποὺ H 28 συνοφρονοῦσι C: συμφρονοῦσι H 29 δ̄ in marg P_1P_2 δ' in marg Sirm οἰκουμενικὴ VH 30 σύνοδος VH 32 ἡμῶν om VMH Sirm ἡμῶν post σωτῆρος add V Sirm 33 ὑποθέσεσι VMPS Sirm 34 ᾱ in marg P_1P_2 α' in marg Sirm 35 λέγουσι C 42 β̄ in marg P_1P_2 'β^{ov} in marg S β' in marg Sirm κἀν P_2 σιωπῶσι VMPS Sirm 43 κεκράξωνται C ὑφηλίῳ C: ὑφήλιον V: ὑφ' ἥλιον M τοῦ post εἰκόνι add H

σθαι. ἐπὶ τοῦ τρίτου, οἱ τῷ κορυφαίῳ Πέτρῳ καὶ τῷ Μεγάλῳ Βασιλείῳ ἀντιδιατιθέμενοι τῆς αὐλῆς Χριστοῦ παντάπασιν ἀλλότριοι. ἐπὶ τοῦ τετάρτου, ἡ ἐν Βλαχέρναις παρ' αὐτοῖς λεγομένη σύνοδος κατὰ τῆς εἰκόνος Χριστοῦ πολὺ μεταγενεστέρα τῆς μετὰ τὴν ἕκτην συναθροισθείσης ὑπὲρ τῆς εἰκόνος Χριστοῦ· καὶ ἡ μὲν ἀποδεδεγμένη παρὰ τοῖς πέντε πατριάρχαις, ἡ δὲ ἀναθεματιζομένη παρὰ τοῖς τέσσαρσιν ὡς χριστομάχος. ἔπειτα καὶ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον ὡς ὁμόφρων τῇ μετὰ τὴν ἕκτην συνόδῳ εὐπρόσιτος παρὰ τοῖς πέντε, ἡ δὲ νῦν ἀθροισθεῖσα ἐπὶ βεβαιώσει τῆς ἐν Βλαχέρναις κατὰ τῆς εἰκόνος Χριστοῦ ἀπόπτυστος ὡς κἀκείνη.

Αὕτη τοιγαροῦν σύντομος ἀπόδοσις τῆς ἀληθείας καὶ ἔλεγχος τῶν ἐναντίων.

417. Ναυκρατίῳ τέκνῳ

Τὸ μὲν ἱερὸν γράμμα φησί· φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ ὀδυρμὸς πολύς, Ῥαχιὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι· ἐγὼ δὲ ὁ τάλας μεθαρμόσας τὴν φωνὴν ἐκεῖνο εἰκότως φράσαιμι· χαρᾶς εὐαγγέλια ἠκουτίσθη ἡμῖν παρὰ τῆς τιμιότητός σου, ἐφ' ᾧ σκιρτᾶν ἔστιν οὐ τὴν πόλιν τήνδε ἢ τήνδε, ἀλλὰ σχεδὸν εἰπεῖν ἅπασαν τὴν ὑπ' οὐρανόν, ὅτι καθεῖλεν Κύριος οὐ τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων οὐδὲ τὸν Ὢγ βασιλέα τῆς Βασάν, βασιλεῖς μικροὺς καὶ μικρὸν μέρος τῆς οἰκουμένης ἐκθλίβοντας,

46 ἡ ἐν Βλαχέρναις: synodus a. 754 convocata 51 ἡ δὲ νῦν: synodus vere a. 815 convocata

44 γ̄ in marg P_1P_2 'γ^{ον} in marg S γ' in marg Sirm 46 δ̄ in marg P_1P_2 'δ^{ον} in marg S δ' in marg Sirm 50 χριστομάχου H 51 τοῖς: ταῖς V 54 τοιγὰρ οὖν C

417. mens. Ian. a. 821

2 Jer. 38,15; cf. Matth. 2,18 7 Greg. Naz. or. 4,1 (PG 35,532 A = p. 86 Bernardi) (de Juliano) 8 Num. 21,26 Num. 21,33

C VM PS

3 Ῥαχὴλ VMS Mi 4 ἂν post ἐκεῖνο add VM Sirm 5 ἠκουτίσθη: ἠκούσθη Sirm 6 ἔστιν codd Sirm: corr Mi 7 καθεῖλε VMPS Sirm 8 ἀμμοραίων P: ἀμμορραίων M

ἀλλὰ τὸν νεοφανῆ καὶ μέγαν δράκοντα καὶ πολλὴν οἰκουμένην ληίζοντα, τὸν σκολιὸν ὄφιν καὶ συρίζοντα βλάσφημα, τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ σκεῦος τῆς ὀργῆς, τὸν υἱὸν τοῦ Ταβεήλ, ἵνα μὴ λέγω Καβαλλίνου, τὸν ἀπόγονον τοῦ Ἀχαάβ, τὸ ἐξεμπλάριον Ἰουλιανοῦ, τὸ πλήρωμα τοῦ πονηροῦ, τὸν ὑβριστὴν Χριστοῦ, τὸν ἐχθρὸν τῆς Θεοτόκου, τὸν ἀντίπαλον τῶν ἁπάντων ἁγίων. ὧν γὰρ τοὺς σεπτοὺς χαρακτῆρας ἐδίωξέ τε καὶ ἐξηφάνισεν, δῆλον ὅτι τούτων ὁλοτελῶς ἐχθρὸς καὶ διώκτης ἐχρημάτισεν. εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, ῥανάτωσαν τὰ ὄρη γλυκασμὸν καὶ οἱ βουνοὶ δικαιοσύνην. πέπτωκεν ὁ ἐχθρός, συνετρίβη ὁ κόπτων ἡμᾶς. ἐνεφράγη στόμα λαλοῦν ἄδικα, ἐπεσχέθη χεὶρ Ἀβεσσαλώμ, οἴχεται ὁ σκληροκάρδιος Φαραώ. καὶ οὔπω μοι καιρὸς καὶ τόπος ἐκφράσαι τὰ ἀκοῆς ἄξια τοῦ παγκακίστου δράκοντος.

Ἐκεῖνο δὲ προσθείην τοῖς εἰρημένοις, ὅτι ἐχρῆν τὸν ἀποστάτην τοιούτῳ τρόπῳ, καθὰ γέγραφας, ἀπορ/ρῆξαι τὴν ζωήν· ἔδει ἐν νυκτὶ τὸν τοῦ σκότους υἱὸν ἐπικαταλαβεῖν θάνατον, ἔδει τὸν τοὺς θείους ναοὺς ἐρημώσαντα ἐν ναῷ Κυρίου ἰδεῖν τὰ κατ' αὐτοῦ ξίφη γυμνούμενα, ἔδει προσφυγόντα τῷ θείῳ θυσιαστηρίῳ μὴ σωθῆναι τὸν τοῦτο ἀφανίσαντα, κατὰ τῆς εἰς τὰ ἅγια ἐκταθείσης χειρὸς τομὴν ἐπαχθῆναι, κατὰ τοῦ λάρυγγος τοῦ ἐρευξαμένου ἄθεα μάχαιραν διελάσαι, κατὰ τοῦ ὤμου τοῦ παλλομένου ἐφ' ὕβρει Χριστοῦ καιρίαν πληγὴν ὑποδῦναι, ὑπὲρ ἐκχύσεως αἱμάτων δικαίων αἷμα ἄδικον χεθῆναι, ἀντὶ κοπῆς καὶ ξεσμῶν μελῶν καὶ νώτων μέλη κοπῆναι θεοστυγῆ, ἀντὶ θανάτου ὁσίου ἀνόσιον θάνατον ἀποδειχθῆναι καὶ ἀντὶ πορφυρίδος ῥάκος ἐνδύσασθαι τὸ ἄτιμον σπέρμα.

Καὶ οὐκ ἐπιχαιρόμενος τῷ πτώματι τοῦ ἀσεβοῦς (ἐπεὶ καὶ στένων καὶ κλαίων) κωμῳδῶ τὸν τρόπον τοῦ θανάτου, ἀλλ' ὅτι κακὸς κακῶς

---

10 δράκοντα: cf. A. Kurmann, Gregor von Nazianz, oratio 4 gegen Julian. Ein Kommentar. Basel 1988, 38 sq.; de cognominibus a Theodoro Leoni V. Armenio attributis cf. Basnage, Histoire II 1376; Schröckh, Kirchengeschichte 366; P. van den Ven, in: Le Muséon 3 (21) (1902) 113 adn. 3   11 τὸ βδέλυγμα τῆς ἐρημώσεως: ad hanc appellationem Antichristi cf. B. Rubin, Das Zeitalter Justinians I 443   13 Καβαλλίνου: cf. Leo Gramm. 248,16 (Bekker); Psaltes, Grammatik 125 et 127; de significatione prima cognominis cf. Spanheim, Historia imaginum 153 sq.; N. Adontz, La légende de Constantin V, in: Mélanges Bidez. Bruxelles 1934, 9 sq.   ἐξεμπλάριον: cf. adn. ad ep. 226,14   34 σπέρμα: filii Leonis V

---

10 Ez. 29,3   11 Is. 27,1   Dan. 9,27; cf. Matth. 24,15   12 Is. 7,6   17 Is. 49,13   19 cf. Is. 14,8   20 Ps. 62,12   2 Reg. 18,18   34 Sir. 10,19   36 Matth. 21,41

---

13 καβαλίνου VM   16 ἐξηφάνισεν C: ἠφάνισε cett Sirm   δηλονότι VMPS Sirm   17 ἐχθρὸς ante ὁλοτελῶς transp V   20 ἀβεσαλώμ CS   23 προσθήσω VM   25 τὸν ante θάνατον add S   29 διελᾶσαι V   31 ὑποδύναι PS[ac] Sirm   34 ῥάκκος CV[ac]M   36 κωμῳδῶ: καὶ κωμῳδῶν S

ἀπολεῖται, ὡς ἡ τοῦ ἀψευδοῦς ἀπόφασις, καὶ πᾶς νεανιευόμενος κατὰ θεοῦ ἐφάμιλλα ὧν ἔδρασεν ἀπολήψεται κἀνταῦθα· οὔπω γὰρ λέγω τὸ μέλλον καὶ τελευταῖον πῦρ, ᾧ δοκιμασθήσεται πᾶς ἀσεβὴς καὶ παράνομος. τί οὖν πρὸς ταῦτα; νέου Ἰωσίου χρεία, εἰ δὲ βούλει, Ἰοβιανοῦ τινος ἢ ἄλλου τῶν τοιούτων· ὃς ζηλῶν τῷ Κυρίῳ σπεύσειεν ἀνορθῶσαι τὰ κατερραγμένα, συνάψαι τὰ διεστῶτα, ἀποδοῦναι θεῷ τὰ τοῦ θεοῦ, τὸ δὴ λεγόμενον, ἀναστῆσαι τὴν εἰκόνα Χριστοῦ, τῆς Θεοτόκου καὶ ἑκάστου τῶν ἁγίων· οὐχ ὅτι πέπτωκέν ποτε ἡ Χριστοῦ εἰκών, ἄπαγε, ἀλλ' ἵνα οἱ πεσόντες ἡμεῖς τῇ ἀσεβείᾳ ἀνασταθείημεν.

Τοιοῦτον ἐπευχόμεθα οἱ ἁμαρτωλοὶ καὶ φανῆναι καὶ ἔσεσθαι τὸν εὐσεβέστατον βασιλέα καὶ θεοπρόβλητον. καὶ εἰ μὲν οὕτως, ἄριστον καὶ εἰς αἰῶνας ὑμνούμενον· εἰ δὲ κατὰ τὰς ἁμαρτίας μου οὐχ οὕτως, ἀλλά γε ἡμεῖς οὕτως ἐν τῇ ὁμολογίᾳ Χριστοῦ, μὴ ὀλιγωροῦντες τὴν ἁγίαν αὐτοῦ φυλακὴν μηδέ τι ὑποπτήσσοντες μηδὲ φοβούμενοι ἄλλο τι πρὸ θεοῦ, ὡς αὐτὸς θεὸς ἐγγυᾶται.

Ταῦτα ὑπόδειξον τοῖς συνομολογηταῖς σου, οὓς καὶ περὶ ἡμῶν προσαγόρευσον, ἐπεὶ καὶ φίλους καὶ εὐσεβεῖς οὓς δοκιμάζοις. ἀξιωθείημεν καὶ ἐπὶ τῆς κατ' ὀφθαλμοὺς ὁμιλίας ἐλθεῖν· εἰ δὲ οὐ θελητὸν Κυρίῳ, χρῶ, ἀδελφέ μου, τῷ γράμματι, θεωρῶν ἐντεῦθεν καὶ θεωρούμενος. ὁ ἀδελφός σου Νικόλαος θερμῶς προσαγορεύει.

418. Μιχαὴλ αὐτοκράτορι βασιλεῖ

Δίκαιόν ἐστιν ὅτι μάλιστα ἐν τῷ παρόντι καιρῷ ἐκ στόματος ἁπάντων τῶν δεδιωγμένων καταρτίζεσθαι αἶνον, προηγουμένως μὲν Χριστῷ τῷ παμβασιλεῖ, ἔπειτα τῷ ὑμετέρῳ θεοπροβλήτῳ κράτει, δι' οὗ ἐσχήκαμεν τὴν ἀπολύτρωσιν οἱ πεπεδημένοι, τὴν ἄφεσιν οἱ πεφυλακισμένοι, τὴν παράκλησιν οἱ τετρυχωμένοι, τὴν ὑγιείαν οἱ

---

42 Matth. 22,21   54 1 Reg. 15,22

41 ἰωβιανοῦ C   43 τε post τῆς add VMPS Sirm   44 πέπτωκε VMPS Sirm   εἰκών ante Χριστοῦ transp VM   49 τῆς ἁγίας VMPS Sirm   50 φυλακήν C: φυλακῆς cett Sirm   52 περὶ: παρ' VM Sirm   53 δοκιμάζεις S   55 κυρίῳ C: θεῷ cett Sirm   56 σου C[sscr]

---

418. a. 821 ineunte

2 Ps. 8,3

C VM PS

1 αὐτοκράτωρι C   6 ὑγιεῖαν C: ὑγείαν VM: ὑγίειαν cett Sirm

τετραυματισμένοι, τὴν παρρησίαν οἱ κατακεκρυμμένοι, τὴν ὑποστροφὴν οἱ πεφυγαδευμένοι. καί γε νομίζω καλῶς ὑπολαμβάνειν ὡς ὑποτύπωσιν Χριστοῦ τὸ τῆς ὑμετέρας βασιλείας πάθος προϋπάρξαι, ὡς ἂν τῷ ὁμοίῳ τὸ ὅμοιον δράσασα εἴποιεν / καὶ αὐτὴ σὺν Χριστῷ καὶ μετὰ Χριστοῦ τοῖς ἐν δεσμοῖς· ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· ἀνακαλύπτεσθε. καὶ εὐλογητὸς Κύριος ὁ θεὸς τοῦ Ἰσραήλ, ὅτι ἤγειρεν κέρας σωτηρίας ἡμῖν, τὸν νέον Δαυίδ, τὸν δεύτερον Ἰωσίαν, τὸν τῆς εἰρηναρχίας βασιλέα, ὃς ποιῶν ποιήσοι τὰ ἀρεστὰ θεῷ, ὃς τὰ πεπτωκότα ἀναστήσειεν, τὰ διατμηθέντα συνάψειεν μοτώσει καὶ ὑγιάσει καὶ τῇ τρίτῃ ἡμέρᾳ προφητικῶς εἰπεῖν ἀναστήσειεν· ἐπειδή, βασιλεῦ χριστομίμητε, οἱ φθάσαντες ἐν τῇ αἱρέσει τελευτῆσαι ἐν μερίδι ἀπωλείας ᾤχοντο, Χριστὸν ἠρνημένοι τῇ τῆς εἰκόνος αὐτοῦ ἀρνήσει, κἂν χριστιανοὶ ὀνομάζωνται. τὸ γάρ τοι πιστεύειν εἰς Χριστὸν οὐδὲν ἕτερόν ἐστιν ἢ ὅτι ὁ υἱὸς τοῦ θεοῦ καὶ πατρός, ἄνθρωπος γεγονὼς τέλειος, ἐξεικονίζεται καθ' ὁμοίωσιν ἡμῶν, ἵνα μὴ ἄλλο τι εἴη παρ' ἡμᾶς, μένων ὁ αὐτὸς ἀπερίγραπτος σὺν πατρί τε καὶ πνεύματι, καθό ἐστι θεὸς ἀληθινός. οὕτως οὖν νοοῖτο μεσίτης θεοῦ καὶ ἀνθρώπων, ὡς ἀμφοτέρων ἀμφότερα ἔχων καὶ ἐν ἑκατέρῳ οὐδ' ὁτιοῦν λειπόμενος, καθὼς ἅπας ὁ τῶν θεοφόρων χορὸς βοᾷ. καὶ ὥσπερ ἐπὶ τοῦ ὑμετέρου κράτους ἡ παραδοχὴ τῆς τυπουμένης εἰκόνος ὁμολογία ἐστὶ τοῦ βασιλεύειν ὑμᾶς, καθάπερ καὶ τὸ ἔμπαλιν, οὕτω καὶ ἐπὶ Χριστοῦ τοῦ βασιλέως πάσης τῆς γῆς τὸ αὐτό ἐστι λαβεῖν καὶ πολλῷ μᾶλλον, ὅτι τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. εἰ οὖν ἐν τῇ ἀρνήσει τῆς εἰκόνος Χριστοῦ αὐτὸν ἠρνῆσθαι Χριστὸν ἀποδέδεικται πάσῃ ἀληθείᾳ, δῆλον ὅτι καὶ ἐν τῇ ἀθετήσει τῆς προσκυνήσεως αὐτῆς αὐτὸς Χριστὸς ἠθέτηται προσκυνεῖσθαι. καὶ διὰ τοῦτο ἡ ὑπ' οὐρανὸν ἀπ' αὐτοῦ τοῦ ἀποστολικοῦ κηρύγματος, ὡς μαρτυρεῖ καὶ ἡ ὄψις δι' ἱστορίας καὶ ἡ ἀκοὴ διὰ λογογραφίας, τὴν ἁγίαν εἰκόνα Χριστοῦ, τῆς Θεοτόκου, τῶν ἀγγέλων (ἐπειδὴ σωματογραφοῦνται καὶ οὗτοι θεοκελεύστως, καίπερ ὄντες ἀσώματοι), τῶν κατὰ

---

35 σωματογραφοῦνται etc.: cf. K. Parry, Theodore Studites and the Patriarch Nicephoros on Image-Making as a Christian Imperative. Byzantion 59 (1989) 175 sq.

---

12 Luc. 1,68 sq. 15 Osee 6,1 sq. 23 1 Tim. 2,5 29 Luc. 1,33

---

7 κατακεκριμένοι VMP[ac] Sirm 9 ὑποτύπωσις VM προϋπάρξει VM 10 εἴποιεν CP[ac]: εἴποι VM: εἴποι νῦν cett Sirm 12 ἤγειρε VMPS Sirm 14 ποιῶν post ποιήσοι transp M ποιήσει VMPS Sirm 15 ἀναστήσειε VMPS Sirm συνάψοιεν C: συνάψειε cett Sirm 16 δὲ post ἐπειδή add V Sirm 19 ὀνομάζονται C 25 ὅτι οὖν C 28 ἔστι Mi (fort recte) 31 δηλονότι VMPS Sirm 32 διατοῦτο VMPS

καιρὸν ἁγίων ἔν τε τοῖς θείοις ναοῖς καὶ ἱεροῖς σκεύεσι φέρουσά ἐστιν καὶ προσκυνοῦσα, κἂν ἄρτι ἡ καθ' ἡμᾶς ἐκκλησία, διαρραγεῖσα τῶν τεσσάρων πατριαρχῶν, ἠνόμησεν διακενῆς.

Ἀλλὰ νῦν καιρὸς εὐπρόσδεκτος, δέσποτα φιλοχριστότατε, νῦν ἡμέρα σωτηρίας, καταλλαγῆναι ἡμᾶς Χριστῷ τῇ μεσιτείᾳ καὶ εὐδοκίᾳ τῆς εἰρηνάρχου σου βασιλείας, ἑνωθῆναι ἡμᾶς τῇ κορυφῇ τῶν ἐκκλησιῶν τοῦ θεοῦ Ῥώμῃ καὶ δι' αὐτῆς τοῖς τρισὶ πατριάρχαις, ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζωμεν τὸν θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σὺν τῷ υἱῷ καὶ Πνεύματι Ἁγίῳ, μεγαλύνοντες καὶ τὴν ὑμετέραν εὐσεβεστάτην καὶ πολύευκτον βασιλείαν.

419. Στεφάνῳ ἀδσηκρῆτις

Σὺ μέν, ὦ φιλότης, προσηγόρευσας ἡμᾶς πάλαι διὰ φωνῆς τοῦ φρουροῦντος ἡμᾶς (οὗ ῥυσθείημεν ἀμφότεροι τῆς μανίας, ἐπείπερ ἐστὶν ὑπερβαλλόντως πνέων ἀπειλῆς καὶ θυμοῦ εἰς τοὺς εὐσεβεῖς, δεσμῶν τε καὶ φρουρῶν, αἰκίζων τε καὶ πορθῶν τὰς ἐκκλησίας τοῦ θεοῦ σὺν πάσῃ βλασφημίᾳ καὶ παροινίᾳ ὡς οὐκ οἶδ' εἴ τις τ' ἄλλος τῶν ἐν ἀσεβείᾳ / κατεγνωσμένων), ἐγὼ δέ σου ἐπαινῶ τὸ φιλόσοφον, καὶ μάλα εἰκότως· φιλόσοφον γὰρ τὸ ῥῆξαί σε φωνὴν ἐπὶ τοῦ κράτους ἣν οἶδας τά τε λοιπά σου λαλήματά τε καὶ σπουδάσματα ὑπὲρ ἀνακλήσεως τῆς πεπτωκυίας καθ' ἡμᾶς ἐκκλησίας. καὶ ὄντως ἔδει τὸν σοφὸν ἄνδρα καὶ διεγνωσμένον ἐν εὐσεβείᾳ τοῦτο δρᾶν πρός τε τὸ οἰκεῖον συμφέρον καὶ τοῦ ὅλου σώματος Χριστοῦ· ὃ διέτεμεν ὁ δράκων ὁ μέγας, ὁ ἀποστάτης, ὁ σκολιὸς ὄφις, τὸ προεισόδιον τοῦ Ἀντιχρίστου, ἡ μιαρὰ καὶ βλάσφημος γλῶσσα, ὁ ὑπεραιρόμενος ἐπὶ

---

40 ἀλλὰ – 44 θεόν: verba iuris publici primum fecit Allatius, De consensione 302

40 2 Cor. 6,2 43 Rom. 15,6

37 καιροὺς VM 38 ἐστι VMPS Sirm κἀν P 39 ἠνόμησε VMPS Sirm

---

419. a. 821 ineunte 13 δράκων: Leo V; cf. adn. ad ep. 417,10

13 Ez. 29,3 14 2 Thess. 2,4

C VM (ll. 1–50) PS

1 ἀδσηκρῆτις scripsi: ἀδσικριτης C: ἀσηκρῆτις cett Sirm (sed cf ep 5,1) 3 φρουροῦντας C 6 τ' om VMPS Sirm

πάντα ναὸν θεοῦ, ὁ νοῦς ὁ Ἀσσύριος, τὸ βαρβαρικὸν ἔκτρωμα, ἡ Ῥαψακοειδὴς χείρ, ἡ θεοκατάρατος καρδία, ὁ ὁλόσωμος τοῦ σατανᾶ ὑπηρέτης, καὶ οὐκ οἶδ' ὅ τι φράσω ἐπάξιον τοῦ ἀλιτηρίου κωμῴδημα διὰ τὴν πολυώνυμον τοῦ ἐξαγίστου ἀσέβειαν.

Πλὴν ἄλλου χρόνου τὸ ταῦτα διαστείχειν. νῦν δέ μοι τοῦτο λέξον, ὦ τριπόθητε, πῶς τοῦ χειμῶνος παρελθόντος οὐ τέλεον ἔαρ ἀλλ' ἢ μόνον καλλιωρία τις καὶ ἀπαυγασμὸς εὐπλοήσεως. τὸ πῦρ ἔσβεσται, τί ἔτι καπνῶδες ὑπολέλειπται; κινήθητι ἔτι, πόθημα ἐμόν, διαγώνισαι μᾶλλον, μέλος Χριστοῦ· οὐχ ὁρᾶτε τὸν ἀσεβοκαύστην οἷον πέπτωκεν ἐξαίσιον καὶ λαλούμενον καὶ ἀκουόμενον; ἐὰν ὁ τοῦδε ὄλεθρος οὐ σωφρονίσῃ ἡμᾶς, φησὶν ὁ χρυσορρήμων, τίς λοιπὸν ἐλεήσει ἡμᾶς; οὐκ ἀνανήψομεν; οὐκ ἐννοήσομεν ὅτι, εἰ μὴ Χριστὸς ἤρνητο ἀθετουμένης αὐτοῦ τῆς ἁγίας εἰκόνος, οὐκ ἂν τὸν ταύτης ὑβριστὴν οὕτως ὠλεθρίωσεν;

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην τί γέγονεν ἐν Γραικοῖς. πρὸ τοῦ Ἀντιχρίστου Ἀντίχριστος, ἤρθη ἀφ' ἡμῶν τὸ σημεῖον τῆς βασιλείας τοῦ Χριστοῦ· εἰ γὰρ μὴ τοῦτο, ὅπερ ἐστὶ τὸ ἴνδαλμα τοῦ σωματικοῦ αὐτοῦ χαρακτῆρος, ἐμφανίζοιτο ἐν ἡμῖν καρηφοροῦν τὸν τύπον τοῦ σταυροῦ, ἀλλὰ τὸ μὲν ἐκρίπτοιτο, τὸ δὲ προσείληπται, μεμέρισται Χριστὸς ἢ μᾶλλον ὁ βασιλεὺς ἀπέπτυσται ὁ κτείνας τὸν διάβολον, τὸ δόρυ δέ, δι' οὗ τὸν ἐχθρὸν ἔσφαξεν, τὸ τοῦ κράτους ἀνεδήσατο διάδημα, ἐφ' ἴσῃ νίκῃ τοῦ σφαγέντος ὑποτάξαν ὡς ἐχθρὸν τὸν κατασφάξαντα. ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ· τίς ἡ ἔκστασις αὕτη, ἣν ἐξέστη ὁ λαὸς τοῦ θεοῦ; ἄκουε, ἀνατολὴ καὶ δύσις, ὅπως ἐξετυφλώθη ἡ Βυζαντίς, ὅπως κεκώφευται, φωνῆς ὑμῶν ἐλεγκτικῆς οὐκ ἀκούσασα, ὑποδεικτικῆς ὑμῶν μαρτυρίας οὐκ ἐμβλέπουσα, ἀλλ' Ἰαννοῦ καὶ Ἰαμβροῦ, τῶν ἀντιστατῶν Χριστοῦ, τῆς ὀλεθρίου δυάδος, ἣν εὖ οἶδ' ὅτι ἡ Τριὰς ἐν τάχει καταλύσειεν, ὡς ἂν σὺν τοῖς προολεσθεῖσι δυσὶν ἀσεβέσιν ἀπαχθεῖεν καὶ αὕτη ἡ δυάς, τὸ τετρακέφαλον τοῦ διαβόλου ἅρμα.

---

41 Ἰαννοῦ: Ioannes Grammaticus 42 Ἰαμβροῦ: Antonius episcopus Sylaei; ad vocem cf. Blass – Debrunner – Rehkopf 33 43 δυσίν: Leo V et Theodotus Cassiteras

15 Greg. Naz. or. 4,1 (PG 35,532 B = p. 86 Bernardi) (de Juliano) 4 Reg. 18,17 sq. 29 Ps. 48,2 38 Is. 1,2 41 2 Tim. 3,8

17 ἀλητηρίου C 21 μόνη VM 25 σωφρονήσῃ C 26 ἀνανήψωμεν C ἐννοήσωμεν C 28 ὀλεθρίωσεν C 33 ἐν S^{sscr} 34 ἐκρρίπτοιτο VM 36 ἔσφαξεν C: ἀπέσφαξε VM: ἔσφαξε cett Sirm τοῦ κράτους C: τούτου κράτος cett Sirm ἐφίσῃ C: ἐπ' ἴσῃ cett Sirm 40 κεκώφωται VMPS Sirm 41 ὑπὸ δεικτικῆς V 43 δυσίν: τρισὶν M

Δεῦρο δή, δεῦρο, ἀδελφέ, καταβαλοῦ ἔτι ἀγῶνας, Κύριος κελεύει, λάλησον ἀγαθὰ εἰς τὰς τιμίας ἀκοὰς τοῦ εὐσεβοῦς βασιλέως ἡμῶν· μιμησάσθω Ἰωσίαν τὸν ἀοίδιμον, γίνοιτο νέος Δαυὶδ εἴτε ὡς Σαοὺλ εἴτε ὡς Ἀμών, τὰ τοῦ ἐξαγίστου Λέοντος καταπτύων κἀντεῦθεν θεὸν ἐξευμενιζό/μενος καὶ τῷ τῆς εἰρηναρχίας στέφει τὸ τῆς βασιλείας αὐτοῦ κράτος ἀνίκητον περιποιούμενος.

420. Στεφάνῳ μαγίστρῳ

Οἶδα, δέσποτα, ταῖς ὑπεροχαῖς ὑποστέλλεσθαι καὶ μάλιστα τῇ σῇ ἀνυπερβλήτῳ· ἀλλ᾽ ὅμως τὸ εὐπρόσιτόν σου καὶ μέτριον τοῦ φρονήματος ἔδωκεν ἡμῖν παρρησίαν καὶ πάλαι ποτὲ ἐπιστεῖλαι καὶ ἄρτι τὸ αὐτὸ ποιῆσαι, καλοῦντος τοῦ χρόνου καὶ ἀφεμένων ἡμῶν τῶν ἁμαρτωλῶν τῆς διὰ Κύριον φυλακῆς κατὰ τὴν τοῦ διώκοντος παῦλαν. ἥτις ἀκουσθεῖσα ἤχησε παντὸς ἀνθρώπου ἀμφότερα τὰ ὦτα, οὐχ ὅτι ἁπλῶς ἤρθη, ἀλλ᾽ ὅτι τοιουτοτρόπως.

Αὕτη μὲν οὖν ἡ πρόφασις τῆς ἐπιστολῆς. ἐγὼ δὲ πρὸ τῆς ὁρμηθείσης μοι ὑποθέσεως εἰς τὸ γράψαι ἐκεῖνο ὑποδηλῶ, ὅτι οὐκ ἀστενάκτως καὶ ἀπαθῶς ἤνεγκα τὴν ἀκοὴν τοῦ θανάτου τῆς ἀγαθῆς καὶ ἀειμνήστου ὁμοζύγου σου, ἐνθυμούμενος ἡλίκην πληγὴν ἔλαβεν ἡ τιμία σου ψυχὴ τῇ διαζεύξει· ἐπεὶ ἦν ἡ μακαρία τῶν ὄντως ἐπαινετῶν γυναικῶν ὅσον ἀπὸ τῆς ἔξω ἀκοῆς, ἧς πεῖραν κἀγὼ μικρὰν ὁ ταπεινός, πλέον δὲ μᾶλλον ὁ μακάριός μου πατὴρ εἴληφεν, τὰ δὲ πάντα κατὰ πάντα αὐτὸς εἶ, κύριέ μου, ὁ εἰδώς.

Ἐκείνης μὲν οὖν εἴη τὸ μνημόσυνον μετὰ δικαίων· τεκμαίρομαι γὰρ ὅτι καὶ ὀρθόφρων ἦν λίαν μετὰ τῆς ἄλλης ἀρετῆς. οὗ δὲ χάριν τὸ γράμμα, πρόδηλον τῇ μεγαλοφυεῖ σου ἐξουσίᾳ. ἐπιζητεῖ σε ὁ χορὸς τῶν δεδιωγμένων, ἐπικαλεῖταί σε ὁ λόγος τῆς ἀληθείας, ὁ μὲν

---

48 cf. Paral. 33,25 sq.

50 ἐξευμενιζόμενος: hic desin epist in M

---

420. a. 821 ineunte 2 δέσποτα: cf. adn. ad ep. 426,22 4 ἐπιστεῖλαι: epistula perdita ut videtur 6 διώκοντος: Leo V 15 πατήρ: Platon

C VM PS

6 παύλαν VMP 7 ἀκουσθεῖσα: ἀκουτισθεῖσα M 13 ἡ om CVPS Sirm 15 εἴληφε VMPS Sirm 16 ὁ om Sirm 17 οὖν om CVPS Sirm τῶν ante δικαίων add M 18 τῶν ἄλλων ἀρετῶν M 19 μεγαλοφυῆ C

ὡς φιλευσεβῆ καὶ φιλομόναχον, ὁ δὲ ὡς ἐραστὴν αὐτῆς εὐπαρρησίαστον. οὐχ ὅτι οὐκ ἐκινήθης ἕως τοῦ νῦν, προμαχῶν ἀμφοτέρων, ἐπείπερ ἠκούσαμεν οἷα θεοκινήτως καὶ πέπραχας καὶ λέλεχας, ἀλλ' ὅπως καὶ πρὸς τὸ ἑξῆς. ὁρᾷς, δέσποτά μου, οἷον τὸ κακὸν τῆς αἱρέσεως; οὐδὲ γάρ, εἰ μὴ τηλικοῦτον, τοσοῦτοι οἱ πάσχοντες καὶ τοσαῦτα τὰ αἰκίσματα καὶ θλιπτήρια, ἃ μέχρις ἐσχάτων τῆς οἰκουμένης διέδραμεν. βλέπεις καὶ τὸν τοῦ διώξαντος θάνατον; παρακλήθητι, ὁ εὐπαράκλητος, συγκινήθητι, ὁ θεοκίνητος· ὄρεξον χεῖρα χαμαὶ κειμένῃ τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ ὅσον ἐνδέχεται, ἐφ' ὅσον ἰσχὺς λάλησον εἰς τὰ ὦτα τοῦ εὐσεβοῦς ἡμῶν βασιλέως ἔτι ἀγαθά. ὑπὲρ Χριστοῦ σοι τὸ ἀγώνισμα, ὑπὲρ τῆς Θεοτόκου, ὑπὲρ πάντων ἁγίων· οὐδὲ γὰρ εἴ τις τῆς τοῦ βασιλέως εἰκόνος ἀντεχόμενος λέγει τι ἢ πράσσει, ἄλλῳ τινὶ ἢ τῷ βασιλεῖ χαρίζεται τὸν λόγον. καὶ περὶ ἑνὸς ἁγίου εἰ ἦν τὸ λεγόμενον, μέγιστόν σοι τὸ ἆθλον· ὅπου δὲ Χριστὸς καὶ ὑπὲρ Χριστοῦ ἡ διάπραξις, ἆρα οὐχὶ χαρά σοι, δόξα τε καὶ ἀγαλλίασις σὺν πολλῇ προθυμίᾳ ὅλον σεαυτὸν ἐπιδοῦναι; ναί, κύριέ μου ἀειπόθητε, ἐκδυσωπῶ κἀγὼ ὁ τάλας καὶ ἄλλως ὅτι ἡμῖν αὐτοῖς εὐεργετοῦμεν τοῦ κοινοῦ φροντίζοντες, ἐπείπερ συννοσοῦμεν, κἂν οὐ φρονήματι στρεβλῷ, ὅμως δ' οὖν χραινόμενοι τῇ αἱρετικῇ κοινωνίᾳ.

Αὕτη ἐστὶν ἡ ταπεινὴ ἡμῶν / ἐξαίτησις, τοῦτο τὸ ὑπόμνημα καὶ ὅτι καὶ ὑπὲρ λόγου ἁπλῶς ἀγαθοῦ οὐκ εὐκαταφρόνητοι μισθοί σοι ἀπόκεινται, μὴ ὅτι γε τοσούτῳ μόχθῳ ἑαυτὸν ἐπιδώσαντι, καθὰ ἠκούσαμεν. σῴζοι σε ἡ κραταιὰ χεὶρ τοῦ θεοῦ, τὸν ὡς ἀληθῶς ἀξιάγαστον καὶ τῆς συγκλήτου πρωτόβαθρον.

---

30 βασιλέως: Michael II

44 1 Petr. 5,6

21 φιλευσεβῆ: εὐσεβῆ C 26 τὰ om M 27 διέδραμε VMPS Sirm 31 voces χριστοῦ καὶ ante τῆς add M 32 τῶν ante ἁγίων add VMPS Sirm 35 Χριστὸς: Χριστὸν Sirm ἄρα C 36 ἑαυτὸν M 37 αὐτοῖς ante ἡμῖν transp M 39 κἀν P 41 αἴτησις M 42 οἱ ante μισθοί add S 43 ἐπιδώσαντι: ἐπιδεδωκότι M

421. Τοῖς ἁγίοις ὁμολογηταῖς πατράσι καὶ ἀδελφοῖς

Νῦν καιρὸς ἐκβοῆσαι μετὰ τοῦ Δαυὶδ καὶ εἰπεῖν· ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις· ᾄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ, ὅτι ἐπακήκοεν Κύριος σὺν ἅπασι τοῖς ἰσοκλεέσιν ὑμῶν τῆς ἐκτενοῦς ἱκετηρίας. καὶ τί γέγονεν; ὤλετο ὁ ἀσεβής, συνετρίβη ὁ κόπτων ἡμᾶς· νενικήκατε τὸν τῆς πονηρίας υἱόν, κατεβάλετε τὸ θηρίον τῆς ὀργῆς, τὸν σκολιόγνωμον νοῦν. ὤ, ὢ τριπόθητοι, οἷα τὰ αἵματα ὑμῶν δυνατά· τάδε ἔρραξαν τὸν ἀλάστορα κολαστήν, ταῦτα ἐκένωσαν τὸ ἐναγὲς αἷμα τοῦ φονευτοῦ, εἴπερ ὑπακούειν ὁ ἀψευδὴς ἐπηγγείλατο τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας, καθά φησι τὰ λόγια. μάθε, χρίστυβρι, ὅσον ἴσχυσεν ἡ βοὴ ὧν κατέξανας τὰς σάρκας. ἴσθι, μυσάρχα, ἡλίκον σοι τὸ κατὰ Χριστοῦ ἀποτέλεσμα· ἐπειδὴ πρὸς κέντρα λακτίζων ἦς, ἐλάκησας πρηνής, ἐξεχύθη σου, εἰ καὶ οὐ τὰ σπλάγχνα, ἀλλὰ τὸ ἐναγὲς αἷμα ἐν τομαῖς τρισίν, ὡς τῇ Τριάδι προσκρούσαντος διὰ τῆς ὕβρεως τῆς ἁγίας εἰκόνος Χριστοῦ. ἄπιθι μετὰ τοῦ Ἰούδα, ἰουδαιόφρον, σύντυχε τῷ πατρί σου Οὐραλυφίῳ Καβαλλωνύμῳ· πίε τοῦτο πρῶτον, ὥς φησιν ὁ προφήτης, καὶ τὸ δριμύτερον ἐπ' ἐσχάτῳ.

Ὢ τῆς ἐκείνου χριστομανίας καὶ τῆς ὑμετέρας ὁμολογίας· ὑμεῖς ἄνδρες χριστοφόροι, θρέμματα εὐσεβείας, μυρίσματα ἀθανασίας, στηλιτεύματα τοῦ ἐχθροῦ· ὑμεῖς νεῦρα τῆς ἐκκλησίας, ἑδραίωμα πίστεως, κλέος τῇ ὑφηλίῳ. ὑμῶν τὸ μνημόσυνον αἰσιον, ὃ καὶ ὁ μέλλων ὑποδέξοιτο χρόνος, ὑμῶν τὸ στεφάνωμα οὐράνιον, τοῖς ᾀσματικοῖς ἄνθεσιν ἀξιοχρέως συμπλεκόμενον. τί τὸ λοιπόν; αἰνητέον θεῷ, εὐχαριστητέον τῷ εὐσεβεῖ βασιλεῖ, ὅτι τῶν φυλακῶν καὶ ὀδυνῶν εἴασεν τέως, καὶ ἐλπιστέον ὅτι ὁ δοὺς θεὸς τὴν ἀπαρχὴν δεξιὰν

---

421. a. 821 ineunte 5 ἀσεβής: Leo V 6 πονηρίας υἱόν etc.: cf. adn. ad ep. 417,10

2 Ps. 32,1 3 Ps. 104,2 **10** Luc. 18,7 **11** 2 Ma. 5,24 13 Act. 26,14 Act. 1,18 17 Is. 9,1

C VM PS

4 ἐπακήκοε VMPS Sirm 7 ὢ S: ὦ cett Sirm: om M 11 ὧν: ᾧ Sirm 13 ἐλάκισας CM: ἐλάκκησας cett: corr Sirm 14 οὐ τὰ: τὰ οὐ V ἐν τομαῖς: ἐντομαῖς Sirm (sed cf ep 424,17 τομὴν) τρισσαῖς M 16 ἰοῦδα CPS ἰουδαίοφρον Sirm 18 ἐσχάτῳ C: ἐσχάτων cett Sirm 19 ὦ C 22 ὑφηλίῳ: ὑφ' ἡλίῳ P Sirm: ὑφ' ἥλιον M 24 ἄνθεσι M ἀξιοχρέως post συμπλεκόμενον transp M αἰνετέον VMPS Sirm 25 θεῷ CM: τὸν θεὸν V: θεὸν cett Sirm εὐχαριστέον VPS Sirm 26 εἴασε VMPS Sirm θεὸς S[sscr] ἀπαρχὴν: ἀρχὴν S[ac]

συναποίσει τῇ ἀρχῇ καὶ τὸ τέλος, τῆς εἰρηνοχύτου ὀρθοδοξίας ἐξανατεῖλαι τὸ κέρας. μόνον παρακαλῶ μνημονεύειν μου ἐν προσευχαῖς θερμότερον καὶ προσέχειν ἑαυτοῖς πάντοτε, ὅτι, ἕως ἂν ἐμπνέωμεν, ὁ πειράζων πάρεστιν. ὁ ἀδελφὸς ὑμῶν Νικόλαος ἀσπάζεται κατὰ τὸ σύνηθες.

422. Νικήτᾳ ἡγουμένῳ

Ἐπέστειλεν, ὡς ἔμαθον, ἡ ἁγιωσύνη σου πρὸς / τὴν ταπείνωσίν μου, ἀλλ' οὐκ ἐδεξάμην διά τινα περιπέτειαν· ἐγὼ δὲ ὡς δεξάμενος χαράσσω σοι τόδε τὸ εὐτελές μου γραμματεῖον, προσηγορίαν κομίζων καὶ τὸ ‚χαῖρε' φθεγγόμενος. διατί; ὅτι συνετρίβη, μᾶλλον δὲ κατεκόπη ὁ κόπτων ἡμᾶς, ὅτι δέδειχε Κύριος ἐν ὀφθαλμοῖς ἁπάντων ἀρνητὴν αὐτοῦ εἶναι τὸν τῆς ἁγίας αὐτοῦ εἰκόνος ἀθετητήν· ὡς γὰρ οὐ χωρίζεται ἀκτὶς ἀπὸ ἡλίου, οὕτως οὐδὲ εἰκὼν τοῦ πρωτοτύπου ἢ μόνον κατὰ τὸ τῆς οὐσίας διάφορον, ἐπὶ τῶν τεχνητῶν δὴ λέγω. ἀλλ' ὅμως καὶ οὕτως ἀστραψάσης τῆς ἀληθείας οὐκ ἔστιν ἄθρησις, οὐδαμοῦ ἀνάνηψις. καὶ τίς οὐ στενάξοι; καὶ τίς οὐκ ἀποκλαύσοιτο, οὐ τοὺς ἀθλοφοροῦντας (μή τί γέ τις τοῦτο ὑπολάβοι· πῶς γὰρ οἱ θεομακάριστοι ἐπικλαύσιμοι;), ἀλλὰ τοὺς ἀβλεπτοῦντας καὶ τῷ αὐτῷ ζόφῳ τῆς ἀσεβείας ἐπερειδομένους;

Ἐγὼ μὲν οὖν ὁ τάλας οὕτω καὶ διανοοῦμαι, οὕτω καὶ ἀποκλαίομαι. σὺ δέ, ὦ ἱερὰ κεφαλὴ καὶ τῆς ἐμῆς οὐθενότητος φίλη, μὴ ἀπολήξειας προσευχομένη καταλλαγὴν φθάσαι ἄνωθεν τῷ λαῷ τοῦ θεοῦ, ἔπειτα τοῦ καὶ ἡμᾶς διασῴζεσθαι τοὺς ἀναξίους, κατόπιν ὑμῶν τῶν ἁγίων ἰόντας. ὁ σὺν ἐμοὶ ἀδελφὸς προσαγορεύει. τοὺς μετὰ τῆς ἁγιωσύνης σου ἀδελφούς μου ἀσπάζομαι καί γε μάλιστα τὸν ἱερὸν Ἀρσένιον.

---

422. a. 821 ineunte 6 κόπτων: Leo V 16 ἱερὰ κεφαλή: allocutio in epistulis patrum frequentissima; cf. Dinneen, Titles 65 sq. 19 ἀδελφός: Nicolaus

8 Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C)

C VM PS

4 γραμμάτιον VMPS Sirm κομίζον VMPS Sirm 5 φθεγγόμενον VMPS Sirm διὰ τί P Sirm 9 τεχνιτῶν C 13 μακάριστοι C^{ac} αὐτῷ om M 15 καὶ^{1} C^{sscr} 18 ὑμᾶς M^{ac}

423. Νικηφόρῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ

Ἐπέστειλα πάλαι ὁ τάλας, οὐ πρὸς ἀντίδοσιν γραμμάτων ἀποσκοπῶν, ὅτι μηδὲ δούλοις παρὰ δεσποτῶν ὀφειλή, ἀλλὰ τὴν ἐμαυτοῦ διάθεσιν γλιχόμενος ὑπεκφάναι, οὕτω τοῦ πόθου καὶ τοῦ καιροῦ βιαζομένων, οὐκ ἀπεικότως. αὐτὸς δέ, ὦ θεία καὶ κορυφαία τῶν ἱερῶν κεφαλῶν ἀκρότης, οὐ μόνον ἀντεπιστεῖλαι ἠξίωσας τῷ ἀναξίῳ, θεομιμήτως δῆλον ὅτι φερόμενος, ἀλλὰ γὰρ καὶ ἀπ' αὐτῆς τῆς προγραφῆς τοσοῦτον ἡμῖν τὸ τῆς ταπεινοφροσύνης σου θεῖον ὕψος ὑπέδειξας, ὡς καταπλαγῆναι ἡμῶν τὴν οἰκτρὰν διάνοιαν. ὢ τοῦ θαύματος· εἰ ὁ τοσοῦτος καὶ τηλικοῦτος τὴν ἀξίαν καὶ τῇδε συνισουμένην ἔχων τὴν ἀρετὴν ἀπαστράπτουσαν, ὡς αὐτὰ μαρτυρεῖ τὰ πράγματα, υἱὸν ἑαυτὸν τοῦ οὐθενοῦς ἀπεκάλεσεν, ὁ οὐθενὴς καὶ ἀφανὴς τί ἑαυτὸν ὀνομάσειεν; καὶ εἰ ὁ τῆς ἁγιωσύνης λαμπτὴρ ἁμαρτωλὸν ἑαυτὸν ὑπογράφοιεν, ὁ ἁμαρτωλὸς καὶ ἠπορημένος τί δ' ἂν καὶ ἀποκριθήσεται; ἄρα, εἰ καὶ μηδὲν ἕτερον ἐγέγραπτο τῇ ἐπιστολῇ, ἤρκει τοῦτο μόνον τοῦ τε δεχομένου τὸν νοῦν ἐκθαμβῆσαι καὶ τοῦ πεπομφότος τὸ ἀνυπέρβλητον ἐν ἀρετῇ θριαμβεῦσαι. ἐπεὶ δὲ καὶ τὸ ὅλον ὕφος τοῦ ἱεροῦ βιβλίου διέγνωμεν οἱ ταπεινοί, τότε καὶ μᾶλλον ᾔσθημεν, τῇ κεφαλίδι τὸ ὅλον σῶμα τῆς διαλέξεως καταλλήλως εὑρηκότες ἀπηρτισμένον.

Οἶδας, ὁ ἅγιος τοῦ θεοῦ, οἷα ἐφθέγξω πνευματοκινήτως, ὡς ἐπέρρωσας ἡμῶν τὴν ἀσθενῆ διάνοιαν ἐπαίνων φαρμακεύμασιν, ὡς συνερρίζωσας ἡμᾶς ὑπομονητικῶς μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσιν καὶ ὅσα ἄλλα ὑπεσημαίνετο θεοσοφίᾳ καλλυνόμενα. ἀλλ' εὐλογητὸς ὁ θεός, ὃς ἐν τοιούτῳ σεισμῷ ἀσεβείας τηλικοῦτον ὑπέρμαχον ὁμοῦ καὶ κυβερνήτην τῇ / ἑαυτοῦ ἐκκλησίᾳ ἐδωρήσατο, ἄσειστον, ἀκράδαν-

---

423. a. 821 ineunte   2 ἐπέστειλα: epistula 286?

C VM PS L

1 ἐκ τῶν ἐπιστολῶν τοῦ ὁσίου πατρὸς ἡμῶν θεοδώρου τοῦ στουδίτου νικηφόρῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ tit in marg L   2 ἀπέστειλα L   ἀπὸ σκοπῶν L   4 ὑπεκφᾶναι L   6 κεφαλῶν: κεφαλὴ καὶ L   7 δηλονότι VMPSL   φερόμενος: φάμενος L   8 τὸ ante θεῖον transp L   11 ἀναστράπτουσαν Sirm   12 οὐθενοῦς: ἀσθενοῦς PSV^{ac}M Sirm   13 ἀφανής: ἀσθενὴς S   ὀνομάσοιεν C: ὀνομάσειε cett Sirm   εἰ οἷόν τε ἦν δάκρυα ἐν γράμμασιν ἀπὸ κομίζειν ἐμπλήσας μου ἂν τὴν ἐπιστολὴν παρεπεμψάμην σοι ὦ δεῖνα ἐν ταύταις ταῖς ἡμέραις in marg L (cf ep 6, 2–4)   εἰ om C   14 ὑπὸ γράφοιεν L   15 τῇ: τῇ σῇ ep 557,26   18 καὶ[1] om M: L^{sscr} ὅλον post ὕφος transp M   19 ᾔσθημεν CP^{ac}SL   τῇ: ἐν L   23 θλίψεσι VMPSL Sirm   24 ὑπεσημαίνετο C: ὑπεσημήνω ML: ὑπεσημήνατο cett Sirm   θεοσοφία Sirm   26 ἑαυτοῦ post ἐκκλησίᾳ transp V: τῇ ἐκκλησίᾳ αὐτοῦ L

τον, λόγον ζωῆς ἐπέχοντα, φῶς ὁμολογίας τῇ ὑφηλίῳ πυρσεύοντα. εἰ δὲ ὅτι ὁ χειμὼν οὔ τί που παρῆλθεν, εἰ καί τις μικρὰ αἰθρία ὑπήστραψεν, οὐκ ἀθυμητέον, ὦ τρισμακάριστε· δυνατὸς γὰρ ὁ δοὺς τὸ βραχὺ τῆς εἰρήνης ἐμπύρευμα Κύριος, ταῖς θεοκλινέσι σου καμπτόμενος προσευχαῖς, καὶ τὸ ὅλον τῆς ὀρθοδοξίας ἀναπετάσαι ἔαρ καὶ τότε δῆλον ὅτι, ὁπότε καὶ τὸ τῆς ὀργῆς νέφος ἀμειφθείη τέλεον καὶ ὁ πόθος τῶν θεοφιλῶν δοκιμασθείη λαμπρότερον.

Ταῦτά μοι νῦν τετόλμηται ὥσπερ τι κυνίδιον γρύξαι τῷ χρηστῷ μου ὡς ἀληθῶς ἀρχιποίμενι, εἰληφότι καὶ τὸ προσκυνητὸν ἐγχειρίδιον μεθ' ὑπερβαλλούσης ἀγαλλιάσεως.

424. Ἰωάννῃ λογοθέτῃ

Ἤνοιξεν ὁ καιρὸς θύραν παρρησίας φθέγξασθαι ἡμᾶς ἀγαθοῖς ἀνδράσιν ὁμοῦ τε καὶ φίλοις· τῶν δὲ τοιούτων τίς ἂν εἴη μείζων τῆς σῆς εὐσεβείας; ὅς γε δι' αὐτὸ τοῦτο τὸ εὐσεβεῖν σε οὐκ ὀλίγας ἀνέτλης θλίψεις τε καὶ κακώσεις παρὰ τοῦ καὶ θεῷ προσκρούσαντος καὶ κόσμον ὀλέσαντος ἐν ἀσεβείᾳ καὶ ἰσόρροπον τῆς ἀποστασίας τὴν ζωὴν ἀπορρήξαντος, οὐκ ἐν ἁγίῳ τόπῳ, κἂν μορμολύττῃ τὸ λεγόμενον (διότι οὐ ναὸς θεοῦ ἅγιος ὁ ὑφ' αἱρετικῶν βεβηλούμενος, ἀλλ' οἶκος κοινός, ὥς φησιν ὁ Μέγας Βασίλειος), τοῦ ἐφεστῶτος ἀγγέλου ἐν αὐτῷ ὡς ἐφ' ἑκάστης ἐκκλησίας ὑπεκστάντος διὰ τὴν ἀσέβειαν. διόπερ οὐδ' ἡ τελουμένη ἐν αὐτῷ θυσία θεῷ εὐπρόσδεκτος· καὶ ἄκουσον αὐτοῦ λέγοντος· ὁ ἀσεβὴς ὁ θύων μοι μόσχον ὡς ὁ ἀποκτένων κύνα. εἰ δὲ καὶ ὡς ἐπὶ ναοῦ λάβοις τεθνάναι τὸν ἀσεβῆ, ἁρμόσειεν καὶ οὗτος ὁ τρόπος· ἔδει γάρ, ἔδει τὸν κατὰ τῶν ναῶν τοῦ

---

35 ἐγχειρίδιον: cf. J. Braun, Die liturgische Gewandung im Occident und Orient. Darmstadt 1964, 551 sq.; L. Eisenhofer, in: BZ 17 (1908) 192.

---

28 οὐτίπου Sirm   που: πω M   32 δηλονότι VMPSL Sirm   34 νῦν om M   γρῦξαι CS   χριστῷ P   36 αὕτη μικρόν τί ἐστι μεταπεποιημένη ἐκ τῆς πρὸ αὐτῆς post ἀγαλλιάσεως add L (scil. ep. 557)

---

424. a. 821 ineunte   5 προσκρούσαντος: Leo V

---

9 Bas. ep. 238 (PG 32,889 B = III 58,22 Courtonne)   12 Is. 66,3

C VM PS

---

7 κἂν P   8 δι' ὅτι C   12 μοι S   13 ἀποκτείνων Sirm   κῦνα VM^{ac} τεθνᾶναι PS Sirm   14 ἁρμόσειε VMPS Sirm

θεοῦ γενόμενον ἐν ναῷ ἰδεῖν τὰ κατ' αὐτοῦ γυμνούμενα ξίφη, ἔδει τὸν τὸ θεῖον θυσιαστήριον ἀφανίσαντα ἐν θυσιαστηρίῳ ἐξαφανισθῆναι, κατὰ τῆς ἐκταθείσης ἐφ' ὕβρει Χριστοῦ χειρὸς τομὴν ἐπαχθῆναι, κατὰ τῆς κινηθείσης κεφαλῆς ὀλεθρίως ξίφος διελάσαι, κατὰ τοῦ ὤμου τοῦ ἐπ' αἰκισμῷ τῶν εὐσεβῶν ἐπαρθέντος καιρίαν ἐλθεῖν πληγήν, ἄτιμον ἀποπεμφθῆναι τῶν βασιλικῶν αὐλῶν τὸν ἀτιμάσαντα τὴν ἁγίαν Χριστοῦ εἰκόνα, τῆς Θεοτόκου καὶ οὑτινοσοῦν τῶν ἁγίων.

Τί δήποτε οὕτως σοι, κύριέ μου, ἐξετραγῴδησα τοῦ ἐξαγίστου τὸν θάνατον; ὅτι ἀναγκαῖόν ἐστιν ἐντεῦθεν οὐ μόνον τὸν εὐσεβῆ βασιλέα ἐπιγνῶναι τὸ κατάλληλον τῇ ἀσεβείᾳ τοῦ ἀσεβοῦς ἀποτέλεσμα, ἀλλὰ καὶ πάντα ἄνθρωπον. καὶ ἄγαμαι λίαν πῶς ὁ ἀγαθὸς ἡμῶν δεσπότης γνοὺς τοῦτο οὐ θριαμβεύει τὴν τοῦ παλαμναίου δυσσέβειαν καὶ χαρίζεται ἑαυτῷ τε καὶ τῷ ὑπηκόῳ τὸ τῆς ὀρθοδοξίας ἐξίλασμα ὡς βασιλεὺς εἰρηναρχίας χριστομιμήτως. διὰ τοῦτο αἰτῶ, ἀντιβολῶ ὁ ταπεινὸς ἐπειχθῆναί σε τὸν εὐσεβέστατον, καθάπερ καὶ ἤκουσταί μοι ὅτι ἐκινήθης, δοῦναι ἑαυτὸν ὁλικῶς εἰς ἀνόρθωσιν τῆς πίστεως, ἐν ᾗ ἐστι τὸ σωτήριον τοῦ τε κράτους καὶ τοῦ ὑπηκόου παντός. /

425. Παντολέοντι λογοθέτῃ

Ἄλλων μὲν ἡ ἀρετὴ ἐξ ἀκοῆς ἡμῖν διέγνωσται, σοῦ δὲ τοῦ ὑπερτίμου δεσπότου μου πρότερον δι' ὄψεως, νῦν δὲ ἐξ ἀκοῆς μέχρι τῆς ἐσχατιᾶς ἐν ᾗ ἐσμεν φθασάσης. τίς δὲ ὁ λόγος; ὅτι ἐπαρρησιάσατό σου τὸ πνευματοκίνητον στόμα λαλῆσαι σοφίαν θεοῦ, λόγους ἀληθείας ἐπ' ὠφελείᾳ καὶ σωτηρίᾳ τῆς τε οἰκείας ψυχῆς καὶ πάσης τῆς καθ' ἡμᾶς ἐκκλησίας. καὶ μακάριος εἶ καὶ εὐλογημένον τὸ ὄνομά σου καὶ σὲ αἰνέσαισαν πάντες οἱ ἀκούσαντες εὐσεβεῖς· καὶ στέφανος χαρίτων ἐπὶ τὴν τιμίαν σου κάραν καὶ κλοιὸν χρύσεον ἐπὶ τὸν ἱερόν σου τράχηλον, υἱὲ ὑπακοῆς, τέκνον φωτός, θρέμμα εὐσεβείας. τάδε λέγει Κύριος· ἄνοιξον τὸ στόμα σου καὶ πληρώσω αὐτὸ ἀνθ' ὧν

---

25 δεσπότης: Michael II 28 χριστομιμήτως: cf. adn. ad ep. 34,15

21 οὕτινος οὖν C 22 οὕτω VMPS Sirm 28 διατοῦτο VMPS

425. a. 821 ineunte

11 Ps. 80,11 sq.

C VM PS

9 κλοιὸν χρύσεον C: κλοιὸς χρύσεος cett Sirm

ὑπήκουσας φωνῆς μου. ἐντολὴ γὰρ Κυρίου μὴ σιωπᾶν ἐν καιρῷ κινδυνευούσης πίστεως· λάλει γάρ, φησί, καὶ μὴ σιώπα· καί, ἐὰν ὑποστέλληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ· καί, ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. ὥστε, ὅτε περὶ πίστεως ὁ λόγος, οὐκ ἔστιν εἰπεῖν· ‚ἐγὼ τίς εἰμι; ἱερεύς; ἀλλ' οὐδαμῶς· ἄρχων; καὶ οὐδ' οὕτως· στρατιώτης; καὶ ποῦ; γεωργός; καὶ οὐδ' αὐτὸ τοῦτο· πένης, μόνον τὴν ἐφήμερον τροφὴν πορίζόμενος· οὐδείς μοι λόγος καὶ φροντὶς περὶ τοῦ προκειμένου'. οὐά, οἱ λίθοι κράζουσι, καὶ σὺ σιωπηλὸς καὶ ἄφροντις; ἡ ἀναίσθητος φύσις θεὸν ἐπακήκοεν, καὶ αὐτὸς λαιλαπιστής; ὃ μὴ ἐμψύχωται μηδὲ ἐν κριτηρίῳ λελογοθέτηται, δεδοικὸς οἱονεὶ τὸ πρόσταγμα, φωνοβολεῖ, καὶ σύ, ὁ μέλλων εὐθύνεσθαι ὑπὸ θεοῦ ἐν καιρῷ ἐτάσεως καὶ περὶ ἀργοῦ ῥήματος, κἂν ἐπαίτης εἶ, διδόναι λόγον, λέγεις ἀλογῶν ‚τίς μοι ἐν τούτῳ φροντίς'; ταῦτα, ὦ δέσποτα, φησὶν ὁ Παῦλος, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν. ὥστε καὶ αὐτὸς ὁ πένης πάσης ἀπολογίας ἐστέρηται ἐν ἡμέρᾳ κρίσεως, μὴ τανῦν λαλῶν ὡς κριθησόμενος, καὶ διὰ τοῦτο μόνον, μὴ ὅτι γέ τις τῶν ἐφεξῆς καθ' ὑπεροχὴν μέχρις αὐτοῦ τοῦ τὸ διάδημα περικειμένου, ᾧ καὶ ἀνυπέρβλητον τὸ κρίμα· δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται, φησίν, καί, κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσιν.

Λάλει οὖν, κύριέ μου, λάλει· διὰ τοῦτο κἀγὼ ὁ τάλας, δεδοικὼς τὸ κριτήριον, λαλῶ. φθέγξαι ἕως τῶν θεοηχῶν ὤτων τοῦ εὐσεβοῦς ἡμῶν βασιλέως, ἐπείπερ εἶ τῶν ὑπερεχόντων. οὐδεμία αἵρεσις τῶν ἀπὸ τῆς ἐκκλησίας ἀναβρασάντων τῆς εἰκονομαχικῆς ταύτης αἱρέσεως δεινοτέρα. Χριστὸν ἤρνηται, εἰς πρόσωπον δέρει, πραγματικῶς

---

33 κύριέ μου: allocutio in epistulis patrum frequentissima; cf. Dinneen l. l. 66 sq.

13 Act. 18,9 Hab. 2,4 14 Luc. 19,40 23 Matth. 12,36 25 1 Cor. 4,6 30 Sap. 6,6 31 Sap. 6,5

14 εὐδοκῇ C 15 κεκράξωνται C 16 οὐδαμῶς C: οὐδαμοῦ cett Sirm 18 μόνην V 19 κράζουσι C: κράξουσι cett Sirm 20 θεὸν C: θεοῦ cett Sirm ἐπακήκοε VMPS Sirm 21 λελαπιστής C ἐψύχωται VMPS Sirm 23 κἀν P 24 ἐπαιτῆς M εἶ: ἢ C: om PS 26 ἀπολλῶ C 28 τὰ νῦν VMP 31 φησι PM Sirm: φησί cett Mi ὑπερέχουσι VMPS Sirm 33 διατοῦτο VPS 34 θεοήχων V 37 δαίρει S

καὶ λογικῶς λυττῶσα· τὸ μὲν φληναφεῖ Χριστὸν μὴ περιγράφεσθαι κατὰ τὸν τοῦ σώματος χαρακτῆρα, ὅπερ ἐστὶν ἀναιρετικὸν τοῦ σάρκα γενέσθαι τὸν λόγον (εἰ γὰρ σάρξ, πάντως καὶ περιγράφοιτο, ἐπεὶ φάντασμα τὸ εὐαγγελιζόμενον μανιχαϊκῷ φρονήματι), τὸ δὲ ὅτι ξέει, κλᾷ, κατασκάπτει, πυροκαυστεῖ πάντα θεῖον ναόν, πᾶν ἱε/ρὸν ἀνάθημα, ἐφ' ᾧ ὁ Χριστοῦ χαρακτήρ, τῆς Θεοτόκου, εἰτινοσοῦν τῶν ἁγίων. χριστιανοὶ ἀπολλύμεθα· προφθάσωμεν τὸ πρόσωπον Χριστοῦ ἐν ἐξομολογήσει, ἀσπασώμεθα Χριστόν, ὃν δι' ἀθετήσεως τῆς ἁγίας αὐτοῦ εἰκόνος ἀρνούμεθα.

426. Δημόχαρι λογοθέτῃ γενικῷ

Ἡ τῶν ἀγαθῶν ἀνδρῶν ἔντευξις παρρησίαν δίδωσι καὶ τοὺς ἀγνῶτας πρὸς αὐτοὺς ἵεσθαι, μὴ ὅτι τοὺς γνωρίμους καὶ τῆς αὐτῶν εὐθημοσύνης πεῖραν εἰληφότας. διὰ τοῦτο τεθαρρηκότες οἱ ταπεινοὶ ἐπιστέλλομεν τῇ ὑπερφυεῖ καὶ εὐσεβεστάτῃ σου μεγαλωσύνῃ, εὐφημοῦντες αὐτὴν κατὰ τὸ εἰκὸς ὅτι ῥίζης εὐφυοῦς ἀγαθὸν βλάστημα, ὅτι φρονήσεως δεξιᾶς ἱερὸν ἀποτέλεσμα, ὅτι παιδεύσεως ποικίλης ἀγλάισμα περισπούδαστον· ἔνθεν καὶ βασιλεῦσιν ἀσπαστὴ καὶ πᾶσι διαλαλητή. κἀκ τούτου ἀρχὰς ἐξ ἀρχῶν ἀμείβουσα εἰς τὴν κορυφαιοτάτην τῶν ἐν τέλει ἀνέδραμεν εὖ γε καὶ πάνυ εἰκότως. εἰ δὲ καὶ ὅτι ἡμῖν τοῖς εὐτελέσι δι' αὐτὴν τὴν ἀρετὴν ποθητή, οὐ πάνυ τι τῶν ἀγαστῶν διὰ τὸ οὐδαμινόν· πλὴν ὅτι ὑποβάλλοι ὁ καιρὸς καὶ ἐξ εὐτελῶν παράκλησίν σοι προσάγεσθαι. ἡ δέ ἐστιν ὀρέξαι σε χεῖρα τῇ καταπεσούσῃ καθ' ἡμᾶς ἐκκλησίᾳ πτώματι ἀσεβείας. τοῦτο δὴ καὶ ἤκουσται ἡμῖν ἐνεργήσαντα καὶ εὐξάμεθά σοι ὡς ἁμαρτωλοὶ καὶ εὐλογήσαμέν σε ἀπὸ καρδίας πεπονημένης, ὅτι καὶ ἐλεγμῷ δικαίῳ ἤλεγξας τὸν ἀσεβάρχην Ἰωάννην, τοσαῦτα εἰπών, ὅσα ἦν ἄξιον

---

38 λυσσῶσα M an ⟨ὅτι⟩ φληναφεῖ scribendum? cf lin 41 42 πυρικαυστεῖ VMPS Sirm 43 εἴτινος οὖν C: οὑτινοσοῦν VM 44 Χριστοῦ: κυρίου M 45 αὐτοῦ ante ἁγίας transp V Sirm

---

426. a. 821 ineunte 17 Ἰωάννην: Grammaticus

16 Le. 19,17

C VM PS

3 ἵεσθαι C: ἴεσθαι MS Sirm: ἱέσθαι cett: correxi post αὐτῶν spatium vacuum quattuor fere litt exhibet C 4 διατοῦτο VPS 6 εὐφυοῦς: ἀγαθῆς S 10 εὖγε Sirm 11 εὐτελέσι M Sirm: ἐντελέσι cett τῶν S[sscr] 12 οὐδαμεινόν C ὑποβάλλει S ὑποβάλλοι post καιρὸς transp M 15 ηὐξάμεθά SM

ἀκοῦσαι τὸν μυσαρόν, ἅττα καὶ ἡμῖν, οἶμαι, καὶ πολλοῖς ἄλλοις προδεδήλωται· ἐπεὶ οὐκ ἔστι κρυπτόν, ὃ οὐ γνωσθήσεται, καθά φησι τὰ λόγια, καὶ ἄλλως ὅτι οἱ ἀσεβείας ἔξαρχοι τοιούτων πράξεων ἔνοχοι δικαιοτάτως πεφανέρωνται.

Μὴ τοίνυν, ὦ δέσποτά μου, ἀπολήξειας τοῦ καλοῦ σου ἀγῶνος, ἀλλὰ συνεισένεγκον τῇ μεγίστῃ σου ὑπεροχῇ ἰσόρροπον τὴν βοήθειαν ὡς ὑπὸ θεοῦ εἰς ταύτην προσκληθεὶς ἐξ ἀναγκαίου τοῦ χρόνου· οὕτω γὰρ μᾶλλον εὐκλεηθήσῃ παρά τε θεῷ τῷ εὐδοκήσαντι καὶ βασιλεῖ τῷ εὐσεβεῖν ἀπαρξαμένῳ καὶ ἅπασι τοῖς τὸν ὀρθὸν λόγον τῆς ἀληθείας πρεσβεύουσιν, οὐ μὴν ἀλλὰ καὶ σεαυτῷ τῆς κατὰ τὴν αἱρετικὴν κοινωνίαν χράνσεως ἐντεῦθεν χαρίσῃ ἀλεξιτήριον φάρμακον.

427. Θεοδώρῳ μονάζοντι

Ἐγώ σου τὴν θεοσέβειαν παρεκάλεσα, τῶν κατ' ἐμοῦ ἐγκωμίων ἀφέμενον, μᾶλλον προσεύχεσθαι μὴ πάντῃ με θεοῦ ἀπομακρύνεσθαι καὐτός, οὐκ οἶδ' ὅθεν φερόμενος, εἰς μείζους ἐξήφθης λόγους αἰνέσεως. μὴ οὕτω, πάτερ, μηδαμῶς· ἢ οὐκ οἶσθα ὅτι ἀνθρώπων ἁπάντων ἐγὼ ὁ τάλας ἁμαρτωλότερος, κἂν οὐκ οἶδ' ὅπως ἐλέει θεοῦ εἰς φυλακὴν αὐτοῦ ἠξίωμαι διατελεῖν; διὸ καὶ δεδιῶ μήπως ἐπισκεψάμενος ἐν τῷ τελουμένῳ ὁμολογητικῷ γάμῳ ἴδοι με οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου, εἴτουν καθαρότητος, καὶ εἴποι τοῖς ὑπηρέταις ἀγγέλοις· δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας ἐκβάλετε αὐτὸν καὶ ἐμβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον, ὡς παρενείραντα ἑαυτὸν ἀναξίως τοῖς

22 δέσποτά μου: de hac allocutione in epistulis patrum cf. Dinneen l. l. 56 sq.

19 Matth. 10,26

18 οἶμαι: ἤκουσται S 19 προδεδήλωται om S 23 συνεισένεγκε SM 24 post εἰς spatium vacuum quattuor fere litt exhibet C 25 οὕτως M εὐκλεϊσθήσῃ M (fort recte) τῷ ante θεῷ add M 26 εὐσεβεῖν post ἀπαρξαμένῳ transp VMPS Sirm

427. a. 815 – 826?

8 Matth. 22,11 9 Matth. 22,13

C VM P_2P_1S

1 δογματικὴ περὶ ἁγίας εἰκόνος titulo add P_1S: in marg Sirm 4 κ' αὐτὸς C 7 δεδειῶ C: δέδια cett Sirm: correxi 9 εἴτ' οὖν CVMP Sirm 12 με om P_1S 13 μοι post συμβῆναι transp M

ὁμολογηταῖς μου. ὥστε τοῦτο εἰδὼς κλαῖέ με μᾶλλον, πάτερ, καὶ προσεύχου μὴ τοῦτό μοι συμβῆναι.

Καὶ ὧδε μὲν ταῦτα. περὶ δὲ τοῦ ‚διὰ' καὶ ‚ἀνὰ' ὑπὸ τοῦ Μεγάλου Βασιλείου εἰρημένων, δῆλον ὅτι ἐν τῇ χρήσει κειμένων τῶν προθέσεων τῆς εἰκόνος, οὐχ ὑπὸ τοῦ ἁγίου δοκεῖ μοι ἐκφωνηθῆναι καὶ οὕτως καὶ οὕτως, ἀλλ' ἐκ μεταγρα/φῆς τὸ σφάλμα· πλὴν εἰς ταὐτὸν φέρει τὸν νοῦν ἀμφότερα. οἷον· ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει. καὶ ἀληθὲς τοῦτο καὶ ἐπὶ φυσικῆς εἰκόνος, τοῦτο καὶ ἐπὶ τεχνητῆς, τῆς ἀναβάσεως οὐδὲν ἄλλο δηλούσης ἢ ὅτι ἡ αὐτή ἐστι τιμὴ παρὰ τὸ τῆς οὐσίας διάφορον ἐπὶ τῶν τεχνητῶν, ἐπὶ δὲ τῶν φυσικῶν καὶ κατὰ τὸ τῆς οὐσίας ταὐτὸν ἀμφοῖν. καὶ γοῦν αὐτὴ ἡ ἀλήθεια εἴρηκεν· ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ, καὶ ὁ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν πέμψαντά με. φυσικὴ οὖν τοῦ θεοῦ καὶ πατρὸς εἰκὼν ὁ υἱός, τεχνητὴ δὲ τοῦ υἱοῦ ὥσπερ καὶ τοῦ πατρὸς ἡμεῖς, ἤγουν ποιητική· καὶ ποιητὴς γὰρ καὶ τεχνίτης τῶν ἁπάντων λέγοιτο θεός. εἴληπται δὲ τῷ Ἁγίῳ Βασιλείῳ τὸ τεχνητὸν ἐπὶ τῶν ἐν πίναξιν εἰκόνων, καὶ ταὐτὸν ἡμᾶς λαβεῖν τοὺς κατ' εἰκόνα θεοῦ γεγονότας καὶ τὴν ἐν πίνακι ὑφ' ἡμῶν τεχνουργουμένην εἰκόνα ἐπὶ τοῦ τεχνητοῦ. καὶ μᾶλλον ἔγγυος ταυτισμὸς ἐπὶ τοῦ καθ' ὁμοίωσιν ὁ ἡμέτερος χαρακτὴρ πρὸς ἡμᾶς, ὥσπερ καὶ ὁ Χριστοῦ πρὸς αὐτόν, ἢ ὁ ἡμέτερος πρὸς θεόν, ἐπειδὴ θεοῦ καὶ ἀνθρώπων τὸ μέσον ἄπειρον· ὅτι ὁ μὲν ἄκτιστος, ἀπερίληπτος, ἀπερίγραπτος καὶ ὅσα τῆς αὐτῆς συστοιχίας, ἄνθρωποι δὲ κτίσμα, σῶμα, περιγραμμὸς καὶ ὅσα ὁμόστοιχα τούτων. ἄνθρωπος δὲ καὶ εἰκὼν ἀνθρώπου ἑκάτερα κτίσμα, κἂν διαφορότης κτίσεως κατὰ θάτερον ἐπ' οὐσίᾳ.

Καὶ εὖγε τὸ πρόβλημά σου, ὅτι ὑπέδειξεν ἡμῖν ἐξ αὐτῆς τῆς θεολέκτου φωνῆς ἐν τῇ ἀθετήσει τῆς εἰκόνος αὐτὸν ἀθετεῖσθαι καὶ ἐν τῇ αὐτοῦ Χριστοῦ ἀθετήσει ἀθετεῖσθαι τὸν πατέρα τὸν πέμψαντα αὐτόν· καὶ εὑρίσκονται οἱ εἰκονομάχοι οὐκ ἀρνησίχριστοι μόνον, ἀλλὰ γὰρ καὶ τρισάρνητοι. τὸ δὲ ‚διαβαίνει', ὅτι εἰς ταὐτὸν φέρει ἡ διάβασις τῇ ἀναβάσει. εἶπεν ὁ Κύριος· ἀναβαίνω πρὸς τὸν πατέρα μου· καὶ ὁ Μωυσῆς· διαβὰς ὄψομαι. ἀμφοῖν ὁμοιοφανὴς ἡ κίνησις καὶ οὔτε κυκλοφορικὴ θατέρα θατέρας οὔτε ἑλικοειδής, ἀλλ', εἰ καὶ

18 Bas. spirit. 18,45 (PG 32,149 C) 23 Luc. 10,16 42 Joh. 20,17 43 De. 3,25

14 δὲ om CMP: V^{sscr} διαβαίνει· ἀναβαίνει in marg P_1 15 δηλονότι VMPS Sirm τῶν: τῆς M 21 τε τεχνητῶν S 29 τεχνουργημένην VMP_2 Sirm 30 ἔγγιος codd Sirm: corr Mi 32 γὰρ post ἐπειδὴ add M 33 συστοιχείας CMPS Sirm 34 τούτων ante ὁμόστοιχα transp P_1S 41 γὰρ om M

διάφορος, κατὰ θέσιν, οὐ κατὰ σχέσιν. ἑπτὰ γάρ φησιν εἶναι τὰς κινήσεις· ἡ οὖν ἀνάβασις, ἵνα καὶ σχηματίσω, τοῦτο .|.· καὶ ἡ διάβασις τοῦτο .—.. ἀμφοῖν οὖν, ὡς εἴρηται, ἰσοφανῆ· γραμμὴ γὰρ φιλοσοφικῶς τὸ δεῖγμα. ἣν οὖν ἔχει σχέσιν τὸ ἄνω πρὸς τὸ κάτω, τὴν αὐτὴν καὶ τὸ δεξιὸν πρὸς τὸ ἀριστερόν. ὥστε τὸ ἀναβαίνειν καὶ τὸ διαβαίνειν εἰς ταὐτὸν φέρει. καὶ εἰ μὲν ἐπιτετεγμένος ὁ λόγος, τῷ θεῷ καὶ λόγῳ χάρις· εἰ δ' οὖν, δίδαξον, λῷστε, τὸν ἀμαθῆ ἐμέ.

428. Ἀθανασίῳ τέκνῳ

‚Πῶς', φῇς, ‚οὐ λατρεύεται ἡ εἰκὼν Χριστοῦ, ἀλλ' ὁ ἐν αὐτῇ προσκυνούμενος Χριστός, μιᾶς οὔσης ἐπ' ἀμφοῖν προσκυνήσεως;' ὅτι ἐπ' αὐτοῦ δὴ Χριστοῦ λατρευτικὴ ἡ προσκύνησις· προσκυνῶν γὰρ αὐτὸν συμπροσκυνῶ τὸν πατέρα καὶ τὸ Ἅγιον Πνεῦμα ὁμοῦ, / ὅπερ ἐστὶν ἡ τριαδικὴ ἡμῶν προσκύνησις καὶ λατρεία. ἐπὶ δὲ τῆς εἰκόνος ἡ αὐτὴ μὲν (πῶς γὰρ οὔ; ὧν γὰρ ἓν τὸ κράτος καὶ ἡ δόξα μία, τούτων δῆλα δὴ ἓν τὸ σέβας καὶ μία ἡ προσκύνησις), σχετικὴ δὲ ὅμως, ἤγουν ὁμωνυμική· προσκυνῶν γὰρ αὐτὴν οὐ συμπροσεκύνησα, ἀλλὰ προσεκύνησα Χριστόν, οὐ διαιρούμενον καθ' ὑπόστασιν, ἀλλὰ διαφορούμενον κατὰ τὸν τῆς οὐσίας λόγον. ὅπερ ἐστὶ σχετική, ἀλλ' οὐ λατρευτική, κἂν ἡ αὐτή, ἐκεῖ μὲν οὕτως νοουμένη καὶ λεγομένη, καθότι τριαδική, ἤγουν φυσική, ἐνταῦθα δὲ τὸ ἔμπαλιν, καθότι σχετική, ἤγουν ὑποστατική· εἰ γὰρ εἴποις ‚λατρευτική', ἐσήμανας σεσαρκῶσθαι ὡς τὸν υἱὸν τόν τε πατέρα καὶ τὸ πνεῦμα, ὅπερ ἐστὶν ἔκτοπον.

Τοιγαροῦν προσκυνῶν τὴν εἰκόνα Χριστοῦ οὐ τὴν θεότητα προσκυνῶ, ὥς φασί τινες (τοῦτο γὰρ τῆς Τριάδος σημαντικόν· καὶ οὐ

---

45 διάφοροι M   ἀλλ' ante οὐ add M   47 · – · codd, ubi punctum alterum fort pro interpunctione positum: – – – – – Sirm: – – – Mi   50 ἐπιτετευγμένος VMPS Sirm   51 καὶ λόγῳ in marg S   οὐ post οὖν excidisse praeter necessitatem susp Sirm

---

428. a. 815 – 826?

1 – 24 = ep. 528,15 – 37   2 Dion. Ar. ep. 4,1 (PG 3,1072 A)   4 – 10 = monum. gr. 5,14 (p. 58 Hergenröther)

C VM P_2P_1S epistulam cum ep 528 confundit R

1 δογματική, ἀναγκαία πάνυ, περὶ τῆς παναγίας εἰκόνος τοῦ κυρίου (S^{sscr}) καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ titulo add P_1S: in marg Sirm   2 φὴς VMPS Sirm   4 voces καὶ φυσικὴ post προσκύνησις add monum gr l. l.   8 δηλαδὴ omnes: distinxi   17 τοιγὰρ οὖν C   18 τινες ante φασί transp Sirm (sed cf ep 528,31)

σεσάρκωται ἡ Τριάς, ἄπαγε)· ἀλλὰ τί; αὐτὸν Χριστὸν σχετικῶς· μόνος γὰρ αὐτὸς ὁ σαρκωθεὶς θεὸς λόγος. προσκυνῶν δὲ αὐτὸν Χριστὸν δῆλον ὅτι συμπροσεκύνησα τὸν πατέρα ὁμοῦ καὶ τὸ πνεῦμα. ὥστε ἐπὶ τῆς εἰκόνος σχετικὴ εἰκότως ἂν νοοῖτο καὶ λέγοιτο, ἐπ' αὐτοῦ δὲ Χριστοῦ λατρευτική, ὡς συνεπινοουμένου τε καὶ συμπροσκυνουμένου τοῦ τε πατρὸς καὶ τοῦ πνεύματος.

429. Ἐπιστολὴ ἐκ προσώπου πάντων τῶν ἡγουμένων πρὸς Μιχαὴλ βασιλέα

Ἡμεῖς, οἱ ἐπὶ τὸ αὐτὸ συνεληλυθότες κατὰ κέλευσιν τῆς θεοστέπτου ὑμῶν βασιλείας ἐλάχιστοι ἐπίσκοποί τε καὶ ἡγούμενοι, πρώτην φωνὴν ταύτην φθεγγόμεθα ἐπὶ τοῦ θεοπροβλήτου ὑμῶν κράτους εὐχαριστήριόν τε καὶ αἰνετήριον, ὅτι ἀνεκλήθημεν οἱ ἀπωσμένοι, ὅτι ἠλεήθημεν οἱ τεταλαιπωρημένοι, ὅτι ἀνεψύξαμεν οἱ ἐκλελοιπότες ἀπὸ χειμῶνος εἰς ἔαρ, ἀπὸ ζάλης εἰς γαλήνην, ἀπὸ ἀθυμίας εἰς εὐθυμίαν, ξένα τινὰ καὶ παράδοξα ἑωρακότες· τοιαύτη γὰρ ἡ δικαία ὑμῶν βασιλεία χαρμόσυνος, εὐφρόσυνος, πολύευκτος, εἰρήναρχος, φιλοδίκαιος, πολλαῖς ἑτέραις προσηγορίαις ἀξιώνυμος, μιμήσει Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τὰ διεστῶτα συνάπτουσα, τὰ νενοσηκότα ὑγιάζουσα, τὰ λυπηρὰ χαροποιοῦσα, ἐξαίρετός τις οὖσα βασιλεία καὶ τῶν πάλαι μακαριζομένων ἰσόρροπος· ἣν ἀποσεμνύνειν τοῖς ἐγκωμίοις οὐκ ἂν εὐμαρῶς γλῶσσα ἀνθρώπου ἐξαρκέσειεν.

Ἀλλ' ἐπειδὴ ταῦτα οὕτως, παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν οἱ ἀνάξιοι καὶ αὐτῆς τῆς ἱερᾶς ὑμῶν θέας ἀξιωθῆναι καὶ φωνῆς ἡδίστης ἀκοῦσαι τοῦ παντίμου καὶ θεοσόφου στόματος ὑμῶν, ὡς ἄν, ἅπερ ὠσὶν ἀκούομεν, ταῦτα κατ' ὀφθαλμοὺς θεασάμενοι σκιρτήσοιμεν τῷ πνεύματι, ὥσπερ τι ἔνδυμα πενθικὸν τὴν κατήφειαν μετενδιδυσκό-

19 Χριστὸν om P_1S 21 δηλονότι VMPS Sirm 22 εἰκότως: προσκύνησις Mi 24 post πνεύματος verba καλῶς, ὦ τᾶν — τὴν ὑπόστασιν (= ep 528,38 – 96) add R

429. a. 821 ineunte 3 θεοστέπτου: ad vocem cf. S. G. Mercati, Collectanea byzantina II 370 sq. 4 βασιλείας: ad allocutionem cf. Dinneen l. l. 28

C VM PS

1 ἐπισκόπων καὶ post τῶν add S 3 ἐπιτοαυτὸ MS τῆς om Sirm θεοσέπτου Sirm 4 ἐλάχιστοι om MPS: in marg V 5 φωνὴν post ταύτην transp M 9 voces καὶ παράδοξα post ἑωρακότες transp M 15 ἀνθρώπων M 17 ἀξιωθῆναι post ἡδίστης add V 19 ἀκούωμεν C σκιρτήσωμεν SM

μενοι εὐφροσύνης ἀγαλλιάματι. ἐπειδὴ δὲ ὁ δεύτερος λόγος περὶ τῆς εἰλικρινοῦς τε καὶ ἀμωμήτου ἡμῶν τῶν χριστιανῶν ἐστι πίστεως, ἐκεῖνο μετὰ αἰδοῦς τολμῶμεν ἀνενέγκαι, ὡς, εἰ μὲν ἀνθρώπινόν τι ἦν τὸ λεγόμενον καὶ ἢ πρὸς τοῦ ἁγιωτάτου ἡμῶν ἀρχιερέως ἢ παρ' ἡμῶν τῶν ἀναξίων ἐξουσιαζόμενον, οὔ τί που τὸ μικρόν, ἀλλὰ γὰρ καὶ τὸ πᾶν παραχωρεῖν ἔδει, οὕτω τῆς ἐντολῆς κελευούσης. / ἐπεὶ δὲ περὶ θεοῦ καὶ εἰς θεὸν ὁ λόγος, οὗ δοῦλα τὰ σύμπαντα, οὐχ ὁ τίσδε ἢ τίσδε, ἀλλ' οὐδ' εἰ Πέτρος καὶ Παῦλος οὐδ' ἄν τις τῶν ἀγγέλων εἴη, τολμήσειεν ἂν κἂν τὸ βραχύτατον παρακινῆσαι, ὡς διὰ τούτου τοῦ παντὸς εὐαγγελίου ἀνατρεπομένου· πρός τε τὸ συνᾶραι λόγον ἀντιρρητικὸν μετὰ τῶν ἑτεροδόξων, ἐναντιούμενον τῇ ἀποστολικῇ παραγγελίᾳ, οὐ καθῆκον, εἰ μή τι πρὸς νουθεσίαν μόνον. καὶ διὰ τοῦτο οἱ ἀνάξιοι δοῦλοι τοῦ εὐσεβοῦς ὑμῶν κράτους καὶ γρύξαι μόνον οὐ κατατολμῶμεν. εἰ δέ τι ἀμφιβαλλόμενον ἢ ἀπιστούμενον τῇ θείᾳ ὑμῶν μεγαλονοίᾳ διαλύεσθαι ὑπὸ τοῦ ἀρχιερέως εὐσεβῶς, ἡ μεγάλη καὶ θεοστήρικτος αὐτῆς χείρ, ὡς ζηλοτυποῦσα τὰ θεῖα ἐπ' ὠφελείᾳ τοῦ παντός, κελευσάτω παρὰ τῆς πρεσβυτέρας Ῥώμης δέξασθαι τὴν διασάφησιν ὡς ἄνωθέν τε καὶ ἐξ ἀρχῆς πατροπαραδότως ἐξεδόθη· αὕτη γάρ, χριστομίμητε βασιλεῦ, ἡ κορυφαιοτάτη τῶν ἐκκλησιῶν τοῦ θεοῦ, ἧς Πέτρος πρωτόθρονος, πρὸς ὃν ὁ Κύριός φησιν· σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

Τοῦτο ἡμῖν τὸ αἴτημα τῶν ἀναξίων δούλων σου, αὕτη σὺν θεῷ ἡ παράκλησις τῶν τεταπεινωμένων. ἡ κραταιὰ χεὶρ τοῦ θεοῦ σῴζοι σε, τὸν κοσμοπόθητον καὶ θεοφιλῆ, τὸν βασιλέα τῶν χριστιανῶν, ἐν πολλοῖς χρόνοις διατεινόμενον καὶ εἰς παῖδας παίδων τὸ κράτος ἀμείβοντα ἐν εὐημερίαις τε καὶ νίκαις ἐχθρῶν τε καὶ πολεμίων. γένοιτο, γένοιτο.

---

35 μεγαλονοίᾳ: cf. Dinneen 40; D. Hagedorn, in: Zeitschr. f. Papyr. u. Epigr. 9 (1972) 203 36 ἡ μεγάλη – 42 αὐτῆς: primum edidit Allatius, De consensione 302 38 δέξασθαι τὴν διασάφησιν: cf. J. Gretser, Opera omnia, VII. Regensburg 1736, 559 46 εἰς παῖδας παίδων: cf. B. Gygli-Wyss, Das nominale Polyptoton im älteren Griechisch. Göttingen 1966, 17 sq.

---

28 Gal. 1,8 30 Matth. 18,23 31 Tit. 3,10 sq. 41 Matth. 16,18

---

28 καὶ: ἢ M 29 τολμήσοιεν CVPS Sirm 30 συνάραι VPS Sirm 34 γρῦξαι CS κατὰ τολμῶμεν C 38 ἐξαρχῆς CS 41 φησί VMPS: φησι Sirm 43 ἡμῖν: ἡμῶν VM Sirm 44 οὖν post κραταιὰ add VMPS Sirm χεὶρ post θεοῦ transp M διασώζοι M 47 τε[2] om MS ναὶ post πολεμίων add M

ΑΡΧΗ ΒΙΒΛΙΟΥ Γ΄

430. Ἐπισκόποις διὰ Κύριον πεφυγαδευμένοις

Ἄρτι ἀκουτισθεὶς ὁ ταπεινὸς τὰ περὶ τῆς μακαριότητος ὑμῶν, ὦ τριπόθητοι πατέρες, λίαν ἥσθην καὶ ἐδόξασα τὸν ἀγαθὸν ἡμῶν θεόν. ὅτι δὲ οὐκ ἠξιώθην ἰδεῖν ὑμᾶς καὶ ἀπολαῦσαι τῶν ἐν ὑμῖν χαρισμάτων, καὶ πάνυ ἠνιάθην· ἔμελλον γὰρ ὁρᾶν ἀνθρώπους θεοῦ, ἱεράρχας Κυρίου, μακαρίους ἄνδρας, φωστῆρας κόσμου, ἐρείσματα πίστεως, εἴ τι ἄλλο τῶν καλῶν καὶ ὄντας καὶ ὀνομαζομένους. ὢ τῆς ζημίας· ὢ τῆς συμφορᾶς· πλὴν αἱ πολλαὶ ἡμῶν ἁμαρτίαι αἴτιον τοῦ συμβεβηκότος. καὶ οὐ θαυμάζομεν τὴν ἀτυχίαν, ἀλλὰ προβάλλομεν τὴν ἱκετηρίαν. τί τοῦτο; ἵνα γράμμασι παραμυθήσησθε τὴν ἀπόλειψιν, νουθετοῦντες, φωτιοῦντες, στηρίζοντες, ὑποφαίνοντες ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἐνστατικά, ὅσα ἔναθλα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος ὁμολογίας. ταῦτα γράφοιτε, καὶ πῶς προσκυνητέον Χριστὸν ἐγγεγραμμένον, ὁμωνύμως ἢ συνωνύμως, ἐπειδὴ τὸ μὲν ὀρθοδοξίας, τὸ δὲ ἀντιδοξίας· καὶ πῶς τῆς προσκυνήσεως νοουμένης εἰς Χριστόν τε καὶ τὴν αὐτοῦ εἰκόνα, μιᾶς ἢ δυοῖν, ἐπειδὴ τὸ μὲν ἡμέτερον, τὸ δὲ τῶν εἰκονομάχων· ὧν γὰρ μία ἡ ὑποστατικὴ ὁμοίωσις, τούτων μία καὶ ἡ αὐτὴ προσκύνησις, παρὰ τὸ τὴν οὐσίαν τῆς εἰκόνος / μή τί που προσκυνεῖσθαι.

Οὗτος ὁ μικρὸς ἡμῶν λόγος ὑπομνηματικός, ἀλλ' οὐ διδακτικός, ὑμῶν δὲ τὰ τελεώτερα πάντως τοσοῦτον, ὅσον καὶ τὸ καθυπερέχον τοῦ χρίσματος· ἐφ' ᾧ τελοίητε τὸν προκείμενον δρόμον, ὁσιώτατοι, ἀνδρειότατα, ὡς ἀποληψόμενοι τὸν τῆς δικαιοσύνης στέφανον.

---

430. a. 821?

22 Act. 20,24 23 2 Tim. 4,8

C VM PS

titulum libri om VMS: in marg CP Sirm

3 ἤσθην CV 4 δὲ οὐκ: οὐδὲ P Sirm: δὲ οὐδὲ V (ubi δὲ[sscr]) 7 ὦ C 8 ὦ C 10 παραμυθήσοισθε M 13 εἴ τις om M 14 τὸν ante Χριστὸν add M 16 εἰς ante τὴν add M δυεῖν CVP Sirm 20 ὑπομνηματικῶς C διδακτικῶς C (fort recte) 23 ἀνδριώτατα C

431. Ἀμμοῦν τέκνῳ

Οἴμοι, ἐξ αὐτῆς βαλβῖδος τῆς ἐπιστολῆς καὶ στεναγμὸν ἀναπέμπω ἐκ βάθους καρδίας καὶ δάκρυον ἀναμείγνυμι τῷ μέλανι ἐφ' οἷς ἠκουτίσθην περὶ σοῦ, ἀδελφέ· φασὶ γὰρ ἀπορρίψασθαί σε τὸ ἅγιον ἔνδυμα τοῦ μοναχοῦ καὶ τελεῖν ἐν λαϊκοῖς καὶ γυναῖκα περιάγειν. ὢ τοῦ ἐλεεινοῦ ἀκούσματος· ὢ τῆς ἐμῆς συμφορᾶς· ἐμὴ γὰρ ἡ σή, τέκνον, ἁμαρτία κατὰ τὸν τῆς πατρικῆς συμπαθείας τρόπον. ποῦ τὸ φῶς τῆς διανοίας; ποῦ τῆς ἐλπίδος τὸ πτερόν; ποῦ τῆς πίστεως ὁ θυρεός; ποῦ τοῦ λογιστικοῦ τὸ κριτικόν; ποῦ ὁ ἔρως ὁ πρὸς θεόν; ποῦ ὁ ἐντεῦθεν τοῦ κόσμου δρασμός; ποῦ ἡ ἐγκατάλειψις ἁπάντων τῶν ἐπὶ γῆς; ποῦ ἡ ἐπιστασία τῆς μονῆς; ποῦ ἡ εὐκατάνυκτος παραδοχὴ τῆς εἰσδοχῆς; ποῦ ἡ στοιχείωσις τῆς κοινοβιακῆς ζωῆς; ποῦ ἡ φωτιστικὴ ἐξαγόρευσις; ποῦ σου τὰ καλὰ δάκρυα; ποῦ ἡ εὐλαβοειδὴς ἕξις; ποῦ ἡ ἐκ τοῦ πληρώματος τῆς ἀδελφότητος μαρτυρία; ποῦ ἡ ἐπὶ τοῦ ἱεροῦ βήματος ὁμολογία; ποῦ αἱ ὑπὸ μάρτυρι θεῷ τε καὶ ἀγγέλοις ὑποσχέσεις; ποῦ ἡ φαεινὴ φαιδρότης τοῦ σχήματος; ποῦ ὁ πνευματικῶς νοούμενος γάμος; ποῦ ὁ ὑπὲρ σοῦ τυθεὶς ἀμνὸς τοῦ θεοῦ; ποῦ τὸ εὐαγγελικόν τε καὶ ἀδελφικὸν ἀγαλλίαμα; ποῦ ὁ παρὰ πάντων ἱερώτατος ἀσπασμός; ποῦ ἡ ἐν τῷ θείῳ θυσιαστηρίῳ παράστασις; ποῦ ἡ τοῦ σώματός τε καὶ αἵματος τοῦ Χριστοῦ θεία μετάληψις; ποῦ ἡ ὅλη φαιδρὰ καὶ ἀγγελοχαρμόσυνος τελετή; ποῦ ἡ φανὴ λαμπάς; ποῦ ἡ ἄμπελος ἡ ἀληθινή; ποῦ ἡ καρποφόρος φυτεία τοῦ Πνεύματος; ποῦ ἐμοῦ γε τοῦ ἀθλίου ὁ υἱός, ὁ προαχθεὶς ἔτι καὶ ἔτι ἐν καλῷ καὶ χρήσιμος ὀφθεὶς τῇ ἀδελφότητι, τὸ τέκνον τοῦ θεοῦ, ὁ τοῦ φωτὸς χορευτής, ὁ τῆς βασιλείας τῶν οὐρανῶν πολίτης, τὸ σκεῦος τὸ ἐκλεκτόν; πῶς ἐστράφη εἰς τὰ ὀπίσω; πῶς ἀπελάκτισεν ὁ ἠγαπημένος;

---

431. 12 ἐξαγόρευσις: ad hanc institutionem monasticam cf. PG 99,1721 A; Dobroklonskij I 531 sq.; Leroy, Vie quotidienne 33

25 Act. 9,15 26 De. 32,15

C VM PS

2 οἴμμοι C βαλβίδος omnes: correxi 3 ἀναμίγνυμι omnes: correxi 5 ὦ C 6 ὦ C 8 verba ποῦ ὁ ἔρως ὁ πρὸς τὸν θεόν post πτερόν inser Sirm 9 ποῦ ὁ ἔρως ὁ πρὸς θεόν om Sirm 10 τοῦ om VMPS Sirm πάντων C[ac] 15 verba αἱ ὑπὸ om Mi: ante φαεινὴ errore typographico transp Sirm 16 ὑποφαεινὴ Mi πνευματικὸς C 17 σου PS 21 φαεινὴ MS 26 εἰσταοπίσω S

πῶς ἐσκοτίσθη ὁ πεφωτισμένος; πῶς ἀπεσείσατο τὰ τῆς ἁγνείας ὅπλα; πῶς ἐγένετο θήραμα διαβόλου, ἐζωγρημένος ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα καὶ ἀφεὶς τὸν καλὸν νυμφίον, τὸν Κύριον τῆς δόξης, τὸν ἐξουσιαστὴν τῶν ἁπάντων;

Ὢ, τίς οὐ στενάξειεν ἐκ βάθους; τίς οὐκ ἐλεήσειεν τὸν ἐξηπατημένον; οὐρανέ, ἔκστηθι ἐπὶ τούτῳ, γῆ, βόησον τὸ πάθος. τί γέγονεν, ἀδελφέ; οὐκ ᾐδέσθης κἂν τοὺς ὁρῶντας; οὐκ ἐρυθρίασας ἀπ' αὐτοῦ τοῦ ἀέρος; οὐκ ἐδυσχέρανας τὴν δυσωδίαν τῆς παγκαταράτου ἁμαρτίας; ἔχεις νοῦν; ζῇς ἆρα; ἀθρεῖς ἥλιον; βλέπεις σελήνην; ὁρᾷς ἀστέρας; οὐκ ἔστιν, οὐκ ἔστιν εἰπεῖν ὅσον τὸ ἁμάρτημα, ὅσος ὁ σκότος, ὅση ἡ ἀλογία (καὶ εἴθε μέχρι τούτων ὁ λόγος· εἶχεν γὰρ ἂν ἡ ἀθλιότης συμμετρίαν), ἀλλ' ὅτι κρίμα, ἀδελφέ, ἀπαραίτη/τον, πῦρ αἰώνιον, σκότος ἐξώτερον καὶ ἀλαμπές, βρυγμὸς ὀδόντων, ἅπαντα τὰ ἄλλα κολαστήρια ἐν οἷς ἡ εὐθύνη, καὶ ταύτη ἀπέραντος εἰς αἰῶνας. καὶ οὔπω λέγω τῶν ἀγαθῶν τὴν ἀπόπτωσιν, ἣν σεαυτῷ προεξένησας· τίς αὕτη; μετὰ θεοῦ γενέσθαι, χαρὰ ἀνεκλάλητος, ζωὴ ἀμήρυτος, εὐφροσύνη αἰώνιος, τρυφὴ παραδείσου, τῆς Ἁγίας Τριάδος ἔλλαμψις, πᾶσα ἄλλη καὶ λεγομένη καὶ νοουμένη μακαριότης.

Δεῦρο δὴ οὖν, δεῦρο, τέκνον, ἀνάνηψον, ἀνακλήθητι, ἀνακαινίσθητι, ῥῖψον τὰ συμπλακέντα σοι ὑπὸ τοῦ ἐχθροῦ σχοινία τῆς ἁμαρτίας, διατμήθητι τῆς Εὔας, πρόσελθε τῷ ἀμνησικάκῳ καὶ φιλανθρωποτάτῳ Ἰησοῦ. ἄντικρυς βοᾷ· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι ταῖς ἁμαρτίαις. ὑπαντᾷ, περιπλέκεται, εἰσοικίζεται, οὐκ ἐγκαλεῖ περὶ τῶν προτέρων, ἄγει καὶ πάλιν ἑορτήν, σῴζει τὸν ἀσωτευθέντα. ναί, δέομαί σου, τέκνον, ἄκουσον, ἐξάφθητι, τρῶσον τὸν τρώσαντά σε. ἧκε οὖν, ἧκε τάχει πρὸς ἡμᾶς τοὺς ἁμαρτωλούς· ἐγὼ τὴν ψυχήν μου τίθημι ὑπὲρ σοῦ, ἐγὼ ἐγγυητὴς τῆς σωτηρίας σου, ἐγώ σε ἰατρεύσω ἁπαλοῖς φαρμάκοις, ἐγὼ σὺν θεῷ ὁ τάλας ἀσπάσομαί σε ὑπὲρ τὸ πρότερον. μόνον πρόσδραμε, μόνον μὴ στῇς ἔτι, ἀλλὰ τὴν μὲν Εὔαν ἀφεὶς εἰς ἑαυτὴν παίζειν (εἰ δ' οὖν ἀκούει

---

32 Jer. 2,12 35 Hom. Od. 4,833 ζώει καὶ ὁρᾷ φάος ἠελίοιο 39 Matth. 8,12 46 Ps. 118,61 48 Matth. 11,28 53 Joh. 10,11

---

31 ὦ C στενάξει VMPS Sirm ἐλεήσειε VMPS Sirm 33 ἠρυθρίασας VMPS Sirm 35 ἄρα C Sirm 36 vocem εἰπεῖν post ἔστιν¹ transp V 37 εἶχε VMPS Sirm 38 κρῖμα PS Sirm 40 ταύτη C: αὕτη cett Sirm (an ταύτῃ scribendum?) 42 προεξένισας C 43 ἀμήρυτος C: ἀκήρατος cett Sirm (sed cf miracula S. Demetrii 58,13 Lemerle, ubi eadem v. l.) 47 εὔας C 48 πρός με om VMPS Sirm 49 εἰς οἰκίζεται C 56 Εὖαν CPS Sirm ἄφες VMPS Sirm κούει in marg S (quia verbum ἀκούει in textu vix legi possit)

θείως, ἐμβαλὼν εἰς σεμνεῖον), σαυτὸν δὲ παρέξεις τῷ θεῷ καὶ ἡμῖν. διαμαρτύρομαι οὖν ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα τούτων ἀκούων ἀλλάξῃς ἑαυτόν, κατεπείγων πρὸς ἡμᾶς πρὶν ἢ φθάσῃ τὸ τέλος, πρὶν ἢ ἀποκλείσῃ κατὰ σοῦ ἡ ἀπαραίτητος ἀπόφασις.

432. Θεοφίλῳ ἡγουμένῳ

Οὐκ ὀλίγα τὰ ἀκουσθέντα μοι περὶ τῆς τιμιότητός σου, ἃ καὶ ἐλύπει με οὐ μετρίως, ὅμως ὅτι ἀπεσκευάσθησαν διὰ τοῦ τιμίου σου γράμματος. καί γε δέδεκταί σου, τολμῶ λέγειν, ὁ Κύριος τὴν μετάνοιαν καὶ τὴν ἀπολογίαν τῆς ἐν τῷ μοναστηρίῳ ἀνθυποστροφῆς, εἰ καὶ οὐκ ἀστεία τηνικαῦτα ἦν, ὅτε Χριστὸς ἐδιώκετο· ἄρτι δέ, ἐπὰν ἐλώφησεν ὁ διωγμός, τίς λόγος ὑποστροφῆς καὶ οὐχὶ μᾶλλον ἀθλήσεως; ἀπ' ἐμοῦ, φησίν, ὄψεσθε, καὶ οὕτως ποιήσατε. τοῦτό σε ἔδει φθέγξασθαι τοῖς φοιτηταῖς, ἐκκαλουμένοις οἴκοι ἐπαναδραμεῖν, οὐχ ὑπακοῦσαι καὶ γενέσθαι ὑποτύπωσιν ἥττης, καὶ ταῦτα μετὰ τὴν πτῶσιν· ἢ οὐκ οἶσθα ὅτι ἐπ' ἀρνήσει Χριστοῦ ἦν ἡ κοινωνία σοί τε καὶ τοῖς συναπαχθεῖσιν ἀθέως; εἶτα, ἐπειδὴ εἵλου μετάνοιαν διὰ τῆς ὑποχωρήσεως (τοῦτο γὰρ τὸ κεφάλαιον τῆς μετανοίας καὶ ἧς ἄνευ ἀμεταμέλητος ἡ πτῶσις), τί πάλιν ἐπὶ τὸ πλημμελὲς ἀνέκαμψας (σύγγνωθι, πάτερ, ἀναγκάζομαι ἐπιδόντος σου σεαυτὸν τῇ ταπεινώσει μου λέγειν σοι ὡς ἀπὸ στόματος Κυρίου τὰ προσήκοντα), τί οὐ πάντας ἢ ὁμοτρόπως συνδιώκεσθαί σοι νενουθέτηκας ἤ, μὴ βουλομένους, εἴασας ὡς μισοχρίστους, ὡς φιλοσάρκους, ὡς ἀπειθεῖς, ἀλλ' οὐχ υἱούς; κἂν τούτῳ καὶ τὴν ἧτταν ⟨ἂν⟩ ἀνεκαλέσω καλῶς καὶ τοῖς ὑπὸ χεῖρα ἐγένου ὑπογραμ/μὸς χρηστὸς καὶ τῇ ἐκκλησίᾳ Χριστοῦ ὤφθης οἰκοδομὴ ἀντὶ καταλύσεως προτέρας.

---

60 Luc. 13,25

57 ἔμβαλον VMPS Sirm σ' αυτὸν C 59 ἀλλάξεις C φθάσει omnes: correxi 60 ἀποκλείσει omnes: correxi

---

432. a. 821 – 826

8 Joh. 13,15

C VM PS

4 καίγε Sirm 6 ἀστεῖα M ἐπᾶν VMP 10 τύπωσιν M 14 ἐπανέκαμψας M (fort recte) 19 καν C: κἂν Sirm ἂν inserui

Οὕτως εἰργάσατο ὁ θεοφιλέστατος ἀδελφὸς ἡμῶν καὶ ἡγούμενος τοῦ Μηδικίου, οὕτως ὁ ἁγιώτατος πατὴρ ἡμῶν τῆς Λαοδικείας, ἐπεὶ καὶ ἕτεροι. δυοῖν θάτερον, εἰ οὗτοι ἐννόμως, αὐτὸς ἀνόμως καὶ εἴ τίς σοι ὁμοίως δέδρακεν. ἀλλ' εἰσί τινες, ὡς μανθάνω, τῆς συμπτωματικῆς συστοιχίας (ὧν τὰ ὀνόματα ἑκὼν ὑπερβήσομαι), οἳ λέγουσιν ὑπὲρ αὐτῆς μηδ' ὁτιοῦν μετανοεῖν μηδ' αὖ ἓν συγχωρητικὸν καὶ μόνον ἐξαιτεῖν, καὶ καλῶς πεποιηκέναι· ἐξ οὗ καὶ οἱ ἀδελφοί, φασί, σέσωνται καὶ οἱ ναοὶ ἀσίαντοι. ὢ τῆς πωρώσεως· ὢ τῆς θεομαχίας· Χριστὸς ἤρνητο, ἀθετουμένης τῆς ἁγίας αὐτοῦ εἰκόνος, ἡ Θεοτόκος, ὁστισοῦν τῶν ἁγίων, δι' ὧν καὶ ἀρχιερεὺς ἐδίωκτο καὶ ἐπίσκοποι περιωρίζοντο καὶ ἡγούμενοι ταὐτοπαθοῦντες, μοναχοὶ καὶ μονάζουσαι, λαϊκοί, λαΐζουσαι, οἱ μὲν τυπτόμενοι, οἱ δὲ φρουρούμενοι, ἄλλοι λιμοκτονούμενοι, ἕτεροι ξεόμενοι, ἄλλοι θαλαττευόμενοι, ἕτεροι θανατούμενοι, ἄλλοι κρυπταζόμενοι, ἕτεροι δραπετεύοντες. πλήρεις αἱ ἐρημίαι καὶ τὰ σπήλαια, πλήρη τὰ ὄρη καὶ αἱ νάπαι· σάρκες κοπτόμεναι, αἵματα ῥέοντα, ἡ καθ' ἡμᾶς οἰκουμένη κωδωνιζομένη τῷ διωγμῷ, πᾶσα ἡ ὑπ' οὐρανὸν ὡς εἰπεῖν στοναχίζουσα καὶ κατακλάουσα. καὶ σύ, ὦ τρισάθλιε, ἑαλωκὼς τῇ ψυχοφθόρῳ κοινωνίᾳ καὶ μένων εἰς τὸ ὀλετήριον (ἐπὰν οὕτως, ἀλλ' οὐ μοναστήριον) λέγεις εὖ ἔχειν καὶ ἐγγελᾷς τοὺς χριστοφόρους, μᾶλλον δὲ αὐτὸν Χριστόν, ὑπὲρ οὗ καὶ τὸ πάσχειν; ποῖον δὲ καὶ διεσώσω ναόν, τὸν ναὸν τοῦ θεοῦ μιάνας, σεαυτόν; τίνας δὲ καὶ ἀδελφοὺς ἐφυλάξω, διεφθορότας τῇ ὀλεθρίᾳ σου κοινωνίᾳ, κἂν ἐν βρώμασι; σκάνδαλον τοῦ κόσμου, ὑπόδειγμα ἀρνήσεως, προτροπὴ ἀπωλείας, σὰρξ ἀλλ' οὐ πνεῦμα, σκοτὴρ ἀλλ' οὐ φωστήρ. ταῦτα αὐτὴ ἡ ἀλήθεια βοᾷ πρὸς τοὺς οὕτως ἀσεβοῦντας· οὕς, εἰ μὴ μετανοήσωσιν ἐπιλέγειν οὕτως ἄθεα, οὐ χριστιανοὺς ἡγητέον.

Ἤκουσας τὸ κρίμα, πάτερ; ἡμάρτηκας, ὑποστρέψας καὶ ἠθετηκὼς τὴν ὑπόσχεσιν. πλὴν ὁ ἀγαθὸς θεὸς συγχωρήσει σοι. μεῖνον οὖν

22 ἡγούμενος: Nicetas

42 Philipp. 1,29 1 Cor. 3,16

26 συστοιχείας CM 27 ὅτι οὖν C 29 ἀσίναντοι Sirm: eras P (cf Lexicon Lampei s. v. ἀσιάντως) ὦ C (bis) 30 ἠθετουμένης C 31 ὅστις οὖν C δεδίωκτο VMPS Sirm 32 περιορίζοντο Sirm 35 πλήρης C 36 πλήρης C 38 δὲ post πᾶσα add M κατακλαίουσα M Sirm 40 ἐπὰν VMP: ἐπ' ἂν Sirm 41 ἰουδαϊκῶς post ἐγγελᾷς add VMPS Sirm 42 καὶ[1] S[sscr] 44 καν C: κἂν PS 47 μετανοήσουσιν VMPS Sirm 49 κρῖμα PS Sirm πάτερ: μάτερ Sirm 50 ἀγαθὸς S[sscr] οὖν om M

ἄρτι ἐν τῷ μοναστηρίῳ, ἐπὰν μετῆλθεν ἄλλως τὰ πράγματα, ἐχόμενος τοῦ ὁμολογεῖν παντὶ ἀνθρώπῳ τὸ ‚ἥμαρτον', ὡς ἂν θεὸς εὐμενισθείη καὶ ἀναγάγῃ σε εἰς τὸ πρότερον φῶς, ὅτε ηὔγει ὁ λύχνος τῆς πολιτείας σου, ὅτε ἧς σεβαστὸς καὶ βασιλεῦσιν, ὅτε οὔτε τὸ τυχὸν παροφθὲν ἦν σοι εὐκαταφρόνητον. καὶ πρὸς τὸ ἑξῆς, ὡς οἰκονομήσει Κύριος τὰ τῆς ἐκκλησίας, οὕτω καὶ λαλήσομεν, οὕτω καὶ συναποθανούμεθά σοι διὰ τὴν ἀγάπην ἐν τῇ ἀγάπῃ. προσεύχου περὶ ἡμῶν τῶν ἁμαρτωλῶν καὶ μὴ οἴου ὑπεροπτικῶς ἡμᾶς γράψαι (ἴσμεν γὰρ ἑαυτοὺς βδέλυγμα ἐν ἀνδράσιν ὁσίοις), ἀλλὰ διὰ τὸ ἀληθὲς καὶ σοῦ σωτήριον· εἰ δὲ καὶ ἄλλων, ὁ παθὼν ὁμολογήσοι θεῷ τὴν χάριν. /

433. Κατηχητική. Τοῖς ἠγαπημένοις πνευματικοῖς τέκνοις τε καὶ ἀδελφοῖς Λαυρεντίῳ, Συμεών, Διονυσίῳ, Ποιμένι, Λιτοΐῳ καὶ τοῖς λοιποῖς ὧδε κἀκεῖσε διεσπαρμένοις Θεόδωρος ἁμαρτωλὸς μοναχὸς ἐν Κυρίῳ χαίρειν

Χαίρειν ἔστι πάντοτε τοῖς κατὰ θεὸν ζῶσι, κἂν τοῖς τῆς χαρᾶς ἐναντίοις ὑποπέσειεν, ἐπειδὴ ἓν εὐφροσύνης ἀληθινῆς ἔργον, ἡ εἰς θεὸν ἐλπὶς καὶ τὸ ὑπὲρ αὐτοῦ καὶ δι' αὐτὸν καὶ ζῆν καὶ κινεῖσθαι καὶ πᾶν ὁτιοῦν ἄλλο πράττειν. ὅτι δὲ οὕτως ὑμεῖς, μαρτυρεῖ αὐτὰ τὰ πράγματα· οὗτινος γὰρ ἄλλου ἕνεκεν ὁ σκορπισμὸς καὶ κόπος καὶ κλόνος ὑμῶν ἢ δι' αὐτὸν τὸν ἀγαθὸν θεὸν ἡμῶν; εἰ καὶ ὅτι νῦν τῇ αὐτοῦ προμηθείᾳ ἐλώφησεν ὁ διωγμὸς ἀναρρήσει τοῦ χρηστοῦ κράτους καὶ παρρησίας θύρα ἀνεῴχθη τοῖς δεδιωγμένοις, ἀπολαύουσι μετρίας ἀφέσεως καὶ εἰρήνης κατὰ πᾶσαν πόλιν καὶ χώραν. ἐφ' οἷς ὀφειλέται ἐσμέν, ὦ πατέρες, εὐχαριστίας προσάγειν Κυρίῳ καὶ πρε-

60 ἄλλων: scil. σωτήριον

51 ἐπὰν VMP: ἐπ' ἂν Sirm 52 ὁμολογοῦν Sirm ὁ ante θεὸς add VMPS Sirm 53 ἀναγάγει C, quod ex ἀγάγει corr 54 οὔτε C: οὐδὲ cett Sirm 55 ἦν: εἴη C εὐκαταφρόνητον M: ἀκαταφρόνητον cett Sirm προστοεξῆς S 56 λαλήσωμεν C σὺν ἀποθανούμεθα C 59 σου Sirm

433. a. 821

C (ll. 1–25) VM PS

1 κατηχητική post χαίρειν (l. 4) transp V: om Mi: in marg M περὶ τῆς ἀνακλήσεως κλέμεντος in marg C 2 Λιτωΐῳ VPS Sirm: λητοΐῳ M 5 καν C: κἂν P 6 ὑποπέσοιεν omnes: correxi 7 καὶ[3] om VMPS Sirm 8 ὅτι οὖν C 9 οὗτινος: τίνος M 11 προμηθίᾳ C

σβείας ὑπέρ τε πλουσιωτέρας εἰρήνης καὶ ἐπιστηρίξεως τῶν θεοπροβλήτων ἡμῶν βασιλέων.

Οὗτος οὖν ὁ πρῶτος λόγος. δεύτερον, ἵνα καὶ ἡμεῖς καὶ ὑμεῖς μὴ τὴν ἄφεσιν εἰς διάλυσιν ἀρετῆς δεξοίμεθα, ἀλλ' ὅπουπέρ ἐσμεν ἕκαστος τὸ αὐτὸ φρονεῖν, τῷ αὐτῷ στοιχεῖν κανόνι, ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, ἀλλ' ἐν παντὶ συνιστῶμεν ἑαυτούς, καθὰ γέγραπται, ὡς θεοῦ διάκονοι ἐν ὑπομονῇ, ἐν θλίψεσιν, ἐν στενοχωρίαις, ἐν ἄλλοις, οἷς ὁ βίος τῶν παρουσῶν ἡμερῶν ὑποπίπτει· οὕτω γὰρ καὶ τὰ προηνυσμένα φυλάττοιμεν ἀναφαίρετα καὶ τὰ ἤδη προσπίπτοντα εὐμαρίζοιμεν καὶ τὰ μέλλοντα θεοπρεπῶς ὑπαντήσοιμεν.

῟Ωδέ ἐσμεν πρὸ τοῦ ἄστεως παροικοῦντες εἰδήσει τῆς βασιλείας, ὁρῶντες καὶ ὁρώμενοι ὑπὸ τῶν φοιτώντων ἀδελφῶν καὶ πατέρων ἡμῶν· καὶ ἡ ἐλευθερία πρὸς τοῦ ἀγαθοῦ βασιλέως ἐπιτεταγμένη. πρὸς τὸ ἑξῆς, ὡς ἂν εὐοδοῖ Κύριος ἢ κελεύῃ τὸ κράτος ἐπιμένειν ἐνταῦθα ἢ ἀλλαχῇ μεταπίπτειν τε καὶ ὑποχωρεῖν, οὕτω καὶ ἐνεχθησόμεθα. μόνον αὐτοὶ τοῦ ἔργου ὑμῶν ἐχόμενοι ἔχεσθε καὶ τοῦ προσεύχεσθαι περὶ τῆς ταπεινώσεως ἡμῶν, ὡς ἂν ἀπρόσκοποι ὦμεν τοῖσδε κἀκείνοις καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. τοὺς πρὶν ἀπορραγέντας ἀβούλως ἀδελφοὺς κατὰ πολλοὺς τρόπους εὐδόκησεν ὁ θεὸς ὁ ὑπεράγαθος ἑνωθῆναι ἡμῖν μετὰ τοῦ προσήκοντος λόγου. καὶ ἐχάρημεν οἱ ἀνάξιοι χαρὰν μεγάλην, ὅτι ἃ οὐκ ἠλπίζομεν εἴδαμεν ἐν ὀφθαλμοῖς ἡμῶν· καὶ συνουλώθη τὰ διασπασθέντα μέλη καὶ ἑορτάζομεν ἑορτὴν Κυρίῳ ἐν τῇ ἑνὸς ἑκάστου συνδρομῇ καὶ ἀνθομολογούμεθα τῷ Κυρίῳ καὶ ἀπευχαριστοῦμεν τοῖς κρατοῦσιν, ὅτι, εἰ καὶ μηδὲν ἄλλο, ὅσον πρὸς ἡμᾶς μέγα τὸ δώρημα, καὶ πάλιν, ὅτι οὐκ ἂν ἄλλως εὐθέτως ἔσχομεν τὴν σύμβασιν ἢ τῷ οὕτως / ἀφεθῆναι ἡμᾶς τῶν φυλακῶν καὶ καθεσθῆναι ἐν καθίσματι τηλικούτῳ.

Πάντα εἰς καλὸν ἡμῖν συνέδραμε καὶ συνδράμοιεν, εὖ οἶδ' ὅτι, εὐχαῖς ὑμῶν ἁγίαις. ἐπειδὴ δὲ ὁ λόγος περὶ ἀνακλήσεως, ἀνεκλήθη

---

16 βασιλέων: Michael II et Theophilus 26 πρὸ τοῦ ἄστεως: in Crescentiu? cf. p. 18* et adn. 80

---

19 Philipp. 3,16 2 Cor. 6,3 sq. 35 Matth. 2,10

---

13 τῆς ante μετρίας add M 14 εὐχαριστείας C 15 πλουσιωτάτης M: περισσοτέρας V 17 δὲ post δεύτερον add V Sirm 19 τὸ αὐτὸ: τῷ αὐτῷ C[pc] 20 συνιστῶντες S (fort recte; cf 2 Cor 6,4) 24 πρὸς πίπτοντα C 25 ὑπαντήσοιμεν: hic desin epist in C 26 ὧδε VM ἄστεος S 27 φοιτώντων in marg M 29 προστοεξῆς S 36 εἴδομεν VM: οἴδαμεν cett Sirm: correxi 39 ὅσον: ὧσι M 41 τῷ VM: τὸ cett Sirm

καὶ ἡνώθη ἡμῖν σὺν τοῖς ἄλλοις καὶ πλέον μᾶλλον τῶν ἄλλων ὁ γραμματηφόρος, ὁ ἀγαπητὸς ἡμῶν υἱὸς Κλέμης, ὁ εὐλαβέστατος ἡγούμενος, πάντα ἀσμένως εἰσδεξάμενος, ἃ ἔδει αὐτῷ λαληθῆναι, καὶ περὶ πάντων ποιησάμενος τὴν προσήκουσαν ἀπολογίαν· ἐφ' ᾧ καὶ ἀρεσθέντες ἠσπασάμεθα αὐτὸν ἐνστερνισμένως, ἐλπίζοντες καὶ δι' αὐτὸν αὔχημα ἔχειν οἱ ἁμαρτωλοὶ σωτήριον αὐτὸ τοῦτο. καὶ ὑμεῖς προσήκασθε, παρακαλῶ, τὸν ἀδελφὸν ὡς ἀδελφοί, τὸ μέλος ὡς μέλη, τὸν ὁμόφρονα ὡς ὁμόφρονες· οὕτω γὰρ αὐτὸν εὕροιτε χάριτι Χριστοῦ ἐν πᾶσιν εὖ ἔχοντα καὶ ζητοῦντα θεόν.

434. Ἡγουμένῃ τῆς Νικαίας

Καὶ πρότερον αἱ περὶ τῆς τιμιότητός σου ἀγαθαὶ ἀκοαὶ εἵλκυσαν ἡμᾶς ἐπιστεῖλαί σοι, καὶ νῦν ταῖς αὐταῖς εὐφημίαις ἐπερειδόμενοι καὶ γράφομεν καὶ προσαγορεύομεν τὴν σεμνοπρέπειάν σου ἀποδεχόμενοι καὶ μακαρίζοντες, ὅτι εἵλου διὰ Κύριον ὑποῖσαι θλίψεις καὶ στενοχωρίας, διωγμὸν τῆς μονῆς καὶ ἐξορίαν μεταθέσεως, εἴ τι ἄλλο περιστατικὸν καὶ ὁμολογίας ὑποδεικτικόν. ταῦτα αἰνέσεως καὶ ἐξομολογήσεως, ταῦτα νύμφης Χριστοῦ ἔπαθλα καὶ ἀγωνίσματα καὶ τὸ ἔτι ἀξιαγαστότερον, ἡ περὶ τὰς ὑπὸ χεῖρα ἀδελφὰς ὁσιότης· ὅτι κἀξ αὐτῶν εἵλοντο συναποδύσασθαί σοι τῇ ὁμολογίᾳ καὶ ἠνδρίσαντο καὶ ἐμαστιγώθησαν καὶ περιωρίσθησαν καὶ ἐδόξασαν τὸν θεὸν ἐν τῷ σώματι αὐτῶν καὶ ἐν τῷ πνεύματι. οἳ τῶν ἄθλων, οὐὰ τῆς καλῆς παιδαγωγίας· οἷον τὸ ἄρχον, τοιοῦτον καὶ τὸ ἀρχόμενον, οἵα ἡ διδάσκαλος, τηλικαῦται καὶ αἱ μαθήτριαι. σοὶ εὖ ἔχει λέγειν· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός, ἔναθλοι, ἀνδρικαί, φιλόχριστοι μᾶλλον ἢ φιλόσαρκοι, πάντα σκύβαλα ἡγούμεναι, ἵνα Χριστὸν κερδήσωσιν, πάντα τὰ μέλη Χριστῷ προσενέγκασαι, ἵνα τὸν ἐραστὴν θεραπεύσωσιν. μετὰ ὁμολογητῶν συνετάγητε, μετὰ μαρτύρων ἐστεφανώθητε, ὅσον ἐκ τοῦ φθάσαντος.

---

46 Κλέμης Sirm (cf adn ad lin 1): κλήμης codd

---

434. a. 815 – 820

5 Rom. 8,35   11 1 Cor. 6,20   14 Is. 8,18   16 Philipp. 3,8

C (ll. 10 – 36) VM PS

5 ὑπεῖσαι Mi   6 καὶ ante εἰ add V Sirm   10 συναποδύσασθαί: hic inc epist in C   σὺν ἀποδύσασθαί C   12 οἳ $CV^{ac}P$: ὦ $V^{pc}M$: erasit S: correxi   17 κερδήσωσι VMPS Sirm   18 θεραπεύσωσι VMPS Sirm

Ἀλλ' ἐπειδή, ὦ μῆτερ, οὐδεὶς στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ, νόμιμον δέ ἐστι τὸ μέχρι τέλους καὶ πίστει καὶ βίῳ ἀριστεῦσαι, παρακαλῶ καὶ ὑπομνήσκω ἀξίως περιπατῆσαι ἡμᾶς τῆς κλήσεως ἧς ἐκλήθημεν μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ ἀσφαλείας πρὸς τὸ ἑξῆς μήτε ἁλῶναι τῇ ἔτι κορυβαντιώσῃ αἱρέσει ἀρνησιχρίστῳ μήτε τι κατὰ τὸν ὀφειλόμενον κανονίζεσθαι ἀσκητικὸν βίον παρατρέπεσθαι, ἀλλὰ πάντα ποιεῖν εἰς δόξαν θεοῦ, παντοίως διαλάμπειν τῷ φωτισμῷ τῶν ἐντολῶν· ὅπερ πιστεύω ἐνεργεῖν ὑμᾶς εἰς ἔπαινον δόξης Χριστοῦ, εἰς αὔχημα αἰώνιον ὑμῶν, εἴη δὲ εἰπεῖν καὶ ἡμῶν τῶν ἁμαρτωλῶν. καὶ γάρ, εἰ ἑνὸς πατρός ἐσμεν, ἀδελφοὶ πάντες ἀλλήλων χρηματίζομεν καὶ τὰ πάντων σπουδάσματα ἐγκαυχήματα οἱ πάντες οὐκ ἀπεικότως ἡγού/μεθα.

Προσεύχεσθε περὶ ἡμῶν. ὁ ἀσπασμὸς ἡμῶν ἐν πνεύματι. ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματος ὑμῶν. ἀμήν. ἀκήκοα ὅτι ἐγκράτειαν ἕλκεις πολλὴν καὶ ἤσθην· πλὴν ἐπειδὴ τὸ μέτριον ἐν πᾶσιν ἄριστον, ὑπομνήσκω, μετρίωσον ἑαυτὴν κἂν τούτῳ, ἵνα καὶ δουλαγωγῆται τὸ σῶμα καὶ μὴ ἀτονῇ ὑπουργεῖν ταῖς ἐντολαῖς.

435. Ἐπισκόποις τοῖς διὰ Κύριον φυγαδευθεῖσιν ἐν Χερσῶνι

Ἀληθινῆς ἀγάπης ἔργον καὶ πίστεως ἀνυποκρίτου ἀπόδειξις τὸ ἐκ τοσούτου διαστήματος τοπικοῦ ἀποστεῖλαι τὴν πατρικὴν ὑμῶν ἁγιωσύνην ἕνα τῶν συνδεδιωγμένων ἀδελφῶν, Ἀγαπητὸν τὸν αἰδεσιμώτατον μοναστὴν (μᾶλλον δὲ μακαριώτατον κατὰ τὸ ὑπὸ Κυρίου ᾀδόμενον ἐν τοῖς δεδιωγμένοις ἕνεκεν δικαιοσύνης), ἐπισκοπὴν ποιησόμενον, προηγουμένως μὲν τῇ θείᾳ καὶ κορυφαιοτάτῃ κάρᾳ, ἔπειτα

---

20 2 Tim. 2,5 22 Eph. 4,1 sq. 29 cf. Joh. 8,41 35 1 Cor. 9,27

22 ὑπομιμνήσκω VMPS Sirm ὑμᾶς S (fort recte; cf Eph l. l.) 31 ἐκκαυχήματα Mi: ἐκαυχήματα Sirm 34 ἥσθην C 35 ὑπομιμνήσκω VMPS Sirm κἂν Sirm 36 ἀτονεῖ C

---

435. a. 821 7 κάρᾳ: Nicephorus

6 Matth. 5,10

C VM PS

1 κύριον C: Χριστὸν cett Sirm

ἡμῖν τοῖς ἐλαχίστοις ἐν ἀδελφοῖς καὶ υἱέσι πνευματικοῖς. ὢ τῆς καλῆς εὐβουλίας· ὢ τῆς εἰλικρινοῦς ἀγάπης· καὶ τίνων ἄλλων ἢ τῶν διὰ Χριστὸν εἱλαμένων καὶ τῶν οἰκείων ἐκστῆναι καὶ εἰς ἀλλοδαπὴν ἐκπεφευγέναι τοσούτῳ μήκει θαλάσσης διειργομένην καὶ τληπαθεῖν ἐκεῖ ὅσα εἰκὸς ἐπισυμβαίνειν τοῦτο ἐναργέστατον δεῖγμα καθέστηκεν; εὐλογητὸς οὖν Κύριος ὁ θεός, ὃς κατήνυξεν ὑμᾶς ἐπὶ τοσοῦτον πρὸς τὴν εὐτέλειαν ἡμῶν καὶ ὃς ἔδωκεν ἰσχὺν καὶ χάριν τῷ ἀποστόλῳ γνωρίσαι ἡμῖν πάντα, ἅπερ καὶ ἠνύσατε καὶ ἔτι φέρετε, τρισόλβιοι πατέρες, ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐφ' οἷς ἀκούσαντες ἐχάρημεν, ᾐνέσαμεν, ἀνθωμολογησάμεθα, εἴπομεν ὅτι ὁ θεὸς ὄντως ἐν ὑμῖν ἐστιν, εὐαρεστούμενος καὶ θεραπευόμενος τῇ ὑπὲρ ἀληθείας ὁμολογίᾳ.

Ἐμοὶ δὲ δοκεῖ, οὐχ εἵνεκα ὑμῶν σώσματος μόνον, ἀλλὰ γὰρ καὶ τῆς ἐν τοῖς αὐτόθι σωτηρίας τὴν φυγαδείαν οἰκονομηθῆναι παρὰ τῆς τὰ πάντα σῳζούσης προνοίας, ἐπειδήπερ ἐπιστάντες ὤφθητε φωστῆρες τῶν ἐν σκότει καὶ πλάνης βίου, ὁδηγοὶ τυφλῶν, παιδευταὶ ἀρετῆς, κήρυκες εὐσεβείας, διδάσκαλοι τῶν ἐνταῦθα πραχθέντων κατὰ Χριστοῦ φοβερῶν τολμημάτων. οὕτω καὶ ἐν τοῖς αὐτόθι καὶ πανταχοῦ γῆς τε καὶ θαλάσσης ηὔγασε Κύριος τοὺς ὁμολογητὰς εἰς ἔνδειξιν ἀληθείας, εἰς ἀποτροπὴν ἀσεβείας, καθάπερ ἐπὶ τῶν ἄνωθεν χρόνων· καὶ ἐμεγαλύνθη τὸ ὄνομα αὐτοῦ καὶ ἐδοκιμάσθη ὁ ἐκλεκτὸς λαὸς Χριστοῦ καὶ ἀπεδοκιμάσθη ὁ μισόχριστος θίασος καὶ τέλος ἔλαβεν ὅρον ζωῆς ἐπάξιον τῆς τόλμης ὁ μέγας δράκων, ὁ Ἀσσύριος νοῦς, ἧς ἔδρασε κατὰ θεοῦ.

Τὸ δὲ ὅπως νῦν ἔχει τὰ ἐνταῦθα παρέλκον ἂν εἴη λέγειν διὰ τὸ τὸν γραμματηφόρον ἱκανὸν εἶναι χάριτι Χριστοῦ ἕκαστα ἐκδιδάξαι ἐμμελῶς· ᾧ καὶ παρεθέμεθα μετὰ τῆς ἐπιστολῆς καί τινα διανομήν, ἣν καὶ καταξιώσατε εἰσδέξασθαι, χαριζόμενοι ἡμῖν τὰς τιμίας προσευχὰς εἰς στηριγμὸν ψυχῆς. /

14 εὐτέλειαν: ad hoc humilitatis dicendi genus cf. Dinneen, Titles 79 30 δράκων: Leo V 34 διανομήν: ad hanc vocem cf. P. Speck, in: Rechtshistorisches Journal 3 (1984) 25 sq.

30 Ez. 29,3 Greg. Naz. or. 4,1 (PG 35,532 B = p. 86 Bernardi) (de Juliano)

8 ὦ C 9 ὦ C 10 ἑλομένων VMPS Sirm τὴν ante ἀλλοδαπὴν inser Sirm 13 κατένυξεν VMPS Sirm 14 Ἀποστόλῳ Sirm 17 ἀνθομολογησάμεθα C 18 ἡμῖν S 20 σώσματος: σώματος Sirm 21 τῆς[1] om VMPS 23 πλάνῃ VM Sirm 32 τὰ om M

436. Εὐδοκῷ παρθενευούσῃ

Οὐκ ἔστι καλὸν φιλίας καὶ εὐεργεσίας ἐπιλανθάνεσθαι· εἰ γὰρ ἄλογα ζῷα, καίπερ νοῦ ἐστερημένα, οἶδεν ἀποσῴζειν διάθεσιν τοῖς εὐεργέταις, πόσῳ γε μᾶλλον προσῆκον ἡμῖν, τοῖς κατ' εἰκόνα θεοῦ γεγενημένοις, ἀνεπίληπτον ἔχειν τὸ πρὸς τοὺς φίλους μνημονικόν. διὰ τοῦτο ἔργον ἔσχομεν ἀποστεῖλαι πρὸς τὴν τιμιότητά σου τὸν ἠγαπημένον ἡμῶν υἱὸν Προτέριον, αὐτὸ τοῦτο δηλοῦντες ὅτι οὐκ ἐπιλελήσμεθα, ἀλλὰ γὰρ καὶ πάνυ μνημονεύομεν καὶ ἐπὶ γλώσσης φέρομεν καὶ ἄλλοις διηγούμεθα τὴν περὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς συμπάθειάν σου, ὅση δὲ καὶ ἡλίκη αὕτη· ὅτι ἐν καιρῷ πειρασμοῦ, ἐν καιρῷ τοῦ κατὰ Χριστὸν διωγμοῦ, ὁπότε ἐφυλακίσθημεν ἐν τοῖς αὐτόθι, ἐγώ τε καὶ ὁ ἀδελφὸς Νικόλαος, ἡνίκα πρὸ τῆς ὀπῆς τῆς φυλακῆς φύλακες, μὴ ἐῶντες θίγειν ὀντιναοῦν κατὰ τὴν τῶν ἀσεβῶν πρόσταξιν τῷ φρουρίῳ, τότε, ἵνα τὰ πρότερα ἐάσω λέγειν, καίπερ ὄντα ἱκανά, παρρησιαζομένη τῇ κατὰ θεὸν πεποιθήσει, ἔπεμπες, ἐγαλούχεις οἱονεί, διέτρεφες, ἐπότιζες, παρεκάλεις, ἤλειφες, σεαυτὴν ἐπεδίδους ῥιψοκινδύνως εἰς θάνατον, ὅπερ μικροῦ δεῖν, εἰ μὴ ἡ χεὶρ τοῦ θεοῦ φθάσασα εἷλέν σε, καὶ ἐνέπιπτες εἰς ἔργον. οἶδας τὰς κατηγορίας τῶν γειτνιαζόντων, τὰς εἰσπράξεις τῶν ἀρχόντων, ὅτι δῶρα εἴληφας παρὰ τοῦ καταδίκου, ὅτι λόγους διαταγῆς ὑπακούεις, τοῦτο κἀκεῖνο. ἀλλ' ὅμως, ὢ τῆς μεγαλοπιστίας, οὐδὲ οὕτω τούτων τυρβασθέντων ὑφῆκας τὸ καθόλου, ἀλλ' ὡς μηδενὸς καινοῦ γεγονότος εἴχου πάλιν τῆς διακονίας, δώροις τοὺς φύλακας ἐξευμενιζομένη καί, τὸ δὴ λεγόμενον, θεὸν δι' ἡμῶν τῶν ἁμαρτωλῶν θεραπεύουσα, ἐξ οὗ καὶ ἡ ἁρπαγὴ τῶν κινδύνων καὶ ἡ παρ' ἐλπίδα σωτηρία.

Τί τοῦτο δεύτερον Πρισκίλλης καὶ Φοίβης ἐκείνης ἢ τῶν ταύταις ἰσοστασίων κατὰ τὴν τῆς διακονίας θεωρίαν, ἐφ' ᾗ μακαρίζονται

---

436. a. 821?

26 Rom. 16,1 sq.

C VM P (VMP ll. 11 – 49)

11 ἐφυλακίσθημεν: hic inc epist in VMP Sirm 13 θήγειν C ὅντινα οὖν C 14 φρουρείῳ VMP Sirm 15 παρρησιαζομένῃ Sirm 17 ἐπιδίδους Sirm 18 εἶλε VMPS Sirm 20 an ⟨οὐκ⟩ ὑπακούεις scribendum? 23 ἔχου Sirm 25 παρελπίδα CP 26 τοῦτο M[sscr] 27 ὑποστασίων Mi

ὑπὸ τοῦ θείου ἀποστόλου; οὐδαμῶς, ὡς ἐμοί γε δοκεῖ, εἰ μὴ ὅτι εἰς ἀναξίους. ἀλλὰ καὶ τοῦτο μᾶλλον αἰνετώτερον· ἐκεῖ γὰρ τὸ μεγαλοφυὲς τοῦ προσώπου τάχα ἂν καὶ τοὺς ἀναισθήτους λίθους ἐκίνησεν εὐεργετεῖν, ἐνταῦθα δὲ τοὐναντίον, καὶ τοὺς εὐαισθήτους νόας ναρκᾶν ἔπεισεν τὸ ἀπόπτυστον τῶν ὑποκειμένων. ἀλλ', ὅτι τοῦτο οὕτως καὶ ἀντιπεπονθότως ὤφθης δράσασα, σκόπησον τὸ ἐγκώμιον. ἀπέχομεν τοίνυν, ὦ καλλιπάρθενε, τὸ ἔλεος καὶ αἰνοῦμέν σε εἰκότως, προσαποδεχόμενοι καὶ συνεπαινοῦντες καὶ τἄλλά σου σεμνολογήματα, τὴν ἐγκράτειαν, τὴν αὐχμηρὰν κόμην, τὴν ἠμελημένην ἐσθῆτα, τὴν ἐλεημοσύνην καὶ ἐπ' ἄλλοις, τὴν φιλαγνείαν, καὶ ἐπὶ τούτῳ μηδαμῶς μωμοσκοπηθεῖσαν πρός τινος οὖν τῶν ἀνθρώπων. ὢ τῆς καλῆς σου ἐργασίας· ὢ τῆς θεοφιλοῦς καὶ γηραλέας κεφαλῆς· ἤνθησας ἐν μέσῳ ἀκανθῶν ὡς ῥόδον, εὐωδίασας ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης ὡς ὀρθοφυὲς κρίνον.

Τί τὸ λοιπόν; διαμένειν σε καὶ πρὸς τὸ ἑξῆς ἀπρόσκοπον, σεσωσμένην, φιλοκρινοῦσαν πᾶσαν ἄλλην ἐντολὴν Κυρίου, ὥστε μήτε ὀμνύειν τὸ ὄνομα Κυρίου τὸ παράπαν μήτε τι / ἄλλο παραθεωρεῖν τῶν ἐντεταλμένων· τοῦτο δὲ λέγω οὐχ ὡς καταλαμβανόμενός σε ὑπαιτιᾶσθαι, ἀλλ' ὡς ἔχων ἐν ἐφέσει τοῦ ἐν πᾶσιν ἄρτιον εἶναι κἀντεῦθεν ἐπιτυχεῖν τῶν ἐν ἐπαγγελίαις ἀγαθῶν. ὁ ἀδελφὸς Νικόλαος προσαγορεύει κἀγὼ τὸν κύριον καὶ ἀδελφιδοῦν σου. ὁ Κύριος μετὰ σοῦ.

437. Νικήτᾳ κουράτωρι

Οὐδὲν φίλου πιστοῦ ἀξιολογώτερον· ἀλλ' ὅταν μεσολαβῇ ἐν τοῖς φιλουμένοις ἡ περὶ τὴν πίστιν διαφωνία, τότε τῇ πίστει συνδιασχί-

40 ὡς ῥόδον: ad metaphoram cf. Speck, Jamben 291

40 De. 32,5; cf. Philipp. 2,15

28 ἔμοιγε VMPS Sirm 31 ἐναισθήτους Sirm 32 ἔπεισε VMPS Sirm 35 συνεπαινοῦντες: σεμνολογοῦντες M τ' ἄλλα C: τὰ ἄλλα cett Sirm 37 φιλαγνίαν C 38 μωμοσκοπηθεῖαν C προστινοσοῦν P: πρὸς τινοσοῦν M Sirm ὦ C 39 ὦ C 40 σκολιᾶς ante γενεᾶς transp M 43 φυλοκρινοῦσαν V 46 ὑπ' αἰτιάσθαι C 48 ὁ Κύριος μετὰ σοῦ om VMP Sirm

437. a. 821–826

C V (ll. 1 et 26–32) P (ll. 26–32)

1 κουράτορι C 2 ὅταν: ὅτ' ἂν C

ζεσθαι καὶ ἡ ἀγάπη πέφυκεν. τί οὖν οὕτω προοιμιασάμεθα, δέσποτα; πάντως οὐκ ἀγνοεῖ ἡ θαυμασιότης σου οὔτε τὴν πρώτην φιλίαν οὔτε τὴν μετέπειτα διάστασιν· διὰ τοῦτο ἐπὶ ταῖς τῆς ὑπερευφημότητός σου ἀποστολαῖς ἰλιγγιάσαμεν εὐθὺς πρὸς τὸ δέξασθαι. ἐπειδὴ δὲ ὁ ἀδελφὸς ἡμῶν Γλυκέριος ἀπήγγειλεν οὕτως καὶ οὕτως, ὅτι καὶ ἡ φιλία μένει καὶ ἡ ὀρθοδοξία ἔρρωται, δέει δὲ μόνον ἀνθρωπίνῳ ἡ ὑπόπτωσις καὶ ἡ ὡς πᾶς φιλόζωος αἱρετικὴ κοινωνία, ἐπὶ τὸ φιλανθρωπότερον ῥέψαντες καὶ τὴν προσηγορίαν καὶ τὴν προσφορὰν ἀπεδεξάμεθα καὶ πάλιν ἠγαπήσαμεν καὶ εἰς τὸ πρότερον ἀνεδράμομεν, μάλιστα ἀκηκοότες ὅτι σου παρασκευάζεται ἡ τιμιότης ἱερὰς εἰκόνας ἀναστῆσαι ἐν τῷ εὐκτηρίῳ οἴκῳ, ὅπερ ἀπόδειξις θερμοτέρου ζήλου.

Καί γε, τιμαλφέστατε, ἐναργὴς ἡ τῶν εἰκονομάχων πλάνη· πάλαι γάρ, ὅτε θεὸς ἄσαρκος ἦν, οὐκ ἦν ὁμοιοῦν θεόν· θεὸν γάρ, φησίν, οὐδεὶς ἑώρακεν πώποτε, καὶ ὁ τοῦτο ποιῶν εἰδωλολάτρης. ὁπότε δὲ ὁ λόγος καὶ θεὸς σὰρξ ἐγένετο, ὁμοιωθεὶς ἡμῖν κατὰ πάντα, τηνικαῦτα περιγράφεται, ἤγουν ἐφίσης ἡμῖν ἐξεικονίζεται, εἴπερ ἀληθεύει ὁ λέγων ἀπόστολος, θεὸς ἐφανερώθη ἐν σαρκί· εἰ δὲ τοῦτο, καὶ ἐξεικονίσθη ἐν σαρκὶ καὶ ὅ τι ἂν εἴποις ἕτερον ἀνθρώπινον, ἔφαγεν ἐν σαρκί, ἵδρωσεν ἐν σαρκί, ἔκλαυσεν ἐν σαρκί, ἔπαθεν ἐν σαρκί. εἴ τι οὖν βούλει λέγειν, ὑπαντήσει τὸ ‚ἐν σαρκί'· καὶ ἔρρωται τηλαυγῶς ὁ λόγος καὶ τὸ ἀνατρέψαι τὸ εἰκονίζεσθαι αὐτὸν ἐν σαρκὶ συναναντρέπει πάντα τὰ προειρημένα ἀραρότως. καὶ οὕτως ἀνάγκη λέγειν ‚οὐκ ἐφανερώθη θεὸς ἐν σαρκί'· οὗ τί ἂν γένοιτο ἰουδαϊκώτερον;

Ταῦτα ὡς ἐν ἐπιστολῆς μέτρῳ λέλεκται· ἐὰν δὲ δῷ θεὸς ὀψέ ποτε ἰδεῖν ἡμᾶς ἀλλήλους, τότε τοσαῦτά σοι λαληθήσεται ἀληθείας δόγματα περί τε γραφῆς καὶ προσκυνήσεως τῶν ἁγίων εἰκόνων, ὅσα οὐδὲ τὸ τίμιόν σου οὖς δυνηθείη ἀκοῦσαι.

---

4 τί οὖν οὕτω etc.: cf. Hunger, Literatur I 218 5 θαυμασιότης: allocutio etiam apud Jo. Chrysostomum Theodoretum Firmum reperitur; cf. Dinneen, Titles 43 sq.

---

17 Joh. 1,18 21 1 Tim. 3,16

---

6 ὑπὲρ εὐφημότητός C 13 σοῦ C Mai: correxi 18 ἑώρακε Mai 21 an λέγων ὁ ἀπόστολος scribendum? 22 καὶ[2] – 23 ἔκλαυσεν ἐν σαρκί in marg C 26 σὺν ἀνατρέπει C ἀραρότως: hic inc epist in VP Sirm 29 ὀψέποτε Sirm

438. Βασιλείῳ υἱῷ πνευματικῷ

Ἐπεθυμοῦμεν σὺν τῷ κυρίῳ Γρηγορίῳ καὶ σὲ / ἐνταῦθα θεωρῆσαι, τέκνον ἠγαπημένον, ἀλλ' ἐπεὶ τοῦτο οὐ γέγονεν, γράμμασι παραμυθούμεθα τὴν ἀπόλειψιν, γνωρίζοντές σοι ὅτι ἔχομέν σε ἀεὶ ἐπὶ καρδίας ἡμῶν ταπεινῆς, φιλοῦντες τὴν σωτηρίαν σοῦ τε καὶ τῶν μετὰ σοῦ ἀδελφῶν καὶ τέκνων· καὶ γὰρ πατρὶ κλέος υἱοῦ εὐδοξία καὶ αὔχημα ἱερὸν τὸ υἱικὸν σεμνολόγημα. παρακαλῶ οὖν σε ἐν Κυρίῳ ἔχεσθαι οὐ μόνον τῆς οἰκείας εὐσταθείας, ἀλλὰ καὶ τῆς τῶν ἀδελφῶν ἐπιμελείας, ποθούμενον καὶ ποθοῦντα, στεργόμενον καὶ στέργοντα· ὅπου γὰρ ἀγάπη πνευματική, ἐκεῖ ἐν μέσῳ Χριστός, καθὰ ἐπηγγείλατο. ὡς καλὸς καθηγητὴς ἄγε τοὺς ἄρνας Χριστοῦ συμπαθῶς, πεφεισμένως, ὁμειρόμενος αὐτῶν ὡς οἰκείων μελῶν· οἶδά σε τίς εἶ, ὅτι ἀπροσπαθής, ὅτι συμπεριφερόμενος, ἀλλ' οὖν ὅτι καὶ ἀκριβολογούμενος περὶ τὰς ἐντολὰς τοῦ θεοῦ. εἶεν ἁπάντων ἡ ψυχὴ μία διὰ τοῦ πάντα εἶναι κοινά, εἶεν ἐξαγόρευσις, ἐπείπερ πᾶν τὸ φανερούμενον φῶς ἐστιν ὡς καὶ τὸ ἔμπαλιν, εἶεν ὑπακοή, ὑφ' ᾗ ὁ λῃστὴς εἴσοδον ἐξαπάτης οὐχ εὑρίσκει, εἶεν ταπείνωσις, ἣν ἀμπεχόμενος ὁ θεὸς ἄνθρωπος γέγονεν, θεοὺς ἐντεῦθεν τοὺς ἀνθρώπους δημιουργῶν.

Ὦ καλὲ Βασίλειε, τὴν παρακαταθήκην φύλαξον, ἐκτρεπόμενος τὰ πονηρά, ἐγκομβούμενος τὰ θεϊκά, τύπος ἀγαθοεργίας πάσῃ προκείμενος τῇ ἀδελφότητι· καὶ οὕτως ὁ σὲ ἀθετῶν ἀθετεῖ θεὸν καὶ ὁ ὑπείκων σοι ὑπείκει θεῷ. μνημόνευέ μου τῆς ταπεινώσεως σὺν τοῖς ἀδελφοῖς.

---

438. a. 821 – 826 15 ἐξαγόρευσις: cf. adn. ad ep. 431,12

10 Matth. 18,20 14 Act. 4,32 17 Philipp. 2,7 sq. 19 1 Tim. 6,20 21 Luc. 10,16

C VM PS

2 ἁγίῳ ante κυρίῳ cancell R κυρῷ VMPS Sirm σε Sirm 3 γέγονε VMPS Sirm 4 ἀπόληψιν C 6 σοῦ: σὲ M τε post ἀδελφῶν add M 7 υἱϊκὸν SM: ὑϊκὸν cett Sirm 12 ἱμειρόμενος VM: ὁμειρόμενος CP: ὀνειρόμενος Sirm οἶδα σε C: οἶδα M: οἶδας cett Sirm τις Sirm 14 διὰ τοῦ: an διὰ τὸ scribendum? 16 ᾗ: ἧς S 17 ἐξ ἀπάτης VM 18 γέγονε VMPS Sirm 20 ἐγκομβούμενος C: ἐγκολπούμενος cett Sirm ἀγαθοεργείας C πᾶσι CP[ac] 21 καὶ ante θεὸν add M

439. Τοῖς ἠγαπημένοις ἀδελφοῖς Γρηγορίῳ, Ἰεζεκιήλ, Ἐράστῳ, Θεοφάνει, Ἀνίνᾳ καὶ τοῖς λοιποῖς ἐν Ἑλλάδι

Καιρὸς τοῦ λαλεῖν, φησίν, καὶ καιρὸς τοῦ σιγᾶν. ἐπεὶ οὖν τοῦ δευτέρου ὁ λόγος ἐν ταῖς προλαβούσαις ἡμέραις, εἴπω δὲ καὶ ἐν αἷς τὸ παρόν, διὰ τοῦτο μόλις καὶ ἄρτι ἐξεληλυθότες τῆς πόλεως εὐδοκίᾳ θεοῦ φθεγγόμεθα ὑμῖν, πατέρες καὶ ἀδελφοί, φθεγγόμεθα δὲ ἀποστολικαῖς φωναῖς· χαίρετε ἐν Κυρίῳ πάντοτε, καὶ πάλιν ἐρῶ, χαίρετε, οὐ κατὰ τὴν χαρὰν τοῦ τῆδε κόσμου (πλὴν ὅτι οὐδὲ χαρά, ἀλλὰ πάνυ θλῖψις, ἀτακτοῦντος τοῦ ὑπηκόου), ἀλλὰ χαίρετε κατὰ πνεῦμα ἁγιωσύνης, ὅτι ἐλυτρώθητε ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, ἐκ τῆς ματαίας ἀναστροφῆς, ἀπὸ σαρκὸς καὶ αἵματος, δουλεύοντες θεῷ ζῶντι καὶ ἀληθινῷ· ἐξ οὗ καὶ ὁ πρότερος κατὰ τὸν διωγμὸν μακαρισμὸς καὶ ὁ νῦν ξενισμός, ὧδέ τε κἀκεῖσε διεσπαρμένων ὑμῶν, ἕως οὗ ἐπίδοι Κύριος, εἰρήνην βραβεύων τῇ ἐκκλησίᾳ αὐτοῦ καὶ ἀποκαθιστῶν ἡμᾶς ἐπὶ τὸ αὐτό.

Τὸ δὲ νῦν ἔχον δέομαι ὑμῶν, ἀδελφοί, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθημεν μετὰ πάσης ἀσφαλείας καὶ προσοχῆς, μετὰ πάσης ταπεινοφροσύνης καὶ ὑπακοῆς τῆς εἰς ἀλλήλους, ἔχοντος τοῦ προηγουμένου τὸν τόπον τῆς ἀρχῆς οὐκ εἰς ἔπαρσιν δαιμονικήν, ἀλλ' εἰς τύπον ἀρετῆς τῶν ἑπομένων, καὶ τῶνδε ὑπεικόντων καὶ πειθομένων ὡς ἐμοὶ τῷ ἀναξίῳ, μᾶλλον δὲ Χριστῷ, δι' ὃν καὶ τὸ πᾶν τοῦ / βίου καὶ ὁ καθ' ἡμέραν προαιρετικὸς θάνατος. ὦ τέκνα, μέγα τὸ τῆς σωτηρίας μυστήριον· βλέπετε πῶς ἀναστρέφεσθε, μὴ ὡς ἐμπαθεῖς, ἀλλ' ὡς ἀπαθεῖς, μὴ ὡς φιλόσαρκοι, ἀλλ' ὡς φιλόθεοι. μὴ ἐπιβάλλοιτε τὰ ὄμματα ὄψεσι γυναικῶν, ἀλλὰ μηδὲ εἰς ἑαυτοὺς εἴητε παρρησιαστικοί· παρρησία γὰρ πῦρ καταφλέγον ψυχήν. μελετᾶτε τὸν θάνατον ἀεί, ὡς ἂν εἴητε παρασκευασμένοι πρὸς τὴν ἔξοδον ἐν χαρᾷ· τὰς παραδόσεις κρατεῖτε, τὰ ὡρισμένα τελεῖτε κατά τε ψαλμ-

---

439. a. 821 – 823 3 καιρὸς τοῦ λαλεῖν: sic incipiunt etiam Bas. ep. 223 (PG 32,820 C = III 8 Courtonne); Theod. Stud. antirrh. I (PG 99,328 D); Cyrill. hom. pasch. 5,1 (PG 77,472 B); Greg. Naz. ep. 118 (PG 37,213 B = II 11 Gallay)

3 Eccl. 3,7 7 Philipp. 4,4 11 Eph. 6,12 12 Matth. 5,10 16 Eph. 4,1 sq. 23 1 Tim. 3,15 28 2 Thess. 2,15

C VM PS (VMPS ll. 1 – 39)

1 Ἰεζεχιὴλ Sirm 2 θεοφάνη V 3 φησίν om VMPS Sirm (sed cf Bas ep l. l.) 5 διατοῦτο VPS 8 ἀλλὰ – 9 ὑπηκόου in marg C θλίψις omnes: correxi 15 ἐπιτοαυτό MS τοαυτό P 20 τῶνδε: τῶν δὲ Sirm 22 μέγα: μετὰ Mi 25 ἐπιβάλλητε S τὰ om M 27 παρεσκευασμένοι VMPS Sirm 28 ὁρισμένα C

ᾠδίαν καὶ προσευχὴν καὶ εἴ τι ἕτερον. μὴ θησαυρίζετε ἑαυτοῖς χρυσίον εἰς τὸ ἐν καιρῷ ἐπισυναγωγῆς παρασχέσθαι αὐτὸ ἰδίοις ἢ φίλοις, ὡς ὅτι τὸ μοναστήριον φροντίσει τὰ καθ' ὑμᾶς (οὐ τέκνων θεοῦ τοῦτο, ἀλλὰ σαρκοφρόνων), πῶς δὲ ἵνα τὰ κατὰ χρείαν γίνοιτο καὶ τὸ φθάσαν εἶναι προσενεχθῇ τῇ ἀδελφότητι, ἵνα ἐκ πολλῶν προσώπων τὸ συστατικὸν εἴη τοῦ κοινοβίου.

Ταῦτα δέ μοι εἴρηται, ἐπειδὴ ἤκουσται ὅτιπερ τινὲς ἤδη ἀπ' ἐντεῦθεν ὁρίζονται· ,τόδε', φησίν, ,τὸ ζῷον καὶ τόδε τὸ ἱμάτιον εἴτουν ἕτερον βούλομαι τῷ δεῖνι ἐᾶσαι'. ὢ τῆς ἀθλιότητος· ὢ τῆς ἀφροσύνης· οὐκοῦν οὔτε τέκνον ὁ τοιοῦτος οὔτε ἀδελφός, ἀλλ' ἀλλότριος, ἀλλὰ ἱερόσυλος, οὗ ἡ μερὶς μετὰ Γιεζῆ τοῦ κλέπτου. μὴ δὴ οὕτως, ἀδελφοί, φρεναπατᾶσθε μηδὲ τοιαύτῃ διαθέσει φθαζόμενοι ἔνοχοι εὑρεθῆτε κρίματος αἰωνίου· ἐπεί, εἰ τοῦτο, κἀγὼ ποιήσω οὕτως καὶ διανείμω τοῖς κατὰ σάρκα ὅσα ἐν χερσί μου. εἰ δὲ ἐν ἐμοὶ τοῦτο οὐδὲ ἀκοῦσαι ἀνέχεσθε (οὐ γὰρ ἡγουμένου τὸ ἔργον, ἀλλὰ ἐχθροῦ θεοῦ), εἰκότως οὐδὲ ἐγὼ περὶ ὑμῶν· καὶ διὰ τοῦτο ἀσφαλίζομαι καὶ τὸ δικαίωμα τοῦ θεοῦ ἀναγγέλλω, ἀθωῶν ἑαυτὸν τοῦ αἵματος τοῦ ἐνόχου τῆς ἁμαρτίας, καὶ οὐχ ὡς ἐπιζητῶν χρυσίον (μὴ πλανᾶσθε), ἀλλὰ τὸ σῶσμα τῶν ψυχῶν ὑμῶν. ἐπεὶ καυχήσομαι ἐν Κυρίῳ· μέγα μοι πλούτου ὑπόθεσις μετὰ τοῦ κορυφαίου τῶν ἀποστόλων λέγειν, ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, καίπερ οὕτω φιλοῦντι ἐν ἀφροσύνῃ λέγω· ἐπιδίδοταί μοι τοσοῦτον, ὥστε καὶ ἐκκακεῖν με λαμβάνειν.

Ταῦτα ὡς φιλῶν γράφω καὶ ἀσφαλίζομαι. ὁ δὲ θεὸς τοῦ πατρός μου, ὁ τῆς εἰρήνης δοτήρ, ὁ τοῦ ἐλέους χορηγός, ὁ ποιμὴν ὁ καλὸς ἔτι ποιμανεῖ ἡμᾶς καὶ ὑμᾶς, μηδὲν ὑστερῶν τῶν δεόντων κατά τε πνεῦμα καὶ σωματικὴν ζωήν· καὶ ἀξιώσειεν καὶ τῆς αἰωνίου βασιλείας. /

---

39 4 Reg. 4,12 sq. 45 Matth. 27,24 49 Act. 3,6 50 Gen. 31,6 53 Joh. 10,11

29 θησαυρίζητε Sirm 30 ἢ: καὶ Sirm 31 ὅτι: ὅτε Mi ἡμᾶς CVPS Sirm 32 τὰ: τὸ Sirm γένοιτο Sirm 33 προσενεχθῇ item in marg S manu rec 35 ἀπεντεῦθεν omnes: distinxi 36 φησὶ VMPS Sirm εἴτ' οὖν VMPS Sirm 37 ὦ C (bis) 38 οὐκ οὖν C 39 γιεζεῖ C κλέπτου: hic desin epist in VMPS Sirm λείπει in marg M

440. Ἀβρααμίῳ ξενοδόχῳ

Φίλου γνήσιον γνώρισμα τὸν φιλούμενον ἐπισκέπτεσθαι εἴτε δι' αὐτοψίας εἴτε διὰ γράμματος, ὥστε ἐντεῦθεν γνώριζε ἡμᾶς ἀγαπᾶν σε, τιμιώτατε καὶ περιφανέστατε. ἀγαπῶμεν δέ σε εἰκότως, καὶ τοῦτο κατ' αἰτίας διαφόρους· ἡ πρώτη διὰ τοὺς ποτὲ ὑπάρξαντας βασιλεῖς αὐθεντικοὺς ἡμῶν, ἐπείπερ ἐκεῖνοι, ὡς οἶδας, τῶν φιλούντων καὶ φιλουμένων· ἡ δευτέρα διὰ τὸ πρὸς τὴν ταπείνωσιν ἡμῶν συμπαθητικόν σου, ὁπότε ἦμεν ἐν τοῖς Ἀνατολικοῖς, ἡνίκα τὴν προσηγορίαν ἡμῖν διεπέμψω καὶ ὅσα κατὰ τὸν Σμυρναίων ἀσεβέστατον πρόεδρον· ἡ τρίτη διὰ τὴν τοῦ ὀρθοῦ φρονήματος δόξαν, ἣν περισσοτέρως ἐξηγόρευκεν ὁ πνευματικὸς ἡμῶν καὶ ἠγαπημένος ἀδελφὸς καὶ γραμματηφόρος, προσθείην δ' ἂν καὶ διὰ τὸν κοινὸν φίλον κύριον Ἀρκάδιον, τὸν σύντροφον λέγω καὶ σύμψυχον, ὃν καὶ περιέπεις ἐν τοῖς σοῖς, ὡς μανθάνω.

Ἀλλ' ἐπειδὴ φίλου ἔργον καὶ ὑπομιμνήσκειν ἐν οἷς χρὴ τὸν ἀγαπώμενον, ὑπομνήσκομεν καὶ παρακαλοῦμεν τὴν μεγαλειότητά σου πεφεισμένως καὶ προσεκτικῶς διεξέρχεσθαι αὐτὴν ἐν τῇ καταπιστευθείσῃ αὐτῇ ὑπὸ τῶν μεγάλων βασιλέων διακονίᾳ. καὶ μή μοι λεγέτω ὅτι ἀναγκάζεται φόβῳ οὕτω διαπράττεσθαι· φόβου γὰρ θεοῦ οὐδὲν μεῖζον καὶ σωτηρίας ψυχῆς οὐδὲν ἀναγκαιότερον. τί γὰρ ὠφελήσει ἄνθρωπος, φησίν, ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; καὶ ὁ ἰατρὸς ἐν ταῖς περιστάσεσι ζητητέος καὶ ὁ κυβερνήτης ἐν τῷ κλύδωνι· ἢ οὐχ ὁρᾷς ὅτι κλύδων μέγας καὶ θεομηνὴς πληγή; ἰάτρευσον, δέσποτα, κυβέρνησον, ἵνα καὶ σεαυτὸν σώσῃς καὶ τοὺς ὑπαιτίους ἐξιάσῃ καὶ ἀναστοιχειώσῃς εἰς εὐστάθειαν, ἀνεχόμενος τὴν ἀπειλὴν ὡς καὶ αὐτὸς ὢν ἐν σώματι καὶ ὑπὸ τὸ πταιστόν· οὕτως γὰρ καὶ θεὸν κτήσῃ ἵλεω, θεοῦ δὲ περιέποντος τίς ὁ κακώσων; μνήσθητι, κύριέ μου, ὅτι σὰρξ εἶ καὶ αὐτὸς καί, ὡς

---

440. a. 823 5 βασιλεῖς: Nicephorus I et Stauracius? 7 ταπείνωσιν: ad hanc humilitatis elocutionem cf. Dinneen, Titles 80 16 μεγαλειότητα: reperitur allocutio etiam apud Greg. Naz. ep. 12,1 (PG 37,44 C = I 19 Gallay)

20 Matth. 16,26

C VM PS (VMPS ll. 1 et 19–50)

1 ἀβραμίῳ VMPS: Ἀβραμίῳ Mi 6 τῶν om Mai 9 σμυρνέον C: σμυρναῖον Mai: correxi 19 ἀναγκάζεται C: συσκιάζεται cett Sirm Mai: hic inc epist in VPS Sirm φόβου: hic inc epist in M verbis λείπει ἡ ἀρχὴ manu rec in marg scriptis 21 ἄνθρωπον Mi 22 αὐτοῦ V 25 ἀναστοιχειώσεις C

φοβῇ τὰς πληγάς, φείδου τῶν πληγῶν· ἐπείπερ, οἵῳ μέτρῳ μετροῦμεν, ἀντιμετρηθήσεται ἡμῖν. μνήσθητι, ἀδελφὲ καλέ, ὅτι σήμερόν ἐσμεν καὶ τί τέξεται ἡ ἐπιοῦσα οὐκ οἴδαμεν, ὡς μὴ εὑρεθῆναι ἡμᾶς κωμῳδουμένους καὶ κατηραμένους καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. μνήσθητι τῆς ἀποφάσεως ἐκείνης τῆς φοβερᾶς καὶ ἀπαραλογίστου, ὑφ' ἧς οἱ ἀνελεήμονες εἰς πῦρ ἄσβεστον ἐκπεμφθήσονται. μνήσθητι ὅτι παραστήσονται ἡμῖν τὰ εὖ πεπονθότα πρόσωπα καὶ τὰ δεινοπαθήσαντα ὑφ' ἡμῶν· καὶ τί ὠφελήσει τότε τὸ ἐνταῦθα ἀκοῦσαι ἡμᾶς ἱκανούς;

Μή, παρακαλῶ, μὴ οὕτως εἰς ἑαυτοὺς τὸ ξίφος ὠθῶμεν· φιλῶν λέγω καὶ μάλα κηδόμενος, δέσποτα. τέλος τοῦ λόγου, ἀκούσαιμι ἀπὸ τοῦ νῦν ἀγαθὰς ἀκοὰς καὶ φιλανθρώπως παιδευτικὰς περὶ τοῦ ἐμοῦ κυρίου, ἵνα ᾄσω, ἵνα γνῶ ὡς ὑπακουόμενος ἔσομαι καὶ πρὸς τὸ ἑξῆς ὑπὸ τοῦ ἐμοῦ / φίλου. ἤδη γὰρ καὶ οἱ γειτνιάζοντες ἡμῖν ἐνταῦθα ἔμφοβοι καὶ ἔντρομοί εἰσιν ἐξ ὧν ἀκούουσι, καίπερ μὴ ἐπταικότες τι· ‚τύραννός ἐστιν ὁ ἐρχόμενος, μάχαιραν ἐπιφέρεται, πτωχὸς οὐχ ὑποίσει ἀπειλήν· οὐχ ἵνα ἀνταγωνίσηται δέχεται, κἂν μὴ βούλοιτο, ἐπὶ τούτῳ οὐχ ὑπεύθυνος· οὐδὲ γὰρ αὐτὸς ἐγὼ καταληφθεὶς οὕτως δυνηθείην ἂν ἑτέρως δρᾶσαι'. ἐὰν δὲ πέρα τούτων τὸ αἴτιον, καλῶς, ἀλλὰ καὶ οὕτως συμπαθῶς, ὡς ἐν ὀφθαλμοῖς Κυρίου· ἐξ οὗ καὶ εὐσταθήσει μᾶλλον τὸ ὑπήκοον, δουλούμενον εὐνοίᾳ τοῖς νικοποιοῖς βασιλεῦσιν.

441. Ὑπατίῳ τέκνῳ

Οὐκ ἀπαθῶς καὶ ἡμεῖς οἱ ταπεινοὶ ἐδεξάμεθα, ὦ τέκνον, τὴν ἱερὰν κοίμησιν Ἰακώβου τοῦ ὁμολογητοῦ Χριστοῦ καὶ ἡμῶν ἀδελφοῦ ἀξιεράστου, ἀλλ' οὖν οὐδὲ ἀπεριχαρῶς. τὸ πρῶτον διὰ τὸ πνευματι-

29 Luc. 6,38   38 Dion. Ar. ep. 8,5 (PG 3,1097 A)   44 Prov. 13,8

30 ὑμῖν P[ac]   32 κατηραμένους: λοιδορουμένους M   καί[2] om M   38 φιλῶν: φίλων Mi   40 παιδευτικὸν M   41 προστοεξῆς S   42 καὶ om Mi   45 ἀντ' ἀγωνίσηται C   κἂν PS   47 δράσαι VMPS Sirm   τούτων CM: τούτῳ cett Sirm   49 εὐσταθήσῃ S

441. a. 821 – 826   3 Ἰακώβου: cf. p. 427* adn. 843

C (ll. 40 – 55) VM PS

1 Ὑπατίῳ V in indice R: Ὑπάτῳ cett Sirm   2 καὶ S[sscr]   3 ἀδελφοῦ: δελφοῦ V

κὸν φίλτρον (τί γὰρ ἢ υἱός, καὶ υἱὸς τηλικοῦτος, οὗ ἐγὼ διὰ τὰς ἁμαρτίας οὐδὲ παῖς καλεῖσθαι ἄξιος;), τὸ δὲ διὰ τὴν ἐλπίδα, μᾶλλον δὲ διὰ τὸ λυσιτελές, καὶ οὐχ ἡμῶν μόνον, ὧν ὡς μέλος κόσμος ἱερὸς καθίστασθαι πέφυκεν, ἀλλὰ γὰρ καὶ πάσης τῆς τοῦ θεοῦ ἐκκλησίας· τί γὰρ οἴει τὸν ἄνδρα; ἀλλ' οὐχ ὁμολογητήν; ἀλλ' οὐχὶ μάρτυρα; ἀλλ' οὐχ ὅσιον; ἐκ νεότητος ἤθλησεν ἀσκητικῶς ὑποταγεὶς ἐννόμως, κατὰ παθῶν ἀνδρισάμενος, παρθένον τὸ σῶμα φυλάξας δι' ὑπωπιασμῶν ἐγκρατικῶν καὶ δουλαγωγιῶν, οὕτως ὡς ἔτυχεν ἐσθίων, οὕτως καθεύδων, ἔτι ὑγιαίνων ὡς ξενίζειν τοὺς ὁρῶντας, ὑποχωρητικὸς ὡς τὰ πολλά, ἐφ' ὅσον οἷόν τε καὶ εἰς ἑαυτὸν ἐπαναγόμενος κἀντεῦθεν πτερῶν ἑαυτὸν πρὸς τὸν οὐράνιον ἔρωτα. καὶ μή τις νομίσειεν ὑποπλάττεσθαί με ψυχαγωγίας ἕνεκεν τῶν ἀκουόντων λόγους· μάρτυς θεὸς καὶ ὁ ἐκείνου παιδαγωγὸς Λουκιανὸς ὁ ἱερός, κἂν δυσανέγερτος, ἐξ οὗ μοι καὶ ἡ τῶν ἀγνοουμένων δήλωσις.

Ταῦτα ὡς ἴνδαλμά τι σχέδιον τῆς ἀσκήσεως· ἐπὶ δὲ τῆς ὁμολογίας πόσοι καὶ ἡλίκοι; θέατρον ἐγενήθη καὶ ἀγγέλοις καὶ ἀνθρώποις. ὢ τῆς εὐθύμου καὶ θεοφιλοῦς καρδίας· εἰσῆλθεν εἰς τὸ στάδιον ὡς Χριστοῦ στρατιώτης, ἀδείλαντος, ἀτρέμας· ἐντεῦθεν καὶ ἐντεῦθεν οἱ ὑπηρέται τοῦ σκότους κατέξαναν ταῖς πληγαῖς νῶτα, στέρνα, βραχίονας, ἐξέχεαν αἵματα, ὑπέτεμον σάρκας, εἴασαν εἰς γῆν ἐρριμμένον τὸν ἅγιον, μὴ προέμενον ῥῆμα ἀριστερὸν τὸ καθόλου, ἀλλὰ θεοτελῆ τὴν μαρτυρίαν ποιούμενον, καὶ ταῦτα ὑπὲρ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ θεοῦ ἡμῶν· τὸ γὰρ περὶ τῆς ἁγίας αὐτοῦ εἰκόνος ἐναθλεῖν ὑπὲρ αὐτοῦ ἐκείνου ἐστὶ μαρτυρεῖν. ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν, χορευσάτωσαν φιλομάρτυρες καὶ γεγηθέτωσαν· αἰσχυνέσθω διάβολος, πιπτέτω εἰκονομάχων στῖφος. ἐκ τῶν ἔργων ἀμφοτέρων θεοκελεύστως ἐπιγνώσατε ἀμφοτέρους· οἱ μὲν γὰρ οὐ τόνδε μόνον, ἀλλὰ γὰρ καὶ πολλοὺς τῶν ἡμετέρων καὶ οὐχ ἡμετέρων, ἡμετέρων δ' οὖν ὅμως / (ἐπειδὴ οἱ πάντες ἓν σῶμα ἐν Χριστῷ Ἰησοῦ, ὅς κεφαλὴ πάντων) ὡσαύτως ᾐκίσαντο, ἔκτειναν, ἐλιμαγχονήσαντο καὶ ὅσα ἄλλα τούτοις ἑπόμενα· ὁ δέ, ἀπὸ τῶν δυσφορωτάτων ἐκείνων πληγῶν παραλυθεὶς καὶ ἐξαρθρωθείς, καὶ χειρουργεῖται ἀνίαις δριμείαις τὸ σῶμα καὶ ἔκτοτε μέχρι τέλους ἐντεῦθεν διαλελυμένος ὡς καθ' ἡμέραν ἀποθνήσκων διετέλει, καί γε ἐν εὐχαριστίᾳ, καί γε ἐν ταπεινοφροσύνῃ. εἰ δέ, ὡς σὺ φῄς, καὶ τὸν

---

11 1 Cor. 9,27 **20** 1 Cor. 4,9 **28** Ps. 33,3 **33** Rom. 12,5 **38** 1 Cor. 15,31

5 ἢ: εἰ PS 12 ἐγκρατειῶν S 18 δισανέγερτος MPS 20 πόσον Sirm ἡλίκον Sirm 29 αἰσχυνθήτω M 34 ἐλιμαγχόνησαν M 38 καθημέραν VP Sirm 39 φὴς VP Sirm

θάνατον αὐτοῦ προηγόρευσε, καὶ τοῦτο ἀκόλουθον τῶν ἄθλων. ἐπειδὴ δὲ προεῖπας καὶ πολυάνθρωπον συνδρομὴν γενέσθαι τῆς κηδείας καί γε καὶ ἀπὸ τῶν περιφανῶν κατ' ἀμφότερα, ἔτι μαρτύριον τοῦ λόγου· οὐ γὰρ ἂν εἰς ἄνθρωπον ἀφανῆ τὸ κατὰ σάρκα, εἰ μὴ θεοῦ νεῦσις, ἡ τοιαύτη συνάθροισις ἐγεγόνει.

Ἐκεῖνος μὲν οὖν μετέβη πρὸς οὐρανὸν καὶ προσετέθη τοῖς συνάθλοις, καὶ ηὔξησεν ὁ χορὸς τῶν ἀπ' αἰῶνος ὁμολογητῶν καὶ μαρτύρων, ἐφ' ᾧ χαρὰ ἐν οὐρανῷ καὶ θυμηδία· οὗ ταῖς εὐχαῖς σωθείημεν, ἀδελφοί, εὕροιτε δὲ μισθαποδοσίαν ἀξίαν τῆς ὁσίας ἐξυπηρετήσεως αὐτοῦ. εὐλογημένοι δὲ καὶ οἱ συναγερθέντες ὡς ἀληθῶς εὐσεβεῖς, ὡς ἀληθῶς φιλομάρτυρες· ὧν ἡ μερὶς μεθ' οὗ ἐξεκομίσαντο εἶεν. περὶ τοῦ τιμίου αὐτοῦ λειψάνου, ὡς γέγραφα περὶ κανόνος, εἰ εὐδοκεῖ Κύριος, ποιήσω. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ· καὶ γὰρ πᾶσι τοῖς ἀδελφοῖς ἀναγνωστέον. ἀσπάζεται ὑμᾶς ὁ κύριος ὁ ἀρχιεπίσκοπος, ὁ πρωτοπρεσβύτερος, ὁ οἰκονόμος καὶ οἱ λοιποὶ ἀδελφοί. ὁ Κύριος μεθ' ὑμῶν. ἀμήν.

442. Πέτρῳ Νικαίας

Αὕτη ἡ παρ' ἡμῶν συμβουλὴ πρὸς τὴν ἐρώτησιν τοῦ κυρίου ἡγουμένου, ἵνα μέχρι τῶν Ἁγίων Ἀποστόλων καὶ λυθῶσι πάντες τοῦ ἐπιτιμίου, μετέχοντες τῶν ἁγιασμάτων, οὐ μέντοι ἐνεργεῖν τοὺς ἱερεῖς τὰ τῆς ἱερωσύνης ἕως ἐλεύσεως ὀρθοδόξου συνόδου, ἐν ᾗ πᾶσα λύσις καὶ πᾶσα θυμηδία. κοινῶς δὲ πάντες ὡς κοινοὶ μοναχοί, εἴτε ἱερωμένοι εἴτε μή, εὐλογείτωσαν καὶ εὐλογείσθωσαν, εὐχέσθωσαν καὶ εὐχὰς λαμβανέτωσαν. ἐπειδὴ δὲ ἀναγκαῖον καὶ λειτουργίαν

53 ἀρχιεπίσκοπος: Josephus 54 πρωτοπρεσβύτερος: Athanasius οἰκονόμος: Naucratius

52 Rom. 16,16

40 θάνατον: hic inc epist in C 41 προσεῖπας VMPS Sirm 42 καίγε Sirm καὶ om VMPS Sirm 44 νεύσει VMPS Sirm 48 εὕροιτε: εὕροι τε Sirm δὲ om VMPS Sirm ὁσίας S^{sscr}: om M ὑπηρετήσεως M 49 δὲ: τε M συνεγερθέντες S 50 ἡ om Mi 52 vocem ἀδελφοὶ post ποιήσω add M 54 ὁ οἰκονόμος om MPS: V^{sscr} ἀδελφοί om M

442. a. 821 – 823 3 Ἁγίων Ἀποστόλων: die 29 mens. Junii

C VM PS

5 τὰ om MPS Sirm: V^{sscr} τὴν ἱερωσύνην M 7 ἱερώμενοι Sirm καὶ ante εὐχέσθωσαν inser Sirm

θείαν ἐπιτελεῖσθαι, ἵνα χειροτονηθῇ καὶ πρεσβύτερος καὶ διάκονος, ἀναπληροῦντες τὸν τόπον τῶν εἰργομένων, ὧν οὐχὶ φθόνος, ἀλλ' εὐχαριστία γνωριζέσθω, ἐπείπερ ἀλλήλων τὰ βάρη βαστάζειν ἀποστολικῶς διατετάγμεθα, ἤδη τούτου προδιομολογουμένου ὑπὸ πάντων, τὸ εἰ παραχωρήσοι θεὸς κατὰ τὰ ἀθεώρητα αὐτοῦ κρίματα τῆς δικαιοσύνης πάλιν διωγμὸν ἀναφθῆναι, πάντα ἑλέσθαι μέχρι θανάτου ἢ τὴν ἀλήθειαν προδοῦναι.

Οὕτως ἡμεῖς οἱ ταπεινοὶ φρονοῦμεν, ἐπεὶ καὶ πᾶσιν ἀποκρινόμεθα· ὡς δὲ δοκεῖ τῇ πατρικῇ σου ἁγιωσύνῃ, εἴη ἂν πάντως τὸ εὐκριτώτερον.

443. / Δημητρίῳ ὑπάτῳ

Μικροῦ καὶ πρότερον διὰ τοῦ γράμματος ἀπελογησάμεθα ὡς πολλὴ καὶ ὑπὲρ τὴν ἀξίαν ἡμῶν ἡ πίστις σου, δέσποτα, ἥ τε τιμὴ καὶ ἡ ἀγάπησις. ἡμεῖς δὲ οὐχ οὕτως ἐσμέν, καθὰ ὑπολαμβάνετε, ἀλλ' ἁμαρτωλοί, εἰς οὐδὲν ὄφελος οὔτε ὑμῖν, οὔτε μὴν ἄλλοις ὑπάρχοντες. εἴη δὲ ὑμῖν κατὰ τὴν πεποίθησιν ὁ μισθὸς καὶ ὁ ἔλεος παρὰ Κυρίου σὺν τῇ κυρίᾳ ὑπατίσσῃ καὶ τοῖς εὐγενέσιν ὑμῶν κλάδοις· ὧν καὶ τὰς προσφορὰς δεξάμενοι προσηνέγκαμεν Κυρίῳ τὰ χαριστήρια.

Ἀλλ' ἐπὶ τὸ κατεπεῖγον ὁ λόγος. ἐλυπήθησαν, φησί, τινὲς διὰ τὸν δεύτερον Ἡρώδην, ὅτι ὀρθόδοξος ἦν καὶ ἡ ἐκκλησία μνημονεύει αὐτοῦ. πρῶτον μέν, Ἡρώδην σύνηθες λέγειν τοὺς κρατοῦντας, καθά φησιν ὁ Θεολόγος, ἐὰν Ἡρώδῃ παραστῇς, σιώπησον· ἔπειτα σκοπείτωσαν οἱ ἐπισκήπτοντες, εἰ μὴ εἰκότως ἡ ἀφομοίωσις. ὁ πρῶτος Ἡρώδης, γυναῖκα ἔχων τὴν θυγατέρα Ἀρέτα τοῦ βασιλέως καὶ

---

17 ἁγιωσύνῃ: cf. adn. ad ep. 451,2

11 Gal. 6,2

11 εὐχαριστεία C γνωριζέσθω: νομιζέσθω M 12 ὑπὸ: παρὰ M 13 τὸ C: τοῦ cett Sirm 17 ἂν om VMPS Sirm

---

443. a. 824 – 826 10 Ἡρώδην: Constantinus VI

12 Greg. Naz. or. 38,18 (PG 36,332 C = p. 146 M.-G.) 14 Matth. 14,3 sq.

T (U) (ll. 53 – 58) PS titulum tantum servant VM in indice (f. 189v – f. 91v)

1 δογματικὴ titulo add PS: in marg Sirm 2 vocem ἀπελογησάμεθα ante διὰ transp S[ac] 6 παρὰ: ἀπὸ S 7 κυρίᾳ om T 8 τῷ ante Κυρίῳ add T 14 καὶ om T (fort recte)

ταύτην ἐκβαλών, εἴληφε τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ εἰς δεύτερον συνοικέσιον· καί, ἐπειδὴ παρὰ τὸν νόμον τοῦτο, ἐλέγχεται ὑπὸ τοῦ Προδρόμου· καί, μὴ φέρων τὸν ἔλεγχον, κτείνει τὸν προφήτην. εἶτα μετὰ μικρὸν ὑπὸ τοῦ ἰδίου λαοῦ ἀνασοβευθεὶς φονεύεται, τοῦ δικαιοκρίτου θεοῦ ἀξίαν ἐπαγαγόντος δίκην τῷ φονευτῇ, ἀντὶ θανάτου ὁσίου θάνατον οἴκτιστον.

Ἔλθωμεν ἐπὶ τὸν περὶ οὗ ὁ λόγος. γυναῖκα καὐτὸς ἔχων Μαρίαν, τὴν νομίμως συναφθεῖσαν αὐτῷ ἐκ νεότητος, ἐκβαλὼν ταύτην μοιχικῶς κατὰ τὸν λόγον τοῦ Κυρίου εἴληφε γυναῖκα Θεοδότην κουβικουλαρέαν εἰς δεύτερον συνοικέσιον· καί, ἐπειδὴ παρὰ τὰ εὐαγγέλια τοῦτο, ἐλέγχεται ὑπὸ Πλάτωνος κατὰ πρόσωπον· καί, μὴ φέρων τὸν ἔλεγχον, κλείει τὸν ὅσιον ὡς τεθαμμένον. εἶτα μετὰ μικρὸν ὑπὸ τοῦ ὑπηκόου ἀνασοβευθεὶς τυφλοῦται, τοῦ δικαιοδότου θεοῦ προσήκουσαν ἐπαγαγόντος δίκην τῷ φρουριστῇ, ἀντὶ φυλακῆς ὁσίας πήρωσιν ὀφθαλμῶν. ἐνωτισάσθω οὖν πᾶς ἔχων νοῦν ὡς ἄρα δικαίως δεύτερος Ἡρώδης Κωνσταντῖνος, ἐπὰν οὐκ ἄλλος ἔκτοτε μέχρι τοῦ δεῦρο πέπραχε τοιοῦτον, ὀνομάζοιτο, αὐτὸς ἑαυτῷ προξενήσας πρακτικῶς τὸ ὄνομα. καὶ περὶ τούτου πράγματα μὴ παρεχέτωσαν ἡμῖν. οὐ δύναται Χριστός, ἡ ἀλήθεια, ψεύσασθαι, ὅτι μοιχός ἐστιν, οὐδὲ ὁ ἀντιπίπτων, ὅτι μὴ οὐχὶ θεομαχεῖ· καὶ οὐ λήξοι λαλούμενον ὃ ἐποίησεν ὁ μοιχεύσας ἕως συντελείας τοῦ αἰῶνος.

Ἀλλ', ἐπειδὴ οἱ λυπούμενοι συναπήχθησαν τῇ μοιχείᾳ, ἀνιῶνται κακῶς τῇ ὑπομνήσει, δέον αὐτοὺς ὁμολογεῖν τὸ ἀληθὲς καὶ προσπίπτειν καὶ προσκλαίειν τῷ θεῷ ὑπὲρ τῆς ἀπαγωγῆς, ἐφ' ᾗ καὶ δώσουσι λόγον ἐν ἡμέρᾳ κρίσεως μὴ μετανοοῦντες. οἱ δὲ πρὸς τὸ παροξύνειν τὸν θεὸν ἔτι ἁμαρτίας ἐφ' ἁμαρτίᾳ ἐπισπῶνται· ἢ λέληθεν / αὐτοὺς οἷος διωγμὸς ἐντεῦθεν ἀνήφθη πανταχοῦ καὶ ὅσοι ἐμοίχευσαν ἐκ τοῦ προύχοντος παραδείγματος; καὶ τἄλλα σιωπῶ λέγειν αἰδοῖ τινων προσώπων. παυσάσθωσαν λυπεῖσθαι λύπην θεοστυγῆ, οἵτινες ἂν εἶεν· πρόσωπον γὰρ θεὸς ἀνθρώπου οὐ λαμβάνει· καί, παρ' ὃ ἐκ

22 ἐκ νεότητος: a. 788 ἐκβαλών: mens. Ianuar. a. 795; cf. Theoph. chron. a. m. 6287 (I 469 De Boor) 23 κουβικουλαρέαν: ad vocem cf. Psaltes, Grammatik 117 et 29 27 τυφλοῦται: die 19 mens. Aug. a. 797 41 ὅσοι ἐμοίχευσαν: cf. ep. 31,93 sq.

22 Luc. 16,18 26 cf. ep. 2,43 ἐνέκλεισάν σε 44 Gal. 2,6 Gal. 1,8 sq.

21 καὐτὸς: αὐτὸς T 23 Κουβικουλαρίαν Sirm 29 ἄρα δικαίως: οὐκ ἄρα ἀδίκως T 30 ἐπ' ἂν PST Sirm ἄλλο T Sirm 31 πέπρακται T 34 οὐχὶ: οὐ T λήξει S 35 τοῦ αἰῶνος om T 39 ἀποδώσουσι T 41 αὐτοῖς T 42 τἄλλα S: τ' ἄλλα T

τοῦ εὐαγγελίου παρελάβομεν, ἐάν τις εὐαγγελίζηται ἕτερον, μέχρι καὶ ἀγγέλου, ἀναθέματι ὑποβάλλεται, καθὰ βοᾷ ὁ μακάριος ἀπόστολος. ταῦτα εἰδὼς καὶ ὁ εὐλαβέστατος ἡγούμενος μὴ ἐγκαλείτω περὶ τοῦ Ἁγίου Θεοφάνους ὅτι ᾐτιάθη ἐν τῷ πράγματι· ἀληθείας γὰρ οὐδὲν προτιμότερον. καὶ οὐκ ἀπαναίνεται ἀκούων ὡς οὐδὲ Πέτρος ὁ μέγας ἀπόστολος τὴν ἄρνησιν, οὐδὲ Δαυὶδ ὁ ἅγιος τὴν μοιχείαν, οὐδὲ Κυπριανὸς ὁ ἱερομάρτυς τὴν γοητείαν; περὶ δὲ τοῦ ὅτι ὡς ὀρθόδοξος μνημονεύεται ἐν τῇ ἐκκλησίᾳ οὐδὲν προσίσταται τῷ εὐαγγελίῳ, ἐπεὶ μνημονεύεται καὶ Οὐαλεντινιανός, ἀλλ' οὐ κατὰ τὸ δύο ὁμοῦ γυναῖκας ἔχειν παρανόμως, ἀλλὰ κατὰ τὴν ὀρθὴν πίστιν· καὶ Ἰοβιανός, ἀλλ' οὐ, καθὼς ἱστορεῖται, ὅτι ἀρρενοφθόρος ἦν· καὶ Νικηφόρος, ἀλλ' οὐ καθὸ πλεονέκτης. καὶ πολλοῦ ἐστι λέγειν περὶ τῶν ἄλλων, οἵ, κἂν τὰ ἄλλα διαβεβλημένοι, διὰ δὲ τὴν ὀρθοδοξίαν μόνον μνήμης ἔτυχον ἐκκλησιαστικῆς.

Ταῦτα ἐχέτω ὧδε. αὐτὸς δέ, δέσποτα, κάτεχε ἀσφαλῶς τὸ σύγγραμμα, μὴ ἔκφορον αὐτὸ ποιῶν, ἐπειδὴ κίνδυνος, καθὰ ἀναγγελεῖ ὁ γραμματηφόρος. ὁ Κύριος μετὰ τοῦ πνεύματος ὑμῶν. ἀμήν.

444. Εὐαρέστῳ τέκνῳ

Ἐκ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας μου, προσθείην καὶ δακρύων, ἡ ἐπιστολὴ αὕτη, / ἀδελφέ, διότι ἀκήκοα ἀποθανεῖν σε τὸν τῆς ἁμαρτίας θάνατον· φασὶ γὰρ ἀπορριψάμενον τὸ ἐπάγγελμα τῆς παρθενίας, τὸ ἔνδυμα τὸ ἀγγελικόν, τὸ σεβάσμιον καὶ ἀγγέλοις καὶ ἀνθρώποις πολίτευμα, λαβεῖν σε γυναῖκα μοιχικῶς, μᾶλλον δὲ τὴν Εὔαν εἰπεῖν κυριώτερον· αὕτη γάρ σε τοῦ παραδείσου τῆς ἁγίας ζωῆς

---

49 Matth. 26,34 50 cf. 2 Reg. 11,2 sq. 51 cf. Greg. Naz. or. 24,12 (PG 35,1184 A sq. = p. 66 M.-L.) 61 2 Tim. 4,22

---

46 ἀπόστολος: παῦλος T 47 μὴ om T 48 ᾐτίσθη T (fort recte) 51 ἱερόμαρτυς P Sirm 52 προΐσταται PT 53 μνημονεύεται: hic inc fragm epist in U 55 ἰουβιανὸς T 57 κἂν – διαβεβλημένοι: κατὰ ἄλλα βεβλημένοι T 58 ἐκκλησιαστικῆς: hic desin fragm epist in U

---

444. a. 821 – 826

C VM PS

---

1 παραινετική titulo add VMPS: in marg Sirm 3 voces πρὸς σὲ post ἐπιστολὴ add VMPS πρός σε Sirm 5 εὐαγγελικὸν VMPS Sirm (sed cf vitam S. Nicolai Stud [PG 105,872 C] ἀγγελικῷ ἀμφιάσματι aliaque id genus) 7 ἁγίας om M

ἐκβαλοῦσα ἔθετο εἰς πένθος μὲν ἐμοὶ τῷ ἁμαρτωλῷ σου πατρὶ εἴς τε αἰσχύνην τῆς ἀγγελικῆς σου ἀδελφότητος καὶ εἰς ἔπαρσιν καὶ αὔχημα τῷ διαβόλῳ. ὤ, τί γέγονεν; φεῦ, πῶς σε ἐχειρώσατο ὁ δράκων, εἰς οἷον δέ σε ἀπέρριψε βάθος δυσωδίας; τὸ φῶς γέγονας σκότος, ἡ Χριστοῦ εὐωδία δυσωδία, ὁ ἱερὸς μιαρός, ὁ τίμιος ἄτιμος, ὁ ἔνδοξος ἄδοξος, ὁ ἄσχετος τῷ δαίμονι χειροδέσμιος, ὁ φιλητὸς μισητός, τὸ πρόβατον Ἰησοῦ θηριάλωτον (προσθήσω τὰ μείζω), ὁ δεδιωγμένος ἕνεκεν τῆς δικαιοσύνης κατειλημμένος ὑπὸ τῆς ἁμαρτίας, ὁ ὁμολογητὴς ἀρνητής, ὁ τὸν μακαρισμὸν ἐπὶ κορυφῆς ὡς διάδημα φέρων ἀφῃρημένος τὸ θαυμαστὸν ὄνομα τοῦ μοναχοῦ.

Οἴμοι, τίς ἀκούσας οὐ στενάξειεν, τίς δὲ κατανοῶν οὐ φρίξειεν; ᾔσχυνας τὸ μοναχικόν, ἐφόβησας τοὺς ἑστηκότας, ἐσάλευσας τοὺς ὀκλάζοντας, ἔπιες ποτήριον ἀνομίας, εἵλκυσας τὸ καθ' ἑαυτὸν τοὺς ὁμοταγεῖς ἀπογεύσασθαι τοῦ θανάτου. ὤ, καὶ αὖθις λέγω, τί πέπονθας ἐλεεινέ; πῶς ὁ ἑωσφόρος ἐσκοτίσθης; πῶς τὸ χρησιμεῦον σκεῦος συνετρίβης; οὐκ αἰδῇ κἂν τὸ ὄνομά σου, ὅτι, Εὐάρεστος καλούμενος, Δυσάρεστος ἐχρημάτισας; οὐ πέρυσι ἧκες πρός με, ἐπεὶ καὶ πρὸς τὸν κῦριν τὸν ἀρχιεπίσκοπον, ὅλος ὑγιής, εὔθυμος, πρόθυμος, ὑπὲρ ἑτέρου μᾶλλον ἀδελφοῦ σου παρακλήτωρ καὶ ἀνορθωτής; πῶς ἐξάπινα ἐξέλιπες; πῶς ἀπετυφλώθης; πῶς ἠμνημόνησας καὶ θεοῦ καὶ ἡμῶν τῶν τε προηνυσμένων ἀσκητικῶν σου πόνων καὶ ἱδρώτων; ἐπεὶ ἦς καὶ τῶν χρησίμων, καὶ τῶν ἐν ταῖς ὑπερεχούσαις διακονίαις τεταγμένων. εἶτα τί; μικρὰ προσβολὴ τοῦ ἐχθροῦ, ἐπιθυμία ἔχουσα μὲν τὸ δοκεῖν γλυκύ, συνειλιγμένη δὲ διστόμῳ μαχαίρᾳ, ἧς τῆς πικρίας οὐδὲν χολωδέστερον, δραξαμένη σε κατήγαγεν ὡς ἀπ' οὐρανοῦ τῆς ὑψηλῆς πολιτείας, δείκνυσι δὲ ὡσεὶ τραυματίαν, καθεύδοντα ἐν τάφῳ. τί γὰρ ἄλλο ἐστὶν εἶναι τὸν ἐν τῇ ἁμαρτίᾳ ἢ ἐν φθορᾷ; οὐ τί που φῶς νοερόν, οὐδεμία ἐλπίς, οὐδεμία γλυκύτης ψυχῆς, οὐδεμία διανόησις ἱερά, ἀλλὰ νὺξ βαθεῖα, μύσις τοῦ διανοητικοῦ, δαγμὸς καρδιακός, φόβος καὶ τοῦ τυχόντος, ἐν τῷ βορβόρῳ κυλιν-

25 ἀρχιεπίσκοπον: Josephus

14 Ex. 22,13 Matth. 5,10 22 Bas. ep. 44,1 (PG 32,361 C = I 110,33 Courtonne)

8 an ἐξέθετο scribendum? 10 ὢ C γέγονε VMPS Sirm 12 δυσωδία om Sirm 15 τῆς om M (fort recte) 18 οἴμμοι C στενάξειε VMPS Sirm 20 καθεαυτὸν C 21 ὢ C 24 πέρυσιν M 25 κύριν C 26 ἀνορθωτής: διορθωτής M ἐξάπινα post ἐξέλιπες transp Mi 27 ὑμνημόνυσας (sic) Sirm 31 τὸ C: τῷ cett Sirm συνειλεγμένη M 35 οὐτίπου Sirm 36 βαθεία CS

δεῖσθαι καθ' ἑκάστην ὡσεί τι ἰλυσπώμενον κνώδαλον. ἔ, ἔ, τί εἰργάσατο ὁ δαίμων; τί σε ἀπετέλεσεν ἡ παγκατάρατος ἐπιθυμία; δι' ἧς ἀπὸ τοῦ αἰῶνος οἱ ἠπατημένοι οὐδὲ τὰ ἐνταῦθα κεκερδήκασιν, ἀλλὰ καὶ τὰ οὐράνια ἀπώλεσαν, ἓν κληρονομήσαντες μόνον, τὸ πῦρ τὸ αἰώνιον.

Ἀλλὰ δεῦρο, υἱέ μου, ἀνακλήθητι, καλῶ σε ἀπὸ βαθέων καρδίας μου, ἀπὸ σπλάγχνων ἐμπυριζόντων με, ἐπειδὴ ἡ σὴ δόξα ἐμή, ὡς καὶ ἔμπαλιν ἡ αἰσχύνη. δεῦρο, ἐξεγέρθητι, ὁ Κύριος κεκέλευκεν· οὐ μὴ μνησθῶ, φησί, τῶν ἀνομιῶν σου καί, μὴ / ὁ πίπτων οὐκ ἀνίσταται; καί, εἶδον ὅτι πορεύῃ στυγνὸς καί, ἴαμαι τὸ σύντριμμά σου. ἴδε θεὸς ἀγαθός, ἴδε ἰατρὸς ἐλεήμων. ναί, δέομαί σου, τέκνον (τέκνον γάρ μου εἶ, κἂν ἀποτέθνηκας), μὴ ἀναμείνῃς ἔτι τῇ ἁμαρτίᾳ· διαρρήσσων διάρρηξον τάχει τὰ συμπλακέντα σοι ὑπὸ τοῦ διαβόλου σχοινία καί, ὡς ἀπὸ βόθρου ἀναστάς, μεταπήδησον εἰς τὸ θαυμαστόν σου τῆς προτέρας ἀγωγῆς φῶς. κἀγώ σε ὑπτίαις χερσὶν ὑποδέξομαι, οὐκ ὀνειδίζων, ἀλλὰ οἰκτείρων, οὐ βαρύνων τὰ φάρμακα τῆς μετανοίας, ἀλλ' ἠπιῶν αὐτὰ καὶ κουφίζων ὅσον οἷόν τε. καί γε σπεῦσον, σπεῦσον, πρὶν ἢ αἰφνίδιον ἐπελεύσεται ὁ ἀπότομος ἄγγελος, ἐλεεινῶς σε χωρίζων τοῦ σώματος καὶ εἰς κρίσιν αἰώνιον ἀποφέρων.

445. Σευηριανῷ υἱῷ πνευματικῷ

Ὅσον εὔφρανεν ἡμᾶς ἡ μικρὰ ἐπιστολή, τέκνον, τοσοῦτον ἐλύπησεν ἡ μείζω· ὡς γὰρ μήπω κινήσαντός σου λόγον περὶ τῶν ἐν αὐτῇ

---

49 διαρρήσσων διάρρηξον: cf. adn. ad ep. 530,52

45 Is. 43,25 46 Jer. 8,4 47 Is. 57,17 Jer. 3,22

38 καθεκάστην CSP Sirm ὡσεί: ὡς εἴ S ἔ, ἔ om VMS Sirm: eras P 40 κεκερδάκασιν Mi 46 καί om M 47 ἴδον C ἴαμαι: ἴαμα Sirm 49 καν C: κἂν P ἔτι: ἐπὶ M Sirm 50 διαβόλου: πονηροῦ M 53 ἀλλ' Sirm 54 ἠπίων S καὶ[1] om Mi 55 ἀφνίδιον Sirm

---

445. a. 821 – 826

2 Bas. ep. 134 (PG 32,569 C = II 48,1 Courtonne)

C V PS

1 περὶ τοῦ ὅτι οὔτε ὁ χριστὸς ἐν τῇ αὐτοῦ εἰκόνι λατρεύεται οὔτε ἡ εἰκὼν λατρευτή ante titulum V δογματικὴ περὶ τοῦ ὅτι οὔτε ὁ χριστὸς ἐν τῇ αὐτοῦ εἰκόνι λατρεύεται οὔτε ἡ εἰκὼν τοῦ χριστοῦ λατρευτή titulo add PS: in marg Sirm 3 μείζων VPS Sirm

ἐμφερομένων προτάσεων μήτε ἀκηκοότος πρὸς ἡμῶν τὸ δέον, ἤχθης νῦν προτεῖναι τὰς φωνάς, δῆθεν μὲν ἄλλῳ προσώπῳ μαχόμενος, μᾶλλον μὲν οὖν τῇ ἀληθείᾳ ἀντικαθιστάμενος, καίτοι μὴ ὀφείλων διδάσκειν, οὐ λέγω τοσοῦτον διὰ τὸ ὑφειμένον σε εἶναι (καί γε φέρε μακροθύμως), ἀλλὰ γὰρ καὶ διὰ τὸ τοὺς ἁλόντας τῇ αἱρετικῇ κοινωνίᾳ, ἐξ ὧν εἷς σύ, μὴ ἔχειν παρρησίαν ἀνοίγειν τὸ στόμα, μένειν δὲ ἐν ἡσυχίᾳ καθηκούσῃ καὶ αἰτεῖσθαι συγγνώμην μέχρι βίου / παντός. ἔπειτα οὐδὲ τοσαύτη σοι εὐτεχνίας δογματικῆς ἐπιστήμη, ὡς εἰδέναι ἀκριβῶς φθέγγεσθαι, μήτε γραμματικῆς μήτε φιλοσοφίας ἁψαμένῳ, ὁπότε καὶ οἱ τούτων ἐπιστήμονες κατὰ θεὸν οὐκ ἴδιόν τι δογματίζουσιν, ἀλλ' ἑπομένως τοῖς θεοφόροις. πόθεν οὖν σοι ἐπῆλθεν, ἐρωτῶ, λέγειν ‚οὐ σχετικῶς προσκυνεῖται ἡ εἰκὼν τοῦ Χριστοῦ'; οἶδας γὰρ τί ἐστι σχέσις; ἡ σχέσις τῶν πρός τί ἐστιν, πρός τι δὲ τὸ πρωτότυπον καὶ παράγωγον, ἤτοι ὁ Χριστὸς καὶ ἡ αὐτοῦ εἰκών, ὅτι ἔχεται ἐν ἑκατέρῳ ἑκάτερον καὶ οὐκ ἀπέσχισται οὔτε τῷ κράτει οὔτε τῇ δόξῃ. ἰδοὺ ἀμαθαίνων οὐκ οἶσθα καὶ καλῶς ἐστιν ἐκεῖνο εἰπεῖν· εἶδον πονηρίαν ὑπὸ τὸν ἥλιον, ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι καί, ὃ τούτου χαλεπώτερον, παιδεύειν ἄλλους φιλονεικοῦντα.

Οἷον δέ σου καὶ τὸ δεύτερον πρόβλημα; ‚λατρεύεται ὁ Χριστὸς ἐν τῇ αὐτοῦ εἰκόνι, ὥστε καὶ ἡ εἰκὼν λατρευτή'. πόθεν τοῦτο ἢ παρὰ τίνος μαθὼν δογματίζεις; οὐδεὶς γάρ πω τῶν ἁγίων τοῦτο φαίη, ἀλλ' ὅτι προσκυνεῖται ἐν τῇ αὐτοῦ εἰκόνι Χριστὸς καὶ προσκυνητὴ ἡ εἰκών, εἴτ' οὖν τιμητικὴ εἴτ' οὖν σεβαστή. ἀμφότερα γὰρ εἰς ταὐτὸν φέρει τὸν νοῦν, καὶ εἰκότως· ἐπειδὴ ἡ λατρεία, ὥσπερ καὶ ἡ πίστις, τῇ Ἁγίᾳ Τριάδι μόνῃ ἀναφέρεται, τὰ δ' ἄλλα τοῖς ἄλλοις, τῇ μητρὶ τοῦ θεοῦ, τῷ ζωοποιῷ σταυρῷ, τοῖς ἁγίοις, τῇ σεπτῇ εἰκόνι Χριστοῦ καὶ πάσαις ἄλλαις ἁγιωτικαῖς εἰκόσιν, καὶ τοσοῦτον, ὅσον ὑπερέχει τὰ πρωτότυπα τῶν κατὰ ταῦτα παραγώγων. εἰ οὖν λατρεύεται, ὡς φῇς, ὁ Χριστὸς ἐν τῇ εἰκόνι, ἐπειδὴ τῆς Τριάδος τὸ λατρεύεσθαι, συλλατρεύεται ἐν τῇ εἰκόνι καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα. καὶ τί τὸ ἐντεῦθεν συναγόμενον; τὸ καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα σεσαρκῶσθαι·

18 Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C) Bas. spirit. 18,45 (PG 32,149 C) 20 Eccl. 6,1

5 προσώπῳ post μαχόμενος transp V Sirm 8 γὰρ om V 10 συγγνώμην: συγχώρησιν S 11 τοσαύτη σοι: τοσαύτης V ἡ ante ἐπιστήμη add V ὡς – 12 φθέγγεσθαι om V 16 ἐστιν C: ἐστί PS: ἐστι V Sirm 19 οὐκ: οὐ Sirm καλῶς: καλόν V ἔστιν Mi 20 πονηρίαν: ἀνομίαν V Sirm 23 αὑτοῦ Mi 24 πω: που V (fort recte) 25 αὑτοῦ Mi 26 εἴτουν S (bis) 27 ἢ[1] S[sscr] 29 ζωοποιῷ: ἁγίῳ Sirm 30 εἰκόσι VPS Sirm 32 φῂς VPS Sirm ὁ Χριστὸς ἐν τῇ εἰκόνι C: ἐν τῇ εἰκόνι Χριστός cett Sirm (ubi ὁ ante Χριστὸς add V) 33 συνλατρεύεται C

οὗ τί ἂν γένοιτο ἀσεβέστερον; ἐπειδὴ δὲ αὖθις φῇς ‚λατρευτὴ καὶ ἡ Χριστοῦ εἰκών', κατὰ τὸ ἀκόλουθον οὐδὲν ἄλλο ἢ τετραδίτης εὑρεθήσῃ, λατρεύων μετὰ τῆς Τριάδος καὶ τῇ εἰκόνι Χριστοῦ. οὐ μήν, ὅτι καὶ προσκυνοῦντι τῇ Τριάδι, ἐπειδὴ καὶ τῇ εἰκόνι, τὸ αὐτὸ ἀκολουθήσει ἄτοπον· εἴρηται γὰρ ὅτι ἡ τιμὴ καὶ ἡ προσκύνησις κοινοποιοῦνται μέχρι καὶ τοῦ τυχόντος ἀνθρώπου, οὐ μὴν ἡ πίστις τε καὶ λατρεία· ὥσπερ γὰρ πιστεύομεν εἰς πατέρα καὶ υἱὸν καὶ Ἅγιον Πνεῦμα μόνον, οὕτω καὶ λατρεύομεν.

Ταῦτα ἐνωτισθεὶς ἀπόσχου, ἀδελφέ, παρακαλῶ, τῆς κενοφωνίας καὶ Τζυκαλικῆς, ἤγουν Κενδουκλαδικῆς, αἱρέσεως, ἥτις ἐκ διαμέτρου πρὸς τὴν εἰκονομαχικὴν ἀντιφέρεται· εἰ δέ, ὅπερ μὴ γένοιτο, ἐπιμενεῖς, γίνωσκε μέρος μεθ' ἡμῶν μὴ ἔχειν, μᾶλλον δὲ μηδὲ μετὰ παντὸς ὀρθοδόξου. μετὰ πόνου μοι περὶ σοῦ ὑπηγορεύθη ἡ ἐπιστολὴ αὕτη.

446. Θεοδώρῳ μονάζοντι

Ἠδύνθην, οὐκ ἐδάχθην, ἐφ' οἷς καθήψω μου, τιμιώτατε· οὐδὲ γὰρ οὕτως ἀνουθέτητός εἰμι, ὡς ἐν / ταῖς ἀγαπητικαῖς ὑποκρούσεσι δυσχεραίνειν. εἰ δὲ καὶ ἐδάχθην, οὐ διὰ τὴν ὑπόμνησιν, ἀλλὰ διὰ τὴν ἑκάστου αἵρεσιν, ἐξ ἧς τέτμηται τὸ σῶμα τοῦ Χριστοῦ, εἰς μυρίας δόξας διαιρούμενον. ἐγὼ τοίνυν, ἵνα ἐκ βαλβῖδος ἀφηγήσωμαι (δεῖ γάρ με ἀπολογήσασθαι ἐγκληθέντα), δοὺς ἐπιτίμιον, καταναγκαζόμενος ἀπὸ πρώτης ἡμέρας, καὶ τοῦτο ἀπὸ φυλακῆς διὰ γραμμάτων (ὅτι καὶ διὰ γράμματος ἡ ἐξαίτησις μοναζόντων τε καὶ ἱερωμένων), τοῦτο ἀπεκρίθην, ὡς οὐχ ὁριστικῶς, ἀλλὰ συμβουλευτικῶς πρὸς ἐμοῦ τὸ ἐπιτίμιον· διατί; ὅτι οὐχ ἱεράρχης ἐγώ, ἀλλ' ἱερεύς, πρὸς μὲν τοὺς οἰκείους μαθητὰς νομοθετικῶς ἀγόμενος, πρὸς δὲ ἄλλους οὐχ οὕτως, ἀλλ', ὡς εἴρηται, ἀναθέμενος τὸν λόγον αὐτοῖς ἕως καιροῦ εἰρήνης

35 φῆς VPS Sirm 41 τε καὶ C: καὶ ἡ cett Sirm 43 παρακαλῶ om V 44 Κεντουκλαδικῆς VPS Sirm αἱρήσεως Sirm 47 περί σου Sirm

446. a. 821 – 826

C VT PS

1 voces θεοδώρου τοῦ στουδίτου ante titulum add T δογματικὴ περὶ τῶν ὑπογραφῇ ἢ κοινωνίᾳ αἱρετικῇ ἁλόντων ἱερέων καὶ διακόνων καὶ περὶ τῶν ὑπὸ αἱρετικῶν κατεχομένων ἐκκλησιῶν titulo add PS: in marg Sirm 3 προσκρούσεσι VT 4 καὶ om Mi 5 ἐξῆς C 6 βαλβίδος omnes: correxi 11 διατί in marg C: διὰ τί Sirm 12 νομοθετικῶς: νουθετικῶς VT Sirm δὲ C^{pc} Mi: δ' cett Sirm

καὶ τηνικαῦτα, ὅπερ διορισθῇ πρὸς τοῦ ἁγιωτάτου πατριάρχου σὺν ἐπικρίσει τῆς ἁγίας συνόδου, εἰσδέξασθαι, εἴτε πρόσθεσιν ἔχοντος τοῦ ἐπιτιμίου εἴτε ὕφεσιν. καὶ οὐκ ἔξω, οἶμαι, τοῦ εἰκότος πεποίηκα, ὀρέξας χεῖρα τοῖς πεπτωκόσι φιλανθρώπως, οὐ μὴν εἰς ἐμαυτὸν περιστήσας τὸ κράτος, ὅπερ ἔκτοπον. τί δὲ τὸ ἐπιτίμιον; ποικίλον ἐπὶ ποικίλοις τοῖς παραπτώμασιν, ὅπερ οὐκ ἐπιστολῆς μέτρον ἐξηγορεύει· ἐν κεφαλαίῳ δὲ εἰπεῖν, τὸν ἢ ὑπογραφῇ ἢ κοινωνίᾳ αἱρετικῇ ἁλόντα ἱερέα ἢ ἁπλῶς διάκονον εἴργεσθαι παντάπασιν τῆς ἱερουργίας, ἀλλὰ γὰρ καὶ τῆς κοινωνίας, μετὰ δὲ τὴν τῆς ἐπιτιμίας περαίωσιν τῶν μὲν ἁγιασμάτων μετέχειν, τῆς δὲ λειτουργίας οὐδαμῶς, ἕως ἁγίας συνόδου, εὐλογεῖν δὲ ἢ καὶ εὔχεσθαι ὡς κοινὸν μοναχόν, οὐχ ὡς ἱερωμένον, ἀλλὰ καὶ τοῦτο μετὰ συμπλήρωσιν ἐπιτιμητικήν· εἴς τε τὰς ὑπὸ αἱρετικῶν κατεχομένας ἐκκλησίας μὴ εἰσιέναι μήτε, ἐὰν ἐαθῇ ναὸς κρατεῖσθαι ὑπὸ ὀρθοδόξου μετὰ τὸ ἐκεῖσε αἱρετικὰς ἀναφορὰς γενέσθαι, λειτουργεῖν τὸν ὀρθόδοξον ἄνευ λύσεως ὀρθοδοξοῦντος ἐπισκόπου.

Ἐπεὶ οὖν εὐδοκίᾳ θεοῦ ἀφείθημεν τῶν φυλακῶν καὶ συνήφθημεν τῷ τε ἁγιωτάτῳ πατριάρχῃ καὶ τοῖς ἁγίοις ἐπισκόποις, πρὸς δὲ καὶ ὁσίοις ἡγουμένοις, ἀνεθέμεθα τοὺς λόγους καὶ οὐκ ἐμέμφθημεν παρά τινος ἐν οὐδενὶ ἢ μόνον πρὸς ἑνὸς ἐπὶ τῷ εὐλογεῖν· ᾧτινι ἀπεκρινάμεθα ὅτι, ‚εἰ μεμπτέον, ἐξενεχθῇ ὅρος παρὰ τῆς κεφαλῆς καὶ ἡμεῖς σιωπῶμεν'. ὥστε οἱ ἐγκαλοῦντες μὴ ἡμῖν, ἀλλὰ τοῖς κυρίοις ἐπισκόποις ἐγκαλείτωσαν· οἷς ἡμεῖς οἱ εὐτελεῖς καὶ ὑφειμένοι ἑπόμενοι καὶ παρ' αὐτῶν ἀναγκαστικῶς προτρεπόμενοι μέχρι σήμερον καὶ ἐδώκαμεν ἐπιτίμια κατὰ τὸν εἰρημένον εἱρμὸν καὶ ἐπιδιδοῦμεν ὁπότε τύχοι. σκοπείτωσαν δὲ οἱ φιλεγκλήμονες μήπως τὸν κώνωπα διυλίζοντες λελήθασι τὴν κάμηλον καταπίνοντες καὶ τὰ κάρφη ψηλαφῶντες οὐκ αἰσθάνονται τὴν δοκὸν περιφέροντες.

---

39 Matth. 23,24 40 Matth. 7,3

---

14 διορισθεῖ C πρὸς C: παρὰ cett Sirm 19 παραπτώμασιν: ἁμαρτήμασιν VT Sirm ἐξαγορεύει VTPS Sirm 21 παντάπασι VTPS Sirm 22 γὰρ om VT μέχρις ἑνὸς ἢ δυοῖν χρόνοιν· γέγραπται γάρ (1 Cor 10,21)· οὐ δύνασθαι ποτήριον κυρίου πίνειν καὶ ποτήριον δαιμονίων, οὐ δύνασθαι τραπέζης κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων haec verba ex ep 294,20–22 sumpta post vocem κοινωνίας add T 24 καὶ om PS Sirm 27 αἱρετικῆς ἀναφορᾶς PS 30 ἀφήθημεν C 31 τε om T ἁγίοις: ἁγιωτάτοις S^{ac} 33 τῷ: τὸ CT εὐλογεῖν: λέγειν VT 34 μὲν post εἰ add T ἐξενεχθεῖ C ὅρος S^{ac} Sirm 36 ἐγκαλείσθωσαν VT ὑμεῖς P ὑφημένοι C 37 καὶ – προτρεπόμενοι om T 39 τύχει C φιλ' ἐγκλήμονες T 41 αἰσθάνωνται V

Ἡμεῖς οὖν οὕτω, θεοτίμητε ἀδελφέ, ὡς ὑπὸ θεῷ μάρτυρι διεγενόμεθα συμπαθείᾳ καὶ φιλαδελφίᾳ, οὐ κατὰ πρόσκλησιν ἤ τινα ἄλλην περιπέτειαν ἀνθρωπίνην· ὁ δὲ ταράσσων ὑμᾶς, φησὶν ὁ ἀπόστολος, βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ. /

447. Ἀνθίμῳ τέκνῳ

Ὁ νόμος τοῦ θεοῦ, ὁ φόβος τε καὶ ὁ τρόμος αὐτοῦ ὥς φησι· σκοπόν σε τέθεικα τῷ οἴκῳ Ἰσραήλ· ὁ δὲ σκοπὸς τῆς ἀγγελίας ἠνάγκασέ με, ἀδελφέ, διὰ γράμματος πάλιν ἀναγγεῖλαί σοι τὴν ἐρχομένην ῥομφαίαν τοῦ θεοῦ ἐπὶ σέ, ῥομφαίαν φοβεράν, ῥομφαίαν πύρινον, ῥομφαίαν οὐ σῶμα, ἀλλὰ ψυχὴν ἐμβάλλουσαν εἰς γέενναν πυρὸς εἰς ἀπεράντους αἰῶνας. καὶ δακρύω γράφων, ὁ τάλας, καὶ στένω πικρόν, ὅτι ἐπὶ τὸν ἐμὸν υἱὸν καὶ μαθητὴν ὁ λόγος. ἀλλὰ τί πάθω; ἐὰν μὴ ἀναγγείλω, τὸ αἷμά σου ἐκ τῶν χειρῶν μου ἐκζητεῖν ἔφη θεός, οὐδὲν ἕτερον ἢ τὸ αὐτό με τῆς τιμωρίας συναπολαῦσαι κρίμα. ὦ / ἀδελφέ, τί ἔμυσας τὸ ὄμμα σου οὕτω τῆς καρδίας; τί κατεφρόνησας θεοῦ, οὗ τῷ βλέμματι τὰ σύμπαντα σείεται καὶ οὐ φέρει στήκειν; ἀπεπήδησας πάλαι τῆς ἀσκητικῆς παλαίστρας, ἐπορεύθης εἰς τόπους, οὓς οὐκ ἐπισκοπεῖ Κύριος, ἔλυσας τὴν σφραγῖδα τῆς ἁγνείας, ἔφθειρας τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐγένου δοῦλος τῆς ἁμαρτίας· εἶτα ὀψέ ποτε ἐπανῆκες πρὸς ἡμᾶς ἐν τῇ ἀπαρχῇ τοῦ διωγμοῦ, ἐξομολογούμενος, ἐπιτιμώμενος, ἐπαγγελλόμενος τὴν ἀναδρομὴν μετὰ τὴν παῦλαν τοῦ διωγμοῦ. ἐπὶ τούτῳ καὶ πρὸς τοῦ οἰκονόμου ἐστοιχειώθης καὶ παρὰ τοῦ ἀδελφοῦ Διονυσίου προσελήφθης καὶ τὴν καλὴν φυγαδείαν εἵλου, ἐκ τόπων πονηρῶν εἰς τόπους ἀγαθοὺς διαιτώμενος, ἐφ᾽ οὓς ὀφθαλμοὶ Κυρίου καὶ ὁ μακαρισμὸς τοῦ διωγμοῦ ὑπὲρ κεφαλῆς σου

---

44 Gal. 5,10

43 μᾶλλον post συμπαθείᾳ add T 44 ἡμᾶς VT Sirm 45 κρῖμα PS Sirm

447. a. 821 – 826 4 πάλιν: prima epistula perdita ut videtur

2 Ez. 3,17 21 Matth. 5,10

C VM PS

1 παραινετικὴ πρός τινα ἐκπεσόντα titulo add VMPS: in marg Sirm 3 τέθηκα C 4 πάλιν om M ῥομφαῖαν C voces τοῦ θεοῦ ante ῥομφαίαν transp S[ac] 5 ῥομφαῖαν C (ter) 10 κρῖμα PS Sirm 11 τὸ ὄμμα σου C: τὰ ὄμματα cett Sirm 12 σείονται M 14 σφραγίδα CVMS Sirm 15 ὀψέποτε Sirm 17 παύλαν Sirm 18 τούτῳ: τοῦτο C

περικυκλούμενος. καὶ εὖ γε τῆς ἀνακλήσεως, τῆς καθάρσεως, τῆς ἀγγελικῆς ἐπικουρήσεως. τί οὖν πάλιν τὸ γεγονός; τί τὸ ἐκστῆσάν σε θεοῦ καὶ παραδῶσαν τῷ διαβόλῳ; φεῦ τῆς ἐμῆς ἀθλιότητος· ἐπέστρεψας πάλιν εἰς τὸν βόρβορον τῆς ἁμαρτίας, φθείρων καὶ φθειρόμενος ὑπὸ γυναικός, μᾶλλον δὲ γυναικῶν. Κύριε, ἐλέησον, φεῖσαι, ὁ θεός· ἀφῆκέν σε ὁ φύλαξ σου ἄγγελος, προσελάβετο ὁ σατανᾶς. ζῇς ἄρα, ἄθλιε; καὶ πῶς ἔστι ζῆν τὸν ὑπὸ ἀνθρωποκτόνου κατεσθιόμενον; ὁρᾷς ἄρα τὸ φῶς; καὶ πῶς ἔστι βλέπειν τὸν ἐσκοτισμένον τῇ ἁμαρτίᾳ; προσεύχῃ ἄρα τῷ θεῷ; καὶ πῶς ἔστι προσιέναι Κυρίῳ τὸν ἑαυτὸν δουλώσαντα τῷ διαβόλῳ; ποῦ ἐστιν ἡ καλή σου ἀρχή, ἡ θέρμη, ἡ κατάνυξις, ἡ ὑποταγή, τὸ δάκρυον, ἡ θεοπτέρωτος προσευχή, ἡ οὐράνιος πολιτεία; ᾤχοντο πάντα, ἀπολώλασιν. ὢ στεναγμῶν μοι πικρῶν ἐπὶ τῇ σῇ ἀλογίᾳ· εἴθε ζῷον ἄλογον ἦς, ὅπερ εἰς κρίσιν οὐκ ἔρχεται· ἀλλ᾽ ὅτι θεόπλαστον, ἀνιστάμενον καὶ κρίνεσθαι μέλλον, τοῦτο ἐλεεινόν.

Δεῦρο δή, ὁ ἀπολωλώς μου υἱός, δεῦρο, ἐπίστρεψον πρὸς Κύριον, ὅτι σφόδρα φιλάνθρωπος ὢν πάλιν δέχεται, πάλιν ὑγιάζει, πάλιν νυμφοστολεῖ, πάλιν θύει τὸν μόσχον τὸν σιτευτὸν καὶ χαίρων συγκαλέσει τὰς ἄνω δυνάμεις ἐπὶ τῇ σῇ εὑρέσει. μὴ δὴ οὖν ἀπειθήσῃς υἱέ μου, υἱέ μου, ἀλλὰ ἀνακλήθητι, ἀλλ᾽ ὑπόστρεψον, συγκολληθεὶς τῷ καλῷ σου ἀδελφῷ Διονυσίῳ, πρίν σε καταλάβῃ ἡ ῥομφαία τοῦ αἰωνίου θανάτου.

448. Εὐστρατίῳ ἡγουμένῳ

Ἐχάρην δεξάμενός σου τὸ τίμιον γράμμα, πατέρων φίλτατε, καὶ διδαχθεὶς τὰ κατὰ τὴν ὁσιότητά σου οὕτως ἔχειν καὶ οὕτως, ἐπεί, ὅσον ἐκ τῶν ἀπαγγειλάντων, καίτοι ἀξιοπίστων, λυπηρῶς διεκείμην, ἀκούσας τὴν ὑποκριτικὴν ὑπογραφήν. καί με δέξαι, τιμιώτατε,

28 Hom. Od. 4,833 39 Luc. 15,27

23 ἐκστήσαν C 24 παραδόσαν M 27 ἀφῆκέ VMPS Sirm σε post προσελάβετο add M 28 ἔστι C Mi: ἐστὶ M: ἐστι cett Sirm 29 ἔστι C Mi: ἐστὶ M: ἐστι cett Sirm 30 ἔστι C Mi: ἐστὶ M: ἐστι cett Sirm 31 post δουλώσαντα voces τῇ ἁμαρτίᾳ cancell C 37 μοι post δή add M 38 σφόδρα om VMPS Sirm ἁγιάζει V[ac] Sirm 41 ἀλλὰ: ἀλλ᾽ M Sirm 42 καταλάβοι CS ῥομφαῖα C

448. a. 821 – 826

C VM PS

2 τίμιον: τιμιώτατον M

παρρησιαστικώτερον διαλεγόμενον. οὐκ ἔξω αἰτίας τὸ κατασχεθέντα σε ὑπὸ βασιλικοῦ μεῖναι ἀπαθῆ, ἤγουν ἄφετον· τοῦτο γὰρ τῶν τεθρυλλημένων ἐπάγωγον. οὐδεὶς οὖν τῶν πεπαρρησιασμένων ἄτερ φυλακῆς ἢ τοὐλάχιστον ἐξορίας, ἤτοι φυγαδείας, ὡμολόγηται διαμεῖναι. οἱ δὲ τούτων ἐκτὸς ἐντὸς τῆς ἀπαγωγῆς, ἵνα μὴ τραχύτερον εἰπὼν λυπήσω. / ἢ οὐ διεβλέψω, διορατικώτατε, τὸν χαλεπὸν διωγμὸν Λέοντος τοῦ θηριωνύμου; οὗ ἡ Ἀχααβιτικὴ χεὶρ εἷλε καὶ τοὺς ἐξ ἄλλου κράτους, ἔκτεινέ τε καὶ ὤλεσεν, τό γε φιλανθρωπότερον ἐφρούρησεν μετὰ πικρὰν μαστίγωσιν, μὴ ὅτι γε τοὺς ὑπὸ χεῖρα. εἰ δὲ αὐτὸς οὔ τί που τῶν τοιούτων πεπονθὼς μετὰ τὴν σύλληψιν, σύγγνωθι, ἐσυλήθης, ἅγιε. καὶ μή μοι φυλάττεσθαι τὰς οἰκείας ἐκκλησίας λέγε καὶ σώας τὰς ἱστορίας μένειν τήν τε ἀναφορὰν τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου· τοῦτο γὰρ καὶ ἄλλοι ἀπαχθέντες φιλολογοῦσιν. οὐ δύναται ταῦτα διασεσῶσθαι, εἰ μή τοι προδοσία ἀληθινῆς ἐνστάσεως ἐγένετο. τί τὸ ὄφελος, εἰ ἡμεῖς, οἱ ναὸς θεοῦ καὶ ὄντες καὶ λεγόμενοι, ἠχρειώθημεν καὶ ἀψύχους οἴκους περιεποιησάμεθα; ἡ εἰκὼν τοῦ Χριστοῦ οὔτε τῆς Θεοτόκου οὔτε τινὸς ἁγίου διαπίπτει· μένει γὰρ ἐν αὐτοῖς ὡς πρωτοτύποις, πίπτουσι δὲ οἱ δοκοῦντες καθαιρεῖν αὐτάς, ἀλλὰ γὰρ καὶ οἱ φειδοῖ τούτων προώμενοι τὴν παρρησίαν καὶ τὴν δι' αὐτῆς κάκωσιν. οὐά, ἄλλοι ἀποθνήσκοντες, ἕτεροι ὑπεροριζόμενοι, ἄλλοι μαστιζόμενοι, ἕτεροι φρουρούμενοι, τὰ ὄρη ἔχοντα καὶ αἱ ἐρημίαι, πέτραι τε καὶ σπήλαια τοὺς μακαρίως δεδιωγμένους, καὶ ἡμεῖς οἴκοι μένοντες, καὶ οἰόμενοι ἀβλαβῶς διαμένειν; οὐδαμῶς. ἀπολέσθω πᾶσα ἡ τοῦ κόσμου ὕλη τῶν δοκούντων, ἡ ὁμολογουμένη βλάβη ψυχῆς προκρινέσθω, ἣν ὑπέστη πᾶς προφασιστής.

Ταῦτα φιλῶν καὶ ὑπομνήσκων εἴρηκα, καὶ ὡς ὑπὸ ἐπιτιμίαν ἐσμὲν ἄξιοι ἐλθεῖν καὶ ὅτι ἐν καιρῷ ὀρθοδοξίας οὐδὲν ἀψηλάφητον ἀφεθείη. καὶ εὖ ἔχει διὰ ταπεινώσεως βαδίσαι καὶ ἰάσασθαι τὸ ἠσθενηκὸς ἢ διὰ ἀναιτιασμοῦ προστρίβειν ἑαυτοῖς μείζονα αἰτιάματα.

---

20 1 Cor. 3,16   27 Hebr. 11,38

---

8 ἐπαγωγόν VMPS Sirm   11 διορατικώτατε: διοριγικώτατε M, quod ex διορικώτατε corr   χαλεπὸν: χαλεπώτατον M   13 ὤλεσε VMPS Sirm   14 ἐφρούρησε VMPS Sirm (an ἐφρούρισεν scribendum? cf epp 125,10; 177,60) ὅτιγε Sirm   15 δὲ C[pc]: δ' cett Sirm   αὐτὸς οὐ: αὐτὸ σοῦ P   οὐτίπου Mi: οὐ τίπου Sirm   19 τοι: τι S   μήτοι Sirm   προδοσίᾳ Sirm (fort recte)   22 cave suppleas οὔτε ante ἡ; est enim negatio subaudienda   24 προέμενοι VMPS Sirm   25 οὐᾶ C   26 περιοριζόμενοι M   27 αἱ ἐρημίαι: αἱρημίαι C: ἐρημίαι M   28 μακαρίως post δεδιωγμένους transp V   32 ὑπομιμνήσκων VMPS Sirm

449. Λαυρεντίῳ τέκνῳ

Ἀκουστὸν ἡμῖν ἐγένετο, τέκνον Λαυρέντιε, ὅπερ ἐκ τοῦ πονηροῦ δαίμονος ἐτελέσθη δρᾶμα ἐν τῇ Ἀντισάρχῳ κωμοπόλει· καὶ ἐστενάξαμεν ἐπ' αὐτῷ μεγάλως καὶ κατὰ τὸν κοινὸν νόμον τῆς ἀνθρωπίνης ἀγάπης καὶ διότι ἀφ' αἵματος τοῦ ἀδελφοῦ Ἀθανασίου καὶ πρωτοπρεσβυτέρου (ὑφ' οὗ καὶ κινηθεὶς γράφω) ἐστὶν ὁ ἀπαγχονισθείς. ὢ φοβεροῦ τραγῳδήματος· ἄνθρωπος ἐν τιμῇ ὤν, προφερέστερος τῶν ἐκεῖσε αὐτοχθόνων, αὐτάρκης κατὰ τὸν βίον, ἀνὴρ συνετός, προσκαρτερῶν εὐχαῖς τε καὶ δεήσεσι καὶ τῇ λοιπῇ τῆς ζωῆς ἀγωγῇ ἐμπρέπων, μηδενὸς περιστατικοῦ συμβεβηκότος, ἐξ οὗ πολλάκις ἔστι περιτρέπεσθαι τοῦ δέοντος κατά τι μικρόν, οὕτως ἐν ἀταραξίᾳ πραγμάτων τηλικοῦτον κακὸν ἀπεργάσασθαι, ἀγχόνῃ χρησάμενος. ὤ, καὶ αὖθις ἐρῶ, τῆς ἀπευκτῆς ἀκοῆς. τοιαῦτα τοῦ διαβόλου τὰ μηχανήματα· ἐκεῖνος ἀνθρωποκτόνος ἀπ' ἀρχῆς, καθὼς ἔφη ὁ Κύριος, ἐκεῖνος πρῶτον μὲν τὸν Ἀχιτόφελ, ἔπειτα τὸν Ἰούδαν ἔπεισεν ἀπάγξασθαι· ὃς οὐ παύεται καὶ μέχρι σήμερον τὸ αὐτὸ ἀποτελεῖν ἐν τοῖς πειθομένοις αὐτῷ. οἶμαι δὲ κατὰ δύο τρόπους συλᾶν τὸν ἄνθρωπον, ὡς πείρᾳ ἔγνωμεν· ἢ ἀπὸ ὀδύνης καρδίας ἀπαρακλήτου ἢ ἀπὸ ἐφέσεως ἀλογίστου, σκοτώσας καὶ περιτρέψας· ὡς γὰρ ἐπὶ φόνου ἢ μοιχείας καὶ τῶν ὁμοίων ἀσελγημάτων ὑποδείκνυσι τὸ σκότος φῶς καὶ τὸ πικρὸν γλυκεῖον (οὐ γὰρ ἄν, εἰ μὴ οὕτως ἀναστοιχειώσει λογίσασθαι, ἡμᾶς εὑρίσκῃ θηρᾶσαι), οὕτω καὶ ἐπὶ τῆς ἀγχόνης ἥδυνε τὸν θάνατον, ἐζόφωσε τὸν νοῦν, ἀπετέλεσεν τὴν ἀγχόνην. οἴμοι, οἷός ἐστιν ὁ δράκων καὶ ἐφ' ὅσοις μαγγανεύμασιν ἀνθρωποκτονεῖ ἑκάστοτε· τοῦτον οὕτως, ἄλλον ἄλλως, καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται τὰς

---

449. a. 821 – 826

14 Joh. 8,44 15 2 Reg. 17,23 Matth. 27,5 20 Matth. 6,23

C VM (ll. 25 – 66) PS

1 λαβρεντίῳ V δογματικὴ περὶ τοῦ μὴ γίνεσθαι προσφορὰν ἢ λειτουργίαν ἐπὶ τοῦ ἀπαγχονίσαντος (ἀπαγχονήσαντος S) ἑαυτόν, μόνην δὲ ἐλεημοσύνην titulo add PS: in marg Sirm περὶ ἀπαγχωνισθέντος in marg C 2 λαβρέντιε V 3 δράμα CV Ἀντισάρων (Ἀντιζάρχῳ v. l.) Sirm (sed cf ep 19,1) 6 ἔστιν VPS Sirm 7 ὦ CS[ac] 10 ἐξοῦ C: ἐξ οὗπερ cett Sirm 10 ἐστὶ Sirm 11 τι om V 13 ὦ C ἀκοῆς: φωνῆς V 14 ἀπαρχῆς C 15 πρῶτα PS Sirm ἀχιτώφελ C ἰοῦδαν CPS 21 γλύκιον VMP Sirm (sed cf adn ad ep 1,75) ἀναστοιχειώσῃ C 22 εὑρίσκει C θηράσαι VPS: θηρεῦσαι Sirm 23 ἀπετέλεσε VPS Sirm οἶμοι P: οἴμμοι C: οἶμαι Sirm 24 ἔστιν P 25 φεύξεται V τὰς: hic inc epist in M

παγὰς αὐτοῦ ἄνευ βοηθείας τοῦ θεοῦ, ἥτις εἴη μετὰ φόβου καὶ τρόμου τῷ κατ' ἐντολὴν αὐτοῦ πιστῶς βιοῦντι.

Ἀλλ' ἐπὶ τὸ κατεπεῖγον ὁ λόγος. ἐδήλωσας ὡς οἱ τοῦ χωρίου ὁμοῦ ἅπαντες ἀποτρέπονται τῆς οἰκίας αὐτοῦ, ἤγουν γυναικὸς καὶ τέκνων, μήτε ἅπτεσθαι μήτε θίγειν μέχρι καὶ μεταδόσεως ἄρτου δανεικοῦ. καὶ εἰ μὲν λέγουσιν οἱ τοῦ ἀπαγξαμένου καλὴν εἶναι τὴν πρᾶξιν τῆς ἀπαγχονίσεως καὶ τὴν αὐτὴν αὐτῷ φιλεῖν τελέσαι κἀκεῖνοι, καλῶς ἀφίστανται, ὁπότε οὐδ' οὕτως εὐθύς· δεῖν γὰρ πρῶτον διδάξαι, φωτίσαι, παρακαλέσαι φυγεῖν τὸν ὄλεθρον· τοῦτο γὰρ χριστιανῶν, τοῦτο φιλαδέλφων, ὅτι καὶ ὁ Κύριος τὸν Ἰούδαν πολλοῖς χρηστεύμασιν καὶ διορθωτικοῖς προφητεύμασιν, εἰδὼς ὃ ἔμελλεν ποιεῖν, ἐπειρᾶτο ἀναπείθειν, τὸ οὐαὶ αὐτῷ ἐπιφθεγγόμενος καὶ τὸ συνέφερεν εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος λέγων, κἂν οὐ συνῆκεν ὁ τάλας. εἰ δέ, ὡς φῇς, καὶ καταθρηνοῦσι τὸν ἰουδοτέλεστον καὶ ἀπεύχονται τῆς μερίδος ἐκείνης πάντα χριστιανὸν καὶ ἔκστασιν / ἐξέστησαν ἀφορήτου θλίψεως καὶ ζητοῦσι παράκλησιν, τί τοῦτο, ὅπερ διηγῇ, ἢ ὅτι τῷ Χριστῷ ἐναντιοῦνται οἱ χωριάται καὶ τῷ διαβόλῳ ἀνοίγουσι θύραν ἀπωλείας τῶν ἀξιοπαρακλήτων; οὐαὶ τοῖς οὕτω ποιοῦσιν, ὅτι συνεργοί εἰσι τοῦ διαβόλου.

Καλῶς οὖν ὁ κύριος Μακάριος καὶ πνευματικὸς πατὴρ παρεκάλεσεν τοὺς τοιούτους, καλῶς καὶ ἐστιάθη ἐν ἐκείνῃ τῇ οἰκίᾳ καὶ μηδεὶς χριστιανὸς διακρινέτω τὸ αὐτὸ ποιεῖν. ἐπειδὴ δὲ λόγος περὶ ἐπιτιμίου, οὐχ ὅτι ὑπαίτιοι (ἕκαστος γάρ, φησίν, ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται, καὶ οὐκ ἀποθανοῦνται τέκνα ὑπὲρ πατέρων, ὡς καὶ ἔμπαλιν), πρὸς δὲ παρηγορίαν, μιᾷ τεσσαρακοστῇ φυλάξονται κρεοφαγίας, δῆλον ὅτι καὶ τοῦ μὴ μετέχειν τῶν ἁγιασμάτων. εἰς δὲ τὴν ἐκκλησίαν εἰσιέτωσαν εὐχόμενοι, μέχρι τῶν κατηχουμένων ἐπιμένοντες, δότωσαν καὶ τὴν ἀνήκουσαν μοῖραν τοῦ ἀθλίου εἰς πτωχούς· προσφορὰ μὲν γὰρ καὶ λειτουργία ὑπὲρ αὐτοῦ οὐ θέμις γίνεσθαι πάντῃ, ἡ δὲ ἐλεημοσύνη γινέσθω· ὠφελεῖ γὰρ αὕτη καὶ εἰς ἄπιστον, ὥς φησιν ὁ Χρυσόστομος, καὶ ἄλλως ὅτι τοῦ Ἰούδα τὰ ἀγκτικὰ

---

37 Matth. 26,24 48 De. 24,16

---

26 πάγας VMPS Sirm 27 πιστῶς βιοῦντι om VM 30 δανειακοῦ VMPS Sirm 31 μὲν λέγουσιν: ἐπὶ λέγουσιν Sirm: ἐπιλέγουσιν Mi 32 ἀπαγχονήσεως CSVM κἀκείνην V: κἀκείνους M 35 τὸν Ἰούδαν om V ἰοῦδαν C χρηστεύμασι VMPS Sirm 36 ἔμελλε VMPS Sirm 38 καν C: κἀν P: ἀλλ' VM 39 φῇς VMS Sirm 40 ἀναφορήτου Sirm 42 χωρῖται VMPS Sirm 45 παρεκάλεσε VMPS Sirm 47 διακρινέσθω M 48 ἐν: ἐπὶ V αὐτοῦ VM Mi 50 κρεωφαγίας VMP Sirm 51 δηλονότι VMPS Sirm 53 εἰς πτωχούς: τοῖς πτωχοῖς VM Sirm 56 ἰοῦδα C

ἀργύρια εἰς ταφὴν τοῖς ξένοις ἐδόθη. πηξάτωσαν καὶ τὸ σημεῖον τοῦ ζωοποιοῦ σταυροῦ εἰς τὸν τόπον, οὗ ἡ ἀγχόνη, ὅτι καὶ αὐτὸς ὁ σταυρὸς ἐν τῷ Κρανίου τόπῳ πήγνυται, διότι ἐκεῖ τοῦ ἀνθρωποκτονηθέντος Ἀδὰμ τὸ κρανίον, ἀφ' οὗ καὶ ὠνόμασται.

Τοσαῦτα ἔχομεν λέγειν ἐκ τῶν ἐγγράφως, καὶ τοὺς μὲν τοῦ παθόντος παρακαλοῦντες καταλῆξαι τῆς πολλῆς λύπης καὶ δι' εὐχαριστίας καὶ ἀγαθοεργίας προσεδρεύειν τῷ ἀγαθῷ θεῷ, τοὺς δὲ τοῦ χωρίου παραινοῦντες, ἀφεμένους τῆς πονηρᾶς διακρίσεως, κοινωνοὺς ἔχειν ὡς πρὶν τοὺς τῆς οἰκίας ἐκείνης ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ἀμήν.

450. Τοῖς ἐν ἄστει ἀδελφοῖς

Εὔκαιρον ἡγησάμην τανῦν, εἰσιόντος τοῦ ἀδελφοῦ Λέοντος, ἐπιστεῖλαι κοινῶς πᾶσιν, εὐλογημένοι ἀδελφοὶ καὶ πατέρες, προσυπομνήσκων τὰ ἐχόμενα σωτηρίας, ἐπειδὴ κἂν τῇ ἀπουσίᾳ ταύτῃ καὶ ἐξορίᾳ, ἔμφοβός εἰμι καὶ ἔντρομος μετὰ τοῦ οἰκείου φορτίου τῶν ἁμαρτημάτων καὶ περὶ τῆς ἀνηκούσης μοι εἰς ὑμᾶς φροντίδος καὶ προστασίας· φοβοῦμαι γὰρ καὶ δεδιῶ μήπως ὑμεῖς οἱ ἐν ἄστει διατρίβοντες εὐριπιστότερον εἰς ἔμπτωσίν τινα ἐμπέσοιτε καί, ἅπερ διὰ πολλῶν κόπων τε καὶ ἄθλων τῶν πρὸ διωγμοῦ καὶ ἐν τῷ διωγμῷ συνηθροίσαμεν ἀγαθουργήματα, ἀφυλακτήσαντες πρὸς βραχὺ ἄρδην ἀπολέσωμεν. ἀκούω ἀστασίαν, μεταβασίαν, ἄλλον ἐξ ἄλλου καὶ ἀδελφοῦ καὶ τόπου μεταβαίνοντα καί, τό γε ἐλεεινότερον, μόνον ἄλλον καθεζόμενον καὶ ἕτερον τὸ κελλίον εἰς οἰκίαν, ἔνθα γυναῖκες, ἔχοντα· καὶ ἄλλον πάλιν εἰς μοναστήριον γυναικεῖον διαιτώμενον εἰσαεί, ἕτερον πάλιν ὧδέ τε κἀκεῖ οἰκοτριβοῦντα, ἔνθα κόραι, ἔνθα πῦρ οὐκ ἐμπρῆζον χόρτον, ἀλλ' οἶκον ψυχῆς, ἐνίους πάλιν ἐπιλαθομένους τῆς ἐννόμου ζωῆς, δούλους ὠνησαμένους, αὐτοῖς συζῆν καὶ

---

58 Matth. 27,33

57 καὶ ante πηξάτωσαν add VM 61 ἐγγράφως: ἐν Γραφαῖς Mi τοῦ παθόντος: τοῦτο παθόντας PS Sirm 64 διακρίσεως: διαθέσεως VM

---

450. a. 821 – 826 11 ἄλλον ἐξ ἄλλου: cf. B. Gygli-Wyss l. l. 68 sq.

C VM PS

2 τὰ νῦν CVP 3 προσυπομιμνήσκων VMPS Sirm 7 δεδειῶ C: δέδια cett Sirm: correxi 8 εὐρριπιστότερον M ἐμπέσητε M 15 κἀκεῖσε Sirm 16 ἐμπρίζον codd Sirm: ἐμπυρίζον Mi: correxi

/ γοῦν ἑτέρους ἀγροὺς ἀγοράζειν. ὢ τῆς ἀθλίας μου ψυχῆς· πῶς ἐν τούτοις οὐ στενάξω, πῶς δὲ οὐ φοβηθήσομαι μὴ ἀναγγέλλων τὸ δικαίωμα τοῦ θεοῦ; τί δὴ ἐξέστητε, ἀδελφοί, τί δὲ οἱ δοῦλοι Κυρίου δοῦλοι παθῶν γεγόνατε; τί οἱ ἐν νόμῳ ἀνομεῖν ἀνέχεσθε, τί δὲ οἱ θεραπευταὶ Χριστοῦ, υἱοὶ παραπικραίνοντες, οὐ μετέρχεσθε τῆς πονηρᾶς ἀπαγωγῆς, οὐ καθέζεσθε εἰς τόπους ἀσκανδαλίστους, οὐ δύο δύο ἢ καὶ πρὸς σύνεστε ἀποστολικῶς;

Οὐαὶ τῷ μόνῳ· οὐαὶ τῷ ἀκαθίστῳ· οὐαὶ τῷ γυναιάζοντι, οὐαὶ τῷ δουλοδούλῳ· οὐαὶ τῷ Γιεζῇ, ὃς ὠνησάμενος ἀγροὺς καὶ ἀμπελῶνας κεκληρονόμηκε τὴν λέπραν Νεεμάν. μὴ οὐχὶ θεῖαι φωναὶ αὗται, μή τι ἐγὼ παρ' ἐμαυτοῦ εἰσφέρω; ὅτε ἔβραζεν ὁ διωγμός, εἶχέ τις λόγον ἐξ ἀνάγκης ἔν τισιν ὧν ἀπηριθμησάμην ἐμπίπτειν καὶ ἡ διὰ τὴν πίστιν ἀνάγκη ἔσῳζε τὸν εὑρισκόμενον. νῦν δὲ οὐδεὶς ὁ διώκων οὐδὲ κωλύσων καλῶς ἡμᾶς καθέζεσθαι καὶ σὺν ἀλλήλοις δυοῖν εἶναι τοὐλάχιστον· ἐξ ὑμῶν γὰρ αὐτῶν κατακρίνεσθε, τῶν ἐννόμως διαζώντων οἱ κακόζωοι. ἢ οὐχὶ προδήλωμα τῆς ἐν εἰρήνῃ ἀσυνδρομίας ὑμῶν ἡ παροῦσα ἀθεσία; ἀνανήψατε, παρακαλῶ, ἀδελφοί μου ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι· ἂν μὴ διορθώσησθε, οὐχ οὕτως κλητέοι, ἀλλ' ἐναντίως, ὅπερ ἀπείη.

Ταῦτα διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων· εἴ τις μὴ διορθώσηται μετὰ τὴν ὡρισμένην εἰς χρόνου τινὸς σύμφθασιν ἐπιμονήν, τῶν ἁγιασμάτων ὑπὸ θεοῦ εἰς μετάληψιν εἴργεται κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκέν μοι ὁ Κύριος ἐν ὑμῖν. εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν ὁ λόγος. ὑμεῖς δέ, ἀδελφοί μου, ὡς υἱοὶ ὑπακοῆς εὖ πράξατε, ἵνα καὶ θεὸν θεραπεύσητε κἀμὲ τὸν ἐλεεινὸν τοῦ θανάτου τῆς ἁμαρτίας ἐξέλησθε ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα σὺν πατρὶ καὶ Ἁγίῳ Πνεύματι. ἀμήν.

18 Luc. 14,18 **23** Marc. 6,7 **26** 4 Reg. 5,27 **34** Hebr. 3,1 **40** 2 Cor. 10,8

18 γ' οὖν C ὦ C **25** οὐαὶ τῷ ἀκαθίστῳ – γυναιάζοντι om M **27** μὴ ante φωναὶ add V Sirm **30** οὐδὲ C: οὐδ' ὁ cett Sirm **31** ὑμᾶς S ἀλλήλοις C^{pc}: ἄλλοις C^{ac} cett Sirm δυεῖν C **33** ἀσυνδρομίας: ἀσυγγνωμίας M (quod esset hapax legomenon) **37** τοῦ C^{sscr}: om M **38** ὁρισμένην C **39** εἴργεται C **40** ἔδωκε VMPS Sirm **44** σὺν – Πνεύματι om M

451. Ἰωάννῃ Σάρδης

Ἀπὸ χρόνου ἠκούσαμεν νοσηλεύεσθαί σου τὴν πατρικὴν ἁγιωσύνην, ἄρτι δὲ μικροῦ δεῖν καὶ ἀπογνωσθεῖσαν, καὶ τοσοῦτον ἐθροήθημεν οἱ ταπεινοὶ καὶ συνεκινήθημεν λυπηρῶς, ὡς ὁρμῆσαι καταλαβεῖν ἡμᾶς ἐν τοῖς αὐτόθι καὶ ὄψει ὑπολαβεῖν τὴν ἀπευκτὴν ἀκοήν· οὐκ ἐξεγένετο δὲ διὰ τὰ παριστάμενα τοῦτο. διὸ ἠναγκάσθημεν οἱονεὶ πετασθῆναι τοῖς γράμμασιν ὡς ἐν σώματι καὶ ἰδεῖν σε, τὸν καλὸν πατέρα, τὸν γνήσιον φίλον, τὸν γενναῖον μάρτυρα τῆς ἀληθείας· εἴπερ ὑπὲρ αὐτῆς σὺ καὶ ἐξόριστος καὶ φρουροδέσμιος, καί γε πρὸ τούτων θέατρον γενάμενος, ἀποστολικῶς εἰπεῖν, καὶ ἀγγέλοις καὶ ἀνθρώποις, καθ' ἣν ἡμέραν ἔρριπταί σου ὑπὸ τῶν ἀσεβῶν κατὰ πρόσωπον τοῦ καϊαφαϊκοῦ συνεδρίου εἰς τοὔδαφος ἡ ἱερὰ κορυφή. ὤ, τί γίνεται ἐν ἡμῖν; τί ἀπαίρειν τῶν τῇδε σπεύδεις ὁ στῦλος τῆς ἐκκλησίας; μεῖνον μεθ' ἡμῶν ἔτι, μεῖνον, συγκακοπάθησον τῷ / εὐαγγελίῳ ὡς καλὸς στρατιώτης. ὁρᾷς ὅπως ἔνεστιν ὁ πόλεμος, ὅπως βαλλοίμεθα καὶ βάλλομεν ὑπὲρ τοῦ λόγου;

Ναί, ἀντιβολοῦμεν, ἐπίμεινον· αἴτησαι ὃν ὡμολόγησας Χριστὸν καὶ ὁμολογεῖς προσκυνεῖν ἀνθρωποπρεπῶς ἐγγραφόμενον καὶ εἰσακούσει τῆς δεήσεώς σου. εἰ δὲ πάντως ἀπαίρεις, οὕτω τῆς προνοίας κελευούσης, αὐτὸς μὲν χωρήσεις, εὖ ἴσμεν, ὁμολογίας ἔπαθλον ἀπενεγκάμενος, ἡμῖν δὲ ἵλεω τὸν θεὸν τὸν ἀγαθὸν καταστήσοις ταῖς πρεσβείαις, οὐ μὴν ἀλλὰ καὶ εἰς τὸ ταχῦναι ἐπισκέψασθαι τὴν ἑαυτοῦ ἐκκλησίαν.

---

451. a. 821 – 826 2 ἁγιωσύνην: ad allocutionem cf. Dinneen, Titles 2 sq. 12 ἡ ἱερὰ κορυφή: cf. adn. ad ep. 414,4

10 1 Cor. 4,9 14 2 Tim. 2,3

C VM PS

5 ὑμᾶς M^{ac} (fort recte) 6 τοῦτο C: τούτῳ cett Sirm 10 καίγε Sirm γενόμενος VMPS Sirm 12 καϊαφατικοῦ M 13 ὦ C σπεύδει C^{ac} cett Sirm 14 στύλος omnes: correxi 16 βαλλόμεθα Mi 18 προσκυνεῖν S^{sscr} εἰσακούσῃ C: εἰσακούσεται V 21 καταστήσεις VMPS Sirm 22 ταχύναι CVPS Sirm

452. Νικήτα ἡγουμένῳ

Οὐκ ἄκαιρον, οἶμαι, τὸ παρὸν γραμματεῖον τῇ πατρικῇ σου ἁγιωσύνῃ, οὐ μόνον ὅτι τὸ τῆς ἀγάπης πληροῖ, ἀλλ' ὅτι καὶ λυπηρόν τι ἐνιζάνον ἡμῶν τῇ ταπεινῇ ψυχῇ φανεροποιεῖ· καί, εἰ κελεύεις, πρόσσχες τοῖς λεγομένοις. μεθ' ὑποστροφὴν τῆς ἐν τῷ Ἀκρίτᾳ συνοψίσεως ὑμῶν τῶν ἁγίων πατέρων συνέτυχον τῷ ἡμετέρῳ ἀδελφῷ Ἀθανασίῳ, διηγούμενος ἕκαστα τῶν ἐν Κυρίῳ διειλεγμένων, ἐπειπὼν ὅτι καὶ ὁ τοῦ Μηδικίου συνίστησι τὸν Μαξιμίνου ἐπὶ τῇ καλλίστῃ μεταβολῇ αὐτοῦ, ἤγουν ἀπολογίᾳ καὶ ὁμολογίᾳ. ὁ δὲ ἀνένευσεν, καὶ τὴν αἰτίαν τῆς ἀνανεύσεως ἐγὼ μὲν ἀπῄτουν, ἐκεῖνος δέ φησιν· ‚ἐν τῷ ἀπολογητικῷ, ὅπερ συνεγράψατο καὶ αὐτὸς ἀνέγνων, λέγει μεταλαβεῖν, ἀλλ' οὐχὶ κοινωνῆσαι, καὶ οἰκονομίαν εἶναι καθ' ὕφεσιν ἀκριβείας, ἀλλ' οὐκ ἔκπτωσιν ἀληθείας τοῦτο'. τί ταῦτα, ὦ πάτερ τιμιώτατε; οὐχ ὁμολογεῖ, ὡς ἐν τύπῳ εἰπεῖν, ὅτι ‚φειδοῖ τοῦ γήρους / ὤλεσά μου τὴν ψυχήν, κοινωνήσας ἐπὶ τῇ ἀρνήσει τῆς εἰκόνος Χριστοῦ, τῆς τε Θεοτόκου καὶ πάντων ἁγίων· τοῦτο γὰρ ἡ εἰκονομαχικὴ αἵρεσις, κἂν τούτῳ συνηλίσθην τοῖς ἀσεβέσιν, εἶτα καὶ ἕως τέλους ἐνέμεινα ἐν τῷ μοναστηρίῳ μου ἀδίωκτος, δονουμένης τῆς καθ' ἡμᾶς οἰκουμένης'; οὐχ οὕτως ἐξομολογεῖται καὶ προσκλαίει, ἀλλὰ τὰ βατταρίσματα ἐκεῖνα φαίη καί, ὥς φησιν ὁ ἐξηγούμενος, ὅτι γε καὶ παράγει εἰς συνηγορίαν αὐτοῦ Διάνιόν τινα τῶν πατέρων τὸ αὐτὸ πεποιηκότα, ὅν, φησίν, εἰσεδέξατο ὁ Ἅγιος Βασίλειος, ἐπεὶ καὶ τὸν πατέρα Γρηγορίου τοῦ Θεολόγου.

Ὢ δικαίας ἀγανακτήσεως τοῦ τε ἱεροῦ ἡμῶν ἀρχιερέως καὶ παντὸς τοῦ ὁμολογητικοῦ πληρώματος· εἰ γὰρ ἐκεῖνο οὐ κοινωνία οὐδὲ

---

452. inter a. 821 ac mens. Apr. a. 824 8 τὸν Μαξιμίνου: cf. ep. 162,17

21 Bas. ep. 51,1 sq. (PG 32,389 A sq. = I 132 sq. Courtonne)

C VM PS

1 δογματικὴ περὶ τοῦ ὅτι μετάληψις καὶ κοινωνία ταὐτόν, καὶ διὰ τοῦτο ὁ αἱρετικῶν ἄρτος παρά τινων μεταλαμβανόμενος κοινωνοὺς αὐτῶν τοὺς μετόχους ἐργάζεται titulo add PS: in marg Sirm 2 γραμμάτιον VMS 3 λυπηρόν: ταπεινόν VM 4 ἐνιζάνῶν V κελεύοις S πρόσχες omnes: correxi 5 τῆς – Ἀκρίτᾳ om VM συνόψεως VM Sirm 6 ἡμῶν Sirm 9 μετὰ βολῇ C ἀνένευσε VMPS Sirm 14 γήρως VMS 16 τῶν ante ἁγίων add VM 17 κἂν V Sirm 18 μου om VM 19 ὑμᾶς S[pc] οἰκουμένης: ἐκκλησίας VM Sirm 21 γε om VM 22 τὸ αὐτὸ: ταὐτὸ C[ac] VMPS Sirm 24 ὦ CS

ἔκπτωσις, τί τὸ ὄφελος τῶν ἐκείνοις ἀγώνων τε καὶ ἄθλων, αἱμάτων τε καὶ ταλαιπωρημάτων; τί δὲ καὶ αὐτὸς ἐπετιμήθη; τί δὲ καὶ ἀφίησι τὸ μοναστήριον; τί δὲ καὶ εἴργεται τῆς ἱερουργίας; ὤ, καὶ αὖθις λέγω, τῆς θείας ἀγανακτήσεως· ὅτι τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχων οἴεται καὶ τοὺς πατέρας ταὐτοπαθεῖν αὐτῷ. φέρε οὖν, ἴδωμεν τὸν ἀλόγιστον λόγον· ‚μετέλαβον, ἀλλ᾽ οὐκ ἐκοινώνησα'. λέγει τοιγαροῦν ὧδέ που τῶν θεολόγων ὁ διαβόητος· μετέλαβον τῆς εἰκόνος καὶ οὐκ ἐφύλαξα. μεταλαμβάνει τῆς ἐμῆς ἀσθενείας, ἵνα καὶ τὴν εἰκόνα σώσῃ καὶ τὴν σάρκα ἀθανατίσῃ· δευτέραν οὖν κοινωνίαν κοινωνεῖ, καὶ πολὺ τῆς προτέρας παραδοξοτέραν. ἰδού, τὸ ‚μετέλαβον' κοινωνεῖν ἐκπέφασται· μετάληψις γὰρ καὶ κοινωνία ταὐτόν, ἡ μὲν ἐκ τοῦ μετέχεσθαι, ἡ δὲ ἐκ τοῦ τοὺς μετέχοντας κοινοποιεῖσθαι ὀνομαζομένη. καὶ τοίνυν ὁ θεσπέσιος ἀπόστολος· τὸ ποτήριον τῆς εὐλογίας, ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστιν; τὸν ἄρτον, ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Κυρίου ἐστίν; ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.

Ἰδού, δέδειχε κἀνταῦθα τὸ φῶς τοῦ κόσμου ὅτι κοινωνία ἐστὶν ἡ μετοχή, οὐκ ἄν τις δὲ φρενῶν εἴσω ὢν οὐχὶ τὴν μετοχὴν μετάληψιν εἴποι. ὡς οὖν ὁ θεῖος ἄρτος ὑπὸ τῶν ὀρθοδόξων μετεχόμενος πάντας τοὺς μετόχους ἓν σῶμα ἀποτελεῖ, οὕτω δὴ καὶ ὁ αἱρετικὸς ἄρτος κοινωνοὺς τοὺς αὐτοῦ μετέχοντας ἀλλήλων ἀπεργαζόμενος ἓν σῶμα ἀντίθετον Χριστοῦ παρίστησι, καὶ ὁ κενολόγος μάτην κενολογεῖ. εἰ δὲ ὅτι ὁ νοῦς, ὁπότε μετελάμβανεν, οὐ συνδιετίθετο τῷ πραττομένῳ, τοῦτό ἐστι τὸ μᾶλλον ἀρνητικόν, ὅτι, καίπερ εἰδὼς ἐκτοπουργεῖν, ὅμως ἐν γνώσει ἡμάρτανεν, μὴ φοβηθεὶς τὸν ἀποκτένοντα θεὸν καὶ ψυχὴν καὶ σῶμα διὰ τῆς ἐν γεέννῃ ἐμβολῆς, ἀλλὰ τὸν προσκαίρως σῶμα τύπτοντα. τί συμφέρει τὰ ἀσύμβατα; τί οἴεται συνηγόρους τοὺς ἀντηγόρους αὐτοῦ ἁγίους; ἤδη καὶ μόνον κατάνευσις ἢ ἀνάνευσις ἐπί τε ὁμολογίας καὶ ἀρνήσεως ἔργου πλήρωσις αὐτοῖς δογματίζεται καὶ οὐδὲ ὑπόκρισιν εἰς μαρτύ/ριον προσήκαντο τοῦ μόνον ἅψασθαι

32 Greg. Naz. or. 38,13 (PG 36,325 C = p. 134 M.-G.) 38 1 Cor. 10,16 sq. 42 Joh. 9,5 50 Matth. 10,28

26 τὸ om VM τῶν post ἐκείνοις transp M 27 ἀπετιμήθη V: ἀπεμήθη (sic) Sirm 28 εἵργεται C ὢ C 31 τοιγὰρ οὖν C 33 ἀσθενείας: σαρκὸς S 34 ἀθανατήσῃ C: ἀπαθανατίσῃ VM κοινωνίαν post κοινωνεῖ transp SM καὶ om S 38 καὶ ante ὁ add VM 39 Χριστοῦ: Κυρίου Sirm ἐστι MPS: ἐστί V Sirm 42 verba ἰδού, δέδειχε κἀνταῦθα iterum scripta cancell S τὸ φῶς om VM τῷ κόσμῳ M 46 οὕτω ante αὐτοῦ add VM Sirm 47 Χριστῷ Sirm cave legas καινολ- ut legit Balettas p. 185 adn 3 ad Photii ep 5,3 49 ἀρνητικόν: ἀναιρετικὸν Sirm 50 ἡμάρτανε VMPS Sirm 53 ἀντιγόρους CPS κατάνευσιν C ἀνάνευσιν C

θύματος, οὐκ εἰδωλικοῦ, ἀλλ' οὐδὲ ἰδιοθύτου· καὶ τὰ παραδείγματα ἄπειρα.

Τί δὴ οὖν ἄλλο ἢ τοῦτο ἦν ἐν τῷ προλαβόντι διωγμῷ; ὁ ἱερὸς πατριάρχης κατηνέχθη, ἐξωστρακίσθη, περιωρίσθη ἐν παραβύστῳ τόπῳ· ἀντίθρονος χριστομάχος, σύνοδος ἀθετούντων, ἀναθεματισμὸς τῆς ἐν Νικαίᾳ ἁγίας συνόδου, ἀνάρρησις τῆς πάλαι ἀντιχριστούσης, ὑπερορίαι τῶν ἁγίων ἐπισκόπων τε καὶ ἡγουμένων, μοναζόντων καὶ μοναζουσῶν· αἵματα χεόμενα, θάνατοι ἄωροι, εἱρκταί, λιμαγχονήσεις, λεηλασίαι· τὸ φοβερώτερον καὶ δρώμενον καὶ ἀκουόμενον, ἡ σεπτὴ εἰκὼν τοῦ Χριστοῦ ἐνυβριζομένη, καταπατουμένη, τῆς Θεοτόκου, τῶν ἁπάντων ἁγίων, οἵ τε ναοὶ καὶ τὰ θυσιαστήρια ἐρειπούμενα, τὰ ἅγια βεβηλούμενα, πυρὶ παραδιδόμενα. τούτων οὕτως ἐχόντων, οὐ πᾶς ὁ κοινωνήσας, ἤγουν μεταλαβών, τοῦ ἰοβόλου ἄρτου ἀρνησίχριστος, ἔκθετος, ἀνόσιος, εἰ μή τι διὰ μετανοίας ἀνακληθῇ; οὕτως ἔχει ἡ ἀλήθεια καὶ ταύτῃ ἀπεκτάνθησαν οἱ μάρτυρες καὶ ὕποισαν ἅπαντα οἱ ἀντεχόμενοι. καὶ εἴ τις τῷ κανόνι τούτῳ στοιχεῖ, φησὶν ὁ ἀπόστολος, εἰρήνη ἐπ' αὐτὸν καὶ ἔλεος καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ· τὸ γὰρ τοῦ Διανίου καὶ τοῦ πατρὸς τοῦ Θεολόγου, εἴ τι καὶ τοιοῦτον ἕτερον, τεχνικοῦ γράμματος ὑπὸ αἱρετικῶν σκαιωρηθέντος κλοπὴ ἦν, ἁπλότητι κατασοφισθέντων καὶ οὐκ ἐκ φόβου τινὸς (ἄπαγε) ὑπογραψάντων τῶν ἁγίων ἐκείνων. διόπερ εὐθὺς αὐτοῖς ἅμα τοῦ γνῶναι τὸν δόλον ἡ ἀνάκλησις καὶ ἡ εὔθαρσος ἀπολογία.

Ταῦτα, πάτερ ἅγιε, εἴ σοι θεμιτόν, ἐκφερομύθησον τῷ ἀνδρί, ἵνα εἰδὼς τὴν ἀλήθειαν ἀπορρίψοι τὴν ἄδικον συγγραφὴν ἐκείνην καὶ μετὰ εὐσεβούντων τάττοιτο, ἐπὰν καὶ γέρων καὶ ἐπιτιμηθεὶς καὶ διά τοι τοῦτο ἐάσας τὴν περιβόητον μονήν· εἰ δὲ μή, ἀλλ' ἡμῖν γε εὖξαι μηδεμίαν κοινωνίαν ἔχειν ἐν τῷδε τῷ μέρει μετὰ τοῦ ἀνδρός, εἴπερ καὶ οὐ μεταμελοῖτο.

---

59 πατριάρχης: Nicephorus 60 ἀντίθρονος: Theodotus Cassiteras σύνοδος: vere a. 815 convocata 61 τῆς πάλαι: synodus a. 754 Hierea convocata

---

60 Jer. 9,1 71 Gal. 6,16

---

56 τὰ om VM 58 ἦν ἐν: ἐνῆν Sirm 59 περιορίσθη C 63 εἰρκταί S 69 μή τι: μήτε Sirm 71 ὑποῖσαν Mi 73 τοῦ^{2} S^{sscr} 75 ἁπλότητος V Sirm 76 αὐτοῖς om VM αὐτοῖς ante εὐθὺς transp Sirm 77 τοῦ: τῷ V ἀνάκτησις VMPS Sirm 80 εὐσεβούντων C: εὐσεβῶν cett Sirm ἐπὰν VMP: ἐπ' ἂν Sirm καὶ διά – 81 μονήν in marg S 82 εὖξαι CVPS 83 μεταμέλοιτο VMPS Sirm

453. Ἠλίᾳ τέκνῳ

Τίς ὁ ἀναγκάσας με ἐπιστεῖλαί σοι, ἄνθρωπε; θεὸς δῆλον ὅτι, ὁ καταστήσας με ἐπὶ σὲ ποιμένα καὶ νομοθέτην, ᾧ δώσω ὡς ὑπὲρ πάντων τῶν ἀδελφῶν σου καὶ περὶ σοῦ λόγον. ἀπετάξω δὴ οὖν αὐθαιρέτως, ὑπετάγης εὐηκόως, εἶτα ἐσινίασέ σε ὁ σατανᾶς, ἀπορρήξας τῆς θείας συναφείας· αὖθις ἐλέει θεοῦ συνήφθης καὶ πάλιν ἐνεργείᾳ δαίμονος ἀπεπήδησας. ἔπειτα πάλιν ἐλθὼν ἐξωμολογήσω, ὑποσχόμενος τὴν πρὸς τὸ ἑξῆς ἀσφάλειαν, καί, ἐπειδὴ ὑποστροφὴ τῆς ἐξορίας ἐπὶ τοῦ Νικηφόρου, οὐ συνῆλθες τοῖς λοιποῖς, ἀλλ' ἔμεινας ἐφ' ἑαυτοῦ, δελεαζόμενος ὑπὸ τοῦ ὄφεως, καὶ τοῦτο ἕως τοῦ νῦν βασιλεύοντος τετάρτου μετὰ Νικηφόρον. ἕως πότε, ἐλεεινέ, ἐγκυλίῃ τοῖς τῆς ἁμαρτίας τέλμασιν; ἕως τίνος οὐκ ἀνήσεις ἀσχημονεῖν ἐνώπιον θεοῦ καὶ ἀνθρώπων; οὐκ ἔνι θάνατος; οὐκ ἔνι κριτήριον; οὐ δώσεις τίσιν αἰώνιον, ἧς καὶ μόνον ἐνθύμησις καταστέλλει ψυχὴν καὶ ἐπιστρέφει πρὸς μετάνοιαν;

Ἀνάνηψον, ἄνθρωπε, ἀνακλήθητι, παρακαλῶ· ἄφες οἰκοδομεῖν οἰκίας κοσμικῶς, ὁ τὸν οἶκόν σου τῆς ψυχῆς καταλελυκώς· ἔα τεκτονεῖν ὡς λαϊκός, ὁ τεκταινόμενος ὑπὸ τοῦ σατανᾶ. μὴ προφασίσῃ τοῦτο κἀκεῖνο, οὐδείς σε ἐξελεῖται ἐκ χειρὸς Κυρίου. μὴ εἴπῃς ἡμαρτηκὼς ‚οὐκ οἴσω τὰς ἐπιτιμήσεις'. οἴσεις, τέκνον μου· καλῶ γάρ σε οὕτως ἐλπίδι τῆς ὑποστροφῆς ἐγὼ ὁ ταπεινός· εἰ πατήρ, πεφεισμένως ἰατρεύσω, συμπαθητικῶς, φιλοστόργως. μόνον θέλησον, μόνον κινήθητι, διάρρηξον τὰ κατέχοντά σε δεσμὰ τοῦ θανάτου· ἐγγύθεν θεοῦ βοήθεια καὶ ὁ φύλαξ σου τῆς ζωῆς ἄγγελος προπορεύσεται· χαρὰ ἐν οὐρανῷ γενήσεται, θρηνήσει διάβολος, σκιρτήσω ἐγὼ ὁ τάλας, εὑρηκὼς τὸ ἀπολωλός μου πρόβατον, καί γε ἡ ἀδελφότης σου. εἰ δὲ μή, ἔσῃ θήραμα τῷ διαβόλῳ, τοῦ οὐαὶ κληρονόμος· οὗ ῥυσθείης ὑπακούσας καὶ σὺν τῷ ἀδελφῷ σου Σίλᾳ ἐλευσόμενος.

---

453. a. 821 – 826 11 τετάρτου: Michael II

5 Luc. 22,31 24 Luc. 15,7 26 Luc. 15,6 27 τοῦ οὐαὶ κληρονόμος: cf. adn. ad ep. 530,48

VM PS

1 παραινετικὴ πρός τινα ἐκπεσόντα titulo add VMPS: in marg Sirm 2 δηλονότι omnes: distinxi 3 ἐπί σε Sirm 5 ἐσυνίασέ S 9 ἐπὶ: ὑπὸ M συνεισῆλθες M (sed cf infra 28) 11 ἐγκυλίῃ ante ἀλεεινέ transp S 14 τὴν ante ψυχὴν inser M 17 κοσμικῷ P^{pc}M: κοσμικῶν S 25 ὁ ante διάβολος add V Sirm

454. Τῇ ὁμόζυγι Δημόχαρι

Ἀφ' ἧς ἡμέρας ἀνηγγέλη ἡμῖν ὁ θάνατος τοῦ μακαρίου στρατηγοῦ μέχρι τοῦ δεῦρο, πολλὰ δοκιμάσαντες, οὐκ εὐωδώθημεν ἐπιστεῖλαι τῇ τιμιότητί σου· καὶ νῦν δὲ ἐπιστέλλοντες οὐδέν σε ὠφελεῖν οὐδὲ ἐλαφροποιεῖν τοῦ βάρους τῆς ἐνωδύνου καρδίας / δυνάμεθα (τίς γὰρ καὶ ἐξευρεθείη λόγος ἄλγος τοσοῦτον θεραπεύειν;), ἀλλ' ἵνα καταδήλους ἑαυτοὺς ποιήσωμεν ὡς μετέσχομεν καὶ αὐτοὶ λύπης οὐ μόνον ἐπὶ τῷ ἐνδημήσαντι πρὸς Κύριον, ὅτι ἀνὴρ ἀγαθὸς καὶ εὐσεβής, πρόμαχος ὀρθοδοξίας καὶ ἀγωνιστὴς εἰρήνης ἀπολέλοιπεν ἡμᾶς (ὢ τῆς συμφορᾶς), ἀλλὰ καὶ ἐπὶ σοὶ τῇ καταλειφθείσῃ ἐρήμῳ τῆς ὁμοζυγικῆς ἐπικουρίας, ἄλλως τε καὶ φιλανδρούσῃ λίαν.

Οὕτως οὖν ἀπαραμύθητον τὸ πάθος ἀπέδειξεν ὁ λόγος. ἀλλ' ἐπεὶ οὐκ εἶ ἀδίδακτος τοῦ θείου διατάγματος ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ πάλιν, ἵνα μὴ ἐπὶ τοῖς κεκοιμημένοις λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα, ὡς ἀχθησομένοις σὺν τῷ Ἰησοῦ ὑπὸ θεοῦ ἐν τῇ ἀναστάσει, παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν κενῶσαί σε τὸ πολὺ τῆς λύπης, λαβεῖν παραμύθιον μικρόν, εἰς ἑαυτὴν γενέσθαι, ἱλαρῦναι τὴν ψυχήν, ἐπειδὴ καὶ τέκνα ἔχεις καὶ οἰκία σοι πάρεστιν μεγαλοφυὴς καί, εἰ μὴ ὁ νοῦς ἀνενέγκοι τῆς κατακρατήσεως τοῦ πάθους, διοικεῖν καὶ διέπειν ὀρθῶς οὐκ ἄν ποτε δυνηθείη. ἐπὶ πᾶσι δὲ κἀκείνῳ τῷ μακαρίῳ λυσιτελήσει τὸ λεγόμενον· οὗ τί ἂν γένοιτο περισπουδαστότερον;

Τί οὖν λοιπόν, ὦ κυρία; δὸς δόξαν τῷ ἀγαθῷ θεῷ, φθέγξαι τὰ τοῦ Ἰώβ, ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. εἴη ἐντεῦθεν ὡς ἀληθῶς μέγιστον κλέος καὶ

---

454. a. 821 – 826 2 στρατηγοῦ: Democharis; cf. ep. 426,1; p. 403* adn. 788 23 κυρία: ad allocutionem cf. Dinneen l. l. 78

---

8 2 Cor. 5,8 13 Gen. 3,19 14 1 Thess. 4,13 sq. 24 Jb 1,21

C VM PS L

---

1 δημόχαρη C παραμυθητικὴ in marg M manu rec ἐκ τῶν ἐπιστολῶν τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου παραμυθητικὴ τῇ ὁμόζυγι δημόχαρι L 2 ἀφ' – ἡμέρας om L 3 καὶ ante μέχρι add L 5 ἐπωδύνου L 8 ἐκδημήσαντι V[pc]ML 9 ὦ C 12 ἀπαραμύ///θητον M ἐπέδειξεν M 13 διδάγματος L 14 λυπεῖσθε C 16 τοῦ ante θεοῦ add M 18 ἱλαρύναι codd Sirm: corr Mi 19 πάρεστι VMPS Sirm 21 δὲ om M 24 ἀφείλετο VMPS Sirm

φανείης οἵου πεπαιδευμένου ἀνδρὸς ὁμόζυγος ἐγένου· καὶ γὰρ ἐκεῖνος καὶ γνωστικὸς καὶ σοφὸς καὶ παιδευτὴς τῶν ἀμυήτων. ὡς οὖν ἐκεῖνος ἀνδράσιν ὑπόδειγμα καλόν, ἔσο καὶ αὐτὴ γυναιξίν, ἐκκλίνουσα τὸ φιλοπενθὲς καὶ δεικνύουσα ὅτι σοι προστάτης ὁ θεός, ὅς καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναί σε παρήγαγεν καὶ εἰς ἀκμὴν ἡλικίας ἤγαγε καὶ τηλικούτῳ ἀνδρὶ συνέζευξεν, καὶ αὖθις διαζεύξας ἑνώσειεν διὰ τῆς ἀναστάσεως. ὥστε νόμισον ἀποδημίαν εἶναι τὸ πρᾶγμα· οὐκ ἆρα ἤνεγκες τὴν στέρησιν, εἰ βασιλεὺς ἐπίγειος ἐπέτρεψεν; οἶσον, δέσποινά μου, καὶ τήνδε, ἣν ὁ μόνος ἀληθινὸς καὶ πάντων βασιλεὺς ἐκέλευσεν. ναί, παρακαλοῦμεν, καί γε πιστεύομεν ἀπολήψεσθαί σε αὐτὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, φυλάττουσαν τὴν χηρείαν ἐν Κυρίῳ καὶ τεκνοτροφοῦσαν ἄριστα τὰ καλὰ βλαστήματα· ἅπερ καὶ προσαγορεύομεν καὶ ὁμοιοτρόπως σοι παραινοῦμεν φέρειν τὴν πατρικὴν στέρησιν καὶ μητρικῇ διαπλάττεσθαι ῥυθμίσει πρὸς πᾶσαν εὐθύτητα.

455. Θεοφίλῳ τῆς Ἐφέσου

Ἔλαβον ἐπὶ χεῖρας τὸ γραμματεῖον, ὅπερ ἀπέστειλεν ἡ ἱερά σου κορυφὴ Ἀθανασίῳ τῷ ἡμετέρῳ ἀδελφῷ, καὶ ἀναγνοὺς ἐλυπήθην, ἱερώτατέ μου πάτερ, λύπην ἱκανήν, πρῶτον μὲν ὅτι ἐν ἡμῖν αὐτοῖς, τοῖς ὀρθοτομοῦσι τὸν λόγον τῆς ἀληθείας κατὰ τὴν νῦν λυττῶσαν αἵρεσιν τῶν εἰκονομάχων, ἐρεσχελίαι γίγνονται καὶ σχίσματα ἐπιφύονται, ἔπειτα ὅτι ἀναγκάζομαι ὁ ἐλάχιστος ἀντιθετικῶς τὴν διά-

29 Bas. ep. 8,2 (PG 32,249 B = I 25 Courtonne)

27 καὶ γνωστικὸς S[sscr] γὰρ ante οὖν add VMPS Sirm 30 καὶ[1] om M παρήγαγε VMPSL Sirm καὶ – 31 ἤγαγε om L συνέζευξε VMPSL Sirm ἑνώσειε VMPSL Sirm 35 ἐκέλευσε VMPS Sirm σε om L 37 καὶ om L 39 ῥυθμήσει CS

455. a. 821 – 826 2 ἡ ἱερά σου κορυφή: cf. adn. ad ep. 414,4

5 2 Tim. 2,15

C VM PS

1 δογματικὴ περὶ τοῦ ὅτι διδάσκεσθαι, οὐκ ἀναιρεῖσθαι χρὴ τοὺς αἱρετικούς titulo add PS: in marg Sirm 2 γραμμάτιον VMS ἐπέστειλεν Mi 4 ἱερώτατέ: τιμιώτατε Sirm ὑμῖν MS[ac] 6 γίνονται VM Sirm

λεξιν ποιήσασθαι. ἀλλὰ συγγινωσκέτω ἡ μεγαλειότης σου· περὶ γὰρ ἀληθείας ὁ λόγος, ἧς οὐδὲν προτιμότερον οὐδὲ αἰδεστικώτερον.

Τί δὲ τὸ ἐμφερόμενον ἐν τοῖς γράμμασι, περὶ οὗ ἡ λύπη; ἡμεῖς, φησίν, οὔτε κτένεσθαι τοὺς Μανιχαίους οὔτε μὴ κτένεσθαι συνεβουλεύσαμεν· εἰ δὲ καὶ ἐπετρέψαμεν, τῶν καλλίστων τὸ μέγιστον εἴχομεν / ἂν ποιῆσαι. τί φῄς, ὦ θεοτίμητε; ὁ Κύριος ἀπηγόρευσεν ἐν τοῖς εὐαγγελίοις τοῦτο, εἰπών· οὔ, μήποτε συλλέγοντες τὰ ζιζάνια ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον· ἄφετε συναυξάνεσθε μέχρι τοῦ θερισμοῦ. καὶ αὐτὸς τῶν καλλίστων τὸ μέγιστον φαίης εἶναι τὴν ἐπιτροπὴν τῆς ἐκριζώσεως; καὶ ὅτι τὰ ζιζάνια τοὺς αἱρετικοὺς εἴρηκεν, τούς τε τηνικαῦτα δῆλον ὅτι καὶ τοὺς ἐφ' ὑστέρῳ, ἤγουν ἅπαντας, ἀκουσώμεθα τοῦ Χρυσοστόμου, αὐτὸ τοῦτο ἑρμηνεύοντος· ἐφ' ᾧ τάδε· τί οὖν ὁ δεσπότης κωλύει λέγων, μήποτε ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον; τοῦτο δὲ ἔλεγεν κωλύων πολέμους γίνεσθαι καὶ αἵματα καὶ σφαγάς· οὐ γὰρ δεῖ ἀναιρεῖν αἱρετικούς, ἐπεὶ ὁ πόλεμος ἄσπονδος ἔμελλεν εἰς τὴν οἰκουμένην εἰσάγεσθαι. καὶ μεθ' ἕτερα· τί δὲ ἄλλο διὰ τοῦ μὴ ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον ἢ τοῦτό φησιν, ὅτι ‚εἰ μέλλοιτε κινεῖν ὅπλα καὶ κατασφάττειν αἱρετικούς, ἀνάγκη πολλοὺς καὶ τῶν ἁγίων συγκαταβάλλεσθαι'. ὅπερ καὶ γέγονεν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις· καὶ γὰρ καὶ αἵματα καὶ σφαγαὶ ἐπλήρωσαν τὴν καθ' ἡμᾶς οἰκουμένην καὶ πολλοὶ τῶν ἁγίων συναπῆλθον· καὶ ὁ λόγος τοῦ Κυρίου οὐ διέπεσεν, ὡς ὡμολόγηται παρὰ πολλοῖς. καὶ τί λέγομεν περὶ τοῦ μὴ ἐπιτρέπειν κτένεσθαι αἱρετικούς; οὐδέ γε κατεύχεσθαι αὐτῶν συγκεχώρηται ἡμῖν. ἀκουσώμεθα γὰρ αὖθις τοῦ Κυρίου πρὸς Κάρπον τὸν ἅγιον, ὡς ὑποδεδήλωται διὰ φωνῆς Διονυσίου τοῦ πανσόφου, λέγοντος· παῖε κατ' ἐμοῦ λοιπόν· ἕτοιμος γάρ εἰμι καὶ αὖθις ὑπὲρ ἀνθρώπων ἀνασῳζομένων παθεῖν, καὶ προσφιλές μοι τοῦτο, μὴ ἄλλων ἁμαρτανόντων ἀνθρώπων. πλὴν ὅρα εἰ καλῶς ἔχει σοι τὴν ἐν τῷ χάσματι μετὰ τῶν ὄφεων μονὴν ἀνταλλάξασθαι τῆς μετὰ θεοῦ καὶ τῶν ἀγαθῶν καὶ φιλανθρώπων ἀγγέλων.

---

8 μεγαλειότης: cf. adn. ad ep. 440,16

14 Matth. 13,29 sq. 20 Jo. Chrys. hom. in Matth. 46,1 (PG 58,477) 23 ibid. 2 33 Dion. Ar. ep. 8,6 (PG 3,1100 C sq.)

9 αἰδεστικώτερον: αἰδεσιμώτερον Sirm 13 φὴς VMPS Sirm 14 οὐ VM (sed cf Matth l. l.) 17 εἴρηκε VMPS Sirm 18 δηλονότι VMPS Sirm ἐφ' ὑστέρῳ C: ἐφ' ἑτέρῳ PS: ὑφ' ἑτέρων VM Sirm 19 ἀκουσόμεθα CV 21 ἔλεγε VMPS Sirm πολέμους om VM 27 καὶ[2] om Mi 28 σὺν ἀπῆλθον C 30 κταίνεσθαι C 31 ἀκουσόμεθα CV 32 ὑπὸ δεδήλωται C 34 καὶ om VM Sirm 36 ἀντ' ἀλλάξασθαι C

Ὁρᾷς, θεοσύνετε, τὴν θείαν ἀγανάκτησιν, ἐπειδὴ κατηύχετο τῶν αἱρετικῶν ἀπαλλαγῆναι τῆς ζωῆς, καὶ ὅπως, εἰ ἐπιμένων τῇ διαθέσει ταύτῃ ἦν, ἔμελλεν ὁ ἅγιος καταδικάζεσθαι; οὔτε οὖν, ὡς δέδειχεν ἡ ἀλήθεια, κατεύχεσθαι δεῖ ὅλως, μᾶλλον μὲν οὖν ὑπερεύχεσθαι, ὡς αὐτὸς ὁ Κύριος ὑπέδειξεν ἐν τῷ τοῦ πάθους καιρῷ, λέγων πρὸς τὸν ἑαυτοῦ πατέρα· πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. τὸ δὲ φαίειν σου τὴν ἁγιωσύνην ἔχειν αὐτῇ συμφωνοῦντας ἐν τῷ προβλήματι τούσδε τοὺς ἁγίους, σύγγνωθι, πάτερ, οὐ καλῶς ἐκλαμβάνομεν τὰς τῶν ἁγίων φωνὰς κἀντεῦθεν εὑρισκόμεθα πατρομαχίαν, μᾶλλον δὲ θεομαχίαν εἰσφέροντες. ὁ γάρ τοι θεῖος Κύριλλος ἐν τοῖς κατὰ Ἰουλιανὸν κατὰ τὸ πάλαι νενομοθετημένον προύτεινε τὴν ῥῆσιν, οὐκ ἐφάμιλλον τῇ νέᾳ τὴν παλαιὰν συμβάλλων (μὴ γένοιτο)· οὐ γὰρ ἠγνόει ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, οὐδὲ τὴν τοῦ σωτῆρος σύγκρισιν, ἐν ᾗ φησιν· ἐρρήθη τοῖς ἀρχαίοις τόδε, ἐγὼ δὲ λέγω ὑμῖν τόδε. ὥστε, καθά φησιν ὁ θεοφάντωρ Διονύσιος πρός τινα Δημόφιλον, οὐκ ἀποδεξόμεθά σου τὰς ἀζηλώτους ὁρμάς, οὐδ' εἰ μυριάκις ἐπαναλάβοις τὸν Φινεὲς καὶ τὸν Ἠλίαν· ταῦτα γὰρ ἀκούοντα τὸν Ἰησοῦν / οὐκ ἤρεσκον οἱ τοῦ πραέος τότε καὶ ἀγαθοῦ πνεύματος ἀμέτοχοι μαθηταί. καὶ γὰρ καὶ ὁ θειότατος ἡμῶν ἱεροθέτης ἐν πραότητι διδάσκειν τοὺς ἀντιδιατιθεμένους τῇ διδασκαλίᾳ τοῦ θεοῦ· διδάσκεσθαι γὰρ οὐ τιμωρεῖσθαι χρὴ τοὺς ἀγνοοῦντας. ἐνωτίσμεθα οὖν, ὦ μάκαρ, ἃ λέλεχεν καὶ ὁ ἱερὸς Παῦλος, ὁ ἥλιος τῆς ὑπ' οὐρανόν. λέγει τοίνυν καὶ ὁ θεοφόρος Ἰγνάτιος· τοὺς μισοῦντας οὖν τὸν θεὸν μισεῖν χρὴ καὶ ἐπὶ τοῖς ἐχθροῖς αὐτοῦ ἐκτετηκέναι, οὐ μὴν δὲ διώκειν ἡμᾶς αὐτοὺς ἢ τύπτειν, καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν θεόν· εἰ δὲ οὐ τύπτειν δεῖ, σχολῇ γ' ἂν αὐτοὺς κτένειν. ἐπειδὴ δὲ καὶ τὸν ἅγιον Συμεὼν τὸν τοῦ θαυμαστοῦ ὄρους εἴληφας, δέσποτα, συνᾴδειν σοι, μὴ τοῦτο οἴου, ἱερέ, ὡς μάχεται Χριστῷ ἢ τοῖς ὑπὲρ αὐτὸν διδασκάλοις, ἀλλὰ τί; ἐπὶ ἔθνει

---

43 Luc. 23,34 51 Matth. 5,21 sq. 53 Dion. Ar. ep. 8,5 (PG 3,1096 C) 58 Hebr. 5,2 60 Ign. ep. ad Philad. 3 (PG 5,821 B) 64 cf. Sym. Thaum. ep. ad Just. jun. (PG 86,3216 C sq. = XIII 160 D sq. Mansi)

---

40 ταύτῃ om VM ἦν ante τῇ (39) transp M δέδειχεν: ἔδειχεν VMP 42 ὑπέδειξεν om VM 44 ποιοῦσι VMPS Sirm φαίειν S: φᾶναι M: φάναι Mi: φαίην cett Sirm αὐτοὺς PS Sirm 45 προβλήματι: προδηλώματι PS 47 ἢ ante μᾶλλον add VM δὲ om VM 48 τοῖς: τῷ V 50 τῷ om PS 51 ἐρρέθη S 54 οὐδ' εἰ: κἂν εἰ M: κἄν εἰ V Sirm ἠλίαν CPS 55 πραέως C τότε: τούτου VM Sirm 57 ἱεροθύτης V^{pc} διδάσκει Mi 59 ἠνωτισάμεθα S: ἠνωτίσμεθα VMP Sirm λέλεχε VMPS Sirm 62 καὶ om VMPS Sirm 63 δεῖ om VM σχολὴ CV γὰν C: γοῦν VM Sirm 64 κταίνειν C

τραυματίζοντι τὸ χριστιανικὸν φῦλον ὁ λόγος αὐτῷ τῆς πρὸς τὸν τηνικαῦτα βασιλέα παρακλήσεως, ὡς ἂν μὴ πορθοῦνται ὑπὸ Σαμαρειτῶν οἱ χριστιανοί. καὶ εὖ γε ἔχει, καὶ νῦν τὸ αὐτὸ τοῦτο παρακαλοῦμεν, καὶ Σκύθας καὶ Ἄραβας θανατοῦντας τὸν λαὸν τοῦ θεοῦ πολεμεῖν καὶ μὴ φείδεσθαι τοὺς βασιλέας. ἄλλο τοῦτο κἀκεῖνο ἕτερον, τὸ μὲν ἐπὶ τοὺς πολεμίους, τὸ δὲ ἐπὶ τοὺς ὑπὸ χεῖρα αἱρετικούς· τὸ γάρ τοι περὶ τοῦ Νηστευτοῦ Ἰωάννου, τοῦ τῆς Κωνσταντινουπόλεως προέδρου, οὔ μοι φαίνεται ἀληθές, ἐπιτρέψαι ἀνασκολοπισθῆναι τοὺς γόητας, ἀλλὰ παρακεχωρηκέναι· φονεῖς γὰρ καὐτοί, ἐφ' οὓς οὐ κωλυτέον τοῖς κρατοῦσι τὰ τῶν Ῥωμαϊκῶν νόμων δρᾶν· οὐ γὰρ εἰκῇ, φησί, τὴν μάχαιραν φοροῦσιν, ἔκδικοί εἰσι τῷ τὸ κακὸν πράσσοντι. οὐ μὴν ἐφ' οὓς ὁ Κύριος ἐκώλυσεν ἐπιτρέπειν χρή· σωμάτων γὰρ ἄρχοντες τοὺς ἐν τοῖς σωματικοῖς ἁλόντας ἐξὸν αὐτοῖς κολάζειν, οὐχὶ τοὺς ἐν τοῖς κατὰ ψυχήν· τῶν γὰρ ψυχῶν ἀρχόντων τοῦτο, ὧν τὰ κολαστήρια ἀφορισμοὶ καὶ αἱ λοιπαὶ ἐπιτιμίαι.

Οὕτως οὖν, ὦ δέσποτα, ἡμεῖς οἱ εὐτελεῖς φρονοῦμεν· καί γε, ἵνα ἐν ἀφροσύνῃ εἴποιμι, καὶ παρρησίᾳ λελαλήκαμεν τῷ μὲν μακαριωτάτῳ ἡμῶν πατριάρχῃ ὅτι ‚μαχαίρᾳ ἡ ἐκκλησία οὐκ ἐκδικεῖ' (καὶ κατένευσεν), τοῖς δὲ τὴν σφαγὴν δράσασι βασιλεῦσι, τῷ μὲν πρώτῳ ὅτι ‚οὐκ ἠρέσθη θεὸς ἐπὶ τῇ τοιαύτῃ ἀναιρέσει', τῷ δὲ δευτέρῳ, ἀπαιτοῦντι τὴν συνηγορίαν τῆς ἀναιρέσεως, ὅτι ‚πρότερον ἡ κεφαλή μου αἴρεται ἤπερ συνθέσθαι με τούτῳ'. ταῦτα δὴ παρ' ἡμῶν τῶν ἁμαρτωλῶν· ὑμεῖς δέ, ἁγιώτατοι, εἰ ἕτερον εὐαγγέλιον ἀνέγνωτε, ὅπερ ἡμεῖς οὐκ ἴσμεν, εὖ ἂν ἔχοι· εἰ δὲ μή, σκοπήσατε τί ὁ ἀπόστολος ἀποφαίνηται.

---

83 μακαριωτάτῳ: cf. Dinneen l. l. 83 sq.   84 πατριάρχῃ: Nicephorus

76 Rom. 13,4   89 Gal. 1,6   90 Gal. 1,8

67 Χριστιανὸν Mi   φύλον CVMP   68 πορθοῖντο VMPS Sirm   69 εὖγε Sirm   τὸ αὐτὸ C: ταυτὸ cett Sirm   70 Ἄρραβας PS Sirm   73 περὶ: παρὰ M   75 κ' αυτοὶ C   79 ἐξὼν C   80 τοὺς: τοῖς P τοῖς: τῇ PS   83 εἴποιμεν VM Sirm   85 κατένευσε VMPS Sirm   τοῖς δὲ: τοῖσδε CS   87 πρότερον: πρῶτον VM   88 εἴπερ C   τούτῳ: τούτοις V: τοῦτο CP^{ac} 90 ἔχῃ V   εἰδεμὴ C   91 ἀποφαίνοιται C: ἀποφαίνοιτο cett Sirm: correxi

456. Τοῖς μονάζουσι Μυέλης

Ἡ μὲν κοίμησις τοῦ ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ Διονυσίου τῇ ὡρισμένῃ βουλῇ τοῦ θεοῦ πρὸ καταβολῆς κόσμου ἤδη ὅρον ἔλαβεν· ὑμῖν δέ, ἀδελφοί, εὖ ποιήσαι Κύριος, ὅτι ὑπεδέξασθε αὐτὸν ἀσθενήσαντα κατὰ πάροδον ἐν τῇ διαφερούσῃ ὑμῖν μονῇ, καὶ τοῦτο μέχρις ἂν ἀπέθετο τὸ σκῆνος ἐν γῇ καὶ ἀπέπτη εἰς οὐρανόν. ὅτι δὲ ἄξιος τῆς ἐκεῖσε πορείας ὁ ἀδελφὸς μαρτύρια πολλά· πρῶτον μὲν ἡ μέχρι γή-/ρους ἀπὸ νεότητος δόκιμος αὐτοῦ ὑποταγή· ἔπειτα δὶς ἐφυλακίσθη, ἅπαξ ἀπῆρεν ἐν τῇ Δύσει ὑπὲρ τῆς καθ' ἡμᾶς ἐκκλησίας ἀπόστολος, ὅνπερ εὐλόγησεν ἀποστολικὸν στόμα καὶ ᾔνεσε Ῥωμαίων ἐκκλησία· ὃς καὶ μεμαρτύρηται ὑπὸ πολλῆς ἀδελφότητος αὐτοῦ ἀνὴρ δυνατὸς ἔργῳ καὶ λόγῳ, ἐργάτης ἐντολῶν θεοῦ, στῦλος καὶ ἑδραίωμα τοῦ οἰκείου κοινοβίου, πολλὰ ἐνδειξάμενος ἀρετῆς ἰδιώματα καὶ νῦν αὐτὸ τοῦτο κατὰ τὸν παρόντα διωγμὸν περιερχόμενος πόλεις τε καὶ χώρας, ὑστερούμενος, θλιβόμενος ἐν τῷ διακονεῖν τὸν τῆς ἀληθείας λόγον μέχρις ἀπέπνει ἐνδημήσας πρὸς Κύριον.

Τοιοῦτον οὖν, ὡς ἡ ἀλήθεια ἔχει, ἐξεναγήσατε δοῦλον Κυρίου καὶ τηλικοῦτον λείψανον ἅγιον παρ' ὑμῖν ᾠκονομήθη ἀποθησαυρισθῆναι. διὸ καὶ μᾶλλον προσετέθημεν τῇ κατὰ θεὸν ἀγάπῃ ὑμῶν καὶ ἐπευχόμεθα ὑμῖν τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλήμ, ἀνθ' ὧν μετὰ ἀληθινῆς καρδίας ὑπεδέξασθε τὸν ὅσιον Διονύσιον, οὗ τὸ μνημόσυνον μετὰ τῶν ὁμοταγῶν ἁγίων.

457. Κατηχητικὴ πρὸς τοὺς ἑαυτοῦ μαθητάς

Ἀδελφοὶ καὶ πατέρες, ἄλλοι μὲν λυπηρῶς ἀναγγέλουσιν τὰς τῶν

---

456. a. 821 – 826 9 ἀπῆρεν: a. 817

11 Luc. 24,19 12 1 Tim. 3,15 15 Hebr. 11,37 16 2 Cor. 5,8

VM PS

1 παραμυθ in marg M manu rec 2 ἡμῶν post ἀδελφοῦ transp M ἡ ὡρισμένη M 6 εἰς: πρὸς V 7 γήρως M 8 αὐτῷ M 12 στύλος omnes: correxi 13 δὲ post νῦν add M 16 ἐδημήσας (sic) Sirm: ἐκδημήσας Mi

457. a. 821 – 826

C VM PS

1 ἑαυτοῦ: αὐτοῦ V in indice titulorum (f. 189ᵛ) παραμυθ in marg M manu rec 2 ἀναγγέλλουσι VMPS Sirm

οἰκείων ἀποβιώσεις, ἐγὼ δὲ καὶ λίαν περιχαρῶς· διατί; ὅτι οἱ ἀποβεβιωκότες ἀδελφοὶ ἡμῶν ἅγιοι κλήσεως ἐπουρανίου μέτοχοι, Ἄνθος ὁ φερωνύμως ἠνθηκὼς τὰς ἀρετάς, καὶ Διονύσιος, ὁ διαπρέψας διονυσιακῶς καθ' ὁσιότητα. οἷος δὲ καὶ ὁ θάνατος ἀμφοτέρων δίκαιον εἰπεῖν· ὁ μέν, ἐληλυθὼς ἀπὸ τῆς οἰκείας ξενίας ἄρτι καί γε συνταξάμενος ἡμῖν αὐτὰ δὴ τὰ τελευταῖα, ἐν τῇ ὑποστροφῇ καθ' ὁδὸν νοσηλευθεὶς κεκοίμηται ἱερῶς ἐν μοναστηρίῳ τῆς Μυέλης· ὁ δέ, ἀσθενείᾳ περιπεσών, ὑπέστη, εἰ μὴ προπετὲς εἰπεῖν, τὰ τοῦ ἀοιδίμου Ἰὼβ παθήματα· καὶ γὰρ τὰς σάρκας αὐτοῦ εἶδεν ῥυϊσκομένας καὶ τὰ ὀστᾶ κεκολλημένα τῇ σαρκί· πόνοι ἀνύποιστοι, πληγαὶ τραυμάτων, ῥύσις τῆς γαστρὸς ἄμετρος, μόνη ἡ πνοὴ παραμένουσα· ἐν οἷς εὐχαρίστως καὶ ὑπομονητικῶς ἐνεγκὼν ἐνεδήμησε καὶ αὐτὸς πρὸς Κύριον. ἴδε οἱ μακάριοι ὡς καὶ αὐτοὶ μάρτυρες, Διονύσιος ὁ τοῦ θεοῦ ἐργάτης δόκιμος καὶ Ἄνθος τὸ ἀρνίον τοῦ Χριστοῦ, Διονύσιος, ὁ μέχρι γήρους τὸν τῆς ὑποταγῆς ἄεθλον ἀπὸ νεότητος τετελεκώς, καὶ Ἄνθος, ὁ ἐκ παιδὸς ὁσιωθεὶς μέχρι μεσηλικιότητος καθ' ὑποταγήν, ἀμφότεροι σκεύη εὔχρηστα τῷ δεσπότῃ θεῷ, οὐ μόνον ἐν οἷς ὑμνήθησαν πρότερον καὶ ὕστερον, πρὸς δὲ καὶ φυλακῶν διαδήματα ἕνεκεν δικαιοσύνης περιεβάλοντο· οὗ τί ἂν γένοιτο ἐνδοξότερον; ἔχει δὲ θάτερος ἄλλο καύχημα, τὸ ἐξυπηρετῆσαι αὐτὸν τῷ κυρίῳ ἀδελφῷ καὶ ἀρχιεπισκόπῳ, καὶ ἐξυπηρέτησιν μακράν, καὶ οὐ μόνον μακράν, ἀλλὰ καὶ ἐπαινουμένην λίαν. ἀμφοτέρωθεν οὖν ἀξιάγαστος ὁ ἀδελφός. /

Τί οὖν εἴπωμεν πρὸς ταῦτα, ἀδελφοί; ὅτι μεταβαίνομεν πάντως πάντες ἄνθρωποι ἐντεῦθεν καὶ ἡ μετάβασις ἀπὸ παροικίας εἰς ἀληθινὴν κατάπαυσιν, ἐκ σκότους εἰς φῶς, ἀπὸ ταραχῆς εἰς γαλήνην, ἐκ πολέμου εἰς εἰρήνην, ὅπου οὐκ ἔνι δάκνων ὄφις, ὅπου οὐκ ἔνι τροπῆς φόβος, ὅπου κομίσεται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν. διὸ σπεύσωμεν, ἀδελφοί μου, καὶ ἡμεῖς ὁσίως ἀποβιῶσαι, ὡς ἂν φύγοιμεν αἰωνίας κρίσεως καὶ ἀξιωθείημεν βασιλείας οὐρανῶν. φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος· ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον. φοβηθῶμεν, τέκνα ἀγαπητά, φρίξωμεν, διαναστῶμεν κατὰ τοῦ δράκοντος διαβόλου καὶ

11 Jb 41,15 14 2 Cor. 5,8 28 1 Petr. 2,9 33 Hebr. 10,31 34 De. 4,24

3 διὰ τί Sirm ἀποβεβιωκότες: ἀποβεβηκότες M 5 φερώνυμος $V^{ac}PS^{ac}$ Sirm 11 αὐτοῦ M ἴδεν C: εἶδε cett Sirm 14 ὑπομονητικῶς – ἐνεδήμησε καὶ om Sirm 17 τὸν: τὸ Mi 21 περιεβάλλοντο $V^{ac}PS$ 26 οὐ ante μεταβαίνομεν add MPS: eras V

οἱ δοκοῦντες ἑστάναι καὶ οἱ ὑποσκελισθέντες, ὅτι τοῖς μὲν βραχεῖα χαύνωσις πτῶσιν ἀπεργάζεται θανάτου, τοῖς δὲ μικρὰ ἀνάνευσις ἴασιν ἀνατελεῖ ψυχικῶν τραυμάτων· μὴ ὁ πίπτων οὐκ ἀνίσταται ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει;

Ναί, ἀδελφοί μου, οὔπω ἡ θύρα κέκλεισται, οὔπω ἡ πανήγυρις διαλέλυται. φεισώμεθα ἑαυτῶν, σκοπῶμεν, πῶς ἐν ἄστει διατρίβομεν, ποῦ καθεζόμεθα, μεθ' οἵων προσώπων διαλεγόμεθα, πηλίκη ἡ τροφὴ ἡμῶν, ἡ ἡσυχία, ἡ ὕπνωσις, ἡ ὁμιλία, ἡ ὕμνησις, ὅλη ἀρεστὴ θεῷ, ὅλη ἐπωφελὴς τῷ πέλας. ἐλεεῖτε, βοηθεῖτε· μή τίς τι πράττοι παρὰ τὸ εἰκός. τί ὄφελος, ἐὰν ὅλον τὸν κόσμον κερδήσω καὶ ζημιωθῶ τὴν ἐλεεινήν μου ψυχήν; τί μοι προσθήσεται ἐν ἡμέρᾳ θανάτου τῶν τῇδε ἡδυπαθειῶν τὸ τέλος, τί δὲ πείσομαι, ὅταν τοὺς ὁμοταγεῖς μου ἴδω προσλαμβανομένους εἰς βασιλείαν θεοῦ, ἐμαυτὸν δὲ αἰρόμενον εἰς τὸ ἐξώτερον σκότος; ὄντως, ἀδελφοί μου, οὐδὲν ἡ εὐπάθεια τῆς σαρκός, οὐδὲν βασιλεία ἐπίγειος, οὐδὲν δόξα πρόσκαιρος, οὐδὲν πλοῦτος ῥευματιζόμενος, οὐδὲν τρυφὴ ἀπορρέουσα, οὐδὲν ἐν οὐδενὶ τῶν νομιζομένων τοῖς φιλοζώοις καλῶν καὶ ὡραίων ὄφελος, ἀλλὰ τὰ πάντα ματαιότης καὶ περισσεία πνεύματος, ὥς φησιν ὁ τῶν ἁπάντων ἡδέων τοῦδε τοῦ αἰῶνος ἀπόπειραν ποιησάμενος. καὶ εἴθε ματαιότης μόνον· ἀλλ' ὅτι ἀντ' αὐτῆς αἰώνιοι βάσανοι ταμιεύονται τοῖς ἐγκεκυλισμένοις αὐτῇ. ἡμῖν δέ, οἷς ἡ πνευματικὴ ζωὴ κεχάρισται ὑπὸ Κυρίου, πόση καὶ πηλίκη τιμωρία, εἰ μὴ φευξόμεθα αὐτῆς, ἀποκείσεται;

Διὰ τοῦτο, ἀδελφοί μου, ὑπομιμνήσκω, παραινῶ, παρακαλῶ ὡς ὀφειλέτης, ὡς δοῦλος ὑμῶν διὰ Κύριον, δικαίως καὶ ὁσίως πολιτευσώμεθα καὶ πρὸς τὸ ἑξῆς, ἵνα κληρονομήσωμεν ζωὴν αἰώνιον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

45 Matth. 16,26 48 Matth. 8,11 sq. 53 Eccl. 1,2

36 βραχεία CS 37 ἀνάνευσις: ἄνεσις M[ac] 41 φεισόμεθα C διατρίβωμεν C 44 τῷ: τοῖς M 45 ὅλον τὸν κόσμον: κόσμον ὅλον M 46 προστθήσεται C: προστήσεται M[pc] (fort est προστεθήσεται scribendum) 47 ὅτ' ἂν C 53 περισσία C: περίσσεια cett Sirm: correxi 54 τοῦδε τοῦ C: τοῦ τῇδε cett Sirm 59 διατοῦτο VPS 62 ᾧ: ὧ C

458. Εὐφροσύνῃ ἡγουμένῃ τοῦ Κλουβίου

Ἀπήτει τὸ συμβὰν περὶ τὴν μακαρίαν κυρίαν καὶ κοινὴν μητέρα (οὐ γὰρ παραιτοῦμαι καὶ ἡμῶν μητέρα αὐτὴν ὀνομάζειν διὰ τὴν ἀρετὴν) αὐτοὺς / ἡμᾶς ἀφῖχθαι καὶ τὸν προσήκοντα ἐπιτάφιον ἐκείνῃ μὲν ᾆσαι, σοὶ δὲ τῇ ὑπολελειμμένῃ καὶ οἱονεὶ ὀρφανῇ τῆς μητρικῆς συναφείας τε καὶ συμπνοίας φθέγξασθαι παραμύθιον, εἴ γε καὶ ἐξευρεθείη τοιοῦτον φάρμακον, δυνάμενον καταπραῢναί σου τὸ τῆς ψυχῆς ἀλγεινὸν καὶ συμπεπτωκός. ἀλλ' ἐπεὶ τοῦτο οὐκ ἐνδέχεται, διὰ γράμματος ἡ ἐπισκοπή. ὤ, πῶς ἀπέπτη ἀφ' ἡμῶν ἡ καλὴ ἀμμάς, ἡ χριστοφόρος γυνή, τὸ κειμήλιον τῆς σωφροσύνης, τὸ κεχαριτωμένον πρόσωπον, τὸ τῆς εὐλαβείας τέμενος, τὸ πλῆρες ἡμερῶν, τῶν τε λυομένων καὶ μενουσῶν, θέαμα, ὁ ἡγιασμένος ναός, ὁ ἐλαιὼν τῆς συμπαθείας, ὁ οἰκτιρμὸς τῆς ἐπιδόσεως, τὸ ζῷον ὄντως τὸ θεόπλαστον, ὁ ἄφθονος ὀφθαλμός, ἡ ἀβάσκανος καρδία, ἡ καὶ πρὸ θανάτου ἔκδημος τῶν τῇδε διὰ τὸν ποθούμενον νυμφίον Χριστὸν καὶ διὰ τὴν ἐκεῖσε ἄλυπον ζωὴν καὶ ἀμήρυτον. ὤ, ὤ, πόσα λαλήσας δυνηθείην κενῶσαι τὸ συνωθοῦν τὴν καρδίαν μου σεμνολόγημα, καίτοι γε ὀψιμαθὴς ἐγὼ τῆς κυρίας καὶ τῶν ἐνόντων ὑμῖν ἀρετῶν καὶ τοσοῦτον ἐν πείρᾳ, ὅσον ἄκρῳ δακτύλῳ ἐφαψάμενός τις μέλιτος. ἀλλ' ὅμως ἡ βραχεῖα γεῦσις δήλωσιν παρίστησι τῆς ὅλης γλυκύτητος, ἄλλως τε καὶ παρὰ τῶν μᾶλλον πεπειραμένων ὑμῶν τῆς ἀρετῆς ἀδελφῶν ἐκδιδαχθεὶς ἀρκοῦσαν ἔχω τὴν περὶ αὐτῆς γνῶσιν ἐν Κυρίῳ.

Ἐκείνη ἀπὸ τοιούτου βίου ἤχθη εἰς τόδε τὸ πολίτευμα· δεῖ γάρ με ἄνωθεν ὑπολαβεῖν καὶ μικρόν τι ἐνδιατρίψαι τῷ λόγῳ παρηγορίας χάριν. ἔχει οὕτως. τῶν ἀφ' ἡλίου ἀνατολῶν τὸ γένος καὶ κατὰ τόπον καὶ τρόπον, εἴπερ ἡ Ἀρμενία ὅθεν καὶ ἡ ἀρετή, εἰ δὲ καὶ τὸ αἷμα δεῖ

---

458. a. 821–826 2 κυρίαν: Eirene 5 ᾆσαι: epigrammate; cf. Speck, Jamben 299 9 ἀμμάς: cf. adn. ad ep. 536,10

2 Bas. ep. 28,1 (PG 32,304 C = I 65 Courtonne); cf. Bas. ep. 269,1 (PG 32,1000 A = III 139 Courtonne) αὐτοὺς ἡμᾶς παρεῖναι etc. 19 Diogen. cent. 1,29 (CPG II 5)

C VM PS

1 τοῦ κλουβίου in marg C: om cett 4 ἀφίχθαι M 5 ᾄσαι CPS Sirm 6 σου ante συναφείας add VPS Sirm 7 καταπραῦναί CS 9 ὢ C ἀμμᾶς C 12 ἐλεῶν C 13 τὸ² C^sscr 14 καὶ πρὸ C: πρὸ τοῦ cett Sirm 16 ἄλυπον CM: ἄλυτον cett Sirm ἀμήρυτον: ἀκήρατον V^pc Sirm (sed cf adn ad ep 431,43) ὢ ὢ C 17 καίτοιγε Sirm γε S^sscr 18 ἐνουσῶν V Sirm 19 τοῦ ante μέλιτος add M 20 παρίστησι: παρέχει S 21 vocem πεπειραμένων post ὑμῶν iterum scriptam cancell S 23 τοῦ post ἀπὸ add MPS Sirm: cancell V 25 δὲ post ἔχει add V^sscr καὶ om M 26 κατὰ ante τρόπον inser Sirm ἁρμενία S

ζητεῖν, ἐκ βασιλικοῦ κράματος· στρατηγίαι καὶ δημαγωγίαι καὶ ἐν Ἀρμενίᾳ καὶ ἐν Γραικίᾳ, τοῦ ὁμοζύγου λέγω, ἐπεὶ καὶ τὴν πρώτην στρατηγίδα εἶλεν ἐνταῦθα ὥσπερ καὶ τὴν πατρικιότητα ὁ ἀνήρ· οὗ ἀπορραγεῖσα διὰ θανάτου οὐκ ἤνεγκεν ἄζυξ μένειν, ἀλλ' ἔχειν μνηστῆρα· τίνα ἄρα; οὐ τόνδε καὶ τόνδε ἄρχοντα ἢ βασιλέα ὡς ἡ τῶν πολλῶν ἔφεσις, σαρκὶ καὶ αἵματι προσκειμένων, ἀλλὰ τὸν μόνον ὡραῖον νυμφίον, τὸν ἄρχοντα τῆς εἰρήνης· διὸ καὶ εἰρηνώνυμος ἡ νύμφη, τὸν τῶν ὅλων βασιλέα Χριστόν, τὸν Κύριον τῆς δόξης, καὶ τοῦτον διὰ τοῦ μοναδικοῦ ἐπαγγέλματος μνηστευσαμένη. ἐφ' ᾧ ὅπως ἠρίστευσεν πράττουσα τὰ τοῦ ἐραστοῦ προδεδήλωκεν ὁ λόγος ὡς ἐν σκιαγραφίᾳ. ταύτης ἡ ἀστράπτουσα προσευχή, ἡ κατάνυξις, ἡ τῶν δακρύων χύσις, ἡ ἀκατάλαλος γλῶττα, ἡ ἀπαρρησίαστος ἕξις, ἡ χριστομίμητος ταπεινοφροσύνη, ἡ φιλέντολος δεξιά, ἡ θεογρήγορος διάνοια, ἡ καιομένη τῷ τῆς ἀγάπης Χριστοῦ πυρὶ καρδία καὶ τέλος ἡ ὀρθόδοξος λατρεία καὶ τὸ πεφυλαγμένον τῆς αἱρετικῆς κοινωνίας μετὰ ἀνυποστόλου παρρησίας. καὶ θαῦμα, πῶς ἐν τῷ παριππεύσαντι διωγμῷ οὐ μόνον ἑαυτήν, ἀλλὰ καὶ σέ, κυρία, καὶ ὅλην σου τὴν ἁγίαν συνοδίαν ἀμέθεκτον σὺν θεῷ ταύτης διεφυλάξατο, καλὴν κορωνίδα τῷ τέλει ἐπισφραγισαμένη, ἐκ τῶν ὀρθοδόξων πηγῶν μετασχοῦσα τῶν ἁγιασμάτων κἀντεῦθεν ἀπάρασα χαιρομένως· ὅπερ σημεῖον μέγιστον τῆς ὧν ἐπεπόθει / ἐπιτεύξεως, Χριστοῦ τυχεῖν καὶ μετὰ Χριστοῦ ἔσεσθαι εἰσαεί.

Οὕτως οὖν ἐβίω ἡ μακαρία καὶ οὕτως ἁγίως ἀπῆρεν καὶ οὕτως πιστεύομεν ἔχειν οἱ ἁμαρτωλοί. λοιπὸν ἐπὶ σὲ ὁ λόγος μεθικτέος, δέσποινά μου· τί τοῦτο; ἵνα, εἰ καὶ δριμὺς ὁ χωρισμός, ἀλλ' ὅμως ἐνέγκης εὐχαρίστως, καθὰ καὶ ἀκηκόαμεν καὶ ἐπαινέσαμέν σε πάνυ, μὴ προϊεμένην κωκυτοὺς ἀλόγους καὶ θρήνους ἀνελπίστους, ἀλλὰ δεόντως καὶ ὡς ἀληθῶς μοναζούσης καὶ ἀρίστης διδασκάλου, ὑποτυπούσης τῷ καθ' ἑαυτὴν ὑποδείγματι τὰς πιστευθείσας σοι ψυχὰς

28 Γραικίᾳ: ad hanc notionem geographicam cf. S. A. Kumanudes, Συναγωγὴ λέξεων ἀθησαυρίστων 67; Speck, Γραικία 79 sq. ὁμοζύγου: Isaacius; cf. p. 205* adn. 213 38 δακρύων χύσις: ad elocutionem cf. Speck, Jamben 300 44 συνοδίαν: virgines monasterii Clubii; cf. PG 116,72 D

28 ἀρμενίᾳ S 29 εἶλεν: εἶχεν M 31 ἄρα VMP Sirm ἄρχοντα ante καὶ transp M 35 μοναχικοῦ M ἐπαγγέλματος: αἵματος M 36 ἠρίστευσε VMPS Sirm 39 θεογρήγορος C: θεηγόρος cett Sirm 46 χαιρομένη M 47 ἐπεπόθη C 48 εἰς ἀεί C 49 ἀπῆρε VMPS Sirm 50 ἐπί σε Sirm μεθικτέος coni Kambylis: μεθεκτέος C: μετενεκτέος cett Sirm 52 ἐνέγκεις C ἐπηνέσαμέν VMPS Sirm

ὑπὸ Κυρίου, μᾶλλον δέ, ἵνα γνωριμώτερον εἴπω, ὡς ἐκείνης τῆς ἀοιδίμου ὁμοψύχου, ὁμογνώμονος θυγατρὸς ἐν Κυρίῳ, νύμφης ἐν σαρκί, ἰσαρέτου ἐν πολιτείᾳ· καὶ γὰρ μία ψυχὴ ἐν δυσὶ σώμασι τὸ καθ' ὑμᾶς καὶ αἰνετὸν καὶ δεδοξασμένον. οὐ τοίνυν εἰς ἅπαν ἐχωρίσθη σου, κυρία, ἡ κυρία, ἀλλὰ πρὸς μικρόν, ἕως ἂν καὶ ἡμεῖς τὴν αὐτὴν ὁδεύσωμεν ὁδόν· πλὴν ὅτι καὶ πνευματικῶς καὶ ἄρτι πάρεστι καὶ συμφέρει σοι τὰ σπουδάσματα, καὶ τὸ μεῖζον, ὅτι καὶ ἐγγυτέρω γεναμένη θεοῦ ἀντιβολεῖ τὰ περὶ σοῦ καὶ τῶν σῶν. μὴ δὴ οὖν λοιπὸν καταπέσοις, παρακαλοῦμεν, ὡς ἀπροστάτευτος μηδὲ ὡς μεμονωμένη· ἔχεις αὐτὴν καὶ πρὸ αὐτῆς τὸν θεόν, οὗ τὰ πάντα, εἰ δέ, καὶ ἡμᾶς τοὺς ἁμαρτωλοὺς κατὰ τὴν ἐκείνης καὶ πρὸ θανάτου καὶ ἐν τῷ ἀποπνεῖν αἴτησιν ἔχεις, εἴπερ τι καὶ λυσιτελεῖν δύναιτο ἄνθρωπος ἁμαρτωλός.

Αὕτη ἡμῶν ἡ ἐπιτάφιος προσφώνησις. σὺ δέ, ὦ μακαρία ψυχὴ (πρὸς αὐτὴν γὰρ ἐπιστρεπτέον), μὴ πρὸς ἡμῶν αἰτοῦ τὸν θεόν σοι ἵλεω γενέσθαι, ἀλλ' αὐτὴ αὐτὸν ἡμῖν κατάλλαξον ταῖς πρεσβείαις (θαρροῦμεν γὰρ τοῦτο ἰσχύειν σε), μηδὲ ἡμᾶς ἐπικούρους ἔχειν τὴν κυρίαν ἀδελφομητρότεκνόν σου, ἀλλὰ σαυτὴν πάρεχε καὶ αὐτῇ καὶ ἡμῖν καὶ ὅλῃ τῇ ποίμνῃ σου ἐν Κυρίῳ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

459. Ἰουλιανῷ βεστήτωρι

Ἐπειδὴ προσηγόρευσας ἡμᾶς διὰ τοῦ ἀδελφοῦ, ἀδελφὲ καλέ, καλὸν ἡγησάμην διὰ γράμματος ἀντιπροσαγορεῦσαί σε, δεικνύων ἐντεῦθεν ὡς ἀγαπητῶς ἔχω περὶ τὴν τιμιότητά σου, οὐ μόνον δέ, ἀλλὰ καὶ μεριμνητικῶς εἰς τὸ σῴζεσθαι αὐτὴν ἀπὸ τῶν τοῦ διαβόλου πειρατηρίων· ἴσθι γάρ, ἀγαπητέ, ὅτι ὡς λέων ἀεὶ περιέρχεται ζητῶν τίνα καταπίῃ. ἔχε οὖν προσεκτικῶς, μέμνησο τῶν συνθηκῶν. γέγραπται· ἥμαρτες; μὴ προσθῇς, καὶ περὶ τῶν προτέρων σου δεήθητι.

---

57 post ὁμογνώμονος vocem quandam cancell C 59 εἰσάπαν CS 60 ἡ om Sirm 63 γενομένη VMPS Sirm 64 καταπέσῃς S 67 ἀναπνεῖν V 71 σοι post ἵλεω transp M 72 ὑμᾶς Sirm ἢ ante τὴν add V 73 αὐτῇ C 74 εἰς τοὺς αἰῶνας om M

---

459. 6 1 Petr. 5,8 8 Sir. 21,1

C VM PS

---

1 ὡραία ὅλη in marg VP 3 ἀντιπροσαγορεύσαι S

καὶ πάλιν ὁ Κύριος λέγει· πᾶν κλῆμα μὴ φέρον καρπὸν αἴρει αὐτὸ ὁ πατήρ, καὶ εἰς πῦρ βάλλεται καὶ καίεται.

Φοβηθῶμεν οὖν τὸ ὑπόδειγμα, ἀγωνισώμεθα ὑπὲρ τῶν ψυχῶν ἡμῶν πρὶν ἢ ἐπιστῆναι τὴν ὥραν τοῦ θανάτου, μὴ ἐκκο/φθῶμεν ὡς ἄκαρποι καὶ ἀτελεσφόρητοι τῆς ἀγαθῆς ἀμπέλου, ἥτις ἐστὶν ὁ Χριστός. διὰ τοῦτο ἦλθον, φησὶν ὁ Κύριος, οὐχ ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω· καὶ πάλιν λέγει· εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν· καὶ πάλιν· ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἤδη, ἀγαπητέ, ὁ καλὸς θεὸς ἡμῶν πάντα τὰ εἰς ἡμᾶς ἐπλήρωσεν· ἐπὶ γῆς ὤφθη, δούλου μορφὴν ἀνέλαβεν, ὑπήκοος ἐγένετο μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, καὶ ταῦτα Κύριος ὢν τῆς δόξης καὶ τὰ πάντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, ἀνακαλούμενος ἡμᾶς ἀπὸ τῆς ἐγγινομένης ἡμῖν διὰ τοῦ πρωτοπλάστου φθορᾶς, καὶ οὐ μόνον, ἀλλὰ γὰρ καὶ θεώσας ἡμᾶς διὰ τῆς ἁγίας αὐτοῦ σαρκός· οὗ καὶ ἀδελφοὶ ἠξιώμεθα καλεῖσθαι καὶ σύσσωμοι καὶ συμμέτοχοι καὶ συγκληρονόμοι. δεῖ οὖν ἡμᾶς πάσῃ φυλακῇ φυλάττειν ἑαυτούς. ἐν μέσῳ παγίδων διαβαίνεις ἐν τῇ πόλει διερχόμενος· ὅρα μὴ ἐμπαρῇς. ἐν φόβῳ Κυρίου ἡ ἀναστροφή σου ἔστω μετὰ ἀνδρῶν ἀγαθῶν· φεῦγε τοὺς ἀφυλάκτως ζῶντας, φεῦγε παίγνια καὶ γελοιάσματα νεωτερικά, φεῦγε κραιπάλας καὶ πολυποσίας φθοροποιούς. πᾶν ῥῆμα σαπρὸν ἐκ τοῦ στόματός σου μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τι καλὸν εἰς οἰκοδομὴν τῶν ἀκουόντων. μὴ φρόντιζε πλουτεῖν, ὅτι γυμνὸς εἰσῆλθες εἰς τὸν κόσμον τοῦτον, γυμνὸς καὶ ἀπελεύσῃ. μὴ ἀγάπα τὴν δόξαν τοῦ κόσμου τούτου, ὅτι ὡς καπνὸς παρέρχεται. ἓν φίλει μόνον, τὸ ἀγαθόν, τὸ καθαρὰν ἔχειν τὴν καρδίαν ἀπὸ τῆς ῥυπαρᾶς ἁμαρτίας, τὸ ἐπιτυχεῖν βασιλείας οὐρανῶν καὶ φυγεῖν κρίσεως αἰωνίου. τὰς ἐντολάς, ἃς ἔλαβες, φύλαττε, κλῖνον πτωχῷ τὸ οὖς σου, ἡνίκα ἔχει ἡ χείρ σου βοηθεῖν, ὄρεξον τῷ δεομένῳ· δύο λεπτὰ χήρας πτωχῆς ὑπερηκόντισαν πάντων τῶν ἐν τῷ γαζοφυλακίῳ ἐμβεβλημένων. ὅρκος ἐν τῷ στόματί σου μὴ αὐλιζέσθω· ὁ γὰρ ὀμνύων οὐ σωθήσεται, κἂν δοκῇ πᾶσαν ἐντολὴν ποιεῖν. ἐπι-

9 Joh. 15,2 sq. 14 Joh. 12,47 15 Joh. 15,22 17 Joh. 12,48 19 Philipp. 2,7 sq. 20 Hebr. 1,3 24 Eph. 3,6 30 Eph. 4,29 32 Jb 1,21 33 Ps. 101,4 36 Matth. 23,33 Sir. 4,8 38 Marc. 12,42 sq.

14 διατοῦτο VPS 22 ἐγγενομένης M Mi 25 ἡμᾶς S^{sscr} 36 κλίνε M 37 ἡ om M 38 ὑπὲρ ἠκόντισαν C 39 γαζοφυλακείῳ C βεβλημένων S^{ac} σημείωσαι περὶ ὅρκου τί φησι in marg VPS

σκέπτου ἄνθρωπον ἐν φυλακῇ, ἵνα ἐπισκεφθῇς ὑπὸ Κυρίου. προσεύχου συνετῶς καὶ ψάλλε ἐν καρδίᾳ, ἵνα τὸ Πνεῦμα τὸ Ἅγιον ὑποδέξῃ σύνοικον.

Ταῦτα ἐκ πολλῶν ὀλίγα δείγματα ἀγάπης, ἐντολαὶ ἀγαθαί, ἃς ἀμφότεροι πράξοιμεν καὶ σωθείημεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς αἰῶνας τῶν αἰώνων. ἀμήν.

460. Εὐφροσύνῃ ἡγουμένῃ

Ὡς καλὰ τὰ γράμματα τῆς τιμιότητός σου, καὶ τὸ λυπηρὸν ἐπιδεικνύμενα τῆς ἐπὶ τῇ ὁσίᾳ μητρὶ κοιμήσεως καὶ τὸ ὑπομνηστικὸν τῆς ἐλπίδος ἔχοντα· ὡς γὰρ τὸ πάντῃ ἄλυπον καὶ ἄδακρυ ἐπὶ τῇ τῶν κεκοιμημένων διαζεύξει κατηγορεῖται (ἀναισθησίας γὰρ τεκμήριον), οὕτω τὸ πέραν τοῦ μέτρου πάλιν κατακλᾶσθαι τῇ λύπῃ τῶν μὴ ἐχόντων ἐστὶν ἐλπίδα ἀναστάσεως. δεῦρο λοιπόν, ἀδελφὴ ἐν Κυρίῳ, τὸ / ἱκανὸν τοῦ πένθους ἀφοσιωσάμενοι εἰς ἑαυτοὺς γενώμεθα, οὐχ ὅτι ἐκβαλεῖν τῆς καρδίας τὸ ἴνδαλμα τῆς ἁγίας ἐκείνης (μή τι γένοιτο· εἴη γὰρ ἐν ὑμῖν ὑπόμνημα πάσης παρακλήσεως καὶ διακυβερνήσεως), ἀλλὰ τὸ ἄγεσθαι εὐθυμότερον καὶ διανύειν τὸν προκείμενον ἀγῶνα τῆς ἀσκήσεως. οὐκ εἴασεν οὖν σε ἐν ἀώρῳ ἡλικίᾳ ἡ μήτηρ οὐδ' ἀμαθῆ τῶν θείων οὐδ' ἄπειρον τῶν ἐν βίῳ, πάντοθεν χάριτι Χριστοῦ ἱκανουμένην καὶ βίου ἔμπειρον καὶ φρονήσεως ἔμπλεων καὶ γνώσεως εὔπορον καὶ διοικήσεως εὔθετον καὶ ἡμερῶν ἀπηρτισμένων τῇ ζωῇ τῶν ἀνθρώπων.

Ἔχου δὴ τῆς οἰκείας ἀσφαλείας, λαμβάνουσα βοηθὸν εἴτε οἴκοθεν, ἄνπερ καὶ ἔστιν, εἴτε ἔξωθεν· οὐκ ἄπορον γὰρ εὑρεῖν γυναῖκα ἐπ' ἀναθέσει τῶν συμπιπτόντων ἔστιν ὅτε δυστεκμάρτων πραγμάτων, ὧν τὴν λύσιν εἷς νοῦς οὐχ οἷός τέ ἐστι δοῦναι. ἔχου δὴ ὁμοίως καὶ τῆς κυβερνήσεως τῶν ὑπὸ χεῖρα ἀδελφῶν, καθηγουμένη ἐν Κυρίῳ μετὰ

---

42 Eph. 5,19

41 ὑπό: παρὰ V 42 συνετῶς C: συνεχῶς cett Sirm 46 εἰς – ἀμήν om M τῶν αἰώνων om V

---

460. a. 821 – 823 3 μητρί: Eirene 21 ἀδελφῶν: virgines monasterii Clubii

6 cf. 1 Thess. 4,13

C VM PS

7 ἔστιν PM 10 ἡμῖν Sirm 11 τό: τῷ M 14 ἔμπλεον C: ἔμπλεω S 18 ἐστὶν M

πάσης μακροθυμίας, μετὰ συμπαθείας, μετὰ ἐκζητήσεως τῶν ὀφειλομένων, μήτε καταπιέζουσα σφοδρῶς, ἀλλ' ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα τὰ κατ' αὐτὰς ὀμειρομένη, ὡς καὶ αὐτὴν τὴν ψυχὴν προέσθαι ὑπὲρ αὐτῶν, μηδ' αὖ ἀνεῖσα ὁλικῶς τὰς ἡνίας τοῦ χαλινοῦ· αἴτιον γὰρ τοῦτο διαλύσεως, ἀταξίας τε καὶ ἀφιλοτεκνίας. οἶδας ὅπως συνούσης τῆς μητρὸς ἐποίεις· οἶδας ὅτι οἱ ὀφθαλμοὶ πασῶν αὐτῶν εἰς σὲ ἀποβλέπουσιν ὡς εἰς θεόν, ὁρῶσαι τὸ πρόσωπόν σου μεσιτεῦον αὐταῖς τὰ πρὸς αὐτόν. εἰ δὲ αὐτὴ οὕτως, δῆλον ὅτι κἀκείναις ὀφειλόμενόν ἐστιν ἄλλο μηδὲν ἀναπνεῖν ἢ ὅπερ σὺ ἡ διδάσκαλος καὶ ἐρᾷς καὶ ἐντέλλῃ καὶ διαγορεύεις, καὶ ἁπλῶς ὡς τέκνα γνήσια πρὸς μητέρα, ὡς μέλη ἐκ μέρους πρὸς κεφαλήν, ὡς ἄνθη πρὸς ῥοδωνίαν· ἐπὶ τούτῳ γὰρ καὶ ἐληλύθεισαν ἐπὶ τὸ αὐτό, καταλιποῦσαι κόσμον καὶ τὰ ἐν κόσμῳ, γονεῖς τε καὶ ἀδελφούς, οἰκείους καὶ φίλους, ὑπάρξεις τε καὶ σχέσεις σαρκός, ἀζυγίαν ἀγαπήσασαι καὶ Χριστῷ νυμφευσάμεναι, ἵνα ὁσίως καὶ παρθενοπρεπῶς ζήσασαι κληρομήσωσι βασιλείαν οὐρανῶν καὶ τὸ μετὰ Χριστοῦ εἰσελθεῖν εἰς τὸν οὐράνιον ἐκεῖνον καὶ ἀνεκλάλητον νυμφῶνα.

Τοιοῦτον καὶ αὐταῖς καὶ σοί, κυρία, τὸ ἀγώνισμα καὶ ἐπάγγελμα, τούτῳ καὶ προσέχωμεν, ἐν τούτῳ καὶ κινούμεθα καὶ διαζῶμεν, μὴ ἀποβλέπουσαι ὧδέ τε κἀκεῖ, ὅτι οὕτως ἐκεῖνο τὸ μοναστήριον καὶ οὕτως τὸ ἄλλο μοναστήριον. βλαβερὸν τοῦτο· τῇ ἐντολῇ δεῖν παραμετρεῖν ἑαυτούς, ἀλλὰ μὴ τοῖς πέλας. ἐντεῦθεν γὰρ οὐκ ἔρχεταί τις εἰς τὸ ὀρθοποδεῖν οὐδὲ θεοπρεπῶς πορεύεσθαι, ἐπειδὴ ἡ παροῦσα γενεὰ καὶ ὀλίγωρός ἐστιν, ἐκλελοιπυῖα τοῦ ἠκριβωμένου βίου, καὶ τὸ ἀπ' αὐτῆς κανονίζεσθαι ἕωλον καὶ ἀλυσιτελές· ἐκεῖ σκοπῶμεν, οὗ ὁ ἱερὸς βίος, ἔνθα ἔλαμψεν ἡ εὐαρέστησις Κυρίῳ.

Ὁρᾷς, ἀδελφὴ καὶ μήτηρ πνευματική, ὅπως με ἠνάγκασεν ἡ κατὰ θεὸν ἀγάπη παρρησιασθῆναι ἐν ὑμῖν; οὐδὲν πλέον ἔμελλον ἂν ποιεῖν, εἰ πρὸς μητέρα τὴν ἐμὴν καὶ πρὸς ἀδελφὰς κατὰ σάρκα ἦν μοι

---

24 ὀμειρομένη: ad verbum cf. Blass – Debrunner – Rehkopf 78 adn. 59 39 κυρία: cf. adn. ad ep. 454,23 42 τῇ ἐντολῇ – 43 πέλας: sententiolam laudavit Gardner, Theodore, post titulum

---

24 cf. Joh. 10,15 32 1 Cor. 12,27 40 Act. 17,28

---

24 ὀμειρομένη C: ἀμειρομένη cett Sirm: ἀμειβομένη Mi 26 φιλοτεκνίας M 28 εἴς σε Sirm βλέπουσιν VMPS Sirm 30 ἐστι PS: ἐστὶ M ἄλλο om MPS 31 ἐντέλλει C 33 ῥοδονίαν C: ῥοδωνιάν cett Sirm ἐπιτοαυτὸ MPS καταλειποῦσαι C 36 Χριστὸν VMPS Sirm παρθενοπρεπῶς: θεοπρεπῶς M 40 κινώμεθα S Mi 41 ὦδε VMP 42 δεῖ Mi 50 πρὸς[2] om M

διαλέγεσθαι· πλὴν ὅτι πάντες σῶμά ἐσμεν Χριστοῦ καὶ ἕνα πατέρα ἐπικαλούμεθα, τὸν ἀγαθὸν θεὸν ἡμῶν. ὥστε ἀδελφοὶ πάντες ἀλλή-/λων καὶ σύσσωμοι καὶ συμμέτοχοι καὶ συγκληρονόμοι, κἀντεῦθεν τὸ φιλεῖν ἡμᾶς καὶ σῴζεσθαι ὑμᾶς, καθάπερ ἀγαπᾷ Κύριος καὶ ἐντέταλται. εἰρήνη σοι τῇ κυρίᾳ μητρί, εἰρήνη ταῖς ἀδελφαῖς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ἀμήν.

461. Ἰωαννίκῃ ἐρημίτῃ

Ἡδὺ θέαμα ὁπόταν τις θεάσοιτο, τοῦτο καὶ μετὰ τὴν ἀναχώρησιν εἰς νοῦν ἀεὶ ἀναθεωρεῖν εἴωθεν· οὕτως οὖν καὶ ἡμεῖς οἱ ταπεινοί, θεοτίμητε, ἅπαξ σε βλέψαντες καὶ ὡμιληκότες οὐκ ἐπιλελήσμεθα, ἀλλὰ φανταζόμενον ἔχομεν ἐν τῇ διανοίᾳ, αὐτὸ τοῦτο γαννύμενοι ὁρᾶν ἄνθρωπον θεοῦ, προσώπῳ τε καὶ ὁμιλίᾳ χάριν θείαν λάμποντα καὶ εἰς δοξολογίαν θεοῦ προτρεπόμενον. ἔσχες δὲ τοῦτο τῇ ἐρημικῇ μονώσει καὶ τῇ προσευκτικῇ προσελεύσει, λαμπρυνθεὶς μωσαϊκῶς τὴν ὄψιν πρὸς τοῦ ἀρρήτου φάους. διὸ καὶ αὖθις γλιχόμεθά σε κατοπτεῦσαι καὶ συμμετασχεῖν τῶν ἐν σοὶ χαρίτων κατὰ δευτέρωσιν ἁγιαστικοῦ μετουσιασμοῦ, σὺ πρὸς θεοῦ καὶ ἡμεῖς παρὰ σοῦ. ὁρᾷς ὅσον σε θεὸς ἐδόξασεν, ἐπεὶ ἐδόξασας αὐτόν; ἀλλὰ καὶ ἔτι δοξάσειεν ἐν τέλει τοῦ βίου ἀποπεραίνοντα ἀξίως τὸν δρόμον· ἡμῖν δὲ τοῖς ἁμαρτωλοῖς εὔξαιο κἂν ἄρξασθαι τοῦ σωτηρίου δρόμου, ἐπείπερ μακρὰν ἀπὸ θεοῦ οἱ ἐλάχιστοι. ἡ πρώτη ἐπιβολὴ τοῦ λόγου ἐν τούτοις.

Τίς ἡ δευτέρα; περὶ Θεοκτίστου τοῦ ἐρημίτου· ὃς ὅπως διερράγη ἐξ αἱρετικῶν τινων ὑποθέσεων τοῦ σώματος τῆς ἐκκλησίας αὐτὸς ἡμῶν μᾶλλον ἐπίστασαι, τιμιώτατε. πλὴν ὅτι καὶ ἡμεῖς προπέρυσι πλησιάσαντες τοῖς καθ' ὑμᾶς ἐνδιαιτήμασιν ἐξεμάθομεν παρὰ τῶν

51 cf. Rom. 12,5 53 Eph. 3,6

52 πάντες ante ἀδελφοὶ transp S 54 ὑμᾶς: ἡμᾶς M

461. a. 823

C VM PS

1 ἰωαννίκῃ C: Ἰωάννῃ cett Sirm 2 ὁπ' ὅταν C 9 πρὸς: πρὸ Sirm 11 θεοῦ: θεὸν Sirm παρά σου Sirm 12 σε post θεὸς transp M 13 ἀπὸ περαίνοντα C 17 περὶ: ἡ M 18 ἐξαιρετικῶν CP 20 ἡμᾶς CV^{ac}M^{ac}PS Sirm

εἰδότων τὰ τοῦ ἀνδρός, οὐ μὴν ἀλλὰ καὶ διὰ γραμμάτων ὑπεμνήσαμεν καὶ παρεκαλέσαμεν ἀποσχέσθαι αὐτὸν τῶν σκοτεινῶν ἐκείνων καὶ δαιμονοποιῶν φθεγμάτων, ὀρθοδοξεῖν δὲ μᾶλλον ἐπί τε τῆς παναγίας Θεοτόκου καὶ τῶν ἄλλων τρόπων. νῦν οὖν Νικάνωρ ὁ ἡμέτερος ἀδελφὸς φοιτήσας πρὸς ἡμᾶς ἀπήγγειλεν ἐλθεῖν εἰς μετάγνωσιν τὸν ἄνδρα καὶ ἐθέλειν ὁμοφρονεῖν τῇ ἐκκλησίᾳ λέγειν τε μηδὲ γράμμα ἐμὸν εἰληφέναι, ἀλλὰ καὶ ἐρᾶν δέξασθαι.

Ἐπεὶ οὖν, πάτερ ἅγιε, γέγραπται, ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται καί, ὁ ἀποστρέφων ἄνθρωπον ἐκ πλάνης ὁδοῦ αὐτοῦ καλύψει πλῆθος ἁμαρτιῶν, δεῖ τὴν ἁγιωσύνην σου διαναστῆναι καὶ δοῦναι χεῖρα βοηθείας τῷ πλανωμένῳ· ἐν τούτῳ γὰρ θεοῦ συνεργὸς ἔσῃ· ἔσται δὲ τοῦτο πῶς; ἵνα δηλώματι ἄξοις τὸν Θεόκτιστον πρὸς σέ, εἴποις τε καὶ διαλεχθῇς τὰ εἰκότα. καὶ εἰ μὲν εὕροις αὐτὸν εἴκοντα τῷ θείῳ λόγῳ, εἴποις καὶ περὶ ἐμοῦ τοῦ ταπεινοῦ ὅτι εἰς αὐτὸ τοῦτο κεκίνημαι, φιλῶν τὴν σωτηρίαν αὐτοῦ, κἂν δοκιμάζοις, ὁ πατήρ, κἀκεῖνος ἐρᾷ, ἐπιστείλω αὐτῷ εὐθέτως, ὥστε ἀμφοτέρωθεν ἑλκυσθῆναι καὶ κερδηθῆναι τὸν ἀπολλύμενον· τοῦτο γὰρ βούλεται θεὸς κἂν τούτῳ / ἦλθεν ἐπὶ τῆς γῆς, τὸ ἀπολωλὸς ἐκζητῶν ἐπιστρέψαι· καὶ τῆς εἰς αὐτὸν ἀγάπης ἀπόδειξιν τὴν τοῦ πέλας φιλίαν ποιεῖται ἡμῖν. καὶ δεῖ παντὶ σθένει κινηθῆναι ἡμᾶς, πάτερ ὅσιε· εἰς τοῦτο γὰρ κἀγὼ κινηθεὶς ἔγραψά σοι. εἰ δὲ μετὰ τὴν τοιαύτην ἐπιχείρησιν ἀπειθῶν ἀπειθεῖ, ὄψεται ὁ ἀνομῶν· λέγει Κύριος, ἄφετε αὐτούς, τυφλοί εἰσιν.

Ὡς οὖν εὐοδοῖ Κύριος ἀγαθύνθητι, πάτερ, δηλοποιῆσαί μοι γράμματί σου τιμίῳ.

---

21 γραμμάτων: epistula perdita ut videtur

28 Jer. 15,19 29 Jac. 5,20 38 Luc. 15,6 42 Matth. 15,14

24 νῦν: πλὴν M 26 θέλειν M τε C: δὲ cett Sirm λέγειν – 27 εἰληφέναι: λέγειν γράμμα ἐμὸν μὴ εἰληφέναι δὲ M ἐρᾶν: ἀρὰν M (sed cf infra 36 ἐρᾷ) 28 οὖν: νῦν V 33 διαλεχθεὶς C εἰ C[sscr] 35 κἂν P 37 καν C: κἂν M Sirm 38 τοῦτο Sirm 40 παντισθενεῖ C (an παντισθενεῖς scribendum?) 42 εἰσὶ P

462. Ἀντωνίῳ τοῦ Δυρραχίου

Ὀψὲ μὲν τοῦ καιροῦ, ὅμως ὅτι ἀντελάβομεν τῶν πάλαι γεγραμμένων ἐπιστολὴν τιμίαν τοῦ ἁγιωτάτου ἡμῶν πατρός, πάνυ ἥσθημεν οἱ ταπεινοί· οὐδὲν γὰρ οὕτως συνδεῖν οἶδεν ἀγάπην καὶ ἀδιασκέδαστον φυλάττειν ὡς ἀντιδιδομένη διάθεσις. ἀλλὰ τί ὅτι οὕτως, ὦ δέσποτα, ἦρες τῷ ἐγκωμιαστικῷ λόγῳ τῆς πολυσόφου σου γλώττης τὰ καθ' ἡμᾶς, τοὺς μηδ' ὁτιοῦν ἀγαθὸν ἔχοντας; ἢ πάντως ἡ ἀγάπη αἰτία, κλέπτουσα τἀληθῆ καὶ τὰ μὴ ὄντα ὡς ὄντα τοῖς φιλουμένοις ἀνάπτουσα; πλὴν ὅτι ἓν τοῦτο καὶ ἡμεῖς ἔχομεν (εἰρήσεται γάρ), εἰ μὴ ἀπατώμεθα, τὸ στέργειν καὶ ἀγαπᾶν τοὺς ἀδελφοὺς καὶ πατέρας, καί γε τοὺς οἷος σὺ εἶ, ἕλκων τῇ χρηστότητι τῶν ἀγαθῶν τρόπων πρὸς φιλίαν καὶ τὸν ἠγριωμένον ἤθει.

Ταῦτα μὲν οὖν παρ' ἀμφοτέρων ἡμῶν τῇ ἱερᾷ σου κορυφῇ, βραχέσι συλλαβαῖς ἀμειψαμένων τὴν πολύστιχον καὶ πολύολβον ἐπιστολήν. ἃ δὲ πρὸς ἡμῶν εἰς ἀπολογίαν τῆς περὶ τὸν ἀδελφὸν Ἔραστον ἐγκλήσεως, ἐν τούτοις. ἡμεῖς, ἱερώτατε, εἰ καὶ ἄλλως εὐτελεῖς ἐσμεν, οὐ μὴν οὕτως ἀμαθεῖς ἢ / τῶν θείων διαταγῶν καταφρονηταί, ὡς ἐντείλασθαι μαθητῇ ἡμῶν, ἔξω ἱερωσύνης τελοῦντι, κατατολμᾶν ἐγχειρεῖν τὰ τῆς ἱερωσύνης κἀντεῦθεν βαπτίζειν παιδία· τοῦτο γὰρ τὸ ἔγκλημα. εἰ δὲ λόγος ἀνάγκης ἀπήτησεν ἐν ταύταις ταῖς ἡμέραις, ἐν αἷς αἵρεσις λαοπλάνος, καὶ μάλιστα ἐν ταῖς προλαβούσαις λεηλασίαις, ἐφ' αἷς οὐδὲ προκύπτειν ἦν τὸν φυλαττόμενον τοῦ κρυπτικοῦ δωματίου, οὐκ ἔχω ἀποκρίνειν κατὰ τὴν ἐνοῦσάν μοι βραχεῖαν σύνεσιν οὔτε τόνδε τὸν μονάζοντα οὔτ' αὖ ἕτερον, ἐπειδὴ ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις. καί γε ὁρῶμεν ἐν τοῖς πάλαι χρόνοις τοιαῦτα γιγνόμενα, καὶ ὃν μὲν ἀμμώδει ἐπιχύσει κατ' ἐρημίαν, ἐπειδὴ θάνατος

---

462. a. 823   2 ὀψὲ τοῦ καιροῦ: cf. adn. ad ep. 214,2   3 ἁγιωτάτου: ad allocutionem cf. Dinneen, Titles 3 sq.   26 ἀμμώδει ἐπιχύσει: pro fabella habet narrationem Basnage, Histoire II 1301

---

7 Greg. Naz. or. 2,1 (PG 35,408 B = p. 86 Bernardi)   24 Hebr. 7,12

C VM PS

---

1 τοῦ: τῷ VM Sirm   δυραχίου C   δογματικὴ περὶ τοῦ ἐξ ἀνάγκης γινομένου (γενομένου Sirm) βαπτίσματος titulo add PS: in marg Sirm   2 ἀντελάβομεν: κατελάβομεν PS Sirm   ante τῶν vocem ἐπιστολὴν cancell S   3 ἤσθημεν CP   4 οἶδε συνδεῖν VM   5 ὅτι om VM   6 σου om VM   7 ὅτι οὖν C   8 τ' ἀληθῆ C Sirm   9 ἕν: ἐν CV Sirm   τούτῳ V Sirm   ἓν τοῦτο καὶ ἡμεῖς: καὶ ἡμεῖς ἐν τούτῳ V: καὶ ἡμεῖς ἓν τοῦτο M   20 ὁ ante λόγος inser Sirm   22 τὸν: τὸ PS

παρῆν, βαπτίσαντα καὶ βαπτισθέντα καὶ ἄλλον ἄλλως. οὐκ ἔξω δὲ γνώσεως τῇ τελειότητί σου τὰ κατὰ τὸν Ἅγιον Ἀθανάσιον, ὅπως ἡ παιδικὴ πρᾶξις ὁραθεῖσα πρὸς τοῦ μακαριωτάτου Ἀλεξάνδρου ἐνεκρίθη ὡς θεοτελὴς καὶ ἐλογίσθη ὁ τελέσας ὡς ἱερεὺς καὶ ὁ τελεσθεὶς ὡς ἀναγεννηθείς, καίπερ οὐκ ἐξ ἀνάγκης ὁ καιρός. παραχωρεῖ δὲ καὶ ἡ ἕκτη σύνοδος ἐν τοῖς θείοις κανόσιν, εἰ μὴ πάρεστιν ἱερωμένος, ἐξ ἀνάγκης λαϊκὸν ἑαυτῷ μεταδοῦναι τῶν ἁγιασμάτων· ὅπερ οὐ θεμιτὸν ἄνευ περιστατικοῦ λόγου.

Οὕτως οὖν εἰ γέγονεν, ἡμεῖς, σύγγνωθι πάντιμε, οὐ τολμῶμεν παρὰ τὰ θειωδῶς τοῖς πατράσιν ἐκπεφασμένα εἰπεῖν τι ἢ ἐπιτιμῆσαι. συνίστησι δὲ τὸν ἀδελφὸν οὕτω πράξαντα καὶ μετὰ πολλῆς ἀγωνίας πρῶτον μὲν αὐτὸς ὁ ἀναγκάσας (καὶ ἔστιν ὁ ἀνὴρ τῶν λίαν καὶ εὐσεβῶν καὶ ἐμφρόνων καί γε περιφανῶν, Θωμᾶς ὁ ὕπατός τε καὶ χαρτουλάριος), ἔπειτα Ἰάκωβος ὁ εὐλαβέστατος μονάζων καὶ τῆς αἱρέσεως ἀμέτοχος, εἶτα καὶ Εὐθύμιος, ἕτερος αἰδέσιμος μονάζων καὶ δεδιωγμένος. ἐπὶ δύο καὶ τριῶν μαρτύρων σταθήσεται, φησίν, πᾶν ῥῆμα. λέγεις, ὁ δεσπότης μου, οὐχ οὕτως ἔχειν, καὶ προφερέστερος δῆλον ὅτι τῶν πάντων. τί γοῦν ποιήσω ἐγώ, ἀπειλημμένος ἐν μέσῳ τοσούτων μαρτύρων; ἐὰν ὡς αὐτὸς φῇς ἔχῃ, ὅτι παρόντων ἱερέων φιλαρχίᾳ προμνηστευόμενος ἑαυτῷ ἱερωσύνην τοῦθ' εἰργάσατο, εἴη πρὸς ἡμῶν μήποτε εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα προβαίνων μετὰ καὶ ἑτέρων ἐπιτιμίων· δίκαιον γάρ. εἰ δέ, ὡς οἱ μάρτυρες καὶ αὐτὸς διηγεῖται, ἀναγκασθεὶς καὶ δυοῖν προκειμένων, ἢ ἀμύητον τὸ βρέφος ἀποτεθνάναι, ὅπερ ἔπαθεν οὐ πεισθεὶς πρότερον ἐν δυσὶ παισίν, ἢ προέσθαι τοῖς αἱρετικοῖς τοὺς φυλαττομένους τὴν εὐσέβειαν, οὐδὲν ἐγὼ ὁ ταπεινὸς τολμῶ ἐπισκῆψαι, ἕως ἂν ὁ μακαριώτατος ἡμῶν ἱεροτελεστὴς ἐπιθεωρήσας ἐξοίσει κρίσιν. καὶ μή μου τῆς ταπεινώσεως, πατέρων φίλτατε, καταστενάξειας, ἀλλ' ἢ μᾶλλον προσεύχου ἐν τοῖς ἰδίοις μέτροις ἑστάναι καὶ τὸν ἐσφαλμένον βίον διορθώσασθαι ἡμᾶς. περὶ δὲ ἑτέρων σφαλμάτων, ὧν ἔδωκεν ἔμφασιν

---

28 Anon. vita Athan. 1 (PG 25, ccxii A sq.)

28 ὅπως: ὅμως VM Sirm 29 πρὸς: παρὰ VM ἐνεκλήθη VM 30 τελεσθεὶς: τελειώσας P Sirm 31 ἐξανάγκης CS 33 ἐξανάγκης CS 34 θεμιτὸν: χωρητὸν VM 35 οὐ τολμῶμεν in marg S 42 φησιν C: φησι cett: φησὶ Sirm 43 μου om VM Sirm προφανέστερος VM 44 δηλονότι VMPS Sirm γοῦν: οὖν VM 45 φὴς VPS Sirm 46 αὐτῷ PS Sirm τοῦτ' S: τοῦτο VM Sirm 49 δυεῖν CP 50 voces ἐν δυσὶ πρότερον ante οὐ transp VM Sirm 52 γὰρ post οὐδὲν cancell C ταπεινός: ἁμαρτωλὸς VM Sirm 53 μή om VM 56 δέδωκεν VM

ἡ θεοσέβειά σου, καὶ ἐξηγόρευκεν ἡμῖν καὶ οὐδόλως ἐπενοήσαμεν ἐκθέσμως αὐτὸν πρᾶξαι, ἀλλ' ἢ καὶ ἐπαίνου ἄξιον, εἰ, μοιχεύοντας ἀκούων, οὐχ ὑπεστείλατο μὴ οὐχὶ ἀναγγεῖλαι τοῖς δυναμένοις / ἀπεῖρξαι τὸ ἀσέλγημα, ἢ τὸ τῇ κομητίσσῃ ἀγχόνῃ αἱρουμένῃ χρήσασθαι ἰδεῖν καὶ τὰ προσήκοντα ἐπιπράξασθαι. τάδε γὰρ οἶδεν ὠφληκέναι καὶ οὐκ ἄλλο καὶ πολλῆς εὐφημίας πρὸς τῶν ἀνωτέρω δηλωθέντων ἀνδρῶν, ὡς αὐτήκοος ἐγενόμην, προανεδήσατο ὁ ἀδελφὸς Ἔραστος ἐπαίνους.

Οὐ τοίνυν, ἅγιε, διὰ τὸ σκινδαλμὸν αὐτὸν ἐμποιῆσαι ἐν τοῖς αὐτόθι, ἀλλὰ διὰ τὰ ἀδιόρθωτα σκάνδαλα εἶρξα τὸν ἀδελφὸν τῆς παλινοδίας, ὡς ἂν ἐντεῦθεν ἀθωωθῇ μὲν ὁ κατηγορούμενος τῶν ἐγκλημάτων, εἰρηνεύσειεν δὲ οἱ φιλεγκλήμονες καὶ παθοπράται, ὅ τε μακαριώτατος ἡμῶν πατὴρ ὑπακουσθεὶς χαρίσῃ ἡμῖν τὰς θεοκλινεῖς σου προσευχάς, ἐπεὶ καὶ τῷ ἀδελφῷ συγχώρησιν.

463. Ἰωάννῃ σπαθαρίῳ

Τὸ εὐαγγέλιον τῆς σωτηρίας τοῦ εὐλογημένου μου δεσπότου καὶ πνευματικοῦ ἀδελφοῦ, καὶ πρὸ τοῦ γράμματος ἀπαγγελθέν, ἥδυνεν ἡμῶν τὰς ταπεινὰς καρδίας· ἐπεὶ δὲ καὶ ἀνεγνώσθη, τελείως εὔφρανεν καὶ ἐχαροποίησεν, καὶ οὐχ ἡμᾶς μόνους τοὺς ἁμαρτωλούς, ἀλλὰ καὶ τὰς ἀγγελικὰς δυνάμεις, εἴπερ ἐφ' ἑνὶ ἀνθρώπῳ μετανοοῦντι χαρὰ ἐν οὐρανοῖς γίνεται κατὰ τὰ ἱερὰ λόγια. ἀλλ' εὐλογητὸς ὁ θεός, ὃς οὐκ

---

57 θεοσέβεια: de hac allocutione in epistulis patrum cf. Dinneen l. l. 6 sq.

57 ἐξηγόρευσεν Sirm οὐδ' ὅλως CP 58 πράξαι CPV 60 ἀσέλγημα: ἀσέβημα VM Sirm κομητήσῃ C: κομιτίσσῃ PS Sirm ἀγχόνῃ post αἱρουμένῃ transp VM Sirm 61 καὶ om Sirm ἐπιπράξασθαι in marg C: ἐπιφθέγξασθαι C[ac] 63 προσανεδήσατο C[ac] 65 οὐ τοίνυν: οὐ τοίνυν, οὐ τοίνυν M τὸ: τὸν VM 66 εἶρξα CP παλινῳδίας VMPS Sirm 67 ἀθωοθεῖ C: ἀθωωθείη VM Sirm 68 εἰρηνεύσοιεν C: εἰρηνεύσοιαν cett: εἰρηνεύσειαν Sirm: correxi

---

463. a. 821–826?

2 Eph. 1,13 6 Luc. 15,7

C VM PS

1 δογματικὴ περὶ θεολογίας καὶ περὶ τῆς θείας οἰκονομίας καὶ περὶ τῶν ἁγίων καὶ ἱερῶν εἰκόνων titulo add PS: in marg Sirm (qui voces καὶ περὶ τῆς θείας οἰκονομίας om) 2 μου om VM 4 ἐπειδὴ C[ac] καὶ om C εὔφρανε VMPS Sirm 5 ἐχαροποίησε VMPS Sirm μόνον VM 6 μόνῳ ante ἀνθρώπῳ add VM

εἴασε τὴν τιμιότητά σου ἕως τέλους συναπαχθῆναι τῇ πονηρᾷ αἱρέσει τῶν χριστομάχων, ἀλλὰ διὰ τῆς καλῆς καὶ μακαρίας θυγατρὸς ἐπέστρεψεν εἰς τὸ φῶς τῆς ἀληθείας. καὶ ὢ τοῦ θαύματος καὶ τοῦ γεννήσαντος καὶ τῆς γεννηθείσης· ὢ τῆς τῶν ἀμφοτέρων εἰλικρινοῦς ἀγάπης, τῆς μὲν φροντισάσης ἐπ' αὐταῖς ταῖς τελευταίαις ἀναπνοαῖς τὸ πατρικὸν σῶσμα, τοῦ δὲ κλίναντος θεοπρεπῶς τὸ οὖς καὶ χαρισαμένου τῇ αἰτησαμένῃ καλὸν ἐντάφιον, τὴν ὀρθόδοξον ἐπιστροφήν. ἀπῆλθεν ἡ μὲν ἔχουσα μετὰ τῆς οἰκείας καλοκἀγαθίας ξένιον τερπνὸν προσοῖσαι τῷ θεῷ, τὸ πατρῷον σωτήριον, ὁ δὲ ἐπέμεινεν θυγατρὸς ἱερᾶς εὐσεβὲς ἐγκαλλώπισμα καὶ πάντων τῶν ὀρθοδόξων ὡς ἀληθῶς εὐφραντήριον. τί γὰρ οἶδας, φησί, γύναι, εἰ τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; ἡμῖν δὲ μικρὸν ὑπαλλακτέον, ὅτι ἔσωσεν ἡ θυγάτηρ τὸν πατέρα. καὶ μακαρία ἐκείνη ἡ ὁσία, μακάριος καὶ σύ, ὦ τριπόθητε· πείθομαι γὰρ ὅτι σὺν σοὶ καὶ ὅλην οἰκίαν, τάχα δὲ καὶ γένος προσαγάγῃς ὀρθοδοξοῦν τῷ δεσπότῃ Χριστῷ, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ὑμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ὑμῶν.

Τοιαύτη ἡ θεία προσφορὰ καὶ καλλίστη σου ἡ ὁμολογία, ἣν ἐν τοῖς γράμμασιν ὡμολόγησας ἐνώπιον θεοῦ καὶ ἀνθρώπων. οὕτω γὰρ ἡ ἀληθινὴ πίστις τῶν χριστιανῶν, κατὰ μὲν τὸ τῆς θεολογίας δόγμα πιστεύειν εἰς πατέρα καὶ υἱὸν καὶ Ἅγιον Πνεῦμα, ἐν οἷς καὶ τὸ βάπτισμα τὴν τελείωσιν ἔχει, θεὸν τὸν πατέρα, θεὸν τὸν υἱόν, θεὸν τὸ Πνεῦμα τὸ Ἅγιον (εἰς ἕνα θεὸν καὶ οὐ τρεῖς, / ἄπαγε, ἐπείπερ μία ἡ θεότης, οὐ διαιρουμένη ταῖς τρισὶν ὑποστάσεσιν, ἀλλ' ὅλη ἐφ' ἑκάστῳ προσώπῳ θεωρουμένη ἀμερίστως· ὃ καὶ παράδοξον, θεὸν λέγειν ἕκαστον καὶ εἰς ἕνα θεὸν ἀνακεφαλαιοῦν τὸ ὁμολόγημα), κατὰ δὲ τὸ τῆς οἰκονομίας πάλιν πιστεύειν ὅτι ὁ λόγος σὰρξ ἐγένετο, ἤγουν ὁ εἷς τῆς Ἁγίας Τριάδος ἐγεννήθη ἐκ τῆς παναχράντου παρθένου Μαρίας, μείνας μὲν ὅπερ ἦν, θεὸς ἀναλλοίωτος καὶ τῷ πατρὶ συναΐδιος, προσλαβὼν δὲ τὸ ἡμέτερον διὰ τῆς παρθενικῆς ἐν Πνεύματι Ἁγίῳ γεννήσεως. καὶ ἔστιν ὅλος θεὸς καὶ ὅλος ἄνθρωπος, ὅλα φέρων ἀνελλιπῶς ἐν ἑαυτῷ τὰ τῶν ἑκατέρων φύσεων ἐξ ὧν συνετέθη,

18 1 Cor. 7,16 34 Joh. 1,14

10 ὦ C 11 ὦ C 13 σῶσμα: σῶμα VM (sed cf ep 62,8) χαρισαμένῳ C 16 ἐπέμεινε VMPS Sirm 18 γυναι C: γῦναι P 21 καὶ ante μακάριος add VM 22 προσαγάγεις C 24 εὐχαριστηθείη VM ἡμῶν V^{pc}M 25 θεία – καλλίστη: καλλίστη προσφορὰ καὶ θεία VM ἡ[2] V^{sscr} 26 ὁμολόγησας C οὕτως VM 28 καὶ[1] om VM 38 καὶ[2] om VM

θεότητός τε φημὶ καὶ ἀνθρωπότητος ἐν μιᾷ ὑποστάσει τὰ ἰδιώματα, περιγραπτὸς καὶ οὐ περιγραπτός, τὸ μὲν κατὰ τὴν θεότητα, τὸ δὲ κατὰ τὴν ἀνθρωπότητα· ταῦτα γὰρ τὰ ἰδιώματα, καὶ τῷ μὲν ἀπεριγράπτῳ εἷς ὢν τῆς Ἁγίας Τριάδος, τῷ δὲ περιγραπτῷ εἷς ὢν ἐξ ἡμῶν. κἀν τούτῳ πιστοῦται μεσίτης θεοῦ καὶ ἀνθρώπων γενόμενος, ὡς συνάπτων τὰ ἄκρα πρὸς ἑαυτὸν καὶ δι' ἑαυτοῦ θείας φύσεως κοινωνοὺς καὶ θεοῦ υἱοὺς ἡμᾶς ἀπεργασάμενος, τὸ θαυμαστὸν καὶ ὑπεραινετὸν καὶ νοούμενον καὶ λεγόμενον. ὁ οὖν λέγων αὐτὸν μὴ περιγράφεσθαι ἐν σαρκὶ καθ' ὁμοιότητα ἡμετέραν, ἀρνεῖται, εὐλογημένε μου ἀδελφέ, θεὸν ἐν σαρκὶ φᾶναι, ἀντιτασσόμενος τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ καὶ ἔστιν Ἰουδαίοις ἴσος· ποῦ γὰρ ἀληθεύσει τὸ ὅμοιος ἡμῖν κατὰ πάντα γεγονέναι, εἴπερ μὴ ἐξεικονίζοιτο καθ' ἡμᾶς; ποῦ δὲ τό, ψηλαφήσατέ με καὶ ἴδετε ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα; ποῦ δὲ τό, τί με θέλετε ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ πατρός; ὁ τοίνυν μὴ περιγραφόμενος οὔτε ὅμοιος ἡμῖν δῆλον ὅτι οὔτ' αὖ ψηλαφᾶται οὐδ' οὐ μὴν ἀποκτένεται. ἀλλὰ μὴν ἀπεκτάνθη καὶ ἐψηλαφήθη μετὰ τὴν ἀνάστασιν· οὐκοῦν καὶ περιγραπτὸς τῇ καθ' ἡμᾶς ἐξεικονίσει. ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν οἱ εἰκονομάχοι καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, ἐκ τοῦ ἀρνεῖσθαι τὴν εἰκόνα Χριστοῦ σὺν τῆς Θεοτόκου καὶ τῶν ἁπάντων ἁγίων ἀρνούμενοι τὴν σωτήριον οἰκονομίαν, καὶ Χριστὸν μὲν ὁμολογοῦντες ὡς τὰ δαιμόνια, τοῖς δὲ ἔργοις ἀρνούμενοι· οὐ γάρ τοι Χριστὸς ὁ Χριστός, εἰ μὴ περιγράφοιτο, οὐδὲ προσκυνεῖται, εἰ μὴ πιστεύηται ἐν τῇ εἰκόνι αὐτοῦ προσκυνούμενος.

Οὕτως οὖν, ὦ ἄνθρωπε τοῦ θεοῦ, ἡ ἀλήθεια καὶ οὕτως δεδογμάτισται παρά τε ἀποστόλων καὶ προφητῶν καὶ θεοφόρων πατέρων, κἂν οὐκ αὐταῖς λέξεσιν, ἀλλά γε διὰ τῆς ἀληθοῦς τῶν ὑπ' αὐτῶν λελεγμένων ἀναθεωρήσεως· οἷα γάρ τινα σπέρματα προβέβληνται πᾶσαι αἱ δογματικαὶ δυνάμεις ἐν ταῖς τῶν θείων λογίων νοήσεσιν, ταῖς δὲ κατὰ καιρὸν ἀναφυομέναις αἱρέσεσιν ἀντεπεξάγεται τὰ εὐσεβῶς

44 1 Tim. 2,5 52 Luc. 24,39 53 Joh. 8,40 58 Rom. 1,21

40 τε om VMPS Sirm τὰ om S Sirm: cancell P 44 ὅτι ante μεσίτης add V 45 ἑαυτοῦ C: αὐτοῦ cett Sirm 46 ὑπὲρ αἰνετὸν C: ὑπερεπαινετὸν VM 48 ὁμοιότητα C: ὁμοίωσιν cett Sirm 49 φάναι VMPS Sirm 50 Ἴσος VMPS Sirm ὅμοιον Sirm 51 ἐξεικονίζοιτο: ἐξ εἰκονίζοιτο S 52 με om VM ὅτι om VM 55 οὔτε: οὔθ' PS Sirm δηλονότι VMPS Sirm 56 ἀποκταίνεται C 58 λογισμοῖς S[ac] 59 αὐτῶν M 60 τῶν ἁπάντων: πάντων τῶν VM: ἁπάντων τῶν Sirm 62 μὲν P[sscr] 64 πιστεύεται VMPS Sirm αὐτοῦ M[pc] 66 κἀν M 67 λελεγμένων: λεγομένων VM 69 νοήσεσι VMPS Sirm

δογματιζόμενα, ἐκεῖθεν πνευματοκινήτως γεωργού/μενα καὶ τὰ τῆς ἀσεβείας ζιζάνια ἐκτίλλοντα. οὕτως καὶ αὐτὸς πιστεύων ἔρρωσο ἐν Κυρίῳ, προσκυνῶν τὸν Χριστόν, προσκυνῶν καὶ τὴν εἰκόνα αὐτοῦ, τὴν Θεοτόκον καὶ τὴν εἰκόνα αὐτῆς, τοὺς ἁγίους καὶ τὰς εἰκόνας αὐτῶν· ἐπειδὴ ἐν ταῖς εἰκόσι τὰ πρωτότυπα προσκεκύνηνται καὶ ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, ὥς φησιν ὁ Μέγας Βασίλειος.

464. Μαριανῷ σπαθαρίῳ

Ἕλκει ἡμᾶς ἡ εὐσέβειά σου πρὸς τὸ γράφειν, ὡς ὄφελος, φησίν, εὑρίσκουσα (καὶ οὐ δοκῶ, ἐπείπερ ἡμῶν σὺν τῷ βίῳ καὶ ὁ λόγος ἄχρηστος), ἀλλ' ὡς ἀγάπῃ φερομένη· ἡ ἀγάπη γάρ, φησὶν ὁ ἀπόστολος, τὸ κακὸν οὐ λογίζεται. πλήν, ὁποτέρως ἂν ἔχοι, εἴκω καὶ πείθομαι τῷ ἡμετέρῳ ἐραστῇ, τῷ ἀγαθῷ ἀνδρί, τῷ πανευφήμῳ ἄρχοντι, τῷ τροφίμῳ τῆς εὐσεβείας, τῷ θρέμματι τῆς ὀρθοδοξίας, τῷ ἀνθρώπῳ τοῦ θεοῦ, τῷ φιλητῇ τῶν μοναστῶν. πολλά σου τὰ ἐγκώμια, κάλλιστα τὰ ἀριστεύματα. ἀλλὰ βλέποις, ὁ δεσπότης μου, πῶς περιπατεῖς (τοῦτο γὰρ βοᾷ ὁ ἀπόστολος), μὴ ὡς ἄσοφος, ἀλλ' ὡς σοφός, μὴ ὡς φιλόσαρκος, ἀλλ' ὡς φιλόθεος, μὴ ὡς ἀθάνατος, ἀλλ' ὡς ἐμμέριμνος ἐξόδου, τὸ κοινὸν χρέος, τὸ ἀνυπέρβατον ὁροθέσιον· οὐκ ἔστι γάρ, φησίν, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον. τίνα οὖν ἀμφοτέρων τὰ ἰδιώματα, εἴποις ἄν; ἐγώ σοι διεξίημι, φίλε· τοῦ μὲν πρώτου χορεύματα, γελοιάσματα, παίγνια, αἰσχρολογήματα, οἰνοφλυγίαι, γαστριμαργίαι, μετεωρισμοί, διάκενα φυσήματα, καλλωπίσματα ἀλλεπάλληλα, φιλοπλουτίας ἔρωτες, καὶ τὰ πλείω καὶ βαρύτερα

75 Bas. spirit. 18,45 (PG 32,149 C)

72 ἐκτείλλοντα C: ἐκτίλλονται Sirm 73 προσκυνῶν om VM 76 ὥς: καθὼς S

464. 2 εὐσέβεια: allocutio in epistulis patrum plerumque ad imperatorem dicta; cf. Dinneen, Titles 29 sq.

4 1 Cor. 13,4 sq. 9 Eph. 5,15 12 Ps. 88,49

C VM PS

1 ὡραία ὅλη in marg C 5 τὸ κακὸν post λογίζεται transp S (ut in 1 Cor l. l.) εἴκω P: ἥκω C (cf adn ad ep 158,6) 14 φίλος V 17 ἀλλ' ἐπάλληλα C φιλοπλουτίαι Mi βαρυτέρα P

αἰδοῖ τῆς ἐξουσίας σου ἀφίημι· καί γε οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν, ἀπέφηνεν ὁ ἀπόστολος. δεῦρό σοι καὶ τοῦ ἑτέρου ὑποδείξαιμι τὰ κράτη· πτωχεία πνεύματος, κατανύξεως δάκρυα, πραότης, εἰρήνη, ἐλεημοσύνη, νοῦ πρὸς θεὸν θεωρία, ἀφιλαργυρία, μισοκοσμία, αὐτάρκεια, ἐγκράτεια· κατὰ δύναμιν τῆς ἐφ' ἑκάστῳ δυνάμεως ὑπὲρ ὁμόζυγον, ὑπὲρ τέκνα, ὑπὲρ γονεῖς, ὑπὲρ ἀδελφούς, ὑπὲρ ἅπαντας ἁπλῶς ἀγαπᾶν τὸν ποιήσαντα ἡμᾶς Κύριον, τὸν ὑπὲρ ἑνὸς ἑκάστου ἐκδεδωκότα ἑαυτὸν εἰς θάνατον.

Ταῦτα καὶ τὰ τούτοις ὅμοια καὶ τοῦ ἀληθινοῦ χριστιανοῦ· μὴ γάρ τοι νομίσῃς, δέσποτα, ἐπὶ μονάζοντος τὰ λεχθέντα, ἀλλ' οὐχὶ καὶ ἐπὶ λαϊκοῦ τὰ πάντα ἐφίσῃς (κἂν ἐν τῷ μονάζοντι ἐπιτεταμένως), πλὴν ἀγαμίας καὶ ἀκτημοσύνης, ἐν οἷς ὁ κοσμικὸς οὐ κατακέκριται. ὅμως κἀνταῦθα ἐγκρατείας καιροὶ καὶ αὐταρκείας θεσμοί· ἔχοντες γάρ, φησί, διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα, οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς τὸ ἄφυκτον βάραθρον. καὶ πάλιν· ἵνα καὶ οἱ ἔχοντες / γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν. ἰδού, δέσποτά μου, ἠνάγκασάς με τὸ δικαίωμα τοῦ θεοῦ ἀναγγεῖλαί σοι. σπεύσωμεν ἀμφότεροι σωθῆναι· ἀρκετὸς ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου τὸ θέλημα τῆς σαρκὸς κατεργάσασθαι. νῦν, φησὶν ὁ ἀπόστολος, καιρὸς εὐπρόσδεκτος, νῦν ἡμέρα σωτηρίας. ἰδοὺ ὁ ἀγαθὸς θεὸς ἐκδέχεται ἕως ἐσχάτης ἀναπνοῆς τὸν καρπὸν ἡμῶν· μὴ εἴποι, ἔκκοψον αὐτόν, ἱνατί καὶ τὴν γῆν καταργεῖ; μὴ κλείσῃ καθ' ἡμῶν καὶ οὐκέτι ἄνοιξις· μὴ λάβοι ἡμᾶς ὁ διάβολος εἰς μέρος αὐτοῦ, συγκολαζομένους αἰώνια· μὴ ἀνάρπαστοι ἄφνω γενοίμεθα. ποσάκις ἐγγυὰς ἐδώκαμεν ὡς, εἰ τῆς ἀσθενείας ἢ τοῦδε τοῦ κινδύνου ἢ τῆσδε τῆς θλίψεως ῥυσθῶμεν, εὖ βιώσομεν, θεῷ γνησίως δουλεύσομεν, καὶ πάλιν ἐπελαθόμεθα τῶν συνθηκῶν; ἕως πότε ἀνέξεται; ἕως τίνος ἐάσει; ἀνάγκη πάντως μικρὸν ὕστερον ἐξελθεῖν τῶν ἐνθένδε. μὴ τοίνυν εὑρεθῶμεν ἀπαρασκεύαστοι τῶν ἀγαθῶν ἔργων, ἵνα μὴ τὸ οὐαὶ ἡμῖν εἴη αἰώνιον καὶ ἀπέραντον, ἀλλὰ ἐν ἑτοιμασίᾳ εὐαρεστήσεως, ὅπως συμβασιλεύειν Κυρίῳ καταξιωθῶμεν εἰς ἀτελευτήτους αἰῶνας. γένοιτο.

---

18 Gal. 5,21   30 1 Tim. 6,8 sq.   33 1 Cor. 7,29   39 Luc. 13,7   44 Matth. 17,17

24 post ἀγαπᾶν voces τὸν Κύριον add VMPS Sirm   25 Κύριον om VMPS Sirm   28 ἐφίσῃς C: ἐπίσῃς cett Sirm   καν C: κἂν VP   30 ἔχοντες – 31 ἀρκεσθησόμεθα om M   39 ἵνα τί C Sirm   καταργῇ C   40 οὐκ ἔτι S: οὐκ ἔστιν Sirm   42 ἐγγύας VMPS Sirm   ἐδώκαμεν C: δεδώκαμεν cett Sirm   43 εὖ βιώσομεν om VMPS Sirm   βιώσωμεν C   δουλεύσωμεν C   46 ἀπαράσκευοι S   47 ἀλλ' Sirm

465. Εὐφροσύνῃ ἡγουμένῃ

Ἄρτι μᾶλλον ἀποδέχομαι τὴν τιμιότητά σου, ἀποκλαυσαμένην τὴν μακαρίαν μητέρα, ὅτε ἐξεληλυθὼς ὁ οἰκονόμος ἀπήγγειλε παρακεκλῆσθαι αὐτὴν ἐν Κυρίῳ. ἐφ' ᾧ καὶ ἡ ταπείνωσίς μου ἀνείθη, φροντίζοντος τὰ κατὰ σὲ ὡς ἀδελφῆς ἐν Χριστῷ. δεῖ γάρ, ὦ κυρία, ἐν τοῖς φιλτάτοις καὶ τὸ τῆς ἀγάπης ἐνδεικνυμένους πενθῆσαι φυσικῶς καὶ τῷ τῆς ἐλπίδος ἐπερειδομένους δόγματι παρακληθῆναι θεοπρεπῶς, μηδ' ὁποτέρως λυμήνασθαι τὸ καλόν· ἴσον γάρ ἐστιν ἀναλγησίας ἡ ὑπέρμετρος περιωδυνία. μέτροις ἀγόμεθα καὶ κανόσι θείοις, καὶ μάλιστα οἱ τὸ τῆς τελειότητος ἐπάγγελμα ἐπανῃρημένοι. ἔκλαυσε καὶ Μωσέα τὸν θεόπτην ὁ λαός, ἀλλὰ τεσσαράκοντα ἡμέρας, καὶ Ῥαχὴλ τὴν θαυμασίαν Ἰακὼβ ὁ πατριάρχης σὺν τέκνοις, ἀλλὰ βραχείαις ἡμέραις, καὶ αὐτὸν Ἰωσὴφ ὁ πολυθρύλλητος καὶ ἄλλους ἄλλοι ἔν τε παλαιᾷ καὶ νέᾳ διαθήκῃ, ἀλλ' ὡρισμένως καὶ οὐκ ἀεί· οὕτω δὴ καὶ αὐτὴ ποιήσασα καὶ ποιοῦσα ἐπαινετὴ παρά τε θεῷ καὶ ἀνθρώποις. βλέποις ἀεὶ κατὰ νοῦν τὴν ποθουμένην, καὶ μάλα συμβουλεύω, ἐξ οὗ εὐκατάνυκτος ἔσῃ, μισόκοσμος, φιλόθεος, ἐμπαράσκευος πρὸς τὴν αὐτὴν ἔξοδον· οὗ τί ἂν γένοιτο σωτηριωδέστερον; τὸ πιστευθέν σοι ποίμνιον τοῦ θεοῦ ποιμαίνοις ὁσίως ὡς μήτηρ πνευματική, ἀλλ' οὐκ ἄρχουσα ἀνθρωπίνως, ὡς τυποῦσα δι' ἑαυτῆς ἐν τοῖς κατ' ἐντολήν, ἀλλ' οὐκ ἀπαιτοῦσα τὰ ὑπὲρ δύναμιν, ὡς ἐπ' ἴσης ἐν πάσαις τῇ ἀγάπῃ καταμεριζομένη, ἀλλ' οὐ προστιθεμένη ἄλλῃ ἄλλως δι' αἵματος τρόπον.

Ὁρᾷς ὅπως νενομοθετήμεθα πρὸς τῆς ἀληθείας; ἀλ/λὰ τί φησιν ὁ μέγας Πέτρος; καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος κομίσοισθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον. ἡλίκον σοι βοῆσαι ἐνώπιον Κυρίου, ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι δέδωκας· προσθείην δ' ἂν κἀκεῖνο· ἐγὼ οὐκ ἐκοπίασα κατακολουθῶν σοι καὶ ἡμέραν ἀνθρώπου οὐκ

465. a. 823 3 μητέρα: Eirene οἰκονόμος: Naucratius

11 De. 34,8 12 cf. Gen. 35,20 13 cf. Gen. 50,1 25 1 Petr. 5,4 27 Is. 8,18

VM PS

3 ἀπήγγειλε om M 4 ἔφησεν post Κυρίῳ add M 5 voces ἐν Χριστῷ post ὡς transp M 8 ἶσον codd Sirm: corr Mi 16 τε post θεῷ transp M 17 μάλα post συμβουλεύω transp M 19 τοῦ θεοῦ om M 22 ἐπίσης omnes: distinxi 24 τὴν ἀλήθειαν M 26 τῆς δόξης S[sscr] στέφανον ante τῆς transp M

ἐπεθύμησα, Κύριε. καὶ γὰρ οὕτως ἔχει· πάντα θεῷ δέδωκας, πάντα ἡγήσω σκύβαλα, ἵνα Χριστὸν κερδήσῃς. ὥστε, εἰ καὶ θλίψεις, αἷς συζῶσιν οἱ θείως διαβιοῦντες, φέροις, κυρία· πολλαὶ γὰρ αἱ θλίψεις τῶν δικαίων, ὡς βοᾷ ὁ ἅγιος Δαυίδ, νοητῶς τε καὶ αἰσθητῶς ἀναπτόμεναι παρὰ τοῦ ἐχθροῦ· οὗ τὰ νοήματα μὴ ἀγνόει, οὗ τὰς μεθοδείας ταῖς προσευχαῖς τροποῦ. οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ὥς φησιν ὁ ἀπόστολος, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ τῇδε κόσμου, ὧν διαφυγεῖν τὰς πάγας ἀγωνιστικὸν τῷ ὄντι. ἔχοις ψυχήν, ἐν ᾗ ἀναθήσῃ τὰ συμβαίνοντα· ἐντεῦθεν γὰρ χαλινὸς ἁμαρτίας καὶ βοήθεια θεία. οἷον αἱ ἀδελφαί, τὴν σὴν ἔχουσαι προστασίαν· δεῖ γὰρ αὐτὰς ἀνατίθεσθαί σοι τὰς ἑαυτῶν ὁρμὰς καὶ πρὸς τί ἑκάστη ἐπιρρεπέστερον ἔχει καὶ αὐτὴν ὑποδέχεσθαι, καὶ τὴν μὲν παρακαλεῖν, τὴν δὲ προθυμεῖσθαι, τὴν δὲ ἀσφαλίζεσθαι καὶ ἁπλῶς τὸ πρόσφορον ἁπάσαις προσφέρειν. καὶ μήτοι ἀκηδιάσῃς ἐν τῷδε· θεὸς συνασπιστής, Κύριος ὑπερείδων. ἡμεῖς μόνον ἀρξώμεθα, καὶ αὐτὸς διδάσκει γνῶσιν. ζηλῶ ὑμᾶς, φησὶν ὁ ἀπόστολος, ζήλῳ θεοῦ· ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ.

Οὕτως ὑπολάμβανε τὰ καθ' ἡμᾶς, ὅσον κατὰ ἔσχατον ἀπήχημα ἀφομοιώσεως, κἂν ἄλλως ἁμαρτωλοὶ ἡμεῖς· καὶ ὁ θεὸς τῆς εἰρήνης, ὁ καὶ τὴν συνώνυμον Εἰρήνην κληθεῖσάν σου μητέρα ἐν εἰρήνῃ καὶ ὁσιότητι πρὸς ἑαυτὸν προσλαβόμενος, καὶ σὲ κατ' ἴχνος ἐκείνης πολιτεύεσθαι ἀξιώσειε, ποιμαίνων ποιμαίνουσαν καὶ ὁδηγῶν ὁδηγοῦσαν ἐν αὐτῷ Χριστῷ τῷ θεῷ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

466. Ἰακώβῳ μονάζοντι

Βραδεῖς καὶ ἡμεῖς πρὸς τὴν τῶν γραμμάτων ἀντίδοσιν ἀπηντήκαμεν, ἀδελφὲ τιμιώτατε, οὕτω τοῦ χρόνου δυσκολήσαντος, ἀλλ' ὅμως ἀμειβόμεθά σε τοῖς ἴσοις τῆς ἀγάπης μέτροις, δυσχεραίνοντες

---

50 ποιμαίνων — ὁδηγοῦσαν: ad repetitionem verborum cf. adn. ad ep. 530,52

29 Philipp. 3,8   31 Ps. 33,20   34 Eph. 6,12   44 2 Cor. 11,2

31 θείως: ὁσίως M   34 σου ante τροποῦ add M   36 πάγας: παγίδας Mi   τῷόντι S   42 μήτοι: μή τι M   43 συνασπιστής: ὑπερασπιστής M   Κύριος: θεὸς M   48 Εἰρήνην scripsi: εἰρήνην Sirm: om M

---

466. a. 823?

C VM PS

4 τῆς ἀγάπης S[sscr]

μὲν ἐφ᾽ οἷς ἐξεῦρες καθ᾽ ἡμῶν ἐγκωμίοις, ὡς οὐκ ἐχόντων ἐπαίνου λόγον, εὐφραινόμενοι δὲ ἐπὶ τῇ διαπύρῳ ζηλοτυπίᾳ τῆς ἠκριβωμένης σου πολιτείας, φυλαττούσης ἑαυτὴν ἀκατάτακτον τῶν χυδαιουμένων τῇ ἀδιαφορίᾳ, περὶ ἧς σοι καὶ ὁ πᾶς λόγος.

Ἐγὼ δὲ οὐκ οἴομαι, φίλτατε, ὅπερ ἐσήμανας πρόσωπον οὕτω πράττειν καὶ λέγειν· πῶς γὰρ ὁ ἐν βαθμῷ ἱεραρχίας ἀνηγμένος χαμαιζήλως ἄγοιτο, πῶς δὲ καὶ ὁ ἠθληκὼς δι᾽ ὁμολογίας συνυποφέρεται τοῖς ἀζηλώτοις καὶ ἀνιέροις; φῂς γὰρ λέγειν αὐτὸν ὅτι / τὸ καθέζεσθαι εἰς ἐπισκοπεῖον, ἐν ᾧπερ ἠσέβησεν ὁ κατέχων, τὸ κωλῦον οὐδὲν καὶ τὸ παρὰ συγκαταβατῶν ἀνεπισκόπων σιτίζεσθαι οὐδὲν μάχεται τῷ κανόνι τῆς εὐσεβείας. καὶ πῶς τοῦτο οὐ μάχεται τῇ ἀληθείᾳ, τοῦ ἁγίου Δαυὶδ ψάλλοντος ἔλαιον ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου τοῦ τε Ἁγίου Ἀθανασίου προστάσσοντος μηδεμίαν κοινωνίαν ἔχειν ἡμᾶς πρὸς τοὺς αἱρετικούς, ἀλλὰ μὴν μηδὲ πρὸς τοὺς κοινωνοῦντας μετὰ τῶν ἀσεβῶν; πῶς δὲ οὐ κοινωνία, εἴπερ δεῖ καθέζεσθαι ἐν τόπῳ τοιούτῳ κἀκ τῶν τοιούτων σιτίζεσθαι; οὐκ ἔχει φύσιν· κἂν μὴ ἐκεῖσε κάθηταί τις, ἐκεῖθεν δὲ τρέφοιτο, αὐτὴ ἡ δόσις καὶ λῆψις κοινωνίαν ἐργάζοιτο· φησὶ γὰρ ὁ ἀπόστολος· οἴδατε καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας οὐδεμία μοι ἐκκλησία ἐκοινώνησε χάριν δόσεώς τε καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνον, ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. εἰ οὖν τὸ ἅπαξ καὶ δὶς λαβεῖν κοινωνίαν ἀπέφηνε τὸ φῶς τοῦ κόσμου, τὸ ἀεὶ λαμβάνειν τίς δ᾽ ἄν, τίς εὖ φρονῶν οὐ φεύξοιτο ὡς ἀντίθετον φωτός;

Δεῖ δὲ τὴν ἁγιωσύνην σου ἐπιεικῶς καὶ ταπεινοφρόνως τῷ πατρὶ τὰς ὑπομνήσεις εἰσοῖσαι, κἂν μὲν πεισθῇ, ἐκερδήσαμεν τὸν πατέρα, εἰ δὲ μή, τὸ ἑαυτῶν ἀσφαλὲς μὴ προώμεθα. περὶ γὰρ τοῦ τὰ παιδία βαπτίζεσθαι ὑπὸ τῶνδε ἀλλ᾽ οὐχ ὑπὸ τῶνδε τὴν ἐπιστολὴν ὅλην, ἣν πρὸς τὸν αὐτὸν ἐγκαλέσαντα περὶ τοῦ αὐτοῦ πράγματος ἐχάραξα, καὶ

---

30 πατέρα: Antonius episcopus Dyrrhachenus   32 ἐπιστολήν: ep. 462

---

16 Ps. 140,5   17 Athan. apol. 49 (PG 25,336 B)   22 Philipp. 4,15 sq.

---

7 χυδαιουμένων coll ep 472,20 scripsi: χυδαιομένων codd Sirm   9 φίλτατε post πρόσωπον transp M   οὕτως M   10 πράττειν καὶ λέγειν C: καὶ λέγειν καὶ πράττειν cett Sirm   καὶ ante πῶς add VMPS Sirm   12 φὴς VMP Sirm   13 ἐνώπερ C   κωλύον omnes: correxi   14 ἐπισκόπων M   20 κἀκ: καὶ M   καν C: κἂν P   25 καὶ[1] om VMPS Sirm (cf Philipp l. l.)   εἰς τὴν χρείαν μοι: μοι τὴν χρείαν M   27 τίς δ᾽ ἄν, τίς C: τίς ἂν cett Sirm   εὖ φρονῶν S[sscr]   οὐκ ἐκφεύξοιτο S   31 εἰδεμὴ C   τὰ om VMPS Sirm   32 βαπτίζεσθαι: βλάπτεσθαι M   ἀλλ᾽ οὐχ ὑπὸ τῶνδε: ἢ ὑπὸ τῶνδε V in marg: om MPS Sirm

τῇ σῇ τιμιότητι ἀπέστειλα, περιττὸν ἡγησάμενος δὶς ἐπὶ τὸ αὐτὸ εἰκαιολογεῖν. οὕτως οὖν ἐγὼ ὁ ταπεινὸς φρονῶ καὶ φρονοῦντας τοὺς ἁγίους ὁρῶ, ὡς δὲ ἑκάστῳ δοκεῖ ἔχειν εὕροιεν. ἴσως δὲ φαίη ὁ σιτιζόμενος ἐκ τοῦ ὀρθοφρονήσαντος καὶ ἐπιτιμηθέντος εἶναι τὴν λῆψιν. ἀλλ' οὔπω ταῦτα, ἕως δ' ἂν κατέχοι τὴν ἐπισκοπήν, εἰ καὶ μὴ ἱερουργεῖ μηδὲ μετέχοι τῶν ἁγιασμάτων. ἡ δὲ ἀληθὴς μετάνοια ἐν τῷ ἀφῆσαι τὴν ἐπισκοπὴν καὶ πόρρω γενέσθαι, ὥσπερ τινὲς ἐποίησαν, ἀφ' ὧν ἀβλαβὲς τὸ λαμβάνειν, μεθ' ὧν καταδεκτὸν καὶ τὸ συνεσθίειν.

Ἄλλο τι λέγειν οὐκ ἔχω ἢ τὸ παρακληθῆναί σε προσεύχεσθαι περὶ τῆς ταπεινώσεώς μου οὐ μόνον ὀρθολεκτεῖν, ἀλλὰ καὶ ὀρθοποδεῖν περὶ τὴν πρᾶξιν.

467. Θωμᾷ χαρτουλαρίῳ

Ἐντυχὼν τοῖς γράμμασι τῆς τιμιότητός σου καὶ καταμαθὼν ὅτι παρῆλθεν τοῦ βίου ἡ κυρία καὶ ὁμόζυγος συνήλγησά σοι, δέσποτα, εἰδὼς ὅσον ἐστὶν ἀλγεινὸν τὸ πάθος· ὃν γὰρ ποιεῖ μάχαιρα τέμνουσα σῶμα πόνον, τὸν αὐτὸν καὶ ὁ τῆς ὁμοζυγίας χωρισμός· μία γὰρ κἀνταῦθα σὰρξ κατὰ τὴν τοῦ Κυρίου φωνήν. ἀλλ' ὅμως ἐγένετο καὶ ὑπέστημεν τὸ κοινὸν πᾶσιν ἐπιτίμιον τῆς διαζεύξεως. μικρὸν δὲ ὕστερον καὶ ἡμεῖς τὴν αὐτὴν ὁδὸν πορευσόμεθα, ὡς οἶσθα· καὶ οὕτως ὁ βίος, οὐκ ὄντας γενέσθαι καὶ γεναμένους ἀναλυθῆναι. ἐπαινέσαμεν δὲ τὴν εὐσέβειάν σου, τῇ διαζεύξει αἱρησαμένην μονάσαι καὶ κολληθῆναι ἐξ ὁλοκλήρου τῷ Κυρίῳ· τοῦτο γὰρ ἐδήλου τὸ γράμμα καὶ ὅτι ἀδελφός τις μονάζων πάρεστιν εἰς ὁδηγίαν τοῦ τηλικούτου βίου,

44 ταπεινώσεως: cf. adn. ad ep. 440,7

34 ἐπιτοαυτὸ VPS τὸ αὐτὸ: τῷ αὐτῷ M 37 σιτιζόμενος: ἀρτιζόμενος Sirm 38 δ' om M κατέχῃ SM 39 μετέχει S ἐν om Mi 45 πράξιν C

467. a. 823?

2 Bas. ep. 191 (PG 32,701 B = II 144 Courtonne) 5 Matth. 19,6

C VM PS

1 δογματικὴ (om S) περὶ τοῦ ὅτι ὁ κτίζων μοναστήριον μετὰ τὸ παραδοῦναι ἀνδρὶ καθηγουμένῳ ἐπιβάλλων τούτῳ χεῖρα οὐκ ἔστιν εὐάρεστος τῷ θεῷ titulo add PS: in marg Sirm 3 παρῆλθε VMPS Sirm 4 ἔστιν C 9 γενομένους VMPS Sirm ἐπηνέσαμεν VMPS Sirm 10 αἱρησαμένου M

ὃν αὖθις ἀπέκρινεν ὡς ἀδόκιμον διὰ δηλώματος Γεωργίου τοῦ καλοῦ ἀνδρὸς καὶ οἰκείου νοταρίου, ἄλλον δὲ πρὸς ἡμῶν δοθῆναι μᾶλλον αἰτοῦσα, τὸν ἱκανῶς ἔχοντα κυβερνῆσαι ψυχὰς καὶ ὅλην μονὴν διασώσασθαι.

Ὁ μὲν οὖν ἔπαινος εἰκότως ἡμῖν προείρηται· δεῖ δὲ πρῶτον μαθεῖν ὑμᾶς τί τὸ μοναδικὸν ἐπάγγελμα καὶ ὅσον τὸ τοῦ βίου ὕψος, ἵνα μὴ ἀπείρως εἰσαχθέντες κινδυνεύσωμεν περὶ τὸν πλοῦν. ἡ ἀποταγὴ οὐδὲν ἄλλο καθέστηκεν, εἰ μὴ σταυροῦ καὶ θανάτου ἐπαγγελία. τί τοῦτο; κατὰ τὸν λόγον τοῦ Κυρίου πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν ἀποτάξασθαι τὸν βουλόμενον καί, ἄραντα τὸν σταυρόν, ἀκολουθεῖν ὀπίσω αὐτοῦ. ἐπειδὴ δὲ πρόσωπον ἐπέχει Χριστοῦ πᾶς ἀληθινὸς ἡγούμενος, Χριστῷ διὰ μέσου ἐκείνου ἀκολουθεῖν ἐστιν ἀψευδῶς, καὶ οὕτως σωθήσεται τὸ τῆς ἐντολῆς ἀξιάγαστον. ὁ δὲ μὴ οὕτως ἑλόμενος, ἀλλὰ κτίζειν μοναστήριον ἐν τοῖς οἰκείοις καὶ καθηγητὴν προσκαλούμενος, ὡς ἂν ἐν τοῖς αὐτοῦ καὶ μονάσῃ καὶ ὁδηγηθῇ καὶ σωθῇ, ἀγνοεῖ ὅτι εἰκῇ καὶ μάτην κοπιᾷ καὶ ἅπερ ζητεῖ οὐχ εὑρήσει, ἀλλὰ τοὐναντίον ἔκτοπα, ἐπειδὴ οὐ κατ' ἐντολὴν Κυρίου ἡ τοιαύτη ἀποταγή. ὤφελον γυμνωθῆναι πάσης ὕλης καὶ πόρρω τῶν ἰδίων γενέσθαι καὶ καθηγεμόνος ἐπιτυχεῖν ἀρίστου καὶ οὕτως περαιωθῆναι τὸ μέγα πέλαγος τοῦ τῆδε βίου ἀκινδύνως, οὐχ ὅτι μηδὲν τῶν προειρημένων, ἀλλ' ἐκ μόνου τοῦ οἰκοδομεῖν μοναστήριον καὶ τὸ φαιὸν περιβαλέσθαι καὶ ἡγούμενον δοκεῖν ἔχειν ὄντα μᾶλλον ἐπίτροπον καὶ συμποδίζοντα καὶ συμποδιζόμενον καὶ οὔτε σῴζοντα οὔτε σῳζόμενον. ἔξελθε, φησίν, ἐκ τῆς γῆς σου / καὶ ἐκ τῆς συγγενείας σου, λάβε τὸν σταυρὸν ἐπ' ὤμων, ἐμπτύσθητι, κολαφίσθητι, πίε ὄξος, φραγελλώθητι, ἄνιθι ἐπὶ τὸν σταυρόν, κένωσον αἷμα εἴτ' οὖν νοητῶς εἴτ' οὖν αἰσθητῶς. εἰ δὲ μὴ φέροις ταῦτα, κάθου ἐν τῷ οἴκῳ σου, τῷ ταπεινοτέρῳ βίῳ ἐκβιαζόμενος σῴζεσθαι· οὐδὲ γὰρ ἐνταῦθα ἀμογητὶ τὸ σῶσμα, ἀλλὰ γὰρ καὶ διὰ πολλῶν θλίψεων. μή μοι τανῦν παραδείγματα προσοίσῃς, πᾶν ὅπερ οὐ κατ' ἐντολὴν Κυρίου ἀδόκιμον,

19 Offic. magni habitus (p. 407 Goar); cf. Bas. reg. fus. 8,1 (PG 31,936 B sq.) 22 Luc. 9,23 36 Gen. 12,1 37 cf. Matth. 26,67

13 nomen Γεωργίου post νοταρίου (14) transp S^{ac} 17 ἡμῖν om VM 18 ἡμᾶς S^{ac} τὸ^{2}: τὸν C^{ac} ἀρχὴ in marg CP 19 σημείωσαι in marg C ὡραῖον ὅλον in marg P 21 τοῦ om VM 24 ἔστιν CP Mi 26 κτίζων M^{pc} 27 προκαλούμενος VMPS αὑτοῦ omnes: correxi σωθῇ καὶ ὁδηγηθῇ PS Sirm 30 ὄφελον VMS (an ὤφελεν scribendum?) 31 ἐπιτυχεῖν C: τυχεῖν cett Sirm οὕτω VMPS Sirm 33 τὸ φαιὸν: τὸν θεὸν VM Sirm 37 σου post ὤμων add PS Sirm 38 ἄνηθι C κένωσον αἷμα om VM εἴτουν S 39 φέρεις S τῷ^{2} om VM 40 γὰρ om VM 41 τὰ νῦν CPS Sirm: om VM 42 Κυρίου om VMPS Sirm

ἔωλον, σκανδαλῶδες, τοῦ οὕτως ἀποταξαμένου ἔργον, ἀλλ' οὐ θείου προστάγματος. εἰ δὲ ἐρᾷς νεουργῆσαι μονήν, οὐκ ἔξω τοῦ εἰκότος, ἀλλ' ἐπὰν παραδώσῃς αὐτὴν ἀνδρὶ καθηγουμένῳ, μηκέτι ἐπιβαλεῖς τὴν χεῖρα ἐπ' αὐτῷ, καθάπερ ἐπὶ τῶν οὐ σῶν, καὶ θεῷ τὸ πρᾶγμα εὐάρεστον καὶ ἀπαντήσει σοι εἰς ξενίαν αἰώνιον. ἡμεῖς ἐπὶ τὸν οὕτως αἱρούμενον ἐπιδιδοῦμεν ἀδελφὸν ἐκεῖνον, ὃν ἐκλέγοιτο ὁ ἐπιζητῶν, μετὰ καὶ ἑτέρων ἐννέα ἀδελφῶν, ἐθελόντων ὑποτάττεσθαι τῷ προηγουμένῳ.

Ἰδού, φίλε καλέ, τὸ δικαίωμα τοῦ μοναχοῦ ἀνήγγειλά σοι. ὁ τρόπος τοῦ συνιστάνοντος μοναστήριον ἡ ἡμετέρα ἐπίδοσις. τὸ λοιπὸν εἴη Κύριος παραμύθιόν σου, συνετίζων σε κατὰ πάντα εἰς σωτηρίαν.

468. Νικήτᾳ τοποτηρητῇ

Ἐπειδὴ ἐδωροφόρησεν ἡμῖν ἡ φιλέντολός σου δεξιὰ τοῦτο κἀκεῖνο, δέσποτα, δέξοιτο καὶ τὰ πρὸς ἡμῶν τῶν εὐτελῶν. αἱ ἡμέτεραι ἀποστολαὶ προσευχαί, εὐχαριστίαι, εἰ δέ τι καὶ ἕτερον δεῖ προσθεῖναι, νουθεσίαι· καὶ τίνες αὗται; φοβεῖσθαι ὑμᾶς τὸν θεόν, πίστιν ἔχειν ὀρθήν, ἀπέχεσθαι σαρκικῶν ἐπιθυμιῶν, πορνείας, μοιχείας, ἀκαθαρσίας, πάσης ἄλλης ἀσελγείας, αἱρεῖσθαι δὲ τὰ θεῖα πράττειν, ἐλεεῖν πτωχόν, φείδεσθαι δούλων, ὀρέγειν χεῖρα τῷ πλησίον, ταπεινοφρονεῖν, συνεσταλμένον εἶναι καὶ / μὴ διακεχυμένον ταῖς αἰσθήσεσι, δι' ὧν θάνατος ἁμαρτίας ἄνεισιν, αὐταρκείας ἔχεσθαι, μὴ μεθύσκεσθαι οἴνῳ, ἐν ᾧ ἐστιν, ἀποστολικῶς εἰπεῖν, ἀσωτία, μὴ φιλαργυρεῖν, ἐν ᾧ ἡ ῥίζα πάντων τῶν κακῶν ἐστιν, σχολάζειν ἐν δεήσεσιν, ἐν ἀναγνώσεσιν, ἐν ψαλμῳδίαις, ἐν μερίμνῃ θανάτου, ἐφ' ᾗ κατάνυξις ψυχῆς καὶ δάκρυα (δακρύων γὰρ ὁ παρὼν βίος, ὦ χριστιανοί, ἀλλ'

---

53 cf. 2 Tim. 2,7

45 ἐπ' ἂν VM Sirm παραδώσεις VP Sirm ἐπιβαλῇς S 46 αὐτῷ: αὐτὸν V οὐ σῶν disiunxi: οὐσῶν Sirm 47 αἰωνίαν C 49 ὑποτάττεσθαι C^{pc}: τάττεσθαι C^{ac} cett Sirm 52 τὸ ante μοναστήριον add VMPS Sirm ὑμετέρα VM Sirm

---

468. 3 δέσποτα: cf. adn. ad ep. 426,22

10 Eph. 5,18 **11** 1 Tim. 6,10

C VM PS

1 ὡραία in marg C ὡραία ὅλη ἡ ἐπιστολή in marg PS 4 εὐχαριστεῖαι C προσευχαί post εὐχαριστίαι transp M 5 ἡμᾶς M 11 ἀσωτεία C 12 ἐστί V: ἐστι MPS Sirm

οὐ γελώτων), μηδαμῶς ὀμνύειν μηδὲ ὅρκιον τὸ πολυτίμητον ὄνομα τοῦ θεοῦ διὰ στόματος φέρειν (οὐ γὰρ ἔστι τὸν ὀμνύοντα σωθῆναι), καθαρεύειν φθόνου τοῦ Καΐτου, καταλαλιᾶς τῆς ὀλεθρίου, μίσους τοῦ ἐχθροθέου, λοιδορίας τῆς ἔξω τιθείσης βασιλείας οὐρανῶν, τιμᾶν τὸν βασιλέα, τοὺς γεννήτορας, ἀγαπᾶν ὡς ἑαυτὸν τὴν ὁμόζυγον καὶ μὴ γνωρίζειν ἄλλην πλευρὰν πορνικήν, ἐφ' ᾗ ὀργὴ θεοῦ (πόρνους γὰρ καὶ μοιχοὺς κρινεῖ ὁ θεός), παιδεύειν ἐνθέως τὰ τέκνα καὶ ἑαυτὸν ὑπόδειγμα τιθεῖν τῆς αὐτῶν συνέσεως, καὶ ὅσα ἄλλα ὁ τῆς ἐντολῆς λόγος ἀπαιτεῖ εἰς σωτηρίαν ψυχῆς.

Ταῦτα, ὦ δέσποτα, ἀμειπτήρια τῶν καλῶν σου παροχῶν, ἃ μὴ ἀτιμάσοις, κἂν ἐξ ἀτίμου στόματος προήχθη· θεοῦ γὰρ ἐντολαὶ παντὸς χρυσίου καὶ λίθων πολυτίμων τιμαλφέστεραι.

469. Θωμᾷ πατριάρχῃ Ἱεροσολύμων

Ἡλίκον ᾔσθημεν οἱ ταπεινοί, τῆς διὰ τοῦ γράμματος πανσόφου ὑμῶν προσφωνήσεως ἠξιωμένοι, συνορᾶν πάρεστι τῇ κορυφαίᾳ ὑμῶν μακαριότητι· οἵ γε, τῷ ἀποστολικῷ βαθμῷ ὑπερανεστῶτες καὶ τὸ τοῦ ἀδελφοθέου δι' ἐννόμου διαδοχῆς ἐπέχοντες πρόσωπον, καὶ ψιλῇ προσρήσει τιμᾶν ἔχοιτε τοὺς καθ' ἡμᾶς ἀγεράστους κατὰ τὸ εἰκός, μὴ ὅτι γε τηλικούτων ἐπαίνων ὑψώμασιν, ὧν ἡμεῖς τοσοῦτον ἀποδέομεν, ὡς μικροῦ δεῖν μηδὲ τολμᾶν οἴεσθαι περὶ ἡμῶν ὑφ' ὑμῶν ταῦτα λελέχθαι, ἄλλου δέ τινος τῶν ἀνδρικῶν εἶναι τὰ ἐγκώμια, ἤγουν τοῦ θεσπεσιωτάτου ἡμῶν ἀρχιποίμενος, ἐφ' ᾧ πᾶς καὶ παντὸς ὁ τῆς εὐφημίας εἰκότως ἀνάπτοιτο λόγος.

Ἀλλὰ πῶς ἂν ἄλλως τὸ θεομίμητον ὑμῶν καὶ εὐσυμπάθητον ὑπεδείχθη, μὴ οὐχὶ ταῖς πατρικαῖς διαθέσεσι θριαμβευόμενον ὡς καὶ ἡλίου ἔξαλμα, ἀκτῖσι κατασπειρόμενον; πῶς δ' ἂν ἑτέρως τὸ σύμψυχον ἡμῖν καὶ ὁμόγνωμον ἐγνωρίσθη, μὴ οὐχὶ πρὸς τοὺς τοῖς

---

20 Hebr. 13,4

15 σημείωσαι περὶ ὅρκου in marg VP πολύτιμον VMPS Sirm 16 ἐστι CMPS 17 Καΐτου: Καΐνου Mi 19 voces ὡς ἑαυτὸν ante ἀγαπᾶν transp M 22 τιθεῖν: τιθέναι VM Sirm 23 ἀπαιτεῖ post ἄλλα transp M σωτηρίαν post ψυχῆς transp M 25 καν C: κἂν P 26 καὶ λίθων πολυτίμων in marg S

469. a. 821 – 826 5 ἀδελφοθέου: Jacobus

C VM PS

2 ᾔσθημεν CP Sirm 3 ἡμῶν S 4 τὸ: τῷ C 8 ὑμῶν: ἡμῶν V: ὧν MPS 9 ἄλλου δέ: ἀλλ' οὐδὲ Sirm 13 πατρικαῖς: μητρικαῖς M 14 ἀκτίσι codd: corr Sirm

ἐναντίοις, ὁποῖοί ποτε ἦσαν, αὐτομολήσαντας διακρινόμενον; ἐφ' οἷς, εἰ καὶ τολμηρότερον πρὸς ἡμῶν, ὅμως ἔνδικόν ἐστι φάναι (τί τοῦτο;) ὅτι, τῆς αἱρέσεως διωκτικῶς ἀναπαφλασάσης, ἐχρῆν τοὺς τῶν ὑψηλῶν θρόνων ἐξόχους, ὡς τοῦ πνεύματος συμμάχους καὶ τῶν ἀποστολικῶν ὑποθηκῶν ἐμπλέους, συγκινηθῆναι φιλαδέλφως, χεῖρα ὀρέξαι τοῖς ὑπὲρ ἀληθείας κάμνουσι συμπαθοπρεπῶς· εἴτε γάρ, φησί, πάσχει ἓν / μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη, κεφαλῆς δηλαδὴ οὔσης τοῦ ἐκκλησιαστικοῦ ὅλου σώματος Χριστοῦ τοῦ ἀληθινοῦ Κυρίου καὶ θεοῦ ἡμῶν. ὅπερ ὁ τῆς Δύσεως ἀποστολικὸς πεπραχὼς ὅσον ὤνησεν, τί δεῖ καὶ λέγειν; ἐπιρρώσας μὲν τὰ τῶν ἐνισταμένων ὅτι μάλιστα φρονήματα (εἴπερ καὶ σμικρὰ ῥοπὴ σθένος ἐμποιεῖν εἴωθεν τῷ κάμνοντι), ἐπιρραπίσας δὲ τῷ πνευματοκινήτῳ ἐλεγμῷ τῶν ἀσεβούντων τὰ φρυάγματα· οὗ τί ἂν γένοιτο σωτηριωδέστερον; οἷς δὲ τοῦτο ποιεῖν ἐξόν, οὔ τί που ποιήσασιν, τοὐναντίον δέ, οὐκ ἔχω λέγειν ὁ τάλας αἰδοῖ τοῦ τῆς μακαριότητος ὑμῶν ἀγγέλου ὅσον εἴη ἂν τὸ κατηγόρημα.

Ἀλλ' ἐκεῖνα μὲν πέρας εἴληφεν, οἷον καὶ ἐξήκουσται ἅπασι, τοῦ ἀγαθοῦ θεοῦ ἐκποδὼν ποιήσαντος τὸν ἀλιτήριον δράκοντα καί γε θανάτῳ ἐξαισίῳ καὶ τῆς ἀποστασίας ἐνδίκῳ, οὐ μὴν τὰ παρόντα καθὼς ὑπετόπασεν· πῶς; ὅτι ὁ μὲν χειμὼν παρῆλθεν, οὔ τί που δὲ τὸ ποθούμενον ἔαρ ἢ ὅσον αἰθρίαν τινὰ ὑπαυγάσαι, καὶ τήνδε διὰ τὸ ἀπ' ἠοῦς νέφος. ἀρκεῖ γάρ, ἡγοῦμαι, ἐπὶ τῆς εἰκόνος ἐᾶσαι τὸν λόγον, μήτε τῆς ὑμῶν μεγαλονοίας ἐνδεομένης μαθήσεως μήτ' αὖ τοῦ καιροῦ ἐπιτρέποντος φαίειν ἐκδηλότερα. οὗ χάριν καὶ αἱ ἱεραὶ ὑμῶν κεραῖαι ἀνεπίδοτοι· πῶς γὰρ ἂν καὶ ἐπεδόθησαν, ἡμῶν τῶν εὐτελῶν ὧδέ που πορρωτέρω τοῦ ἄστεος παραρρεριμμένων, ὥσπερ καὶ ἄλλων ἀλλαχῆ τῶν δεδιωγμένων; καὶ γοῦν καὶ λογίαι, ὥσπερ ἐποθοῦμεν, οὔπω

---

25 ἀποστολικός: papa Paschalis I 33 δράκοντα: Leo V 38 μεγαλονοίας: ad allocutionem cf. Dinneen, Titles 40

---

21 1 Cor. 12,26 37 cf. Plat. rep. 487e δι' εἰκόνων λέγειν

16 ποτε: τε M 17 τολμηρότερον C: τολμηρὸν cett Sirm πρὸς ἡμῶν cum sequentibus iunxit Sirm 18 ἀναπαφλάσης M 19 ἐξόχους: ἐξάρχους M 20 καὶ ante χεῖρα add M 25 ὤνησε VMPS Sirm 27 εἴωθε VMPS Sirm 28 δὲ om M 29 ποιεῖν post ἐξόν transp M 30 οὐτίπου Sirm ποιήσασιν C: πεποιήκασι M: ποιήσασι cett Sirm 31 ἡμῶν Sirm εἴη ἂν C: ἂν εἴη cett Sirm 33 ἐκποδῶν codd: ἐκ ποδῶν Sirm: correxi 34 αἰσίῳ M 35 ὑπετόπασέ VMPS Sirm πως VMPS Sirm οὐτίπου Sirm 36 τινὰ ante αἰθρίαν transp M ὑπ' αὐγάσαι C 37 ἀρκεῖ C: ἀρκεῖν cett Sirm ἐάσαι S 38 ἐνδεουμένης C 39 φαίην omnes: correxi 41 παραρρερημμένων C: περιερριμμένων M: παρερριμμένων cett Sirm: correxi

ἐγένοντο, πλὴν ἡ γεναμένη ὡς ἐν τῷ ἐμβολιμαίῳ πιττακίῳ δεδήλωται, τῶν ἐπιδωσάντων εἰληφέναι μᾶλλον ἢ προέσθαι χάριν ὁμολογούντων, ὅτι ἠξίωνται κοινωνίαν τινὰ σχεῖν ἐν τοῖς ἁγιωτάτοις τόποις, ἐφ' οἷς τὸ μέγα τῆς εὐσεβείας ἀπετελέσθη μυστήριον, θεὸς ἐν τῷ καθ' ἡμᾶς ὀφθεὶς εἴδει (ὢ τοῦ παναρρήτου θαύματος)· ὅνπερ ἐγγεγραμμένον κἂν τῇ γραφῇ πατροπαραδότως, ἤτοι θεοκηρύκτως, ἡμεῖς, μᾶλλον δὲ ἡ ὑπ' οὐρανόν, ὁμολογοῦμέν τε καὶ προσκυνοῦμεν ἐξ αὐτῆς τοῦ κηρύγματος βαλβῖδος (οὐ γὰρ ἂν ἄλλως ὁμολογηθεῖεν Χριστός, ὡς οἱ μακαριώτατοι διδάσκοιτε, ἤρνηνται δὲ ἰουδαϊκῶς οἱ δυσώνυμοι εἰκονομάχοι, ὡς ὑπὸ πνεύματος πονηροῦ ἐνεργούμενοι) καὶ ὃν ταῖς θεοκλινέσι προσευχαῖς ἵλεω ποιήσειας, ὦ θεία καὶ ἱερὰ κεφαλή, ἐκτρέψαι τὴν λαοπλάνον αἵρεσιν, ἀνάψαι ὀρθοδοξίας ἥλιον, εἶτα καὶ ἡμᾶς τοὺς ἐν τέκνοις σου τελοῦντας ἐλαχίστους περιποιήσασθαι, ἑπομένους τῷ μακαριωτάτῳ πατρὶ καὶ ἀρχιερεῖ ἡμῶν.

Εἶεν. τοὺς ἐξυπηρετουμένους ὑμῖν πατέρας τε καὶ κλεινοὺς ἀδελφοὺς ἡμῶν ἐγώ τε καὶ ὁ ἐμὸς ἀδελφός, Θεσσαλονίκης ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος, πλεῖστα προσαγορεύομεν· ἐπὶ γὰρ τῷ ἁγίῳ σου προσώπῳ, πρὸ τῶν ποδῶν σου μᾶλλον εὐλογηθῆναι ἄμφω καὶ ὅσοι τῶν σὺν ἡμῖν εἰπεῖν πρεπωδέστερον. /

470. Θεοδώρῳ ξενοδόχῳ

Ἰδού σοι, δέσποτα, τὸ γράμμα, ἀπαιτοῦντι, καὶ ἀπόλυσον ἡμᾶς τῆς ἐγκλήσεως. διατί δέ, φαίης, μὴ τάχιον; ὅτι αἰδουμένως εἴχομεν νουθετικῶς καὶ διδακτικῶς τῇ τιμιότητί σου προσφέρειν τὸν λόγον. ἐπεὶ ποθοίης, δέξαιο, προσφιλέστατε. οὐδὲν οὖν ἄλλο ἐστὶν ὁ ἀλη-

56 ἀρχιερεῖ: Nicephorus

46 1 Tim. 3,16

43 γενομένη VMPS Sirm 44 μᾶλλον ante εἰληφέναι transp M 47 ὢ C 48 κἂν S Sirm 50 βαλβῖδος ante τοῦ transp VMPS Sirm ἄλλως: ἄλλος C (fort recte) ὁμολογηθείη M 51 διδάσκετε Mi 53 ποιήσει M 58 τε om VMPS Sirm

470. a. 821 – 825

C VM PS

1 ὡραία in marg CS ὡραία ὅλη καὶ ἠθική in marg VP 2 σοι om Sirm ἡμᾶς τῆς ἐγκλήσεως in marg S 3 διὰ τί Sirm 4 νουθετητικῶς V^{pc} καὶ διδακτικῶς om Sirm 5 ἀληθὴς V Sirm

θινὸς χριστιανὸς ἢ Χριστοῦ μίμημα καὶ ἀποσφράγισμα, τοσοῦτον ὀφείλων οἰκειοῦσθαι αὐτῷ, ὡς ἔχει μέλος ἕκαστον πρὸς κεφαλὴν καὶ κλῆμα πρὸς ἄμπελον· αὐτὸς γὰρ ὁ Κύριος εἴρηκεν, ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· καὶ πάλιν ὁ ἀπόστολος· ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. καρποφορήσωμεν οὖν, ὦ δέσποτα, τοὺς τῶν ἀρετῶν βότρυας καὶ μὴ ἄκαρποι ὦμεν· φησὶ γὰρ ὁ Κύριος, πᾶν κλῆμα μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται, τὸ τῆς γεέννης δηλαδή. φοβηθῶμεν τὴν φοβερὰν ἀπειλήν, δοξάσωμεν τὸν θεὸν ἐν τῷ σώματι ἡμῶν καὶ ἐν τῷ πνεύματι ἡμῶν, κελεύει πάλιν ὁ ἀπόστολος· αὐτὸς γὰρ καὶ ταῦτα, ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; μὴ γένοιτο. οὕτω φυλαττώμεθα. ἀγαπῶμεν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα καὶ οὐκ ἐρασθησόμεθα ἀσελγοῦς σώματος. ἡ γυνή, φησίν, ἵνα φοβῆται τὸν ἄνδρα· τῷ φίλτρῳ τὸν φόβον γὰρ κιρνῶσα ἄριστον βιώσειεν βίον. τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν, ὥς φησι πάλιν· δίκαιον γὰρ τοὺς γονέας τιμᾶσθαι καὶ γηροκομεῖσθαι ὑπὸ τῶν παίδων. αὐτοὶ γὰρ αἴτιοι μετὰ θεὸν τοῦ εἶναι αὐτοὺς εἰς φῶς· καί, εὐλογία πατρὸς στηρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια· καὶ οἱ πατέρες, πάλιν φησίν, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. ὥστε καὶ γονεῦσιν ἔργον εἰρηνεύειν τὰ τέκνα, στοιχειοῦν καὶ πλάττειν εὐσεβείας χαρακτῆρι. τί λοιπόν; δούλους δεσπόταις ὑποτάττεσθαι μετὰ φόβου καὶ τρόμου, ἀδόλως καὶ εὐψύχως, ἀλλὰ καὶ τοὺς δεσπότας, ἀνιέντας τὰς ἀπειλάς, ἰσομοιρίᾳ φροντίδος τοὺς πάντας ὁρᾶν, εἰδότας ὅτι εἷς κύριος πάντων, ὁ θεός, καὶ ὧδε μὲν ἡ δουλεία ὡς καὶ ὁ γάμος, ἐν δὲ τῷ μέλλοντι αἰῶνι τῶν ἀμφοτέρων ἀναίρεσις, οἱ πάντες δὲ ἓν ὥσπερ οἱ ἄγγελοι.

Διὰ τοῦτο γρηγορητέον παντὶ τῷ θέλοντι σωθῆναι κατ' ἐντολὴν ζῆν, μὴ ὀμνύειν, μὴ μετεωρίζεσθαι, μὴ γελᾶν, μὴ τρυφᾶν, μὴ παίζειν, μὴ θυμοῦσθαι, μὴ πορνεύειν, μὴ μεθύειν, μὴ θησαυρίζειν χρυσόν· ἀλλὰ τί; προσεύχεσθαι, προσκλαίειν, ὑμνολογεῖν, ἐντολοποιεῖν κατὰ τὸ δυνατόν, ὀλιγαρκεῖσθαι, ταπεινοφρονεῖν, ἀγαπᾶν τὸν πλησίον, μὴ καταλαλεῖν ἀδελφοῦ, μὴ φθονεῖν, μὴ ὀργίζεσθαι, ἕτοιμον εἶναι

---

8 Joh. 15,5 9 1 Cor. 12,27 11 Matth. 3,10 13 1 Cor. 6,20 15 1 Cor. 6,15 16 Eph. 5,28 18 Eph. 5,33 19 Eph. 6,1 22 Sir. 3,9 23 Eph. 6,4 26 Eph. 6,5 28 Eph. 6,9

---

6 χριστιανὸς: χριστιανισμὸς M 14 θεὸν om M 15 τοῦ om VPS Sirm 16 φυλαττόμεθα C 17 οὐ Sirm 19 γὰρ post φίλτρῳ transp VMPS Sirm βιώσειε VMPS Sirm ὑπακούετε: ὑπείκετε M 21 γηρωκομεῖσθαι VMP Sirm 22 στηρίζοι S 23 φησὶ VMPS Sirm 24 παιδίᾳ C 29 ὧδε M 32 διατοῦτο VMPS 35 πρὸς κλαίειν C

ἀεὶ πρὸς τοὺς ὑπὲρ τοῦ ἀγαθοῦ κινδύνους, μὴ φοβεῖσθαι πλὴν θεοῦ τοῦ ἀγαθοῦ ἄλλον ἐπὶ γῆς, ὑποτάττεσθαι βασιλεῖ ἐν οἷς ἐντολὴ θεοῦ οὐ παραβλάπτεται, τιμᾶν ἄρχοντας ὡς διακόνους εὐταξίας, χαίρειν ἐν Κυρίῳ πάντοτε, κἂν σύμβασις εἶεν λυπηρῶν εὐχα/ριστεῖν Κυρίῳ ἐφ' οἷς ἂν οἰκονομῇ τὰ κατ' αὐτόν.

Ταῦτα ὡς ἐν ὀλίγοις ὑπέμνησα τὴν εὐλογημένην σου ψυχήν, ἵνα γνωρίσω ὡς φιλῶν εἰμι τὸν ἐμοὶ ὁμώνυμον καὶ εὐσεβῆ ἄνδρα καὶ φίλον διάπυρον. ἐὰν δὲ ἔτι ζῶμεν, ἔτι λαλήσομεν, ἔτι παρακαλέσομεν, ἔτι συμβουλευσόμεθα πάντα δεύτερα ἡγήσασθαι τῆς θεοῦ ἀγάπης· τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; οὗ φύγοιμεν, εὕροιμεν δὲ ἔλεος ἐν ἡμέρᾳ κρίσεως καὶ τὸ μετὰ θεοῦ γενέσθαι ἐν χαρᾷ ἀνεκλαλήτῳ εἰς αἰῶνας.

471. Γρηγορίῳ τέκνῳ

Ἃ μὲν οὖν ἐν τῇ προτέρᾳ ἐπιστολῇ περὶ τοῦ τῆς Χαλκηδόνος ἁγιωτάτου μητροπολίτου καὶ πατρὸς ἡμῶν εἴρηται ὡς ἐν παραδρομῇ, νῦν δὲ διεξοδικώτερον εἰρήσεται. εἰπὲ αὐτῷ πατροπρεπεῖ διαλέξει τί; ὅτι πάντως κατὰ τὴν τοῦ ἀποστόλου ἀπόφασιν ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει· εἴ τινος τὸ ἔργον μένει, ὃ ἐποικοδόμησεν, μισθὸν λήψεται, εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός. πυνθάνομαι οὖν τὸ ‚κατακαήσεται‘ ἐξαφάνισίς ἐστι τελεία, ἢ οὔ; εἰ δὲ ὁμολογουμένως τὸ πρῶτον, καθά πού φησιν ἑπομένως τῷ Παύλῳ καὶ ὁ Θεολόγος Γρηγόριος, καὶ τὸ τελευταῖον πῦρ, ᾧ πάντα κρίνεται ἢ καθαίρεται τὰ ἡμέτερα, τί ἐπισείει τὸν νοῦν τοῦ ἀκούοντος οὐκ εὖ εἰρηκέναι

---

40 Philipp. 4,4 46 Matth. 16,26

39 ἐντολὴ post θεοῦ transp M 41 εἶεν: ᾖ M 43 ὑπέμνησα om M 44 ἐμοὶ: ἐμὸν Sirm 45 λαλήσωμεν C παρακαλέσωμεν C 47 ἄνθρωπον VMPS Sirm ὅλον post κόσμον transp M 48 αὐτοῦ V Mi (sed cf Matth l. l.) 49 τοὺς ante αἰῶνας add VMPS Sirm

---

471. a. 821–825 2 προτέρᾳ ἐπιστολῇ: epistula perdita ut videtur 3 μητροπολίτου: Ioannes; cf. ep. 245

5 1 Cor. 3,13 sq. 11 Greg. Naz. or. 32,1 (PG 36,176 A = p. 84 M.-G.)

C VM PS

1 δογματικὴ περὶ ἀποκαταστάσεως· καὶ ὅρα οἵαν ταύτην ὁ μέγας πατὴρ διδάσκει titulo add PS: in marg Sirm 2 προτέρᾳ: πρώτῃ VM χαλκιδῶνος C 4 αὐτῷ: αὐτὸς M 6 ἐπῳκοδόμησε VMPS Sirm (sed cf 1 Cor l. l.) 10 ποῦ C 11 κατακρίνεται VM Sirm 12 ἐπισείσει VM

τὸν ἱερὸν Μάξιμον τρεῖς εἶναι τὰς ἀποκαταστάσεις, ἃς οἶδεν ἡ ἐκκλησία; μίαν μὲν τὴν ἑκάστου κατὰ τὸν τῆς ἀρετῆς λόγον, ἐν ᾗ ἀποκαθίσταται τὸν ἐπ' αὐτῷ λόγον τῆς ἀρετῆς ἐκπληρώσας· δευτέραν δὲ τῆς ὅλης φύσεως ἐν τῇ ἀναστάσει τὴν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἀποκατάστασιν· τρίτην δέ, ᾗ καὶ μᾶλλον κατακέχρηται ἐν τοῖς ἑαυτοῦ λόγοις ὁ ἐν ἁγίοις Γρηγόριος Νύσσης, ἐστὶν αὕτη, ἡ τῶν ψυχικῶν δυνάμεων τῇ ἁμαρτίᾳ ὑποπεσουσῶν εἰς ὅπερ ἐκτίσθησαν πάλιν ἀποκατάστασις· δεῖ γὰρ ὥσπερ τὴν ὅλην φύσιν ἐν τῇ ἀναστάσει τὴν τῆς σαρκὸς ἀφθαρσίαν χρόνῳ ἐλπιζομένην ἀπολαβεῖν, οὕτως καὶ τὰς παρατραπείσας τῆς ψυχῆς δυνάμεις τῇ παρατάσει τῶν αἰώνων ἀπολαβεῖν· καὶ περάσασαν τοὺς πάντας αἰῶνας καὶ μὴ εὑρίσκουσαν στάσιν εἰς / τὸν θεὸν ἐλθεῖν τὸν μὴ ἔχοντα πέρας καὶ οὕτως τῇ ἐπιγνώσει, οὐ τῇ μεθέξει τῶν ἀγαθῶν ἀπολαβεῖν τὰς δυνάμεις καὶ εἰς τὸ ἀρχαῖον ἀποκατασταθῆναι καὶ μὴ δειχθῆναι τὸν δημιουργὸν αἴτιον τῆς ἁμαρτίας.

Οὐδὲν οὖν ἕτερόν ἐστιν ἡ τρίτη ἀποκατάστασις· περὶ γὰρ τοῖν δυοῖν ἀναμφίλεκτον ἢ ὅπερ δεδογμάτισται τῷ ἀποστόλῳ, τοῦ τὸ ἁμαρτητικὸν ἔργον κατακαῆναι καὶ τὸν πεπραχότα σωθῆναι ἀκατάκαυστον, οὕτως δέ, ὡς οὐ μετέχοντα τῶν ἀγαθῶν, ἀλλ' ἐπιγινώσκοντα τὴν στέρησιν τῆς μεθέξεως. καὶ μάλα εἰκότως εἴρηται τῷ πατρὶ ‚καὶ μὴ δειχθῆναι τὸν δημιουργὸν αἴτιον τῆς ἁμαρτίας'· ὃ μὲν γὰρ παρὰ θεοῦ, ἤγουν ἡ καθ' ἡμᾶς φύσις, ὡς ἐκ τοῦ ὄντος παραχθεῖσα, ἀνάλωτος τῷ πυρὶ ἐκείνῳ, ὃ δὲ οὐκ ἐκ θεοῦ, ἤτοι ἡ ἁμαρτία, ἀλλὰ τῇ τοῦ πράξαντος δημιουργηθεῖσα προαιρέσει, ὡς οὔ τι τῶν ὄντων οὖσα, ἀλλὰ παρυφιστᾶσα οἰχήσεται, ἀκατάτακτος οὖσα τοῖς οὖσιν. οὕτως οὖν, κἂν μήτε Γρηγόριος ὁ Νυσσαεύς, κἂν μήτε Μάξιμος ὁ πατὴρ λέγοι, ἀλλά γε ὁ μέγας ἀπόστολος ἀπέφησεν ὅτι ἄμειψις διάπυρος εἴη τῆς ἁμαρτίας, ἡ δὲ ἔμφασίς ἐστιν ἀποκαταστάσεως, ὡς εἴρηται τῷ πατρί, οὐκ Ὠριγενιαστική, ἄπαγε· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος οὐδὲ συμφώνησις ἁγίοις πρὸς αἱρεσιάρχας, πρὸς οὕς, σφετεριζομένους τὰ τοῦ θειοτάτου Γρηγορίου ἱερὰ

14 Max. Conf. quaest. 13 (PG 90,796 A = p. 18 Declerck) 39 cf. 2 Thess. 1,8 41 2 Cor. 6,14 sq.

16 ἐν om Sirm 17 ἐν τοῖς ἑαυτοῦ λόγοις om V σημείωσαι· ζήτει ἔμπροσθεν φύλλ.ις′ in marg M manu rec 18 νύσης C 22 αἰώνων: αἰωνίων VM 25 post δυνάμεις voces τῶν ἀγαθῶν cancell S 26 ἀποκαταστῆναι VM 28 ἕτερόν ἐστιν om PS 33 σημείωσαι in marg PS 35 ἀνάλωτος: ἀναλόγως C 37 παρυφιστάσα C 38 κἀν M (bis) 39 λέγῃ S 43 οὓς M

δόγματα πρὸς τὴν σφῶν κακόνοιαν, καὶ ἡ ἀνόθευτος καὶ ὁ κλεπτέλεγχος, ἀλλ' οὐκ ἐπ' ἀνατροπῇ τῶν προειρημένων, ὡς ἐμοὶ φαίνοιτο. εἰ δέ τι βαθύτερον ἐξευρεθείη τῷ ἁγιωτάτῳ μητροπολίτῃ, ἀκουσόμεθα πάλιν· ἐπεὶ καὶ ὁ ἱερώτατος ἡμῶν πατριάρχης, ἀκηκοὼς τὰ λεχθέντα τῷ ἁγίῳ Μαξίμῳ, οὐδὲν ἀπεμφαῖνον τηνικαῦτα ἔφησεν.

472. Εὐφροσύνῃ ἡγουμένῃ

Ἀκηκοὼς καὶ νῦν ὅτι παρεμυθήθη σου ἡ τιμιότης ἀπὸ τοῦ περὶ τὴν μακαρίαν μητέρα πάθους εὐχαρίστησα τῷ Κυρίῳ, ὅς ἐγνώρισέ σε καὶ φιλομήτορα γνησιεύουσαν καὶ φιλόθεον ἀριστεύουσαν, τὸ μὲν διὰ τοῦ ἀγαπητικοῦ λυπηροῦ, τὸ δὲ διὰ τοῦ συμμεμετρημένου παρακλητικοῦ· ἐξ ὧν ἀποδέδεικται ὅτι καὶ μητέρα καὶ θεὸν ἠγάπησας. ἀλλὰ δεῦρο, κυρία, χαίρουσα καὶ τρέμουσα βάδιζε τὴν ὁδόν σου, χαίρουσα μὲν ὅτι ἠξίωσαι τοιαύτης μητρὸς θυγάτηρ χρηματίσαι, τρέμουσα δὲ ὅτι τὸ τῆς προστασίας φροντιστήριόν σοι πάρεστιν, οὗ οὐχ ὁ τυχὼν ἀγὼν οὐδὲ εὐκαταφρόνητος ὁ μισθός, ἀλλὰ καὶ λίαν ἀμφοτέρωθεν τὸ ὕψωμα τοῖς νοῦν ἔχουσιν.

Σὺ οὖν ὡς ἐχέφρων, ὡς συνετή, ὡς μητρόθεν ἠγμένη ἐν πνεύματι ἄριστον βίον καὶ κεκανονισμένον διέλασον, τύπον ἑαυτὴν προθεῖσα ἀγαθοεργίας ταῖς ἀδελφαῖς. μὴ νυστάξῃ τὸ ὄμμα τῆς καρδίας σου ἀπὸ φυλακῆς τῶν ἐντολῶν τοῦ θεοῦ, μὴ βύσῃς τὸ οὖς τῆς ψυχῆς εἰσακούειν φωνῆς διδασκαλικῆς, διδασκομένη καὶ διδάσκουσα, φωτιζομένη καὶ φωτίζουσα, χειραγωγουμένη καὶ χειραγωγοῦσα, προσαγομένη θεῷ καὶ προσάγουσα. ἀκουστὸν εἴη τὸ ὄνομά σου ἐν ἀγαθῇ πολιτείᾳ, ὡς ἂν δοξάζηται θεὸς ἐν σοὶ καὶ ἐν τῇ μονῇ σου, μὴ χυδαιουμένη κατὰ τὴν τῶν πολλῶν χλιαρότητα, ἀλλὰ ἀκριβαζομένη κατὰ τὴν διαταγὴν τοῦ πνεύματος ἐν ἑνὶ φρονήματι, ἐν ἑνὶ θελήματι, ἐν μιᾷ καρδίᾳ τε καὶ ψυχῇ, μιμήσει τῶν ἐν ἀποστολικαῖς

---

45 ἐπανατροπῇ M   ἐμοί: ἡμῖν M

---

472. a. 823 – 826   9 φροντιστήριον: monasterium Clubii

C V_1V_2M PS

3 ηὐχαρίστησα V_2 6 voces καὶ θεὸν ante καὶ μητέρα transp M   9 σοι om M   11 ἔχουσι VMPS Sirm   12 οὖν: γοῦν M   16 εἰς ἀκούειν C Sirm   τῆς ante διδασκαλικῆς add V_2 17 φωτιξομένη Sirm   20 πολλῶν: ἐντολῶν M   ἀλλ' VMPS Sirm

πράξεσιν ἱστορουμένων ἁγίων· ἦν γάρ, φησί, πάντων μία ψυχὴ καὶ καρδία, καὶ οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι.

Αὕτη ζωὴ ἀγαθή, αὕτη μερὶς Κυρίου, τοῦτο κοινόβιον ἀληθινόν· οὗ δὲ οὐ ταῦτα, τοὐναντίον δῆλον ὅτι. ἡλίκη σοι χαρὰ καὶ δόξα, τιμιωτάτη, ἀλλὰ γὰρ καὶ τοῖς τέκνοις σου, ἀποστολικῶς πολιτεύεσθαι, πατροπαραδότως ἄγεσθαι, εὐγενοπρεπῶς· τοῦτο γὰρ εὐγένεια, θεαρέστως ζῆν, ἁγιοπρεπῶς πολιτεύεσθαι, γένος ὑμᾶς χρηματίζειν ἐκλεκτόν, σπέρμα ἔντιμον, τίνος; Θέκλης ἐκείνης τῆς πρωτομάρτυρος, Φεβρωνίας, Εὐπραξίας, τοῦ κατ' αὐτὰς ἱεροῦ καὶ μακαρίου καταλόγου. εἰ γὰρ κόσμον κατελίπατε, εἰ γονεῖς / ἠρνήσασθε, εἰ παρθενίαν εἵλασθε, εἰ Χριστῷ ἐνυμφεύθητε, εἰ βασιλείαν οὐρανῶν ἠγαπήσατε, τί μὴ πᾶσαν ὑμῶν τὴν σπουδὴν καὶ μέριμναν πρὸς τοῦτο ἔχοιτε, χαίρουσαι ὅτι τοιούτου θεοσδότου δώρου ἠξιώθητε, ἀξιώματος ἀνυπερβλήτου, οὐ λέγω κατὰ τὰ ἀνθρώπινα (σκιὰ γὰρ ταῦτα καὶ ὀνείρατα καὶ τῷ παρόντι αἰῶνι συγκαταλυόμενα), ἀλλὰ καὶ κατὰ τὰ πνευματικά, εἴπερ παρθενία καὶ ἀκτημοσύνη τῶν μεγίστων δωρεῶν τὸ ἐξαίρετον. καὶ εἰ ἀπληστεύονται οἱ κατὰ κόσμον μετασχεῖν τῶν ματαίων καὶ ἀπολλυμένων, τί καὶ πόσον ἡμεῖς ὀφείλομεν ἀκορέστως ἔχειν ἐν τοῖς ἀμηρύτοις καὶ ἀνεκλαλήτοις ἀγαθοῖς;

Ναί, παρακαλῶ, ναί, ἀντιβολῶ, κατακτήσασθε τὰ οὐράνια, γένοισθε θεοῦ θυγατέρες, βασιλίδες οὐρανοτίμητοι, Χριστοῦ νύμφαι, Χριστοῦ συγκληρονόμοι, φῶς ἐν κόσμῳ, λάλημα ἅγιον, πολίτευμα ἀξιέπαινον, σύ τε ἡ κυρία καθηγουμένη καὶ ἐν Χριστῷ ἄρχουσα ὑμεῖς τε αἱ καλλίτεκνοι θυγατέρες τῆς ἄνω Ἱερουσαλὴμ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

---

46 καλλίτεκνοι: ad vim vocis cf. E. Fraenkel, Aeschylus Agamemnon II 348 sq.

---

23 Act. 4,32   30 Θέκλης τῆς πρωτομάρτυρος: cf. Act. SS. Sept. VI (Antverpiae 1757) 545 sq.; G. Dagron, Vie et miracles de Sainte Thècle. Bruxelles 1978, 284   31 Εὐπραξίας: cf. Delehaye, Synaxarium 840 sq.   36 cf. Greg. Naz. ep. 178,9 (PG 37,292 B = II 68 Gallay) ῥίψωμεν τὰ ὀνείρατα, παραδράμωμεν τὰς σκιάς   43 Rom. 8,17

---

24 αὐτῷ V_1 ἔλεγεν om V_2: ante αὐτῷ transp M   26 δηλονότι VMPS Sirm   27 γὰρ om V_2 30 θέκλας M   31 Φεβρωνίας: φαρωνίας V_2 32 κατελίπετε V_2^{pc}M   33 εἵλεσθε VMPS Sirm   40 ἡμεῖς post ὀφείλομεν transp $S^{pc}V_2$ 41 ἀμηρύτοις: ἀκηράτοις V_2^{pc} · 47 εἰς — ἀμήν om V_1

473. Κατήχησις πρὸς τοὺς ἑαυτοῦ μαθητάς

Ἔργον ἐγὼ ὁ ταπεινὸς ἐργάζομαι ἐν ταῖς κατηχήσεσιν οὐκ ἐξ ἐπιτηδεύματος φανητιασμοῦ οὐδὲ ἀπὸ συνεπάρσεως διανοίας ἀλλοκότου, ἀλλ' ἐκ φόβου καὶ τρόμου, ἐξ ἐπιπόνου καρδίας καὶ ἀγάπης, ἀδελφοὶ καὶ πατέρες, εἴπερ ἀγαπῶντος δεῖγμα τὸ ἐπιμελῶς παιδεύειν. ἔλεγξον, φησίν, ἐπιτίμησον εὐκαίρως, ἀκαίρως· ἐπεὶ καί, παρακάλεσον, νουθέτησον, ὅσα ἄλλα ὁ τοῦ θεοῦ νόμος ἔχει καὶ διακελεύεται.

Τί δὴ οὖν βούλεταί μοι ὁ λόγος ὑποδηλῶσαι; περὶ ἀταξίας· ὅτι, προσκαλούμενοι ὑπὸ εὐσεβῶν εἰς ψαλμῳδίας, οὐ κατὰ τὸ πρεπῶδες συναθροίζεσθε καὶ παννυχίζετε, ἀλλ' ἐν λογομαχίαις καὶ πρωτοκλισίαις. ‚προύλαβες σύ', φησίν, ‚κἀμὲ οὐκ ἀνέμεινας· τὸ ἴδιον δεῖπνον ἔφαγες κἀμὲ οὐ συνεκάλεσας· ἐγὼ κανοναρχήσαιμι, ἀλλ' οὐ σύ', φησίν. καὶ ταῦτα ἐν ἐκκλησίᾳ, καὶ ταῦτα ἀκουόντων τῶν κεκλη-κότων, ἐφ' οἷς ὀργὴ μὲν θεοῦ ἀοράτως, λύπη δὲ καὶ βλάβη ὁμολογουμένη τῶν κεκληκότων· μὴ γὰρ χώραν οὐκ ἔχετε, εἰ καί τι γίνοιτο θλιπτικόν, εἰς τὸ ἰδίᾳ ἐγκαλεῖν ἀλλήλοις καὶ τὰ συμπίπτοντα καταλλάσειν δι' ἀπολογίας καὶ τῆς δεούσης ταπεινώσεως; ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ μάχεται, ὀργίζεται, ὑβρίζει, ἀσχημονεῖ ἐπὶ προσώπου πάντων.

Ὦ τῆς ἀταξίας· ὢ τῆς ἀμονάχου θεωρίας· ὢ τῆς καταφρονήσεως τῶν θείων νόμων. εἶτα ἡ αἰτία ἐπὶ τὸν καθηγούμενον· ‚τοιούτου', φησί, ‚διδασκάλου τηλικοῦτοι καὶ μαθηταί'. ἆρ' οὐχὶ μισητόν με πεποιήκατε καὶ τοῖς ἐν ἄστει; ἆρ' οὐχὶ τὸ καλὸν ὄνομα, τὸ ἐπικληθὲν ἐπὶ τῇ ὁσίᾳ ἀδελφότητι ὑμῶν, εἰς τοὐναντίον περιτρέπεται; μάχεσθε καὶ πολεμεῖτε, τρώγετε καὶ πίνετε οὐκ εὐλαβῶς, οὐχ / ἡσύχως, ἀλλὰ ἀσέμνως, ἀλλὰ ἀμονάχως. εἴτε οὖν ἐσθίετε εἴτε πίνετε εἴτε τι ποιεῖτε, φησὶν ὁ ἀπόστολος, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. ὑμεῖς δὲ οὐχ οὕτως, καὶ καταισχύνετε τὸ ἅγιον σχῆμα, σκανδαλίζετε τοὺς εὐλαβεῖς, μᾶλλον δὲ καὶ ἀνευλαβεῖς. εἴθε ἠκούετο περὶ ἑνὸς ἑκάστου

473. a. 821 – 826

6 2 Tim. 4,2   11 cf. Marc. 12,39   26 1 Cor. 10,31

C VM PS

9 δὴ om M   10 πρὸς καλούμενοι C   11 πρωτοκλησίαις C   12 σύ M[sscr]   φησιν C: φησι cett: φησί Sirm   15 ὁμολογουμένως M   16 ἔχητε PS Sirm   17 τὸ ἰδίᾳ: τὸ ἴδια P: τὰ ἴδια S   18 ἀλλ' Sirm   19 μετ' Sirm   ὀργίζεται om M   21 ὦ C (ter)   25 ἡμῶν VPS Sirm   26 ἀλλ' Sirm   27 ἀλλ' Sirm   τί Sirm

ὑμῶν, ,οἴ, ποῖον εὐλαβὲς πρόσωπον φέρει ὁ δεῖνα, οὐά, ἡλίκον τὸ σιωπηλὸν τοῦ ὁ δεῖνα, εὖγε τὸ ἀπαρρησίαστον ἐκείνου, τοῦδε τὸ τακτικόν, ἄλλου τὸ σεμνόψαλτον, ἑτέρου τὸ εὐαπάντητον'. ταῦτα καὶ τοὺς ἔχοντας καλλύνει καὶ τοὺς θεωροῦντας ὀνίνησιν, τόν τε θεὸν εὐφραίνει κἀμὲ τὸν ἁμαρτωλὸν σεμνύνει. νῦν δὲ κατὰ τὰς ἁμαρτίας μου ἀντίστροφα· καὶ οὐ πάντων καθάπτομαι, ἐπεὶ πολλοὶ χάριτι θεοῦ οἵους ζητεῖ ὁ λόγος, ἀλλ' ἐκείνων τῶν ἐνισχημένων τῇ ἀπροσεξίᾳ.

Παρακαλῶ οὖν ὑμᾶς, μᾶλλον δὲ ἐντέλλομαι, ἀλλάξατε τὰ πονηρὰ ἔθη καὶ ἤθη, τοὺς τρόπους καὶ τοὺς λόγους, τὰ σχήματα καὶ τὰ στάματα· ἐπεὶ τίς χρεία ἀντὶ ἀγαθοῦ πονηρίαν ὑποδεικνύειν τοῖς κλήτορσι, θεόν τε λυπεῖν κἀμὲ τὸν ἐλεεινὸν καταισχύνειν; ἀκουσθήσομαι, ἀδελφοί μου, ἐπεὶ βοήσω πρὸς Κύριον ὁ ἀνάξιος, ἔπειτα καὶ διαστελοῦμαι ἀπὸ τοῦ ἀπειθοῦντος; ἁπλῶς δὲ λέγω τυχὸν καὶ ἀδιαφόρως φέρομαι, μὴ διαστέλλων τὸν ὅσιον ἀπὸ τοῦ ἀνοσίου. ὑμεῖς θεὸν οὐ φοβεῖσθε; οὐχὶ καὶ περὶ ἀργοῦ ῥήματος δώσομεν λόγον; ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον, ἀδελφοί· ὃν φοβηθῶμεν, ᾧ ἀπὸ τοῦ δεῦρο δουλεύσωμεν ὁσίως, ἵνα, κακίας ἁπάσης μέχρι καὶ ἀργολογίας ἀπεχόμενοι, ἀρετῆς δὲ ἐχόμενοι, κληρονόμοι γενοίμεθα ζωῆς αἰωνίου, φυγόντες τὰ ἠπειλημένα κολαστήρια τοῖς καταφρονηταῖς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

474. Τοῖς μοναχοῖς τοῦ Φωτεινουδίου

Χαρᾶς μὲν ἡ προγραφὴ ὑμῖν, ἀδελφοί, λύπης δὲ ὅτι μάλιστα ἡ ἐπὶ τὸ γράφειν ὑπόθεσις, ὅτι ἀπολέλοιπεν ὑμᾶς ὁ ποιμὴν ὁ καλός, ὁ ἐν Κυρίῳ πατήρ, ὁ ὁδηγὸς καὶ φωστήρ, ὁ πολλοῖς ἔτεσι καὶ πολλὰ πρόβατα ποιμάνας καὶ τὴν λείαν ἐάσας πλήρη θρεμμάτων, εἴπερ ἐν

45 Matth. 12,36 De. 4,24

31 οἵ M: οἷ C: οἱ cett Sirm οἵ, ποῖον: ὁποῖον Mi 32 ὁ om V Sirm τοῦδε: τοῦ δὲ Sirm 34 καλύνει M ὀνίνησι VMPS Sirm 37 οἷος P 39 ἔθη καὶ ἤθη C: ἤθη καὶ ἔθη cett Sirm τοὺς[2] om M 40 στάματα: στόματα Sirm ἀντὶ S[sscr] πονηρίαν ante ἀντὶ transp M 45 οὐχὶ: οὐ M καὶ: δὲ Sirm: om MPS 47 μέχρι om M 48 γενώμεθα M 50 ᾧ – 52 αἰώνων om M τῶν αἰώνων om V

474. a. 821–826

VM PS

2 προγραφή: γραφὴ M

διακοσίοις παρὰ εἴκοσιν ἠριθμημένην, ὁ αἰδέσιμος ἀνὴρ καὶ χάριτος θείας μέτοχος, ὁ λευκὸς ἄγαν τὴν τρίχα καὶ ἔτι λελευκασμένος τὴν καρδίαν, ὁ πλούσιος τὴν ἀγάπην καὶ πλουσιώτερος τὴν ἐλεημοσύνην, ὁ πλείοσιν ἀρεταῖς ὡς ἀληθῶς κατακεκοσμημένος, ἵνα μὴ ἓν καθ' ἓν ἀπαριθμούμενος μακρὸν εὑρεθῶ ἀποτείνων λόγον. ὤ, ὤ, πῶς οὐ ταῦτα θλιπτικά, πῶς δὲ οὐκ ὀδυρτικά, πῶς δὲ οὐκ ἐπ' ἐρημίας ἡ θεωρία τῆς ποίμνης ὅσον κατὰ τὰ φθάσαντα;

Ἀλλὰ τί ἄρα; ἐπι/μείνωμεν τῷ πένθει; κατηφιάσωμεν δυσθυμότερον; ἐναφεθῶμεν τῷ πάθει; οὐ μὲν οὖν, ὦ ἀδελφοί· ἀλλ', εἰδότες ὅτι δόγμα θεοῦ πᾶσιν ἀνθρώποις εἰς γένεσιν ἐλθοῦσιν αὖθις ἀναλύειν καὶ τὴν κρείττονα καὶ ἀπήμονα μεταλαμβάνειν ζωήν, ἧς ἀπαρχὴ Χριστὸς ὁ θεὸς ἡμῶν, ὁ τῆς ζωῆς ἀρχηγός, παρακληθῶμεν παρακλήσει θεοῦ, εἰς ἑαυτοὺς γενώμεθα, εἴπωμεν· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο τὸν καλὸν διδάσκαλον, τὸν ἱερὸν καθηγεμόνα· τίς γάρ ἐστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον, ἵνα τοῦ ἡμετέρου πατρὸς ξενοπαθεῖν ἔχωμεν; εὐχαριστέον ὅτι τοιούτου ἠξιώμεθα καὶ ὅτι ἕως γήρους καὶ πρεσβείου ἡ χρονικὴ παράτασις καὶ ὅτι γε ἐγκατέλιπεν οὐκ ἀπροστατεύτους οὐδὲ ἐρήμους, ἀλλὰ καὶ εὐλόγησεν ἐξόδια καὶ ἐπηύξατο ἁρμόδια καὶ ἕνα τῶν σὺν ὑμῖν κατέστησεν ἐφ' ὑμᾶς προστατεύοντα· ὃν παραινοῦμεν ζώσασθαι ὡς τέλειον ἄνδρα τὴν ὀσφῦν καὶ χριστομιμήτῳ ταπεινώσει τῆς ἐμπιστευθείσης αὐτῷ διακονίας ἔχεσθαι, κανόνι καὶ ἴχνει τοῦ μακαρίου ἐκείνου πορευόμενον τῷ κατ' ἐντολὴν θεοῦ λόγῳ.

Παρακαλοῦμεν δὲ ὡσαύτως καὶ ὑμᾶς, τὴν καλὴν ἀδελφότητα, ὁμογνώμῳ πίστει τε καὶ ἀγάπῃ τῷ νεοκτίστῳ καθηγεμόνι ὑπείκειν ἐν Κυρίῳ καὶ δεῖξαι ὅτι ὄντως ὁ θεὸς ἐν ὑμῖν ἐστι καὶ ὁ ὅσιος πατήρ, προθυμούμενος καὶ συνδέων πάντας εἰς ὁμόνοιάν τε καὶ σύμπνοιαν. ναί, ἀδελφοὶ ἐπιπόθητοι, οὕτως ἔσεσθε, οὕτω παγιώθητε, κἂν πᾶσα ἀρχὴ οὐκ εὐθὺς εὐμάρειαν ἔχοι, χρόνῳ δὲ προϊοῦσα εἰς ἕξιν ἐπιστημονικὴν καθίσταται· μηδὲ ὁμοιωθῆτε τοῖς ἐκ φιλαρχίας ἀστάτοις καὶ

---

27 διακονίας: ad hanc notionem monasticam cf. Leroy, Vie quotidienne 35 sq. et adn. 9

---

18 Jb 1,21 19 Ps. 88,49

---

10 καθὲν V 11 ἐπερημίας P 13 ἄρα CVP Sirm ἐπιμείνομεν S κατηφιάσομεν codd Sirm: corr Mi 14 οὔμεν οὖν VP Sirm: οὔμενουν S: οὐμενοῦν Mi ὦ om M 21 εὐχαριστητέον M Mi (fort recte; cf ep 421,25) 25 ἐφυμᾶς P προστατεύσοντα V^{pc} Sirm 31 ὄντως ante ἐν^{2} transp M 33 κὰν P

ἀνεπιστήμοσιν. ἐπειδὴ δὲ ἐπὶ ξυροῦ τὸ τοῦ διωγμοῦ πρᾶγμα, μὴ προδῶτε, ὑμῶν δέομαι, τὴν πίστιν μηδὲ τὴν εὐσέβειαν, ἀλλ', εἰ ἥξει μηδαμῶς τοῖς αἱρετικοῖς καθ' οἱονδήποτε τρόπον συνυπαχθῆναι, φέροιτε γενναίως, πάντα δεύτερα ἡγούμενοι, μὴ μόνον μοναστήρια καὶ τὰ ἐν μοναστηρίοις ἅπαντα, κἂν εἶεν ὑπερλίαν ἄπορα, ἀλλὰ γὰρ καὶ τὰ ἑαυτῶν σώματα, τὴν καλὴν φυγαδείαν ἑλόμενοι καὶ τὸν τοῦ διωγμοῦ μακαρισμὸν στεφανούμενοι, τὸν ὑπερένδοξον καὶ ὑπερθαύμαστον, καθὰ καὶ ἐντέταλται ὑμῖν ὁ μακάριος. εἰ δὲ ὅτι ἑάλω ἐκεῖνος (ναί, καὶ φεῦ τῆς ἥττης), πλὴν ὅτι ἀνακέκληται, πλὴν ὅτι ἐπιτετίμηται καὶ μετὰ τῶν εὐσεβῶν συνῆπται καὶ εἷς ἐστι τῶν ἀδελφῶν καὶ πατέρων ἡμῶν, καθότι καὶ εἰσδέδεκται πρὸς τοῦ ἱεροτελεστοῦ ἡμῶν μακαριωτάτου πατριάρχου.

Ταῦτα οὖν εἰδότες, ἀδελφοί, εὐψυχήσατε, εὐτακτήσατε, εὖ πράξοιτε ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὃς κἀκεῖνον ἀναπαύσειε μετὰ δικαίων καὶ ὑμᾶς καταρτίσειεν ἐν πᾶσιν ἀγαθοῖς, ἠγαπημένοι ἡμῶν ἀδελφοί.

475. Πέτρῳ Νικαίας

Νῦν εὐοδούμεθα ἐπιστεῖλαι τῇ πατρικῇ σου / ἁγιωσύνῃ, ὁπηνίκα ἀνθυπεστρέψαμεν τῆς φυγαδείας· ἐπείπερ ἡ τῶν Ἀράβων ἔφοδος σὺν πολλοῖς ἄλλοις καὶ ἡμᾶς τοὺς ταπεινούς, μεθεῖσα τῆς ξενίας, ἀπήγαγε πρὸ τοῦ ἄστεος ἐν τῇ Πριγκίπῳ νήσῳ. ἐν ᾗ ὅσον ἐταλαιπωρήσαμεν ἀπό τε τοῦ συνέχοντος ἡμᾶς φυγαδευτικοῦ λαοῦ, τοῦ τε καύσωνος καὶ τῶν δυσπότων ὑδάτων, τί δεῖ καὶ λέγειν; εἶτα, ἐπειδὴ προύβημεν ἐγγυτέρω κατὰ τὴν Χαλκηδόνα, ἐκεῖ τοῖν δυοῖν θάτερος κατεπέσαμεν ἐν ἀσθενείᾳ δυσοίστῳ, νεφριτικοῖς πόνοις παιδευούσῃ ἡμῶν τὴν ἐλεεινὴν σάρκα μέχρις ἑβδοματιαίου χρόνου καί, ἁπλῶς

---

43 ἑάλω: cf. ep. 222,8

---

34 εὐθὺς om M Sirm ἔχῃ S 35 εὐθὺς post ἐκ inser Sirm 38 οἱονδήτινα S: οἷον δήποτε Sirm συνυπαχθῆτε S (an συναπαχθῆναι scribendum? cf ep 494,12; 495,33) 40 ὑπὲρ λίαν PS Sirm ἄπορα V: ἄπειρα cett Sirm 41 ὑπὲρ ante τοῦ cancell S 43 καθὼς M ἐντέταλκεν M 48 εὐταξήσατε M 50 τῶν ante δικαίων add M

---

475. a. 823

C VM PS

---

3 Ἀρράβων VMP Sirm: βαρβάρων S συμπολλοῖς C 5 πριγκήπῳ C 8 τοῖν: τὴν C θάτερον Sirm

εἰπεῖν, ἀργαλεωτέρα ἡμῶν ἡ ὁδὸς ἐγεγόνει. ὅμως τρία ταῦτα γέγονεν ἡμῖν ἐπιτεύγματα θεοῦ χάριτι, τόν τε μακαριώτατον ἡμῶν ἀρχιερέα προσκυνῆσαι, κομισαμένους τὰς ἱερὰς προσευχὰς αὐτοῦ, ἔπειτα τούσδε καὶ τούσδε τῶν ἱερῶν πατέρων καὶ ἀδελφῶν καὶ τρίτον τὸ διαλῦσαι ἐλέει θεοῦ τὰς ἐνστάσεις καὶ ἀντιπαραστάσεις, ἃς καθ' ἡμῶν οὐκ οἶδ' ὅθεν ἀνῆψαν οἱ τῆς εἰρήνης δημιουργοί· σχισματικοὺς ἡμᾶς προανεζωγράφησαν τῆς τοῦ θεσπεσίου ἡμῶν ἀρχιερέως συναφείας, ἰδιονόμους ἀπεφήναντο ἐν ταῖς ἐπιτιμίαις τῶν ἑαλωκότων τῇ αἱρετικῇ κοινωνίᾳ, ἄλλα, ἅττα ἐργωδέστερον τῷ γράμματι ἐπικυκλεῖν.

Πλήν, ὡς προείρηται, εὐχαῖς σου πρὸς ἓν ἕκαστον ἀπαντήσαντες εὐθυβόλως, καὶ τοῦ ἱεροῦ ἡμῶν πατριάρχου κοινωνικοὶ εἶναι ἀποδεδείχαμεν, ὃς καὶ μετὰ ὑπερβαλλούσης συγκαταβάσεως καὶ ἐδέξατο καὶ ἐφιλοφρονήσατο καὶ ἀπέστειλεν ἡμᾶς, μή τινος λόγου τῶν σκαιωρηθέντων ἐπιμνηματισθέντος, οὐ μὴν ἀλλὰ καὶ τοῦ κυρίου Ταρασίου καὶ ἐν ἁγίοις μνημονευομένου· ἔφασαν γὰρ οἱ δῆθεν φιλοπάτορες καὶ τούτου ἡμᾶς διεσχίσθαι καὶ τήν γε ἐν Νικαίᾳ τὸ δεύτερον ἁγίαν σύνοδον τοπικὴν ἀποκαλεῖν. ἡμεῖς δὲ συνεστησάμεθα ἑαυτοὺς καὶ αὐτὸν ἐν πατράσιν ἁγίοις ἔχειν καὶ τήν γε σύνοδον οἰκουμενικὴν ὁμολογεῖν ἐγγράφως τε καὶ ἀγράφως, εἰ καί που καί ποτε καί πως καί τισιν ἀπεκρίθημεν ἑτέρως. ἃ οὐ δεῖ, ὥσπερ καὶ τὰ τηνικαῦτα ἑτέρως πεπραγμένα, νῦν ἀναζητεῖν καὶ ἀναξαίνειν· ἔστι γὰρ ταραχῆς αἴτιον καὶ οὐδὲν ὄνησιν φέρον ἢ μᾶλλον λογομαχίαν καὶ προσκοπὴν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, οὕτως καὶ οὕτως, οἵδε καὶ οἵδε ἔδρασαν, ἔγραψαν, ἕκαστοι τὸ ἀληθὲς ἔχειν οἰόμενοι. μακροῖς ἔτεσιν, ὡς οἶσθα, τριπόθητε, τὸ θρυλλούμενον κατεπράχθη, ἀνατολῇ καὶ δύσει γνώριμον γενάμενον· τὰ πεπραγμένα καὶ γεγραμμένα οὐθέτερον μέρος ἀνατρέπειν οἷόν τέ ἐστιν. νῦν καιρὸς ὁμονοίας, νῦν καιρὸς συναθλήσεως· τὰ ἐγκαταλείμματα τοῦ γεγραφότος, εἰ μὲν εὖ ἕξειν δοκεῖ τοῖς μετέπειτα, ἐπαίνου ἔνδικα, εἰ δὲ μή, τοὐναντίον. πιστὸς ὁ λόγος, καὶ περὶ τούτου λέγειν ἄλλο οὐ βουλόμεθα οὔτε νῦν

12 ἀρχιερέα: Nicephorus

11 Hom. Od. 4,393 ὁδὸν ἀργαλέην 41 1 Tim. 1,15

11 ἀργαλαιοτέρα C ἡμῶν post ὁδὸς transp M 13 κομισαμένοις V Sirm αὐτοῦ post ἱερὰς transp M 15 διαλύσαι CM 17 πρὸ ἀνεζωγράφησαν C 19 ἅττα Sirm 21 προέρηται Sirm 23 ὑπὲρ βαλλούσης C 25 λόγου post σκαιωρηθέντων transp M σκεωρηθέντων C ἐπιμνηματισθέντας M: ἐπιμνησθέντας M[ac] 26 ταρασσίου C γὰρ om M 31 πῶς M 33 οὐδὲν: οὐδεμίαν M 35 ἔγραψαν ante ἔδρασαν transp VMPS Sirm 37 γενόμενον VMPS Sirm οὔθ' ἕτερον Sirm 38 ἐστι VMPS Sirm

οὔτε πρὸς τὸ ἑξῆς· καὶ δηλώσει, φησίν, ἡ τῆς ἀποκαλύψεως ἡμέρα καὶ τὸ τελευταῖον πῦρ, ᾧ κρίνεται καὶ καθαίρεται τὰ ἡμέτερα.

Ταῦτα, ὁμοῦ μὲν ὡς πατρὶ συμψύχῳ καὶ εἰρηνάρχῳ, ὁμοῦ δὲ καὶ ὡς τὸ ἐξειπεῖν τὰ λυπηρὰ ῥᾳστώνην οἶδεν φέρειν τοῖς ὀδυνωμένοις, ἀναγκαίως γέ/γραπται. εἰ δὲ παρακληθεὶς ὀφθῇς ἡμῖν τοῖς ταπεινοῖς, κόπον ἀγάπης ἀναλαμβανόμενος, πάντως ἡδείους ἡμᾶς ποιήσειας περὶ πάντα. οἱ σὺν ἡμῖν προσαγορεύουσι πλεῖστα τὴν ἁγιωσύνην σου. τοὺς σὺν σοὶ καὶ ἡμεῖς πλεῖστα προσφθεγγόμεθα, παναγιώτατε.

476. Νικήτᾳ σπαθαρίῳ

Ἐδηλώθη μοι ὑπὸ τοῦ καλοῦ σου ἀδελφοῦ ὅτι τις τῶν ἡμετέρων ἱεραρχῶν ἐνδιέβαλέν με ἐπὶ τοῦ τιμίου προσώπου τῆς ἀγάπης σου ὡς θεοποιούμενον τὴν Χριστοῦ εἰκόνα καὶ τοῦτο κεῖσθαι ἐν τῇ πρὸς τὸν ἀδελφὸν Ἀθανάσιον ἐπιστολῇ μου. ἐφ' ᾗ διαβολῇ ἐστέναξα ὁ ταπεινός, ἐννοούμενος πῶς οἱ κατηγγελμένοι καὶ περὶ ἀργοῦ ῥήματος δώσειν λόγον ἐν ἡμέρᾳ κρίσεως ἐπὶ τῶν οὕτω μεγίστων (τί γὰρ μεῖζον πίστεως;) ἁπλῶς καὶ ἀφυλάκτως φθέγγονται, κατηγορίας βέλει τιτρώσκοντες τοὺς ἀνευθύνους καὶ οὐχὶ μᾶλλον, εἴπερ καί τι ἦν ἐσφαλμένον, ἀγαπητικῶς ὑπομνῆσαι κατὰ τὸ γεγραμμένον· ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν. τὸ δὲ οὕτως ἐνδιαβάλλειν οὐ μόνον ἐστὶ τῆς ἐντολῆς ἀναιρετικόν, ἀλλὰ γὰρ καὶ τῷ ὀνόματι τῆς διαβολῆς αὐτὸς ἑαυτὸν ἄξιον ὀνομάζεσθαι ἀποφαίνει· οὗ τί χεῖρον εἶεν ἐν ἀνθρώποις;

---

48 ἁγιωσύνην: cf. adn. ad ep. 451,2

42 1 Cor. 3,13

42 προστοεξῆς S 45 ὡς: εἰς Sirm οἶδε VMPS Sirm ἐν ante τοῖς inser Sirm ὀδυνομένοις C 46 ὀφθεὶς C 47 ἡδείους C: ἰδίους cett Sirm (sed cf adn ad epp 1,75; 487,6) 48 πλεῖστα post ἡμῖν transp M

---

476. a. 821 – 826? 5 ἐπιστολῇ: ep. 428

6 Matth. 12,36 10 Le. 19,17

C VM PS

1 δογματικὴ περὶ τῆς παναγίας τοῦ χριστοῦ εἰκόνος καὶ ὅτι εἰδωλολάτρης ὁ τῇ εἰκόνι τοῦ χριστοῦ λατρεύων· σχετικὴ γὰρ ἡ ταύτης προσκύνησις καὶ ὁ ἐν ταύτῃ σχετικῶς προσκυνούμενος χριστὸς λατρεύεται σὺν πατρὶ καὶ πνεύματι titulo add PS: in marg Sirm 3 ἐνδιέβαλέ VMPS Sirm 11 τὸ: τῷ M δὲ C^{pc}: δ' cett Sirm 12 ἀναιρετικὸς M

Ἀλλ’ ἐπὶ τὴν ἔγκλησιν ὁ λόγος. ‚θεοποιεῖται‘, φησί, ‚τὴν / Χριστοῦ εἰκόνα‘. οὔ τί που τοῦτο, ὦ τριπόθητε, ἐν τῇ ἐπιστολῇ μου, ἀλλ’ ὅτι τῇ εἰκόνι Χριστοῦ οὐ λατρευτέον (εἰδωλολατρείας γὰρ φρόνημα τοῦτο· μόνῃ γὰρ τῇ Ἁγίᾳ Τριάδι τοῦτο ἀναθετέον) καὶ ὅτι ὁ ἐν τῇ οἰκείᾳ εἰκόνι προσκυνούμενος Χριστὸς λατρεύεται σὺν πατρὶ καὶ πνεύματι, τὴν δὲ Χριστοῦ εἰκόνα προσκυνητέον σχετικῇ προσκυνήσει καὶ ὅτι ταύτην προσκυνοῦντες τὸν Χριστὸν προσκυνοῦμεν, οὐ διαιρούμενον κατὰ τὴν ὑπόστασιν, ἀλλὰ διαφορούμενον κατὰ τὸν τῆς οὐσίας λόγον, ὅπερ καὶ ἄληθες· τὸ γὰρ ἀρχέτυπον ἐν τῇ εἰκόνι ἐκφαίνεται καὶ ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον, ὥς φησιν ὁ πάνσοφος Διονύσιος.

Πῶς οὖν, οὕτως ἐχούσης τῆς ἐπιστολῆς, ἐνδιαβάλλοι ὁ δι’ ἐναντίας καὶ ἀποδείκνυσιν ἑαυτὸν ἀντίθετον τοῖς ἁγίοις; ἀλλὰ τί βούλοιτο; προσκυνοῦντας ἡμᾶς τὴν Χριστοῦ εἰκόνα ὁμολογεῖν προσκυνεῖν ἄλλην ὑπόστασιν; φεῦ τῆς ἀτοπίας· τούτῳ γὰρ μερίζειν ἐστὶ τὰ ἀμέριστα. ἀλλ’ οὐκ ἐνδέχεται· οὔτε γὰρ τὸ κράτος σχίζεται οὔτε ἡ δόξα μερίζεται, ὥς αὖθίς φησιν ὁ Μέγας Βασίλειος. διὸ καὶ προσκυνουμένης τῆς εἰκόνος ὁ Χριστὸς προσκυνεῖται, οὗ ἐστι καὶ ὁμοιότης, καὶ οὐχὶ ἡ ὑποδεξαμένη ὕλη τὴν ὁμοιότητα, ὥς καὶ ἐπὶ τοῦ τύπου τοῦ σταυροῦ διαδείκνυται· ὁ γὰρ τὴν ὕλην δοκῶν προσκυνεῖν νήπιος, ἄλογος. οὔτε οὖν ἡ ὕλη, ἐφ’ ᾗ ἡ εἰκών, προσκυνεῖται ἐπ’ ἀμφοτέροις οὔτε παρὰ τὴν τοῦ εἰκονιζομένου ἄλλη ὑπόστασις· ἐφίσης γὰρ ἡ παρατροπὴ τὸ ἀσεβὲς ἔχει. τοιγαροῦν διὰ τοῦτο καὶ ὁ τύπος τοῦ σταυροῦ σταυρὸς εἴρηται καὶ ἡ εἰκὼν τοῦ Χριστοῦ Χριστὸς εἴρηται, οὐ κυρίως, ἀλλὰ κατὰ κατάχρησιν. ἐὰν οὖν τοῦτο ἡμᾶς πείσῃ μὴ τὸν τύπον τοῦ σταυροῦ σταυρὸν ὀνομάζειν, πείσειεν ἡμᾶς μήτε τὴν εἰκόνα Χριστοῦ Χριστὸν ὀνομάζειν· καί, ἐὰν ἐν τῷ πρώτῳ τὸ μὴ προσκυνεῖν τὸν σταυρὸν προσκυνοῦντας τὸν τύπον, μηδὲ ἐν τῷ δευτέρῳ προσκυνεῖν Χριστὸν προσκυνοῦντας τὴν Χριστοῦ εἰκόνα.

21–23 = ep. 428,9–11 23 Dion. Ar. eccl. hier. 4,3 (PG 3,473 C) 30 Bas. spirit. 18,45 (PG 32,149 C) 31–33 = monum. gr. 9 (p. 56 Hergenröther)

---

16 οὐτίπου Sirm τοῦτο om VM 17 ὡραῖον ὅλον in marg CS ὡραῖον ὅλον πάνυ in marg P εἰκόνι post Χριστοῦ transp VM Sirm εἰδωλολατρίας Sirm: εἰδωλολάτραις V 18 ὁ om V 19 οἰκείᾳ: ἁγίᾳ VM Sirm 22 ὑπόστασιν: ὑπόσχεσιν VM 23 ἀληθές VMPS Sirm 24 φαίνεται VM παρὰ: κατὰ VM Sirm 26 ἐνδιαβάλοι V: ἐνδιαβάλλει Mi 28 τοῦ ante Χριστοῦ add VM Sirm 29 τοῦτο VM Sirm (fort recte) 33 τύπου: κύκλου VM 35 ἐπ’ ἀμφοτέροις om VMPS Sirm 36 ἐφίσης γὰρ C: ἐπ’ ἀμφοτέροις γὰρ ἐπίσης cett Sirm 37 τοιγὰρ οὖν C διατοῦτο VP 39 κατάχρησιν: χρῆσιν PS μὴ: μὴ μὴ M 41 τοῦ ante Χριστοῦ add VP Sirm Χριστοῦ om V τὸ om M 43 Χριστοῦ: αὐτοῦ S vocibus γράφεται χριστοῦ in marg scriptis

ἀλλὰ μὴν τὸ πρῶτον ἄληθες, ὅτι σταυρὸς καὶ λέλεκται καὶ προσκυνεῖται ὁ οἰκεῖος αὐτοῦ τύπος, οὐκοῦν καὶ τὸ δεύτερον ἄληθες, ὅτι Χριστὸς καὶ λέλεκται καὶ προσκυνεῖται ἡ οἰκεία αὐτοῦ εἰκών, καὶ μάτην εἰκαιολογεῖ ὁ παρὰ ταῦτα καινότερόν τι φρονῶν ἢ λέγων.

Ταῦτα γέγραφα, ὁμοῦ μὲν ἑαυτὸν ἔξω αἰτίας τιθείς, ὁμοῦ δὲ καὶ τῆς σῆς φειδόμενος ἀγαπητικῆς ὑπεροχῆς εἰς τὸ ἀντιποιεῖσθαι ὀρθοδόξου πίστεως καὶ μὴ παρασύρεσθαι λόγοις ἑτεροδιδασκαλίας.

477. Θεοδώρῳ μονάζοντι

Ἐδεξάμην σου τὴν ἐπιστολὴν τῆς τιμιότητος ἐπιγράφουσαν ἐγκύκλιος ἐπιστολή, ἤτοι θεραπευτική, καὶ εὐθὺς ἀπὸ βαλβῖδος ἐξέστην, ἀδελφέ· ἐπελθὼν δὲ τοῖς ἐφεξῆς μικροῦ καὶ τοὺς λογισμοὺς ἀπώλεσα, μὴ ἔχων ὅ τι διαλογίσομαι ἢ τί ἀπολογήσομαι τῷ ἠγαπημένῳ. καί μοι μακροθύμως οἴσειας, εἰ καὶ τραχύτερα τὰ λεχθησόμενα, οὐκ ἔχοντί πως ἄλλως / τὰ ἐνσκήψαντα τῇ ταπεινῇ μου καρδίᾳ κατὰ τὸ εἰκὸς ἐκφερομυθῆσαι καὶ ἀναγκαῖον εἰπεῖν.

Ἆρα μή τις, ἀγαπητέ, τὸ σὸν πρόσωπον ὑποδὺς εἰς τοσοῦτον ἐξετραχηλιάσθη ὄγκον φρονήματος, ὥστε ἐννοῆσαι τὰ ὑπερνεφῆ καὶ δρᾶσαι τὰ καταράσσοντα; ἆρα μὴ αὐτοὶ ἡμεῖς, ἔξω ποτὲ φρενῶν γενόμενοι, παιδιάν τινα προειλάμεθα συγγράφεσθαι ἐν οὐ παικτοῖς, ἀλλὰ καὶ λίαν χαλεποῖς τολμήμασιν; τί λέγεις, ὦ τᾶν; ἔξεστιν ἡμῖν, τοῖς μή τινα κλῆρον ἱερωσύνης ἔχουσιν ἢ μόνον ἐν μοναχοῖς τελοῦσιν, δίχα κινδυνευούσης ἀληθείας ἁρπαγμῷ ἱερατικοῦ ἀξιώματος

---

50 1 Tim. 6,3

---

44 ἀληθὲς VMPS Sirm   45 οὐκ οὖν CV   ἀληθὲς VMPS Sirm

---

477. a. 821–826

---

12 Jo. Chrys. hom. in Rom. 31,4 (PG 60,674); cf. ibid. hom. in 2 Cor. 22,3 (PG 61,551); hom. in Hebr. 27,5 (PG 63,191)

C VMT PS

---

1 δογματικὴ περὶ διαφόρων ὑποθέσεων καὶ ἐν τῷ τέλει περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add PS: in marg Sirm   Θεοδώρῳ item in marg T   ἐγράφη in marg C manu rec   2 σου post τιμιότητος transp VT Sirm   3 εὐθὴς Sirm   ἀποβαλβίδος ST   βαλβίδος omnes: correxi   4 τοῖς: τὰ M   5 ἢ: καὶ T   ἀπολογήσομαι C: ἀποκριθήσομαι cett Sirm   7 πῶς CMTPS Sirm   μου om VMT   10 ἐννοῆσαι: νοῆσαι VMT   11 δράσαι CVT   ποτὲ om VT   12 προειλόμεθα VMTPS Sirm   13 τολμήμασι VMTPS Sirm   ὦ τᾶν: ὦτ' ἂν C: ὦ τάν T[pc]   ὑμῖν ST   14 τελοῦσι VMTPS Sirm

ἐγκύκλιον ἐπιστολὴν ἐντάττειν καὶ ταύτῃ κατεξανίστασθαι ἱεραρχῶν τε καὶ ἱερωμένων, μοναστῶν τε καὶ καθηγουμένων, οὐ μὴν ἀλλὰ καὶ νόμους ἰδικοὺς ἀποίσειν ἐξ ἰδιοκρίτου καρδίας, πρὸς δὲ καὶ ὕβρεσι καὶ ὀνείδεσι, κατακρίσεσί τε καὶ ἀλλοτριώσεσιν ὑποβάλλειν τὸ ὅλον πλήρωμα τῆς ὁμολογητικῆς ἀδελφότητος;

Οὗτοι γάρ, ὡς φῇς, κἂν οὐχὶ πάντες οἱ τῆς ἀληθείας ὑπασπισταί, τὸ τῆς μετανοίας ὑποκρινόμενοι, ὃν τρόπον οἱ τῆς ἐναντίας μοίρας τὸ τῆς εὐσεβείας ὄνομα ψευδῶς ὑποδυσάμενοι, ἐξ ἴσου παγχάλεπα τὴν ἀλήθειαν καὶ τὴν μετάνοιαν διέθηκαν, δεινοῖς κατακοντίζοντες λόγοις καὶ συρφετὸν ἀθλίων εἰσκομίζοντες λογισμῶν, διχοστασίας ἐγείροντες, τὴν ἀμώμητον πίστιν ἀδικοῦντες, τὸν ἁπάντων ἡνίοχον καὶ ἐπιστάτην καὶ δημιουργὸν ἀτιμάζοντες, ἀλλήλοις ἐρίζοντες, λημμάτων ἡττώμενοι, πόρους ἐπινοοῦντες, τοῖς ὁμόφροσι τῶν ἀσεβησάντων χάριν προσκρούοντες, τῶν ὁμολογησάντων καὶ τῆς ἀληθείας προκεκινδυνευκότων τοὺς τὰ μέγιστα ταύτην ἀδικήσαντας καὶ διώξαντας προτιμῶντες καὶ προτιθέμενοι, οἷς τε δρῶσι τῇ ἀληθείᾳ χαλεπαίνοντες καὶ τὸ ὑπὲρ Χριστοῦ παθεῖν οὐδὲν ἡγούμενοι, κακῶς εἰδότες καὶ ὑπὲρ ὧν κεκινδυνεύκασιν ὠμῶς καὶ ἀκαθηκόντως ἀμνημονήσαντες.

Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξα ἐπὶ πλεῖον ἐγὼ ὁ τάλας· καί, εἰ μὴ τῶν σῶν φωνῶν ἐπαΐειν, οὐκ ἂν ἐπίστευσα τῷ προδεδηλωκότι ἐπιστολὴν συντετάχθαι ὑπὸ τῆς τιμιότητός σου κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας· κατ' αὐτῆς γάρ ἐστι τὸ τοὺς κλεινοὺς καὶ ὁμολογητὰς ἄνδρας, οἳ περιῆλθον ἐν ποικίλοις πειρασμοῖς ὑστερούμενοι, θλιβόμενοι, κακοχούμενοι, διωκόμενοι, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ ταῖς ὀπαῖς τῆς γῆς, ὧν οὐκ ἄξιος ὁ κόσμος, ἀποστολικῶς εἰπεῖν, καταγορεύειν τὰ τοιαῦτα βατταρίσματα· καὶ οὔπω ἐκπέφασται τὰ αἰτιολογικώτερα καὶ ἀπανθρωπότερα. τολμᾷ τις, ἐρωτῶ, ἐν στρατιώταις κατειλεγμένος, βασιλικῷ συγγράμματι ἐξαυθεντήσας τοῦτο κἀκεῖνο διαγορεύειν καὶ τοὺς ἐν ὑπεροχαῖς καθυβρίζειν ὡς ἀτάκτως καὶ εἰκῇ φερομένους; εἰ δὲ τοῦτο φωραθείη πεποιηκώς, ἀνάρπαστος εὐθὺς καὶ ἀγώγιμος ὡς ἐπιθανάτιος· τί καὶ οὐ πείσεται ὁ ἁπλῶς μοναστὴς ὑπὸ τοῦ τῆς ἐκκλησίας κριτηρίου παραπλήσιον ἐκείνῳ

25 cf. Rom. 16,17   32 cf. Philipp. 1,29   35 Dion. Ar. ep. 8,5 (PG 3,1096 D sq.)   39 Hebr. 11,37 sq.

21 φῇς VTPS Sirm   καν C: κἀν M: om PS   25 συρφετῶν CPS   λογισμόν CPS   27 ἀλλήλους C   29 ἀσεβημάτων VMT   30 κεκινδυνευκότων Sirm   32 οὐδὲν: μηδὲν VMT   35 ἐγὼ post τάλας transp T   40 κακουχούμενοι VMTS Sirm (cf ep 181,25)   43 τοῖς ante στρατιώταις add VMT Sirm   44 κατηλεγμένος C   47 οὐ om T

τετολμηκώς; μὴ γὰρ οὐκ ἔχομεν ἀρχιερέα, τὸν δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν κατὰ τὸ γεγραμμένον, με/τριοπαθεῖν τε δυνάμενον τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις; οὗ ἡ ἐγκύκλιος ἐπιστολὴ κατὰ τὴν δεδομένην αὐτῷ ἐξουσίαν τοῦ πνεύματος. ὅς, εἰ ᾔδει ἐν τοῖς γιγνομένοις ἔκθεσμόν τι καὶ οὐ λυσιτελοῦν, πάντως δὴ ἐφθέγξατο τὰ εἰκότα. ἀλλ' ἐπειδὴ ὁρᾷ τὴν ἐπικρατοῦσαν αἵρεσιν καὶ στενὰ ἑκατέρωθεν παριστάμενα, εἴασεν ἅπαντας τοὺς προθυμουμένους ἰᾶσθαι τὰ συμπεσόντα νοσήματα ὡς ἕκαστος ἔχει δυνάμεως, εὖ ποιῶν ὁ θεσπεσιώτατος, ὡς μήτε νομοθεσίαν εἶναι τὸ τελούμενον μήτε μὴν ἀθεράπευτον ψυχήν, ὑπὲρ ἧς Χριστὸς ἀπέθανεν, καταλιμπάνεσθαι, καὶ τοῦτο δηλαδὴ μέχρις ὀρθοδόξου συνόδου, ὁπηνίκα καὶ τὰ καλῶς ὑπηργμένα ἐγκριθήσεται καὶ τὰ ἄλλως ἔχοντα ἀποδοκιμασθήσεται. καὶ τὸ πρᾶγμα θεῷ προσφιλὲς ὅτι μάλιστα, ὃς ἐρᾷ πάντας σῴζεσθαι, μὴ ὅτι γε τοὺς τῷ τῆς μετανοίας φαρμάκῳ προστρέχοντας, ὃς καὶ συνεπικουρεῖ τῷ φιλαδέλφῳ, χεῖρα ὀρέγοντι, καὶ συνανίστησι τῷ ἐξεγείροντι τὸν κάμνοντα· αὐτοῦ γὰρ φωνή ἐστιν· παρακαλεῖτε, παρακαλεῖτε, ἱερεῖς, τὸν λαόν μου, λαλήσατε εἰς τὰ ὦτα Ἱερουσαλήμ. τί δ' ἂν εἴη ἄλλο ἡ παράκλησις ἢ ἡ τῶν καθεστώτων συντήρησις καὶ τῶν ἐκτραπέντων διὰ μετανοίας ἐπανόρθωσις; εἶτα πρὸς τοὺς ἡμαρτηκότας· ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ καὶ γνώσῃ ποῦ ἦσθα. καὶ αὖθις· ἔτι σου τὰ ῥήματα τῆς προσευχῆς λαλοῦντος, ἐρεῖ ‚ἰδοὺ πάρειμι'. καὶ βοηθός ἐστι τῶν ἀποστρεφόντων ἀπὸ ὁδοῦ πονηρᾶς καὶ τὸ πεπλανημένον πρόβατον ἐπὶ τῶν ὤμων αἴρει καὶ ἄχρις οὗ τὸ σήμερον καλεῖται τὰ τῆς μετανοίας φάρμακα προτίθησι· καὶ τὸν λῃστὴν μιᾷ καιροῦ ῥοπῇ τοῦ παραδείσου ἠξίωσεν καὶ τὸν μέγαν Πέτρον ἀρνησάμενον τῷ πικρῷ κλαυθμῷ προσήκατο καὶ τῷ Δαυὶδ ὡς μηδ' ὁτιοῦν ἁμαρτήσαντι πάλιν τὸ τῆς προφητείας χάρισμα ἐνίησι. καὶ τί δεῖ τὰ πολλὰ παραδείγματα ὑποφαίνειν καὶ μηκύνειν

---

49 Hebr. 4,15 50 Hebr. 5,2 64 Is. 40,1 sq. 68 Is. 30,15 69 Is. 58,9 70 Jer. 25,5 71 Hebr. 3,13 73 Luc. 23,43 74 Matth. 26,75

---

49 ἔχωμεν C 50 ἡμῶν — γεγραμμένον om VT τε C^{sscr} 52 ὑπὸ ante τοῦ add VT Sirm 53 γινομένοις T Sirm δὴ ἐφθέγξατο: διεφθέγξατο T 54 τὴν ἐπικρατοῦσαν C: ἐπικρατοῦσαν τὴν cett Sirm 55 ἀμφοτέρωθεν VMT Sirm 58 ἀπέθανε VMTS Sirm 63 σὺν ἐπικουρεῖ C φιλαδέλφως VMT Sirm συνίστησι C^{ac} 64 συνεγείροντι VMT Sirm ἐστὶ PST: ἐστι VM Sirm παρακαλεῖτε om VT 65 οἱ ante ἱερεῖς add VMT Sirm ἱεροῖς Mi 66 εἴη post ἄλλο transp VMT Sirm ἢ^{1} om VM καθεστώτων: ἀνθεστηκότων VMT Sirm συντήρησις: ἀντίρρησις T 68 ὅτ' ἂν C ἐπιστραφεὶς T^{pc} 70 ἐπιστρεφόντων T^{pc} 72 καὶ ante τὰ add VMT προτίθησι T: προστίθησι cett Sirm 73 ἐν ante μιᾷ add VMT Sirm ἠξίωσε VMTPS Sirm 74 ἀρνησόμενον P 75 ὅτι οὖν C χάρισμα post ἐνίησι transp VMT Sirm

τὸν λόγον; καὶ χρηστός ἐστιν ἐν τοῖς πρὸς τοὺς ὁμοδούλους χρηστευομένοις καὶ ἀπότομος ἐν τοῖς ἀσυμπαθέσιν. οὗ εἵνεκα αἱ ἰατρεῖαι, αἱ ἐπιτιμίαι κατὰ τὸν παρόντα χρόνον τελούμεναι, οὐχ ὡς ἡ τιμιότης σου κεκωμῴδηκεν (ἄπαγε τῆς βλασφημίας) οὐδὲ σκανδάλων παραίτια τὰ γιγνόμενα, ἀλλ' ἀληθινῆς ἀγάπης τεκμήρια· φησὶ γὰρ ὁ Κύριος, τοιαύτην ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

Τιθέασιν οὖν τὰς ψυχὰς αὐτῶν ὑπὲρ τῶν ἰατρευομένων οἱ ἀκέστορες κατὰ τὸν ἀληθῆ λόγον, οὐκ ἐμπορευόμενοι τὴν θεόκριτον οἰκονομίαν ὡς χριστέμποροι· καὶ ὁ λαὸς τοῦ θεοῦ ὁσημέραι ἀνακαθαίρεται καὶ ὁ οἶκος Σαοὺλ ἀσθενῶν ἠλάττωται, ὁ δὲ οἶκος Δαυὶδ μεγαλυνόμενος ἐπηύξηται, ἐκ τούτου εἰς τοῦτο μεταταττομένου τοῦ ἀνασφήλαντος. ἀλλὰ τί βούλοιο, ὦ θαυμάσιε, ἐν τοσούτοις χρόνοις ἐπικρατούσης τῆς αἱρέσεως καὶ ὀλλυμένου τοῦ θείου πλάσματος μὴ ὀπτανθῆναι ἰατρόν τί που; μὴ εἶναι θεραπευτικὰς μεθόδους; μὴ χειραγωγηθῆναι τυφλώττοντα; μὴ ὑγιασθῆναι / νοσηλευόμενον; μὴ μοτωθῆναι τραυματιζόμενον; μὴ ὀρθοποδῆσαι χωλεύοντα; μὴ καταδεσμευθῆναι συντριβόμενον; μὴ ἐπιστραφῆναι πλανώμενον; μὴ κατὰ πᾶν ὁτιοῦν νόσημα καθόσον οἷόν τε ἐπαγωνίσασθαι τὸν προαιρούμενον; καίτοι γε ὁρῶμεν ἐν τοῖς τῶν σωμάτων ἰατροῖς πολλὴν τὴν ἐπιμέλειαν καὶ πολλὰ τὰ ἰατήρια· καὶ ὃς μὲν τόνδε, ὃς δὲ τόνδε ἐγκεχείρισται θεραπεύειν καὶ οὐδὲ ὁ ἐν στάσει ὑπηρέτου κατατεταγμένος κεκώλυται χειραπτεῖν κατὰ τὴν ἐνοῦσαν αὐτοῖς ἰατρικὴν ἐπιστήμην ἢ προύχουσαν ἢ ὑφειμένην. καὶ καθ' ἑκάστην οἱ συμπίπτοντες καὶ πλήρεις αἱ τούτους ὑποδεχόμεναι ἑστίαι, καὶ οὐδεὶς κατεγκαλεῖ τὴν ἐπιμέλειαν οὐδὲ καταιτιᾶται τὸν περὶ τὴν ἰατρείαν σπουδαιολογούμενον, ἀλλὰ καὶ πρώταρχοι καὶ ἀρχιητροὶ καὶ μέσοι καὶ τελευταῖοι τὴν φιλάνθρωπον δρῶντες οἰκονομίαν. εἰ δὲ ἐκεῖ οὕτως, πολλῷ δήπουθεν ἐν τοῖς κατὰ ψυχὴν κατὰ τὸ ἀνάλογον πάντα

82 Joh. 15,13 86 2 Reg. 3,1 94 cf. Jac. 5,19

78 ἰάτρίαι C: ἰατρεῖαι P 79 κατὰ — τελούμεναι in marg T 81 γινόμενα VMT Sirm 82 τίς Sirm θῇ: θήσει VMT 86 ὡς: οἱ VM ὁσήμεραι C ὁσημέραι post ἀνακαθαίρεται transp PS 88 μετὰ ταττομένου C 89 ἀνασφήλαντος: ἀνοσήματος V Sirm: νοσήματος MT^{pc} ὦ om T 91 ἰατρόν τί που: ἰατρῶν τύπον T τίπου Sirm 93 μωτωθῆναι C μὴ^{1}: καὶ VT 95 ὅτι οὖν C καθόσον οἷόν τε: καθὼς ὁμοίωνται V καθ' ὅσον MS 98 ἐκκεχείρισται Sirm στάσει: τάξει VMT 100 ὑφειμένην: ὑφισταμένην Sirm καθεκάστην CT^{pc}PS Sirm συμπίπτοντες: συγκύπτοντες VMT Sirm 102 κατ' αιτιᾶται C 103 ἀρχιϊτροὶ C 104 δρῶσιν T

καὶ ὁρᾶται καὶ ὀφείλει γίγνεσθαι καὶ ὁ κωλύσων λυμεών τις καὶ κοινὸς ἐχθρὸς τοῦ γένους ὡς τῷ ἀπ' ἀρχῆς ἀνθρωποκτόνῳ συνεργῶν λογισθήσεται. ‚οὔ', φησί, ‚τοιοῦτον τὸ ἡμέτερον, ἀλλ' ἐκεῖνο πυνθάνομαι ὅτι, εἰ ὁ Κύριος τὴν μετάνοιαν, παρατροπὴν οὖσαν τῆς τοῦ δικαίου ἀκριβείας, διὰ τὸ ἀγαθὸν οὐ τεθάρρηκε δωρεῖσθαι πρὶν πᾶσαν ὀφειλομένην τοῖς τοῦ δικαίου σταθμοῖς τε καὶ ζυγοῖς δι' ἑαυτοῦ καταθέσθαι δικαίαν τιμωρίαν, τίς τολμηρὸς καὶ ὑπερήφανος, ὃς ἐπιτρέψει ἑαυτῷ μετάνοιαν καθαρίζειν τῶν ἀρνησαμένων τοῦ σωτῆρος ἡμῶν Χριστοῦ τὰ ὑπὲρ ἡμῶν παθήματα, μὴ πρότερον ἅπασαν ἔκτισιν ἀποδοῦναι τῇ τοῦ δικαίου ἀπαραβάτῳ αὐστηρίᾳ;'

Φεῦ τοῦ τολμηροῦ καὶ ἀσυνέτου προβλήματος. πότε ὦπται ὁ Χριστὸς τὴν μετάνοιαν εὐαγγελιζόμενος; πότε τῷ παραλυτικῷ εἴρηκεν, θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου; πότε τῇ δακρυοβρεχούσῃ πόρνῃ τοὺς θείους πόδας ἡ αὐτὴ συγχώρησις δεδώρηται, ἐπιπλήττουσα Σίμωνα τὸν ἑστιάτορα; πότε τῷ ἐν ἀσθενείᾳ κατακειμένῳ ἐν τριάκοντα καὶ ὀκτὼ ἔτεσιν εἴρηται, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοί τι γένηται, ὡς ἐξ ἁμαρτίας δηλαδὴ τῆς ἀσθενείας ἐπισκηψάσης; ἄλλα, ἅττα οὐκ εὔκαιρον ἀνελιττομένῳ ὑποφαίνειν θεοσημείας ἔργα, πότερον, πρὸ τοῦ πάθους ἢ μετὰ τὸ πάθος; εἰ δὲ πᾶσιν εὔδηλον καὶ ὁμολογούμενον ὅτι πρὸ τοῦ πάθους, ὥσπερ καὶ τοὺς μαθητὰς ἀπεσταλκὼς δίδωσιν ἐξουσίαν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν θεραπεύειν, ἥτις διὰ τῆς τῶν προσερχομένων μετανοίας καὶ ὑποπτώσεως ἐδεδώρητο, τίς ἡ τολμηρὰ γλῶσσα ἐπιφθεγγομένη μὴ τεθαρρηκέναι Χριστὸν πρὸ τοῦ πρὶν πᾶσαν τὴν ὀφειλομένην τοῖς τοῦ δικαίου σταθμοῖς τε καὶ ζυγοῖς δι' ἑαυτοῦ καταθέσθαι δικαίαν τιμωρίαν κἀντεῦθεν ἐπιτιμᾶν τοῖς τῆς μετανοίας ἀναδεξαμένοις τὴν οἰκονομίαν ὡς τολμηροῖς καὶ ὑπερηφάνοις, μὴ πρότερον ἅπασαν ἀποτίσασι τὴν τοῦ δικαίου αὐστηρίαν; ἢ δῆλον / ὅτι Φαρισαϊκῆς διανοίας ἡ ἐπίπληξις καὶ Ναυατιανικῆς μισανθρωπίας ἡ ἀπαγόρευσις;

110 cf. Le. 19,35   117 Matth. 9,2   118 Luc. 7,38 sq.   121 Joh. 5,14   126 Matth. 10,1   129 cf. Le. 19,35

106 γίνεσθαι V[ac]   108 οὔ φησι PS   113 μετανοίᾳ M[pc]   καθαρίζειν: an καθορίζειν scribendum?   τὸν ἀρνησάμενον M   117 εἴρηκε VMTPS Sirm   118 δακρυοβρεχούσῃ C: δακρύοις βρεχούσῃ cett Sirm   119 πόρνῃ om VMT   δεδώρηται: ὡμολόγηται VMT   121 τριάκοντα: λ̄ M   ὀκτώ: η̄ M   122 σοί τι C: τί σοι cett Sirm   post ἁμαρτίας voces τῶν φίλων αὐτοῦ – καθόσον (καθὼς) (= ll. 83–95) cancell T   123 ἄλλα: ἀλλὰ Sirm   ἄττα V   124 ὑποφαίνειν ante ἀνελιττομένῳ transp VMT Sirm   προτοῦ T   125 προτοῦ T   127 προσευχομένων Sirm   129 προτοῦ T   τὴν om VMTPS Sirm   132 δεξαμένοις VMT   133 ἀποτίσασθαι M[pc]   δηλονότι T   134 ναυτιανικῆς C: ναυατιανῆς S: ναυατικῆς M   ἀπανθρωπίας VM Sirm

Ὅρα δὴ οὖν λοιπόν, ὦ ἄνερ, οἷον ἀπομετεωρισθεὶς κατεκρημνίσθης, τῶν οἰκείων μέτρων ἐκστὰς καὶ μὴ συντετηρηκὼς ἑαυτῷ τὸ ἐνόν σοι ἀξίωμα. ἢ οὐκ ἀνέγνως ὡς πᾶς ἀλλοτριοεπίσκοπος ἐκκήρυκτος; καὶ οὐκ ἀπέστελλον αὐτούς, φησί, καὶ προεφήτευον· καί, οὐχ ἑαυτῷ τις τὴν τιμὴν λαμβάνει, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ. οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενέσθαι ἀρχιερέα κατὰ τὸ γεγραμμένον, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· σὺ ἱερεὺς εἶ εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. σὲ δὲ τίς κέκληκεν, ἀδελφέ, τίς δὲ κατέστησεν νομοθέτην ἐπὶ τῆς ἐκκλησίας τοῦ θεοῦ, ὅς, μηδὲ ἄρχεσθαι τυχὸν μεμαθηκὼς κἀκ τούτου μηδὲ ἄρχειν τινὸς τεθεωρημένος, ὀφείλεις νομοθετεῖσθαι μᾶλλον ἢ νομοθετεῖν, χειραγωγεῖσθαι μᾶλλον ἢ χειραγωγεῖν, φωτίζεσθαι ἢ φωτίζειν, διδάσκεσθαι ἢ διδάσκειν, κἀκ τῆς τοῦ προτέρου πείρας ἐπὶ τὸ δεύτερον ἀνιέναι, ὥσπερ δὴ θεῖος νόμος καὶ κάλλιστα ἔχων κἀν τοῖς θείοις κἀν τοῖς ἀνθρωπίνοις ἀξιώμασιν.

Μὴ γὰρ οἰώμεθα, ὦ φίλε, τὸ ἐκ τῆς μωρανθείσης σοφίας εἰδέναι τι φθέγγεσθαι καὶ ἐπίτριπτον λόγον συνεισβάλλειν, τοῦτο καθίστησι νομοθέτας (ἐπεὶ καὶ Μωαβίταις καὶ Ἀμμανίταις εἰσιτητὸν τὸ θεῖον θυσιαστήριον), ἀλλ' οὓς ὑπακοὴ χριστομίμητος ἐδοκίμασεν καὶ πολυχρόνιος ὑπομονὴ ἐμαρτύρησεν καὶ εὐαγγελικὸς λόγος ἐτελείωσεν· εἰ δὲ καὶ ἐξωτερικὸς πάρεστιν, οὐκ ἄχαρις, εἴ γε ὑπὸ ταπεινοφροσύνης κεκόσμηται καὶ ὑπὸ τοῦ εὐαγγελικοῦ ἡγεμονεύοιτο, ἀλλὰ μὴ τοῖς οἰκείοις ἀξιώμασιν ἐναβρύνεται, οἷς οἱ ἐναβρυνόμενοι, ὡς ἐπὶ καλαμίνῃ ῥάβδῳ ἐπερειδόμενοι, εἰκότως τιτρωσκόμενοι καταράσσονται. ἀλλά, φησί, ζηλῶν ἐζήλωκα τῷ Κυρίῳ καὶ οὐκ ἀνεκτὰ τὰ ὁρώμενα. καὶ ποῦ ἡμῖν τὸ τῆς προφητείας χάρισμα, ὦ βέλτιστε; καὶ ποῦ τὸ Καρμήλιον ὄρος; καὶ ποῦ αἱ οὐράνιαι κλεῖς; καὶ ποῦ ἡ διατέμνουσα τὸν Ἰορδάνην μηλωτή, ἐν διπλῷ χαρίσματι τῷ Ἐλισ-

138 1 Petr. 4,15 139 Jer. 23,21 140 Hebr. 5,4sq. 151 Jer. 28,17 160 3 Reg. 19,10 162 3 Reg. 18,19sq.; cf. Bas. ep. 42,5 (PG 32,357B = I 107 Courtonne) Matth. 16,19 163 4 Reg. 2,8

136 δὴ om M 138 ἢ: μὴ VMT 141 οὕτω S 142 εἶ om CPS εἶ – 143 αἰῶνα om T τίς δέ: ἢ τίς VMT 144 κατέστησε VMTPS Sirm τῇ ἐκκλησίᾳ M 145 τυχὸν: τινὸς VMT μηδὲ: μὴ VMT Sirm 147 μᾶλλον post φωτίζεσθαι add T 148 ὅσπερ VMTPS 149 δὴ om VMT καν C: κἂν V (bis) 150 ἀξιώμασιν C: πράγμασι S: ἀξιώμασι cett Sirm 151 οἰόμεθα T τό: τὰ T 152 καθίστησιν T 153 ἀμανίταις CST οὐκ ante εἰσιτητὸν add PS Sirm τὸ θεῖον om Sirm 154 ἐδοκίμασε VMTPS Sirm 155 ἐμαρτύρησε VMTPS Sirm 157 εὐαγγελίου T[ac] 158 οἱ om T 159 καλαμίνης C: καλάμῳ V: καλαμί//νῃ T 162 καὶ[2] – κλεῖς om T σημείωσαι· γήρισον ὄπισθεν κδ' φύλλα in marg M manu rec

σαίῳ ἐπιφοιτήσασα; ἡμῖν δέ, εἰ καί τι πάρεστι χάρισμα, τίνι καταλειπτέον, μηδὲ φοιτητὴν ἔχουσιν;

Ὅθεν σκοπῶμεν ἤδη μήπως τῶν ὑπὲρ δύναμιν ἐφιέμενοι καὶ τῶν μετρίων ἀποτύχοιμεν μηδὲ τὸν κώνωπα διυλίζοντες τὴν κάμηλον καταπίνωμεν ἢ καὶ τὰ κάρφη ἐκ τῶν ὀφθαλμῶν τῶν ἀδελφῶν ἐξαίρειν δοκιμάζοντες αὐτοὶ τὴν δοκὸν ἐπὶ τῶν ὀφθαλμῶν μὴ δοκοῦντες φέρωμεν, τὸ δὴ λεγόμενον, ἐξ ὧν συναναστρεφόμεθα καὶ συνεσθίομεν ὧδε κἀκεῖσε καταγινωσκόμενοι. ‚ὁ δεῖνα', φησί, ‚ψευδῶς ἐξηγόρευκε, κρύπτων τὸ αἴσχιστον αὐτοῦ ἁμάρτημα· καὶ ἄλλος, κρύψας τὸ ἀσέβημα, ἕτερα ἀνθ' ἑτέρων ἐξηγεῖται. καὶ πῶς ὁ δῆθεν ἰατρεύων δύναται φάναι θεραπείας τούσδε τετυχηκέναι;' οὐ πιστευτέον, ὦ τᾶν, ἀλλὰ καὶ λίαν κατηγορητέον· οὐδεὶς γὰρ αὐθαιρέτως ἴων πρὸς ἴασιν μὴ οὐχὶ ἀπογυμνοῦν τὸ οἰκεῖον πάθος αἱρήσεται. εἰ δὲ καί ποι ἄληθες, οὐχ ἡμῶν τὸ κρίνειν, ἀλλὰ θεοῦ τοῦ ἐφορῶντος· φησὶ γάρ· τὰ μὲν φανερὰ θεῷ καὶ ἡμῖν, τὰ δὲ κρυπτὰ Κυρίῳ τῷ / θεῷ σου· σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἰητῆρα; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ ἢ τοὐναντίον.

‚Πάντες', φησίν, ‚ὑπερβάθμιον ἐκτείνουσι πόδα καὶ τῶν οὐ παρακεχωρημένων κατατολμῶσιν καὶ τοῖς ὑψηλοτέροις ἐπεκτείνονται'. τοῖς οἰκείοις ἑάλως πτεροῖς, ὥς πού τις ἔφη τῶν ἔξω, ἀφ' οὗ καὶ ἡ πρότασίς σου· πoὺς γὰρ τεταγμένος εἰς κεφαλὴν ἐξ αὐθαδείας ἤρθης, ταῖς ἄλλαις δυσὶ προτάσεσι περιπαρείς, ὦ γενναῖε. ἑτέρα πάλιν ἔγκλησις· ‚πάντες ἑαυτοῖς ἐπιτρέπουσι τὰ ὑπὲρ δύναμιν καὶ ἥττονας ἡγοῦνται τοὺς ἄλλους καὶ τῷ λύειν καὶ δεσμεῖν ἀσχέτως καὶ ἀκλήτως ἐπιτρέχουσι καὶ πάντας φιλονεικοῦσι πρὸς τοὺς οἰκείους ἕλκειν πόδας καὶ μηδένα ἕτερον τὸν λύοντα ἢ εἶναι ἢ νομίζεσθαι θέλουσιν καὶ φθονοῦσι τοῖς τὰ τοιάδε πράττουσι καὶ τούτους μόνους δέχεσθαι, οὓς αὐτοὶ λελύκασι, τοὺς δὲ ὑφ' ἑτέρων τετυχηκότας ἐπιτιμήσεως ἀποστρέφεσθαι καὶ ἐγκαλεῖν, ἐπεὶ μὴ πρὸς αὐτοὺς δεδραμήκασι καὶ

---

167 Matth. 23,24 168 Matth. 7,3 178 De. 29,28 Rom. 14,10 180 1 Cor. 4,5 185 Aesch. fr. 139 (p. 45 Nauck = TrGF III 252 Radt)

---

164 καταλιπτέον C: καταληπτέον VM 170 συνεσθίωμεν C 171 ὦδε VM 172 αἴσχιστον: αἰσχρὸν Sirm αὑτοῦ V 174 φᾶναι C τούσδε: τούτους S τάν ST 175 ἴων C: ἰὼν cett Sirm 177 ἀληθὲς VMTPS Sirm 180 τοῦ om T 182 τοῦ om VMTPS Sirm ἢ τοὐναντίον om VMT Sirm 183 φησίν om T ἐκτείνουσι: ἐκκλίνουσι VMT 184 κατατολμῶσι VMTPS Sirm ante κατατολμῶσι tres litt eras T 185 πού: ποῦ C: om VMT 186 ποῦς CVMT 189 τῷ: τὸ C 191 θέλουσι VMTPS Sirm 192 τοιάδε: τοιαῦτα VMT καὶ τούτους: κἂν τούτων VMT 193 τετυχηκότες Sirm 194 καὶ[1] om VMT

παρ' αὐτῶν ᾐτήσαντο τὴν ἄφεσιν'. ἀναπλάσματα διανοίας δαιμονιώδους τὰ κατηγορήματα καὶ ἐκ φθονερᾶς καρδίας τὰ προβλήματα· οἷς ἐπιγελάσειέν τις εἰκότως ὡς παιδιάς τινας καὶ ὕθλους καὶ ἀθύρματα· ἢ μᾶλλον τἀληθὲς εἰπεῖν, ἐπεὶ μηδεὶς ἡμῖν ἐξ ἀπιστίας ὁ προστρέχων κατὰ λῆψιν ἐπιτιμήσεως, μαινόμεθα πρὸς τοὺς ἐκ πεποιθήσεως τῶν προσιόντων θεραπεύοντας, δαιμόνιόν τι πάθος πάσχοντες καὶ τοῖς εἰκονομάχοις τὰ ἴσα τοὺς αἰδήμονας καθυβρίζοντες.

,Τί', φησί, ,τὸ διάφορον τῆς αἱρέσεως ταύτης πρὸς τὸν Μανιχαϊσμόν; οὐχὶ κατὰ Μανιχαϊκῆς αἱρέσεως ἠγωνίσμεθα καὶ λόγοις καὶ ἔργοις; καὶ δηλοῦσι τὰ ἔγγραφα συντάγματα τῶν κατ' αὐτῆς ἀγωνισαμένων, ἐν οἷς ἀπαραλογίστοις συλλογισμοῖς καὶ ἀκαθαιρέτοις ἀποδείξεσιν ἀπέδειξαν, εἰ καὶ νῦν ἑαυτῶν καὶ τῶν οἰκείων πονημάτων ἀμνημονοῦσιν'. ἔοικας, ἑταῖρε, ἀσυλλογίστως συλλογίζεσθαι καὶ ἰδίοις λογισμοῖς ἐπ' ἀθετήσει ἀληθείας στηρίζεσθαι, μὴ εἰδὼς ὅτι τὰ παραδείγματα, τοῖς πρωτοτύποις παραβαλλόμενα, οὐκ αὐτὰ ἐκεῖνα εἶεν τὰ ἀρχέτυπα, ἀλλὰ τοσοῦτον ἔχοντα τὸ πρὸς ἄλληλα ταὐτόν, ὅσον τὸ κατὰ τοὔνομα κοινὸν τοῖς ἄλλοις ἐξαλλάσσοντα. καὶ τὰ μὲν κυρίως ὠνόμασται, τὰ δὲ οὐ κυρίως, καὶ τὰ μὲν κατὰ κατάχρησιν λέλεκται, τὰ δὲ κατὰ ἀλήθειαν· οἷον, φέρε εἰπεῖν, ἐπὶ τῆς εἰκόνος Χριστοῦ καὶ αὐτοῦ Χριστοῦ, ὅτι ὁ μὲν κατὰ ἀλήθειαν Χριστὸς καὶ ἔστι καὶ ὀνομάζεται, ἡ δὲ κατὰ κατάχρησιν, ἤτοι ὁμωνυμίαν. ἐπεὶ καὶ Παῦλος ὁ ἱερὸς ἀπόστολος τὴν φιλαργυρίαν δευτέραν εἰδωλολατρείαν ἀπεκάλεσεν αἰτιολογικῶς καὶ κατὰ ἀναφορὰν ὁμοιωματικὴν τῆς οὔσης εἰδωλολατρείας· ἐξ οὗ οὐδὲ ἐπιτιμητέον τοῖς φιλαργύροις ὡς εἰδωλολάτραις, ἐπεὶ ἄρα ὀφείλομεν ἐκ τοῦ κόσμου ἐξελθεῖν. νῦν δὲ πολλοὶ φιλάργυροι καὶ πάντῃ ἀνεπιτίμητοι / παρεωραμένοι. τί οὖν ἀπᾷδον κἀνταῦθα, εἰ ἡ εἰκονομαχικὴ αἵρεσις τῇ Μανιχαϊκῇ παραβάλλοιτο ὅσον κατ' εἰκόνος καὶ πρωτοτύπου λόγον; καθὸ καὶ ἡ ἐν Νικαίᾳ τὸ δεύτερον οἰκουμενική τε καὶ ἁγία σύνοδος

216 1 Tim. 6,10 223 cf. Conc. Nic. II (XII 1093 B sq. Mansi)

197 ἐπιγελάσειε VMTPS Sirm παιδιάς — ἀθύρματα: παιδιαῖς τισι καὶ ὕθλοις καὶ ἀθύρμασιν T ἤθλους Sirm 201 ἶσα VMTPS Sirm 203 αἱρέσεως C: προαιρέσεως cett Sirm 204 αὐτῆς: αὐτῶν VMT 206 πονημάτων C: ὑπομνημάτων cett Sirm 207 ὦ ante ἑταῖρε add VMT Sirm 209 σημείωσαι τί φησι περὶ ἀρχετύπου καὶ εἰκόνος in marg PS 211 ἐξαλλάττοντα Mi 213 λέλεκται om T εἰπεῖν: εἶπει C 216 δευτέραν om S εἰδωλολατρίαν VMT^{pc}PS 217 ἐκάλεσεν M 218 εἰδωλολατρίας VMT^{pc}PS οὗ: ὧν VM 219 ἆρα C 220 πάντῃ: πάνυ VMT 221 ἡ om CVMPS

τοὺς ἐν ταύτῃ ἑαλωκότας οὐχ ὡς μανιχαΐσαντας ὑπεξελθοῦσα τεθεράπευκεν καὶ οὔ τί που ἀμνημονήκασιν οἱ τὰ περὶ αὐτῆς πονήματα καταβαλλόμενοι, καὶ λόγοις καὶ ἔργοις κατ' αὐτῆς ἀνταγωνισάμενοι. ἠγνόηκας δ' αὐτὸς ὄντως ἑαυτόν, ὃ πολλῆς ἐστι κατηγορίας καὶ ἀβελτερίας ἔγκλημα.

Ἐβουλόμην οὖν καὶ ἑτέρας προτάσεις τοῦ πολυσχεδοῦς καὶ ταὐτολογοῦντος γραμματείου συνεισοῖσαι τοῖς προλεχθεῖσι καὶ ἀποδεῖξαι πάντῃ ἐξ ὀρθοῦ λόγου ἐληλεγμένας· ἀλλὰ ἃς μὲν ὡς ἀλυσιτελεῖς καὶ ἀσυναρτήτους, ἃς δὲ ὡς αὐτόθεν ἐχούσας τὸν ἔλεγχον, ἐνίας δὲ ὡς σκοτεινὰς καὶ ἀντιδόξους τῇ ἀληθείᾳ πόρρω που ἀπορριψάμενος ὡς εἰς πῦρ Ἡφαίστου, ἐπὶ τέλει τοῦ λόγου ἐκεῖνο ἐπιφθέγγομαι, ὅτι, εἰ μὲν αἰτοῦμεν συγγνώμην ἐφ' οἷς προπετῶς καὶ θεὸν παρωργίσαμεν καὶ ἁγίους ἠτιμάσαμεν καὶ τὴν ὁμολογίαν κατῃτιασάμεθα καὶ τὴν ἐκκλησίαν δεδυσφημήκαμεν, εὖ ἂν ἔχοι· εἰ δὲ μή, ἀλλ' ἡμεῖς γε οἱ ταπεινοὶ ἐπὶ στόματι χεῖρα ἐπιθήσομεν, μὴ ἐκκαλούμενοί σου τὴν ὁσιότητα εἰς δευτέραν γραμματικὴν προσφώνησιν.

478. Λέοντι σακελλαρίῳ

Πολλοῦ χρέους εὐχαριστιῶν καὶ ἀπολογιῶν ὑπεύθυνοι ὄντες μικράν τινα νομίζομεν ἀποδιδόναι ὀφειλὴν ἐν ταῖς πρὸς τὴν πανεύφημον καὶ παμπόθητόν σου ὑπεροχὴν ὑπὸ τῆς ταπεινώσεως ἡμῶν ἐγχαραττομέναις ἐπιστολαῖς. ἐπεὶ καὶ νῦν ἐπὶ τῷ ἀδελφῷ Σιλουανῷ τί καὶ ἀπολογησόμεθα; πρῶτον μὲν ὅτι οὕτως αὐτὸν προσήκατο ἰδεῖν ἡ θεοφιλής σου ψυχὴ ὡς ἕνα τινὰ τῶν συνήθων, μειλιχίῳ ἤθει καὶ εὐπροσίτῳ προσώπῳ συλλαλήσασα καὶ συνανακραθεῖσα μετὰ τοῦ εὐτελοῦς· ἔπειτα τὰ περὶ ἡμῶν τῶν ἁμαρτωλῶν οὕτως συνανακρῖναι, τήν τε τοῦ ἀμφοτέρων ἡμῶν ταπεινοῦ σώματος ἀσθένειαν καὶ τὴν

---

239 ὁσιότητα: ad allocutionem cf. Dinneen l. l. 10 sq.

224 ὑπεξελθοῦσα C: ἐπεξελθοῦσα cett Sirm   225 οὐτίπου Sirm   ἠμνημονήκασιν VMTPS Sirm   226 καταβαλόμενοι VM   ἔργοις καὶ λόγοις S[ac]   227 ἠγνόηκε V   228 ἀβελτηρίας VMTPS Sirm   229 πολυσχιδοῦς S Sirm (sed cf ep 555,76; Psaltes, Grammatik 28)   230 γραμματίου VMT   συνεξοῖσαι VMT   231 ἐξορθοῦ S   ἀλυσιτελεῖς: ἀσυντελεῖς VT   232 ἀσυναντήτους VT   233 ἀντιδόξους: ἀντιθέτους VMT Sirm   ποῦ C   234 ἐπιφθέγξομαι VMT   236 ἠτιμήσαμεν Sirm   237 εἶδεμὴ T

478. a. 823

C V PS

9 συνανακρίναι CSV

ἄλλην ὑποφῆναι ἀγαπητικὴν συνδιάθεσιν, ὡς τοσοῦτον εἰπεῖν, ὅτι ‚καὶ Στουδιώτης ὑποπτεύομαι πρός τινων τῶν ἀντιθέτως πρὸς ὑμᾶς ἐχόντων‘ καὶ τὸ ἀπεύξασθαι μή ποτε γενέσθαι τινὰ τρῶσιν τῆς τηλικαύτης φιλικῆς ἀνακράσεως. τοῦτο ὅλον ἐξένισεν ἡμᾶς καὶ συνερρίζωσε μᾶλλον καὶ μᾶλλον ἐν τῇ εἰλικρινεῖ αὐτῆς ἀγαπήσει, τὰ αὐτὰ λέγοντες· μή ποτε, ὦ δέσποτα τῶν ἁπάντων, δῴης ἡμῖν ἐπιλαθέσθαι τοῦ καλοῦ εὐεργέτου, τοῦ πιστοῦ συμψύχου, τοῦ δοκίμου ἐραστοῦ, τοῦ ἱεροῦ ἀνθρώπου, τοῦ κατὰ πάντα ἐν πᾶσιν καὶ προστάτου καὶ κηδεμόνος καὶ κυρίου ἡμῶν καὶ δεσπότου, ἀλλ' εἴη τὸ φίλτρον καὶ μετὰ πότμον ἐνιζάνον ἐν ἡμῖν, μᾶλλον δὲ καὶ συμμετερχόμενον ἐν τῷ μέλλοντι αἰῶνι, ἐν ᾧ πιστεύομεν γνωρίζειν ἀλλήλους καὶ συγχαίρειν ἐν θεῷ τοὺς φιλήσαντας ἑαυτοὺς πνευματοκινήτως.

Ἀλλ' ἐντεῦθεν ὁ λόγος μετελθὼν ἐν ταῖς δυσὶν ὑποθέσεσιν ἐνδιατρίψειεν κατὰ τὴν κέλευσιν. ἐπὶ μὲν οὖν τῆς πρώτης ὡς ἔχεις, ὁ κύριος ἡμῶν, οὕτω καὶ ἡμεῖς διατιθέμεθα· προδιαιτείσθω δὲ ὁ λόγος οὕτως. φονίσκος ἐπὰν κρατηθῇ, δικαίως ἀποτίσει πρὸς τοῦ νόμου τὴν ἀντισήκουσαν ποινήν. νυνὶ δὲ ἐμφύλιος πόλεμος πρόκειται, ὅς, ὥσπερ αἱ ἄλλαι θεομηνίαι, σεισμοί τε καὶ λιμοί, καταποντισμοὶ καὶ ἐμπρήσεις, παρὰ θεοῦ πρὸς σωφρονισμὸν ἡμῶν δικαίᾳ κρίσει ἀνερριπίσθη, ὀλέσασα τοσοῦτον ἀριθμόν, ὅσος καὶ ὤλλυτο. ἐπεὶ οὖν σπλαγχνισθεὶς κεκόπακεν τὴν θραῦσιν Κύριος, οὐ βούλεται τοὺς ὑπολειφθέντας ὄλλυσθαι, ἐπεὶ πάντως πανωλεθρίαν εἰργάσατο ὡς ἐπὶ τοῦ κατακλυσμοῦ· ἀλλὰ τί; τὸ διασεσῶσθαι τοὺς ἐαθέντας καὶ φειδοῦς γενέσθαι ἀξίους· φησὶ γὰρ ἐν τοῖς εὐαγγελίοις, ἄφετε καὶ ἀφεθήσεται ὑμῖν· καὶ διὰ τοῦ μακαρίου Παύλου· μή τίς τινι / κακὸν ἀντὶ κακοῦ ἀποδιδότω, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας. οὐ μὴν ἀνεπιτιμήτως· ἐπεὶ καὶ Κάιν φονεύσας τὸν ἀδελφὸν τὸ πολυειδὲς καὶ ᾀδόμενον ἐπιτίμιον εἰκότως εἴληφεν. ἐπιτετίμηται πρὸς ἑαυτοῦ καὶ Λάμεχ, καὶ Ἀβεσσαλώμ, τὸν ἀδελφὸν Ἀμνὼν κτείνας, ἐάθη ὑπὸ τοῦ πατρὸς κατὰ τὸ ὑπὸ τῆς

12 Στουδιώτης: vox reperitur etiam apud Method. ep. adversus Studitas (PG 100,1296 B)
27 ἐμφύλιος πόλεμος: seditio Thomae

31 Ps. 105,30 34 Matth. 6,14 35 1 Thess. 5,15 37 Gen. 4,11 sq. 39 2 Reg. 13,28 sq.

16 λέγοντας V 17 συμψήχου Sirm: συμμετόχου C^{ac} 18 πᾶσι VPS Sirm 23 ἐνδιατρίψειε VPS Sirm 25 οὕτως VPS Sirm 26 ἐπ' ἂν VP Sirm 27 ἀντεισήκουσαν C: ἀντισηκοῦσαν V Mi 30 ὤλλυτο: ὤλυτο V 31 κεκόπακε VPS Sirm 32 ὤλλυσθαι C πανολεθρίαν VPS Sirm 39 ἀβεσαλὼμ S 40 ἀμνῶν S: ἀμνὸν C: Αμνὼμ Sirm

Θεκωίτιδος πρόβλημα ἄκταντος. καὶ αὐτὸς Δαυὶδ οὐκ ἐβούλετο τὸν Ἀβεσσαλὼμ τὸν πατρολῴαν κτένεσθαι, ἀλλ' οὐδὲ τοὺς συναποστατήσαντας αὐτῷ μετὰ τὴν παῦλαν τοῦ πολέμου γέγραπται προστάξαι φονεύεσθαι. τοσαῦτα ὡς κατ' ἐπιτομὴν περὶ τοῦδε· ἐλεήμων γὰρ ὢν ὁ θεὸς θέλει δι' ἐπιτιμήσεων, ἤγουν ἐξοριῶν, φυλακῶν, ἄλλων τινῶν ὑποθέσεων τὸ τῆς μετανοίας αὐτοῖς διὰ ζωῆς συντηρεῖσθαι.

Ἐπὶ δὲ τῇ ἑτέρᾳ ὑποθέσει τί καὶ φῶμεν, εἰδότος σου τοῦ ἐχέφρονος καὶ δραστηρίου νοῦ τὰ πάντα; εἰς αὐτὸ τοῦτο ἡ τοῦ προάρξαντος Λέοντος ἔνστασις συνᾶραι ἡμᾶς λόγον μετὰ τῶν ἑτεροδόξων, ἀντιθετικῶς κρίσιν ἀποίσοντος, ὡς ἐνόμιζεν. ἀλλὰ καὶ αὐτοῦ ἤδη τοῦ βασιλεύοντος ἡ αὐτὴ ἔνστασις, ὁπηνίκα κατὰ πρόσωπον πρὸ τριῶν ἐτῶν διελέχθη ἡμῖν, οὐκ αὐτοῦ λέγοντος κρίνειν τὴν διαδικασίαν, ἀλλὰ τοῦτον κἀκεῖνον τῶν δῆθεν ὁμοφρόνων ἡμῖν· ἀλλ' οὔτε ἡμεῖς οἱ παρόντες κατὰ πρόσωπον οὔτε ὁ κλεινὸς ἡμῶν ἀρχιερεὺς ἠνέσχετο ὡς ἔκθεσμον καὶ ὀθνεῖον. ὅπερ καὶ ἄληθες, παμπόθητε ἡμῶν δέσποτα· οὐδὲ γὰρ περὶ βιωτικῶν καὶ σαρκικῶν ὁ λόγος, ὧν βασιλεὺς τὸ κράτος ἔχει τοῦ κρίνειν καὶ τὸ βιωτικὸν κριτήριον, ἀλλὰ περὶ θείων καὶ οὐρανίων δογμάτων, ὃ ἄλλοις οὐκ ἐπιτέτραπται ἢ ἐκείνοις, οἷς φησιν αὐτὸς ὁ θεὸς λόγος· ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. τίνες δὴ οὗτοι οἱ ἐντεταλμένοι; ἀπόστολοι καὶ οἱ τούτων διάδοχοι. τίνες δ' οὖν οἱ διάδοχοι; ὁ τῆς Ῥωμαίων νυνὶ πρωτόθρονος, ὁ τῆς Κωνσταντινουπόλεως δευτερεύων, Ἀλεξανδρείας τε καὶ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων. τοῦτο τὸ πεντακόρυφον κράτος τῆς ἐκκλησίας, παρὰ τούτοις τὸ τῶν θείων δογμάτων κριτήριον· βασιλέων δὲ καὶ ἡγεμόνων τὸ συνεπικουρεῖν καὶ συνεπισφραγίζειν τὰ δεδογμένα καὶ διαλλάττειν τὰ σαρκικῶς διαφορούμενα. οὐκ ἄλλο τι ἐν τοῖς θείοις δόγμασιν οὔτε δέδοται πρὸς θεοῦ οὔτε γενησόμενον στήσεται. διὰ τοῦτο ἀπεδοκιμάσθη ἐπὶ τοῦ δόγματος τῶν θείων εἰκόνων τὰ ἐπὶ τοῦ πάλαι Κωνσταντίνου καὶ Λέοντος βασιλικῷ κράτει καὶ θράσει συνεδριασθέντα τε καὶ βατταρισθέντα·

---

51 πρὸ τριῶν ἐτῶν: a. 821 54 ἀρχιερεύς: Nicephorus 63 πρωτόθρονος: Paschalis I 64 πεντακόρυφον κράτος: cf. Ostkirchenkunde 103

59 Matth. 16,19

41 θεκοήτιδος CV: Θεοκοήτιδος PS Sirm: correxi 42 πατραλῴαν S κταίνεσθαι C: κτενέσθαι Sirm 43 παῦλαν: παῦσιν Sirm 49 συνάραι codd Sirm: corr Mi 53 τούτων S κἀκείνων S 55 ἀληθὲς VPS Sirm 61 δὴ C: δὲ cett Sirm 63 an Κωνσταντίνου πόλεως scribendum? 66 σὺν ἐπικουρεῖν C σὺν ἐπισφραγίζειν C 68 δέδοται: δέδοκται C[ac] 69 διατοῦτο VPS

ἐφ' οἷς ἐτμήθη ἡ τῇδε ἐκκλησία τῶν ἑτέρων τεττάρων, ἀναθεματισμοῖς ὑποβαλλομένη αἰωνίοις σφραγῖδι τοῦ Ἁγίου Πνεύματος. εἶτα ἐλέῳ θεοῦ ἠγέρθη κέρας ὀρθοδοξίας ἐπὶ Εἰρήνης τῆς πάνυ σὺν τῷ αὐτῆς ῥαδάμνῳ, ἐφ' ἧς συνήφθη τὰ διεστῶτα μέχρις Λέοντος τοῦ προσεχοῦς· ἐφ' ᾧ αὖθις διετμήθη ἡ τῇδε ἐκκλησία, ἀναθεματιζομένη ὑπὸ τῶν προτέρων ἰσορρόπως. /

Ἀμήχανον οὖν ἐστιν, ὦ δέσποτα, βιωτικῷ κριτηρίῳ παραβάλλεσθαι τὸ θεῖον κριτήριον ἢ συναφθῆναι τήνδε τὴν ἐκκλησίαν μὴ οὐχὶ ὁμονοούντων τῶν πέντε πατριαρχῶν. εἰ δέ τις ἐρωτοίη ,καὶ πῶς ἐνδέχεται τοῦτο γενέσθαι;' τῷ ἐκστῆναι τοὺς ἑτεροδόξους τῶν τοῦ θεοῦ ἐκκλησιῶν καὶ ἀπολαβεῖν τὸν οἰκεῖον θρόνον Νικηφόρον τὸν ἱερὸν πατριάρχην· ὅς, συνεδρεύσας μεθ' ὧν συνήθλησεν (εἰ οὐκ ἐνδέχεται ἐκ τῶν ἄλλων πατριαρχῶν παρεῖναι ἀντιπροσώπους· ὅπερ δυνατόν ἐστιν, εἰ θέλοι βασιλεὺς τὸν ἐκ Δύσεως παρεῖναι, ᾧ καὶ τὸ κράτος ἀναφέρεται τῆς οἰκουμενικῆς συνόδου), ἀποπεράνοι ἂν τὸ τῆς εἰρήνης καὶ τὸ τῆς συναφείας βραβευτήριον δῆλον ὅτι δι' οἰκείων συνοδικῶν, ἀποστελλομένων τῷ πρωτοθρόνῳ. εἰ δὲ οὐ τοῦτο καταδεκτέον τῷ βασιλεῖ καί, ὥς φησι, παρετράπη σὺν ἡμῖν τῆς ἀληθείας Νικηφόρος ὁ πρόεδρος, ἐξ ἑκατέρου μέρους ἀποσταλτέον πρὸς τὸν Ῥώμης κἀκεῖθεν δεχέσθω τὸ ἀσφαλὲς τῆς πίστεως. καὶ γὰρ οὕτως ἔχει· εἰ παρατραπῇ εἷς ἐκ τῶν πατριαρχῶν, ὑπὸ τῶν ὁμοταγῶν, καθά φησιν ὁ θεῖος Διονύσιος, τὴν ἐπανόρθωσιν λήψεσθαι, οὐχ ὑπὸ βασιλέων κρίνεσθαι, κἂν ἐξαναστῶσιν πάντες οἱ ὀρθοδοξήσαντες βασιλεῖς. καὶ τούτου τοῦ κεφαλαίου οὐκ ὀφείλει ἀφειδῆσαι ὁ βασιλεὺς ἡμῶν, ἀλλὰ καὶ πρὸ πάντων γε φροντίσαι, ἐν ᾧ καὶ τὸ βασίλειον μακάριον καὶ τὸ βασιλεύειν ἐννόμως δεδώρηται.

Ἄλλο τι οὐ φρονοῦμεν οἱ ταπεινοὶ καὶ ἀνάξιοι, ὑπερευχόμενοι τῆς πολυεύκτου σου εὐζωΐας· εἰ δέ τι ἐλλιπὲς ἐν τοῖς γράμμασιν, ὁ προσκυνητὴς τῶν τιμίων σου ἰχνῶν καὶ ἐπιστοληφόρος ἀπολογήσεται.

---

80 εἰ δέ τις – 99 εὐζωΐας: primum edidit Allatius, De consensione 305 (cf. ibid. 342)

---

92 Dion. Ar. ep. 8,4 (PG 3,1093 C)

---

73 σφραγίδι codd Sirm: corr Mi 75 οἷς codd: corr Sirm 81 τῷ: τὸ C 82 Νικηφόρον S^{sscr} 87 τὸ om S δηλονότι VPS Sirm 92 παρατραπεῖ C 94 ἐξαναστῶσι VPS Sirm

479. Θεοδότῳ πατρικίῳ

Ἀπὸ τοῦ τιμίου γράμματος εἴδομέν σου τὴν πανεύφημον ὑπεροχὴν καὶ ἀπὸ ἀκροάσεως τῶν σημαινομένων ἐπέγνωμέν σου τὴν καλὴν ψυχήν· τὸ γὰρ πρὸς ἡμᾶς τοὺς ἁμαρτωλοὺς τοιούτοις χρήσασθαι τιμητικοῖς λόγοις, ἐπιθυμεῖν τε ἡμῶν ἰδεῖν τὸ εὐτελὲς πρόσωπον, εἶτα καὶ ἀκουτισθῆναι λόγον σωτήριον, ἀνδρός ἐστιν ὄντως ἐνθέου καὶ ψυχῆς ἐπιποθούσης θεόν. καὶ ὡς θαυμαστὰ τὰ ἔργα τοῦ μεγάλου καὶ μόνου θεοῦ ἡμῶν τῶν χριστιανῶν· ὅτι ἐκάλεσέν σε ἐξ ἔθνους οὐχ ὁσίου εἰς τὴν σεπτὴν ἐπίγνωσιν τῆς ἀληθείας αὐτοῦ τρόπῳ τηλικούτῳ, δοκοῦντι μὲν ἀκουσίῳ, αὐθαιρέτῳ δ' ὅτι μάλιστα, σὺν τοῖς συνεξελθοῦσιν ἀγχιστεῦσιν, ἐπείπερ ἄλλως οὐ δεδοκίμασται τῇ θείᾳ οἰκονομίᾳ ἀφαρπάσαι ὑμᾶς τῆς ἀθεότητος. ὢ τῆς θαυμαστῆς κλήσεως· ὢ τῆς ἐπαινετῆς ἀπολυτρώσεως· ἠνέχθης ἐκ σκότους εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς, ἀπεκδυσάμενος τὸν παλαιὸν ἄνθρωπον σὺν τοῖς ἀτόποις καὶ ἐθνικοῖς λογισμοῖς τε καὶ πράξεσιν, ἐνεδύσω τὸν Χριστόν, χριστιανὸς ἀντ' ἐθνικοῦ χρηματίζων, υἱὸς φωτὸς καὶ υἱὸς ἡμέρας, ἀνθ' υἱοῦ σκότους καὶ νυκτὸς ἀσεβείας, ἕνα θεὸν σέβων, τὸν ἐν πατρὶ καὶ υἱῷ καὶ Ἁγίῳ Πνεύματι προσκυνούμενον, πεφευγὼς τῆς πολυθεΐας καὶ Βουλγαρικῆς εἰδωλολατρείας τὴν δυσσέβειαν· εἶτα καὶ ὁμολογῶν τὸν ἕνα τῆς Ἁγίας Τριάδος, αὐτὸν τὸν υἱὸν καὶ λόγον τοῦ/θεοῦ, δι' ὑπερβάλλον ἔλεος τοῦ καθ' ἡμᾶς γένους ἄνθρωπον γεγενῆσθαι ὅμοιον ἡμῖν κατὰ πάντα μετὰ καὶ τοῦ εἶναι τὸν αὐτὸν θεὸν τέλειον. θεὸς γὰρ ὁ πατήρ, θεὸς καὶ ὁ υἱός, θεὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, εἷς θεός, οὐ τρεῖς θεοί, ἄπαγε, τὸ μὲν διὰ τὴν μίαν θεότητα, τὸ δὲ διὰ τὰ τρία πρόσωπα. αὕτη ἡ ἀληθινὴ πίστις τῶν χριστιανῶν, καταργοῦσα πᾶσαν πλάνην καὶ αἵρεσιν.

Ἐπειδὴ δὲ διπλοῦς ὁ Χριστός, καθὸ θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος, τὸ μὲν ὡς ἐκ τοῦ πατρὸς γεννηθεὶς πρὸ αἰώνων ὡς ἐξ ἡλίου

---

479. a. 821 – 826? 8 ἔθνους: Bulgarorum

14 Col. 3,9 16 Joh. 12,36

C VM PS

1 Θεοδώρῳ V (sed Θεοδότῳ V in indice titulorum f. 190ʳ) M Sirm δογματικὴ περὶ (τῶν S) ἁγίων εἰκόνων im marg PS Sirm βουλγα in marg C 2 σου post τιμίου add PS Sirm ἴδομέν C 5 τε post ἡμῶν transp VM 8 ἐκάλεσέ VMPS Sirm 11 σὺν ἐξελθοῦσιν C ἀγχιτεῦσιν C: ἀρχιερεῦσιν Sirm 12 ἡμᾶς VM ὦ C 13 ὦ C 14 αὐτοῦ: θυτοῦ Sirm 16 υἱὸς² om PS Sirm 19 εἰδωλολατρίας VMPS δυσσέβειαν: ἀσέβειαν M 23 ὁ in marg CP 28 τοῦ om VM

ἀπαύγασμα, τὸ δὲ ἐκ τῆς μητρὸς ἐπ' ἐσχάτου τῶν χρόνων ὡς ἡ καθ' ἡμᾶς γέννησις, μᾶλλον δὲ καὶ ὑπὲρ ἡμᾶς (ἐπειδὴ παρθένος ἡ τεκοῦσα καὶ πρὶν καὶ ἐν τῷ τίκτειν καὶ μετὰ τὸν τόκον, ἐφ' οἷς καὶ Θεοτόκος ἀληθινῶς καὶ νενόηται καὶ προσηγόρευται), διὰ τοῦτο, ὥσπερ κατὰ τὸν πατέρα ἀπερίγραπτος, οὕτω κατὰ τὴν μητέρα ἐν πίνακι περιγραφόμενος καὶ ἡ περιγραφὴ αὐτοῦ, ἤτοι εἰκών, προσκυνητή, ἐν ᾗ βλέπεται ὑφ' ἡμῶν τῶν χριστιανῶν οἵαν μορφὴν ἀνέλαβεν καὶ δεδοξολόγηται ὡς ὅμοιος ἡμῖν κατὰ πάντα γεγονὼς πλὴν ἁμαρτίας, καταργήσας πᾶν εἰδωλικὸν ὁμοίωμα, ἐφ' ᾧ ὤλλυτο λατρεῦον ἐξ ἡμερῶν αἰῶνος τὸ γένος τῶν ἀνθρώπων. ὁ γοῦν μὴ καταδεχόμενος αὐτὸν ἐξεικονίζεσθαι, ὦ καλὲ φίλε, ἀπαναίνεται αὐτοῖς πράγμασι, κἂν λόγῳ συγκατατίθεται, γενέσθαι τὸν υἱὸν τοῦ θεοῦ ἄνθρωπον· καὶ ὁ μὴ προσκυνῶν αὐτοῦ τὴν ἁγίαν εἰκόνα μὴ προσκυνεῖν αὐτὸν ἀποδέδεικται, κἂν ὁμολογῇ προσκυνεῖν· ἡ γὰρ τῆς εἰκόνος αὐτοῦ τιμὴ ἐπ' αὐτὸν διαβαίνει, ὥσπερ καὶ ἡ ἄρνησις αὐτῆς εἰς αὐτὸν τὴν ἄρνησιν ἀναπέμπει.

Ἐπεὶ οὖν, ὡς μανθάνω, οὕτως καὶ αὐτὸς πέποιθας καὶ διὰ τοῦτο στέλλῃ τῆς κοινωνίας τῶν εἰκονομάχων, χαίρω καὶ συγχαίρω σοι, εὐχαριστῶ καὶ συνευχαριστῶ σοι ὅτι ὁρᾷς τὴν ἀλήθειαν, καίτοι ὀψιμαθὴς ὢν καὶ ἀρτιγέννητος υἱὸς θεοῦ. καὶ μή τοι θαυμάσῃς ὅτι καὶ ἐν χριστιανοῖς εἰσέρχεται πλάνη· ὅπου γὰρ ἡ σωτηρία, ἐκεῖ τρέχει ὁ δράκων διάβολος ποιῆσαι ἀπώλειαν, καὶ τοῦτο δι' ἑνὸς ἀνθρώπου τοῦ ἐξουσιάζοντος. ἄρτι γὰρ ἡ πλάνη ταύτη ἐπεισήχθη ἐν τοῖς χριστιανοῖς, ἐπεὶ ἐξ αἰῶνος ἡ Χριστοῦ εἰκών, τῆς τε Θεοτόκου καὶ τῶν ἁγίων αὐτοῦ.

Ταῦτά σοι, δέσποτα τιμιώτατε, ὡς παρὰ θεοῦ κινηθείς, κἂν ἁμαρτωλός εἰμι, ἐφθεγξάμην πρὸς βεβαίωσιν τῆς πίστεώς σου, πρὸς σύμβολον ἀγαπήσεώς σου, ἐπειδὴ σὺ ἀδελφὸς ἡμέτερος καὶ οὐ ξένος, καθὼς εἴρηκας. εἰ δὲ ξένος τοῦ κόσμου, εὖ ἂν ἔχοι· καὶ ἡμεῖς γὰρ οἱ ταπεινοὶ τὸ αὐτὸ ἔχομεν καὶ διὰ τοῦτό ἐσμεν ἀπορρεριμμένοι ἐνταῦθα

---

36 cf. Greg. Naz. or. 26,6 (PG 35,1236 B = p. 240 M.-L.) πάντα ὅσα ἐγώ, πλὴν ἁμαρτίας 42 Bas. spirit. 18,45 (PG 32,149 C) 46 Philipp. 2,17

---

29 ἐσχάτων VMS Sirm 31 τὸν τόκον: τὸ τίκτειν VM Sirm 32 ἀληθινῶς: ὡς ἀληθῶς VM Sirm διατοῦτο VPS κατὰ τὸν: καὶ κατὰ VM 33 οὕτω: οὕτως καὶ VM Sirm 34 voces καὶ σεβαστὴ post προσκυνητή add VMPS Sirm 35 ἀνέλαβε VMPS Sirm 37 ὄλλυτο C 39 εἰκονίζεσθαι VM Sirm 40 συνκατατίθεται C: συγκατατίθηται V Mi 42 κἂν M 43 ἐπ' αὐτὸν: ἐπὶ τὸ πρωτότυπον VM Sirm αὐτῆς: αὐτοῦ V 45 διατοῦτο VMPS 51 ταύτη C: αὕτη cett Sirm 52 post ἐπεὶ voculam ἐκ cancell S 55 πρὸς σύμβολον – 56 σου om VMPS Sirm σὺ post ἀδελφὸς transp VM Sirm 57 οἱ ταπεινοὶ om VM 58 διατοῦτο VMPS ἀπορεριμένοι C: ἀπερριμμένοι cett Sirm

διὰ τὸν λόγον τοῦ θεοῦ. καὶ μακάριος εἶ, πιστεύων εἰς Χριστὸν ὀρθῶς καὶ πάντα δεύτερα ὑπὲρ αὐτοῦ ἡγούμενος. ἰδέσθαι δὲ ἀλλήλους δύσκολον διὰ τὴν ἐξουσίαν, εἰ μή τι θεὸς κελεύει καθ' ὃν οἰκονομήσει τρόπον. μεμνῆσθαί σου δὲ οὐ διαλειψόμεθα καὶ ἀγαπᾶν σε ὡς ἀδελφὸν ἡμῶν· ὅν ποτε οὐκ ἐγνωρίσαμεν ἀπὸ σαρκὸς καὶ αἵματος, νῦν δὲ ἀπὸ τοῦ Ἁγίου Πνεύματος ἔχομεν ὡς σύγγονον, ἀποτεχθέντες ἀμφότεροι ἐκ μητρὸς τῆς υἱοθετικῆς, κολυμβήθρας / τοῦ βαπτίσματος. εἰρήνη σοι, φίλε καὶ ἀδελφὲ καὶ δέσποτα, εἰρήνη καὶ τῷ οἴκῳ σου καὶ πᾶσι τοῖς διαφέρουσί σοι ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. ἀμήν.

480. Κατηχητικὴ πρὸς τοὺς ἑαυτοῦ μαθητάς. Θεόδωρος ἐλάχιστος, πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου, ἠγαπημένοις ἀδελφοῖς μου καὶ πνευματικοῖς υἱέσιν, τοῖς διὰ Κύριον ὧδε κἀκεῖσε διεσπαρμένοις

Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ χαρισαμένου ὑμῖν τὸν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ διωγμόν· ὅς, εἰ καὶ λυπηρὸς κατὰ σάρκα, ἀλλὰ χαροποιὸς κατὰ πνεῦμα· μακαρισμῶν γὰρ θεολέκτων αἴτιος καὶ στεφάνων αἰωνίων πρόξενος. οὗ χάριν κἀγὼ ὁ εὐτελὴς χαρᾷ χαίρω καὶ ἀγαλλιάσει ἀγαλλιῶμαι, ὅτι ἠξίωμαι τοὺς ἐμοὺς ἀγαπητοὺς ἰδεῖν ἐν τοιαύτῃ προκοπῇ, ἐν τηλικούτῳ βαθμῷ τῆς καλῆς ὁμολογίας, ἣν ὡμολογήσαμεν ἐνώπιον θεοῦ καὶ ἀνθρώπων, προσκυνεῖν Χριστὸν ἐγγεγραμμένον, ἤγουν ἐξεικονισμένον, καθὼς πάντες οἱ ἅγιοι πατέρες ἡμῶν. μόνον παρακαλῶ καὶ ὑπομνήσκω ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ὑμᾶς πολιτεύεσθαι, τὴν ἀναστροφὴν ὑμῶν ἔχοντες καλὴν ἐν οἷς διατρίβετε καὶ τόποις καὶ προσώποις, τὸν λόγον ἐν χάριτι ἅλατι ἠρτυμένον, τὴν

---

59 Matth. 16,17

62 σου δὲ: δέ σου V Sirm   67 τοῦ om VM (bis)   68 τοῦ om VM   ἀμὴν om Sirm

---

480. a. 821 – 826?

5 Rom. 1,7   9 Matth. 5,12   16 Col. 4,6

C V PS

3 ὑιέσιν C: υἱέσι cett Sirm   6 ἡμῖν V^{pc} 7 εἰ καὶ C: καὶ εἰ cett Sirm   14 ὑπομιμνήσκω VPS Sirm   15 ἔχοντας V   16 τόποις: τρόποις C^{ac}PS

ἕξιν εὐλαβείᾳ μεμεστωμένην, τὴν βρῶσιν καὶ τὴν πόσιν αὐταρκείᾳ τετηρημένην, τὸ ἔνδυμα καὶ βάδισμα συνέσει τεθεωρημένον, ὡς ἂν φωτισμός ἐστε τῶν λαϊκῶν, ἀλλὰ μὴ τοὐναντίον, ὑπόθεσις θείας ἐξομολογήσεως, ἀλλὰ μὴ τοὐναντίον. ἕκαστος καθὼς ἔλαβεν χάρισμα εἰς ἑαυτοὺς αὐτὸ διοικοῦντες ὡς καλοὶ / οἰκονόμοι ποικίλης χάριτος θεοῦ, καθὼς γέγραπται. εἴ τις λαλεῖ, ὡς λόγια θεοῦ, ἀλλὰ μὴ ματαιολογίας· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος, ἀλλὰ μὴ καθ' ὑπερηφανίαν· εἴ τις ἐργάζεται, ταῖς ἰδίαις χερσὶν πρὸς τὸ μὴ ἐπιβαρὴς εἶναι, ἀλλὰ μὴ ὡς ἀργὸς κατακρινόμενος καὶ τοῦ ἐσθίειν· εἴ τις ἐν πᾶσιν κατ' ἐντολὴν πράσσει, ὡς ἐργάτης θεοῦ, ἀλλὰ μὴ κατὰ σκάνδαλον γιγνόμενος τοῦ πέλας, ἵνα ἐν πᾶσι δοξάζηται ὁ θεὸς κἀγὼ ὁ τάλας ἀκούων εὐθυμῶ καὶ χαίρω.

Βλέπετε τοὺς κακοὺς συνδυασμούς, βλέπετε τὴν ὀλεθρίαν παρρησίαν, βλέπετε τὴν πορνοποιὸν ἀδηφαγίαν· μή τις μετὰ γυναικὸς ὁμιλείτω ἄνευ ἀνάγκης, μή τις μεμονωμένος καθεζέσθω, μή τις φιλαργυρείτω, κέρματι κέρμα προστιθεὶς καὶ αὔξων χρυσίον, ἐν ᾧ ῥιζοῦται ἡ ἁμαρτία καὶ ἡ μερὶς τοῦ Ἰούδα. μή τις ἀπεμπολείτω τὴν μοναχικὴν ἐλευθερίαν, κτώμενος ἀργυρώνητον δοῦλον· μέχρι γὰρ τοῦδε ἔφθασεν ἥ τινων πονηρία, δουλωθέντων τῇ προσπαθείᾳ καὶ ἀπολελωκότων τὸ μοναχικὸν ἀξίωμα. μή τις οἰνοφλυγείτω, ἀκούων τοῦ ἀποστόλου, ὀλίγῳ οἴνῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας, ἀφ' ὧν ἀνάπτονται κατὰ τῆς ψυχῆς αἱ σαρκικαὶ ἐπιθυμίαι καὶ ἐμπυρίζεται ὁ οἶκος τοῦ θεοῦ, ὅστις ἐστὶν ὁ ἔσω ἡμῶν ἄνθρωπος. ἀλλ' ὡς ξένοι καὶ παρεπίδημοι ὦμεν, ὦ ἀδελφοί, ἕκαστος ἡμῶν ἐν τῷδε τῷ διωγμῷ ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν, ὡς παιδευόμενοι καὶ μὴ θανατούμενοι, ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες, ὡς πτωχοί, πολλοὺς δὲ πνευματικῶς πλουτίζοντες, ὡς μηδὲν ἔχοντες καὶ τὰ πάντα κατέχοντες, ἀποστολικῶς εἰπεῖν. οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς ὑμᾶς τοὺς ποθητούς μου, ἡ καρδία μου καιομένη ἐν ὑμῖν ἐν Κυρίῳ, τὰ αἰσθητήριά μου μαιμάσσει με, ἡνίκα ἀκούσω ἀπευκτὴν ἀκοὴν ἐπί τινι, ἐπὰν μάθω ἐκτροπὴν θεομίσητον· οἱ ὀφθαλμοί μου κατάγουσι δάκρυα, ἡ ψυχή μου συντρίβεται, ὁπόταν παρὰ

20 1 Petr. 4,10 sq. 37 1 Tim. 5,23 41 2 Cor. 6,9 sq.

20 ἔλαβε VPS Sirm 22 θεοῦ ante χάριτος transp S[ac] 24 χερσὶ VPS Sirm 26 πᾶσι VPS Sirm 30 ἀδδηφαγίαν S 31 μεμονομένως Sirm 32 χρυσίον: ἀργύριον S 33 ἰοῦδα C 34 ἐλευθερίαν S[pc], quod item in marg 35 τινῶν codd: corr Sirm 36 ἀπολωλεκότων VPS Sirm 39 ὅστις C: ὅς cett Sirm 41 ὑμῶν omnes: correxi 45 διαπαντὸς VPS 46 μ//μάσσει P 47 ἐπ' ἂν VP Sirm

τὴν παράδοσιν καὶ κατάστασιν καὶ τὴν τῶν προειρημένων ἔκφανσιν περιπατῇ ὁ ἀφιλόθεος.

Ἐξεληλύθατε, ὦ πατέρες, ἀπὸ τοῦ μοναστηρίου εἰς ὑψηλότερον φάος τοῦ διωγμοῦ· μὴ γὰρ εἰς ἐπισκότωσιν; διαιρέθημεν ἀπ' ἀλλήλων πνευματοκινήτως· μὴ γὰρ ἵνα περιπαθῶς ζήσωμεν; μὴ γὰρ ὁ θεὸς οὐχ ὁρᾷ; μὴ γὰρ οὐκ ἀκουστὸν γίνεται ἑκάστου τὸ ἔργον, ὅπως ἀναστρέφοισθε; οἱ τοὺς δούλους ἔχοντες ταῦτα ἀκούοιτε, οἱ μονοκάθιστοι, οἱ γυναικιζόμενοι, ἵνα μή τι πλέον λέγω, οἱ φιλάργυροι, οἱ φιλόγυροι. οὐχ ἑκὼν ὀνειδίζω, σύγγνωτε, ἀλλὰ πονῶν κατηγορῶ, ὡς εἰς τοῦτο κείμενος. πληρώσατέ μου τὴν χαράν, ὦ τέκνα, ἵνα τὸ αὐτὸ φρονῆτε, τῷ αὐτῷ στοιχῆτε κανόνι, ἀγαθὰ ὑποδείγματα καὶ ὑπομνήματα ἐναποσφραγίζοντες ταῖς ψυχαῖς τῶν ὁρώντων εἰς δόξαν θεοῦ, εἰς κλέος ὑμῶν ἄσβεστον, εἰς εὐφροσύνην κἀμοῦ τοῦ ἁμαρτωλοῦ, εἰς ἔπαινον τῆς ἀδελφότητος ὑμῶν / ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

481. Τῇ ἡγουμένῃ Ἰγνῶν

Ἀπεδεξάμην τὴν εὐλάβειάν σου, ἀδελφὴ ἐν Κυρίῳ, καὶ ἐφ' οἷς ἀπέστειλας δώροις καὶ ἐν αἷς διαθέσεσιν ὑπολαμβάνεις τὰ καθ' ἡμᾶς. ἀλλ' οὐ τοιοῦτοι ἡμεῖς· οἵ γε οὐδ' ἑαυτοῖς ἀρκοῦντες ἐν ἀγαθοῖς πῶς ἂν ἄλλοις μεταδοίημεν ἀγαθοειδοῦς διδασκαλίας; γένοιτο δὲ κατὰ τὴν πίστιν σου θεοπρεπῶς πολιτεύεσθαι, τὸν ἐν παρθενίᾳ βίον ἀμέμπτως διατελοῦσαν, οὐ μὴν ἀλλὰ καὶ τὸν τῆς προστασίας βαθμὸν ἀκατακρίτως περιέπειν· ἴσθι γὰρ ὡς πολύμισθον τὸ πρᾶγμα, ἀλλ' οὖν γε τοῖς μὴ προσέχουσι καὶ ἐπικίνδυνον, ψυχῶν ἄρχειν τῶν κατ' εἰκόνα θεοῦ πεποιημένων.

Ὡς οὖν ἐν Κυρίῳ ἄρχουσα ἡγοῦ καὶ κατευοδοῦ τῆς ποίμνης σου, παντὸς ἀγαθοῦ προτύπωμα ἑαυτὴν τιθεῖσα, ἵνα ἀξιωθῇς εἰπεῖν, ἰδοὺ

---

58 Philipp. 2,2 59 Philipp. 3,16

50 περιπατεῖ C Sirm 52 διῃρέθημεν VPS Sirm 55 ἀκούετε Sirm 58 τὸ αὐτὸ: τῷ αὐτῷ C

---

481. a. 821 – 826? 7 βαθμόν: cf. adn. ad ep. 189,3

12 Is. 8,18

C V PS

1 ἴγνων V in indice titulorum (f. 190) 4 τοιοῦτο Sirm οὐδὲ VPS Sirm

ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός· θεὸς γὰρ παραδέδωκέν σοι τὰς ψυχὰς δι' ἀποταγῆς καὶ αὐτῷ δεῖν σε αὐτὰς προσάξαι ὡς θυσίαν εὐπρόσδεκτον· κἂν τούτῳ πολύς σου ὁ μισθὸς ἐν οὐρανοῖς ὑπάρξει. δίδασκε αὐτάς, νουθέτει τὰ σωτήρια ἐντάλματα, ποθεῖν μόνον Χριστόν, ἀλλὰ μὴ σάρκας καὶ αἵματα, ἀκτημονεῖν, ἀλλὰ μηδὲν ἔχειν ἰδιόκτητον, ἀπροσπαθεῖν, ἀλλὰ μὴ φιλοϊδιάζειν πρὸς τοὺς ἀγχιστεύοντας, προθυμοεργεῖν, ἀλλὰ μὴ ὀκνηρῶς ἔχειν πρὸς τὴν ἄσκησιν· ἂν γὰρ οὕτως, ἀπαντήσει αὐταῖς ὁ νυμφίος Χριστὸς μικρὸν ὕστερον λαμπαδηφορούσαις καὶ ἀπαντηθήσεται περιχαρῶς, ἀσπάσεται καὶ ἀσπασθήσεται ἱεροπρεπῶς, ἀνοίξει αὐταῖς τὸν οὐράνιον καὶ ἀχειρότευκτον νυμφῶνα, δώσει αὐταῖς βασιλείαν οὐρανῶν, τρυφὴν παραδείσου, πόματα ἀθανασίας, γλυκάσματα ἀειζωίας, ἐνδύσει αὐτὰς περιβλήματα φωτοειδῆ, κοσμήσει κόσμοις ἀφθαρσίας, νυμφαγωγικοῖς διαδήμασιν, ἐμπλήσει τῶν ἀπείρων ἀγαθῶν εἰς αἰῶνας αἰώνων.

Διὰ ταῦτα καὶ σὺ κἀκεῖναι μοχθήσατε, διώξατε ἡμέρᾳ καὶ ἡμέρᾳ κατεργάζεσθαι τὴν ἑαυτῶν σωτηρίαν, ἀναψύχετε ταῖς ἐλπίσιν, σβεννύετε τὸ ἐπεισαγόμενον πῦρ παρὰ τοῦ ἐχθροῦ ἐν ψυχαῖς τῷ θείῳ ἔρωτι, ὅ τι ἂν ἄλλο ἐπαχθὲς τῆς ἀσκήσεως ταῖς ἀναλήψεσι τῶν θείων ἀναγνωσμάτων τε καὶ ᾀσμάτων παραμυθεῖσθε, περιφρουροῦσαι καὶ τὸ ἀκοινώνητον τῆς αἱρέσεως, κἂν δέῃ ὑπὲρ αὐτοῦ παθεῖν τι μέχρι καὶ θανάτου, μηδαμῶς προώμεναι τὴν πίστιν· τῆς γὰρ ἀγάπης Χριστοῦ οὐδὲν προτιμότερον, καθὼς ἀπέδειξαν αἱ ἀπ' αἰῶνος παρθένοι Χριστοῦ μέχρι τοῦ δεῦρο, ἐπειδήπερ εἰσὶ καὶ νῦν διωκόμεναι καὶ τῶν μονῶν ἐξεωθεῖσαι διὰ Χριστὸν ἢ μετασχεῖν τοῦ αἱρετικοῦ ἄρτου.

Ταῦτα ὡς κατὰ Χριστὸν ἀδελφῇ οὔσῃ καὶ θυγατρὶ γέγραφά σοι καὶ ταῖς μετὰ σέ, ὡς ἂν ἴδοις ὅτι / κοινός ἐστιν ὁ δεσπότης ἀμφοτέρων ἡμῶν καὶ ὡς φιλοῦμεν πάντας σῴζεσθαι ὡς ἑνὸς ὄντες σώματος Χριστοῦ καὶ ἀπ' αὐτοῦ ἀδελφοὶ ἀλλήλων χρηματίζοντες· ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε ἄρσεν οὔτε θῆλυ, ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός, ὃς διασώσειεν καὶ ἡμᾶς καὶ ὑμᾶς.

---

15 Matth. 5,12 40 Col. 3,11

---

13 παραδέδωκέ VPS Sirm 14 vocem προσάξαι iterum scriptam cancell C 16 αὐτάς: αὐτὰ Sirm 20 ἀπαντήσῃ C 21 ἀσπάσηται C 27 διαταῦτα P 28 κατεργάζεσθε CS ἐλπίσι VPS Sirm σβέννυτε VPS Sirm 30 ὅ τι: ὅτι Sirm ἀσκήσεως: ἀκήσεως (sic) P 31 παραμυθεῖσθαι C 33 προόμεναι C: προέμεναι cett Sirm: correxi 35 Χριστοῦ om VPS Sirm 36 ἐξωθεῖσαι Sirm 41 ἐν om Sirm 42 διασώσειε VPS Sirm ἡμᾶς καὶ ὑμᾶς C: ὑμᾶς καὶ ἡμᾶς cett Sirm (sed cf epp 483,59; 490,77)

482. Εὐφροσύνῃ ἡγουμένῃ

Ἡ μνήμη τῆς μακαρίας μητρός, σοῦ μὲν ἀμφοτέρωθεν, ἐμοῦ δὲ κατὰ πνεῦμα, θαρρῶ δὲ εἰπεῖν καὶ πολλῶν ἄλλων (ἐπείπερ σεβασμία ἡ κυρία), προυτρέψατό με, ὥσπερ ὑπ' ἐκείνης νυττόμενον, προσφθέγξασθαί σε, ἀδελφὴ ἐν Κυρίῳ, βραχέα τινὰ καὶ τανῦν. τίνα δὲ ταῦτα; ἵνα ἀγωνίζῃ τὸν καλὸν ἀγῶνα τῆς ἀσκήσεως, εἰς ἣν ἐκλήθης καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων. πῶς δὲ ἔστιν ἀγωνίσασθαι; ἐκ τοῦ ἔχειν τὸν φόβον τοῦ θεοῦ ἐν τῇ καρδίᾳ· οὗ γὰρ φόβος, ἐκεῖ ἐντολῶν τήρησις. ἐκ τοῦ μελετᾶν τὸν θάνατον· ἔνθα γὰρ μελέτη, παθῶν ἀλλοτρίωσις. ἐκ τοῦ μεριμνᾶν τὴν ἀπὸ τοῦ σώματος διάζευξιν, τὴν ἐπὶ ταύτῃ ἀγγελικὴν ἐπιστασίαν, τὴν ἀπαγωγὴν τῆς ψυχῆς πρὸς τὰ οὐράνια, πῶς ἆρα διέλθοι τὸν ἄρχοντα τοῦ τῇδε αἰῶνος, πειρώμενον πρὸς ἑαυτὸν τὴν ἀνιοῦσαν ψυχὴν ἐπισπάσασθαι, εἴπερ ἴδοι αὐτὴν κατεστιγμένην τοῖς πάθεσιν, εἶτα ποῦ τὴν ἀποκατάστασιν λάβοι μέχρι καιροῦ ἀναστάσεως, ἡνίκα τὸ συζυγὲς σῶμα ἑνωθείη κατὰ τὴν ἄρρητον τοῦ θεοῦ δύναμιν. καὶ οὔπω λέγω τὴν μικρὸν ὕστερον ἐπέλευσιν τοῦ νυμφίου Χριστοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ, τήν τε εἰς ἀέρα ἁρπαγὴν τῶν θεοφιλῶν ψυχῶν καὶ τὴν ὁμοῦ πάσης τῆς κτίσεως συναγωγὴν πρὸ προσώπου τοῦ φοβεροῦ βήματος, εἶτα τὴν ἀπόφασιν ἑκατέρων τῶν παρισταμένων μερῶν, τοὺς μὲν δικαίους καλοῦσαν εἰς βασιλείαν οὐρανῶν, τοὺς δὲ ἁμαρτωλοὺς ἀποπέμπουσαν εἰς τὸ πῦρ τὸ ἐξώτερον. τοίνυν ἡ ταῦτα ἐννοοῦσα εὐαισθήτως ψυχὴ τρέμει, δεδιᾷ, κατανύσσεται, δακρύει, καθαίρεται, φωτίζεται, ἐξισταμένη τῶν τῇδε σχέσεων, ἀλλοιουμένη τε τὴν καλὴν ἀλλοίωσιν καὶ πρὸς θεὸν ἀνατρέχουσα ἐν χαρᾷ πνευματικῇ καὶ ἀρρήτῳ θυμηδίᾳ, ὡς ἀποστρέφεσθαι μὲν καὶ ἥλιον ὁρᾶν καὶ τῶν ἄλλων ἡδέων τοῦ παρόντος βίου διὰ τὴν ὑπερνικῶσαν τοῦ καλοῦ θεωρίαν.

Οὕτως ἔστιν τὸν καλὸν ἀγῶνα ἀγωνίζεσθαι, τιμιωτάτη, τοῦτον δὴ ἀγωνισαμένη ἡ καλή σου μήτηρ ἐκολλήθη θεῷ καὶ μετέβη ἐπαινετῶς

---

482. inter mens. Ianuar. ac diem 7 mens. Mart. a. 824 2 μητρός: Eirene

6 1 Tim. 6,12 17 2 Thess. 1,7

C VM PS

1 ὡραία in marg C 4 προσφθέγξεσθαί Sirm 5 σε: σοι M τὰ νῦν CVMP 8 ἐστιν codd Sirm: corr Mi 10 θανάτου post μελέτη add VMPS Sirm 12 ἄρα VMP Sirm 19 τῆς om S 20 ἑκατέρων ante μερῶν (21) transp M 23 δεδειᾶ C: δέδιε M 26 ὡς: ὅς Mi μὲν: fort est μὴν scribendum 27 ἀπολαύειν post βίου add M

τῶν ἐνθένδε. ἐπειχθῶμεν οὖν καὶ ἡμεῖς, παρακαλῶ, τοῖς ἐκείνης ἴχνεσιν ἕπεσθαι· καὶ μή τι ἰλιγγιάσῃς πρὸς τὸ ὕψος τῆς ἀρετῆς ἐκκαλουμένη, τὸ μὲν ὅτι χάριτι θεοῦ καὶ συνεπαίρῃ ταῖς καλαῖς ἀναβάσεσιν, ἐξ ὧν ἀκούω εὖ πράττειν σε, τὸ δέ, ὅτι, οὗ τὸ θέλειν πάρεστιν, ἐκεῖ κατὰ μικρὸν καὶ ἡ τελείωσις προσγίνεται, τοῦ θεοῦ δυναμοῦντος καὶ φιλοῦντος τὴν σωτηρίαν τοῦ οὕτως προαιρουμένου. τάχα δὲ τὴν προστασίαν τῶν ἀδελφῶν ἐμπόδιον ἡγήσῃ τῆς τοιαύτης προθέσεως, προσβαρουμένη τῇ ὁδηγίᾳ. ἀλλὰ μηδαμῶς, ὦ κυρία· οὐδὲν γὰρ οὕτως ἀγαπητὸν θεῷ / ὡς τὸ ποιμαίνειν καὶ ὁδηγεῖν τοὺς ἑπομένους. φησὶ γὰρ πρὸς τὸν μέγαν Πέτρον· εἰ ἀγαπᾷς με, ποίμαινε τὰ πρόβατά μου. καὶ πάλιν· ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου ὡς στόμα μου ἔσται. καὶ πάλιν· ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν αὐτοῦ ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν. ἂν μὲν γὰρ ἐπιτρέχων τις ἐκ φιλαρχίας δράξηται τῆς ποιμαντικῆς ῥάβδου, μισητὸς καὶ ἀπόπτυστος θεῷ, οὔτε σῴζων οὔτε σῳζόμενος· ἂν δὲ κληθεὶς δι' ὑπακοὴν θεοῦ δέξηται τὴν προστασίαν, καὶ φίλος θεῷ καὶ σῴζων καὶ σῳζόμενος ἀποδειχθήσεται. ἐπειδὴ δὲ αὐτὴ οὕτως κέκλησαι, χαῖρε καὶ τρέμε, τὸ μὲν διὰ τὴν ἐλπίδα, τὸ δὲ διὰ τὴν ἀγωνίαν· ἡγοῦ καὶ κατευοδοῦ, ποιμαίνουσα καὶ διαφέρουσα τὴν φροντίδα τῆς ἀδελφότητος. ὀρρωδεῖ σε τὰ θρυλλούμενα, ὡς φῄς; ἀλλ' ἔχεις θεὸν ἐπίκουρον συνεργίᾳ τῶν προσευχῶν τῆς μητρός, ἐφ' ᾧ τὴν μέριμνάν σου ἐπιρρίψοις καὶ αὐτὸς ποιήσει ῥᾴους τὰς διαθέσεις σου. οὐκ ἔχειν λέγεις τινὰ τὸν προστατοῦντά σοι γνησίως; ἀλλ' ἔχεις τὸν προστάτην αὐτὸν ὃν ἠγάπησας Κύριον, ἔπειτα καὶ τὸν φύλακα τῆς ζωῆς σου ἄγγελον, ῥυόμενόν σε ἐκ παντὸς κακοῦ.

Διὸ εὐθύμει καὶ μὴ ἀθύμει, εὐρώστει καὶ μὴ ἀρρώστει, πρόνοιαν ποιοῦσα τῆς εὐεξίας τοῦ σώματος, ἵνα δουλεύῃς θεῷ ἀρκούντως καὶ διέπῃς τὰς ἀδελφάς. καὶ αἱ ἀδελφαὶ πάλιν (πρὸς αὐτὰς γὰρ ὁ λόγος ἐπιστρέφοιτο) ἵνα ἕπωνται κατὰ λόγον καὶ ποιμαίνωνται θεοπρεπῶς, σὲ μόνον ἀναπνέουσαι καὶ σὲ μητέρα ἀληθινὴν γνωρίζουσαι καὶ

---

50 ἀδελφότητος: virgines monasterii Clubii

40 Joh. 21,16 41 Jer. 15,19 42 Jac. 5,20

29 ἐστὶ VM Sirm: ἔστι PS Mi 32 μή τι: μήτ' Sirm 33 θεοῦ: χριστοῦ V 34 ὅτι om M 42 ἔσται: ἔσῃ VPS Sirm 43 αὐτοῦ M 44 σημείωσαι in marg VP 50 ὀρρωδεῖ σε: ὀρρωδῆσαι C φῆς VM Sirm 51 συνεργείᾳ C 53 λέγοις VMPS Sirm τὸν: τῶν S σοι C: σου cett Sirm 54 προστάτην CM: πρωτοστάτην cett Sirm 56 εὐρρώστει CVM 57 δουλεύεις C 58 διέπεις C 60 μόνην M

συγγόνους ἀψευδεῖς ἀλλήλας. ὅπου γὰρ ἡ τοιαύτη συμψυχία πάρεστιν, ἐκεῖ ὁ Χριστὸς ἐν μέσῳ καὶ ἡ μακαρία ζωὴ τελειουμένη· μακαρίαν γὰρ ζωὴν εἵλαντο, παρθενίαν ἀσπασάμεναι καὶ Χριστὸν νυμφίον ἔχουσαι καὶ οὐκ ἐπικήρους μνήστορας, ὧν ἡ συνάφεια ὀδυνηρὰ καὶ ἡ μικρὸν ὕστερον διάζευξις ἀλγεινοτέρα. ὃν δὲ νυμφίον ἔχουσι, Χριστόν, οὔποτε ἀποθνήσκει, ἀλλὰ καὶ ζωή ἐστι τῶν ἁπάντων καὶ συνεισελεύσονται αὐτῷ, τηροῦσαι τὸ ἐπάγγελμα τῆς ἁγνείας εἰς τὸν οὐράνιον νυμφῶνα. καὶ φαγέτωσαν καὶ πιέτωσαν καὶ ἐνδιδυσκέσθωσαν καὶ ὅ τι ἂν ἄλλο χρειῶδες λαμβανέτωσαν πρὸς τῆς εὐδιακρίτου σου θεοφιλίας· ἐπείπερ φησὶν ὁ ἀπόστολος· οὕτως ὁμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς. μόνον ὁμογνωμονείτωσαν, συμφρονείτωσαν, μίαν ψυχὴν ἔχουσαι, ἓν θέλημα, πάντα κοινά, μηδὲν ἰδιόκτητον, μηδὲν ἑτερόγνωμον, καὶ τὸ πᾶν αὐταῖς τῆς σωτηρίας ἐξείργασται καὶ ὁ σύντομος καὶ ὁ πάγκαλος τοῦ κοινοβιακοῦ βίου διήνυσται. καὶ χορεύσουσιν εἰς αἰῶνας αἰώνων μετὰ σοῦ, τῆς καλῆς μητρὸς καὶ θεόφρονος· οὕτω γὰρ τὸ καλὸν κοινόβιον καὶ ἡ καλῶς ποιμαίνουσα εὐφρανθήσονται ὁμοδίαιτον εὐφροσύνην καὶ ἔσονται σὺν Κυρίῳ πάντοτε.

Αὕτη ἡμῶν ἡ μικρὰ καὶ μηδαμινὴ προσφώνησις. σὺ δέ, κυρία, τὰ βραχέα σπέρματα λαβοῦσα, παρ᾽ ἑαυτῆς πρόσθες τὰ ἐλλείποντα καὶ / προσεύχεσθαι περὶ ἡμῶν τῶν ἁμαρτωλῶν παρακλήθητι· ἵνα, ὧν λόγων ἐσμὲν διδάσκαλοι, τούτων ἐνεργεῖς ὀφθῶμεν πράκτορες καὶ σωθῶμεν σὺν ὑμῖν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

483. Κατηχητική

Ὅτι ἐπεζήτησεν ἡ τιμιότης σου λόγον νουθεσίας παρὰ τῆς τα-

78 εὐφροσύνην: ludit in nomine prioris

70 1 Thess. 2,8   73 Act. 4,32

63 εἵλαντο C: εἵλοντο cett Sirm   68 ἁγνείας C: νηστείας cett Sirm   70 θεοφιλείας VMPS Sirm   71 ἱμειρόμενοι M Sirm   μετὰ δοῦναι C   75 πάγκαλλος C   τοῦ κοινοβιακοῦ βίου: κοινοβιακὸς βίος M   76 δρόμος post βίου add V Sirm (fort recte)   αἰῶνας: αἰῶνα PS   τῶν ante αἰώνων inser Sirm   82 προσεύχεσθε C   83 ὀφθῶμεν: φανῶμεν M

483. inter mens. Ianuar. ac diem 7 mens. Mart. a. 824

C V (ll. 1 – 40) M (ll. 1 – 38) P (ll. 1 – 40) S

1 post κατηχητική exc fort voces τῇ αὐτῇ

πεινώσεως ἡμῶν, καὶ ὁ λόγος ἡμῶν ἐξουθενημένος καὶ ὁ βίος ἡμῶν ἠμελημένος· ὅμως ὅτι ἐρῶμεν τῆς σωτηρίας σου, καθότι καὶ παρθένος εἶ νύμφη Χριστοῦ, κειμήλιον ἁγιότητος, καὶ καθὼς ἐκ πεποιθήσεως ἐπιζητεῖς ἡμῶν τὴν νουθεσίαν, ἐπιζητεῖς δὲ αὐτὴν διὰ τὴν ἐπὶ θύραις ἐφισταμένην ἁγίαν Τεσσαρακοστήν. καὶ ἡ ἀληθινὴ παρθένος Χριστοῦ οὐκ ἐν ἡμέραις ἀφωρισμέναις, ἀλλ' ἐν παντὶ καιρῷ καὶ ἐν ἑκάστῃ ἡμέρᾳ ζητεῖ πῶς ἀρέσει τῷ Κυρίῳ καὶ νυμφίῳ αὐτῆς. ἔχει δέ τι πάντως καὶ ὁ τῶν νηστειῶν χρόνος ἰδίωμα σπουδῆς ἐναρέτου πρὸς τὸν ὅλον ἐνιαυτόν.

Τοιγαροῦν, ὦ τιμιωτάτη, τὸν κατασυνήθη σου κανόνα τῆς ἀσκήσεως ἐνεργεῖν καὶ ἄρτι προθυμήθητι· οὐ γὰρ δυνάμεθα ὁροθετεῖν τοῦτο κἀκεῖνο ἢ σοὶ ἢ ταῖς μετὰ σοῦ συνασκουμέναις διὰ τὸ μήπω εἰδέναι τὴν τάξιν καὶ ἀγωγὴν ὑμῶν. εἷς δὲ ὅρος καὶ κανὼν κοινωφελὴς πᾶσι κεχρεωστημένος, καὶ μάλιστα τοῖς ἀνῃρημένοις τὸ μοναχικὸν ἐπάγγελμα, τὸ μηδὲν ἔξω τῶν ἀπαρεσκόντων θεῷ πράττειν ἡμᾶς, ἀλλ' ἐν φόβῳ καὶ τρόμῳ τὴν σωτηρίαν ἡμῶν κατεργάζεσθαι· καὶ γὰρ νηστεία ἀληθὴς ἡ παντὸς κακοῦ ἀποχή. νηστεύσωμεν πρῶτον μὲν ἀπὸ τοῦ μὴ εἰσοικίζεσθαι τοὺς πονηροὺς λογισμοὺς ἐν τῇ καρδίᾳ κἀντεῦθεν ἀνάπτεσθαι εἰς ἐπιθυμίας ἐκτόπους. μία γὰρ ἐπιθυμία καὶ εἷς ἔρως ἀληθινός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ καλὸς καὶ ὡραῖος νυμφίος, οὗ ἡ ἐφιεμένη ἐξ ὁλοκλήρου ψυχὴ μισεῖ σάρκα καὶ αἷμα καὶ πάντα τὰ τῆς φθορᾶς ἰνδάλματα, ἀεὶ δὲ πτερουμένη τῷ περὶ αὐτὸν πόθῳ ἀποστρέφεται, σχεδὸν εἰπεῖν, καὶ αὐτὸν τὸν ἥλιον ὁρᾶν καὶ σφαδάζει καὶ τοῦ σώματος ἐκβῆναι καὶ πρὸς τὸν ποθούμενον γενέσθαι· ὅπερ ἐστὶ τὸ ἀκρότατον ὀρεκτὸν τοῖς λόγου μετειληφόσιν. νηστεύσωμεν δὴ κατὰ δεύτερον λόγον καὶ ἀπὸ βρωμάτων ποσότητός τε καὶ ποιότητος καὶ τοσοῦτον, ὁπόσον ἡ δύναμις τοῦ σώματος φέρει· φησὶ γὰρ ὁ ἀπόστολος· ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· τὸ ἱλαρὸν γὰρ ἀγαπᾷ ὁ θεὸς καὶ τὸ κατὰ δύναμιν. τοῦτο δὲ ἐπὶ σοῦ τῆς καθηγουμένης κυριολεκτεῖσθαι δύναται, ἐπὶ δὲ τῆς ἀδελφότητος οὐκ ἔχει

12 τιμιωτάτη: allocutione mulieres modo appellantur in epistulis Jo. Chrysostomi; cf. Dinneen l. l. 75; supra adn. ad ep. 413,2

9 1 Cor. 7,32 18 Philipp. 2,12 30 2 Cor. 9,7

8 ἀφορισμέναις C 10 σπουδῆς post ἐναρέτου transp M 12 τοιγὰρ οὖν C κατασυνήθη C: συνήθη cett Sirm τῆς ἀσκήσεως S[sscr] 15 τάξιν καὶ om V καὶ ἀγωγὴν: τῆς ἀσκήσεως M τὴν ante ἀγωγὴν inser Sirm ὅρος CS σημείωσαι in marg VP 16 ἐπανῃρημένοις M 20 λογισμοὺς post καρδίᾳ (21) transp M 25 εἰπεῖν om M 28 μετειληφόσι VMPS Sirm

δύναμιν διὰ τὸ κατὰ τὴν ὑπὸ σοῦ δεδομένην διάταξιν καὶ ἐσθίειν καὶ πίνειν καὶ τὴν ἄλλην ἀγωγὴν εἶναι ἐφ' ἑκάστης, ὥστε διακριτικοῦ ὄμματός σοι χρεία προσηκόντως τὰ κατ' αὐτὰς ἐπιθεωρεῖν. κοινῶς δὲ ἐπὶ πᾶσι τὸ ἀπέχεσθαι ματαιολογίας ἀκαίρου, βασκανίας ἀτόπου, ἀργίας / περιέργου, μᾶλλον μὲν οὖν ἡσυχίαν ἄγειν εὔκαιρον καὶ λόγον φθέγγεσθαι δέοντα καὶ ἀγαπᾶν καὶ στέργειν ἀλλήλας κατὰ Κύριον καὶ πάντα κοινὰ ἔχειν καὶ μηδὲν ἀποτεταγμένως ἴδιον, μήτε μὴν ἰδιοβούλως τι πράττειν, κἂν δοκῇ εὐάρεστον εἶναι, ἀλλ' ὡς ὑπὸ σοῦ διατέτακται, μήτε μεμερισμένην ἔχειν τὴν καρδίαν ἐν ταῖς τῶν κατὰ σάρκα ἰδίων σχέσεσι, σχολῇ γε εἰπεῖν ἐν ἄλλων τινῶν ἀγαπήσεσιν, ἀλλ' ὅλην δι' ὅλου τὴν ψυχὴν συνημμένην εἶναι πρὸς θεόν, εἴς τε τὴν καθηγουμένην καὶ πρὸς τὰς κατὰ πνεῦμα ἀδελφάς, ὡς μαρτυρεῖσθαι ἐκεῖνο ἐφ' ὑμῖν λελέχθαι, ὅπερ καὶ ἐπὶ τῶν ἀποστόλων, ὅτι ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία/πάντων καὶ οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον, ἀλλ' ἦν ἅπαντα κοινά.

Ὅπου οὖν τοῦτο κεκατώρθωται, ἐκεῖ ὁ ἀποστολικὸς βίος τεθεώρηται, ἐκεῖ ἡ εἰρήνη τοῦ θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, ἐκεῖ ἡ ἄλυπος καὶ μακαρία ζωή, ἐκεῖ ἡ τῶν φρονίμων παρθένων χορεία, ἐκεῖ ὁ νυμφίος Χριστός, μέσος ὁρῶν καὶ ὁρώμενος, κατὰ νοῦν τρέφων καὶ τρεφόμενος, γλυκαίνων καὶ γλυκαινόμενος, ἐρῶν καὶ ἀντερώμενος, ἐπειδὴ καὶ τρέφει ταῖς φωταυγέσι καὶ τρέφεται ταῖς εἰς ἀρετὴν ἑκάστου ἐπιδόσεσι· πεινᾷ γὰρ τὴν ἑκάστου σωτηρίαν καὶ οἱονεὶ ἐπισκέπτεται τὴν συκῆν· κἂν μὲν εὕρῃ καρπὸν ἐν αὐτῇ θεόβλαστον, ταύτῃ τρέφεται, εἰ δ' οὖν, ἐπικεκατάραται, καθάπερ ἱστορεῖ τὸ εὐαγγέλιον.

Σπουδάσωμεν τοίνυν, ἀδελφὴ ἐν Κυρίῳ, καὶ ἡμεῖς καὶ ὑμεῖς καρποὺς ἐνεγκεῖν ἐξ ἐμφύτων καὶ θείων λογισμῶν γλυκεῖς τῷ Κυρίῳ, τοῦτο μὲν δι' ὅλης τῆς βιώσεως ἡμῶν, τοῦτο δὲ κἀν τῇ ἐπιούσῃ ἱερᾷ ἐγκρατείᾳ, ὡς ἂν θρέψοιμεν αὐτὸν κατὰ τὸ ἅγιον Πάσχα παραγενόμενον, εὐλογοῦντά τε ἡμᾶς ἐπὶ καρποφορίᾳ καὶ ὡς συμμόρφους τοῖς παθήμασιν αὐτοῦ συναναστήσοντα καὶ συνδοξάσοντα ἡμᾶς κατὰ τὴν ἡμέραν τὴν μεγάλην καὶ φοβερὰν τῆς ἐπιφανείας αὐτοῦ· ὅτι αὐτῷ

---

47 Act. 4,32 50 Philipp. 4,7 55 Matth. 21,18 65 Jo. Chrys. liturg. (p. 376 Hammond-Brightman)

34 καὶ[1] om M 38 ἀργίας: hic desin epist in M (exciso folio) 40 ἴδιον: hic desin epist in VP Sirm 43 σχολή C Mai 44 διόλου C 46 ἐκεῖνο S^{sscr} 48 αὐτῷ Mai εἶναι post ἴδιον inser Mai ἦν ἅπαντα: αὐτοῖς πάντα Mai 49 κατώρθωται S Mai 54 fort exc post φωταυγέσι vox ἐντολαῖς; cf Nil ep 4,19 (PG 79,560 B) ταῖς φωταυγέσιν ἐντολαῖς 55 τὴν S^{sscr} 57 οὖν: οὐ Mai 60 εμφοίτων C 61 καν C: κἂν Mai

πρέπει δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

484. Θεοδότῳ στρατηγῷ

Τοῦ ὄντως ὄντος φίλου καὶ ἡ λύπη καὶ ἡ χαρὰ μεταβαίνειν πέφυκε πρὸς τὸν φιλοῦντα, εἴπερ μία σχέσις ἐν ἀμφοτέροις κατὰ τὸν τοῦ πρός τι λόγον τεθεώρηται. ἐπεὶ οὖν καὶ ἡ τοῦ περιποθήτου ἡμῶν δεσπότου περὶ τῆς ἑτεροδόξου κοινωνίας λύπη ἀνηγγέλθη ἡμῖν παρὰ τῆς κυρίας τῆς εὐλαβεστάτης ἡγουμένης τὸ νῦν, τῷ ὄντι ἥψατο καὶ ἡμῶν τῶν ταπεινῶν τὸ / πάθος καὶ ἄλγος ἐνεποίησεν ἡμῖν κατὰ καρδίαν, ἐννοοῦσι τὸ ἐναντίον ἀπάντημα. ὢ τῆς συμφορᾶς· τίς αὕτη ἡ ἀκούσιος ἀπαγωγή; τίς δὲ ἡ ἀναγκαστικὴ μέθεξις, ἐπαπειλοῦσα τὸν κατὰ σάρκα κίνδυνον ἐν τῷ μὴ προαιρεῖσθαι μεθέξειν τοῦ ἑτεροδόξου ἄρτου; ἑκουσιόθυτον, ὦ χριστιανικώτατε λογισμέ, τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· φησὶ γὰρ ὁ μέγας ἀπόστολος περὶ αὐτοῦ· ὅς, ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἐπεὶ οὖν ἑκουσιόθυτον καὶ ἑκουσιόδοτον, τοῖς ἐθέλουσιν, ἀλλ' οὐχὶ τοῖς μὴ ἐθέλουσιν· καὶ γὰρ αὐτὸς ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις φησὶ πρὸς τοὺς ἀποστόλους, μὴ καὶ ὑμεῖς θέλετε ἀπελθεῖν; διὰ τοὺς ἤδη ἀπελθόντας ἀπ' αὐτοῦ τῶν δοκούντων μαθητιᾶν. καὶ ἡ παρὰ τοῦ μεγάλου Πέτρου ἀπόκρισις τοιάδε· πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις· καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἔγνωμεν ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. καὶ πάλιν ὁ μέγας Πέτρος ἐν τῇ οἰκείᾳ ἐπιστολῇ· ἑκουσίως ποιμαίνειν δεῖ, ἀλλ' οὐκ ἀναγκαστικῶς.

---

484. a. 821 – 826? 4 περιποθήτου: vox etiam apud Basilium in allocutionibus epistularum reperitur; cf. epp. 204,1 (PG 32,744 D = II 172 Courtonne); 242,3 (PG 32,901 C = III 67,19 Courtonne)

13 Philipp. 2,6 sq. 19 Joh. 6,67 21 Joh. 6,68 sq. 24 1 Petr. 5,2

C (S) V (ll. 8 – 48) M (ll. 23 – 48) P (ll. 8 – 48)

1 Θεοδώρῳ Sirm Στρατήγῳ Sirm 6 τὸ νῦν: τονῦν S τῳόντι S 8 (ἐννο)|οῦσι: hic inc epist in P Sirm ὦ C τίς αὕτη: hic inc epist in V 14 τὸ om VP Sirm ἶσα VS Sirm ἐκένωσε VMP Sirm (sed cf Philipp l. l.) 18 ἐθέλουσι² VMP Sirm 23 ὁ Χριστὸς: hic inc epist in M 24 ἑκουσίως om M

Γνώτωσαν οὖν λοιπὸν οἱ βιαστικῶς ἕλκοντες πρὸς τὴν ἑαυτῶν κοινωνίαν τοὺς μὴ προαιρουμένους ὡς ἑλληνοειδῶς τοῦτο πράττουσιν, οὐ σῶμα Χριστοῦ τὸ ἐθελόθυτον παρέχοντες, ἀλλὰ τοὐναντίον εἰδωλοθύτου ἔχον ἔμφασιν κατὰ τὴν ἀκούσιον τοῦ θυομένου ἐν ταῖς κατ' αὐτῶν φιλοδαίμοσι σπονδαῖς. καὶ ὁ λόγος ἀληθὴς καὶ ἡ δεῖξις ἐναργὴς καὶ ὁ ἀκούων οὐδείς· ἀλλὰ φεῖσαι, Κύριε, φεῖσαι καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος τέλειον, ὥς πού τις ἔφη τῶν προφητῶν. τί δὲ ἡμεῖς πάθωμεν, ὦ τριπόθητε καὶ πανεύφημε; (εἰρήσεται γάρ, εἰ καὶ τραχύτερόν πως φιλίᾳ ὁ λόγος) ἀπαχθείημεν τῷ καιρῷ ἔτι; ὑποπτήξωμεν τὴν ἐξουσίαν πλέον ἢ καλῶς ἔχει; καὶ ποῦ ἡ φωνὴ τοῦ Κυρίου, ἀπαγορεύουσα τὸν ἀνθρώπινον φόβον καὶ μᾶλλον καθορίζουσα τὸν θεοῦ μόνον, ἐφ' ᾧ ἡ πᾶσα ἐξουσία καὶ ἡ δύναμις τοῦ καὶ ψυχὴν καὶ σῶμα ἐμβαλεῖν εἰς γέενναν πυρός; φεῦ τῆς συμπτώσεως· ἄβάλε τῆς ὑποπτήξεως ἐφ' ὁτῳοῦν προσώπῳ καὶ μάλιστά γε χριστιανωνύμῳ.

Πλὴν ὅμως δεῦρο πάλιν, φίλε καὶ κύριε καλέ, ἀνακληθῶμεν, μεταμεληθῶμεν, ἐγγὺς Κύριος τοῖς ζητοῦσιν αὐτόν· καὶ οὐ βούλεται μὲν τὴν πτῶσιν / ἡμῶν κατά τι τῶν ἁμαρτανομένων, πεσόντας δὲ ἐρᾷ ἀνίστασθαι ἡμᾶς θᾶττον καὶ ἁμαρτάνοντας ἐπιστρέφειν, καὶ τοῦτο ὁσάκις ἂν καὶ συμβαίη κατά τινα περιπέτειαν ἀβουλίας. εἴποι δ' ἂν τυχὸν ἡ τιμία σου ψυχή· ‚ὁ βαλὼν καὶ ἰάσεται'. καὶ οἷον τὸ ἐπιτίμιον· οὐδὲν γὰρ ἀνιάτρευτον θεραπευόμενον, οὐ βαρὺς ἡμῖν ὁ τῆς ἰατρείας λόγος.

31 Joel 2,17 36 Luc. 12,4 sq. 46 Mantiss. prov. 2,28 (CPG II 763)

34 πῶς Sirm φιλία Sirm 35 ὑποπτήξομεν VMPS Sirm 36 ἡ post Κυρίου add M τὸν ἀνθρώπινον φόβον: τὸν φόβον τὸν ἀνθρώπινον M μᾶλλον: μόνον M 37 καθ' ὁρίζουσα C θεὸν Sirm τοῦ ante θεοῦ add M μόνον: φόβον M 39 ὅτῳ οὖν CVP Sirm 40 χριστωνύμῳ M: χριστιωνύμῳ Sirm 43 τῶν om M ὅμως post δὲ add M 45 ἀβουλείας C 46 τυχὸν om M 47 ὑμῖν $CS^{pc}P$ Sirm (fort recte)

485. Θεοκτίστῳ ἐρημίτῃ

Ἡ τοῦ Κυρίου ἐντολή, ἡ ἀπαιτοῦσα ἡμᾶς ἀγαπᾶν ἀλλήλους καὶ τοσοῦτον, ὅσον τὴν ψυχὴν τιθέναι ὑπὲρ ἀλλήλων, ἠνάγκασέν με, ἀδελφὲ πνευματικέ, καὶ πάλιν ἐπιστεῖλαί σοι, πονοῦντα περὶ τῆς σωτηρίας σου καὶ ἀκούοντα διαίρεσιν εἶναι σχισματικὴν μεταξὺ ὑμῶν καὶ ἑτέρων ἀδελφῶν οὐ τὴν τυχοῦσαν, ἀλλὰ καὶ λίαν χαλεπήν, ὥστε καὶ συναπορραγῆναι εἰς δύο μέρη ἀντικείμενα τὸν ἀγελαῖον λαόν, ἑκατέρου ἑκατέροις προσκειμένου καὶ πόρρω ἀφισταμένου τῆς ἀλληλούχου κοινωνίας. καὶ τοῦτο ὅλον ἔργον τοῦ σατανᾶ, τοῦ ἀρχαίου ἀνθρωποκτόνου, καὶ τοῦτο σκάνδαλον μέγα· καὶ λέλεκται παρὰ τοῦ Κυρίου· οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων. καὶ πάλιν· συμφέρει ἵνα μύλος ὀνικὸς δεθῇ περὶ τὸν τράχηλον αὐτοῦ καὶ ῥιφῇ εἰς τὴν θάλασσαν ἢ ἵνα σκανδαλίσῃ ἕνα τούτων τῶν ἐλαχίστων. καὶ θαυμάζω πῶς ἡ τιμιότης σου, ἀσκοῦσα καὶ προσκειμένη θεῷ ἐν τοσούτοις ἔτεσιν, ἀφροντίστως ἔχει περὶ τοῦ κινδύνου τούτου· ὅς, εἰ μὴ διορθωθῇ διὰ πάσης σπουδῆς σου καὶ ἐπιμελείας, οὐ μόνον κενὴν πᾶσάν σου τὴν ἄσκησιν ἐργάσεται, ἀλλὰ καὶ πόρρω σε θεοῦ ποιήσει, ὃ μὴ γένοιτο.

Διὰ τοῦτο, ἀδελφέ, φιλαδέλφως κινηθεὶς πρὸ τριῶν ἐτῶν, ἡνίκα ἐπλησίασα τοῖς αὐτόθι ἀπὸ Σμύρνης ἐπανιὼν καὶ τὸ σχίσμα μεμαθηκώς, ἔγραψά σοι ἅπερ ἀκήκοα καὶ ὡς δεῖ σε φρονεῖν περὶ τῆς ἀληθείας καὶ ὡς φυγεῖν τὸν ἐπηρτημένον κίνδυνον τοῦ σκανδάλου καὶ οὐκ ἀντέγραψάς μοι· καὶ πάλιν δεδήλωκα καὶ οὐκ ἀπεκρίθης μοι. καὶ τοῦτο κατηγορία ἐναργὴς τοῦ μὴ θέλειν σε θεὸν θεραπεύειν μηδὲ ὀρθοποδεῖν περὶ τὴν ἀλήθειαν. καί, συγχώρησον, μὴ καταγανακτήσῃς / μου λέγοντος τὸ ἀληθές· γέγραπται· ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν. ἰδοὺ ἐγὼ ὁ τάλας, καίπερ μὴ ἰδών σε πώποτε, ἀλλ' ὅτι ἀδελφὸς κατὰ Χριστόν, οὐκ ἤνεγκα τὴν ἀκοὴν φόβῳ θεοῦ, ἐλεγμῷ δὲ ἤλεγξα, παρακαλῶν παρε-

---

485. a. 824

2 Joh. 13,34 9 Joh. 8,44 11 Matth. 18,7 Matth. 18,6 26 Le. 19,17 28 Matth. 18,15

C VM PS

2 Κυρίου C: θεοῦ cett Sirm 3 ἠνάγκασέ VMPS Sirm 4 ἀδελφὲ post πνευματικέ transp M 5 σχηματικὴν MPS (sed cf infra 20; 31) 8 ἑκατέροις scripsi: ἑκάτεροι CPS: ἑκατέρῳ VM Sirm 12 μῦλος PS 19 διατοῦτο VMPS 20 ἐπανιῶν C 25 κατ' ἀγανακτήσῃς C: καταναγκάσῃς M 26 μου: με M λέγοντα M 29 θεοῦ om Sirm

κάλεσα, ἀποδυόμενος τὸ κρίμα καὶ φιλῶν τὴν σωτηρίαν σου. πῶς αὐτὸς ὁ ἐγκληθεὶς καὶ τοῦ σχίσματος πατὴρ οἴσεις τὸ κρίμα; πῶς δὲ ἀπολογήσῃ τῷ Χριστῷ, ὑπὲρ τοσούτου λαοῦ εὐθυνόμενος; Ἰωάννου τοῦ Προδόμου εἰ τὸ ἔργον ἔχοις, κενόν σε τῆς βασιλείας ἀποπέμψει τοῦ θεοῦ, εἰ μὴ προκαταλάβοις διορθώσασθαι.

Τίς δὲ ἡ διόρθωσις; εἰ μὲν οἷόν τε, σοῦ αὐτοῦ παρόντος, εἰ δὲ μή, δι' ἀποστόλου σου ἀπολογία γραμματικὴ περὶ ὧν πρότερον ἐνεκλήθης, ἀθωῶν ἑαυτὸν διὰ τῆς ἀπολογίας καὶ ὑποδεικνύων ὀρθὴν τὴν πίστιν καὶ τὴν ἐφ' ἅπασιν ὀρθοτομίαν τοῦ λόγου τῆς ἀληθείας. καὶ οὕτως γινομένης ὁμονοίας ἐν Κυρίῳ, οὐ λέγω μετὰ τοῦδε καὶ τοῦδε, ἀλλὰ μετ' ἐμοῦ μόνου τοῦ ταπεινοῦ, ἤρθη τὸ σκάνδαλον ἐκ μέσου καὶ συνήφθη τὰ διεστῶτα· καὶ ὁ Κύριος ἐν μέσῳ ἡμῶν καὶ οὐ βλασφημούμενον τὸ ὄνομα αὐτοῦ δι' ἡμᾶς, οὐ λέγω ἐν τοῖς ἔθνεσιν, ἀλλ' ἐν τοῖς χριστιανοῖς. κἂν τινες διαφέρωνται, μετὰ τὴν εἰς ἀλλήλους συμφωνίαν διδαχθήσονται καὶ συναφθήσονται δι' ἡμῶν αὐτῶν τῶν ταπεινῶν, ὑπερασπιζομένων σου ὡς ἐμαυτῶν. καὶ ἵλεως ἔσται θεὸς καὶ ὁ βίος σου οὕτω μακάριος καὶ τὸ τέλος σου αἰνετὸν καὶ τὰ ἐγκαταλείμματά σου ἐν δικαιοσύνῃ.

Ἰδοὺ δευτέρα ἡ ἐπιστολή μου αὕτη ἡ εὐτελής. καὶ εἰ μὲν δράσεις τὰ δέοντα, δηλῶν καὶ ἀπολογούμενος περὶ πάντων ὧν ἐγκαλῇ, ἐκερδήθης ὁ ἀδελφὸς ἡμῶν, κυριολέκτως εἰπεῖν, καὶ χαίρομεν ἐπὶ σοὶ μέγα οἱ ταπεινοί· εἰ δέ, ὅπερ ἀπείη, ἐμμείνῃς ἐν τῇ αὐτῇ σιωπῇ καὶ ἀπειθείᾳ, βαστάσοις τὸ κρίμα αἰώνιον, ἄπρακτα ἀσκῶν, μᾶλλον δὲ ὀλεθρίως σχίζων τὸν λαὸν τοῦ θεοῦ διὰ τῆς οἰκείας ἰδιοπραγίας. ἡμεῖς δὲ προσέξομεν τῷ ἀποστόλῳ λέγοντι, αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος.

---

38 2 Tim. 2,15 42 Is. 52,5; cf. Rom. 2,24 46 De. 28,5 54 Tit. 3,10 sq.

---

30 κρῖμα PS Sirm 31 κρῖμα PS Sirm 33 post Προδρόμου spatium quinque fere litt vacuum exhibet C ἔχεις M 36 ἀπολογίᾳ γραμματικῇ CVMP Sirm 39 γενομένης M Sirm 45 ὑπὲρ ασπιζομένων C σου: σε Sirm ἑαυτῶν M: ἐμαυτόν Sirm 46 θεὸς: κύριος M 51 ἀπίει C ἐμμείνεις C 52 βαστάσεις S^{pc}M κρῖμα PS Sirm 54 προσέξωμεν C

486. Ἀρχιμανδρίτῃ Γοτθίας

Χάριν ὁμολογοῦμεν τῷ ἁγίῳ θεῷ, ὅτι ἠξιώθημεν δέξασθαι γράμματα ἀγαπητικὰ τῆς ὁσιότητος ὑμῶν, οὐ μὴν χρῄζομεν ἀπολογίας διὰ τὴν βραδυτῆτα· τίνες γὰρ ἡμεῖς οἱ εὐτελεῖς ἢ τίνος ἕνεκεν ὅλως τὸ τῇ ἡμετέρᾳ οὐθενότητι ἀναφέρειν ὑμᾶς περὶ τῶν συγκινούντων ὑμᾶς ἀναγκαίων; ὅμως ἐπειδὴ μετριόφρονες τυγχάνοντες οἴδατε καὶ τοῖς ἐλαχίστοις συμπεριφέρεσθαι, εἰκότως καὶ αὐτοὶ γεγράφατε καὶ ἡμεῖς ἐδιδάχθημεν, οὐ μόνον ὅσα ἡ ἐπιστολή, ἀλλὰ καὶ ὅσα οἱ ταύτην ἐπιφερόμενοι αἰδεσιμώτατοι ἀδελφοὶ καὶ πατέρες ἐδίδαξαν. καθ' ὧν ἁπάντων ὁ θεὸς ἡμῶν ὑπερασπιστὴς καὶ τῶν ἐπιφερομένων ἀλόγως αἰτιαμάτων διαλλάκτης. συνεισοίσομεν δὲ καὶ ἡμεῖς οἱ ταπεινοί, εἴ ποτε λόγος γίνοιτο, τὰ παρ' ἑαυτῶν ἐν τοῖς φθάζουσιν ἐνδιαβάλλειν, οὐ χάριν ὑμῖν καταβαλλόμενοι, ἀλλὰ τὸ κεχρεωστημένον τῇ ἀγάπῃ ἀποπληρώσοντες. οὗ χάριν ἠναγκάσθημεν ἐπιστεῖλαι καὶ τῷ θεοφιλεστάτῳ πατρὶ καὶ ἀρχιερεῖ κυρίῳ Φιλαρέτῳ, εἴ γε καὶ προσδεχθείη ἡ παράκλησις ἡμῶν τῶν ταπεινῶν, συνδέουσα τὰ πρὸς εἰρήνην, ἧς οὐδὲν λυσιτελέστερον καὶ ἐφ' ᾗ Χριστοῦ μαθηταὶ οἱ ἀπ' αὐτοῦ κεκλημένοι ὀφείλουσι χαρακτηρίζεσθαι.

Ταῦτα ὡς ἐν κεφαλαίῳ περὶ τῶν κατεπειγόντων. ὑπὲρ δὲ τῶν ἄλλων τί καὶ ἐπεζητήθημεν ὅλως ἀποκριθῆναι, ἐχόντων ὑμῶν τῶν θεοδιδάκτων τὴν θεοχάρακτον βίβλον τοῦ Μεγάλου Βασιλείου, διδάσκουσαν τοῦ μοναδικοῦ εἴτουν κοινοβιακοῦ βίου τὰ σωτήρια καὶ ὀνησιφόρα, ἧς χωρὶς οὐκ ἔστιν οὔτε καθοδηγῆσαι θεοπρεπῶς οὔτε καθοδηγηθῆναι λυσιτελῶς καὶ ἄρχοντα καὶ ἀρχόμενον; ἐκεῖνος ἐρωτώμενος ἐπὶ πάσῃ ὑποθέσει καὶ ἀφορμῇ τῆς ἐν κοινοβίῳ ἱερᾶς ζωῆς διὰ Πνεύματος Ἁγίου ἀποκέκριται καὶ ὁ ἐκείνῳ στοιχῶν ἐστοίχησεν τῷ Ἁγίῳ Πνεύματι, ὁ δ' αὐτῷ ἀπειθῶν ἠπείθησεν τῷ ἐν αὐτῷ φθεγξαμένῳ Χριστῷ. τὰ γοῦν συμπίπτοντα ἐξ ἀπροσεξίας τοῖς ἀδελφοῖς

---

486. a. 821 – 826 3 ὁσιότητος: cf. adn. ad ep. 477,239 21 βίβλον: scil. de ascetica disciplina; cf. Schneider, Theodor 40

---

16 cf. Greg. Naz. or. 32,2 (PG 36,176 B = p. 86 M.-G.) ἡ εἰρήνη· προσθήσω δ' ὅτι καὶ τὸ λυσιτελέστατον 26 Gal. 5,25

C VM PS

---

1 δογματικὴ (om S) περὶ μοναχικῆς καταστάσεως titulo add PS: in marg Sirm 4 ὑμεῖς P[ac] 5 τὸ: τῷ C ὑμᾶς: ἡμᾶς V 10 ὑμῶν CPS[pc] ἀλόγως: ἀλογίστως VM Sirm 11 διαλλακτὴς Mi 12 γένοιτο Sirm φθάσασιν VM 13 καταβαλλόμενον Sirm 14 καὶ om VM 22 ἤτοῦν C: εἴτ' οὖν cett Sirm 23 ὀνησίφορα Mi 26 ἐστοίχησε VMPS Sirm 27 ἠπείθησε VMPS Sirm

σφάλματα οὐκ ἐξὸν ἐπὶ λαϊκῶν προσώπων κρίνεσθαι καὶ αὐτὸς ὁ ἱερὸς ἀπόστολος βοᾷ· τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων κρίνεσθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; καὶ μεθ' ἕτερα· οὕτως οὐκ ἔνι ἐν ὑμῖν οὐδεὶς σοφός, ὃς δυνήσεται διακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ, ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων; ἴσον δὲ τῶν ἀπίστων ἐστὶν τὸ ἐπὶ τῶν λαϊκῶν τὰ τῶν μοναχῶν ἐξετάζεσθαι καὶ ἀνοίγειν θύραν οἷς οὐ θεμιτὸν παρακύπτειν εἰς τὰ ἡμέτερα· καὶ τοῦτο ἀπᾷδόν ἐστι παντάπασι καὶ ἀσύμφορον τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. /

Περὶ ἀποταγῆς καὶ ἀποκάρσεως, ἐπειδὴ καὶ τούτου λόγος, οὔτε τὸ ἀποσείεσθαι ἀκίνδυνον (φησὶ γάρ, τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω) οὔτε τὸ προσίεσθαι ἁπλῶς καὶ ὡς ἔτυχεν καὶ ἀποκείρειν ἀνεπιστημόνως ὅσιον· εἰ γὰρ οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ, καθὰ γέγραπται, πόσῳ δὴ οὖν μᾶλλον ἐπὶ τῇδε τῇ θεολέκτῳ στρατιᾷ; πᾶσιν ἀποτάξασθαι δεῖ, πάντων ἀπογυμνωθῆναι χρή, πάντων ἀπορραγῆναι δέον καὶ σχέσεων καὶ οἰκείων καὶ φίλων καὶ συγγενῶν καὶ τοῦ σύμπαντος κόσμου κατὰ διάθεσιν ξενωθῆναι τόν γε ὡς ἀληθῶς ἀκολουθεῖν μέλλοντα τῷ Χριστῷ, εἶθ' οὕτως στοιχηθῆναι καὶ διαπλασθῆναι τὴν θεοστοιχῆ καὶ θεόπλαστον μοναδικὴν ἕξιν καί, πεῖραν δόντα καὶ βάσανον ἀρετῆς, οὕτως εἰσαχθῆναι τῇ μαρτυρίᾳ τῶν πολλῶν εἰς τὴν μοναδικὴν τελείωσιν καὶ ἕνα γενέσθαι τῶν τοῦ Χριστοῦ προβάτων. ἀμυήτως δὲ καὶ ἀμαθῶς, ὡς ἀπήγγελται ἡμῖν, ἀποκείρεσθαι ἐπικίνδυνον καὶ ὀλεθριώτατον καὶ τῷ κειρομένῳ καὶ τῷ κείροντι· ἀλλὰ γὰρ καὶ ἀποσχηματίζειν μοναχὸν ἴσον ἐστὶ τῷ ἀποβαπτίζειν. ὅλως τολμᾶται τοῦτο γίγνεσθαι; φρικτόν ἐστι καὶ ἀκουόμενον. εἰ δὲ μετὰ τοῦ δέοντως ἀποκεῖραι, ἐπειδὴ ὑπονοστοῦσί τινες πρὸς τὰ χείρονα, τοὺς τοιούτους, ἐπιμένοντας τῇ κακίᾳ καὶ μὴ ἰωμένους ἑαυτοὺς ἐν τοῖς ψυχικοῖς ἀρρωστήμασιν, ἐκκόπτεσθαι χρὴ

53 ἴσον ἐστὶ etc.: cf. J. Leroy, Saint Théodore Studite. Théologie 49 (1961) 431 et adn. 60

30 1 Cor. 6,1   31 1 Cor. 6,5 sq.   39 Joh. 6,37   41 2 Tim. 2,4

29 ἐξὼν C   32 οὐδεὶς σοφός: σοφὸς οὐδὲ εἷς Sirm   ἀνακρῖναι VM Sirm   ἀναμέσον C   34 ἶσον VMPS   ἐστὶ VMPS Sirm   35 οὐ θεμιτὸν C: ἀθέμιτον cett Sirm   38 ἐπειδὴ – λόγος in marg M   an περὶ τούτου scribendum?   39 τὸ om VM   40 ἔτυχε VMPS Sirm   43 στρατείᾳ VM   47 τῷ om V   καὶ om Sirm   48 μοναχικὴν Sirm   51 ἀμυήτως – 52 καὶ τῷ om PS   σημείωσαι in marg CPS   53 ἶσόν VMPS Sirm   τῷ²: τὸ C   54 γίνεσθαι VM Sirm   55 τοῦ: τὸ M   δέοντος C[ac]   ἐπειδὴ: ἔπειτα M

τῆς ἀδελφότητος καθ' ὁμοίωσιν τῶν σεσηπότων μελῶν, ὡς ἂν μὴ τῇ συνεχείᾳ καὶ τὸ ὑγιὲς βλάπτοιτο· φησὶ γὰρ ὁ Κύριος· συμφέρει σοι ἵνα ἓν τῶν μελῶν σου ἀποκοπῇ καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς τὴν γέενναν τοῦ πυρός. ἐὰν δὲ ἄλλῳ δυνατὸν ᾖ τὸν ἐκκοπέντα προσήκασθαι κατὰ φιλανθρωπίας τρόπον, οὐκ ἔξω τοῦ εἰκότος, εἴ γε εὑρεθείη ἐπιστημονικωτέρως ἰατρεύων, ἀλλὰ μὴ ἀπολλυμένῳ συμπεριφερόμενος. οἱ δὲ ἄλλως κουφότητι ἀποπηδῶντες τοῦ κοινοβίου ἀπρόσδεκτοι ἔστωσαν ταῖς ἄλλαις ἀδελφότησιν, ἵνα συνασπισμὸς ᾖ καὶ συμφωνία κατὰ πάντα τοῖς πᾶσι καὶ μὴ ὑπ' ἀλλήλων τὰ ἀλλήλων καταλύοντες σπουδάσματα, ἐξ ὧν οὐ κεφαλὴ ὁ Χριστός, ὁ τῇ εἰρήνῃ συνδέων τὰ πάντα, ἀλλὰ τίς; ἀπευκταῖον καὶ λέγειν. δοῦλον δὲ ἔχειν μοναχὸν καὶ μοναστήριον τοσοῦτον ξένον, ὡς καὶ τὸ ἔχειν γυναῖκα· ἀμφότερα γὰρ τῆς παρακοῆς εὑρήματα. καὶ τοῖς εἰς τὸ κατ' ἀρχὰς ἀναδραμεῖν ἐφιεμένοις διὰ τῆς μοναδικῆς πολιτείας καὶ τὴν ἀπήμονα τοῦ παραδείσου ζωὴν μιμεῖσθαι ἐζηλωκόσιν ἀπόβλητα τὰ προειρημένα.

Ταῦτα οὐκ οἴκοθεν, ἀλλ' ἐξ ὧν οἱ θεοφόροι πατέρες φθέγγονται συνειληχότες ὑπομνηστικῶς ἐφθεγξάμεθα, αἰτούμενοι ὑμᾶς τοὺς πανιέρους προσεύχεσθαι μὴ μόνον λέγειν ἡμᾶς τὰ καλά, ἀλλὰ καὶ πράττειν ἐν Κυρίῳ.

487. Στεφάνῳ ἡγουμένῳ

Ἡ συχνότης τῶν γραμμάτων πυκνουμένην δείκνυσι τὴν ἀγάπην τῆς τιμιότητός σου, πατρικῷ ἔθει ἐπερειδομένην· κἀκεῖνος γὰρ ὁ μακάριος πρὸς τοῖς ἄλλοις αὐτοῦ κατορθώμασι καὶ τῷδε τῷ ἐπιτηδεύματι δημιουργῶν ἦν πρὸς τοὺς ἀδελφοὺς τὸ τῆς ἀγάπης καλόν. γράφε τοίνυν, ὦ τριπόθητε, πατρῴζων ἐν τούτῳ, ἡμᾶς τε ἡδείους ποιῶν τῷ συνεχεῖ τοῦ φθέγματος· μὴ μέντοι ἐπαίνει μηδὲ σύγκρινε

---

59 Matth. 5,29 64 Bas. reg. fus. 36 (PG 31,1009 A)

59 συμφερές Sirm 63 καὶ post γε add V Sirm ἐπιστημονικώτερος VPS Sirm ἰατρεύειν Sirm ἀπολλυμένων Sirm 64 κουφότατοι VM Sirm 66 ante τὰ ἀλλήλων easdem voces iterum scriptas cancell S 67 καταλύωνται VMS 68 σημείωσαι in marg CPS 69 καὶ[1]: εἰς P^{pc}S Sirm 70 εὑρέματα VMPS Sirm καταρχὰς CP 74 φθέγγοντες (sic) Mi 76 μόνον om VM

---

487. a. 821 – 826 4 μακάριος: Theophanes confessor?

C VM (ll. 1 – 29) PS

6 ἡδίους omnes: coll ep 475,47 correxi

χρυσῷ μόλιβδον μηδὲ μαργαρίτῃ πηλόν, προσεύχου δὲ μᾶλλον καὶ ὑμῶν τῶν ἐκείνου ὀπαδῶν κατόπιν ἰέναι διὰ τὸ ἀχρεῖόν με εἶναι ἐν πᾶσι, κἂν αὐτὸς ὠφελεῖσθαι λέγοις πρὸς ἡμῶν τῶν ἀνωφελῶν, ἀγαπη/τικῶς φερόμενος. εἰ δὲ καί τι ὀνησιφόρον σου γίνοιτο, θεῷ τὸ πρᾶγμα ἀναθετέον, τῷ δι' ἀλλήλων καὶ ἐν ἀλλήλοις οἰκονομοῦντι τὰ κατὰ χρείαν.

Εἶεν δὴ ταῦτα. πρὸς δὲ τῶν ἐκ μετανοίας ἀνασφηλάντων, σφραγῖδα ἐπὶ τραπέζης ἢ κατὰ ἄλλην τινὰ περιπέτειαν δεδέχθαι τοὺς ἤδη διαπεφευγότας τὸν ὄλισθον, ἤδη ἐπὶ πατέρων ἁγίων, σχεδὸν εἰπεῖν, συνοδικῶς συνεζητήθη καὶ συνεκροτήθη εὖ ἔχειν, καὶ ἡμῖν τοῖς ταπεινοῖς εὐαπόδεκτον τὸ πρᾶγμα καὶ φυλαττόμενον καὶ ἄλλοις μεταδιδόμενον. εἰ οὖν καὶ αὐτὸς οὕτω βούλοιο κρατεῖν, καὶ ἐπαινοῦμεν καὶ ἀποδεχόμεθα· τὸ γάρ τινας ἀπαναίνεσθαι ἐθελοθρησκείας ἐστὶν ἔργον, κατηγορουμένης ὑπὸ τοῦ ἀποστόλου, ἀλλ' οὐκ ἐχούσης οὔτε τὸ ἔννομον οὔτε τὸ φιλάδελφον. πόθεν γὰρ ἐρείδονται τὸ ἀσφαλὲς ἔχειν, μήτε κανόνος θεσπίζοντος μήτε τοῦ θεσπεσίου ἡμῶν ἱεράρχου ἀπείργοντος ἡμᾶς τοῦτο δέχεσθαι; ἢ οὐχὶ μᾶλλον ἀναιρετικόν ἐστι μετανοίας καὶ ἀπογνωστικόν ἐστι σωτηρίας τὸ τὸν ἀξιούμενον μετέχειν τῶν ἁγιασμάτων καὶ σημειοῦν ἑαυτὸν τῇ σταυροειδεῖ εἰκόνι μὴ ἐξεῖναι σφραγίζειν βρῶμα κοινὸν εἴτε ἰδίᾳ εἴτε δημοσίᾳ; ἢ οὐκ ἴσμεν ὅτι ὁ ἀγαθὸς ἡμῶν θεὸς καὶ Κύριος, ὁ μόνος ἀναμάρτητος καὶ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὸ πόρνης τοὺς ἀχράντους πόδας ἠνέσχετο καὶ χειραπτεῖσθαι καὶ ὑπαλείφεσθαι δάκρυσιν ὥσπερ καὶ μύρῳ; ἀλλὰ καὶ μετὰ τελωνῶν ἐσθίει καὶ παρὰ τελώναις καὶ μαθητεύει τελώνας· καὶ οὐδὲν αὐτῷ οὕτω φιλητὸν ὡς τὸ ἐπιστρεπτικὸν ἐξ ἁμαρτίας καὶ ἀγαπητικὸν ἐπ' ἀλλήλοις. ἐντεῦθεν καὶ χαρακτηρίζεσθαι τοὺς μαθητὰς αὐτοῦ ὑπογράφει, καί γε τὸν μακάριον Πέτρον μετὰ τὴν ἄρνησιν πρώταρχον τῶν λοιπῶν ἀποστόλων ἀναδείκνυσιν· οὗ τί μεῖζον εἰς παράστασιν τοῦ προκειμένου λόγου; τί δὲ ἀσυνετώτερον τῶν ἀμαθῶς καὶ οἰηματικῶς μὴ καταδεχομένων σφραγίζειν καὶ προσεύχεσθαι τοὺς ἤδη τῇ μετανοίᾳ βελτιωθέντας;

---

24 ἱεράρχου: Nicephorus 34 καί γε – 35 ἀναδείκνυσιν: verba iuris publici primum fecit Allatius, De consensione 302

---

20 Col. 2,23 29 Joh. 1,29 30 Luc. 7,38 31 Matth. 9,11 34 Matth. 16,18

---

9 ἐκείνου post ὀπαδῶν transp M 10 λέγοις om M φῇς post ἀνωφελῶν add M 11 σου: σοι M 14 σφραγίδα CVM 18 καὶ[1] om VMPS Sirm 19 μετὰ διδόμενον C 28 ἡμῶν post θεὸς transp M 29 κόσμου: hic desin epist in M (exciso folio) 30 ὑπ' αλείφεσθαι C 31 fort exc post τελώναις vox διατρίβει vel simile quid 32 τελῶνας CVP ἐπιτρεπτικὸν Sirm

Ἡμεῖς τοιγαροῦν οἱ ταπεινοὶ οὕτως ἔχομεν, ὡς προείρηται, καὶ ὑμῖν συμβουλεύομεν, ἄλλοι δέ, ἄλλως ἔχοντες, ὄψονται περὶ τούτου. πρὸς ἃ δὲ ὁ ἀδελφὸς ἡμῶν Συμεὼν ἠρώτησεν, ἀπεκρίθημεν, καὶ ἐφιέμεθα ἐν πᾶσι πρὸς ἀνάπαυσιν ὑμῶν εἶναι τῶν σεβασμίων οἱ ταπεινοὶ καὶ εὐχόμεθα ἀσινεῖς ὑμᾶς διαφυλάττεσθαι ἐν πᾶσιν.

488. Κατηχητικὴ πρὸς τοὺς ἐν Κυζίκῳ

Ἡδέως εἴδομεν τοὺς περὶ τὸν ἀδελφὸν Συμεών, τὸν εἰς κεφαλὴν ὑμῶν τεταγμένον, τὸ μὲν διὰ τὴν τοῦ χρόνου ἀπουσίαν, τὸ δὲ διὰ τὴν καλὴν πολιτείαν· ἀγαθὴ γὰρ πολιτεία καὶ αὐτῷ καὶ ὑμῖν τὸ τοσούτους ἐπὶ τὸ αὐτὸ ἀδελφοὺς συζῆν ἐν δεδιωγμένοις χρόνοις· ὅπου γὰρ δύο ἢ τρεῖς τυγχάνοιεν ὄντες, ἐπαίνου ἄξιον, ὡς τοῦ Χριστοῦ μεσιτεύοντος κατὰ τὴν ἐπαγγελίαν, τὸ δὲ τοσούτους εἶναι, ὅλον μοναστήριον καὶ μεγάλην συνοδίαν, ἀναντίρρητον τὸ ἐγκώμιον. καὶ χάρις Κυρίῳ, ὃς ἔδωκεν ὑμῖν ἐν ἑνὶ / πνεύματι, μιᾷ ψυχῇ συναθλεῖν τῇ πίστει τοῦ εὐαγγελίου καὶ διαφέρειν ἐν ταὐτῷ τὸν ἀσκητικὸν βίον δίαθλον καὶ διαυγῆ καὶ διαστεφῆ ἀγῶνα ἐν τούτῳ περαιοῦσθαι. ἐβουλόμεθα δὲ καὶ ὑμᾶς αὐτοὺς τοὺς ἀπόντας κατ' ὀφθαλμοὺς ἰδεῖν καὶ συμπαρακληθῆναι τῇ κοινωνίᾳ τοῦ πνεύματος, ὡς ἂν καὶ τοὔνομα καὶ πρόσωπον καὶ ἦθος καὶ λόγον ἑνὸς ἑκάστου κατεμάθομεν· ἀλλ' ἐπεὶ τοῦτο ἠδυνάτει γενέσθαι, εἴδομεν ὑμᾶς ἤδη διὰ τοῦ προηγουμένου καὶ τῶν ὁμοταγῶν ὑμῶν, ὧν ἡ θέα ἔθρεψεν ἡμῶν τὰς καρδίας, εὐλαβείᾳ κεχαρακτηρισμένη.

Τί οὖν ἐστι λοιπὸν εἰπεῖν; ἵνα, καθὼς χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠθροίσθητε καὶ συνηρτήθητε ἁρμονίᾳ πνευματικῇ καὶ συμψυχίᾳ ὁμονοητικῇ, διαλάμψαντες ἐν τοῖς αὐτόθι καθάπερ

41 ἠρώτησεν: scil. participes communionis haereticorum defuncti commemorari si debeant; cf. ep. 534,11

39 τοιγὰρ οὖν C

488. a. 821 – 826

6 Matth. 18,20

C VM (ll. 16 – 41) PS

2 ἴδομεν C   τοὺς: τοὺ Sirm: τοῦ Mi   4 ἡμῖν Sirm   5 voces ἐπὶ τὸ αὐτὸ post ἀδελφοὺς transp VPS Sirm   τὸ: τῷ S   αὐτὸ S^{pc} ἐπιτοαυτὸ VP   8 τὸ C^{sscr} 9 ἡμῖν VPS Sirm   11 βίον: an βίου scribendum?   fallitur Lampe s. v. δίαθλος hanc vocem cum sequentibus coniugens   14 λόγος Sirm: λόγους Mi   15 ἴδομεν C   16 καὶ: hic inc epist in M

τινὲς ἀστέρες ἐν τῇ ζοφερᾷ τῆς αἱρέσεως νυκτί, καὶ πρὸς τὸ ἑξῆς οἱ αὐτοὶ διαμείνοιτε, σύμψυχοι, τὸ ἓν φρονοῦντες, ὁμογνώμονες, ὑποτακτικοί, πειθήνιοι, εὐήκοοι, εὐχάριστοι, εὔκλητοι, φίλαγνοι, σώφρονες, ἀπαρρησίαστοι, ἄρτιοι, κατηρτισμένοι ἐν παντὶ ἔργῳ ἀγαθῷ, ἔτι λάμποντες, ἔτι αὐγάζοντες, ἔτι φωτοβολοῦντες, ἔτι ἁλίζοντες, ὡς ἂν καὶ περὶ ὑμῶν εἰκότως ῥηθείη ὑπὸ τοῦ Κυρίου· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· καὶ αὖθις· ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς. τάχα δὲ ἐπειδὴ τὴν ὀρεινὴν κατοικεῖτε, καταλλήλως ἐπᾴδοιτο κἀκεῖνο περὶ ὑμῶν, οὐ δύναται πόλις κρυβῆναι, ἐπάνω ὄρους κειμένη, ὄρους, δηλαδὴ ὑψηλῆς πολιτείας, ἐφ' ᾗ οἱ ἐπιβεβηκότες ὡς ἐν οὐρανῷ ἐπὶ τῆς γῆς διατρίβουσιν, ὧν οὐκ ἄξιος ὁ κόσμος κατὰ τὸ ἀποστολικῶς εἰρημένον.

Βλέπετε, τέκνα καὶ ἀδελφοί, ὅπως ὑμᾶς ἦρεν ὁ λόγος τῆς ἀληθείας, ἄνω θεὶς τοῖς ἐγκωμίοις καὶ ὑποδείξας ἀληθινοὺς εἶναι μοναστάς, ὁμολογητὰς Χριστοῦ, φυγάδας κόσμου, ἄνδρας ἐπιθυμιῶν τῶν κρειττόνων, σαρκὸς παθοκτόνους, στεφανίτας ἐν πνεύματι. καὶ ταῦτα μὲν λόγοι γυμνοὶ τῆς ἀνταποδόσεως ἄρτι· ἐὰν δὲ τὸν ἀγῶνα ὑμῶν τῆς τε ὑποταγῆς καὶ ὁμολογίας ἐκτελέσητε κυριώτατα, τηνικαῦτα μεταβαίνοντες τοῦ βίου τὴν τῶν ἔργων ἀπολήψεσθε μακαριότητα, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

489. Γρηγορίῳ τέκνῳ

Ἐχάρην ἐπὶ τῷ γράμματί σου, τέκνον ἠγαπημένον, ὅτι καὶ ἀστεία ἡ ὁδὸς τῶν ἐν ἄστει καὶ ὑγείαν / προσελάβου ἅμα τῷ ἀδελφῷ Ζωσιμᾷ διὰ τῆς ἀφαιμάξεως καὶ τἆλλα ὑμῖν ὅτι κατὰ σκοπὸν ἀπέβη. ἐπὶ δὲ ταῖς παρὰ τοῦ ξενοδόχου προτάσεσι, τί ὅτι παρ' ἡμῶν ἐπεζήτησας

22 Philipp. 2,3 26 Matth. 5,14 27 Matth. 5,13 29 Matth. 5,14 31 Hebr. 11,38

23 εὐήκοοι post εὐχάριστοι transp M 28 κατοικεῖτε om Sirm 33 ἀδελφοί in marg S 34 ἀληθινοὺς εἶναι: ἀληθεῖς M μονάστας PS 37 ἀνταποδώσεως CS 39 ἀπολείψεσθε C 40 ὑμᾶς C 41 καὶ — αἰώνων om M τῶν αἰώνων om V

489. a. 821 – 826 3 Ζωσιμᾷ: cf. adn. ad ep. 165,17 5 ξενοδόχου: Theodorus; cf. ep. 470

C VM PS

1 δογματικὴ (om S) περὶ διαφόρων ὑποθέσεων in marg PS Sirm 3 τῷ ante ἄστει add VM 4 τἆλλα VMP: τᾶλλα cett Mi: corr Sirm 5 ἐζήτησας S voces παρ' ἡμῶν post ἐζήτησας transp S^{ac}

ἔτι διασάφησιν, ἐγκεκριμένως ἀποκριθεὶς αὐτῷ κατὰ τὴν τῶν θεοφόρων πατέρων διδασκαλίαν; οὐδὲν περισσότερον ἔχομεν λέγειν τῶν σῶν ἀντιπαραστάσεων. εἰκαιολογοῦσι δέ, ὡς ἔοικε, καὶ οὐ φιλομαθοῦσιν οἱ ἐπερωτῶντες· ὅμως ἐπειδὴ γέγραπται, ἕτοιμοι ὄντες πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, ἀποκρινόμεθα καὶ ἡμεῖς τάδε.

Τὸ τῶν μοναχῶν σχῆμα παρθενίας ἐστὶν ἐπάγγελμα καὶ μυστήριόν ἐστι μοναχικῆς τελειώσεως κατὰ τὴν φωνὴν τοῦ θείου καὶ πανσόφου Διονυσίου. καὶ τὸ λέγειν τινὰς τὸ ‚πόθεν παρεδόθη τὸ ἀποτάσσεσθαι καὶ γίνεσθαι μοναχόν;ʻ οὐδὲν ἕτερόν ἐστιν εἰπεῖν ἢ ὅτι ‚πόθεν παρεδόθη γίνεσθαί τινα χριστιανόν;ʻ ὁ γὰρ τὸ πρότερον θεσμοθετήσας ἀποστολικῇ παραδόσει καὶ τὸ δεύτερον ἐξέδωκεν, ἓξ μυστήρια ἐκτεθεικώς, πρῶτον περὶ φωτίσματος, δεύτερον περὶ συνάξεως εἴτουν κοινωνίας, τρίτον περὶ τελετῆς μύρου, τέταρτον περὶ ἱερατικῶν τελειώσεων, πέμπτον περὶ μοναχικῆς τελειώσεως, ἕκτον περὶ τῶν ἱερῶς κεκοιμημένων. τί οὖν ἔστιν εἰπεῖν ἐν τούτοις; ὅτι ὁ ἀμφισβητῶν περὶ ἓν τῶν εἰρημένων ἀμφιβάλλει δῆλον ὅτι καὶ περὶ τῶν ἄλλων μὴ θεοπαραδότως ἔχειν καὶ τῇ τοῦ ἑνὸς ἀναιρέσει συνανῄρηται ἐξ ἀναγκαίου καὶ τὰ λοιπά· καὶ οὔτε φώτισμα οὔτε σύναξις οὔτε θεῖον μύρον οὔτε ἱερατικὴ τελείωσις οὔτε τῶν ἱερῶς κεκοιμημένων διατύπωσις εἶεν ἄν, εἴπερ μὴ πάρεστιν ἡ μοναχικὴ τελείωσις, καὶ ἐσμὲν ἐθνόφρονες, ἄθεοι ὄντες ἐν τῷ κόσμῳ καὶ ἐλπίδα μὴ ἔχοντες. τοιοῦτός ἐστιν ὁ τὴν πρότασιν εἰσάγων, τὸ πόθεν παρείληπται μονάζειν ἄνθρωπον. καὶ οὔπω λέγω ὅτι καὶ πάντες οἱ ἔξοχοι τῶν θεοφόρων πατέρων καὶ μονασταὶ γεγόνασι καὶ τὸν μοναδικὸν βίον ὡς ἀγγελικὸν ἐκθειάζουσιν· πρὸς ὧν καὶ τὰ διατυπωτικὰ τῆς ἱερᾶς ζωῆς συγγράμματα. εἰ δέ τινι νοῦς πάρεστι, πάντως εὑρήσει καὶ αὐτὸν τὸν

12 τὸ τῶν – 38 ἀβαπτίστων: primum edidit Allatius, De consensione 1265 13 μοναχικῆς τελειώσεως: de hac elocutione cf. Hermann, Theoktista 109 adn. 60 17 ἓξ μυστήρια: ubi coniugium deest; cf. K. Parry l. l. (ad ep. 418,35) 166

9 1 Petr. 3,15 12 Dion. Ar. eccl. hier. 6,3 (PG 3,533 A) 18 ibid. 3,1 (424 B) 19 ibid. 4,1 (472 C) ibid. 5,1 (500 C) 20 ibid. 6,3 (533 A) ibid. 7,1 (552 C) 27 Eph. 2,12

7 λέγειν post ἀντιπαραστάσεων transp PS 10 ἡμῖν VM 11 ἀποκρινούμεθα VMPS Sirm 12 σημείωσαι· περὶ τοῦ μοναχικοῦ σχήματος πόθεν παρεδόθη in marg CPS 13 τὴν post φωνὴν add VM 14 ἀποτάττεσθαι VM 17 καὶ om VM σημείωσαι (om P)· τίνα τὰ παραδοθέντα ἓξ μυστήρια τοῖς χριστιανοῖς in marg PS 18 ἤτοῦν C: εἴτ' οὖν VM: εἶτ' οὖν P Sirm 19 ἱερατικῆς τελειώσεως M 21 ἐστιν VPS 22 ἕν: ἑνὸς V[pc]M Sirm δηλονότι VMPS Sirm 24 φώτισμα – 25 μύρον οὔτε om Sirm μῦρον PS 28 εἰς ἄγων C 30 μονασταὶ: μοναχοὶ VM μοναδικὸν C: μοναχικὸν cett Sirm 31 ἐκθιάζουσιν C: ἐκθειάζουσι cett Sirm ὧν Sirm: ὂν codd

θεῖον Διονύσιον πῶς κατὰ τοὺς ἀγγελικοὺς διακόσμους καὶ τοὺς ἱερατικοὺς βαθμοὺς καὶ τοὺς ἔξω ἱερωσύνης ἰσαρίθμως τρισὶ τάξεσιν ἀπένειμεν, πρώτην καὶ εἰσαγωγικὴν τῶν ἔτι μαιευομένων, ἤτοι κατηχουμένων, δευτέραν τῶν πεφωτισμένων καὶ τρίτην τῶν μοναχικῶς τελειουμένων· καὶ τὸ τοῖς ἐναργέσι μάχεσθαι ἀναισθήτων ἐστὶν ἢ ἀβαπτίστων.

Τὸ δεύτερον πρόβλημα περὶ τῶν νηπίων, ‚ὅτι', φησίν, ‚ὁ Ἅγιος Βασίλειος ἐν τοῖς κανόσιν ἐπιτρέπει ἐρχόμενα εἰς τὴν ἔννομον ἡλικίαν, εἰ μὴ φέροιεν τὸν ζυγὸν τῆς ἐν παρθενίᾳ ζωῆς, ἀποσχηματίζεσθαι'. οὐχ οὕτως, ἀλλὰ νομοθετήσας πάντα ἐν πᾶσι θείῳ πνεύματι καὶ σωτηρίως τῷ κόσμῳ καὶ ὡς οὐκ ἂν ἐπινοηθεῖεν βελτιώτερόν τι γίνεσθαι, κἂν τινες ἀφρονεύοντες πειρῶνται τὰ κρείττονα νομοθετεῖν· / αὐτὸς καὶ περὶ τῶν ἀπὸ πρώτης ἡλικίας προσερχομένων τοῖς ἀναδεδεγμένοις τὸν τῆς ἡγεμονίας θεσμὸν νενομοθέτηκεν· καὶ ἡ βίβλος δηλοῖ καὶ τὸ καθ' ἔπος λέγειν ἐνταῦθα οὐκ ἐπαρκές, πλὴν ὅτι μετὰ τὴν συμπλήρωσιν τοῦ λόγου, ἤγουν ἀπὸ ἑξκαιδεκαετίας καὶ πρός, μεθ' ὃν καὶ τιμαὶ καὶ τιμωρίαι, ὥς φησιν αὐτός, περὶ αὐτῶν ἐγκρίνεσθαι δεῖν, καὶ συνάπτεσθαι ταῖς ἀδελφότησιν διὰ τῆς μοναχικῆς τελειώσεως προστέταχε. καὶ ἔκτοτε μετατιθεμένους πρὸς τὸν κοινωνικὸν βίον ἐξ ἀνατροπῆς πονηρᾶς μηδὲ θύραν ἀνοίγεσθαι αὐτοῖς κατὰ ψιλὴν περίοδον ἐξ ὧν ἀπέστησαν κεκέλευκεν· ἔνδοθεν δὲ τοῦ προειρημένου ἔτους, εἰ μὴ αἱρουμένους τὸν ἐν παρθενίᾳ βίον, ἢ καὶ αἱρουμένους ἀλλὰ μὴ θέλοντας κατηρτισθῆναι πρὸς τὴν μοναχικὴν ζωήν, ἀποκρίνεσθαι καὶ ἀποπέμπεσθαι εἰς τὸν κοινωνικὸν βίον, ὡς μὴ ὀνείδη ἀνάπτεσθαι ταῖς ἀποτυχίαις τῷ ἱερῷ βίῳ.

Ταῦτα δέ, ἐπεὶ οὐ πάντως γίνονται ἔν τισι καθὰ ἐντέταλται, ἀλλὰ ἀποκείρουσι νηπιόθεν ἢ καὶ κατὰ ἡλικίαν ἔννομον, ἀλλ' οὐ νομίμως καὶ κατηρτισμένως, διὰ τοῦτο τὰ ἄνω κάτω καὶ ἱερεὺς καὶ προφήτης ἐξέστησαν κατὰ τὸ γεγραμμένον καὶ μυριόδοξος παράδοσις καὶ αὐτόκριτος νομοθεσία οὐ διὰ θεοφιλίαν, ἀλλὰ διὰ φιλαργυρίαν, οὐδὲ

58 ταῦτα – 65 ἀποκλαίειν: verba primum edidit Allatius ibid. 1151

35 Dion. Ar. eccl. hier. 3,6 sq. (PG 3,432 C sq.) 39 cf. Bas. reg. fus. 15,4 (PG 31,956 B sq.) 60 Is. 28,7

34 ἰσαρίθμους VP[ac] Sirm 35 ἀπένειμε VMP Sirm 36 καὶ om VM 46 νενομοθέτηκε VMPS Sirm 47 καθέπως C: κατ' ἔπος cett Sirm ἐπαρκές: ἐπαρκέσει VM 48 ἑκκαιδεκαετίας Sirm 49 ὃν scripsi: ὧν codd Sirm ὥς: ἅς VM 50 ἐκκρίνεσθαι Sirm ἀδελφότησι VMPS Sirm 53 περίοδον: παράδοσιν VM Sirm 54 εἰ: ἡ C 55 καταρτισθῆναι VMPS Sirm 57 ταῖς ἀποτυχίαις om VM Sirm 58 καθὰ C: καθὼς cett Sirm 60 διατοῦτο VPS καὶ[2] om PS 62 θεοφιλίαν: φιλίαν VM Sirm διὰ[2] om VM

διὰ σωτηρίαν, ἀλλὰ διὰ φιλοκερδίαν. καὶ πρὸς ταῦτα ἐγὼ ὁ τάλας ἀποκρίνεσθαι οὐκ ἔχω ἢ στένειν καὶ σκυθρωπάζειν καὶ τὰς ἑαυτῶν ἁμαρτίας ἀποκλαίειν· σὺ δὲ σωθείης, τέκνον ἠγαπημένον.

490. Θεοκτίστῳ ἐρημίτῃ

Δεξάμενος τὸ γραμματεῖον τῆς τιμιότητός σου καὶ ἀναγνοὺς εἰς ὑπήκοον τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου καὶ ἀδελφοῦ μου ἅμα τοῖς συνοῦσιν ἀδελφοῖς εὐχαρίστησα ὁ ταπεινὸς τῷ Κυρίῳ, ὃς ἔκλινεν τὴν καρδίαν σου γράψαι ὀρθῶς τὸ τῆς πίστεως σύμβολον· τὸ γὰρ ὁμολογεῖν δέχεσθαι τὴν παλαιὰν καὶ νέαν διαθήκην καὶ πάντα τὰ ὑπὸ τῶν ἁγίων πατέρων παραδεδομένα τῇ ἐκκλησίᾳ τοῦ θεοῦ κεφαλαιωδῶς ἡ ὀρθότης ἐστὶ τῆς πίστεως. ἐπειδὴ δὲ καὶ αἱρετικοῖς ἔστι ταῦτα λέγειν, οὐ μὴν εὑρίσκεσθαι κατὰ τοὺς λόγους αὐτῶν ὀρθοτομοῦντας τὸν λόγον τῆς ἀληθείας, διὰ τοῦτο καὶ παρὰ τῶν πεμφθέντων ἀδελφῶν, καὶ μάλιστα παρὰ τοῦ ἀββᾶ Σωσιπάτρου, ἐπεζητήσαμεν τὸ ἀκριβές, καθὰ καὶ ἐζήτησας ἐν τοῖς γράμμασι, διὰ τὸ μὴ πάντα ἐγχωρεῖν ἀπαγγέλλειν τὴν ἐπιστολήν, καὶ εὕρομεν χάριτι Χριστοῦ ἀπαγγέλλοντας αὐτοὺς ὀρθοφρόνως τὰ παρὰ σοῦ αὐτοῖς παρατεθέντα.

Τίνα δὲ ταῦτα; δεῖν γὰρ ἐν κεφαλαίοις ἐπισημανθῆναι. πρῶτον περὶ τῆς ἁγίας Θεοτόκου· φασὶ γὰρ λέγειν σε ὅτι πρὸ τῶν αἰώνων ἡ παρθένος. τοῦτο ἐπειδὴ ἀρνεῖσαι μήτε λέγειν μήτε δὲ φρονεῖν, ἀλλ' ὁμολογεῖν ἐξ ἀνδρὸς καὶ γυναικὸς Ἰωακεὶμ καὶ Ἄννης τετέχθαι αὐτήν, εὖ ἂν ἔχοι. δεύτερον περὶ τοῦ Κυρίου, ὅτι οὐκ ἐσταυρώθη· ἐπειδὴ δὲ ὁμολογεῖς / ἐσταυρῶσθαι αὐτὸν κατὰ τὰς γραφάς, εὖ ἂν

---

63 διά[2] om VM φιλοκέρδειαν S[pc] 64 στένειν: σθένειν C

490. a. 824 – 825

2 Bas. ep. 322 (PG 32,1068 C = III 194 Courtonne) 10 2 Tim. 2,15

C VM PS

1 δογματικὴ περὶ διαφόρων ὑποθέσεων καὶ ἐν τῷ τέλει περὶ (τῶν S) ἁγίων εἰκόνων titulo add PS: in marg Sirm 2 γραμμάτιον VM 3 ἐπήκοον VMPS Sirm ἀρχιεπισκόπου: ἐπισκόπου VM 4 ηὐχαρίστησα VMPS Sirm (sed cf Bas ep l. l.) ἔκλινε VMPS Sirm 8 καὶ om Sirm 9 ἐστι VMPS 10 καὶ ante διὰ add M διατοῦτο VMPS καὶ om PS Sirm 13 πάντῃ VM vocem ἀπαγγέλειν iterum scriptam cancell S 14 αὐτοὺς ὀρθοφρόνως: ὀρθοδόξως VM 15 παρατιθέντα Sirm 16 γὰρ om PS Sirm 18 ἀρνῆσαι omnes: correxi ἀλλὰ VM 19 ἰωακὶμ C τετάχθαι Sirm

ἔχοι. τρίτον περὶ τῶν ἀγγέλων καὶ τῶν δαιμόνων, ὅτι μετὰ τὴν κρίσιν ἀποκατάστασις ἔσται πάλιν καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. καὶ ἐπειδὴ τοῦτο ἀπαρνεῖσαι καὶ ὁμολογεῖς αἰώνιον εἶναι καὶ τὴν κρίσιν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, εὖ ἂν ἔχοι. τέταρτον περὶ μοναχοῦ ἑνός, ὅτι δύναται τῆς κολάσεως ῥύσασθαι ἑκατὸν πεντήκοντα κρινομένους. καὶ ἐπειδὴ τοῦτο ἀπαρνεῖσαι καὶ λέγεις μήτε μετάνοιαν εἶναι μετὰ θάνατον μήτε τινὰ τὸν δυνάμενον ἐξελέσθαι ἀπὸ τῆς θεοῦ ἀπονεμηθείσης ἑκάστῳ κολάσεως, εὖ ἂν ἔχοι. πέμπτον περὶ βιβλίου τοῦ ἐπιλεγομένου τοῦ Ἀντωνίου, ὅτι λέγεις εὐαπόδεκτον εἶναι, ἐν ᾧ πολλὰ βλάσφημα, ὡς ἡμεῖς αὐτοὶ ἀναγνόντες ἔγνωμεν. καὶ τοῦτο ἐπείπερ ὁμολογεῖς ἀποβάλλεσθαι ὡς ἀλλότριον τῆς ἐκκλησίας τοῦ θεοῦ καὶ μηκέτι μήτε ἔχειν μήτε ἀναγινώσκειν μήτε σὲ μήτε τοὺς μετὰ σοῦ, εὖ ἂν ἔχοι. καὶ εὐλογητὸς ὁ θεός, ὁ ποιησάμενος καθαρισμὸν ἐν ὑμῖν τῶν προειρημένων σκανδάλων, καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ, τὸ πεῖσάν σε εἰπεῖν χωρικὸν εἶναι καὶ ἀμαθῆ καὶ εἴκειν κατὰ πάντα καὶ πείθεσθαι τῷ λόγῳ τῆς ταπεινώσεώς μου.

Ἐγὼ δὲ οὐδὲν παρὰ τὰ θειωδῶς ἐκπεφασμένα τοῖς ἁγίοις ἀποστόλοις καὶ προφήταις καὶ πατράσι παραινέσω ἢ διατυπώσω, ἀλλ' αὐτὸ τοῦτο, καθὼς γέγραφας, πιστεύειν σε εἰς τὴν Ἁγίαν Τριάδα, τὴν ἀμερῆ κατ' οὐσίαν, διαιρουμένην δὲ τοῖς χαρακτῆρσιν εἰς πατέρα καὶ υἱὸν καὶ Ἅγιον Πνεῦμα, ἕνα θεόν, ἕνα Κύριον, καθὸ καὶ μία πίστις. ἔστι δὲ καὶ ὁ πατὴρ θεὸς καὶ ὁ υἱὸς θεὸς καὶ τὸ πνεῦμα θεός, οὐ τρεῖς θεοὶ (μὴ γένοιτο), ἀλλ' εἷς θεός, ὥσπερ καὶ Κύριος. τοῦτο τῆς θεολογίας τὸ δόγμα περὶ τῆς οἰκονομίας πιστεύειν ὅτι ὁ εἷς τῆς Τριάδος εὐδοκίᾳ τοῦ πατρὸς καὶ συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος ἐσαρκώθη ἐκ τῆς ἁγίας Θεοτόκου, προσεισεληλυθότος τοῦ Ἁγίου Πνεύματος ἐν αὐτῇ καὶ οὕτως ἐπισκιάσαντος τῆς τοῦ ὑψίστου δυνάμεως κατὰ τὸ εὐαγγέλιον· ἐξ ἧς καὶ ἐτέχθη ἄνθρωπος τέλειος, ὢν

---

22 τρίτον – 25 ἔχοι: verba primum edidit Allatius ibid. II 159 sq. 25 τέταρτον – 29 ἔχοι: cf. ibid. 1268

---

23 Joh. 10,16 48 Luc. 1,35

---

24 ἀπαρνῇ M: ἀπαρνῆσαι cett Sirm: correxi καὶ[3] C[sscr] 27 ἀπαρνῆσαι omnes: correxi 29 ἐκ ante θεοῦ add PS: ἐκ τοῦ inser Sirm τῆς: τοῦ V παρὰ post τῆς add M ἑκάστῳ om VM 31 αὐτοὶ om VM 32 ἀποβαλέσθαι PS 34 vocis ποιησάμενος litt μενος in marg C 40 ante πατράσι litt πατρ eras C 42 δ in marg C 43 καθὸ: καθὼ/ C (an καθὼς scribendum?) 45 ὥσπερ: an ὅσπερ scribendum? 48 προεισεληλυθότος VMPS Sirm (fort recte) 49 ἐπισκιασάσης VM

ἐν ταὐτῷ καὶ θεὸς τέλειος, εἷς τῇ ὑποστάσει, διπλοῦς τῇ φύσει, καθὼς οἱ θεοφόροι πατέρες καὶ αἱ ἑπτὰ ἅγιαι οἰκουμενικαὶ σύνοδοι ἐξέθεντο, ὁμολογεῖν τε τὴν παρθένον Θεοτόκον, πάντων οὖσαν ὑψηλοτέραν καὶ τιμιωτέραν δυναμένην τε πρεσβεύειν μητρικῶς τῷ αὐτῆς υἱῷ καὶ Κυρίῳ ὑπὲρ παντὸς τοῦ κόσμου, ὁμολογεῖν τε τοὺς ἀγγέλους ὡς ἀγγέλους, ὑπερδεομένων καὶ αὐτῶν πάντων τῶν ἀνθρώπων, τό τε δαιμόνιον φῦλον ἀμιγὲς εἶναι εἰς αἰῶνας ἀτελευτήτους πρὸς αὐτούς, τὸ ἴδιον οἰκητήριον δι' ἀποστασίαν ἀπολιπόντας καὶ καταδεδικασμένους ὑπὸ θεοῦ ἐνδίκοις κολάσεσιν· ὁμολογεῖν καὶ τοὺς ἁγίους πάντας ὡς θεράποντας θεοῦ, πρεσβεύειν τῷ θεῷ δυναμένους εἰς σωτηρίαν ἡμῶν· ἔτι ὁμολογεῖν τὰς ἁγίας εἰκόνας αὐτοῦ τε τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς τε αὐτοῦ μητρός, ἀγγέλων τε καὶ πάντων ἁγίων, προσκυνεῖν καὶ ἀποδέχεσθαι κατὰ τὸ δογματισθὲν τῇ ἐν Νικαίᾳ τὸ δεύτερον συνόδῳ, ἀναθεματίζειν τε πάντας αἱρετικοὺς τοὺς ὑπὸ τῶν / συνόδων ἀναθεματιζομένους, ἀνακηρύττειν πάντας τοὺς ὀρθοδόξους παρ' αὐτῶν εὐφημουμένους.

Αὕτη ἡ εἰλικρινὴς πίστις τῶν Χριστιανῶν, τοῦτο τὸ μαρτύριον τῆς Χριστοῦ ὁμολογίας· παρὰ ταῦτα ὁ φρονῶν ἤτω ἀνάθεμα ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. καθά φησιν ὁ Παῦλος, ὅτι, κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. ὡς προείρηκα, καὶ πάλιν λέγω· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. ἐπεὶ οὖν αὐτὸς λεπτομερῶς ταῦτα οὐκ ἐξεκάλυψας ἐν τοῖς γράμμασί σου, δέον πᾶσα ἀνάγκη ὁμολογῆσαί σε οὕτως φρονεῖν. τοῦτο δὲ ἔσται πῶς; ἵνα ἐν τῷ πληρώματι τῆς ἐπιστολῆς αὐτῆς ταύτης ὑπογράψῃς κατὰ τὸ ἐμφερόμενον πιττάκιον. καὶ οὕτως ἡ εἰρήνη τοῦ θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει καὶ βραβεύσει ἡμᾶς τε καὶ ὑμᾶς ἐν ἑνὶ πνεύματι καὶ μιᾷ καρδίᾳ πιστεύειν καὶ λατρεύειν τῇ Ἁγίᾳ Τριάδι ἐπὶ σωτηρίᾳ τῶν τε οἰκείων ψυχῶν καὶ τοῦ διαιρεθέντος λαοῦ εἰς δύο μέρη, ἀπέναντι τοῦ κυρίου Ἰωαννικίου, τοῦ πνευματικοῦ ἡμῶν πατρός, καὶ σοῦ τοῦ τιμίου καὶ πατρὸς καὶ ἀδελφοῦ ἡμῶν.

---

68 1 Cor. 16,22 70 Gal. 1,8 sq. 76 Philipp. 4,7

51 καὶ post καθὼς add VM 55 τοῦ om VM 56 ὡς ἀγγέλους om Sirm τῶν om Sirm 57 φύλον C πρὸς: τοὺς VM 58 ἀπολειπόντας C 59 τε post ὁμολογεῖν add V Sirm 60 ὡς θεράποντας S^{sscr} 62 καὶ V^{sscr} 63 τε post προσκυνεῖν add V Sirm 64 δεύτερον: $\bar{\beta}^{ov}$ M^{sscr} 65 ὡς ante ὀρθοδόξους add VM 67 εἰλικρινὴς: ἀληθινὴ VM Sirm 68 ἤτω: ἦτο C 69 καθά – Παῦλος om VM ἀπόστολος ante Παῦλος add PS Sirm 70 κἀν M εὐαγγελίζηται VMPS Sirm παρὸ CS 71 ὑμῖν om VM Sirm 72 παρὸ CS 73 οὐκ om VM Sirm 74 οὕτω VM Sirm 75 αὐτῆς om VMPS Sirm 77 ὑπερέχουσα post νοῦν transp PS φρουρήσοι S βραβεύσοι S 80 κυροῦ PS Sirm

491. Διογένει ἀσηκρῆτις

Ἐρώτησις.

Πῶς δεῖ καλεῖν τὴν Χριστοῦ εἰκόνα καὶ πῶς αὐτὴν προσκυνεῖν χρή.

Ἀπόκρισις.

Ἡ ἐρώτησις διπλῆν ἔχει τὴν ἀπόκρισιν, ἤγουν τὴν κλῆσιν· λέγεται γὰρ καὶ κυρίως καὶ οὐ κυρίως τὸ ἐπ' αὐτῇ ὀνομαζόμενον. κυρίως μὲν γὰρ εἰκὼν Χριστοῦ εἴρηται ἡ εἰκὼν αὐτοῦ, οὐ κυρίως δέ, ὅταν καλῆται Χριστός, ἀλλὰ κατὰ κατάχρησιν, ὡς ἔχει ἐπί τε τοῦ ζωοποιοῦ σταυροῦ καὶ τοῦ τύπου αὐτοῦ· ἀναλογοῦν τὸ θεώρημα ὡσαύτως καὶ ἐπὶ τῆς προσκυνήσεως, παραπλησίως τῷ τύπῳ τοῦ σταυροῦ ἡ προσκύνησις. σχετικὴ γὰρ ὡς τῶν πρός τι ὄντων, πρωτοτύπου τε καὶ εἰκόνος, κατὰ τὴν φωνὴν τοῦ Μεγάλου Βασιλείου· ἡ γὰρ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει. ἔστι γὰρ τῶν ἀμφοτέρων μία ἡ προσκύνησις, οὐ σχιζομένη οὐδὲ διαιρουμένη, ἀλλ' ἐπὶ μὲν τοῦ πρωτοτύπου οὐσιωδῶς, ἐπὶ δὲ τοῦ παραγώγου σχετικῶς ὑπάρχουσα, ὥσπερ καὶ τὸ εἶδος τῆς μορφῆς, ὅτι ἐκεῖ μὲν φυσικῶς, ἐνταῦθα δὲ μεθεκτῶς πάρεστιν.

Ὁ γοῦν προσκυνῶν τὴν εἰκόνα οὑτινοσοῦν, εἴτε Χριστοῦ, εἴτε τῆς Θεοτόκου, εἴτε ἁγίου, εἴτε ἁπλῶς βασιλέως, εἴτε ἄρχοντος, εἴτε ὑφειμένου ἀνθρώπου, ἐν ταύτῃ προσεκύνησε τὸν οὗπερ αὕτη τυγχάνει εἰκών· καὶ οὕτω προσκυνῶν οὐ σφάλλεται, ἀλλ', ὀρθοδόξως ἐρειδόμενος, τοὺς ἐφ' ἑκατέρᾳ τῇ ἀληθείᾳ ἀντιπίπτοντας ἐνδίκως ἀποκρούεται. τίνες δὲ οὗτοι; οἵ τε ἀπαναινόμενοι προσκυνεῖν τὰς σεπτὰς εἰκόνας καὶ οἱ ἐν τῇ προσκυνήσει λέγοντες αὐτὰ τὰ πρωτότυπα / φυσικῶς προσκυνεῖν, ὧν ἀμφοτέρων ἐπ' ἴσης τὸ βλάσφημον, τῶν μὲν ὡς ἀναιρούντων τὸ τῆς οἰκονομίας μυστήριον, τῶν δὲ ὡς θεοποιούντων, ἤτοι οὐσιοποιούντων, τὰ μακρὰν ἀπέχοντα τῇ φύσει ἀπὸ τῶν πρωτοτύπων. τοιγαροῦν προσκυνητέον τὴν εἰκόνα Χριστοῦ (ὧδε γὰρ ὁ κολοφὼν τοῦ λόγου) σχετικῶς, ἀλλ' οὐ λατρευτέον· τοῦτο

---

491. 12 Bas. spirit. 18,45 (PG 32,149 C) 29 Zenob. prov. 2,1 (IV 54 Bühler)

VMN PS

1 δογματικὴ περὶ τῆς παναγίας εἰκόνος τοῦ χριστοῦ καὶ ὅτι προσκυνητέον ταύτην σχετικῶς, ἀλλ' οὐ λατρευτέον titulo add PS: in marg Sirm 2 ἐρώτησις in marg VMN 4 ἀπόκρισις in marg VMN 5 διπλὴν VS ἔχει post ἀπόκρισιν transp VN Sirm 6 καὶ[1] om VMN 8 καλεῖται N ὡς ἔχει om VN 9 ἀναλογοῦν: ὁμολογοῦν VMN 13 ἀναβαίνει VMN Sirm γὰρ[2] om Sirm 20 ἐπροσεκύνησε N[ac] 21 ἡ ante εἰκών add VMN 23 σημείωσαι τί φησι ὁ μέγας πατήρ in marg S 25 ἐπίσης omnes: distinxi 29 ὧδε VM κολοφῶν N

γὰρ φυσικῶς ἐπ' αὐτοῦ Χριστοῦ, ἐπείπερ ἡ λατρεία μία τῆς Τριάδος. καὶ οὐδὲ αὐτῇ τῇ Θεοτόκῳ λατρευτέον οὐδὲ αὐτῷ τῷ ζωοποιῷ σταυρῷ. οὕτως οὐδὲ τῇ Χριστοῦ εἰκόνι λατρευτέον, ἀλλὰ προσκυνητέον, πασῶν τῶν προσκυνήσεων διὰ μέσου τῶν κατ' αὐτὰς πρωτοτύπων ἐπὶ τὴν μίαν καὶ μόνην λατρευτικὴν προσκύνησιν τῆς Ἁγίας Τριάδος ἀναφερομένων· αἱ γὰρ ἄλλαι οὐ λατρευτικαὶ ἅπασαι, ἀλλὰ τιμητικαί, κατὰ τὸ διάφορον τοῦ ὑφειμένου ἢ προύχοντος προσώπου.

492. Ἰωάννῃ Γραμματικῷ

Τὸ ἀνυπόκριτόν σου τῆς εἰλικρινοῦς ἀγάπης δέδειχεν ἡ τιμιότης σου ἐν τοῖς ἐπανορθωτικοῖς σημειώμασι τοῦ πρὸς ἡμῶν τῶν ἀμαθῶν συνταχθέντος λόγου. καὶ ἔχει μὲν ἐκεῖνα οὕτως ἢ οὕτως συγκεκρίσθαι τῷ λόγῳ. ἐπειδὴ δὲ ἠπόρησεν πῶς ἡμῖν νενόηται τὸ ὑποκείμενον καὶ ὡς ἄλλως ἐκλαμβάνεσθαι παρ' αὐτῆς, καθὰ ὑπεσημήνατο, συνηπορήσαμεν καὶ ἡμεῖς ὅτι ἠπόρησεν ὁ περὶ πάντα σοφός· τὸ γὰρ ὑποκείμενον, ὦ θαυμάσιε, κατὰ Λεόντιον τὸν μακάριον, οὗ τὰ σχόλια ὑπερκαλλῆ, οὐσίαν εἶναι λέγει μετὰ ὑποστάσεως. λέγει δὲ καὶ ὁ Μέγας Βασίλειος οὐχ ἓν τῷ ὑποκειμένῳ ἐπὶ τῆς Ἁγίας Τριάδος; ἀλλὰ γὰρ καὶ ὁ πάνσοφος Διονύσιος ὧδέ πού φησιν τό, πολλὰ τοῖς συμβεβηκόσιν, ἓν τῷ ὑποκειμένῳ· συμβεβηκότα δὲ οὐκ ἐν τῇ καθόλου οὐσίᾳ, ἀλλ' ἐν τῇ ὑποστάσει τεθεώρηται, ὡς οἶσθα. ὥστε, εἰπὼν τό, πολλὰ τοῖς συμβεβηκόσιν, ἓν τῷ ὑποκειμένῳ, τὸ ὑποκείμενον οὐσίαν μετὰ ὑποστάσεως εἴληφεν· καὶ οὐκ ἔξω τοῦ εἰκότος, ὡς οἶμαι, τῷ

31 τῇ om Sirm (λατρευ)τέον – 32 εἰκόνι in marg P 35 ἅπασαι, ἀλλὰ τιμητικαί: ἀλλὰ προσκυνηταὶ ἅπασαι VMN Sirm

492. a. 821 – 826? 1 Γραμματικῷ: ad nomen gentile cf. R. A. Kaster, Guardians of Language: The Grammarian and Society in Late Antiquity. Berkeley 1988, 453 sq.

9 Leont. Byz. adv. Nest. (?) 10 Bas. ep. 214,3 (PG 32,788 D sq. = II 205 Courtonne) 11 Dion. Ar. div. nom. 13,2 (PG 3,980 A)

C VMN PS

1 titulum om V, sed legitur in indice titulorum codicis (f. 190ʳ) δογματικὴ (om S) περὶ τοῦ τί ἐστι τὸ ὑποκείμενον titulo add PS: in marg Sirm, omissa vocula τί 5 ἠπόρησας M: ἠπόρησε VPS Sirm 6 αὐτῆς: αὐτοῦ VMN Sirm 7 σημείωσαι τί ἐστιν (ἐστι τὸ P) ὑποκείμενον in marg CP 9 ὑπερκαλλὴ C: ὑπερκαλῆ VMNP 10 οὐχ ἓν C: οὐκ ἐν cett Sirm (sed cf infra) 11 καὶ om VMN φησιν C: φησὶ cett Sirm: φησι Mi 15 εἴληφε VMNPS Sirm εἰκότως C τῷ: τὸ MS[pc]

κεῖσθαι ἐν τῷ λόγῳ. πῶς γὰρ ἂν τὸ μὴ ἓν τῷ ὑποκειμένῳ μὴ οὐχὶ τρισὶ καὶ ὀνόμασι καὶ πράγμασι θεολογηθήσεται, ὡς εἶναι τὸ ὑποκείμενον οὐδὲν ἄλλο ἢ οὐσίαν μετὰ ὑποστάσεως;

Εἴ δέ τι ὀπτικώτερον ἐξευρεθείη τῇ ἁγιωσύνῃ σου, μὴ παραιτήσηται διδάξαι τὸν δῶρον πρὸς αὐτῆς ἐγκωμιαζόμενον.

493. Ἡγουμένῳ

Μέγιστον δῶρον δέδωκεν ὁ θεὸς ἐν τῇ καθ' ἡμᾶς ἐπαρχίᾳ, τιμιώτατε ἀδελφέ, τὸν εὐκλεέστατον κουράτωρα καὶ κράτιστον ἐν εὐσεβείᾳ, ὅτι, Χριστοῦ ἔκδικος γεγονώς, εἷλκεν ὑπὸ χεῖρα τὸν ληστρικῶς πολιτευόμενον ἐν τοῖς χριστιανοῖς, καίπερ ὄντα τὸ πρότερον ἀνάθημα θεοῦ διὰ τῆς μοναδικῆς τελειώσεως, Ἀμμοῦν λέγω, τόν ποτε ἡμέτερον ἀδελφόν, νῦν δὲ ὑπὸ χεῖρά σου τελοῦντα διὰ μεσιτείας τοῦ ἀξιαγάστου ἀνδρὸς τῇ εὐδοκίᾳ αὐτοῦ Χριστοῦ, τοῦ χαίροντος ἐπὶ σωτηρίᾳ τοῦ ἀπολωλότος. ὡς θαυμαστὸν ἔργον τετέλεσται πρὸς τοῦ θεοφιλοῦς κουράτωρος / καὶ ἄξιον τῆς κατ' αὐτὸν ἀρετῆς, οὐ μὴν ἀλλὰ καὶ σοῦ, τοῦ πνευματικοῦ πατρὸς καὶ τὸν ἀπολωλότα ὡς Χριστὸς ἐπὶ τῶν ὤμων ἀναλαβόντος.

Εὐφράνθην οὖν ὁ ταπεινὸς ἐγὼ καὶ ἠγαλλιασάμην, ὅτι τὸ ἀπολωλὸς εὑρέθη καὶ τὸ ἀπωσμένον εἰσῳκίσθη. καὶ χάρις τῷ κράτει καὶ ἐλέει τῆς τοῦ θεοῦ δόξης, τοῦ κἀκεῖνον ἐλεήσαντος κἀμὲ τὸν ταπεινὸν ἐκ τῆς ἀθυμίας ἀνακομίσαντος· ἠθύμουν γὰρ ἀπὸ πολλῶν ἐτῶν ἐπὶ τῇ ἀπωλείᾳ τοῦ υἱοῦ μου. σὺ οὖν ἄρτι πατὴρ αὐτοῦ ἐλέει θεοῦ κεχρημάτικας τῇ ἐπικουρίᾳ τοῦ ἀγαθοῦ μεσίτου καὶ σὺ αὐτὸν προσάξειας θεῷ πρὸς τὸ ἑξῆς· ἰδοὺ γὰρ παραδίδωμι αὐτὸν εἰς χεῖράς σου ὡς ἀπὸ αὐτοψίας ὀφθαλμῶν, καὶ καλείσθω σου μαθητὴς καὶ μαθητεύσει σοι ἕως τέλους καὶ κληρονομήσεις τὸν μισθὸν αὐτοῦ εἰς τοὺς αἰῶνας. καὶ τήνδε τὴν ἐπιστολὴν ἐπαναγνώσεις αὐτῷ, ὡς ἂν ἔχοι τὸ

---

16 ἂν S[sscr] τὸ S[pc]: τῷ cett Sirm ἓν C: ἐν cett τῷ[2] om VMN 17 τρισὶ om N 19 ἐξευρεθείη: ἐξενεχθείη VMN Sirm ἐν ante τῇ inser Sirm 20 τὸν: τὸ VMN Sirm ἐγκωμιαζόμενον: ἐγκαλλωπιζόμενον VMN Sirm

---

493. a. 821 – 826 3 κουράτωρα: Nicetas; cf. ep. 437

13 Luc. 15,6

VM PS

2 δέδωκεν post θεὸς transp M ὑμᾶς S (fort recte) 5 τοπρότερον S 8 αὐτοῦ om M voces τοῦ θεοῦ post Χριστοῦ add M 9 τετέλεται Sirm 14 καὶ[1] om Sirm 17 οὖν: γοῦν S 19 προστοεξῆς S 21 κληρονομήσεὶς S 22 ἔχοι: ἔχῃ S

ἀσφαλές, καθὰ κἀκείνῳ αὐτῷ γέγραφα. καὶ πληρούσθω τὸ τοῦ ἀποστόλου, ἀλλήλων τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ· ὃς φυλάξειέ σε μετὰ πάσης τῆς θεολέκτου σου συνοδίας, προσευχόμενον καὶ περὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰ κρείττονα.

494. Βασιλείῳ ἡγουμένῳ

Τὰ ὑπὲρ τὴν ἀξίαν ἡμῶν πάντοτε ἡ ἀδελφική σου τιμιότης ἐπιστέλλειν εἴωθεν, τιμαῖς καὶ εὐφημίαις ἀποσεμνύνουσα τὴν οὐθενίαν ἡμῶν· ἡμεῖς δὲ τῶν οἰκείων μέτρων μὴ ἐξίστασθαι δεδιδάγμεθα, ἀλλ' ἡγεῖσθαι ἑαυτοὺς οὐθέν, ὅπερ ἐσμέν. καὶ τούτων μὲν ἅλις· ἡ δὲ βραδυτὴς τῶν τιμίων σου γραμμάτων οὐ δήπου λελύπηκεν ἡμᾶς. διατί γὰρ καὶ ἐφ' ᾧτινι τὸ ἀναγκάζον; λελύπηκεν δὲ (δεῖν γὰρ ἐκκαλύψαι τὰ παριστάμενα) ἡ ἐν τῇ ἐν ἄστει διατριβὴ καὶ ἡ πρὸς τὸν κρατοῦντα φάσις καὶ ἀντίφασις καὶ ἡ ὑπὸ κέλευσιν ἔξοδος, ἐπὶ τῶν αὐτῶν πάλιν ὄντων ἡμῶν πρακτικευμάτων τῆς ὑποχειρίου τῶν ἑτεροδόξων κατοχῆς, προσθείημεν δ' ἂν καὶ ἡ πρὸς τοῦ οἰκονόμου ἐπ' αὐτοῦ τοῦ κράτους ἀποστολή, συνεστίασίς τε καὶ συναπαγωγή.

Ταῦτα πάντα λελύπηκεν ἡμᾶς, ὦ τιμιώτατε, καὶ εἴργει ἡμᾶς, σύγγνωθι, ἡ πρὸς ὑμᾶς ἀπάρτι καὶ συνανάκρασις καὶ συναναστροφή, λῆψίς τε καὶ δόσις καὶ εἴ τι ἄλλο τῶν φιλικῶν καὶ ἐξ ἔθους· ἱνατί γάρ, φησίν, ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; καὶ ἐπειδὴ ἱκανῶς ᾠκονομήσαμεν ἐν τοῖς προλαβοῦσιν καί, ὡς θεὸς

23 γέγραφα: epistula perdita

24 Gal. 6,2

25 φυλάξει V

494. a. 824 – 826 3 οὐθενίαν: hoc humilitatis dicendi genere Jo. Chrysostomus ep. 2 (PG 52,568) tantum utitur; cf. Dinneen, Titles 80 8 τῇ: μονῇ? 9 κρατοῦντα: Michael II

15 1 Cor. 10,29

C VM PS

2 ἀδελφική: ἀδελφὴ Sirm σου post τιμιότης transp Sirm 3 εἴωθε VMPS Sirm οὐθένειαν VMPS Sirm 5 οὐθέν: μηδὲν M τούτων: τοῦτο C ἅλις S 6 βραδύτης Mi δή που Sirm 7 διὰ τί M Sirm λελύπηκε VMPS Sirm 8 τῇ ἐν C: τῷ cett Sirm 12 ἀπαγωγή M 13 πάντα in marg C 14 ἀπάρτη C: ἀπάτη cett Sirm 15 ἐξέθους P ἵνα τί C Sirm 17 προλαβοῦσι VMPS Sirm

μόνος οἶδεν, σὺν πολλῇ διαθέσει καὶ ἐλεημοσύνῃ, δεῖν ἄρτι καὶ οἰκοδομῆσαι καὶ μὴ ἀμφοτέρωθεν ζημιοῦσθαι μήτε τὸ ἀλλότριον προσλαμβανομένους καὶ τὸ οἰκεῖον ἀλόγως προέσθαι. εἰδόσιν ὁ λόγος· οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν ἡ ἀλήθεια ἀπεφήνατο. κύριοί ἐστε καὶ δεσπόται καὶ καθηγούμενοι τῶν ἰδίων μονῶν καὶ βουλευμάτων, ἡμεῖς δὲ ταπεινοὶ καὶ ἀλίτιμοι, ὧδέ που παραρρεριμμένοι διὰ τὸν διωγ/μόν. χαρίσασθε ἡμῖν τὴν ἐλευθερίαν ταύτην καὶ τὸ τοῖς οἰκείοις ἐπιστυγνάζειν ἁμαρτήμασιν. καὶ οἶδα μὲν ὅτι λυπηρὸν τὸ γράμμα τῇ τιμιότητί σου ὥσπερ καὶ ἡμῖν, ἀλλὰ τῆς τοῦ θεοῦ ἀγάπης οὐδὲν προτιμότερον, δι' ἣν καὶ ἡμεῖς σὺν τοῖς ἁγίοις πατράσιν ἡμῶν ἐπὶ τῇ ὕβρει Χριστοῦ ἠρνησάμεθα ἃ ἠρνησάμεθα καὶ προαιρούμεθα ἃ προϊσχόμεθα.

495. Τῷ αὐτῷ

Βραχύ τι παρεμυθήθη τὸ περὶ ὑμᾶς τοὺς τιμιωτάτους λυπηρὸν τῆς ψυχῆς ἡμῶν, εἴ γε ὡς γεγράφατε ἔχει καὶ ὑποχωρεῖτε τῆς ἡγουμενικῆς διακρατήσεως· οὐδεμία γὰρ κοινωνία, ὦ φιλότης, δεδιωγμένοις καὶ ἀδιώκτοις (καὶ οὐ μόνον ἀδιώκτοις, ἀλλὰ καὶ ὑποτελοῦσι τοῖς διώκταις, καθηγεμονιώντων ὧνπερ ἐξουσιάζουσι μοναστηρίων), εἰ μὴ ἄρα τις κοινωνία ὡμολόγηται φωτὶ πρὸς σκότος. ἀλλ' οὐκ ἐνδέχεται, ὡς ὁ ἱερὸς λόγος ἀπεφήνατο· τὸ γὰρ ἕως τοῦ παρόντος ἐπιδοῦναι ἑαυτοὺς ἐν τοῖς ἁλοῦσι δι' ὑποπτώσεως ἰατρικῆς κατὰ τόνδε τὸν τρόπον γέγονε, τῷ λαβεῖν ἡμᾶς ἐγγύας μήτε λόγῳ μήτε ἔργῳ καθ' οἱονδήποτε τρόπον ὑπαχθῆναι πάλιν τοῖς ἑτεροδόξοις· καὶ οἷον ἐν μεταιχμίῳ ἑστᾶσι κρατήσεως καὶ οὐ κρατήσεως τῶν μονῶν καί, τὸ ὅλον εἰπεῖν, ὡς νόμιμον γενέσθαι τὴν ὁμολογίαν διὰ τῆς τῶν ἐναν-

21 Matth. 6,24

20 προλαμβανομένους Sirm   22 ἰδίων: οἰκείων V   23 ἀλήτιμοι omnes: correxi   παρερριμμένοι VMPS Sirm   25 ἁμαρτήμασι VMPS Sirm   26 γράμμα: πρᾶγμα M   27 προτιμώτερον C

495. a. 824 – 826

7 2 Cor. 6,14

VM PS

7 ἄρα: ἀρά P   8 λόγος om M   10 τὸ omnes: correxi   ἔργῳ μήτε λόγῳ M   11 οἷον δήποτε S Sirm

τίων ὑφελκύσεως καὶ τῶν ἐνισταμένων ἀντιπράξεως. ἐπὰν δὲ καιρὸς ἧκε τοῦ ζητουμένου, καὶ τὸ ὁμολογηθὲν οὐκ ἐξηνύσθη ἐνώπιον θεοῦ καὶ ἀνθρώπων πρὸς ἀκριβεστέραν τῆς προτέρας ὑποπτώσεως ἐξίασιν, ἀλλὰ πάλιν ἀπαγωγὴ καὶ πάλιν ὑπόπτωσις ἔν τε λόγοις καὶ ἔργοις, ὡς αὐτὰ τὰ πράγματα μαρτυρεῖ κἀκ τῶν εἰδότων ἀκηκόαμεν, καὶ πάλιν καθηγεμόνες ἀπαρασάλευτοι διὰ τῆς ἄρτι ὑπὸ τοῦ κράτους ὑποδοχῆς καὶ ἀποστολῆς. ὁ λόγος δὲ ἐπὶ πάντων τῶν οὕτως πεπραχότων καὶ γελοῖόν ἐστιν ἄρτι τὸ ἐπιτιμᾶν, μᾶλλον δὲ φρενοβλάβεια τῶν ἐπιτιμώντων καὶ σκινδαλμὸς τῶν εὐσεβούντων, σύγχυσίς τε καὶ ἀβλεψία ἐπὶ τῇ Χριστοῦ ὁμολογίᾳ. δεῖν τοῦ ἀποστόλου ἀκοῦσαι, λέγοντος στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ, ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν, μᾶλλον δὲ αὐτοῦ τοῦ θεοῦ, διὰ τοῦ προφήτου βοῶντος· ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς, τοὺς οὕτως διαστελλομένους δηλονότι καὶ μὴ συγχέοντας τὴν Χριστοῦ ὁμολογίαν.

Τί γὰρ φήσουσιν, ὦ τιμιώτατε, ὅ τε τῶν Κωμῶν ἡγούμενος καὶ ὁ τοῦ Γουλαίου σὺν τοῖς ὁμοίως ἄρτι διωχθεῖσιν ἐν τῇ ἐνστάσει, εἴπερ ὁρῶσιν ὑμᾶς, τοὺς προδοσίᾳ τῆς ἀληθείας κατέχοντας τὰ μοναστήρια, καὶ ἡμᾶς ὑμῖν συναπαγομένους; τί δὲ οἱ ἐν τοῖς ὄρεσι τληπαθοῦντες κατὰ τὸ τοῦ διωγμοῦ στενοχωρητικόν; οὐ στενάξουσιν; οὐκ οἰμώξουσιν; οὐχ ἡγήσονται παιδιὰν / τὴν ὁμολογίαν τοῦ Χριστοῦ; τί δὲ οἱ ἡγουμενεύσαντες τῶν μοναστηρίων ἀπ' ἀρχῆς καὶ διὰ Χριστὸν δεδιωγμένοι σὺν ἡμῖν; οὐ κατασφραγίσονται, ὡς παιγνιῶδές τι πασχόντων ἡμῶν; μὴ πλανᾶσθε, φησὶν ὁ ἀπόστολος, θεὸς οὐ μυκτηρίζεται· ἡ ὁμολογία Χριστοῦ οὐ κεκοίνωται, κἂν τινες οἴωνται ἄλλως φρονεῖν καὶ λέγειν.

Ὥστε, εἰ βούλει, ἀδελφὲ ἠγαπημένε, μεθ' ἡμῶν τῶν ταπεινῶν τετάχθαι, ὑποχώρησον τῆς κατοχῆς τοῦ μοναστηρίου, καθὼς καὶ ὑπέσχου· τοῦτο γὰρ καὶ παρακαλοῦμεν, εἰς τοῦτο καὶ προσευχόμεθα, ἵνα, ὡς τὸ ἐντός, οὕτως καὶ τὸ ἐκτὸς ὀρθόδοξος ὑπάρχῃς, τὴν τιμίαν σου ψυχὴν σῴζων, ἧς οὐδὲν ἀντάξιον τῶν ὁρωμένων. ὁ κύριος ἀρχιεπίσκοπος σὺν ἡμῖν πλεῖστα προσαγορεύει σε, φιλῶν τὴν σωτηρίαν σου ἄγαν, ἐπεὶ καὶ οἱ λοιποὶ ἀδελφοί.

---

31 Γουλαίου: cf. p. 287* adn. 500 46 ἀρχιεπίσκοπος: Josephus

24 2 Thess. 3,6 26 Is. 52,11; cf. 2 Cor. 6,17 38 Gal. 6,7

14 ἐπ' ἂν VMP Sirm 17 ὑπόπτωσις: ἀπόπτωσις Mi 20 οὕτω M 24 στέλλετε Sirm ἡμᾶς M 26 αὐτοῦ: ὑπὸ Sirm 30 κωμῶν Mi 36 ἀπαρχῆς Sirm 39 κεκοινώνηται M 45 σῴζων ante ψυχὴν transp M ὁ post κύριος add M

496. Θεόδωρος ὑπὲρ Εὐστρατίου ἡγουμένου

Τὸ πρόβλημα τῆς δοκούσης σοι εὐδοξίας, ὦ τᾶν, ἵνα τἆλλά σου προηγούμενα καὶ ἑπόμενα λεξείδια ὡς ἀσύφιλά τε καὶ σεσολοικισμένα παρῶ, τοιοῦτόν ἐστιν ἐπὶ λέξεως· Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, δύο φύσεις, δύο θελήσεις, δύο ἐνεργείας, ἓν δὲ πρόσωπον ἔχων τῶν δύο φύσεων, τίνος εἰκονίσω πρόσωπον; ἐπειδὴ οὖν ἠρώτησας ποῖον πρόσωπον, ἄισον ἐμμελῶς· τὸ εἰδοποιηθέν, ἐπειδὴ ὁ ἀνείδεος χαρακτὴρ τῆς ὑποστάσεως τοῦ πατρὸς εἰδοποιήθη / τῷ καθ' ἡμᾶς· τὸ ἔγχρονον, ἐπειδὴ ὁ ἀίδιος παράτασιν εἴληφε χρονικήν· τὸ ἔχον ὀφθαλμούς, ὦτα, ῥῖνα, στόμα, παρειάς, ἐπειδὴ ὁ ἀσχημάτιστος ἐν σχήματι εὑρέθη ὡς ἄνθρωπος· τὸ φιληθέν, ἐπειδὴ ὁ ἀπερίληπτος περιληφθεὶς ἐφιλήθη ὑπὸ τοῦ προδότου· τὸ ῥαπισθέν, ἐπειδὴ ὁ ἀναφής, ἔπαφος γεγονώς, ἐρραπίσθη ὑπὸ τοῦ ὑπηρέτου· τὸ ἐν σταυρῷ ὀφθὲν ἐγκάρσιον, ἐπειδὴ ὁ ἀθάνατος, κλίνας τὴν κεφαλήν, παρέδωκε τὸ πνεῦμα. καὶ οὐ δυοῖν προσώπων τοῦτο ἐμφαντικὸν (ἄπαγε τῆς ἀσεβείας), ἀλλ' ἑνὸς προσώπου τοῦ ἐκ δύο καὶ ἐν δυσὶ φύσεσιν ὄντος ἀδιαιρέτως καὶ ἀσυγχύτως ἀποδεικτικόν. διό φησιν ὁ ἱερὸς ἀπόστολος· περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης. τοίνυν δέδειχέ σοι διὰ τοῦ εἰπεῖν κατὰ σάρκα περιγραπτὸν εἶναι, ἤτοι ἐξεικονισμένον, διὰ δὲ τοῦ φάναι κατὰ πνεῦμα ἁγιωσύνης ἀπερίγραπτον τὸν αὐτὸν ὑπάρχειν Ἰησοῦν Χριστόν· ἀφ' οὗ ἐξειληφότες πάντες οἱ θεοφόροι πατέρες βοῶσι τρανότατα περιγραπτὸν αὐτὸν καὶ ἀπερίγραπτον, ὁρατόν τε καὶ ἀόρατον, ἔγχρονόν τε καὶ ἀίδιον.

Εἰ δὲ οὐ χωρεῖς, Ἰουδαϊκὸν τὸ λῆμμα· πῶς δὲ καὶ δύο φύσεων τὸν Χριστὸν λέγων φῂς ἀπερίγραπτον μόνον; τοῦτο γὰρ μιᾶς φύσεως αὐτοῦ ἐστι σημαντικόν, τὸ δὲ τῶν δύο, τὸ περιγραπτὸν εἰπεῖν ἀκολούθως καὶ ἀπερίγραπτον. οὐκοῦν σεαυτῷ ἐναντιολογεῖς· εἰ γὰρ ἀπερίγραπτος μόνον δοκεῖ σοι, τοῦτο καὶ Μανιχαίῳ, ἀπαμφιεννύντι

496. 13 Matth. 26,67 14 Joh. 19,30 18 Rom. 1,3 sq.

VM PS

1 δογματικὴ περὶ τοῦ ἀπερίγραπτον εἶναι καὶ περιγραπτὸν τὸν χριστόν titulo add PS: in marg Sirm 2 τἄλλα S Sirm σου: σοι Sirm 3 ἀσύφυλα VM 4 Χριστὸς – 5 φύσεις om VM 7 ἄεισον PS[ac] Sirm: ἄκουσον S[pc] Mi 8 τῷ: τῷ M: τὸ S Mi 9 εἴληφε: ἔχει VM Sirm 10 ῥίνα S 15 δυεῖν P 21 an ἐξεικονιζόμενον scribendum? 25 οὐ χωρεῖς: cave corrigas οὐχ ὁρᾷς coll ep 225,105 δύο post φύσεων transp VM 26 φῂς P Sirm 27 ἔστι M 28 ἑαυτῷ Sirm 29 καὶ om PSM τῷ post Μανιχαίῳ inser Mi: ἀπαίῳ (sic) inser Sirm ἀπαμφιέννυντι M

τὸν λόγον τῆς ἀνθρωπότητος. ὁ γὰρ τῆσδε γυμνὸς ἀπερίγραπτος καὶ ἀνεξεικόνιστος· ταὐτὸν γὰρ ἀμφότερα. ἢ πῶς πάλιν μετέχεις τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ, αὐτοῦ ὄντος κατὰ σὲ ἀπεριγράπτου, ὧν δὲ μετέχεις περιγεγραμμένων; ἢ μὴ μέτεχε, ὦ βέλτιστε, ἢ μετέχων ὁμολόγει τοῦ περιγεγραμμένου Χριστοῦ μετέχειν τὸ περιγεγραμμένον σῶμα καὶ αἷμα, ἵνα μὴ παυλιανίζῃς, ὡς ψιλοῦ ἀνθρώπου μετέχων, ἀλλ᾽ οὐ θεοῦ σεσαρκωμένου.

Συνῆκται οὖν ἐξ ἀληθείας ἀραρότως ὡς ὁ περιγράφων τὸν Χριστὸν οὐκ ἀνθρωπολάτρης κατὰ Νεστόριον ἢ κτισματολάτρης κατὰ Ἄρειον, ὡς ἐφληνάφησας ἀμαθαίνων, ἀλλ᾽ ἀπρὶξ ὀρθόδοξος χριστιανὸς ἀληθέστατος, ὡς καὶ ὁ μὴ περιγράφων κατὰ σὲ μανιχαΐζων ὁμοῦ τε καὶ παυλιανίζων, τὸ μὲν τῇ τοῦ ἀπεριγράπτου φωνῇ γυμνὸν θεὸν εἰσάγων, φαντασιωδῶς ἐνανθρωπήσαντα, τὸ δὲ τῇ αὐτῇ φωνῇ τοῦ ἀπεριγράπτου ὡς ψιλοῦ ἀνθρώπου μετέχων σῶμα καὶ αἷμα κατὰ Παῦλον καὶ οὐ θεοῦ ἀληθῶς ἐνανθρωπήσαντος.

497. Θεοδώρῳ πατρικίῳ

Βραδὺ τοῦ καιροῦ τὸ γραμματεῖον, ἀλλ᾽ ὅτι καὶ βράδιον ἠκουτίσθημεν τὴν ἀπευκταίαν ἀκοὴν τῆς ἐπελθούσης συμφορᾶς τῷ ἡμετέρῳ δεσπότῃ. καὶ ὢ τῆς στενακτικῆς ἀπαγγελίας· ἀπολέλοιπεν ἡμᾶς ἡ ποθητὴ κυρία, ἐτμήθης τῆς καλῆς ὁμοζύγου, ἀπερράγης τῆς ἐπαινουμένης σαρκός, εἴπερ φησὶν ὁ ἱερὸς λόγος ἔσονται οἱ δύο εἰς σάρκα μίαν. εἰ δὲ μία σὰρξ ὁμολογουμένως, δῆλον ὅτι ὁ διαχωρισμὸς τηλικαύτην τὴν πληγὴν ἐνίησι τοῖς χωρισθεῖσιν, οἵαν ποιεῖ μάχαιρα τέμνουσα εἰς δύο τὸν ἕνα ἄνθρωπον. ἀλγεινὴ ἡ τομὴ τῷ ὄντι καὶ τὸ αἷμα οἱονεὶ ῥεῖ κατ᾽ ὀφθαλμοὺς ὑμῶν καὶ οὐκ ἔστιν μάλαγμα ἐπιθεῖναι οὐδὲ καταδέσμους, ὅσον ἐξ ἀνθρωπείας βοηθείας· ἄλλως ὅτι

---

40 καὶ om V

---

497. 6 Gen. 2,24; cf. Matth. 19,5

C VM PS L

1 Θεοδώρῳ: an Θεοδότῳ scribendum? (cf ep 479,1 cum app crit) τοῦ Στουδίτου Θεοδώρῳ πατρικίῳ L 2 βραδὺ: βραδὺς Mi γραμμάτιον VMSL βράδειον C 3 ἀκοὴν: ἀγγελίαν L 4 ὦ CS ἐπαγγελίας L ἡμᾶς: an ὑμᾶς scribendum? 6 ἤπερ VMPSL Sirm 7 εἰ-σάρξ om L ὅτι om L δηλονότι VMPS Sirm 8 ἐνίεισι C 9 τέμνουσα post δύο transp M τῳόντι S 10 οἱονεὶ ante τὸ αἷμα transp M ἔστι VMPS Sirm

καὶ ἡ ἀπολιποῦσα οὐχ ὡς ἔτυχεν τῶν ὁμοζύγων, ἀλλὰ καὶ λίαν ἐπαινετὴ καὶ θαυμασία, πρῶτον μὲν οὖν ἔχουσα τὸ εὐσεβὲς τῆς πίστεως ἀκλινές, τὸ φίλανδρον, εἴ καί τις ἄλλη, ὅπερ ἀπαιτεῖ πρὸ πάντων ἐν ταῖς συζυγίαις ὁ ἱερὸς ἀπόστολος· ἐξ οὗ καὶ ὑπὲρ τῆς κεφαλῆς δεήσεις τε καὶ προσευχαί, βοαί τε καὶ προσεδρίαι θεῷ, γυμνοποδούσης τῆς μακαρίας ἐν ταῖς νυκτοπορίαις, ὡς ἂν κἀντεῦθεν κάμπτοιτο πρὸς ἔλεον θεός. τί δὲ τὸ οἰκοῦρον; τί δὲ τὸ τεκνοτρεφές; τί δὲ τὸ πρὸς τοὺς δούλους περιποιητικόν, τό τε ἁπλοῦν τοῦ ἤθους καὶ χαρίεν πρὸς τοὺς φίλους καὶ συναπτικὸν τοῦ γένους, ἄφθονόν τε πρὸς τὰς ἰσοκλεεῖς καὶ τὸ περὶ πάντα σεμνοπρεπές τε καὶ κόσμιον; ἅπερ ὑπὲρ ἐμπλοκίων χρυσέων καὶ διακοσμήσεων μαργαριτῶν καὶ ἐσθήτων πολυτελῶν διεκόσμει ὄντως τὴν ἀοίδιμον ἐκείνην καὶ οἴκοι μένουσαν, καὶ προόδους ποιουμένην, καὶ ἐν βασιλείοις αὐλαῖς ὁρωμένην.

Ἀλλ' ὅμως οἴχεται ταῦτα πάντα καὶ ἐγενόμεθα, περιπαθῶς εἰπεῖν, ἡμιθνεῖς καὶ ἀπερρωγότες, μᾶλλον δέ, ψαλμικῶς εἰπεῖν, ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ, ὡς στρουθίον μονάζον ἐπὶ δώματι, ὁρῶντες τὴν οἰκίαν ἔρημον τῆς προστατούσης, τὰ τέκνα πρὸ ὀφθαλμῶν ὑμῶν / περικυκλοῦντα καὶ περικυκλούμενα, οὐκ ἔχοντα ποῦ ἀπερείσειεν τὰς χεῖρας, ὅθεν λάβοιεν μητρικὸν ποππυσμόν, γαλουχικὸν ἐμψύχωμα. στυγνὴ ἡ ἑστία οἱονεὶ ἡλίου αὐτὴν ἀπολιπόντος, κελαδεῖ δὲ οὐδεὶς ἔν τε τοῖς ὠσὶ σοῦ τε καὶ τῶν τέκνων καὶ πάντων τῶν ὑποχειρίων, ἀπούσης ἐκείνης τῆς ὄντως καλλιφώνου καὶ τερπούσης τοὺς ἐπαΐοντας τῇ ὡς ἀληθῶς ἐμμελεῖ διαλέξει τε καὶ ὑπαντήσει. ἐλεεινὰ ταῦτα πάντα ὄντως καὶ στενακτικά, καὶ τροπολογούμενα καὶ διανοούμενα.

Ἀλλὰ τί πάθωμεν, ὦ δέσποτα; θεοῦ πρόσταγμά ἐστιν, μᾶλλον δὲ ἀπόφασις, διὰ τοῦ θείου Δαυὶδ ᾀδομένη· οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον. οὕτω πᾶς τις ἀπὸ Ἀδὰμ τοῦ προ-

14 Tit. 2,4 27 Ps. 101,7 sq. 39 Ps. 88,49

12 ἔτυχε VMPSL Sirm 16 βοαί: βοήσεις VL Sirm 17 νυκτοπορίαις: πορείαις M 18 οἰκουρόν VMPSL Sirm (sed cf ep 80,3) 20 χάριεν VMPSL Sirm 22 ὕπερ M χρύσεων C καὶ om L διακοσμήτων L μαργαρίτων S: μαργαριτων P 23 ἐκείνην om M 27 ἡμιθανεῖς ML 30 που Sirm ἀπερείσειε VMPSL Sirm 31 ποπυσμόν C ἐμψύχωμα om L 32 στεγνὴ VMP Sirm 34 καλλοφώνου VMPSL Sirm 35 τῆς L ἐμμελοῦς L 36 πάντα om Sirm 37 νοούμενα L 38 ἐστι VMPSL Sirm 39 καὶ ante διὰ add V: ante οὐκ add L ᾀδομένη: ᾀδομεν Sirm: ἄδομεν Mi

πάτορος ἡμῶν μέχρι τοῦ δεῦρο, εἰσελθὼν εἰς τὸν κόσμον διὰ γεννήσεως, πάλιν ἔξεισι δι' ἀναλύσεως εἰς τὸν ἐκεῖσε κόσμον ὑψηλότερόν τε καὶ θεοειδέστερον· σπείρεται γάρ, φησίν, ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. ἰσάγγελοι γὰρ ἐσόμεθα καὶ υἱοὶ τῆς ἀναστάσεως, τοῦ θνητοῦ ὑπὸ τῆς ζωῆς καταποθέντος.

Ὁρᾷς, ὦ δέσποτα, ὅτι, εἰ καὶ ἀπολέλοιπεν ἡμᾶς ἡ κυρία, ἀλλ' εἰς φῶς ἐξελήλυθεν ἀπὸ σκότους καὶ ἀπὸ ζωῆς ἐπικήρου εἰς ἀθάνατον λῆξιν; ἐκεῖ αὐτὴν ὄψῃ μικρὸν ὕστερον μεταβαίνων καὶ αὐτός. ὥστε μὴ λυπώμεθα καθὼς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα, ἐλπίζοντες τῇ ἀναστάσει βελτιωθῆναι εἰς ἀπήμονα ζωήν, εἰς ἑαυτοὺς δὲ μᾶλλον, ὑπομνήσκω, γενώμεθα καὶ τῆς οἰκίας ἀντεχώμεθα καὶ τῶν παίδων φροντίσωμεν καί, πρό γε πάντων, τῆς οἰκείας τιμίας ψυχῆς, κατ' ἐκείνην τὴν μακαρίαν ἀρεταῖς κοσμούμενοι καὶ τούτῳ χαίροντες, ὅτι παρεπέμψαμεν ὁμόζυγον ἱκέτιδα πρὸς θεὸν καὶ ὑπόδειγμα καλοῦ βίου ἐπαφήσασαν ἡμῖν τε καὶ πᾶσι τοῖς γνωρίμοις.

498. Τῇ τουρμαρχίσσῃ τῆς Ἑλλάδος

Ὅσον ἀπὸ λόγου ἀσυνοψίσεως οὐκ ἐμέλλομεν ἐπιστέλλειν τῇ τιμιότητί σου, ἄγνωστοι ἀλλήλοις καὶ ἀσυνήθεις· ἀλλ' ἐπειδὴ ἐκ θεοφιλοῦς προσώπου καὶ ἐγνωσμένου ἡμῖν, λέγω δὴ τῆς ἀγχιστευούσης σοι πανευφήμου πατρικίας καὶ τῆς ταύτης κυρίας εὐλογημένης θυγατρός, ἡ προτροπή, εἶτα καὶ ἐξ αὐτοῦ τοῦ γραμματηφόρου Ἰγνατίου, τοῦ πνευματικοῦ ἡμῶν υἱοῦ, ἡ πρὸς ἡμᾶς σου τοὺς ταπει-

43 1 Cor. 15,42 sq. 51 1 Thess. 4,13

50 ὄψει VMPS Sirm 53 ὑπομιμνήσκω VMPSL Sirm ἀντεχόμεθα C 54 τιμίας: φωνῆς καὶ L 55 τούτῳ: τοῦτο CL 57 ὑμῖν C

498. 2 ἀσυνοψίσεως: fallitur Lampeius s. v. ἀσυνόψισις „error for* ἀσύνοψις" scribens 5 πατρικίας: Eirene? cf. p. 199* adn. 194

C VM PS L

1 τοῦ αὐτοῦ τῇ τουρμαρχίσσῃ τῆς ἑλλάδος ἧς ὁ υἱὸς ἀνηρέθη ἐν πολέμῳ L 3 ὄντες post ἀλλήλοις add M

νοὺς προσηγορία ἐγεγόνει, ἀναγκαίως ἤλθομεν ἐπὶ τὸ γράψαι λόγον παρακλήσεως τῇ τετρυχωμένῃ σου ψυχῇ ἐκ τοῦ συμπεσόντος αὐτῇ πάθους εἵνεκα τοῦ μακαρίου υἱοῦ τοῦ τεθνεῶτος ἐν τῷ πολέμῳ.

Ἀλλὰ ποῖον ἂν καὶ ἐξευρεθείη φάρμακον παραμυθίας εἰς ἴασιν τῆς δυσιάτου πληγῆς; ὢ τῆς καὶ ἐν ἀκοῇ μόνῃ ἐξηγορουμένης συμφορᾶς. ᾤχετο ἔντιμον σπέρμα, μητρῷος ὀφθαλμός, ἐγκάρδιον σπλάγχνον, κλάδος εὐφυής, ὅλον δι' ὅλου τῆς τεκούσης τὸ φῶς, / φέρον τοὺς πατρῴους ἐν ἑαυτῷ χαρακτῆρας καὶ τὴν ἐρημίαν τῆς χηρείας καθ' ὅσον οἷόν τε ὑποτεμνόμενον καὶ ὅλου τοῦ βίου ὂν παραμύθιον κατά τε τὴν ἰδίαν ἑστίαν καὶ τοὺς ἀφ' αἵματος. καὶ τί γέγονεν; ἀπέπτη τῶν μητρικῶν ὀφθαλμῶν, ἐξεκόπη τῆς ἀγαθῆς ῥίζης καὶ οὐδὲ κατ' ὀφθαλμοὺς ὁ θάνατος, ἐφ' ᾧ καὶ παρηγορίαν διὰ τῶν ἐξοδίων ῥημάτων καὶ τῆς ὁσίας ταφῆς ἐρανίζονται οἱ τοὺς οἰκείους προπέμποντες. νῦν δὲ μετὰ τῶν ἄλλων ἀφαιρήθημεν καὶ τῆσδε τῆς παρακλήσεως, τοῦ ἀγαθοῦ ἔρνους μαχαίρᾳ πολεμικῇ τμηθέντος. ὢ τῆς ἐλεεινῆς τραγῳδίας· ὢ τῆς ἀπαρακλήτου συμπτώσεως· ἀστατεῖ ἄρτι ὁ νοῦς, ἀναθεωρῶν τὸ πάθος ποῦ καὶ πῶς ὑπήρχθη, κατὰ ποῖον μέλος ἡ φονία χεὶρ ἐτάθη, κατὰ τίνα τόπον πεσὼν ἀπέπνει. ἆρα θᾶττον; ἆρα ἐκ μιᾶς πληγῆς; ἆρά τι ἐπειπών; φεῦ τῆς ἱστορίας· ἀβάλε τῆς ὥρας ἐκείνης· ἀπεστείλαμεν μετ' ἐλπίδος χρηστῆς τὸν θησαυρὸν καὶ ἐτρυγήσαμεν ἀπαραμύθητον ὀδυρμόν. καὶ τί ἄν τις εἴποι ἄξιον θρήνους, ἐλεεινολογῶν τὸ πάθος; τάχα σοι καὶ ὁ ἥλιος στυγνὸς καὶ ὁ ἀὴρ κατηφὴς καὶ ἡ θάλασσα οὐχ ἡδεῖα καὶ ἡ γῆ οὐκ ἐφετὴ καὶ ὁ οὐρανὸς ἐπαχθής, οὐκ ἔχων σου τὸν νοητὸν ἀστέρα.

Τοσαῦτα καὶ ἔτι πλείω τούτων τὰ κραδαίνοντά σου τὴν ψυχὴν καὶ συνέχοντα τὴν καρδίαν καὶ προχέοντα τὰ θερμὰ δάκρυα καὶ ἀναπέμποντα τὰς οἰμωγὰς καὶ ἐξαποροῦντα καὶ αὐτοῦ τοῦ ζῆν. ἀλλὰ δεῦρο, κυρία, δεῦρο, ἀναψύχησον (καιρὸς γὰρ ἀνακλήσεως), ἄνοιξόν σου τὰ ὦτα, ἐπακροωμένη τῶν θείων φωνῶν. ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. οὐκ ἔστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον. εἰ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανεν καὶ ἀνέστη, οὕτως καὶ ὁ θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. οὐ τοίνυν λοιπὸν ἀπολώλαμεν τὸν

---

12 Sir. 10,19   36 Ps. 102,15   37 Ps. 88,49   38 1 Thess. 4,14

---

10 πάθους – υἱοῦ τοῦ om Sirm   11 ἂν καὶ om L   καὶ om M   εἰς ἴασιν om L   12 ὦ CS^{ac} καὶ C^{sscr} 16 καθόσον CPS   17 τοὺς: τὴν L   ἀφαίματος CP   20 ὁσίας om L   21 ἀφῃρέθημεν VMPS Sirm   22 ὦ C   23 ὦ C   24 καταποῖον P   25 φονεῖα C: φονεία S   26 ἆρα^{2}: ἄρα V   τί Sirm   ἀβάλλε C   32 κερδαίνοντα L   35 κυρία, δεῦρο om L   γὰρ om L   ἀναβλήσεως L   39 ἀπέθανε VMPSL Sirm   οὕτω MSL

υἱόν, ἀλλὰ μικρὸν ὕστερον, ἡνίκα ἡ ἐσχάτη σάλπιγξ φωνήσει, ἀναστήσεται εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα κἀκεῖ αὐτὸν ὀψόμεθα. ἐπλήγη καιρίαν ἐνταῦθα πληγήν, ἀλλ' ἐκεῖσε ἀνίας αἰωνίου οὐ πειραθήσεται, Χριστὸν ἐνδεδυμένος διὰ τοῦ βαπτίσματος, τήν τε πίστιν ὀρθόδοξον ἐσχηκὼς καὶ οὔπω ἐμπλησθεὶς τῶν τῇδε ἡδέων, ὅσον ἄκρῳ τῷ δακτύλῳ ἀπογεύσασθαι διὰ τὴν νεότητα· οὗ χάριν πιστεύομεν καὶ τῶν ὡς ἀνθρώπῳ αὐτῷ παρεωραμένων καὶ πεπλημμελημένων διὰ τὸν τοιοῦτον ἄωρον καὶ ἄδικον θάνατον συγχώρησιν λήψεσθαι. πόσων γὰρ ἔμελλεν, ὦ κυρία, ἐπιμένων τῇ σαρκί, ἐμφορηθῆναι κακῶν; ἢ οὐ δοκεῖ σοι ὅτι ὁ τῇδε βίος πειρατήριον τῷ ἀνθρώπῳ καθέστηκεν, συζύγου λῆψις, τέκνων κτῆσις, δούλων καὶ ἄλλων τῶν κατὰ τὸν βίον χρησιμευόντων περιουσία, προσθείην δ' ἂν καὶ ἐπιγείου κλέους πρόοδος· ὧν ἁπάντων ἀπαλλαγεὶς πολλὴν ἕξει τῆς ψυχῆς τὴν ἐλευθερίαν, τῷ θεῷ προσοικειούμενος καὶ ὀλίγα ῥαντισθεὶς ἐκ τῆς ἁλμυρᾶς τοῦ βίου τρικυμίας τὴν ψυχήν.

Ἐντεῦθεν τοιγαροῦν, ἄνες, ἄφες, δέσποινα, τὸ ἀπαρηγόρητον λυπηρόν, πῆξον ὅρον τῷ πάθει διαρκῆ· θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, ἀνθομολογήσεως, / εἰπὲ μετὰ τοῦ μακαρίου Ἰώβ· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. φθέγξαι τὰ τοῦ Δαυίδ· ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου· ψυχὴ γάρ σου ἡ τοῦ υἱοῦ ἀποβίωσις. πρὸς δὲ τὴν χηρείαν ἀποβλέπουσα, ἀνάκραξον· Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. οὕτω γὰρ διατιθεμένη ἑαυτὴν πρῶτον μὲν θεὸν εὐφρανεῖς ὡς αὐθαιρέτως θυσίαν κατὰ Ἀβραὰμ τὸν υἱὸν προσφέρουσα, εἶτα καὶ αὐτῷ τῷ φιλτάτῳ τέκνῳ χαρίσῃ τὰ κράτιστα, ὁρῶντί σε εὐχαρίστως φέρουσαν, τοῖς τε ἄλλοις ἅπασιν ὑπόδειγμα ὑπομονῆς ἀγαθῆς καταστήσειας ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ὃν εὐχόμεθα, ἁψάμενόν σου τῆς καρδίας ἐν ἐλέει καὶ οἰκτιρμοῖς,

---

41 1 Cor. 15,52 43 Aesch. Agam. 1343 πέπληγμαι καιρίαν πληγὴν ἔσω 46 Diogen. cent. 1,29 (CPG II 5) 57 Ps. 49,14 58 Jb 1,21 60 Ps. 114,7 62 Ps. 117,6

---

41 φωνήσῃ C 51 καθέστηκε VMPSL Sirm καὶ S^{sscr} 54 προσοικούμενος Sirm 56 τοιγὰρ οὖν C 57 θύσον CMP 58 καὶ post αἰνέσεως add L 59 ἀφείλετο VMPS Sirm 60 τοῦ om Sirm 62 ἀναβλέπουσα Sirm καὶ om VMPS Sirm 64 εὐφρανοῖς P ἀβραὰμ VP τὸν υἱὸν om M 67 καταστήσῃ M

ἐμποιῆσαί σοι φῶς εὐπαρηγόρητον διατελέσαι τε τὴν ζωήν σου εἰρηνεύουσαν κἀνταῦθα ἀράμενον θεοτελῆ βίον καταξιῶσαι τῆς τε τοῦ υἱοῦ συνοψίσεως καὶ συναγαλλιάσεως αἰωνίου.

499. Νικήτᾳ μονάζοντι

Τὸ παρὰ τῆς ὁσιότητος ὑμῶν διὰ τοῦ θεοφιλεστάτου μητροπολίτου ἀποσταλὲν ἡμῖν βιβλίον ἀνέγνωμεν· καὶ οὐκ ἔστιν ὁ τοῦτο συγγραψάμενος ἐπὶ τῷ δόγματι τῶν σεπτῶν εἰκόνων ὀρθοφρονῶν. λέγει γὰρ τάδε· ‚τὴν ἄρρητον καὶ ἀπερίληπτον εἰς ἡμᾶς τοῦ θεοῦ φιλανθρωπίαν καὶ τοὺς ἱεροὺς τῶν ἁγίων ἀγῶνας ἐν γράμμασι μὲν ἡμεῖς ἱεροῖς ἀνευφημεῖσθαι διατυποῦμεν, οὐδεμιᾷ πλάσει τὸ ἐφ' ἡμῖν ἢ γραφῇ καθάπαξ ἡδόμενοι· συγχωροῦμεν δὲ τοῖς ἁπλουστέροις, ἀτελεστέροις αὐτοῖς ὑπάρχουσιν, ὑπὸ συμφυοῦς αὐτῶν ἐναγωγῆς καὶ ὄψει τῇ αὐτοῖς συμμέτρῳ τὰ τοιαῦτα ἐν εἰσαγωγῆς τρόπῳ μανθάνειν‘.

Τί οὖν ἔστιν ἐν τούτοις εἰπεῖν; πρῶτον μὲν ὅτι διαίρεσιν τῆς μιᾶς καὶ ἐντελοῦς καὶ μηδ' ὁτιοῦν πρόσθεσιν ἢ ὑφαίρεσιν προσιεμένης πίστεως ἡμῶν ἀπεργάζεται, ἑαυτῷ μὲν τὴν διὰ τῶν ἱερῶν γραμμάτων ἀπονέμων διατύπωσιν, τοῖς ἁπλουστέροις δὲ δῆθεν καὶ ἀτελεστέροις ὑπάρχουσι τὴν ἐν πλάσει καὶ γραφῇ ἱστορίαν ἀποίσας· ἔπειτα ἑαυτῷ μὲν ἀνάπτοι τὸ τέλειον τῆς χάριτος, τοῖς δὲ τὴν Ἰουδαϊκὴν ἀπορρίπτοι νηπιότητα, δεομένοις συμφυοῦς ἀναγωγῆς. οὐκοῦν κατ' αὐτὸν διαψεύδεται ὁ ἱερὸς ἀπόστολος, φάσκων· οὐκ ἔνι Ἰουδαῖος οὐδὲ

---

70 ἀραμένην VMPSL Sirm   καταξιώσαι VM   71 σου post υἱοῦ add VPSL Sirm   συνοψίσεως: ἀναπαύσεως L

---

499. a. 821 – 826   3 συγγραψάμενος: Hypatius Ephesius; cf. J. Gouillard, in: REB 19 (1961) 63 sq.   8 ἡδόμενοι: de voluptate animi ex arte profecta cogitat P. Speck, in: Ποικίλα βυζαντινά 4. Bonn 1984, 260 adn. 62

5 Hypatius, Zetem. 28 sq. (p. 127 Diekamp); cf. H. G. Thümmel in BSl 44 (1983) 167,31 sq.   18 Gal. 3,28

VM PS

1 δογματικὴ (om S) περὶ τοῦ ὅτι ὡς δεῖται πᾶς τέλειος (τελεῖος Sirm) κἂν ἐν ἀποστολικῷ ἀξιώματι κατείλεκται τῆς εὐαγγελικῆς δέλτου, οὕτω καὶ τῆς κατ' αὐτὴν γραφικῆς ἱστορίας titulo add PS: in marg Sirm   2 ἡμῶν Sirm   5 λόγου post θεοῦ add S (fort recte)   8 καθάπερ VM Sirm   11 ἔστιν M   12 μηδοτιοῦν S   13 διά: ἀπὸ VM   15 ὑπάρχουσιν M   ἀποίσας post ὑπάρχουσι transp M   αὐτῷ M: αὐτῷ VP Sirm   16 ἀνάπτει Mi   ἀπορρίπτει S Mi (an ἐπιρρίπτοι scribendum?)   17 δεομένης PS   ἀναγωγῆς: an ἐναγωγῆς? cf supra l. 9   οὐκ οὖν V   κατ': δι' VM

Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. εἰ δὲ ἀληθεύει, ὥσπερ οὖν ἠλήθευται, καὶ εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, τίς ἡ καινὴ αὕτη διαίρεσις εἰς δύο τμήματα ἄνισα; τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα ἀποκρίνεσθαι, καὶ τὸ μὲν εἶναι τῆς ἐντελεστέρας μοίρας, τὸ δὲ τῆς ὑφειμενεστέρας. ἔπειτα, ὅτι ἐπειδὴ πᾶς τις εὖ φρονῶν ἐφίεται τελειότητος, νεμεσητὸν ἡγήσεται τὸ ἀτελὲς κἀντεῦθεν ἐξ ἀναγκαίου παρέλκον ἐστὶ τὸ τῆς ἱστορίας δόγμα. ἐναντιοῦται δὲ ὅτι μάλιστα καὶ τῷ Μεγάλῳ Βασιλείῳ, μὴ ταὐτίζων τὰ ὑπ' ἐκείνου ἐπ' ἴσης δογματιζόμενα· ἃ γὰρ ὁ λόγος, φησί, τῆς ἱστορίας δι' ἀκοῆς παρίστησι, ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσιν.

Ἀντανίσταται ἄρα ὁ γεννάδας τοῖς ἱεροῖς λογίοις ὥσπερ καὶ τῷ κορυφαίῳ πατρὶ καί, οἰόμενος ἄλλον ἐπ' αὐτῷ δὴ τούτῳ τῷ δόγματι διορθοῦσθαι, αὐτὸς πεφώραται ὀφλισκάνων μάταια. καὶ διὰ τοῦτο ἡμεῖς μὲν πάντῃ διαγράφομεν τὰ τοιαῦτα βατταρίσματα, ὑπομιμνήσκομεν δὲ καὶ τὴν ὑμετέραν ἐμμέλειαν τῷ αὐτῷ στοιχεῖν κανόνι τῆς ὀρθοδοξίας, εἰδυῖαν ὅτι, ὡς δεῖται πᾶς τέλειος, κἂν ἐν ἀποστολικῷ ἀξιώματι κατείλεκται, τῆς εὐαγγελικῆς δέλτου, οὕτω καὶ τῆς κατ' αὐτὴν γραφικῆς ἱστορίας, ὅτι καὶ τῆς ἴσης τιμῆς τε καὶ προσκυνήσεως ἀμφότερα. /

500. Ἡσυχίῳ πρωτονοταρίῳ

Καλὴ μὲν ἡ ἐπιστολὴ τῆς παγκάλου σου τιμιότητος καὶ ὡς ἀπ' ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐξηγορευθεῖσα καὶ ὡς τῷ κάλλει τῆς

37 τιμῆς τε καὶ προσκυνήσεως: cf. Maimbourg, Iconoclastes I 326 sq.; Spanheim, Historia imaginum 511 sq.; Speck, ibid. 228

21 Eph. 4,5 22 Ex. 19,6; cf. 1 Petr. 2,9 28 Bas. hom. in quadr. mart. 2 (PG 31,509 A) 34 Gal. 6,16

21 κενὴ omnes: correxi 23 ἀποκρίνεσαι Sirm 24 τις om VM Sirm 26 ἐξαναγκαίου S 28 ἐπίσης omnes: distinxi 29 δείκνυσι M 32 διατοῦτο VPS 33 ἡμεῖς μὲν: μὲν V: ὑμῖν M 35 κἀν M 36 οὕτως VM

500. a. 821 – 826 1 πρωτονοταρίῳ: cf. H. C. Teitler, Notarii en exceptores. Utrecht 1983, 265

2 Matth. 12,35

C VM PS

1 δογματικὴ περὶ ἀφιερώσεως τέκνου καὶ περὶ τοῦ μὴ συγκοινωνεῖν αἱρετικοῖς κατά τι titulo add PS: in marg Sirm 2 παγκάλλου CS[pc] ἀπὸ S 3 ἐξαγορευθεῖσα VMPS Sirm

ἀγάπης ἐναγλαϊσθεῖσα, οὐ μὴν ὡς ἀπεσέμνυνεν ἡμᾶς τοὺς ἀμούσους λόγοις ἐγκωμίοις ἔχει. πότε γὰρ ἐγενόμην, ὡς φῇ, λύχνος καιόμενος καὶ φαίνων, ἐν ᾧ ὁ δεσπότης μου ἠγαλλιάσω φωτιζόμενος, ἢ πηγὴ νάουσα διειδέστατα, ἀφ' ἧς ἠρύσατο ἡ φιλότης σου λόγον σωτήριον, καὶ οὐχὶ τοὐναντίον μᾶλλον ἐσκότασεν ὑπὲρ ἀσβόλην, προφητικῶς εἰπεῖν, τὸ εἶδος ἡμῶν τῇ τοῦ βίου ἀχρηστότητι καὶ ὁ λόγος ἠσθένησεν, οὐκ ἔχων τὴν ἐξ ἔργου δύναμιν εἰς ἐνίδρυσιν τοῦ ἀκούοντος; καὶ ταῦτα λέγω οὐ τὴν ἐν τῇ Σμύρνῃ φυλακὴν κακίζων (μή τι γένοιτο· ἡ μὲν γὰρ σεβαστή, σεβαστῆς ὁμολογίας μοι φρουρός), ἐμαυτὸν δὲ αἰτιώμενος ὡς οὐκ ἀξίως ἐν αὐτῇ πολιτευσάμενος.

Ἀλλ' ἀφεὶς ταῦτα, ὡς τῆς ἀγάπης ὄντα συμβόλαια, ἐπὶ τὸ κατεπεῖγον τὸν λόγον μεθαρμόσομαι. ἐσήμανεν ἡμῖν ἡ χρηστότης σου ὡς δύο ἔχειν, συντόμως εἰπεῖν, θεοδωρήτους θυγατέρας, καὶ τὴν μὲν πρώτην πρὸ γεννήσεως καθυποσχέσθαι δι' ἀφιερώσεως τοῦ μοναδικοῦ βίου θεῷ, τὴν δὲ δευτέραν ἐν μεταιχμίῳ φέρεσθαι· νῦν δὲ μεταβεβουλεῦσθαι ἐναλλὰξ ποιήσασθαι κατά τινα ἀναγκαίαν περιπέτειαν, ὥστε τὴν ὑποσχεθεῖσαν ἀπονεῖμαι τῷ κόσμῳ, ἤγουν ἀποδόσθαι ἀνδρὶ καλῷ τε τὰ πάντα καὶ τῇ παιδὶ συνηλικιώτῃ, τὴν δὲ ἐν μεταιχμίῳ, κομιδῇ νέαν οὖσαν καὶ οὐ συντρέχουσαν τῇ ἡλικίᾳ, ἀναθεῖναι θεῷ, κἂν τούτῳ σκάζειν καὶ δυσχεραίνειν μήπως ἐναντιοθελὲς εἴη τῷ θεῷ. ἔδει μὲν οὖν, ὦ δέσποτα τιμιώτατε, ἄλλοις πυνθάνεσθαι περὶ τοῦδε τοῦ δράματος καὶ παρ' αὐτῶν ὡς προφερεστέρων κατὰ γνῶσιν τῆς ἡμῶν οὐθενότητος λαμβάνειν τὴν λύσιν καὶ μὴ τοσούτῳ μήκει διῳκισμένους ἡμᾶς τῇ θέσει τοῦ τόπου ἐπαναλαμβάνειν εἰς ἀπόκρισιν· ὅμως, ἐπειδὴ κέκρικας οἷς πεπίστευκας τρόποις, τοῦτο δὴ μετὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου καὶ ἀδελφοῦ ἡμῶν συνέσκεπται ὡς παρὰ τὸ δέον τὸ πρᾶγμα καὶ παρὰ τὴν ὀρθὴν κρίσιν καὶ παρὰ τὰ ἐξ αἰῶνος παραδείγματα. πάλαι Ἄννα ἡ ἀοίδιμος, τὸν Σαμουὴλ πρὸ γεννήσεως ὑποσχομένη, οὐχ ὑπήλλαξεν τὸν ὑποσχεθέντα, καίτοι ἔχουσα καὶ ἑτέρους παῖδας, ἀλλὰ τοῦτον προσήγαγεν τῷ θεῷ· Νόννα ἡ μακαρία, ὡσαύτως ὑποσχομένη Γρηγόριον τὸν Θεολόγον, ἀπέδωκεν θεῷ τὴν εὐχὴν αὐτῆς· καὶ μὴν ὁ Ἅγιος Εὐθύμιος δοτὸς τῷ θεῷ

---

5 Joh. 5,35 8 Thr. 4,8 31 1 Reg. 1,11 33 Greg. Presb. vit. Greg. Nazianz. (PG 35,248 B) 35 cf. Cyr. Scyth. vit. Euth. 2 (p. 9,12 sq. Schwartz)

---

5 λόγοις ἐγκωμίοις: λόγοις ἐγκωμίων VS[pc]: λόγους ἐγκωμίων Sirm (fort exc ante ἔχει adverbium καλῶς) φῆς V: φῇς Sirm 7 διειδέστατον M[pc] ἠρρύσατο VMPS Sirm 10 ἔργων V 13 αὐτῇ: αὐτῷ VM πολιτευσάμενον V Sirm 16 ἔχεις V θυγατέρας om VM 23 καν C: κἂν Sirm 24 ἄλλους V Sirm 29 ἐπισκόπου VM 30 τὸ δέον iteravit Sirm κρίσιν: πίστιν VM Sirm 32 ὑπήλλαξε VMPS Sirm 33 προσήγαγε VMPS Sirm 34 ὡς αὔτως C ἀπέδωκε VMPS Sirm 35 τῷ ante θεῷ add VM Sirm

παρὰ τοῖς γονεῦσι πρὸ γεννήσεως καὶ οὐ διήλλακται μετὰ τὴν γέννησιν. οἳ καὶ χρῆμά τι θαυμαστὸν τῷ κόσμῳ ὤφθησαν, ἐξ ὧν καὶ οἱ τοκεῖς μεμακάρηνται. πῶς δ' ἂν οὖν ἡμεῖς, ὦ συνετώτατε, παρὰ ταῦτα ποιοῦντες, ἔξω ἐγκλήματος πέσοιμεν καὶ οὐχὶ μᾶλλον καθάψοιτο ἡμῶν ὁ μακάριος Πέτρος, ὧδέ που λέγων, / οὐχὶ μένον σοι ἔμενεν καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχεν; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; καὶ τὸ ἑξῆς δύσφημον πάρειμι λέγειν, εἰδότι διαλεγόμενος. καὶ γάρ, ἐπὰν ὁτιοῦν ἀποταχθείη θεῷ δι' εὐχῆς αἰσίας, εἰς κοινὴν χρῆσιν μεταφέρειν οὐκ ἀκίνδυνον. κοινὴ δὲ χρῆσίς ἐστιν ἡ τοῦ βίου ἐπιγαμία. καὶ ὥσπερ ὁ ὑποσχόμενος μονάσαι καὶ ἐπὶ τούτῳ κείμενος ὑποστήσας καὶ γήμας κατακέκριται, οὕτω καὶ ὁ προελόμενος υἱὸν ἢ θυγατέρα προσοῖσαι θεῷ, εἶτα μεταλλάξας, τὴν αὐτὴν κατάκρισιν ἔχοι. οὕτω νοοῦμεν, σύγγνωθι, καίπερ ἐφιέμενοι τὸ ἀναπαυστικόν σου καὶ τὸ περὶ σεαυτὸν εὐχθὲν εἰς ἔργον ἀποβῆναι· ἀλλ' οὐ δι' ἐντολὴν ἐντολὴ παραβαίνοιτο οὐδὲ διὰ τὸ θατέρου σωτηριῶδες τὸ θατέρου ἐπιζήμιον πραγματεύοιτο, ὡς οἱ θεοφόροι πατέρες ἀπεφήναντο.

Ἡ δὲ τρίτη ἐπιβολὴ τοῦ λόγου, ὅτι εἰσί τινες, φησί, μοναχοί, ὡς τὸ δοκεῖν τῆς ὀρθῆς πίστεως ἀντεχόμενοι καὶ πολλοὺς διωγμοὺς ὑπὲρ ἀληθείας ὑπομεμενηκότες, συναναστρεφόμενοι δὲ ὅμως καὶ συνεσθίοντες τοῖς αἱρετικοῖς καὶ συγκαταβάταις καὶ ἀδιάφορον τὸ πρᾶγμα οἰόμενοι, ὡς παρά τινι πατρὶ νενομοθετημένοι τρία ταῦτα φυλάξασθαι, μὴ εὐλογεῖσθαι ὑπὸ τῶν αἱρετιζόντων, μὴ συμψάλλειν αὐτοῖς προαρχομένοις καὶ τὸ ἀπέχεσθαι τῆς κοινωνίας τοῦ ἄρτου αὐτῶν. παρὰ τὰ διατεταγμένα τοῖς ἁγίοις πατράσιν τὸ λεγόμενον· οὔτε γὰρ συναναστρέφεσθαι οὔτε συνεσθίειν οὔτε συμψάλλειν οὐθ' ὅλως ἔχειν τινὰ κοινωνίαν πρὸς αὐτοὺς καταδέχονται, ἀλλὰ καὶ τὸ οὐαὶ ἐπιφθέγγονται τοῖς μέχρι βρώματος καὶ πόματος καὶ σχέσεως κοινωνοῦσιν αὐτοῖς. ὥστε ἐκκήρυκτος καὶ ἀλλοτριοδιδάσκαλος ὁ ἐκεῖνα λέγων, ὅστις ἂν εἴη ἐν ἀνθρώποις.

---

40 Act. 5,4

---

38 μεμακάρινσται VM θαυμαστότατε VM Sirm 40 Πέτρος: παῦλος VM μένων C ἔμενε VMPS Sirm 41 ὑπῆρχε VMPS Sirm 42 παρίημι VM Sirm (fort recte) 43 ἐπὰν VMP ὅτι οὖν C 44 σημείωσαι in marg CPS 47 προελόμενος: προαιρούμενος VM 48 ἔχει M 49 ἀναπαυτικόν V ἀπὸ βῆναι C 50 τὸ: τοῦ C 51 πραγματεύοιτο: θεραπεύοιτο VM Sirm 53 φησί om VM Sirm 56 συγκαταβαίνοντες VMPS Sirm (sed cf ep 466,14) 59 προσερχομένοις V 60 πατρᾶσιν C: πατράσι cett Sirm 62 πρὸς αὐτοὺς om VM αὐτοὺ (sic) Sirm

501. Τῇ ἀδελφότητι τῆς Πελεκητῆς

Λυπηρὸν μὲν τὸ συμβεβηκὸς τῇ τιμιότητι ὑμῶν, ἀδελφοὶ καὶ πατέρες (πῶς γὰρ οὔ;), ὅτι τὸν ποιμένα ὑμῶν ἀποβεβλήκατε καὶ ἐγένεσθε ὡς ποίμνιον ἠπορημένον, καὶ ταῦτα ἐν ἡμέραις τοιαύταις, ἐφ' αἷς λύκοι βαρεῖς ἐπὶ τὰ ποίμνια τοῦ Χριστοῦ ἐπερχόμενοι καὶ συλαγωγεῖν ψυχὰς σοφιζόμενοι. ἀλλ' ὅμως, ἐπειδὴ παρὰ θεοῦ τὸ συμβὰν καὶ παρ' αὐτοῦ προσελήφθη ὁ ποιμὴν ὑμῶν, καθ' ὃν καιρὸν ᾔδει τὸ συμφέρον ἀμφοτέρων ὁ τὰ πάντα ἐν τῇ αὐτοῦ σοφίᾳ διοικῶν Κύριος, εὐχαριστητέον καὶ οὐκ ἀγανακτητέον· αὐτὸς γὰρ ἔδωκεν, αὐτὸς καὶ προσελάβετο καί, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. τί οὖν τὸ ἐπιζητούμενον; ἵνα εἰς ἑαυτοὺς ἄρτι γένησθε καί, καθὼς ᾑρετίσασθε ἑλέσθαι ποιμένα τὸν κύριον Σέργιον τὸν εὐλαβέστατον ἀδελφὸν ἡμῶν, εἴπερ μή ἐστί τι πρὸς τὸν κύριον Μακάριον τὸν πνευματικὸν ἡμῶν πατέρα ἐνδοιάζον, ἐπιμείνητε εὐθυνόμενοι καὶ ἀρχόμενοι ὑπ' αὐτοῦ, οὗ ἐξελέξασθε πνευματικοῦ πατρός, εἰς ἐπισύστασιν ὑμῶν θεόσωστον καὶ εἰς ἀποπεραίωσιν βίου θεοκλινοῦς, ὡς ἂν τὴν ζάλην τῶν αἱρετικῶν πνευμάτων διαφύγοιτε καὶ εἰς λιμένα σωτηρίας ἐμβιβάζοισθε εἰς τὸ μὴ βλασφημηθῆναι δι' ὑμᾶς τὸ ὄνομα τοῦ θεοῦ, μᾶλλον δὲ δοξασθῆναι κατὰ τὴν προκρατήσασαν εὐαγῆ διαγωγὴν τῆς ζωῆς ὑμῶν.

Σὺ δέ, ἀδελφὲ ἀγαπητέ, οὐκ ἔξω τοῦ εἰκότος πέπραχας, ἐπὰν οὕτως ἐγένετο, κατεληλυθὼς ἐκ τῆς ὀπῆς τῆς πέτρας καὶ ἡγησάμενος τῶν ἀδελφῶν· καὶ γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, συγκαταβάσει χρησάμενος, τὸ τῆς οἰκονομίας ἐξετέλεσε μυστήριον ἐπὶ σωτηρίᾳ τοῦ παντός. στῆθι οὖν, καθὸ κέκρικας καὶ κέκριται ὑπὸ τῶν ἀδελφῶν, ἕως ἡμέρας ἀναδείξεως τοῦ ἱεροῦ ἡμῶν ἀρχιερέως, καὶ τότε γενήσεται ὃ δεῖ γενέσθαι νομιμώτερόν τε καὶ κανονικώτερον· ἕως δ' ἂν μὴ παρῇ ὁ καιρὸς ὁ ἐπιζη/ τούμενος, ἡγοῦ τῶν ἀδελφῶν καὶ κατευ-

---

501. a. 823

5 Act. 20,29   9 Jb 1,21

VM PS

1 τῆς om Sirm   Πελεκήτης Sirm   3 voces πατέρα ὑμῶν καὶ ante ποιμένα add M   ὑμῶν om M   8 αὐτοῦ Sirm   αὐτοῦ post σοφίᾳ transp M   10 οὕτω M   ἐστι post οὖν add V Sirm   13 ἔστι codd: corr Sirm   14 an ὑμῶν scribendum?   ἡμῶν post πατέρα transp M   ἐπιμείνοιτε M   ἰθυνόμενοι M   15 πνευματικοῦ πατρός om M   16 ζαλὴν Sirm   18 voces δι' ὑμᾶς post θεοῦ transp M   21 ἐπ' ἂν VMP Sirm   23 ὁ om Mi   27 δὲ Mi   28 ὁ om Mi (bis)

οδοῦ ἐν Κυρίῳ, ὡς λόγον ἀποδώσων ὑπὲρ τῶν ψυχῶν αὐτῶν, ἀλλὰ καὶ ὡς τὸν ὑπὲρ αὐτῶν μισθὸν κομιούμενος· καθ' ὅσον γὰρ μέγας ὁ ζυγὸς τῆς προστασίας, κατὰ τοσοῦτον καὶ πολύμισθος. μόνον ἔχε ὀφθαλμοὺς τοῦ ὁρᾶν καὶ ὦτα τοῦ ἀκούειν, καρδίαν ἄγρυπνον καὶ θεοζήτητον, ἕξιν ποιμαντικήν, λόγον διδασκαλικόν, εὔρυθμον ἦθος, εὔσημον στάσιν καὶ βάσιν, ὅλος δι' ὅλου ὑπὸ τοῦ λόγου συντηρούμενος καὶ διευθυνόμενος. καὶ μακάριος εἶ, ἀποστολικὸν ἔργον διατελῶν· καὶ γὰρ ὁ Κύριος ἀπόδειξιν τῆς εἰς αὐτὸν φιλίας προύχουσαν ὑπέδειξε τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ τὴν ποιμαντικὴν ῥάβδον· εἰ φιλεῖς με γάρ, φησί, πλέον τούτων, Πέτρε, ποίμαινε τὰ πρόβατά μου.

Ποίμαινε οὖν τὰ πρόβατα Κυρίου, ἀσφαλιζόμενος αὐτὰ ἐν τῇ μάνδρᾳ τῆς ὀρθοδοξίας καὶ ἐκτρέφων αὐτὰ εἰς χλόην τῶν ἐντολῶν αὐτοῦ καὶ κατασκηνῶν ἐπὶ ὕδατος ἀναπαύσεως τοῦ θελήματος αὐτοῦ. βλέπε μή που ὑφαρπαγῇς ἢ αὐτὸς ἢ τῶν σαυτοῦ τι προβάτων ὑπὸ τῶν αἱρετικῶν θηρῶν. ἀρκεῖ τὰ προλαβόντα ἐν τοῖς προλαβοῦσι· νῦν δὲ ἀσφαλῶς περιπατήσωμεν καὶ ἀνεμπτώτως, πάντα δεύτερα ἡγούμενοι καιροῦ καλοῦντος, καὶ αὐτὰ τὰ σώματα, μὴ ὅτι γε ἄλλο τι τῶν φθειρομένων ὑπὲρ τῆς ἀγάπης τοῦ θεοῦ, οὗ ἡ εἰρήνη βραβεύσοι τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν καὶ κατευθύναι τὴν ὁδὸν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

---

36 καὶ γὰρ – 38 τὰ πρόβατά μου: primum edidit Allatius, De consensione 302

31 Ez. 12,2 34 στάσιν καὶ βάσιν: cf. adn. ad ep. 530,50 38 Joh. 21,16 41 Jer. 28,13

30 καθόσον P ὁ om Mi 34 ὅλος: ὁ λόγος Sirm 47 θεοῦ: χριστοῦ M ἡ eras M βραβεύσει VMPS^{ac} Sirm 49 Ἰησοῦ om M

502. Γρηγορίῳ ὑπάτῳ

Ἐζημίου ἡμᾶς μέχρι τοῦ δεῦρο ἡ τιμιότης σου μὴ ἐπιστείλασα, καίπερ ἐπιστέλλουσα καλῶς, ὡς αὐτὰ τὰ γράμματα δηλοῖ, ἐφ’ οἷς καὶ ἐπαινέσαμεν αὐτῆς οὐ μόνον τὸ εὐμαθές, ἀλλὰ καὶ τὸ ἔτι φιλομαθές, γλιχομένης παιδείας ὑψηλοτέρας μετασχεῖν· ἧς τὸ πτυκτίον, καθὼς ἐπεζήτησεν, ἔχομεν μέν, οὐ μὴν δὲ ἐνταῦθα. ἐὰν δὲ συμβαίη ἀφικέσθαι ἐν τοῖς αὐτόθι τὸν παροικονόμον ἡμῶν, λαβὼν ἐξ οὗπερ τεταμίευται τόπου ἐπιδώσειεν αὐτό.

Καλὴ δὲ ἡ παιδεία, ὦ δέσποτα, ἕως ἂν συνεργὸς εἴη πρὸς τὴν ὄντως ἀληθινὴν παιδείαν, ἀλλὰ μὴ κορυβαντιῶσα ἀπαιδεύτους διαδεικνύοι τοὺς μετόχους αὐτῆς. τοῦ δὲ ἀποστολικοῦ ῥητοῦ ἡ ἔννοια, ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, οὕτως μοι δοκεῖ ἔχειν, τουτέστιν ὅτι ἐν τῇ προσληφθείσῃ ἐκ παρθένου σαρκὶ τοῦ λόγου, ἤτοι ἐν τῷ ναῷ, ᾧ ᾠκοδόμησεν ἑαυτῷ, κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος· πᾶν τὸ πλήρωμα, φησίν, οὐ μέρος τι, καθὰ πεφρόνηται τοῖς τὴν ἀμερῆ μερίζουσι θεότητα. τὸ δὲ σωματικῶς ἤγουν οὐσιωδῶς· οὕτω γὰρ ἐξείληπται / τοῖς πατράσιν κατὰ ἀντίθεσιν τῶν σχετικῶς φληναφούντων. τοιοῦτόν ἐστι καὶ τό, ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· ἵνα γὰρ μὴ δόξειέν τις εἰς σάρκα τετράφθαι τὸν λόγον, ἐπήγαγεν, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. δῆλον δὲ ὅτι ἄλλο τὸ σκηνοῦν καὶ ἄλλο τὸ σκήνωμα, ἐν ᾧ ἡ σκήνωσις τοῦ σκηνοῦντος, ὥσθ’ ἅμα μὲν εἶναι τὰ δύο, θεότητα καὶ ἀνθρωπότητα, ἐν τῷ ἑνὶ προσώπῳ Χριστοῦ. εἰ δέ σοι δοκεῖ ἄλλως ἔχειν, τῆς ὀπτικωτέρας καὶ ἀληθεστέρας θεωρίας μὴ ἀποστερήσειας ἡμᾶς τοὺς ὀλιγομαθεῖς, προσθείην δ’ ἂν καὶ ἀτημελεῖς, κἂν ἄλλως αὐτὸς ἐξεθείασας τοῖς φιλικοῖς ἐπαίνοις.

---

502. a. 821 – 826 18 ὁ λόγος etc.: cf. Marx, Der Bilderstreit 83

12 Col. 2,9 16 Didym. Trin. 1,27 (PG 39,401 B) σωματικῶς· τοῦτ’ ἔστιν, οὐσιωδῶς
18 Joh. 1,14

C VM PS

1 δογματικὴ (om S) περὶ τοῦ: ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς (Col 2,9) titulo add PS: in marg Sirm 2 voces μέχρι τοῦ δεῦρο post σου transp S^{ac} 3 αὐτὰ in marg C 4 ἐπῃνέσαμεν VMS^{pc} Sirm 5 πυκτίον VMPS Sirm (sed cf ep 518,11; Evagr h. e. 3,39 p. 138,14 [Bidez-Parmentier]; R. Riedinger, Pseudo-Kaisarios. München 1969, 337 et adn 11; L. Ianson, De Graeci sermonis nominum deminutione et amplificatione flexorum forma atque usu. Leipzig 1869, 17; forma πτυκτ- in app cr exhibetur apud Greg Naz ep 234,1 [II 125 Gallay]) 6 ἐπεζήτησας VM δὲ^{1}: δ’ Sirm συμβῇ S 8 αὐτῇ V 9 σημείωσαι in marg PS 10 Κορυβαντιῶσα Sirm διαδεικνύει $CS^{pc}VM$: διαδεικνύῃ Sirm: δεικνύει S^{ac} 12 τὸ om VM 17 πατράσι VMPS Sirm 18 τό in marg C 19 δόξειέ VMPS Sirm ὡραῖον in marg CPS 20 ἐπήγαγε VMPS Sirm 22 ὥσθ’ ἅμα: ὡς θαῦμα VM 25 κἀν M

503. Κατηχητικὴ πρὸς τοὺς ἑαυτοῦ μαθητάς

Τῆς ἱερᾶς Τεσσαρακοστῆς ἤδη ἐπιούσης εὔκαιρον ἡγησάμην βραχέα φθέγξασθαι πρὸς ὑμᾶς, ὦ τέκνα ἠγαπημένα καὶ ἀδελφοὶ τιμιώτατοι, καίτοι γε ὑπὸ τοῦ ἀποστόλου παρακαλεῖν, ἐλέγχειν, ἐπιτιμᾶν εὐκαίρως ἀκαίρως προτρεπόμενος. νῦν δὲ ὁ τῆς νηστείας καιρὸς αὐτοδίδακτον ἔχει τὴν παράκλησιν, κατανύσσειν εἰδὼς καὶ τὸν ἀτεράμονα. ὑποδέξασθε οὖν, ἀδελφοί, ἄσμενοι τὰς ἱλαρίους ἡμέρας, ἕκαστος ἐν τῷ καταλύματι ᾧ ξενίζεται τὰ εἰωθότα κατὰ δύναμιν ἐπιτελῶν, ὡς ἂν διὰ τῆς ἡσυχίας καὶ μετριοτροφίας καθάρωμεν καρδίαν, πτερώσωμεν ψυχήν, πτερνίσωμεν πάθη· τοῦτο γὰρ ἡ νηστεία, τοῦτο ἡ ἡσυχία, τοῦτο ἡ ἐντολὴ ἐπιζητοῦσα, τοῦτο τὸ τῆς σωτηρίας ἡμῶν κεφάλαιον· ἐξ οὗ καὶ τὸ μετέχειν τῶν ἁγιασμάτων εἴη ἂν ἡμῖν εὐπρόσιτον, μᾶλλον δὲ ζωῆς αἰωνίου ἐφόδιον. ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, ἤγουν μὴ καθαρῶς ὅσον ἐνδέχεται τῇ ταπεινῇ ἡμῶν φύσει, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει κατὰ τὴν ἀποστολικὴν ἀπόφασιν, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου.

Διὰ τοῦτο ἀγωνιστέον, ἀδελφοί μου, καὶ ἀπὸ ἐπιθυμίας ἐκτόπου καὶ ἀπὸ φθόνου κατεσθίοντος ψυχὴν καὶ ἀπὸ φιλαργυρίας βυθιζούσης νοῦν καὶ ἀπὸ ἀκηδίας σκοτιζούσης ὀφθαλμὸν ψυχῆς καθαροὺς ἑαυτοὺς διατηρεῖν, προσδεχομένους ἀεὶ τὴν / τοῦ σώματος ἔξοδον, ἐφ' ᾧ τήκεται τὰ πάθη καὶ νευροῦται ψυχή. κλείετε τὰς εἰσόδους τῶν παθῶν, φεύγετε τοὺς τῶν πτωμάτων τόπους, φεύγετε τὰς γυναικείας ὁμιλίας καὶ συνδιαιτήσεις· πῶς γὰρ ἂν καὶ μὴ φλεχθείη καρδία, μᾶλλον δὲ ἐμπυρισθείη, λόγους διδοῦσα καὶ λαμβάνουσα μετὰ παρθένου, μετὰ ψαλλούσης, μεθ' οἱασδήποτε γυναικός; πῶς, φησί, θεολογικῶς εἰπεῖν, σώσει ἡ ἀλλοτρία ὃν ἀπώλεσεν ἡ ἰδία; κἂν γὰρ πρακτικῶς δόξειέν τις φυλάττεσθαι, ἀλλά γε καρδιακῶς ἀμοίχευτος οὐ διασωθῇ κατὰ τὴν ἀπόφασιν τοῦ Κυρίου.

---

503. mens. Febr. a. 824 vel 825 vel 826

4 2 Tim. 4,2 13 1 Cor. 11,29 26 cf. 1 Cor. 7,16 27 Matth. 5,28

C VM PS

2 ἱερᾶς om M 4 καίτοιγε Sirm γε om M 7 ὦ ante ἀδελφοί add V Sirm 10 πτερνήσωμεν C ἡ om VMPS Mi 11 τὸ om VPS Sirm: post ἡμῶν transp M 15 κρῖμα S Mi 17 διατοῦτο VMPS 24 λόγους post διδοῦσα transp M 25 οἵας δήποτε C Sirm 27 κἂν P: καν C γὰρ om M πρακτικῶς CM: πατρικῶς cett: πραγματικῶς Sirm δόξειέ VMPS Sirm 28 ἀμοίχευτος om VMPS Sirm διασωθεῖ C

Ὁ διωγμὸς οὖν οὐ δι' ἀπώλειαν, ἀλλὰ διὰ σωτηρίαν, οὐδὲ τοσαύτη ἀνάγκη κατεπείγουσα εἰς τὸ συνδιαιτᾶσθαι γυναικί, καθὼς ἐν τοῖς πατράσι τὸ περιστατικὸν ἠνάγκασεν ὑπὸ παρθένῳ τὸν ἀοίδιμον Ἀθανάσιον ἑπταετῆσαι ἢ τόνδε καὶ τόνδε τὸν ἅγιον ὑπὸ γυναικὸς ἐξυπηρετηθῆναι. ἀλλὰ νῦν καὶ πόλεις καὶ χῶραι τὸ ἐλευθέριον ἔχουσι τῆς ἀσυνδυάστῳ τρόπῳ γυναιξὶ ξενίας. σὺ δέ, δῆθεν ὁμολογίας καὶ διωγμοῦ τοῦ ὑπὲρ Χριστοῦ, κατὰ τοῦ Χριστοῦ κινούμενος οὐκ ἐπαισθάνῃ γυναιξὶ πυκνῶς ὁμιλῶν, συμψάλλων ἴσως, τάχα δὲ καὶ συνεσθίων ἢ καὶ συνοικῶν, ἐσθίων τὴν ὄψιν τῆς συνοίκου καὶ ἐσθιόμενος ὑπὸ τῆσδε ὀλεθρίως; φύγετε ὡς ἀπὸ πυρὸς καὶ οἱ ἄνδρες ἀπὸ γυναικῶν καὶ αἱ γυναῖκες ἀπὸ τῶν ἀνδρῶν, εἰ δὲ καὶ σύμβασιν δεῖ γενέσθαι, τοσοῦτον, ὅσον ἡ ἀνάγκη καὶ ἡ χρεία ἀπαιτοίη, διαδιδράσκοντες καὶ τὸ τιθέναι σκάνδαλον ἄλλοις. ἱνατί γὰρ ἡ ἐλευθερία μου, φησί, κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; καί, εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

Ἀσκανδαλίστως οὖν πολιτεύεσθε, ὦ τέκνα, καὶ ἀποσκόπως καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, καθὼς γέγραπται, ἐπινοοῦντες καὶ τὸ ἄδηλον τοῦ θανάτου. ἤδη παρῆλθεν καὶ ὁ ἀδελφὸς Σίλας, καὶ πρό γε τούτου ὁ ἀββᾶς Θεόσωστος καί γε ὁ ἀδελφὸς Προκόπιος, καὶ οὐδεὶς ἐπιμενεῖ. καὶ μακάριος ὁ συνιὼν ἀκαταγνώστως παρελθεῖν τὸν τῇδε βίον. προσεύχεσθε περὶ ἡμῶν τῶν ταπεινῶν ἀνεπιλήστως ἵνα σῳζοίμεθα.

504. Δημητρίῳ ὑπάτῳ

Ἡ ἀπουσία τοῦ σώματος τίνα ἄλλην εὕροι παραμυθίαν ἢ τὴν διὰ τοῦ γράμματος συνάφειαν; ταύτῃ τοιγαροῦν, ὦ φίλων ἄριστε, συν-

---

41 1 Cor. 10,29 42 1 Cor. 8,13 45 1 Cor. 10,32

31 πατρᾶσι C 34 γυναικὶ M 35 τοῦ[2] in marg C: om M 38 σημείωσαι in marg C 40 ἡ χρεία καὶ ἡ ἀνάγκη M 41 ἵνα τί C Sirm 45 ὦ τέκνα S[sscr] 47 παρῆλθε VMPS Sirm

504. 3 συνάφειαν: cf. Karlsson, Idéologie 25

2 cf. 1 Cor. 5,3

C VM (ll. 1 – 34) PS

3 συνάφειαν om M τοιγὰρ οὖν C

απτόμεθά σου τῇ ἀγάπῃ οἱ ταπεινοὶ τὸ παρόν, προσπτυσσόμενοί σε τῷ πνεύματι καὶ γνωρίζοντες ὅτι οὐχὶ ἡ ἀπουσία διέζευξεν τὴν ἀγάπην, ἀλλὰ καὶ μᾶλλον ἐκκαλεῖται αὐτὴν διψῶσαν τὸ φίλτρον, καθάπερ οἱ διψαλέως ἔχοντες ἐπιτρέχουσι πρὸς τὰς πηγὰς τῶν ὑδάτων.

Ἀλλὰ τὸ μὲν τῆς ἀγάπης δεικτικὸν τοσοῦτον. πῶς δὲ αὐτὸς διατελοίης ἐν τῇ πιστευθείσῃ σοι παρὰ τῶν βασιλέων ἀρχῇ ἀγνοοῦμεν, μᾶλλον δὲ καὶ / ἐμμερίμνως ἔχομεν, ἐπειδὴ καὶ μανθάνομεν τῇ προτέρᾳ ἀρχῇ ἑτέραν ἐπιτεθῆναί σοι, οὐκ ἐθέλοντι, ἀλλὰ προστάσσοντος τοῦ κρατοῦντος, καὶ ὅτι, πορρωτέρω τῆς προτέρας οὖσαν, ἐγγίζει τοῖς βαρβάροις· ἐφ' ᾧ καὶ δέος ἐσχηκέναι τὴν τιμίαν σου ψυχήν, ὥς φασι, μήτε ἐθέλουσαν μήτε ἐξηρτυμένην εἰς τὸ φορεῖν μάχαιραν καὶ πολεμεῖν καὶ πολεμεῖσθαι. ταῦτα ἅπαντα συνεκίνησεν καὶ ἡμᾶς δεήσεις καὶ προσευχὰς ποιεῖσθαι ὑπὲρ τοῦ ἀπήμονά σε φυλάττεσθαι ἐν ἀμφοτέραις ταῖς ἀρχαῖς· καί γε πιστεύομεν διατηρεῖσθαί σε σῶον, ἔχοντα πρὸ ὀφθαλμῶν τὸν φόβον τοῦ θεοῦ καὶ τὴν ἐκεῖθεν ἐκκαλούμενον βοήθειαν. οὗ γὰρ θεὸς ἐπίκουρος, ἐκεῖ ἐκποδὼν πᾶν κακὸν γίνοιτο· παρεμβαλεῖ γὰρ ἄγγελος Κυρίου, φησί, κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.

Τοιοῦτος οὖν ἔσο καὶ αὐτός, δέσποτα ἡμῶν ἐπιπόθητε, διὰ τῆς εὐσεβείας σου καὶ ἀγαθοεργίας, ὑπὸ τοῦ φύλακος τῆς ζωῆς σου ἀγγέλου φρουρούμενος. γρηγόρει ἐν προσευχαῖς, νῆφε ἐν δεήσεσιν, ἔκφερε ἔνδικον κρίμα, ἐπιδείκνυσο εὐμενὲς ὄμμα πτωχῷ, προασπιστὴς γενοῦ τῶν ἀδικουμένων, μετριότητα ἔν τε βρώσει καὶ πόσει φέρων· ἡ γὰρ ἀκρασία τῶν κακῶν μήτηρ. ἂν ἄλλοι παίζωσι καὶ γελῶσιν, ὁ κύριός μου, ἄκουε τοῦ Κυρίου πάντων λέγοντος, οὐαὶ οἱ γελῶντες, ὅτι κλαύσονται. ἂν ἄλλοι αἰσχρολογοῦσιν, αὐτός, παρακαλῶ, ἐπιφράσσαιο τὰ ὦτα· ὁδὸς γὰρ ἐπὶ τὰ πράγματα οἱ λόγοι τυγχάνουσιν. ἂν ἄλλοι πληρῶσι δώρων τὰς δεξιὰς αὐτῶν, ὁ φιλόθεός μου, ἀρκούμενος εἴης τοῖς ὀψωνίοις, εὐαγγελικῶς εἰπεῖν, τοῖς κατὰ

4 οἱ ταπεινοί: ibid. 44

15 Rom. 13,4 21 Ps. 33,8 25 Rom. 3,8 29 Luc. 6,25 33 Luc. 3,14

5 γνωρίζοντος Sirm διέζευξε VMPS Sirm 6 καὶ om M 10 σοι om VMPS Sirm 12 καὶ ante ἑτέραν add V Sirm 15 ἐξηρτημένην omnes: correxi 16 συνεκίνησε VMPS Sirm 20 ἐκκαλουμένην MPS Sirm ἐκποδῶν CVP 24 ἀγαθοεργείας C 26 κρῖμα PS Sirm 30 αἰσχρολογῶσιν VMPS Sirm 31 ἐπιφράσαιο VMSP Sirm: ἐπιφράξαιο Mi 32 αὐτῶν V

συνήθειαν ἀρχικῶς διδομένοις. ἂν ἄλλοι ἀσεβῶσιν, αὐτὸς εὐσέβει, ὅσον οἷόν τε στελλόμενος τῶν ἀτασθάλων ἀνδρῶν· οἶσθα γὰρ ὅτι ὁ βίος οὗτος ὀνείρου δίκην παραπέμπει τοὺς λειτουργοῦντας αὐτῷ. καὶ τί ὠφελήσει ἄνθρωπος, ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;

Ὅπερ ἀπείη περὶ τῆς τιμιότητός σου ἐννοεῖν, ἐχούσης ἔμφυτον τὸ ἀγαθὸν καὶ φιλούσης θεὸν θεραπεύειν, τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντα σε καὶ αὐτὸ τὸ ζῆν διδοῦντά σοι καὶ τὸ κινεῖσθαι καὶ ἀναπνεῖν. ὥστε τὴν παραθήκην, ἣν παρέθετό σοι διὰ Πνεύματος Ἁγίου, τήν τε πίστιν καὶ τὴν δεξιὰν πρᾶξιν φυλάξαι ἀποδοῦναι αὐτῷ σώαν ἐν καιρῷ ἐξόδου, ἀκούσων παρ' αὐτοῦ· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. καὶ γένοιτό σοι ταύτης τῆς φωνῆς ὑπακοῦσαι καὶ σωθῆναι πανοικὶ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ἀμήν.

505. Λυκάστῳ ὑπάτῳ

Αὐτὸς ὁ τὸ γραμμάτιον ἐπιφερόμενος τῇ τιμιότητί σου ἀπήγγειλεν ἡμῖν τὴν ἐπελθοῦσάν σοι συμφορὰν καὶ τῷ ὄντι καθήψατο ἡμῶν ἡ περὶ σὲ λύπη· ἴδιος γάρ σοι καὶ ἀγχιστεύων, ὁμοῦ τε φίλος ἀρχαῖος καὶ συνηλικιώτης, καὶ οὐκ ἔστι τὸν φιλοῦντα / γνησίως μὴ συμπάσχειν τῷ φιλουμένῳ ὡς καὶ ἔμπαλιν ἐπὶ τῇ χαρᾷ. ἀλλ' ὢ τῆς ἀπευκταίας ἀγγελίας· ἀπολέλοιπεν ἡμᾶς ἡ κυρία ἡ ὑπάτισσα, τὸ δὴ λεγόμενον, γυνὴ τῶν ἐπαινουμένων, ὡς καὶ παρ' ἄλλων ἀκηκόαμεν καὶ αὐτοὶ ἡμεῖς ὀφθαλμοῖς ὑπελάβομεν, πρῶτον μὲν ὅτι φίλανδρος, ὃ ὑπὸ τοῦ ἀποστόλου ὑποτυποῦται κάλλιστον εἶναι ἐν συζυγίᾳ, φρό-

---

37 Matth. 16,26 40 Bas. ep. 8,2 (PG 32,249 B = I 25 Courtonne) 42 1 Tim. 6,20 44 Matth. 25,23

34 συνήθειαν: hic desin epist in M (exciso quaternione) 37 κερδήσει Sirm 38 αὐτοῦ V 39 ἀπίει C 41 παραγαγόντος C διδόντα VPS Sirm σοι om VPS Sirm 43 πράξιν C 44 σῶαν CS 47 τῆς φωνῆς om S ἐπακοῦσαι V

---

505. 9 Tit. 2,4

V PS

2 γραμμάτιον: fort est γραμματεῖον scribendum secundum usum Theodori (cf epp 490,2; 497,2; 523,6 etc) 3 τῳόντι S 4 περί σε Sirm καὶ ante ὁμοῦ add V τε om V 7 ἡ[2] om Sirm 10 vocem τοῦ interavit P

νιμος, οἰκουρός, εὐαπάντητος, εὐπροσήγορος, φιλευσεβής, φιλόπτωχος, τὸ μεῖζον, σωφροσύνῃ κατηγλαϊσμένη καὶ ὀρθοδοξίᾳ περιηργυρωμένη, ἧς καὶ οἱ καρποί, τὰ τέκνα, μαρτύριον τῆς ἀμφοτέρων ὑμῶν εὐζωίας. καὶ γάρ, ὥσπερ ἐκ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκεται, οὕτως κἀκ τῶν παίδων οἱ φύσαντες, ὁποῖοί εἰσι καὶ ἡλίκοι. καὶ οὔπω βαθεῖαν πεῖραν ἐσχηκὼς τῆς μακαρίας ἐκείνης πῶς ἂν δυναίμην ἐκθειάσαι τὰ κατ' αὐτήν; ἢ μόνον δὶς αὐτῇ συνοψισθεὶς καὶ εἰς ὁμιλίαν ἐλθὼν ἔγνων ὅτι γυναῖκα ἐχαρίσατό σοι ὁ θεὸς τῷ ὄντι βοηθόν, οὐ κατὰ τὴν πάλαι προμήτορα ἀπάτης αἰτία, ἀλλά γε σωτηρίας ὑπόθεσις γενηθεῖσά σοι διὰ παντὸς τοῦ βίου. ὢ τῆς συμφορᾶς· ᾤχετο αὕτη, ἀπέπτη ἐξ ὀφθαλμῶν ὑμῶν, ἐγκατέλιπεν ὑμᾶς ἡμιθνεῖς, ἀπορραγέντας τῆς καλῆς ὁμοζύγου. οὐκ ἔχομεν ὀφθαλμοῖς ὁρᾶν τὸ ὑπὲρ πᾶσαν θυμηδίαν παραμύθιον, οὐ τὴν ἐν θλίψεσι παράκλησιν, οὐ τὴν ἐν συμφοραῖς παρηγορίαν, οὐ τὴν ἐν ἅπασι τοῖς ὀφειλομένοις ὑπόμνησιν καὶ συνεργὸν καὶ σύμπραξιν. ὁ ἥλιος τῆς ἑστίας ἔδυ· τίς ὁ ὑπαντήσων; τίς ὁ χαριούμενος; τίς ὁ παρακαλέσων; ἤδη ἐγενήθημεν ὡς πόλις ἀποκειραμένη τὸν ἑαυτῆς κόσμον, ὡς στρουθίον μονάζον ἐπὶ δώματι, Δαυιτικῶς εἰπεῖν.

Τί οὖν; λυπηθῶμεν πέρα τοῦ μέτρου καὶ περιβαλούμεθα ἀπαραμύθητον πένθος; οὐδαμῶς οὖν, οὐδαμῶς, ὦ τριπόθητε, ἀλλ', εἰδότες ὅτι ὁ δοὺς ἡμῖν αὐτὴν θεὸς τὰ πρῶτα εἰς κοινωνίαν βίου αὐτός ἐστιν ὁ νῦν προσλαβόμενος, οἴσωμεν εὐχαρίστως τὸ συμβάν, μιμούμενοι τὸν ἀοίδιμον Ἰὼβ καὶ ἐπιφθεγγόμενοι τὴν μακαρίαν ἐκείνην φωνήν, ἣν ἐκεῖνος οὐκ ἐπὶ ἀποβολῇ γυναικός, ἀλλ' ἐπὶ παισὶ δέκα ὁμοῦ τεθνηκόσι σὺν ταῖς προτεραίαις τῶν ἐκτὸς πάντων ἀφαιρέσεσι καὶ αὐτῇ τῇ ὑστεραίᾳ πληγῇ τοῦ σώματος, ἐπὶ κοπρίας ὁ πρὶν βασιλεὺς καθήμενος καὶ ξέων τοὺς ἰχῶρας τῶν ἑαυτοῦ σαρκῶν βώλαξι, τάδε φησίν· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο. ἐὰν οὖν ταῦτα, ὦ φιλότης, ἐφ' ἑαυτοῖς καὶ διαθώμεθα καὶ φθεγξώμεθα, οὐ μακρὰν εἴημεν τῆς μερίδος ἐκείνων, ἀλλὰ γὰρ καὶ τῇ μακαρίᾳ ἐκείνῃ τοῦτο καλὸν ἐπιτάφιον ποιησαίμεθα, αὐτούς τε τοὺς ἐκ θεοῦ δοθέντας ὑμῖν κλάδους ὑποτυπωσόμεθα δι' ἑαυτῶν εἰς εἰκόνα θεοτερποῦς βιώσεως καὶ πάντα ὑμῖν ἐντεῦθεν εἰς καλὸν ἀπαντήσοι· ἃ γὰρ ὁ θεὸς ὁ αἰώνιος, ὁ τῶν ἁπάντων δεσπότης, ποιῶν ἐν ἡμῖν εὕροιεν εὐμενῶς δεχομένους, πῶς οὐκ ἂν καὶ τὰ

14 Matth. 12,33 27 Ps. 101,8 37 Jb 7,5 38 Jb 1,21

17 ἢ dubitanter Kambylis; fort sunt verba ἢ μόνον — ἐλθὼν post 16 ἐκείνης transponenda 18 τῳόντι S 27 πόλις: μόλις Sirm 31 αὐτὴν post θεὸς transp V 32 νῦν S[sscr] 33 τὸν — ἐπιφθεγγόμενοι om Mi 42 ἡμῖν V Sirm 43 ἡμῖν S

παρόντα ἡμῖν εὖ διάθηται τῇ παρακλήσει τοῦ Ἁγίου αὐτοῦ Πνεύματος καὶ τὰ μέλλοντα ἑτοιμάσειεν ἀπολαυστήρια ἐν αἰῶσιν ἀπείροις;

Ταῦτα ἐγὼ / μέν, εἰ καὶ βραχέα, ὅμως ὡς σὸς ἐν ἀγάπῃ καὶ γέγραφα καὶ παρεκάλεσα· αὐτὸς δέ, ὦ δέσποτα, αὐτὰ τὰ τίμιά σου τέκνα προσειπεῖν περὶ ἡμῶν ἀξίωσον.

506. Εὐφροσύνῃ ἡγουμένῃ

Ὅτι μέλει ἡμῖν περὶ τῆς τιμιότητός σου μαρτύριον τὸ τῇδε ἡμῶν ταπεινὸν γράμμα· οὐδὲ γάρ, ὃν λόγον ὑπεσχόμεθα τῇ μακαρίᾳ ἐκείνῃ καὶ ἁγίᾳ μητρὶ ἐπὶ τὸ περιέπειν ἡμᾶς τὴν σεμνοπρέπειάν σου ἐν τῇ διὰ λόγου ἐπισκέψει καθ' ὅσον οἷόν τε, μακρόθεν ἢ ἐγγύθεν ὄντας, ὅσιον διαψεύσασθαι. καίτοι γε, εἰ καὶ μὴ ἐκεῖθεν εἴχομεν τὸν λόγον, κἀξ αὐτῆς σου μόνης τῆς περὶ ἡμᾶς τοὺς εὐτελεῖς πεποιθήσεώς τε καὶ περιποιήσεως ἐπειθόμεθα ἂν τὴν διὰ τοῦ γράμματος προσοίσειν ἐπιμέλειαν.

Ὑγίαινε τοιγαροῦν, ὦ τιμιωτάτη μοι, καὶ ἄγοιο τὸ ποίμνιον, ὃ παρέθετό σοι ἡ ἁγία ἀμμάς, μᾶλλον δὲ δι' αὐτῆς ὁ θεός, θεοπρεπῶς καὶ ἐπιμελῶς. ἴσθι ὡς μέγιστον τὸ τῆς προστασίας σου ἐγχείρημα, γνῶθι τῶν ὑπὸ χεῖρά σου ψυχῶν τὸ θεώρημα, ὅτι νυμφοφυλακτήριόν ἐστι τοῦ βασιλέως τῶν οὐρανῶν, τοῦ μόνου ὡραίου καὶ ἀφθάρτου νυμφίου Χριστοῦ· ὃς οὐ μίαν νύμφην σοι παρέθετο εἰς ἡμέραν νυμφεύσεως αὐτοῦ διὰ τῆς ἐν Ἁγίῳ Πνεύματι συναφείας, ἀλλὰ τοσαύτας, ὅσας γε καὶ ἔχοις, σοῦ τε αὐτῆς πρωτονύμφου τυγχανούσης. νυμφεύεται γὰρ Ἰησοῦς καὶ τὰς ὡς σὺ διὰ βίου ἐληλυθυίας ὡς πολύνυμφος καὶ ἀπειρόνυμφος καὶ πάσας ψυχὰς ἀνδρῶν τε καὶ γυναικῶν ἐρῶν ἁρμόζεσθαι εἰς τὸ πληρῶσαι τὸν ἄνω νυμφῶνα· ἐν ᾧ πολλαὶ αἱ μοναὶ οἷά τινες θάλαμοι παρὰ τοῦ πατρὸς ἡτοιμάσθησαν ταῖς ἀξιωθησομέναις ψυχαῖς διὰ βίου καθαροῦ καὶ πίστεως εἰλικρινοῦς, ἡνίκα φθάσῃ ὁ καιρὸς τῆς ἀποκαλύψεως τοῦ νυμφίου, ὀπίσω αὐτοῦ δραμεῖν καὶ συνεισελθεῖν ἐν τῷ νυμφῶνι καὶ τῆς ἀπεράντου χαρᾶς ἐκείνης ἀπολαῦσαι εἰς αἰῶνας αἰώνων. ἰδοὺ ὑποδέδεικταί σου ἡ

---

506. a. 824 – 826 4 μητρί: Eirena **11 ἀμμάς**: cf. adn. ad ep. 536,10

23 Col. 4,17

C V (ll. 1 – 62) PS

2 μέλλει CS 5 καθόσον CPS 8 τὴν om PS Sirm: V^{sscr} 10 τοιγὰρ οὖν C 11 ἀμμᾶς C 17 ἔχεις S 21 τινες: τις C 22 εἰλικρινοῦς S 23 φθάσει VPS Sirm

διακονία, ἣν παρέλαβες παρὰ Κυρίου, μεγάλη τε καὶ πολλῶν ἀμοιβαία μισθῶν οὐρανίων, ὡς μὴ μόνον σέ, ἀλλὰ καὶ πολλὰς νύμφας προσοῖσαι τῷ ἀθανάτῳ νυμφίῳ. ὑπὲρ ὧν ὅση καὶ ἡλίκη ἡ ἀνταπόδοσις· τετάξεταί σε ἐν προυχούσαις νύμφαις, ἐν ἐκλεκταῖς νεάνισιν, ἐμπλόκιά σοι παράσχοι, τὰ τοῦ πνεύματος ἀίδια χαρίσματα, ἐπιβλήματα φωτοειδῆ, ἀφθαρσίαν ἀστράπτοντα, στεφανώσει σε τῷ τῆς δικαιοσύνης στεφάνῳ, χορεύσεις χορείαν ἄλυτον ἴσα καὶ ἀγγέλοις σὺν ἀγαλλιάσει ἀμηρύτῳ.

Βλέπε λοιπόν, κυρία, καὶ πρόσεχε σαυτῇ καὶ τὰς νύμφας τοῦ Χριστοῦ φυλάττοιο περιμερίμνως· τρέφοις αὐτὰς τῷ καθαρῷ ἄρτῳ τῆς ὀρθοδοξίας, ποτίζοις τῷ νάματι τῆς εὐπραξίας, ὡς ἂν εἶεν πίονες, ὡραιοειδεῖς. πρὸς τὸ κάλλος τῆς ψυχῆς ὁ λόγος, οὗ καὶ ἐπιθυμεῖ, καθὼς ὑπισχνεῖται ὁ ἅγιος Δαυίδ, Χριστὸς ὁ θεὸς ἡμῶν· φησὶ γάρ· ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου καὶ / ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· ὅτι αὐτός ἐστι Κύριός σου καὶ προσκυνήσεις αὐτῷ. ὁρᾷς ὅτι ἐν τῷ ἐπιλαθέσθαι ὑμᾶς, ἤγουν ἀποτάξασθαι γονεῦσιν, ἀδελφοῖς καὶ συγγενέσιν, φίλοις τε καὶ πᾶσι τοῖς κατὰ τὸν βίον, ἐπεθύμησεν ὑμῶν ὁ βασιλεὺς τοῦ κάλλους τῆς ψυχῆς εἰς νυμφίωσιν; τὸ δέ, ‚αὐτός ἐστι Κύριός σου καὶ προσκυνήσεις αὐτῷ' γενήσεται ὑμῖν ἐν τῇ ἡμέρᾳ τῆς ἐπιφανείας αὐτοῦ. ὤ, ὤ, οἷον ἐφρονήσατε, ἐπιλαθόμεναι τῶν ἁπάντων· βαβαί, βαβαί, οἵου ἐπετύχετε νυμφίου· κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, ὅτι ὑπὲρ πάσας τὰς ἐπὶ γῆς βασιλείας ὑψώθητε, ὑπὲρ πάντα τὰ ὡραῖα τῆς γῆς ὡραΐσθητε. αἰδοῦνται ὑμᾶς καὶ ἄγγελοι, περιέπουσιν ὑμᾶς καὶ ἀρχάγγελοι, προύχουσαι ὑμεῖς βασιλίδες ἐν οὐρανοῖς, ὑπεράνω πασῶν μητέρων καὶ θυγατέρων τῶν ἀπὸ σαρκὸς ἐρχομένων.

Οὐκοῦν χαίρετε καὶ συγχαίρετε ἀλλήλαις, τὰ ἐπίπονα ἐντεῦθεν τῆς ἀσκήσεως εἴτουν θαλαμεύσεως φέρουσαι εὐψύχως, εἰδυῖαι ὅτι πᾶσα σὰρξ χόρτος, πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, πᾶσαί τε ἐπιθυμίαι τοῦ αἰῶνος τούτου ἐκ φθορᾶς καὶ εἰς φθορὰν καταλήγουσαι, μόνον δὲ ὑμῶν ὁ ἔρως καὶ ἡ ἐπιθυμία ἄπειρος καὶ ἄφθαρτος.

34 νύμφας: virgines monasterii Clubii

31 2 Tim. 4,8 39 Ps. 44,11 sq. 45 Ps. 44,12 48 Ps. 46,2 sq. 53 Philipp. 2,18 55 Is. 40,6 56 2 Petr. 1,4

27 μόνην VPS 32 ἴσα VPS Sirm 33 ἀμηρύτῳ: ἀκηράτῳ V^{pc} Sirm (sed cf app cr ad ep 431,43) 39 κλίνον C 42 ἡμᾶς CVP 43 τε post ἀδελφοῖς add VPS Sirm συγγενέσι VPS Sirm 46 ὦ ὦ C 47 οἷου P 51 ὑπὲρ ἄνω C 54 ἤτοῦν C: εἶτοῦν P: εἴτ' οὖν V Sirm 55 καὶ ante πᾶσα^2 add V

μικρὸν λοιπὸν ὅσον ὅσον ἀναμείνατε, ὑπομείνατε, ὑποτασσόμεναι μὲν ὑμεῖς τῇ κυρίᾳ τῇ πρωτονύμφῳ καλῶς καὶ εὐηκόως, τὰ τοῦ νυμφίου Χριστοῦ ἐρωτικὰ ἰδιώματα καὶ φυλάγματα ἐπιταττούσῃ, αὐτὴ δὲ κυρία ὡς νυμφιοφόρος καὶ τὴν ψυχὴν προϊεμένη, μὴ ὅτι γέ τι τῶν ἄλλων, εἰς περιποίησιν τῶν νεανίδων, οὐ λέγω ψυχῆς μόνης, ἀλλὰ καὶ σώματος, πληροῦσα τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον· ὁμειρόμενοι εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ὃν καὶ περὶ ἡμῶν αἰτεῖσθε τὴν σωτηρίαν τῆς ταπεινῆς ἡμῶν ψυχῆς, ἵνα οἷς ἐνουθετήσαμεν νενουθετήμεθα καὶ σῳζοίμεθα πάντες ἀπὸ τοῦ πονηροῦ.

---

58 cf. Is. 26,20 ἀποκρύβηθι μικρὸν ὅσον ὅσον 64 1 Thess. 2,8

58 ὅσον ὅσον: ὅσον VPS Sirm (sed cf ep 227,23) 62 εἰς: hic desin epist in V 64 ἱμειρόμενοι Sirm μετὰ δοῦναι C

ΑΡΧΗ ΒΙΒΛΙΟΥ Δʹ

507. Φιλοθέῳ κτήτορι

Εὐαπόδεκτα τὰ γράμματα τῆς τιμιότητός σου καὶ θεῷ καὶ εὐσεβεῖ ἀνθρώπῳ, ὅτι ἐν τῷ παρόντι καιρῷ, ἐφ' ᾧ νυκτομαχία αἱρετικὴ καὶ ζάλη ἀπιστίας, δήλωσιν ἡμῖν ἐποιήσατο ὅτι ὥσπερ τις ἀστὴρ φαίνοις ἐν τοῖς αὐτόθι, μὴ ζοφωθεὶς τῇ αἱρετικῇ κοινωνίᾳ μηδὲ μὴν ὑποβρύχιος γεγονὼς τῷ τῆς ἀπιστίας σάλῳ. καὶ εὐλογητὸς Κύριος, ὃς ἔχει καὶ ἐν τῷ λαϊκῷ τάγματι τοὺς ἀντεχομένους τοῦ νόμου αὐτοῦ κατὰ τὴν νῦν σύγχυσιν καὶ ἀνατροπὴν τῆς ὀρθοδοξίας. μακάριος εἶ, ἀδελφὲ τιμιώτατε, καὶ ὄντως φερωνύμως σοι ἡ κλῆσις, ὅτι καὶ θεὸν πεφίληκας καὶ τὴν παρακαταθήκην τῆς πίστεως πεφρούρηκας.

Ἀπήγγειλας δὲ ἐν τοῖς γράμμασιν οὕτως καὶ οὕτως ἦχθαί σε ὑπὸ τῶν μακαρίων πατέρων ἐκείνων, τῶν τέλει χρηστῷ ἐκδημησάντων πρὸς Κύριον, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. καὶ εὖ ἂν ἔχοι, καὶ τοῦτο τοῦ διαπύρου σου ζήλου ἰδίωμα. ἐπειδὴ δὲ τῇ ἐκδημίᾳ ἐκείνων οἷα ἀπορφανισθεὶς ἐπεζήτησας πάλιν πρὸς τῆς ταπεινώσεως ἡμῶν στοιχειωθῆναι, ἡμεῖς μὲν εὐτελεῖς καὶ οὐδαμινοί, ὅμως, ἐπεὶ γέγραπται ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, διὰ ταύτην τὴν ἐν Κυρίῳ ἀγάπην ὑπείκομεν καὶ προσιέμεθα τὴν ἀνάθεσίν σου, καλὴν οὖσαν τῷ ὄντι καὶ ἐπαινετήν. τὸ μὲν οὖν ἀπέχεσθαί σε παντάπασιν τῆς αἱρετικῆς κοινωνίας καὶ ἠγωνίσω καὶ ἀπέσχου, ὡς φῄς, χάριτι Χριστοῦ, καὶ ἔτι ἀπόσχου· οὕτω γὰρ δείξειας τὸ πρὸς τὸν θεόν σου φιλητὸν καὶ κοινωνικόν· ἡ γὰρ ἐναντία κοινωνία διίστησιν ἀπὸ Χριστοῦ. εἰς ἃ

---

507. a. 821 – 826

13 Philipp. 4,3   17 Eph. 4,2

C VM PS

titulum libri om VMS: in marg C Sirm

4 φαίνεις VM   9 φερώνυμός S: φερωνυμ P   **16** ἐπειδὴ V   **19** τῷόντι post ἐπαινετὴν transp S   παντάπασι VMPS Sirm: in marg S   20 φῇς VMP Sirm

δὲ ἀναγκάζεσθε ὑπὸ τοῦ στρατηγοῦντος, εἴς τε τὸ συμψάλλειν τοῖς αἱρετικοῖς καὶ τὰ πρὸς αὐτῶν σφραγιζόμενα βρώματα ἐσθίειν, ὡς οὐκ ἂν ἄλλως δύνασθαι τὸν κύριον τὸν στρατηγὸν ἀκινδύνως διελθεῖν, καὶ πρὸς τοῦτο οὐκ ἔχομεν εὐπετῶς ἀποκρίνεσθαι· διότι ἡ ἀκρίβεια ἀπείργει παντάπασιν ἀμέθεκτον εἶναι τῶν ἑτεροδόξων τὸν ὀρθόφρονα καὶ μήτε ἐν βρώσει μήτε ἐν πόσει μήτε ἐν σχέσει συνέρχεσθαι αὐτοῖς.

Ταῦτα εἰδυῖα ἡ χρηστότης σου ἐχέσθω τοῦ ἀγαθοῦ / αὐτῆς ζήλου, ἐποικοδομοῦσα τῷ καλῷ θεμελίῳ τὰς τῆς ἀκριβείας χρυσοειδεῖς ἐνδομήσεις, εὐχομένη καὶ ὑπὲρ τῆς ταπεινώσεως ἡμῶν.

508. Εἰρήνῃ πατρικίᾳ

Ἐπειδὴ προσηγόρευσας ἡμᾶς τοὺς ταπεινούς, κυρία, διὰ τοῦ αἰδεσιμωτάτου πρεσβυτέρου, ἀμειβόμεθα τὴν προσηγορίαν γράμμασιν, ἀποδεχόμενοί σου τὴν καλὴν πίστιν καὶ τὴν θερμὴν πεποίθησιν, ἐγνωκότες ἐντεῦθεν ἀγαθήν σε εἶναι ἐν γυναιξίν, φιλόθεόν τε καὶ φιλομόναχον, ὥστε ἁρμόσαι ἐκεῖνο ἐπιφθέγξασθαι τὸ γραφικόν, γυναικὸς ἀγαθῆς μακάριος ὁ ἀνήρ. ὁρᾷς, ὦ κυρία, ὅτι τῇ ἀγαθότητί σου μακαρίζεται ὑπὸ τῆς Γραφῆς ὁ κύριος ὁ πατρίκιος καὶ θεόσδοτός σου σύζυγος; οὐκοῦν ζηλοῦσα ζήλωσον ἔτι μακαριώτερον αὐτὸν ἀπεργάσασθαι. πῶς δ' ἂν εἶεν τοῦτο; ἐν τῷ σὲ ἔτι ἀγαθύνεσθαι, ἤγουν ὑπομνηματίζειν αὐτόν, παρακαλεῖν, ἐκλιπαρεῖν τὸ τῆς στρατηγίας ὕψωμα διέπειν θεοφιλῶς, καθὰ καὶ διέπει, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ ἀδικίας, φιλομόναχόν τε εἶναι καὶ φιλόπτωχον, ἡμερότητι κεκραμένον, ἐπειδήπερ ἡ ἐξουσία αὕτη ἀρκοῦσά ἐστι καταπλῆξαι τοὺς ὑπὸ χεῖρα, καὶ μὴν ἀνεχόμενον ἀπειλῆς καὶ παιδευτικῶς μὲν πλήττοντα, φιλαν-

---

25 στρατηγόν: maritus Eirenae; cf. ep. 508,8; 11

25 τὸν² om M 26 ἀποκρίνασθαι M 28 συνέρχεσθαι αὐτοῖς om VM 30 ἐχέτω C

---

508. a. 821 – 826 9 ζηλοῦσα ζήλωσον: cf. adn. ad ep. 530,52

6 Sir. 26,1

C VM PS

5 ἐν γυναιξίν om VM γυναιξὶ PS Sirm 8 μακαρίζεται post ὅτι (7) transp Sirm: om V 9 οὐκ οὖν C 11 τὸ: τὰ V 15 αὐτὴ PS Sirm

θρώπως δὲ καὶ μεμετρημένως μαστίζοντα· ἐπείπερ οὔτε τὸ ἄφετον παντάπασι σωτήριον οὔτε τὸ ὑπὲρ μέτρον πληκτικὸν εὐαπόδεκτον καί, πρό γε πάντων, τὸ κατὰ πίστιν ὀρθόδοξον. εἰ γὰρ καὶ πρὸς τὸ ἔξω ἔστι λέγειν ἀδυνατεῖν κατὰ τὰ φθάσαντα τοῦτο φυλάττειν (ὅπερ οὐδὲ τοῦτο ἀρκοῦν εἰς θεοῦ ἀπολογίαν· τῆς γὰρ αὐτοῦ ἀγάπης οὐδὲν προτιμότερον), ἀλλ' οὖν γε κατὰ τὸν ἔσω ἄνθρωπον δυνατὸν τοῦτο παραφυλάττεσθαι καὶ πολλῶν σωτῆρα χρηματίζειν αὐτὸν καὶ μοναστῶν καὶ λαϊκῶν καὶ ἀρχόντων καὶ ἀρχομένων.

Ταῦτα, ἐξ ἀγάπης πνευματικῆς τῆς πρὸς ὑμᾶς κινούμενοι, τεθαρρήκαμεν ὑπομνῆσαι, εἰδότες καὶ ἀνυπομνήστως ἔχεσθαι ὑμᾶς τοῦ καλοῦ.

509. Βρυένᾳ στρατηγῷ

Ἀνηγγέλη ἡμῖν ὁ θάνατος τῆς μακαρίας μητρὸς καί, ὅσον ἐστενάξαμεν, τί δεῖ καὶ λέγειν; οὐ διὰ τὴν ὁσίως κεκοιμημένην (ἄπαγε· κέρδος γὰρ αὐτῇ ἐγένετο ἡ μετάστασις, φυγούσῃ τὸν πολυαμάρτητον βίον τοῦτον), ἀλλ' ἐννοοῦντες τὴν σὴν καλοκἀγαθίαν ὡς ἀπορφανισθεῖσαν τέλεον καὶ μηδεμίαν ἐν τῷ βίῳ παραμυθίαν κεκτημένην (καὶ ταῦτα ἐν οὕτω σκυθρωπῇ καταστάσει ὑπάρχουσαν) καὶ οὐδὲ αὐτῆς τῆς ὁσίας κηδείας ἀπολαύσασαν, ὃ φέρειν οἶδεν μικρὰν παρηγορίαν, λόγος ἐξιτήριος καὶ τελευταία φωνή, πρόσπτυξίς τε τοῦ τιμίου λειψάνου καὶ αὐτῆς τῆς ἐν ᾧ κατατίθεται θήκης ἐπικύψεως. καὶ ἔοικας τὸ τοῦ Ταντάλου παθεῖν, εἰ καὶ μυθικώτερον τὸ ἐπί-/φθεγμα, ἐν μέσαις πηγαῖς δίψῃ τηκόμενος, ἀκοαῖς μόναις, ἀλλ' οὐκ ὀφθαλμοῖς ὑπολαβὼν τὴν τῆς μητρὸς κοίμησιν.

Τί οὖν ἐν τούτοις; στενάξομεν ἆρα πέρα τοῦ δέοντος; δακρυρροήσομεν ἄπληστα; ἀποδυσπετήσομεν ἀκράτητα; καὶ ποῦ ἡ γνῶσις, ποῦ ἡ σοφία, ποῦ ἡ σύνεσις, οἷς κατεκοσμήθη σου ἡ εὐγένεια καί γε

---

17 δὲ: τε CPS ἄνετον V 18 ὑπέρμετρον omnes: distinxi 19 τὸ²: τὸν M (fort recte; cf infra 22 τὸν ἔσω) 20 ἐστὶ PS Sirm: om VM λέγει M 23 μοναστῶν καὶ λαϊκῶν: λαϊκῶν καὶ μοναχῶν VM

---

509. a. 821–826 16 εὐγένεια: ad allocutionem cf. Dinneen, Titles 48 sq.

11 Apost. cent. 16,9 (CPG II 657)

C VM PS

3 δεῖ: χρὴ VM Sirm 4 μετανάστασις VM 8 οἶδε VMPS Sirm 9 τελευταῖα C τοῦ om Sirm 10 ἐπικύψεως C: ἐπισκέψεως cett Sirm 12 δίψει VMPS Sirm (fort recte) 14 ἄρα C Sirm: S[sscr]

ὑπὲρ πολλοὺς τῶν νῦν ὁρωμένων ἐν τέλει; μηδαμῶς οὖν, ὦ ἐπιπόθητε, μηδαμῶς, ἀλλὰ στενάξας καὶ κλαύσας μετρίως ὅσον καὶ τὰ μητρικὰ ἐπικήδεια ἀφοσιώσασθαι καὶ τὸ τῆς φύσεως ἐπιδείξασθαι εἰς ἑαυτοὺς πάλιν, εἰ βούλει, γενώμεθα καὶ διαβλέψωμεν μετεώρῳ θεωρίᾳ τὰ τῇδε ὡς ὄναρ καὶ σκιὰ καὶ τὸ ἐπὶ γῆς τοῦτο παίγνιον, ὥς πού φησί τις τῶν θεολόγων, οὐκ ὄντας γενέσθαι καὶ γενομένους ἀναλυθῆναι. καὶ γὰρ τὴν αὐτὴν ὁδὸν καὶ ἡμεῖς πορευσόμεθα, ἥνπερ οἱ πατέρες ἡμῶν προωδεύκασι, καὶ τὸ αὐτὸ πᾶσιν ἐξ ἴσου ἀναμένει κατάλυμα, τάχα δὲ καὶ ἄλλου ἄλλο τραγῳδικώτερον, ὅτι τοῦ μὲν ἐν εἰρήνῃ ἡ ταφὴ τυχόν, τοῦ δὲ οὐχ οὕτως· ἢ γὰρ πολέμου παρανάλωμα γέγονεν ἢ θαλάσσης ὑπορρόφημα ἤ πως ἄλλως, ὡς ὁρᾶται τὰ ἄλλοις τρόποις ἐλεεινὰ τῶν ἐξαπίνης θανάτων, ὧν ἡ μακαρία μήτηρ ἀνωτέρα, ἐν ὁσιότητι καὶ σταυροφόρῳ βίῳ ἀπάρασα τῶν ἐνθένδε. λειπόμενον οὖν ἐστιν ἐν τούτοις εἰπεῖν ἡμᾶς τὴν ἀοίδιμον φωνὴν ἐκείνην τοῦ μακαρίου Ἰώβ, ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· προσθείην δ' ἂν λυσιτελεῖν ἡμᾶς τὴν φωνὴν ταύτην καὶ ἐν οἷς ἐσμεν θλιπτικῶς καὶ ἐξαπορητικῶς, ἐπεὶ κἀκεῖνος ὁ ἀοίδιμος, ὡς οἶσθα, ἐπὶ μυρίοις ἀλγεινοῖς τὰ εὐχαριστήρια τῷ θεῷ ἀπεδίδου.

Μὴ τοίνυν ῥαθυμήσωμεν, ὦ φίλτατε, μηδὲ ἐξαπορήσωμεν καὶ τοῦ ζῆν, εἰδότες ὅτι οὐκ ἐάσει ἡμᾶς Κύριος πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα. τίς οἶδεν τί τέξεται ἡ ἐπιοῦσα καὶ τίς ἀναγγελεῖ Ἀβραὰμ ὅτι Σάρρα θηλάζει; συμβολικὸς ὁ λόγος. εὐχόμεθα οὖν αὐτὸν τὸν Κύριον τῆς δόξης, ἐφαψάμενόν σου τῆς καρδίας, ἐμποιῆσαι φῶς ἐν αὐτῇ ἀλήκτου παραμυθίας, ὡς ἂν οἴκοθεν ἔχουσα τὰς ἀφορμὰς τῆς παρακλήσεως μὴ δεδεῆσθαι φωνῆς ἑτέρας.

---

20 μετεώρῳ θεωρίᾳ: ad Luciani Charonem seu Contemplantes animum referre videtur
21 ὄναρ καὶ σκιά: cf. L. Bieler, Σκιᾶς ὄναρ ἄνθρωπος. Wiener Studien 51 (1933) 143 sq.

21 cf. adn. ad ep. 1,36 Greg. Naz. or. 7,19 (PG 35,777 C) 31 Jb 1,21 37 1 Cor. 10,13 38 Prov. 3,28 Gen. 21,7

---

20 γενόμεθα C διαβλέψομεν CP 21 σκιά: an σκιὰν scribendum? ποῦ C 24 πᾶσιν: πάντας VM ἐξίσου CVS 27 πῶς codd Sirm: corr Mi ἄλλως ante πως transp V 30 ἔστιν Mi φωνὴν post Ἰὼβ transp VMPS Sirm 31 ἀφείλετο VMPS Sirm 32 ἔδοξεν: ἔδωκεν Mi ὑμᾶς S 33 fort est θλιπτικοῖς καὶ ἐξαπορητικοῖς scribendum 37 ὑμᾶς CP ὑπενεγκεῖν post δυνάμεθα add VM 38 οἶδε VMPS Sirm ἀβραὰμ MP 40 ἐφάψασθαί M ἐμποιῆσαι – παραμυθίας om VM 41 ἔχουσαν PS Sirm 42 μὴ δεδεῆσθαι: μηδὲ δεῆσθαι PS Sirm: μηδὲ δεῖσθαι Mi

Εἴδομεν δὲ καὶ τὸν ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ πνευματικὸν υἱέα, τὸν κύριον Ἰωάννην, τὸν ὁμαίμονα τῆς ὑψηλότητός σου, ἐπισκεψάμενον ἡμᾶς τοὺς ἁμαρτωλοὺς κατὰ τὸ εἰκός· ὃν καὶ παρεμυθησάμεθα βραχέσι λόγοις διὰ τὸ μητρικὸν πάθος καὶ συμπαρεκαλέσαμεν οἴσειν τῇ ἀδελφικῇ συνδιαθέσει τὰ κατὰ τὴν θεοσέβειάν σου.

510. Εὐφροσύνῃ ἡγουμένῃ

Καὶ ἐπὶ τοῦ παρόντος ἐπισκεπτόμεθά σου τὴν τιμιότητα διὰ τοῦ γράμματος, γλιχόμενοι μαθεῖν ὅπως ὑγιῶς διατελοίη, φέρουσα εὐαγῶς τὴν πνευμα/τικὴν ζωήν· καὶ γὰρ ἔργον ἡμῖν ὀφειλόμενον τοῦτο ποιεῖν, καθάπερ καὶ αὕτη προσανατέθεικας ἑαυτὴν τῇ ταπεινώσει ἡμῶν ἀπ᾿ αὐτῆς τῆς μακαρίας μητρός σου, ἧς τὸ μνημόσυνον ἐν βίβλῳ ζώντων, καλῶς βιωσάσης καὶ χαρακτῆρα εὐσεβείας τὸν ἑαυτῆς βίον καταλιπούσης, οὐ μόνον σοὶ τῇ ἱερᾷ καὶ θεόφρονι ταῖς τε ὑπὸ χεῖρα, ἀλλὰ καὶ πᾶσιν ἄλλοις, οἷς ἐστι πόθος ζηλοῦν τὰ καλά. τὸ γοῦν ὑπόδειγμα τῆς ἀρετῆς μητρόθεν ἔχουσα πρόσθες καὶ τὰ κατὰ σαυτὴν ἔτι, κυρία, παρακαλοῦμεν, ἐξ εἰκόνος ἀρίστης εἰκὼν γινομένη καὶ αὐτὴ ἐνθέου βίου τοῖς ὁρῶσί σε, ὥσπερ καὶ γίνοιο· καὶ γὰρ ἀκούομεν ἔτι καὶ ἔτι τὰ καλά σε πράττουσαν, τοῦτο μὲν ἐν τῇ καθηγήσει τῶν ἀδελφῶν, μιᾷ ψυχῇ ἀγαπητικῇ τὰς πάσας συνέχουσαν, γρηγοροῦσαν τὰ πρὸς θεὸν ἐν προσευχαῖς, ἐν ψαλμῳδίαις, ἐν ἀναγνώσεσι, τοῦτο δὲ ἐν φιλαδέλφῳ ξενοδοχίᾳ, πολυτρόπως διαμεριζομένην ταῖς φροντίσεσί τε καὶ ἐπιδόσεσι καὶ οἷόν τις ὀφθαλμὸς ἐν σώματι, τοῦτο ἐν τῇ Βυζαντίδι, ὡς κατανοῶ, τὸ σὸν μοναστήριον· δι᾿ οὗ δοξάζεται θεὸς καὶ ἥδεται ἀρρήτως ἡ μακαρία μήτηρ, ἐπείπερ ἠξίωνται οἱ ἅγιοι βλέπειν τῶν σφῶν μαθητῶν τὰ κατορθώματα.

---

44 Ἰωάννην: cf. ep. 151,51

43 ἴδομεν C ἡμῶν ἀδελφὸν C: ἀδελφὸν ἡμῶν cett Sirm 46 πάθος: μάθος Sirm 47 οἴσειν om VM

---

510. a. 824 – 826 6 μητρός: Eirene 18 μοναστήριον: Clubium; cf. PG 116,72 D; supra p. 205* adn. 213

VM PS

5 αὐτὴ S 7 ζώντων: ζωῆς S 9 ἐστι om VM 11 γιγνομένη S 12 ὁρῶσί σε: ὁρῶσιν VM 14 ἀγαπητικῶς VM Sirm συνέχουσα P 16 καὶ post δὲ add V 19 ἥδεται: ᾄδεται V ἐπείπερ – 20 βλέπειν om VM τοῖς κατορθώμασι M

Χαίροις οὖν, ἀγαθὴ διδάσκαλε καὶ μήτηρ γνησιεύουσα τῶν κατὰ θεὸν τέκνων· καὶ ἄλλοι μὲν ἐχέτωσαν δόξας γηΐνας καὶ λαμπρότητας, διαδήματά τε καὶ στεφανώματα πρόσκαιρα, σοὶ δὲ ἀρκέσει ὁ σταυρὸς Χριστοῦ, ὁ θεόληπτος βίος, ὁ χριστοπόθητος παρθενών, εἰ δὲ βούλει, τὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον τιμαλφέστερα λόγια τοῦ θεοῦ, τὸ φαιὸν ἱμάτιον, ἡ ἀκολούθησις τοῦ Χριστοῦ, ἅτινά ἐστι μείζω πάντων τῶν ἐπιγείων καὶ ἀρραβωνίσματα τῆς βασιλείας τῶν οὐρανῶν. μή σοι λοιπόν ποτε νυστάξῃ τὸ ὄμμα τῆς διανοίας μηδὲ ἡ ἀκοὴ τῆς καρδίας ἀνακουστήσῃ μηδὲ λήξῃ σού ποτε ὁ θεῖος ἔρως, ἀλλὰ γὰρ καὶ προσθήκαις ἀρετῶν ἀεὶ ἐπαύξαιο, νύσσουσα καὶ κατανύσσουσα τὴν ψυχὴν καὶ ὥσπερ ἔκ τινος πηγῆς προχέουσα δάκρυον. καλὸν γὰρ ὅτι μάλιστα τὸ ὕδωρ τοῦτο· καθαίρει ψυχήν, ἔσθ' ὅτε ῥυπουμένην ἐν λογισμοῖς, σβέννυσι πῦρ ἐξ ἀπροσεξίας ἀναπτόμενον ὑπὸ ἔρωτος σαρκός, κατευνάζει ταραχώδη διάθεσιν καὶ δυσμενοῦς προσβολῆς, κάμπτει τῷ ὄντι θεὸν εἰς ἔλεον καὶ ἵστησιν ἐπὶ τῆς προτέρας γνησιότητος τὸν ἐραστήν. σοφὴ οὖσα νόει ἃ λέγω· δίδωσι γάρ σοι Κύριος χάριν καὶ δώσειέ σοι ἔτι εἰς τὸ στέργειν αὐτὸν καὶ ἀντιστέργεσθαι, ποθεῖν καὶ ἀντιποθεῖσθαι, ὡς ἂν ἕξει καὶ σοὶ εἰπεῖν μετὰ τοῦ ἀποστόλου· ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. καὶ γὰρ ὁ ἀγαπῶν ὁλοσχερῶς τὸν θεὸν ἐξίσταται ἑαυτοῦ ἐν τῷ ἀγαπωμένῳ καὶ ζῶν καὶ κινούμενος καὶ ὤν.

Τοιαύτην σε ὁ λόγος ἐπιζητεῖ, τὴν νύμφην τοῦ Χριστοῦ, καί γε τὰς ὑπὸ σὲ θυγατέρας θεοῦ. καὶ τί τὸ ἐντεῦθεν; ὁ νυμφίος Χριστός, ὁ ἐπουράνιος νυμφὼν καὶ τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλήμ, αὕτη ἡ βασιλεία τῶν οὐρανῶν καὶ ὅσα ἐπήγγελται ἀναπαυστικὰ τοῖς ἁγίοις· ἃ φθάσασα ἡ μακαρία μήτηρ παρακαλεῖ ἐπιμένειν ὑμᾶς ἐν τῇ ἀσκήσει, ἐν τῇ ὁμονοίᾳ, ἐν τῇ συμψυχίᾳ, πατεῖν τὰ πά/θη, μισεῖν σάρκα καὶ αἷμα, ἀντέχεσθαι τῶν ἀρετῶν, δι' ὧν ἔστιν ἐπιτυχεῖν τῶνδε τῶν ἀρρήτων ἀγαθῶν.

39 Gal. 2,20 40 Act. 17,28

21 μῆτερ M σημείωσαι in marg PS 24 παρθενῶν S 25 τιμαλφέστατα VM 29 καρδίας: διανοίας VM γὰρ om VM 31 καὶ om VM 32 ἐστιν post γὰρ add VM Sirm τοῦτο om VM ῥιπτουμένην M 34 προσβολήν VM 35 τῳόντι S ἵστησι VM Sirm πάλιν ante ἐπὶ add VM Sirm 37 ἔτι om VM 46 ἡμᾶς V^{ac}M 48 ἐστιν MPS

511. Εὐδοκίμῳ σπαθαρίῳ

Δευτερεύω τοῦ ἐπιστέλλειν τῇ τιμιότητί σου, καὶ τοῦτο προτραπεὶς παρὰ Σιλουανοῦ, τοῦ αἰδεσιμωτάτου ἡμῶν ἀδελφοῦ· ἐπειδὴ γὰρ ἦλθεν εἰς ὁμιλίαν τὴν κατ' ὀφθαλμούς, κατέκλασεν ἡμῶν τὴν ταπεινὴν ψυχήν, ἐξηγορήσας ἕκαστα, ὅτι καὶ εὐχαρίστως φέροις, ὁ δεσπότης ἡμῶν, τὸ συμβεβηκὸς καὶ ἐπὶ θεὸν ἀναφέρεις τὸ πάθος, ἔξω ἑαυτὸν τιθῶν τῶν σκαιωρηθέντων ἀνθρωπίναις ἐπηρείαις, καὶ τέλος ἓν ζητῶν, ὅπως εὐπρόσδεκτον πρὸς τὸ ἑξῆς τὴν ζωὴν καταστήσειας τῷ δεσπότῃ τῶν ἁπάντων. ἐπὶ πᾶσι τούτοις διέθηκεν ἡμᾶς κατὰ τὸ εἰκός, ἐκεῖνο εἰπόντας, ὅτι ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά· καὶ γὰρ ὥσπερ ἔν τινι ταμιείῳ τὰ ἐκ τῆς προλαβούσης παιδείας θείας τε καὶ ἀνθρωπίνης ἐναποθέμενος τῇ ψυχῇ γνωστικὰ θησαυρίσματα ἐπὶ καιροῦ εἰκότως χρειώδους προΐοις τὰ πνευματικὰ πλούτη, οἰκονομῶν τὸ κατὰ σεαυτὸν σωτήριον. καὶ ἴδε, ἄνθρωπε ἀγαθέ, ὅτι εἰς καλόν σοι ἀπέβη τὰ θεῖα μαθήματα, ἡ ἀνάγνωσις καὶ ἐπίγνωσις, ἡ σχολὴ καὶ ἐντριβή, ἡ ἔντευξις καὶ ἡ προσευχή, ἡ κτῆσις τῶν ἱερῶν λόγων τε καὶ δέλτων. ὡς πλούσιος σὺ ἄγαν, κἂν εἰς ὀλίγα σοι περίεστι τὰ τῆς ζωῆς ἐφόδια, ὡς εὐωπὴς καὶ καλλιβλέφαρος, κἂν τὴν ὄψιν ἀδικίᾳ ἀπεστέρησαι, ὡς περιφανὴς λίαν καὶ περίδοξος, κἂν τὴν ἄτιμον καὶ ἄδοξον ζωὴν ἀνατλᾶν διανενόησαι. καί γε πάντως τοῦτο δοκιμή τίς ἐστι καὶ βάσανος ἀρετῆς, ἵνα, ἐξ ὧν δοκῶμεν ἐγκαταλελεῖφθαι, ἐντεῦθεν εὕρωμεν εὐεργετῆσθαι πρὸς θεοῦ τοῦ ἀγαθοῦ· ὃς διὰ τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας καὶ τῶν ἄλλων, ὅσα ἡ ἀποστολικὴ διεστείλατο φωνή, οἶδεν οἰκονομεῖν συμφερόντως τὴν ζωὴν ἡμῶν. καὶ τοῦτο δόγμα ἀρχαῖον καὶ τῆς τῶν

---

511. a. 824–825 2 δευτερεύω: prima epistula perdita ut videtur

10 Luc. 6,45 23 2 Cor. 6,7 sq.

C VM PS

5 φέρεις S[pc] 7 τιθῶν C: τιθεὶς cett Sirm σκεωρηθέντων C ἐπηρείαις: ἐπινοίαις VM 8 προστοεξῆς S 11 ἔν om VM 13 ἐν ἀποθέμενος C 14 χρειώδους S[sscr] τὸ: τὰ VM 15 σωτήρια VM καὶ om VM 16 ἡ ante ἐπίγνωσις add VM Sirm ἡ ante ἐντριβή add VM Sirm 17 τε om VM 18 κἀν M περιέστη M 19 εὐῶπις PS Sirm: εὐώπης Mi καλλιβλέφος Sirm κἀν M 20 κἀν M 21 ἀνατλᾷν Sirm: ἀντλᾷν Mi τοῦτο om VM 22 δοκοῦμεν VM 23 εὐεργετεῖσθαι omnes: corr Kambylis

θεολήπτων ἀνδρῶν πολιτείας γνωριστικόν. λάβε μοι Ἄβελ, τὸν θεοκρίτως μαρτυρηθέντα δίκαιον· οὐχὶ παρανάλωμα ἀδελφικῆς χειρὸς γέγονεν; τὸν Ἐνὼχ ἐκεῖνον, θεῷ εὐαρεστήσαντα, οὐχὶ διὰ τοὺς τηνικαῦτα φθορεῖς καὶ φθείρειν αὐτὸν ἐσπουδακότας θεὸς ἐκ μέσου ἥρπασεν, ἐν ἀδήλοις τόποις μεταθέμενος, ὃς καὶ μένει μέχρι τοῦ δεῦρο προάγγελος τῆς δευτέρας ἐπιφανείας Χριστοῦ ἐσόμενος; γνῶθι τὸν Ἀβραάμ, πειραζόμενον ὑπὸ θεοῦ πολυτρόπως, οὗ τὸ δοκίμιον τῆς πίστεως πολυτιμότερον χρυσίου ὅτι μάλιστα. καὶ ἵνα τοὺς ἄλλους παραδράμοιμι, πολλοὺς ὄντας καὶ οὐκ ἐν ἐπιστολῆς μέτρῳ ὑπομνηματίζεσθαι ἐγχωροῦντας, Ἰὼβ τὸν μυρίαθλον τάχα, εἰ παραβάλωμεν τὰ ἑαυτῶν τοῖς ἐκείνου πάθεσιν, εὕροιμεν δὴ ἐνδεῶς ἔχοντα καὶ συμφθεγξόμεθα τὴν ἐκείνου ἀοίδιμον φωνὴν ἑκάστοτε ἀναλαμβάνοντες.

Οὕτως οὖν παρα/καλοῦμέν σε, ἐπιπόθητε, διαθέσθαι τὰ κατὰ σαυτὸν καὶ τὸν καιρὸν τῆς δυσπραγίας καὶ πολυπαθείας κρείττονι λογισμῷ καὶ βεβαιοπίστῳ γνώμῃ εἰς εὐτυχίαν καὶ εὐπάθειαν μεταστοιχειώσασθαι· τὸν γὰρ οὕτως ἐρηρεισμένον καὶ πεποιθήσει θεοῦ ζῶντα οὐδὲν παρακινήσει τῶν ἀνθρωπίνων, ὑψηλότερον πεφηνότα πάντων τῶν λυπεῖν εἰωθότων. κἂν λέγῃς ἐν τῇ παρακροάσει τοῦ ἀναγινώσκοντος εἰς ὕπνον τρέπεσθαι, οὐ θαῦμα· πέφυκε γὰρ ἡ ἀφαίρεσις τῆς ὄψεως τοῦτο ἐργάζεσθαι. κἂν φῇς μηδὲν ἔργον ἐπὶ χεῖρας ἔχειν, ἀπρακτούσης τῆς φύσεως, μηδέν σοι μελέτω· φησὶν ὁ ἀπόστολος· ψαλμὸν ἔχεις, διδαχὴν ἔχεις, γλῶσσαν ἔχεις, ἀποκάλυψιν ἔχεις· πάντα πρὸς οἰκοδομὴν γινέσθω. φάγε, πίε, ὕπνωσον, μόνον τὸ εὐχάριστον κέκτησο καί, ὅσα σοι οἴκοθεν καὶ ἐν τῷ φυσικῷ τοῦ νοῦ βιβλίῳ ἀπόκειται, ἀναγίνωσκε. καὶ μικρὸν ὕστερον ἀναβλέψειας μέγα καὶ ἴδοις τὸ φῶς τὸ ἀπρόσιτον, Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ, ἀπ' οὐρανοῦ ἐρχόμενον μετὰ δόξης δυνάμεως αὐτοῦ ἐν πυρὶ φλογός, οὓς μὲν κρίνοντα ὡς ἐνδίκους κρίσεως, οὓς δὲ δοξάζοντα ὡς δόξης συνίστορας· μεθ' ὧν εἴης καὶ αὐτός, φίλτατέ μοι καὶ τιμιώτατε, ἀπαστράπτων ἴσα καὶ ἡλίου βολίδι.

---

27 Gen. 4,8 29 Gen. 5,24 33 1 Petr. 1,7 49 1 Cor. 14,26 53 Matth. 24,30 54 Ex. 3,2

---

27 ἄβελ P 29 γέγονε VPS Sirm τὸν post ἐκεῖνον transp M οὐχὶ: οὐ VM 31 μετὰ θέμενος C τοῦ: τῆς VM 32 Χριστοῦ ante ἐπιφανείας transp VM Sirm 33 ἀβραὰμ PM 34 χῦ M: χρυσοῦ VPS Sirm 35 παραδράμαιμι C 36 παραβάλομεν C: παραβάλλομεν M: παραβάλλοιμεν V (sed cf ep 306,22 εἰ ἀποθάνωμεν aliaque id genus) 40 σ' αυτὸν C 41 δυσπραγείας C 45 καν C: κἂν M 46 ὕπνον: ὕμνον Mi 47 καν C: κἂν M φὴς P: φῆς Sirm ἐπὶ χεῖρας S[sscr] 50 γενέσθω M 53 τοῦ om Mi 54 οὐρανῶν VMPS Sirm ἀπ' οὐρανῶν in marg P καὶ ante δυνάμεως add VM Sirm 57 ἶσα VMPS Sirm

Περὶ οὗ προώρισας προαστείου εἰς μοναστήριον καθεστάναι, εἴ τι οὖν ἄλλο οὕτως ἢ ἑτέρως ἐν καλῷ διώριστο, πάντα ὡς ἤδη γεγονότα θεὸς ἐδέξατο, εἴπερ εὐχαρίστως τὴν ἀφαίρεσιν πάντων οἴσεις. προσεύχου περὶ ἡμῶν τῶν ἁμαρτωλῶν· ἄρτι γὰρ οὐχ ἡμεῖς οἱ ἁμαρτωλοί, ἀλλὰ καὶ εἴ τις τῶν ὁσίων ἐξαιτήσοιτο ἄν σου τὴν δέησιν, ὡς κάμνοντος τοῖς παθήμασιν. ὁ θεοφιλέστατος ἀδελφὸς ἡμῶν καὶ ἀρχιεπίσκοπος πλεῖστά σε προσαγορεύει.

512. Σεργίῳ ἡγουμένῳ

Χάρις Κυρίῳ, ὅτι ὑγιαίνει ἡ τιμιότης σου· τοῦτο γὰρ ἀνήγγειλε τὸ γράμμα καὶ ἡ δυὰς τῶν ἀδελφῶν. ἀπεδεξάμεθα δὲ καὶ τὴν πρόθεσιν τοῦ ἐπιθυμεῖν σε ἀφῖχθαι πρὸς ἡμᾶς, κωλυθέντα γε μὴν ὑπὸ τῆς συνοχῆς τῶν ἐμφυλίων πολέμων καὶ τῆς κατὰ τὴν ὁδὸν ἐπηρείας· ἅτινα κακὰ Κύριος ὁ θεὸς ἡμῶν διασκεδάσει ἐν τάχει, ἐπανάγων εἰς εἰρήνην τὸ ὑπήκοον καί γε ἀπαλλάττων τῆς τῶν Ἀγαρηνῶν ἐπιδρομῆς· ἐδιδάχθημεν γὰρ καὶ τὴν περὶ αὐτῶν ῥομφαίαν, οἵα καὶ ἡλίκη γένονεν ἐν τοῖς αὐτόθι.

Καὶ ταῦτα πάντα ἐπιτίμιά ἐστι παρὰ θεοῦ ἐπὶ τῇ ἀμετανοήτῳ ἡμῶν κακίᾳ. ὅμως σύ, ἄνερ ἀγαθὲ καὶ ἀδελφὲ τιμιώτατε, στῆθι καὶ ἀνδρίζου ἐν τῷ καθηγεῖσθαι τῆς ἀδελφότητος, μὴ ὑποπίπτων ἀθυμίᾳ, κἂν πολλαὶ αἱ δυσκολίαι, μὴ ἀποκάμνων ταῖς ἀπορίαις, κἂν ἡ ἰσχὺς δαπανᾶται· ἀλλὰ πρῶτον μέν, ὃ καὶ πρώτου λόγου ἐστὶ ζήτημα, τὴν πίστιν φρούρει ἀσφαλῆ καὶ ἀκράδαντον, φεύγων τὴν κοινωνίαν τῶν ἑτεροδόξων παντοίῳ τρόπῳ. ἴσθι γὰρ ὅτι διωγμὸς πάρεστι, καὶ οὐ τελειότητος, τὸ ὑμᾶς οἴκοι καθέζεσθαι καὶ ἀδιώκτους διαμένειν, τῶν ζηλωτῶν τῆς εὐσεβείας πολλὰ πεπονθότων καὶ μαρτυρίου διά/δημα στεψαμένων τινῶν. ὥστε ἀκριβοῦς ζωῆς ὑμῖν χρεία, ἀναπληρούσης τὸ ἐλλιπὲς τῆς ὑποπτώσεως, ἣν ὑπέπεσεν ὁ προκαθηγησάμενος ὑμῶν

60 εὐχαρίστως post ἀφαίρεσιν transp VM 64 ἡμῶν ante ἀδελφὸς transp VM

512. a. 823 5 ἐμφυλίων πολέμων: seditio Thomae 12 ἀδελφότητος: monasterii Pelecetae

2 Bas. ep. 91 (PG 32,476 A = I 197,1 Courtonne)

VM PS

3 καὶ[2] S[sscr] 5 ἀπηρείας (sic) Sirm 12 κἀν M 13 κἀν M 20 ὑποπτώσεως: ἡλικίας VM Sirm ἡμῶν P

καὶ δι' αὐτοῦ πάντες ὑμεῖς τῇ ἐκείνου παραδοχῇ· οἷα γὰρ ἡ κεφαλή, τοιοῦτον καὶ τὸ ὅλον σῶμα. καὶ ταῦτα λέγω οὐχ ἵνα διαλυθῆτε, ἀλλ' ἵνα συντηρῆσθε ἀκριβῶς καὶ ἐπιρρώννυσθε τῇ ἀμεθεξίᾳ τῆς αἱρέσεως. δεύτερον, νήφων νῆφε καὶ γρηγορῶν γρηγόρει, ὅτι πολλοὶ οἱ πολεμοῦντες ἡμᾶς ἀπὸ ὕψους, ὅτι πολλὰ τὰ θήρατρα τοῦ διαβόλου, ὅτι ὡς λέων ὠρυόμενος ζητεῖ τίνα καταπίῃ· καὶ ὃν μὲν ἡδονῇ σαρκὸς πειρᾶται ῥοφῆσαι, ὃν δὲ ἀπιστίας νοσήματι διαρρῆξαι τῆς συναφείας τῶν ἀδελφῶν· καὶ ἄλλον φθόνου βέλεσι κατατιτρώσκει, Κάιν ἄλλον ἀποδεῖξαι βουλόμενος, ἕτερον δὲ φιλαργυρίας πτώματι καταβάλλει, Ἰούδαν δεύτερον γνωρίσαι γλιχόμενος. καὶ ἁπαξαπλῶς, ἔργον αὐτῷ νύκτωρ καὶ μεθ' ἡμέραν ἡ καθ' ἡμῶν ἀπώλεια.

Σκόπει, φυλάττου τρόποις καὶ λόγοις τὰ πρόβατα τοῦ Χριστοῦ καὶ ὁ μισθός σου πολὺς παρὰ θεοῦ· αὐτὸς γὰρ εἴρηκε πρὸς τὸν κορυφαῖον τῶν ἀποστόλων· Σίμων Ἰωνᾶ, φιλεῖς με πλέον τούτων; ποίμαινε τὰ πρόβατά μου. ὥστε ἀπόδειξις τῆς εἰς αὐτὸν ἀγάπης ἡ ποιμαντικὴ κατὰ λόγον ῥάβδος.

513. Στεφάνῳ τέκνῳ

Κατέλαβεν καὶ ὁ ἀββᾶς Ἄνθιμος, ὦ καλὲ Στέφανε καὶ υἱὲ ἠγαπημένε, καί, καθάπερ σε ὀφειλομένως ἰδών, ἀνέκρινα ὅπως διάγοις· ἐπειδὴ ὁ λόγος τῆς προστασίας ἀπαιτεῖ τοῦτο, οὕτως ἐχρησάμην καὶ ἐπὶ τοῦ ἀδελφοῦ σου Ἀνθίμου. καὶ ὅτι μὲν ἀγάπην ἔχετε μετ' ἀλλήλων διέγνων, οὐ μὴν οἵαν ἐπιζητεῖ ἡ ἀλήθεια ἐπὶ ἀδελφοῖς γνησιεύουσι κατὰ Κύριον. καὶ τί τοῦτο, ὅτι οὐ κοινοποιεῖτε πάντα, ἀλλὰ καὶ αὐτὸς ἰδιοχρυσεῖς καὶ οὗτος ἰδιοχρυσεῖ, ὅπερ ἐστὶ διαιρετικὸν ἀγάπης; ποῦ γὰρ δύναιτ' ἂν μία ψυχὴ καὶ μία καρδία εἶναι, ὅπου ‚τὸ ἐμὸν καὶ τὸ σὸν' εἴρηται; ἐντεῦθεν αἱ ὑποψίαι, ἐντεῦθεν αἱ

---

24 νήφων — γρηγόρει: cf. adn. ad ep. 530,52

26 1 Petr. 5,8 34 Joh. 21,16

21 ἡμεῖς VP Sirm οἷα PS 25 τοῦ διαβόλου om VM 26 ζητῶν V 30 ἰοῦδαν S ἅπαξ ἁπλῶς Sirm αὐτοῦ Sirm 31 μεθημέραν S 33 σου: σοι VM

---

513. a. 821 – 826

9 Act. 4,32

C VM PS

2 κατέλαβε VMPS Sirm 3 διάγεις VMS 5 μὲν post ἀγάπην transp VM

καταλαλιαί· καὶ τὸ τρίτον, ἐντεῦθεν οὐχ ὁ Χριστὸς ἐν μέσῳ ὑμῶν, ὁ εἰπών, ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν, ἀλλ' ὁ ἐχθρὸς τῶν ψυχῶν ἡμῶν, ὁ διατέμνων τὰ μέλη τοῦ Χριστοῦ. δῆλον γὰρ ὅτι, ὅπου ἰδιοκτημοσύνη καὶ οὐ κοινότης, ἄπεστιν ἐκεῖθεν ὁ Χριστός, ἐπειδὴ γέγραπται ἐπὶ τῶν ἀποστόλων, εἶχον ἅπαντα κοινὰ καὶ οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι.

Οὐκ αἰσχυνόμεθα ἄρτι, σύγγνωτε, δύο ὄντες μὴ κεκτῆσθαι κοινὰ τὰ ὄντα, ἐπὶ τῶν ἀποστόλων τοσούτου πλήθους ὄντος τὴν κοινότητα ὑπάρχειν; διὰ τοῦτο ἐκεῖ ἦν ὁ Χριστός, ἐν ὑμῖν δὲ οὐδαμῶς, κἂν βαρὺς ὁ λόγος· ἦ γὰρ ἂν καὶ σύμψυχοι ἦτε, σύμφρονές τε καὶ ὁμοκάρδιοι, ἀλλήλους ἀνεχόμενοι, ἀλλήλων φροντίζοντες, αὐτάρκεις, εὐπειθεῖς, εὐμείλικτοι, ἱλαροί, ἀρκούμενοι τοῖς παροῦσι, γλυκεῖαν ζωὴν ἔχοντες καὶ μετὰ μόνου ἄρτου καὶ ὕδατος, οἵαν / εἶχον οἱ ἅγιοι. νῦν δὲ τοὐναντίον κατὰ τὰ προειρημένα. διὰ τοῦτο καὶ ὁ περισπασμὸς ὑμῖν, ἵνα προστεθῇ ἓν ἀργύριον καὶ ἓν χρυσίον τῷ ἤδη προστοιβασθέντι κέρματι· ὅπερ ἐστὶ φιλαργυρίας πάθος καὶ Ἰουδαϊκὸν ἀποτέλεσμα. ἐρωτῶ καὶ ἀποκρίθητέ μοι· ἔχετε ἄρτον καὶ οἶνον καὶ ἔλαιον κατ' ὀλιγότητα σὺν τοῖς ἄλλοις ἐπιτηδείοις καὶ τροφευτικοῖς τοῦ σώματος μέχρι μηνὸς ἑνὸς ἢ δυοῖν; ἐὰν κατανεύσητε, χάρις Κυρίῳ, εἰ δὲ μή, πριᾶσθε ἐξ οὗ δέδωκα ὑμῖν νομίσματος ἄρτι, καὶ οὐδεὶς περισπασμός, καὶ οὐδεμία ταραχή· ἱκανήσει γὰρ οἶδ' ὅτι καὶ τετραμηνιαίου χρόνου εἰς χρείαν. καὶ ὅτε ἀπορήσητε πάλιν ἢ ἐντεῦθεν ἢ ἄλλοθεν, προσθείην δ' ἂν καὶ ἐκ τοῦ ἐργοχείρου ὑμῶν, ὁ τρέφων τὰ πάντα θρέψειεν καὶ ὑμᾶς.

Οὗτος ὁ βίος ἄριστος, οὕτως τὸν Χριστὸν μέσον ὑμῶν σχοίητε, πῇ μὲν ἐργαζόμενοι, πῇ δὲ προσευχόμενοι, καὶ ποτὲ μὲν ἡσυχάζοντες, ποτὲ δὲ ἀναγινώσκοντες. καὶ ἀνατελεῖ ὑμῖν φῶς γλυκὺ καὶ τοῖς ὁρῶσιν ἔσεσθε ἐραστοί· καὶ θεὸς δοξασθήσεται ἐν ὑμῖν καὶ ἀντιδοξάσειεν ὑμᾶς καὶ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι, ἡμῶν τε αὐτῶν τῶν ἁμαρτωλῶν ἔσεσθε καύχημα καὶ ὅλης τῆς ἀδελφότητος κλέος. ταῦτα εἴρηκα ὡς οὐκ ἐχόντων ὑμῶν χρυσίον τεθησαυρισμένον, μηδὲ εἴη

---

12 Matth. 18,20 **16** Act. 4,32 **36** Joh. 1,26

---

15 ἀπεστην C **16** τι τῶν: τῶν τι Mi **18** αἰσχυνώμεθα C **20** διατοῦτο VPS ὁ om VM ἡμῖν V[ac]M κἀν M **21** ἠ C: ἢ VM[ac]P[ac] Sirm καὶ[1]: τὸ Sirm **22** ἀλλήλους: ἀλλήλων VMPS Sirm **25** διατοῦτο VMPS **26** ἡμῖν VM καὶ: ἢ Sirm χρύσιον Sirm **30** κατανεύσοιτε C **31** πρίασθε VMPS Sirm **32** καὶ[1] om VM οὐδὲ μία P voculam εὖ ante οἶδ' add M **33** τετραμηναίου VM ὅτε: ὅταν VM ἀπορήσετε PS Sirm **34** ὅτι post ἂν add VM ἐργοχέρου M **35** θρέψει VM: θρέψειε PS Sirm **36** ἡμῶν M **40** ἡμᾶς S **42** ὡς οὐκ: οὐχ ὡς Sirm ἡμῶν M

ἔχειν ὑμᾶς, ὡς ἂν μὴ ἀκούσοιτε· ὅπου ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. θησαυρισμὸς δέ ἐστι μοναχῷ, ἐὰν ἐπάνω τῶν τριῶν νομισμάτων κατὰ τὸ γεγραμμένον ἐν τοῖς πατράσι περιποιήσηταί τις ἑαυτῷ, καὶ τοῦτο ἐπὶ τῶν πτωχῶν τὴν διάνοιαν, ἐπεὶ ὅ γε ἀκριβὴς μοναχὸς καὶ δεσπόζων κόσμου δι' ἀκτημοσύνης οὐδὲ ἓν ἀργύριον κέκτηται καὶ κράζει μετὰ τοῦ ἁγίου Παύλου· ὡς πτωχὸς ἐγώ, πολλοὺς δὲ πλουτίζων· καὶ ὡς τὰ πάντα κατέχων καὶ μηδὲν ἔχων. καὶ γὰρ ὁ θεὸς τῷ τοιούτῳ πάντοθεν ἀνοίγει θύραν, καὶ ἡσυχάζοντι καὶ διωκομένῳ καὶ φυλακιζομένῳ καὶ ὁτιοῦν πάσχοντι ἕτερον. καὶ χριστοφόρος ὁ τοιοῦτος καὶ χριστιανὸς ἀληθινὸς καὶ ἄγγελος ἐπὶ γῆς καὶ θεομίμητος ἀνὴρ καὶ κληρονόμος θεοῦ, συγκληρονόμος δὲ Χριστοῦ.

Σκέψασθε οὖν λοιπόν, ὦ ἀδελφοί, τὸν λόγον καί, εἰ μὲν τρινομεῖτε ἀμφότεροι, οὐκ ἀπόβλητοι ἐν μοναχοῖς κατὰ τὸ ὑπόδειγμα τὸ πατρικόν· εἰ δὲ ἐπάνω δεκανομοῦντες, καθὼς ἀκούω, ἢ καὶ πρός, γινώσκετε ἔκπτωτοι εἶναι τῆς μοναχικῆς καταστάσεως καὶ θεραπευταὶ οὐ Χριστοῦ, ἀλλὰ τοῦ ἐναντίου, καὶ τέκνα οὐκ ἐμοῦ τοῦ ταπεινοῦ, ἀλλὰ τοῦ φιλοχρυσοῦντος. δόξειεν ὑμᾶς λέγειν ὅτι ‚ἔχεις, ναί· ἐπεὶ καὶ Χριστὸς διὰ τοῦ γλωσσοκόμου, οὗ ἐπεφέρετο, καὶ πᾶς καθηγούμενος καὶ προεστὼς τῶν ἐκκλησιῶν'. ἀλλὰ διὰ τὴν οἰκονομίαν τῆς ἀδελφότητος· φησὶ γὰρ ἐν τῷ εὐαγγελίῳ ὁ Κύριος πρὸς τὸν Ἰούδαν· ὃ ποιεῖς, ποίησον τάχιον. τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ. τινὲς γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν Ἰούδας, ὅτι / λέγει αὐτῷ, ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτὴν ἢ τοῖς πτωχοῖς ἵνα δῷ τι. οὕτως κατὰ μίμησιν Χριστοῦ ἐν πᾶσι τοῖς ἀληθινοῖς προεστῶσιν ἔστι πάντως τὸ γλωσσόκομον καὶ οὐ δι' ἄλλο τι, ἄπαγε· ἔχθιστον γὰρ θεῷ. εἰ οὖν καὶ ὑμεῖς ἐστε προεστῶτες καὶ ἐπιδιδοῦσιν ὑμῖν τινες, ὡς καὶ αὐτῷ τῷ Χριστῷ ἐκ τῶν ὑπαρχόντων αὐτῶν, καθὰ γέγραπται, αἱ συνακολουθοῦσαι αὐτῷ γυναῖκες καὶ τοῖς ἁγίοις ὁμοιοτρόπως ἄλλοι καὶ ἄλλαι, εὖ ἂν ἔχοι, καὶ σχοίητε μὴ ἀπὸ δέκα νομισμάτων, ἀλλὰ καὶ ἀπὸ μυρίων· οὐδὲν γὰρ ὑμέτερον,

---

43 Luc. 12,34 48 2 Cor. 6,10 53 Rom. 8,17 64 Joh. 13,27 sq. 70 Luc. 8,3 71 Luc. 23,49

---

43 ἀκούσητε VMPS Sirm 44 σημείωσαι· ὅρα μοναχέ in marg PS θησαυρισμὸς C: θησαυρὸς cett Sirm ἔστι Sirm 48 κράξει VM 49 πλουτίζω VM κατέχω V 50 ἔχω V^{ac} 51 καὶ φυλακιζομένῳ om VM ὅτι οὖν C 54 δὲ V^{sscr} 55 λοιπόν, ὦ om VM 63 τοῖς εὐαγγελίοις VM ϊοῦδαν C 64 τάχειον C 65 πρός τι C 66 ϊοῦδας C 68 ἀληθινῶς V 69 ἔκθιστον C γὰρ om VM 70 τῷ om VMPS Sirm 71 αὐτῶν: αὐτοῖς VM καθά: καθὼς M σὺν ἀκολουθοῦσαι C 73 ἡμέτερον V^{pc}

ἀλλὰ Χριστοῦ, καὶ οἰκονόμοι ὑμεῖς τῶν τοῦ Χριστοῦ, καθὸ καὶ Παῦλος τὰ πάντα κατέχων οὐδὲν εἶχεν καὶ πᾶς τις ἄλλος μέχρι τοῦ δεῦρο θεοφόβως ἔχων τὴν προστασίαν. εἰ δὲ οὐκ ἐστὲ προστάται καὶ οἰκονόμοι ψυχῶν, παρακαλῶ καὶ ἀντιβολῶ, διανείματε τὸ παρὰ τὸ ὡρισμένον μέτρον τάχει, ἵνα μή, τῷ τῆς φιλαργυρίας πάθει ἁλόντες ὑπὸ τοῦ διαβόλου, ἐκπέσοιτε ἀπὸ τῆς μαθητείας Χριστοῦ.

Ταῦτα οὐχ ὑμῖν μόνοις εἴρηκα, ἀλλὰ καὶ δι' ὑμῶν πᾶσι τοῖς ἀδελφοῖς· καὶ οὐ μισῶν (ἄπαγε), ἀλλὰ καὶ πάνυ φιλῶν, καὶ οὐ στενοχωρῆσαι ὑμᾶς αἱρούμενος, ἀλλὰ καὶ πάνυ εὐρυχωρῆσαι. ἐν γὰρ τῇ στενότητι ἡ πλατύτης καὶ ἐν τῇ κατὰ Χριστὸν θλίψει ἡ ἀγαλλίασις τοῦ πνεύματος. καὶ ἀκούσατέ μου, τέκνα, τοῦ ἁμαρτωλοῦ, καλῶς συμβουλεύοντος, ἐννόμως προστάσσοντος, ἵνα, κατὰ πάντα καὶ ἐν πᾶσιν εὐαρεστοῦντες Χριστῷ, κληρονόμοι γενώμεθα τῶν αἰωνίων ἀγαθῶν.

514. Μαρίᾳ βασιλίσσῃ

Ὁποῖοι ἡμεῖς καὶ τίνες, οἱ εὐτελεῖς, ἀπολογίας ἠξιωμένοι ἐπὶ τοῖς συμβᾶσιν ἀνιαροῖς, πρὸς δὲ καὶ ἐπαίνοις ὑπεράγαν ἀφοσιωθέντες παρὰ τῆς ὑπερτίμου σου κυριότητος; ὅμως ὅτι ἀποδεδέγμεθα τὸ εὐσυγκατάβατόν σου τῆς εὐσεβείας, διδαξάσης τὸ ἀληθὲς τῶν πραγμάτων (ἐπεί τοι καὶ ἀναγκαῖον) ἀπαλλαξάσης τε τοὺς πολλοὺς ψευδοεποῦς ὑπολήψεως, εἰωθυίας ἐν ταῖς τοιαύταις ὑποθέσεσι παρεισκρίνεσθαι. καὶ οὐ θαυμαστόν· ῥυϊσκόμενος γὰρ ὁ λόγος σκιδνᾶται ἐπὶ πολλοῖς, οὐκ ἔχων ἐφ' ἑκάστῳ τἀληθὲς ἐντελῶς.

Ἡμεῖς δὲ ποίοις λόγοις χρησόμεθα, πειρώμενοί σου θεραπεύειν τὸ ἄλγος τῆς πολυωδύνου καρδίας; ἢ τίσι πραοτέραις ἐπαφαῖς λεᾶναί σου δυνηθείημεν τὸ τραχύνον τῆς ψυχῆς; ἤνεγκας τοιγαροῦν, ἵν' ἐξ ὑπαρχῆς ἡμῖν προΐοι ὁ λόγος, ἄδικον χωρισμὸν ὁμοζύγου, συνεκρα-

---

75 2 Cor. 6,10

74 ἡμεῖς V τῶν: διὰ Sirm καθὰ PS Sirm 75 εἶχε VMPS Sirm ἄλλος om VM 76 θεοφόρως VM προστᾶται P 78 ὁρισμένον C 85 προστάττοντος S

514. a. 823 exeunte vel a. 824 5 εὐσεβείας: allocutio in epistulis quoque patrum ad augustam dicta; cf. Dinneen, Titles 29 sq. 13 ὁμοζύγου: Constantinus VI

C VM PS

3 ὑπεράγαν: ὑπὲρ ἄγαν C 5 διδαξάσης: διδάξει VM Sirm 6 ἐπεί τοι: ἐπείτοιγε VM Sirm ἀπαλλάξεις V Sirm: ἀπαλλάξει M τε om Sirm 8 σκίδναται VMPS Sirm 11 λεάναι CMS: λειάναι P^{pc} Sirm: λειᾶναι Mi 12 τοιγὰρ οὖν C ἐξ-υπαρχῆς S 13 ὑπαρχῆς: ἀρχῆς VM Sirm προΐῃ VM ὁμοζύγου ante χωρισμὸν transp VM Sirm

γεῖσα καὶ τοῦ κράτους, ἐφ' ᾧ δεδόνηται ὁ κόσμος. ἐλεεινὸν θέαμα· ἡ μοιχαλὶς πορφυροφοροῦσα καὶ ἡ βασιλὶς μελανειμονοῦσα, ἡ δούλη δεσπόζουσα καὶ ἡ δέσποινα θητεύουσα. καί, ἵνα τἄλλα παραδράμοιμεν, σοῦ τῆς παθούσης μᾶλλον εἰδυίας ὑπὲρ ἡμᾶς τοὺς ἀγνῶτας, ἤνεγκας ἐξορίαν ὑπὲρ ἀληθείας, ἐκτμηθεῖσα τοῦ γνησίου σπάγχνου. κἀνταῦθα καὶ ὁ πόνος μέγας καὶ ὁ ὕμνος σοι μάλα παρά τε θεῷ καὶ πᾶσι τοῖς εὐσεβέσιν. τρίτη πληγὴ / ἡ παροῦσα, ἐφ' ἧ τὸ δέον παραδεῖξαι κεκελεύσμεθα. ἄλλα μὲν οὖν ἄλλοι φθέγξονται, συνέπεσθαι μητέρα θυγατρί, ὅτι τοῦτο καὶ θηρίοις, φασί, φυσικῇ ὁλκῇ συμβαῖνον ἴδοι τις ἄν, ἡμεῖς δὲ οἱ ἁμαρτωλοὶ τὰ τοῦ δεσπότου· τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; καὶ αὖθις· εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὴν θυγατέρα, οὐκ ἔστι μου ἄξιος. τί τὸ συναγόμενον; τὸ τὴν σὴν θεοσέβειαν οἴκοι μένειν, τῆς αὐγούστης ἐχούσης τὰ βασίλεια· ἐφ' ᾧ δέδεικται ἡ εὐαγγελικὴ μάχαιρα τὴν τομὴν ἐπάγουσα.

Ταῦτα, σύγγνωθι, δέσποινα, σὺν πολλῇ προσοχῇ καὶ συνοχῇ καρδίας τεθαρρήκαμεν, ὡς ἂν εἰς οὓς ὁμιλοῦντες, ἐπιστεῖλαι, ὑπὲρ ἀμφοτέρων προσευχόμενοι τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας νῦν τε καὶ πρὸς τὸ ἑξῆς.

515. Βασιλείῳ μονάζοντι

Οὐ παραιτούμεθα γράφειν τὸν ταπεινὸν ἡμῶν λόγον, ὁσάκις ἂν εὐλόγως ἐπιζητῇ ἡ τιμιότης ὑμῶν, εἴπερ καὶ εἴη λυσιτελῶν ὑμῖν· αὐτὸ γὰρ τοῦτο καὶ ἐν τῇ προλαβούσῃ ἐπιστολῇ ἐπεσημηνάμεθα. οὐκοῦν καὶ νῦν προσιέμεθα αὐτόν, ὁμοῦ μὲν παρακλητικόν, ὁμοῦ δὲ

15 μοιχαλίς: Theodota 19 σπλάγχνου: filia Euphrosyne 26 θεοσέβειαν: hac allocutione imperator appellatur apud Athanasium; cf. Dinneen l. l. 9

22 cf. Synes. ep. 66 (p. 114,3 Garzya) ὥσπερ ὁλκαῖς τισι φυσικαῖς ἀκολουθῆσαι 24 Matth. 12,48 Luc. 14,26 29 2 Cor. 2,4 31 Hebr. 6,9

15 ἡ^{1} om VM ἡ^{2} om VM 16 τ' ἄλλα M: τἄλλα CS Mi παραδράμωμεν PS Sirm 18 γνησίου: οἰκείου VM 20 εὐσεβέσι VMPS Sirm 21 φθέγγονται VM 22 μητέρα θυγατρί: θυγατέρα τῇ μητρί VM 23 ὁλκῇ: ὁρμῇ VM ἁμαρτωλοὶ: εὐτελεῖς VM Sirm 26 τί τὸ συναγόμενον om VM 32 προστοεξῆς S

515. a. 824 – 826 3 τιμιότης: cf. adn. ad ep. 518,2

VM PS

3 εὐλόγως post ἐπιζητῇ transp M

καὶ ὑπομνηστικόν. τίς δὲ ὁ παρακλητικός; ὅτι ἐπειδὴ ἀπεβίωσεν ἐν Κυρίῳ ἡ καθηγουμένη σὺν δεκαδικῷ ἀριθμῷ ἀδελφότητος, ὥς φατε, οὐκ ἀπαθὲς τὸ δρᾶμα, ἀλλὰ καὶ λίαν ἐκστατικόν, ἐπείπερ κεφαλῆς ἀπούσης ὅλον τὸ σῶμα νεκρὸν καὶ μελῶν τῶν τιμιωτάτων ἐκκοπέντων τὰ ἐναπολειφθέντα εἰδεχθῆ.

Τοιοῦτον οὖν ὅσον τὸ κατὰ σάρκα τὸ γεγονός. ἀλλ' ἐπειδὴ πνευματικὰ πνευματικοῖς συγκρίνονται, ὁμοῦ μὲν λυπηρόν, ὁμοῦ δὲ καὶ περιχαρὲς τὸ συμβάν, τὸ μὲν διὰ τὴν στέρησιν, τὸ δὲ διὰ τὴν ἐλπίδα. παρεπέμψατε καθηγουμένην ἱερὰν ὅτι μάλιστα, καθὼς διηγεῖσθε, ἀδελφὰς σεβασμίας. χαρᾶς ὑπόθεσις, ἐκείνων μὲν τῶν προσληφθεισῶν ἑτοιμαζουσῶν ὑμῖν τόπον ἀναπαύσεως διὰ πρεσβευτικῆς ἐντεύξεως, ὡς ἂν οἱ προκαταλαμβάνοντες καθ' ὁδὸν τὰ καταλύματα, ὑμῶν δὲ τῶν ἀπομεινάντων ἤγουν ἀπομεινασῶν, ζηλούντων καὶ ζηλουσῶν προκαταλαβέσθαι τὸν ἀγαθὸν βίον καὶ τὴν σεμνὴν πολιτείαν καὶ ἀεὶ ἐκεῖ βλεπόντων καὶ βλεπουσῶν, ὅπου μικρὸν ὕστερον συντευξόμεθα τῇ κατὰ θεὸν μητρὶ καὶ ταῖς ἀδελφαῖς. ἴδε τοιοῦτον τὸ καθ' ὑμᾶς πάθημα εὔελπες καὶ περιχαρὲς καὶ οὐχ ὡς τῶν κατὰ σάρκα τεθνηκότων, οἵ, θρήνοις καὶ κοπετοῖς ἀλόγοις βαλλόμενοι, ἴσα τοῖς μὴ ἔχουσιν ἐλπίδα ἔθνεσι λύπης πεπλήρωνται. διὰ τοῦτο οὐδὲ ἐπιθυμητὴ αὐτοῖς ἡ μετάστασις, ἀλλὰ καὶ λίαν φευκτέα. ἡμῖν δέ, οἷς τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος, χαρᾶς περιπέτεια ἡ κοίμησις τῶν πνευματικῶν πατέρων, ὡς ἐν Κυρίῳ ζώντων καὶ μᾶλλον τῆς ἐνθάδε ζωῆς ὑψηλότερον καὶ ἀθανατώτερον.

Ἀπορρίψαντες οὖν καὶ ἀπορρίψασαι πᾶσαν ἄλο/γον λύπην καὶ ἀγεννὲς δάκρυον, καθὸ κατέστητε χάριτι Χριστοῦ, ὁ μὲν ἐπὶ τῇ καθηγήσει τοῦ ἀνδρῶνος, ἡ δὲ ἐπὶ τῇ ἀφηγήσει τοῦ παρθενῶνος, νήφετε, γρηγορεῖτε, ἀνδρίζεσθε, κραταιοῦσθε· πάντα ὑμῶν ἐν ἀγάπῃ, πάντα ἐν φυλακῇ ἐντολῶν κατὰ τὰς ὑποθήκας τοῦ Ἁγίου Βασιλείου μεταξὺ ὑμῶν τοῖν δυοῖν μοναστηρίων ἔστωσαν, ἵνα, ἀπρόσκοπον καὶ ἀνένοχον βίον διανύοντες καὶ διανύουσαι, δοξάσητε τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἕτερον ὑφ' ἑτέρου μοναστήριον θεοπρεπῶς συγκροτούμενόν τε καὶ συνιστάμενον, δηλονότι σοῦ

11 1 Cor. 2,13 24 1 Thess. 4,13 26 Philipp. 1,21 32 1 Thess. 5,6 35 1 Cor. 6,20

6 ἐπειδὴ: ἐπείπερ VM ἀπεβίω VM 8 δράμα VM 16 πρεσβευτικῆς: πνευματικῆς VM 18 ἡμῶν Sirm ἀπομεινουσῶν V 22 εὔελπι VM Mi 24 διατοῦτο VPS 25 λίαν post φευκτέα transp V φευκταία M 26 περιπέτεια: περιποιητέα VM 28 ὑψηλοτέρᾳ V ἀθανατωτέρᾳ V 30 καθ' ὃ Sirm κατέστησε Mi 34 δὲ post μεταξὺ add VM Sirm τε post ὑμῶν add MPS μοναστηρίοιν S 36 ἐν om VM ὑμῶν^2 om VM 37 θεοπρεπῶν Sirm

τοῦ ἀδελφοῦ Βασιλείου, τοῦ καὶ γεγραφότος ἡμῖν καὶ συνεγνωσμένου, συμπαρόντος καὶ συναντιλαμβανομένου ἑκατέρας τῶν μονῶν καθ' ὅσον οἷόν τε· καὶ μὴ ὅτι οὐχ ὑπέχεις λόγον προεστῶτος, ἀλλ', ὡς τῆς ἐφέσεώς σου πληρωθείσης διὰ τῆς τοῦ προβληθέντος ἀναδοχῆς, μᾶλλον ἑαυτὸν συνεισβάλλων καὶ συνεπαμύνων τὰ δέοντα.

Ἔχετε τοιγαροῦν καλὰ παραδείγματα εἰς ἀρετῆς ἐπίδοσιν, τὰς ἐκδημησάσας εἴτουν ἐκδημήσαντας· ἔχετε τοὺς βίους τῶν ἁγίων, τὰς νομοθεσίας τῶν πατέρων· ἔχετε τὸ μεῖζον αὐτῶν, τὸν ποιητὴν τῶν ὅλων θεὸν ἐν μέσῳ ὑμῶν κατὰ τὴν ἀψευδῆ αὐτοῦ ἐπαγγελίαν· ἔχετε τὴν ἁγίαν Θεοτόκον ἐπίκουρον, τοὺς πάντας ἁγίους πρεσβευτάς· ἔχετε καὶ τὴν ἡμῶν οὐθενότητα, προθυμουμένην ὑμῖν ἐν τἀγαθῷ. πάντα οὖν εὖ πράξατε, πάντα εἰρηνικῶς διατελέσατε, πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε, βοᾷ ὁ μέγας ἀπόστολος· οὗ ταῖς πρεσβείαις σωθείημεν καὶ ἡμεῖς καὶ ὑμεῖς.

516. Ἠλίᾳ πρεσβυτέρῳ

Τὸ μὲν φίλημά σου, ὦ ἱερὲ ἄνθρωπε τοῦ θεοῦ, σεπτὸν ὅτι μάλιστα καὶ τὸ τῆς συμψυχίας ἀποσῷζον γνώρισμα, τὸ δὲ ἐρώτημα, οὐκ οἶδ' ὅπως εἴπω, ἀκατάλληλον καὶ οὐ συνεγνωσμένον τῇ ταπεινώσει ἡμῶν· οὐδέπω γὰρ καὶ τήμερον ἀκηκόαμεν πρὸς πατρὸς ἀναγκαστικῶς καὶ οὐκ ἐθελουσίως ἀποκαρθῆναι παῖδας. εἰ μὲν γὰρ κομιδῇ νήπιοι εἴτουν πρὸ τῆς ἡλικίας, οὐκ ἐν αὐτοῖς τὸ θελητόν· οὐδὲ γάρ εἰσι διαγνωστικοὶ καλοῦ τε καὶ κακοῦ, ἀλλὰ τῇ τῶν φυσάντων προαιρέσει ἀνενεκτέον τὸ πρᾶγμα, ὡς ἐπὶ Ἄννης, τῆς τὸν Σαμουὴλ προσαγούσης θεῷ, καὶ τῶν ἐφαμίλλων ταύτῃ οὐκ εὐλαβουμένων τὸ μέλλον, καθά πού φησιν ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος· δοτὸς γὰρ καὐτὸς

49 1 Thess. 5,16 sq.

40 καθόσον PS 44 εἶτ' οὖν P: ἤγουν M: εἴτ' οὖν V Sirm ⟨τοὺς⟩ ἐκδημήσαντας dubitanter Kambylis 48 προμηθουμένην M ὑμῖν: ὑμῶν M 49 πάντοτε: πάντες M[ac]

516. 10 Greg. Naz. or. 40,17 (PG 36,381 A = p. 234 M.-G.) 11 Greg. Presb. vit. Greg. Naz. (PG 35,248 B); cf. Greg. Naz. or. 43,73 (PG 36,596 A)

C VM PS (VMP ll. 1–9)

1 ἠλίᾳ C 5 οὐδέπου Mai πρὸς: ὡς VM 6 παῖδας ante ἀποκαρθῆναι transp Mai 7 εἰτοῦν C: εἶτ' οὖν P Sirm: εἴτ' οὖν cett Mi Mai 8 κακοῦ: πονηροῦ VM 9 ἀνανεκτέον C: ἀνακτέον VM Sirm πρᾶγμα: hic desin epist in VMP Sirm λείπει φύλλον ᾱ in marg M 11 ποῦ C κ' αὐτὸς C

πρὸ γεννήσεως τῷ θεῷ. ὧν ἡ προσφορὰ οὐ πάντως ἐπιτευκτὴ διὰ τὸ ἡμαρτῆσθαι παρά τινων· καὶ νοῦς ὧδε τῶν προσοισομένων προσώπου τε καὶ καιροῦ διὰ τὰ ἀποτεύγματα, ἐπειδὴ τὰ μέν, ὡς πάλαι τε καὶ νῦν διέγνωσται, εἰς καλὸν ἀπέβη, τὰ δὲ εἰς τοὐναντίον. οὕτω δὲ ἐμφρόνων ὄντων καὶ ἐννόμων τῇ ἡλικίᾳ τῶν παίδων, ἀναγκαστικῶς τὴν μοναχικὴν τελειότητα τοὺς γεννήτορας ἐπιθεῖναι αὐτοῖς οὔτε ἤκουσται οὔτε φύσεως ἔχει λόγον. καὶ ἐπεὶ περὶ τῶν ἔξω φύσεως ἐπιτετράμμεθα δοῦναι λόγον, ὡς ἂν μὴ καὶ αὐτοὶ ἀφύσικοί τινες, μᾶλλον δὲ ἀσύνετοι, λογισθείημεν τοῖς ἀσυφήλοις, παραπεμποίμεθα τὴν περὶ τούτου διασάφησιν.

Σὲ δὲ τὸν πισύνιον καὶ θεοφιλῆ ὑπομνήσκομεν καὶ ἀντιβολοῦμεν ὀρθοτομεῖν τὸν λόγον τῆς ἀληθείας ὡς πῦρ ἔχοντα τὸν λόγον μιμήσει τοῦ ὁμωνύμου. καὶ τὸν μὲν πορνείαις ἑαυτὸν ἐκδεδωκότα μονάζοντα νουθετεῖν, παρακαλεῖν, φωταγωγεῖν ἀνασφῆλαι τῆς πτώσεως καὶ μὴ τὰ Χριστοῦ μέλη πόρνης ποιεῖν μέλη· οὗ ἴσως ἀψάμενος ὁ λόγος ὀψέ ποτε καθάπερ σπινθῆρα ὕλης τῆς ξηροτέρας ἀνάψειεν τὸν Χριστοῦ / ἔρωτα εἰς τὸν ἔσω ἄνθρωπον, εὐμαρῆ τὴν ἀνάκλησιν ἔχοντα ἐκ τοῦ τὸν ἔξω ἄνθρωπον ἔχειν μεμοναχημένον. τὸν δὲ παντάπασι τὴν ὁμολογίαν ἠθετηκότα, ὡς εἰς αὐτὸ τὸ Ἅγιον Πνεῦμα, παρ' οὗ καὶ ἡ χάρις, ὀφλήσαντα, παραιτήσειας καὐτὸς καὶ πᾶς τις τῶν εὐσεβούντων μηδὲ ἁλῶν μετασχεῖν κατὰ τὰ ἐντάλματα τῶν θεοπαραδότων λογίων.

517. Μακαρίῳ μονάζοντι

Ὅτι ἠκούσαμέν σου τῆς ἀδελφικῆς φωνῆς, ἥσθημεν, ἠγαπημένε· οὐδὲν γὰρ φιλίας πνευματικῆς γλυκύτερον, καὶ μάλιστα ὁπηνίκα ἓν φρόνημα καὶ μία ψυχὴ ἐν τοῖς κατὰ θεὸν λόγοις καὶ πράγμασιν ἐπιτεθεώρηται. οὕτως αὐτὸς ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐγνωσμένος ἡμῖν

24 ὁμωνύμου: Elias propheta

23 2 Tim. 2,15 cf. 3 Reg. 18,36 sq. 25 1 Cor. 6,15

13 προσησομένων C 20 ἀσυφίλοις S 22 ὑπομιμνήσκομεν S Mai 27 ἀνάψειε S Mai 31 κ' αὐτὸς C

517. a. 821 – 826

C P (ll. 9 – 47) S

2 ὅτι om Mai, ἥσθημεν C

ὑπάρχεις· ἐφ' ᾧ καὶ προσευχόμεθα οἱ ταπεινοὶ ἐν τῇ αὐτῇ σε διαθέσει ἐπιμένειν, τόν τε λόγον τῆς ὀρθοδοξίας σῶον διαφυλάττοντα καὶ τὸν βίον μὴ ἀνθιστάμενον τῷ λόγῳ. εἰ δέ τι πρὸς ἡμῶν ὁμολογεῖς ἀπώνασθαι, θεῷ ἀναθετέον τὸ πρᾶγμα, παρ' οὗ καὶ ἡμῖν καὶ ὑμῖν τὸ σωτήριον ψυχῆς τε καὶ σώματος.

Καὶ περὶ τούτων μὲν ἅλις, ὅτι μηδὲ καιρός μοι μακρηγορεῖν, ἐν ἄλλοις ἀσχολουμένῳ πράγμασιν οὐκ εὐδιαλύτοις. περὶ δὲ τοῦ ἐπισκόπου Χίου τί τοῦτο κἀκεῖνο γέγραφας; ἡμεῖς οὔτε τὸν ἄνδρα εἰς ὄψιν ἡμῶν ἠγάγομεν ἐληλυθότα ἐνταῦθα, τὰς ὑποψίας διαφεύγοντες, οὔτε πάντῃ ἀναπόκριτον εἰάσαμεν, ὅτι μηδὲ / θεμιτὸν καὶ τὸν τυχόντα ἀποπέμπεσθαι, μὴ ὅτι γε ὁμόσχημον καὶ ἐπισκοπῆς ὄνομα κεκληρωμένον. ἠσμενίσαμεν οὖν ὅτι ὀψέ ποτε ἀπενόσφισε τῆς ἐπισκοπῆς, εἱλάμενος ὧδέ που παραρρερρίφθαι, ὑποβάλλοντες αὐτὸν καὶ ἐπιτιμίῳ προσήκοντι, ὥσπερ πεποιήκαμεν ἐπὶ τοῖς ὁμοίως αὐτῷ δράσασι. καὶ ὁ θεὸς τῶν μετανοούντων ἐστίν. καὶ τοῦτο ἐναργὲς ὑπόδειγμα μετανοίας ἐπεζήτηται καὶ παρ' ἡμῶν καὶ πρὸς ἄλλων, τῶν ἰατρεύειν ἐπιτεταγμένων, ἡ τοῦ ὑποπεπτωκότος ὑποχώρησις τῆς ἐπισκοπῆς καὶ εἶρξις τῆς ἱερουργίας σὺν ἐπιτιμίῳ ἕως καιροῦ εἰρήνης.

Εἰ οὖν ταῦτα ὡμολόγηται τῷ ἀνδρί, τίνες ἦμεν ἡμεῖς ἀποσείεσθαι τὸν προσιόντα καὶ ἐχθραίνειν ἐν τούτῳ θεῷ; μὴ σύ, ὦ θαυμάσιε, βαρέως φέροιο ἐπὶ τῷ ἀνδρί, κἂν ὅτι μάλιστα, ἃ λέγεις πεπραχέναι αὐτόν, ἀποδέδεικται ἀληθῆ εἶναι, ἐπεὶ ἡμεῖς οὔτε ἀκηκόαμεν ἕως τοῦ παρόντος οὔτε, εἰ καὶ ἀκηκόαμεν, κρίνομεν αὐτὸν ἐν τούτοις· γέγραπται γάρ· μὴ ὁ νόμος ὑμῶν κρίνῃ τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον καὶ γνῷ τί ποιεῖ. καὶ πάλιν ὁ ἀπόστολος λέγει· κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων. ἔπειτα οὐδὲ περὶ τούτων πρόκειται λόγος ἢ ἐξουσία

26 θαυμάσιε: de hac allocutione Platonica in epistulis patrum cf. Dinneen, Titles 88 sq.

30 Joh. 7,51 32 1 Tim. 5,19

9 ἀναθετέον: hic inc epist in P Sirm ὑμῖν: ἡμῖν Mai_2 15 ἀνυπόκριτον PS^{ac} Sirm 17 ὀψέποτε Sirm ἀπενόσφησε C τῆς om Sirm 18 ἑλόμενος PS Sirm που: πως Mai_1 παρερρίφθαι S Sirm: ἐλθεῖν Mai_1 αὐτὸν: αὐτῷ C Mai_1 19 ἐπιτιμίῳ: ἐπι/// Mai_1 προσήκοντι – ὁμοίως om Mai_1 20 ἐστί PS Sirm 21 μετανοίας: μετα/// Mai_1 23 καὶ om Mai_1 εἴρξις C: εἶρξις P: εἴρξις Mai_1 συνεπιτιμίῳ S καιροῦ: κ///ου Mai_1 25 ὁμολόγηται C 26 σύ: σοὶ C 27 καν C λέγῃς C 30 ἡμῶν Sirm κρίνει PS Sirm (fort recte) 33 περὶ om Sirm

τοῦ κρίνειν, ἀλλὰ περὶ τοῦ προσίεσθαι τοὺς ὑποπεπτωκότας τὴν μετάνοιαν, ταμιευομένων τῶν ὑπὸ τῆς τιμιότητός σου λελεγμένων ἢ ἐνταῦθα καιρῷ τῷ δέοντι τοῖς προεστῶσι τῆς ἐκκλησίας ἢ ἐν τῷ μέλλοντι αἰῶνι τῷ κριτῇ τῶν ἁπάντων. διὸ συμβουλεύω τῇ χρηστότητί σου, ἀφεμένῃ τῶν λόγων ἐκείνων, ἐν τῷ τέως εὐχαριστεῖν τῷ Κυρίῳ ἐπὶ τῇ τοῦ ἀνδρὸς μετανοίᾳ, ὡς ἂν συνεργοὶ εἴημεν θεῷ, τῷ φιλοῦντι σῴζεσθαι πάντα ἄνθρωπον, κἂν τούτῳ εἰρήνην ἔχωμεν πρὸς αὐτὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Καὶ τέλος, ὅταν λάβῃς καιρόν, εἴπερ καὶ ζητεῖς, τότε εὐθύτητας κρίνοιο· τὸ δὲ νῦν προσεύχου περὶ ἡμῶν σῴζεσθαι ἡμᾶς ψυχῇ τε καὶ σώματι, ὅτι ὁμολογοῦμεν πάντων ἀνθρώπων ἁμαρτωλότεροι εἶναι. ὁ κύριος ὁ ἀρχιεπίσκοπος πλεῖστά σε προσαγορεύει, προσαγορευθεὶς ὑπὸ τῆς φωνῆς σου, ἐπεὶ καὶ πάντες οἱ μεθ᾽ ἡμῶν ἀδελφοί. ἔρρωσο ἐν Κυρίῳ, ἀδελφέ.

518. Αὐξεντίῳ ἡγουμένῳ

Τὸ μὲν γράμμα τῆς τιμιότητός σου ἐδεξάμεθα καὶ ὡς ἦν ἡμῖν δυνατὸν ἐπήλθομεν, τὰ μὲν καθ᾽ ἡμῶν ἐγκώμια πορρωτέρω θέμενοι, ὡς οὐκ ἄξιοι ἐγκωμιαστικῆς οὐδόλως ἐμφάσεως, ὅτι μὴ καὶ κατηγορητικῆς μᾶλλον ἐπισκώψεως· τίνες γάρ ἐσμεν ἡμεῖς οἱ ἀχρεῖοι καὶ οὐδὲ ὀνόματος ἄξιοι, οὗ ἐπικεκλήμεθα; πρὸς δὲ τὰ ἐπιζητηθέντα σοι κεφάλαια γραφικὰ πάνυ ἐξενίσθημεν, ὅτι καὶ πρὸς ἡμῶν τῶν ἀμαθῶν ἡ ἐξήτησις, καί γε περὶ τοιούτων ἐμφάσεων, / ἃ ἀνήκει μόνοις τοῖς θεοφόροις διαλευκαίνειν, παρ᾽ ὧν καὶ ἡ διασάφησις ἐγεγόνει, καί γε μάλιστα κατὰ λέξιν ὑπὸ τοῦ Μεγάλου καὶ θείου Βασιλείου. λαβὼν οὖν τὸ εἰς τὸν Ἠσαΐαν ἑρμηνευτικὸν αὐτοῦ πτυκτίον μαθήσῃ τὰ ἐπιζητούμενα, ἄλλως τε ὅτι καὶ μέτρον ὑπερβαίνει ἐπιστολῆς, ὅλης συγγραφῆς δεομένη ἡ τῶν τοιούτων ἐπίκρισις.

---

38 τῶν λόγων ἐκείνων: τὸν λόγον ἐκεῖνον C   εὐχαριστεῖν – 39 ἐπὶ om Mai₁   ὡς ἂν συνεργοὶ om Mai₁   40 πάντα: τὸν Mai₁   41 πρὸς αὐτὸν om Mai₁   42 λάβῃς om Mai₁   εὐθύτητας κρίνοιο: εὐθύτη///ίνοιο Mai₁   44 ὁ κύριος: ////ς Mai₁

---

518. 2 τιμιότητος: de allocutione in epistulis patrum cf. Dinneen l. l. 71 sq.

11 Bas. hom. in Is. 1 sq. (PG 30,117 B sq.)

C VM PS

2 μὲν om VM   3 πορρωτέρω θέμενοι: πορρωτέρωθεν μένοι V: πορρωτέρωθεν μένει M   4 ἄξιοι: ἀξίων V Sirm   οὐδ᾽ ὅλως CP Sirm   κατηγορικῆς VM   8 ἐξήτησις C: ἐξήγησις cett Sirm (quae vox tamen sententiae aliena)   11 ἠσαΐαν M: Ἡσαΐαν cett Mi   πυκτίον VMPS Sirm (sed cf adn ad ep 502,5)

Πρὸς δὲ ὅτι τοῖς Ἰουδαίοις λογομαχία πρόκειται, ἔα τοὺς χριστομάχους, ὦ πατέρων ἄριστε, λυττᾶν εἰς ἑαυτούς· οἱ γὰρ αὐτοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τὰς διδαχὰς ἀπορραπίσαντες, τάς τε τῶν ἀποστόλων ὑποθήκας παρωσάμενοι καὶ συλλήβδην πάντων τῶν θεοφόρων τὰς ὑψηγορίας βδελυξάμενοι σχολῇ γ' ἂν ὑφ' ἡμῶν αὐτοὺς ὁδηγεῖσθαι ἢ συναίρειν λόγον καθῆκον. ἄφετε αὐτούς, ὁ Κύριος εἶπεν, τυφλοί εἰσιν. καὶ ὁ προφήτης φησίν· οὐκ ἔστι λέγειν χαίρειν τοῖς ἀσεβέσι λέγει Κύριος. πρὸς γὰρ τῷ μηδὲν ὠφελεῖσθαι ἐν τῇ συμβολῇ τοῦ λόγου καὶ ἑαυτοὺς παραβλάψοιμεν, τοῖς ἰοβόλοις αὐτῶν ῥήμασι δίκην ὄφεως φαρμακευόμενοι. ὁ θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν· τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος.

Ἱκανούσθω σοι ταῦτα. τὸ δὲ ὀφειλόμενον ἡμῖν ἐξ ἀναγκαίου, ὅπως εὐαρεστήσωμεν τῷ Κυρίῳ, πῶς διαφευξόμεθα τὰς παγὰς τοῦ διαβόλου· δῆλον ὅτι ὑπόπτεροι τῷ πνεύματι γιγνόμενοι, τὰ ἄνω ζητοῦντες, τὰ ἄνω φρονοῦντες, οὗ ὁ Χριστός ἐστιν, ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος· ἀφ' οὗ καὶ ἥξει μετ' ἀγγέλων δυνάμεως αὐτοῦ ἐν πυρὶ φλογός, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι θεὸν καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ αὐτοῦ, ἤγουν Ἰουδαίοις καὶ εἴ τισι σύμφροσι τῶν Ἰουδαίων καὶ κατὰ πίστεως διαστροφὴν καὶ κατὰ βίου στρεβλότητα.

Ταῦτα μελέτα, ὦ τᾶν, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν, παρακελεύεταί σοι Παῦλος, ὁ μέγας τῆς ἀληθείας κῆρυξ· τὰς δὲ μωρὰς ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας Ἰουδαϊκὰς παραιτήσαιο. ἵνα δὲ ἐν κεφαλαίῳ περὶ ὧν προέτεινας ἀποκριθῶμεν, ὅλον τὸ λῆμμα τῆς προφητείας περὶ τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐστιν, ἐν ᾧ καὶ ὁ λαὸς ὁ ἀπωσμένος ἀνασέσωσται ἐκ τῶν τεσσάρων πτερύγων εἴτουν περάτων τῆς γῆς· τό τε ἐπὶ τῶν χειρῶν ἐζωγραφῆσθαι τὰ τείχη τῆς νέας Ἱερουσαλὴμ τὸ σταυρικὸν πάθος δηλοῖ, ἐπείπερ, ἥλοις ἐμπεπαρμένος ταῖς ἁγίαις

---

19 Matth. 15,14 20 Is. 48,22 23 Ps. 57,7 28 Col. 3,1 sq. 30 2 Thess. 1,8 34 1 Tim. 4,15 36 Tit. 3,9 39 Is. 11,12 41 Is. 49,16

---

17 θεοφόρων: θεηγόρων VM 18 γ' ἂν: γὰν C ὑφ' ἡμῶν: πρὸς ἡμῶν V, quod post αὐτοὺς transp idem αὐτοὺς ὑφ' ἡμῶν M 20 εἶπε VMPS Sirm εἰσι VMPS Sirm λέγειν om Sirm 21 τῷ: τὸ C 22 αὐτῶν om VM Sirm 23 ὄφεων VM 26 τὸ: τί Sirm ἐξαναγκαίου CS 27 διαφευξώμεθα C πάγας VMPS Sirm 28 δηλονότι VM Sirm 31 τοῦ εὐαγγελίου VM 32 σύμφροσιν VM τῶν om VM 34 τάν S σοῦ C ἡ – 35 πᾶσιν: ἐν τούτοις φανερὰ ᾖ ἡ πίστις V: ἡ πίστις ἐν τούτοις φανερὰ ᾖ ἐν πᾶσι M πᾶσι VMPS Sirm κήρυξ omnes: correxi 36 γενεαλογίας: μωρολογίας VM ἔρις VMPS 38 λῆμμα: λῆμα C[ac] vocem κυρίου post τοῦ iterum scriptam cancell C 39 ἐνῷ C 40 ἐκ om VM εἰτοῦν C: εἴτ' οὖν VMP: εἴτε οὖν Mi 41 ἐζωγραφεῖσθαι C

χερσίν, ἀφηλοῖ τὸ ἀνθρώπινον ἐκ τῆς ἐμπαθοῦς καθ' ἁμαρτίαν ἕξεως καὶ ὡραιοῖ τῷ ἀρχετύπῳ κάλλει τῆς θεώσεως. ἐφ' οἷς μικρὸν διὰ τῆς τριημερονύκτου ἀναστάσεως, ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε πάντας τοὺς υἱούς σου· ἰδοὺ συνήχθησαν καὶ ἦλθον πρὸς σέ· ζῶ ἐγώ, λέγει Κύριος. ἑπόμενα τούτοις τὰ συνημμένα τῇ προφητείᾳ χαρήσιμά τε καὶ ἑορτάσιμα καὶ πλήρη θυμηδίας. καὶ ὁ μὲν εὐγνώμων εἴσεται καὶ συνεπιφθέγξεται τὰ εἰκότα, ὁ δὲ ἀγνώμων Ἰουδαῖος στρεβλοκαρδιάσει καὶ οὔτε παλαιᾶς οὔτε νέας διαθήκης ἐπακούσεται ὑγιῶς· οὗ ῥυσθείημεν εὐχαῖς ἁγίων, ἡγιασμένε πά/τερ, καὶ σωθείημεν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ἀμήν.

519. Εὐδοκίμῳ σπαθαρίῳ

Καὶ ἀφ' ἑαυτῶν ἐπαισθανόμεθα ὅσον τὸ πάθος καὶ τὸ ἄλγος, τὸ συμπεσὸν τῇ τιμιότητί σου· νῦν δέ, ἐπειδὴ ἠκούσαμέν σου καὶ τῶν πολυστενάκτων φωνῶν, ὑποδηλουσῶν ἕκαστα τῶν συμβεβηκότων ἀνιαρῶν, πλέον ἐπαιστάνθημεν καὶ συνηλγήσαμεν κατὰ τὸ εἰκός. ἀλλ' ὅμως, ὅπως ἂν μεθοδεύοις τὰ πράγματα, κατὰ δικαίαν ἔκτισιν θεοῦ ἀπαντήσαντά σοι, εὖ πράττων κἂν τούτῳ, ὡς κακίας μᾶλλον καὶ οὐκ ἀρετῆς βάσανον τὰς ἐπιφορὰς ἐνεχθῆναι.

Ἡμεῖς δ' οὖν οὐ παυσόμεθα καὶ ἔτι πρὸς τὸ εὔσημον καὶ εὐδιάγνωστον ἀνθυποφέρειν τὸν λόγον. ἐστέρησαι τοιγαροῦν ὄψεως· καὶ ἀλγεινὸν (πῶς γὰρ οὔ;) τὸν λύχνον τοῦ σώματος ἀπολελωκέναι, ἀλλὰ πάλιν εὐχαριστήριον, ὅτι ἀβλεπτοῦμεν τὰ τοῦ κόσμου μάταια, ἐξ οὗπερ ὑποφέρεσθαι πέφυκεν πᾶς νοῦς οὐκ εὐκταίως. εἴρχθης προόδων καὶ συνόδων ἀστικῶν τε καὶ ἀνακτορικῶν; ἀλλ' οὖν γε

45 Is. 49,18; cf. Rom. 14,11

43 ἀφ' ηλοῖ C ἐκ om VM Sirm 48 χαρίσιμά C: χαρίσματά PS Sirm 49 ἴσεται C

519. a. 824 – 825 11 τὸν λύχνον τοῦ σώματος: ad metaphoram cf. A. Karpozilos, The Letters of Ioannes Mauropous. Thessalonike 1990, 222 sq.

11 Matth. 6,22

C VM PS

2 πάθος καὶ τὸ ἄλγος: ἄλγος καὶ τὸ πάθος VM Sirm 3 ἐπεὶ VM 5 ἐπησθάνθημεν VMPS Sirm 7 καν C: κἂν S 11 ἀπολωλεκέναι VMPS Sirm 12 πάλιν: πάντως VM ἀβλεπoῦμεν VM 13 πέφυκε VMPS Sirm εἵρχθης C

λελύτρωσαι ἐκκλησίας πονηρευομένων καὶ συναναστροφῆς παρανομούντων (οἶδας ὃ λέγω). ἐψιλώθης τὰ ὑπάρχοντα; καὶ τοῦτο δυσφορώτατον· ἀλλ' ἔχεις τὸ κούφως φέρεσθαι καὶ ὑπερπλέειν τῶν βιωτικῶν περιστάσεων καὶ συναλλαγμάτων. ποῦ ποτ' ἂν εὗρες, ὦ θαυμάσιε, τόπον τοιοῦτον οἷον νῦν, ἐν ᾧ ἔστι σε σχολάζειν θεῷ καὶ γνῶναι αὐτὸν καθ' ὅσον οἷόν τε; ποῦ δὲ καιρὸν τοιοῦτον προσευχῆς, στεναγμοῦ, κατανύξεως, ἐκπετάσεως χειρῶν, ὅσων πρόκειται ὑμῖν ἀπολαύειν ἐκ τῆς ἐπενεχθείσης ἐπηρείας; οὐχ ὁρᾷς ὅτι εἰς καλόν σοι ἀπήντηκεν τὰ πράγματα, περιτραπείσης τῆς κακίας τῶν ἀνθρώπων εἰς σωτηρίαν σου; ἓν ἐπὶ πάντων διαγνωστέον, ὅτι κατὰ τὴν προτέραν ἀναστροφὴν δυστέκμαρτον ἦν ἐπιλαβέσθαι τοῦ σωτηρίου συντάγματος, πολλῶν ὄντων, ὡς οἶσθα, τῶν ἀντιπραττόντων τῷ εὐσεβεῖ σκοπῷ· νῦν δὲ ἤνοικται ὑμῖν οὐχὶ μόνη τῆς μετανοίας ἡ θύρα, ἀλλὰ καὶ τῆς οὐρανίου βασιλείας ἡ εἴσοδος, καὶ πᾶς τις τῶν εὖ φρονούντων ἐν τῷ μέρει τῶν σῳζομένων σε τετάξεται, περὶ οὗ πᾶς σπουδαῖος ἐπείγεται καὶ οὗ τοῦ τυχεῖν οὐδὲν τῶν ἁπάντων ἀνταξιώτερον. εἴθε ἦν πως ἀντάλλαγμα γενέσθαι εἰς τὸ ἀμείψασθαι ἀλλήλοις τὰς αἰσθήσεις· καὶ πολλοῦ ἂν εὐχῆς μοι ἔργον ἦν τῇ ἀφαιρέσει τῆς ὄψεως συναφαιρεθῆναι καὶ τῶν πρὸ τῆς ὄψεως κέντρων τῆς ἁμαρτίας.

Ἀλλὰ ταῦτα μὲν κατὰ φιλίας τρόπον· σὲ δὲ ὁ ἀγαθὸς θεὸς ἡμῶν παρακαλέσειε παρακλήσει πολλῇ οἴσειν πάντα εὐχαρίστως κατὰ μίμησιν τοῦ μακαρίου Ἰὼβ καὶ ἀξιώσειεν καὶ εἰς τὴν κατ' ὀφθαλμοὺς ὁμιλίαν ἐλθεῖν ἡμᾶς ποτε, ἵνα, ὅσα νῦν διαφεύγει τοῖς γράμμασι, ζώσῃ φωνῇ ἀναπληρώσαιμεν καὶ μᾶλλον τηνικαῦτα γνωρίσωμεν ἀλλήλους, ἐκ μικρᾶς πρότερον πείρας ἀπογευσάμενοί σου τῆς γλυκείας ἀγάπης.

---

15 Ps. 25,5

---

15 ἐκκλησιῶν M   voces πονηρευομένων ἢ μᾶλλον ante παρανομούντων add VM   17 κοῦφος C   19 τοιοῦτον ante τόπον transp VM   20 αὐτὸν: fort est αὑτὸν scribendum   καθόσον CS   τοιοῦτον ante καιρὸν transp VM   21 ὅσων M: ὅσον cett Sirm   23 ἀπήντηκε VMPS Sirm   25 ἐπιστροφὴν VM   28 εὖ φρονούντων: εὐφρονούντων Sirm   29 τάξεται M   καὶ ante περὶ inser Sirm   31 πῶς C Sirm   35 ἡμῶν om VM   36 παρακαλέσει C   37 ἀξιώσειε VMPS Sirm   39 ἀναπληρώσωμεν VM   μᾶλλον: μάλα VM

520. Νικήτᾳ σπαθαρίῳ

Ἐπὶ μὲν μικροῖς πάθεσιν ἔστιν ἐξευρίσκειν εὐκόλως τὰς παρακλήσεις τὸν προαιρούμενον παραμυθεῖσθαι τοὺς κακουμένους· ἐπὶ δὲ τοιούτῳ μεγίστῳ πάθει, ἐν ᾧ περιεσχέθη ἡ θεοφίλειά σου, τίς ἂν καὶ ἐξευρεθείη λόγος παρακλητικός; τίς δὲ ὁ ἐπιχειρῶν θεραπεύειν τοιοῦτον ἄλγος ἐπιστημόνως δυνηθείη; ὢ τῆς ἀπευκταίας ἀκοῆς· ἀπερράγη σοι ἡ κυρία ἡ ὁμόζυγος, ὡς ἄρτι ἤκουσται ἡμῖν, ἀφηρέθη τὸ μόνον παραμύθιον ἐν ταῖς συμβατικαῖς περιστάσεσιν, ἀπεκοσμήθη ἡ εὐλογημένη ἑστία· οἱ κλάδοι κατηφεῖς, τῆς ἀγαθῆς ῥίζης ἐκκοπείσης, οἱ θεράποντες καὶ αἱ θεράπαιναι ὧδε κἀκεῖσε περιειλούμεναι, ὡς οὐκ ἔχουσαι τὸ δεσποτικὸν πρόσωπον ἐπιλάμπον τῇ οἰκίᾳ· τὰ πάντα κατηφείας μεστά, τάχα καὶ ὁ ἀήρ σοι ἠλλοιωμένος τῇ ἀλλοιώσει τῶν φρενῶν. ποῦ ἡ προσιεμένη σε ἐπανιόντα οἴκοι περιχαρῶς ἀπὸ τῶν ἀνακτορικῶν διατριβῶν; ποῦ ἡ τοὺς ἀγχιστεύοντας δεξιουμένη ἐπιεικῶς, ἡ τόδε καὶ τόδε καὶ ὅσα ἐστί, συντόμως εἰπεῖν, διευθετοῦσα καὶ συμβιβάζουσα, οἰκονομοῦσά τε καὶ οἰκουροῦσα ὅσα τὰ κατ᾿ οἶκον, ὅσα τὰ πρὸς ἄλλους οἰκείους τε καὶ ἐπιξενουμένους; πάντα οἴχεται καὶ ἀπόλωλε, καὶ γεγόναμεν ὡς ἐν ἐρημίᾳ πάντων τῶν προσόντων ἀγαθῶν ἀπεστερημένοι.

Τοιοῦτον καὶ τηλικοῦτον τὸ πάθος τῆς τιμίας σου ψυχῆς, ὦ δέσποτα, καὶ οὐδεμία παραμυθία πρὸς ἀνθρώπου, ἱκανουμένη καταλεᾶναι τὴν φλεγμαίνουσάν σου καρδίαν, ἢ παρὰ μόνου θεοῦ, τοῦ παρακαλοῦντος τοὺς ταπεινοὺς τῇ καρδίᾳ διὰ τῆς τῶν ἀγαθῶν λογισμῶν ἀναλήψεως. ἐκείνη μὲν οὖν ἡ μακαρία (μακαρία γάρ ἐστιν), ἐπὰν τὴν πίστιν πρὸς θεὸν ἐκέκτητο ἀσφαλῆ, καὶ τὸν βίον διετέλει σεμνόν· οὗ γνωρίσματα πολλά, ὧν καὶ ἡμεῖς οὐκ ἄμοιροι τετυχήκαμεν, τὸ δὲ τελευταῖον, ὅτι ὡς χρυσὸς ἐν πυρὶ τῇ μακροτέρᾳ καὶ δυσοίστῳ νόσῳ δοκιμασθεῖσα ἀπέπτη τῶν ἐνθένδε. οὐκοῦν ἀρκετὸν ἡμῖν τοῦτο εἰς παρηγορίαν, ὅτι τηλικαύτην ὁμόζυγον παρέπεμψας μὲν θεῷ, ὑπόδειγμα καλλίστης πολιτείας τὸν ἑαυτῆς βίον ἐναφήσασαν ἡμῖν, καὶ

---

520. a. 821 – 826 4 θεοφίλεια: de hac allocutione in epistulis patrum rarissima cf. Dinneen l. l. 26

22 2 Cor. 7,6

VM PS

2 μικροῖς: πικροῖς Mi 6 ἐπιστήμονος VM δυνηθείη: δεηθείη VM 9 σου ante ἡ add VM 10 ὦδε VM 17 ἐπιξενωμένους VM 20 ψυχῆς: κεφαλῆς VM 21 οὐδὲ μία P ἀνθρώπων Sirm καταλεάναι codd Sirm: corr Mi 22 ἢ: ἡ M^{ac}P 24 ἐπὰν codd: ἐπ᾿ ἂν Sirm 28 οὐκ οὖν P 29 μὲν om M 30 ἀφήσασαν VM

ἄλλως ὅτι, τὰ θεῖα ὢν πεπαιδευμένος αὐτός, οὐ τοσοῦτον ὀφείλεις ἐκσταθῆναι ἐπὶ τῷ γεγονότι· οἶδας γὰρ ὅτι, εἰς γέννησιν ἐληλυθότες κατ' εὐδοκίαν θεοῦ, πάντως τῇ γεννήσει συνεζευγμένη καὶ ἡ ἔξοδος ἡμῖν προσγίνεται καὶ οὐδεὶς ἄνθρωπος ἀθάνατος καὶ οὐδεμία συζυγία ἀδιάζευκτος. ἀναθεωρήσωμεν, εἰ δοκεῖ, τοὺς ἀπὸ Ἀδὰμ μέχρι τήμερον καὶ εὑρήσομεν τὴν ὑπάλληλον διαδοχὴν κατιοῦσαν ἕως ἂν καὶ συσταίη ὁ τῇδε κόσμος. ποῦ οἱ φύσαντές σε, δέσποτα, καὶ οἱ ἐκείνους τεκόντες; καὶ ἀναποδίζων οὐδὲν ἄλλο εὑρήσεις ἢ ῥοὴν καὶ ἀπορροὴν τὰ ἀνθρώπινα. τί οὖν ἐστι νῦν τὸ ζητούμενον; ὅπως εἰς ἡμᾶς αὐτοὺς γενοίμεθα, καὶ τὰ μὲν εἰκότα ἐπιτάφια ἐπιτελέσωμεν τῇ ἀειμνήστῳ, ὑπὲρ ἧς καὶ ἡμεῖς οἱ ταπεινοὶ οὐκ ἐλάχιστα ηὐξάμεθα, εἰ καὶ οὐκ ἠκούσθημεν ὡς ἁμαρτωλοί, / τὸ ἐπιμεῖναι αὐτὴν ἐν τῷδε τῷ βίῳ, τὰ δὲ τῶν παίδων εὖ διαθώμεθα καὶ τὰ ἡμέτερα ἐξόδια προευτρεπίσωμεν, ἐμβιοτεύοντες τῷ βίῳ θεοπρεπῶς, ἵνα, μεταστάντες τῶν ἐνθένδε ὁπηνίκα ἐπιτρέπει ἡ πρόνοια, εὑρήσομεν ἐκεῖσε τὴν καλὴν ὁμόζυγον, ἐν ἀπείροις αἰῶσι χαίρουσαν σὺν ἡμῖν αὐτοῖς ἐπὶ μεθέξει τῶν ἀπορρήτων ἀγαθῶν.

Ταῦτα, εἰ καὶ ἐλάχιστα πρὸς παρηγορίαν, ὅμως ὅτι ἐπιδεικτικὰ τῆς ἀγάπης σου, ἥτις καὶ χαρισθείη ἡμῖν εὔθυμος καὶ εὐπαρηγόρητος διὰ τῆς ἐπὶ πάντα εἰς θεὸν ἀναθέσεως ὑμῶν.

521. Λέοντι σακελλαρίῳ

Καὶ σιωπᾶν οὐκ ἐπιτρεπόμεθα, τῶν εὐεργεσιῶν τῆς μεγίστης καὶ ἐπιποθήτου σου ὑπεροχῆς ἀπολαύοντες, καὶ ἀπαντᾶν κατ' ἀξίαν οὐκ εὐποροῦμεν, λόγου ἀποροῦντες προσήκοντος. εἰ δὲ ὅτι ἡ θεοφιλής σου ψυχὴ μὴ οὕτως οἴεται, οὐ θαυμαστὸν (ἡ ἀγάπη γάρ, φησί, τὸ κακὸν οὐ λογίζεται), ἐπεὶ καὶ ἔκπαλαι τὸ αὐτὸ εἴωθεν φιλικῶς ὑπολαμβάνειν καὶ ἀποσεμνύνειν ἡμᾶς δωρεὰν τοὺς ἀλιτίμους καί, ὥς φησιν, οὐδὲ συγκρίνειν ἔχειν πρὸς ἀλλήλους καθ' ὑπεροχήν.

---

32 οἶσθα VM 34 οὐδὲ μία P 37 σε om VM 39 αὑτοὺς VM 40 γενώμεθα V 44 ἐμβιωτεύοντες S 45 εὑρήσωμεν S 50 διὰ: ἐπὶ Sirm ἡμῶν VM

---

521. a. 821–826

5 1 Cor. 13,4 sq.

C VM PS

4 post ὅτι tres litt erasit S 6 εἴωθε VMPS Sirm 7 σεμνύνειν VM Sirm ὑμᾶς Sirm ἀλητίμους omnes: correxi 8 φασιν VMPS Sirm ἔχεις Sirm

Ἀλλὰ ταῦτα μέν, ὡς εἴρηται, τῆς ἱερᾶς στοργῆς τὰ συμβόλαια. αὐτὸς δέ, ὦ παντεπαίνετε, ἔοικας ἀκρόπολίς τις ἐνιδρῦσθαι ἐν τῇ βασιλίδι τῶν πόλεων ἤ, τἀληθὲς οἰκειότερον εἰπεῖν, λιμὴν πολυχώρητος, θλιβομένων ἀνάπαυλα, διψώντων λόγου ἐμμελοῦς ἱκανὸν παραμύθιον, καθ' ἑκάστην, ὡς εἰπεῖν, εἰσδεχόμενος καὶ ἰώμενος, θεραπεύων τε καὶ ἀφοσιούμενος τούτους κἀκείνους, μείζους καὶ ἐλάττους, ἱερεῖς καὶ ἀρχιερεῖς, ἐντελεῖς καὶ ὑφειμένους. ὡς μεγαλοπρεπές σου τὸ θεῖον ἀξίωμα καὶ τὸ θεοφιλὲς πρακτήριον. προσήκει σοι καὶ τὰ τοῦ ἀοιδίμου Ἰὼβ ἐπιφθέγματα· πατὴρ ἐγενόμην ὀρφανῶν, ποὺς δὲ χωλῶν, παντὶ δὲ ἀνθρώπῳ ἠνέῳκταί μου ἡ θύρα καὶ ὅσα τούτοις συνεπόμενα. σὺ τὸ λείψανον τῆς εὐσεβείας, αὐτὸς τὸ κειμήλιον τῆς ὀρθοδοξίας· καὶ τὰ πολλὰ παρατρέχοι ὁ λόγος, ἵνα μὴ δόξῃ πρὸς χάριν λέγειν καὶ κολακείαν τὰ εἰς πρόσωπον ἀκουτιζόμενα. ὅμως μίαν φωνὴν προσθεὶς ἀποπαύσειεν τοῦ λέγειν· μία παραμυθία πατρί, μονογενής τε καὶ φιλοπάτωρ υἱός, καὶ τῇ βασιλίδι πόλει ἡ σὴ μεγαλοφυὴς καὶ περιβόητος ἀρισταρχία.

522. Τῇ σπαθαρέᾳ τοῦ Φλαβιανοῦ

Ἔφθασεν ἡ ἀπευκτὴ ἀγγελία τοῦ περὶ τοῦ ἀειμνήστου υἱοῦ σου πάθους μέχρι καὶ τῆς ἡμῶν ταπεινώσεως· ἐν ᾗ, ὥσπερ οἱ τὰς ἀκοὰς βροντηδὸν καταπλαγέντες πεπτήχασιν ὅλως, οὕτως ἡμῖν ὁ λόγος ἐξαπορεῖσθαι πεποίηκεν καὶ μηδὲ ἔχειν τι φθέγξασθαι ἄξιον τῆς ὀδύνης. ὤ, τί γέγονεν ἐξάπινα; πῶς ᾤχετο ἀνὴρ θαυμαστός, αὐτὸ τῆς ἡλικίας ἄγων τὸ βιώσιμον; ὡς μεγαλοῆλιξ· ὡς ὡραῖος τὴν ὄψιν· ὡς εὐγενὴς τὸ/αἷμα· ὡς εὐκλεὴς τὸ κῦδος· ὡς μόνος ἐγκαταλελειμμένος παραμύθιον μητρὶ αἰσίᾳ, οἰκίᾳ πατρῴᾳ ἔρεισμα, γένει ἐγκαλλώπισμα, προσθείην δ' ἂν καὶ βασιλείοις αὐλαῖς ξένον ὅραμα. οὗτος, ἐν ἀλ-

11 λιμήν: cf. adn. ad ep. 330,5

17 Jb 29,15 18 Jb 31,32

10 παντεπαίνεται C: παντοπαντεπαίνετε VM 13 καθεκάστην PS Sirm 17 τὰ ante ἐπιφθέγματα inser Sirm 18 ποῦς CSVM ἀνέῳκταί PS Sirm 20 παρατρέχει S Mi 22 ἀποπαύσειε VMPS Sirm

522. a. 821 – 826

6 Bas. ep. 300 (PG 32,1045 A = III 175 Courtonne)

C VM PS

1 σπαθαρέᾳ C: σπαθαρ′ VM: σπαθαρίᾳ cett Sirm 4 ἡμῖν: ἡμᾶς M 5 πεποίηκε VMPS Sirm 7 μεγαλοήλιξ M Sirm

λοδαπῇ τὰ βασιλέως διοικούμενος, ἀπέπτη, καταλιπὼν μὲν τὴν περιβόητον μητέρα, συναπολιπὼν δὲ καὶ τὴν περίδοξον ὁμόζυγα σὺν εὐγενέσι νεογόνοις καὶ λαμπρὰν ἑστίαν, τὸ πολυθρύλλητον αἷμα, τὸ πολυούσιον κτῆμα, τοὺς δεξιοὺς ὑπηρέτας, τοὺς φιλοδεσπότους παραστάτας, ταῦτα κἀκεῖνα, ὁμοῦ τὰ πάντα, ὡς ἂν μὴ κατακερματίζοιεν ἓν ἕκαστον ὁ λόγος, εἶτα, ἐπανελθὼν ἐκ τῆς ξένης οἴκαδε, φόρτος ἐλεεινός, σκυθρωπὸν ἀπάντημα καὶ βασιλίδι πόλει καὶ ἀξιαγάστῳ ἑστίᾳ. ὢ τῆς ὑπερβαλλούσης συμφορᾶς· στενάξειεν δ' ἂν καὶ αὐτὰ τὰ τείχη τῆς πόλεως, μὴ ὅτι ἄρχοντες καὶ ὁμήλικες, στενάξειαν δ' ἂν καὶ αὐτοὶ οἱ αὐτοκράτορες, ἀποβεβληκότες ἔρνος πολυθαύμαστον, δακρύσειεν τάχα καὶ ὁ ἐπιπόλιος ὅμιλος, ἐπιστυγνάσει δὲ εἰκότως καὶ πᾶν τὸ γένος. εἰ δὲ ταῦτα οὕτως, τίς τὸ ἐπὶ σοὶ πάθος ἐκτραγῳδήσειεν, ὦ δέσποινα; τίς δὲ τὸ τῆς ὁμοζύγου; τίς δὲ τὸ τῆς ἀδελφῆς; τίς δὲ τὸ τῶν οἰκετῶν; οὐδ' ἂν τῶν ποταμῶν τὰ ῥεύματα εἰς δάκρυον μεταποιούμενα ἐξαρκέσειεν ὑμῖν ὑπηρετεῖσθαι τῷ θρήνῳ. τί δὲ ὁ ἀήρ; οὐκ ἠλλοίωται τοῖς ὀφθαλμοῖς ὑμῶν ἄρα καὶ ὁ ἥλιος οὐκ ἀνατεταλκώς, τὸν τῆς ἑστίας ἥλιον ἀπολελωκώς;

Τοσαῦτα καὶ ὅσα τούτοις ἐφάμιλλα ὑποβάλλει τὸ πάθος ἀποδύρασθαι. ἀλλ' ἐπειδὴ πρὸς γυναῖκα ἡμῖν ὁ λόγος, πάλαι τὰ θεῖα πεπαιδευμένην καὶ ὅλην ὑπόθεσιν ἀρετῆς τὸν ἑαυτῆς βίον ὑποδεικνύουσαν, ὡς μαρτυρεῖ σχεδὸν πᾶσα ἀκοὴ καὶ ὄψις, οὐ πολλῆς χρεία ὑπομνήσεως, οἴκοθεν ἔχουσαν τὰ φάρμακα τῆς παραμυθίας. πολλὰς ἱερὰς βίβλους ἐπὶ χεῖρας εἴληφας, πολλὰ πατρικὰ ἀναγνώσματα διεξελήλυθας, νύκτωρ τε καὶ μεθ' ἡμέραν σχολάζουσα ταῖς προσευχαῖς, ταῖς δεήσεσιν ἐπιμένουσα ταῖς παννύχοις εἴτουν νυκτεριναῖς καὶ ἡμεριναῖς ψαλμῳδίαις τε καὶ ὑμνῳδίαις· ἀφ' ὧν καὶ τὸ ἐγκρατὲς καὶ τὸ ὑπωπιαστικὸν τοῦ σώματος, τὸ πρὸς τοὺς ἐνδεεῖς ἐπιδοτικόν, ἱερεῖς τε καὶ μοναστὰς θεραπευτικόν, τὸ ἐπὶ πολλοῖς οὖν ἄλλοις εὐσεβείας τρόποις ὑμνούμενόν τε καὶ ᾀδόμενον. οἴκοθεν τοιγαροῦν καὶ παρ' ἑαυτῆς ἱκανῶς ἔχεις ἐπᾷσαι τῇ ψυχῇ τὰ εἰκότα, οὐ μὴν

20 αὐτοκράτορες: Michael II et Theophilus

34 1 Cor. 7,5 37 1 Cor. 9,27

12 σὺν ἀπολειπὼν C 18 ὦ C στενάξειε VMPS Sirm 21 δακρύσειε VMPS Sirm ἐπιστυγνάσειε S 24 δάκρυα VM 25 μετὰ ποιούμενα C ἡμῖν V τὸν θρῆνον VM 27 ἀπολελοκώς C: ἀπολωλεκώς cett Sirm 28 ἀποδύρεσθαι V 30 ὅλην: ὅλοις M 34 μεθημέραν CS 35 εἶτ' οὖν P Sirm: εἴτ' οὖν cett Mi 37 τὸ[1] S[sscr] ὑπωπιαστικὸν: ὑπὸ πιαστικὸν C 39 τοιγαρ οὖν C 40 ἐπ' άσαι C: ἐπᾷσαι V Mi

ἀλλὰ καὶ τῇ νύμφῃ καὶ θυγατρὶ καὶ πάσῃ τῇ Ἀβραμιαίᾳ ἑστίᾳ ὡς κοινὸς διδάσκαλος, ὡς ἀρετῆς ὑπόδειγμα, ὡς ἔκπαλαι τὰ θεῖα λόγια θησαυρίσασα καὶ ἐν καιρῷ τὸ σιτομέτριον ἑκάστῳ διανέμειν ἔχουσα. ἀναμνήσθητι, ὦ γενναία καὶ θαυμαστὴ ἐν γυναιξίν, ὡς οὐδὲν ξένον καὶ τῶν παρ' ἐλπίδα τὸ συμβεβηκός. ἀναθεώρησον τοὺς ἀπὸ Ἀδὰμ μέχρι τῆς σήμερον καὶ χώρησον εἰς τὰ τοῦ θεοῦ βαθέα κρίματα καὶ ἴδε ὅτι ἄνθρωπος ὡσεὶ χόρτος· αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιαὶ παράγουσιν. ἐπεὶ οὖν ὁ προπάτωρ θνητὸς δι' ἁμαρτίαν, θνητὸς καὶ ὁ γόνος, ἀλληλούχως ἰὼν μέχρι τοῦ δεῦρο. ἀλλ' ὅμως ὅτι ἀφ' οὗ Χριστὸς οὐκέτι θάνατος ὁ θάνατος, ἀλλὰ ἀρχὴ παλιγγενεσίας ἀθανάτου. εὐσεβῆ παῖδα καὶ ὀρθόδοξον,/ φιλομόναχόν τε καὶ φιλάγαθον καὶ γεγέννηκας καὶ προύπεμψας. ἔστω σοι παραμυθία αὔταρκες καὶ εὐχαριστίας ὑπόθεσις.

Ναί, παρακαλοῦμεν, παρακαλοῦμέν σε, τὴν θεοπαράκλητον καὶ πανσύνετον, γενοῦ ὡς ἐν πᾶσι τοῖς ἄλλοις κἀνταῦθα μεγαλοψυχίας ὑπόδειγμα, καλὸν ἐντάφιον καὶ τῷ παγκάλῳ υἱῷ, ὡς καὶ ψυχικῶς ὀμειρομένη τὰ αὐτῷ ἐπιβάλλοντα, ἀπόμοιραν θεῷ εἰσοίσουσα· τάχα γὰρ διὰ τοῦτο θεός σε ἐταμιεύσατο τῶν προλαβόντων ὑστάτην, ἵνα, πάντα θεοπρεπῶς διαθεμένη, εὐκταίως συναπάρῃς τῶν ἐνθένδε καὶ κληρονομήσῃς σὺν αὐτοῖς ζωὴν αἰώνιον. ταῦτα καὶ ὁ ἀδελφὸς ἡμῶν, ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος, συμφθεγγόμενός ἐστιν, πολυτιμιωτάτη μοι κυρία.

---

43 Luc. 12,42 47 Ps. 102,15 Ps. 143,4

---

41 τῇ ante θυγατρὶ add V Sirm ἀβραμιαίᾳ VP: Αβρααμιαίᾳ Sirm 42 κοινὸς: an κοινὴ scribendum? 43 ἑκάστῳ: ἑκάστῃ V 44 ὦ Mi οὐδέν: οὐδὲ VM 47 ὡσεὶ: ὡς αἱ VM 48 δι': διὰ VM Sirm 50 οὐκ ἔτι S ἀλλ' VMPS Sirm 52 αὐτάρκης VMPS Sirm 54 ναί: καὶ S Sirm παρακαλοῦμεν[2] om Sirm 56 υἱῷ: ἰὼβ V 57 ὀμειρομένη Sirm: ἱμειρομένη VM Mi 58 διατοῦτο VPS 60 κληρονομήσεις C 61 ἐστι VMPS Sirm 62 μοι om PS Sirm μου post κυρία add PS Sirm

523. Παντολέοντι λογοθέτῃ

Ἴσμεν καὶ τὸ εὐπαρρησίαστον νεμεσητὸν ὑπάρχειν, συνεπιστάμεθα καὶ τὸν καιρὸν συστολὴν ἡμῖν ἐπιτρέπειν. ἀλλ' ὅμως τὸ ὑπερβάλλον τῆς ἀμυθήτου σου περὶ ἡμᾶς τοὺς ταπεινοὺς ⟨εὐμενείας⟩ εὐδιάθετον ἠνάγκασεν ἡμᾶς τολμηρότερον χρήσασθαι καὶ τῷδε τῷ γραμματείῳ· τολμηρὸν γάρ ἐστιν ὡς ἀληθῶς οὐ μόνον τὰ καθ' ἑαυτοὺς ἀναφέρειν, ἀλλὰ καὶ ὑπὲρ ἑτέρων δεδεῆσθαι. ὅμως, ὡς εἴρηται, τὸ πολύ σου εὐμενὲς καὶ διπλοῦν εὐσεβὲς παρεθάρρυνεν ἡμᾶς τολμῆσαι. τί οὖν τὸ λεγόμενον; περὶ Θεοδότου τοῦ πρωτοσπαθαρίου, ὅς, ὅπως ἐστὶν ἐναγώνιος αἰτίᾳ τοῦ συναπάραντος αὐτῷ οἰκονόμου τῆς ἐκκλησίας ἐν τῇ Δύσει, διαγινώσκει πάντως ἡ ἀνυπέρβλητός σου ὑπεροχή. τίς οὖν ἄλλος ἂν ἐξευρεθείη ἀρωγὸς ἐπὶ τῇ ἀντιλήψει τοῦ ἀνδρός; τίς δ' ἂν ἐχεφρονέστερος τῆς σῆς μεγαλονοίας συνιδεῖν τὸ δέον; τίς δὲ καὶ ὁ ἐπὶ τοῦ κράτους τὸ ὑπόγυον ἔχων πλέον τῆς σῆς γνησιευτικῆς παραστάσεως;

Δὸς ὃ εἴληφας παρὰ θεοῦ ἔλεος, δέσποτα παμπόθητε, τῷ δεομένῳ. προκυλινδούμεθά σου τοῖς τιμίοις ἴχνεσιν· βουλή σου ὡς βουλὴ ἀγγέλου, φωνή σου ὡς βολὶς ἀστράπτουσα τῇ τε λαμπρότητι τῆς παρρησίας καὶ τῇ τῆς ἀγάπης ἀγλαΐᾳ. ἧς εἰ ἀξιωθείη μέτοχος γενέσθαι ὁ ἱκέτης σου, πάντως ἂν ἔξω που γένηται τῶν κατηγορητικῶν βελῶν τοῦ ἀντικειμένου αὐτῷ, ὡς οἶδας ὁ ὑψηλὸς νοῦς κατὰ διαφόρους τρόπους, ἡμεῖς τε οἱ ταπεινοὶ προσοίσομέν σοι πολλὰς τὰς εὐχαριστίας τε καὶ προσευχὰς ὑπὲρ ὑγείας ἀμφοτέρων ὑμῶν, τῆς καλῆς ὄντως καὶ ἀξιαγάστου συζυγίας. καὶ τάχα ὑπὲρ τῶν τὰ χρύσεα δῶρα προσφερόντων οὐκ ἀτιμοτέρα εἴη ὑμῖν ἡ θεοπάροχος δωρεὰ καὶ ἡ ἀπὸ Κυρίου χορηγουμένη εὐμένεια εἰς σωτηρίαν ψυχῆς τε ὁμοῦ καὶ σώματος ὑμῶν, τῆς παμποθήτου καὶ πανευφήμου δυάδος.

---

523. a. 824 – 826 10 οἰκονόμου: Theodorus; cf. Baronium XIV 60 no. 30

17 Is. 44,26

C VM PS

2 νεμεσσητὸν P **4** σου om VM εὐμενείας inserui, coll l. 7 infra ὡς εἴρηται, τὸ πολύ σου εὐμενές: στοργῆς σου M: om cett Sirm **5** voces τοὺς ταπεινοὺς post ἡμᾶς add VM **6** γραμματίῳ MPS Sirm: γράμματι V **11** fortasse est ⟨μεγάλης⟩ ἐκκλησίας scribendum **12** ἀρρωγὸς VMPS Sirm **17** ἴχνεσι VMPS Sirm **19** voces ὁ ἱκέτης σου ante μέτοχος transp S γενέσθαι in marg S **20** πάντως in marg S ποῦ C **21** ὑψηλὸς νοῦς: ὑψηλόνους PS Sirm νοῦς om VM **22** τε: δὲ V **23** εὐχαριστείας C **24** τῶν τὰ: τὴν τῶν PS Sirm τὴν P[sscr] **27** πανευφήμου καὶ παμποθήτου VM

524. Θεοφάνει μονάζοντι

Εἴ σοι φίλον τὸ πρὸς ἡμῶν τῶν εὐτελῶν γράμμα, / δέχοιο καὶ αὖθις, ὦ τριπόθητε, οὐδὲν μὲν ἔχον εὐπρεπές τε καὶ εὐφραδές, ὡς χάριτι φῇς, τὸ δ' οὖν τῆς ἀγάπης σύμβολον καὶ πάνυ ὁμολογουμένως· καί γε ὅσον ἡ ἀντίδοσις τῶν γραμμάτων γίνοιτο, τοσοῦτον ἡ τῆς ἀγάπης διάθεσις αὔξοιτο· οὗ τί ἂν εἴη σπουδαιότερον;

Ἀλλὰ τοῦτο νῦν κείσθω ἐνταῦθα, πρὸς δὲ τὸ ἑξῆς βαδιστέος ὁ λόγος. τί τὸ νῦν καινοτομηθὲν ἐν τοῖς αὐτόθι καὶ τίνες οἱ νεοφανεῖς δράκοντες, χαρυβδηδὸν καταπίνοντες ψυχὰς μὴ ἐστηριγμένας τῷ λόγῳ τῆς ἀληθείας; αὐτὸς μὲν οὖν οὐκ ἐξωνομάτισας, ἡμεῖς δὲ καὶ πρὸ τῆς δηλώσεως τῶν γραμμάτων κατεστενάξαμεν ὅτι μάλιστα ἐφ' ἑνὶ ἀνδρὶ αἱρετικῷ, μᾶλλον δὲ βλασφήμῳ τῷ ὄντι εἰς θεόν, λαχόντι ἐν τοῖς αὐτόθι παρὰ τοῦ κράτους χαρτουλαρεύειν, ἐκεῖνο εἰπόντες, ὅτι γε τῆς περιβοήτου Σικελίας ἔφθασεν ὄλεθρος. τόδε τὸ πῆμα οὐκ ἐκ δογματικῆς πείρας τετεχνωμένον· ἄπειρον γὰρ τὸ ἀνδριαντάριον, ἀλλ' ἐξ ἀσεβοῦς γνώμης πεπληρωμένον καί, ἵνα τἀληθέστερον ῥηθείη, πατρόθεν ἐπὶ τὸ ἀσεβεῖν ἠγμένον καί γε σὺν δυσὶν ἄλλοις ὁμαίμοσιν.

Ἀλλὰ τούτους μὲν ἡ Τριὰς οἶδ' ὅτι ἐπιρραπίσειεν ἐνθέοις στόμασιν ὑμῶν τε καὶ τῶν ἐνταῦθα ὑπερμαχούντων τῆς ἀληθείας. σὲ δὲ καὶ τὸν οἷος σὺ μηδὲν ξενιζέτω ἡ ἔτι λυττῶσα αἵρεσις· οὔπω γὰρ ἐκτέτριπται τὸ κακὸν οὔτε δεδοκίμασται ἱκανῶς τῶν πιστῶν τὸ φιλόθεον καί, τρίτον, οὐχ οἷοί ἐσμεν ἐμβατεύειν εἰς ἄβυσσον κριμάτων θεοῦ, καθ' οὓς τρόπους ἀνέχεται ἀκμὴν κλυδωνίζεσθαι τῷ σάλῳ τῆς ἀπι-

---

524. a. 821–826 epistula in Photii epistularum editiones per errorem F. Scorsi pervenit (= Phot. ep. 108 [p. 429–431 Balettas]); cf. PG 102,924 D–926 D; M. Théarvic, in: EO 7 (1904) 31 sq. 2 καὶ αὖθις: prima epistula ep. 439 an perdita? 13 χαρτουλαρεύειν: cf. Balettas 430 adn. 3

C VM PS

1 Θεοφάνῃ Sirm δογματικὴ ὅτι ὁ χριστὸς οὐ χριστὸς εἰ μὴ περιγράφοιτο τῇ καθ' ἡμᾶς ἰδέᾳ titulo add PS: in marg Sirm 4 φῆς VMP Sirm δ' οὖν: δὲ S καὶ πάνυ om VM Mi [PG] 102 Bal [ettas] 7 βαδιστέον VM 8 νεοφανῶς Mi 102 (lectionem traditam codd Theodori restituit Bal) 12 ἑνὶ om Sirm 13 χαρτουλαρεύειν: χαρτουλαρεῦσιν Mi 102 15 ἀδριαντάριον C 16 τ' ἀληθέστερον CP 17 πατρόθεν: πρόσθεν Mi 102 Bal σὺν δυσὶν: συνδόσιν Mi 102 (lectionem traditam codd Theodori restituit Bal) 19 τούτοις Mi 102 voces οἶδ' ὅτι ἐπιρραπίσειεν post στόμασιν transp VM ἀπορραπίσειεν V Bal: ἀπορραπίσει Mi 102 voces ἐνθέοις στόμασιν ante οἶδ' transp V Mi 102 Bal ἐνθέους Mi 102 21 λυττοῦσα Mi 102 Bal 22 τῶν: τὸ M 23 τε post οἷοί inser Bal

στίας τὸν λαὸν αὐτοῦ, πλήν, συμπέρασμα τοῦ λόγου, ἵνα οἱ δόκιμοι φανεροὶ γίγνοιντο, ὡς ὁ τῆς σοφίας ταμίας Παῦλος λέλεχεν. διὸ καὶ παρακαλοῦμεν καὶ ἀντιβολοῦμεν μὴ ἐκκακεῖν διακατελέγχειν σε τοὺς ὑπεναντίους, ἐκ τῶν ἀδύτων ταμείων τῆς καρδίας σου προφέρων τὰ θεῖα διδάγματα καὶ ὑποδεικνύων ἐντεῦθεν ἀριδήλως ὅτι Χριστὸς οὐ Χριστός, εἰ μὴ περιγράφοιτο τῇ καθ' ἡμᾶς εἰδέᾳ· εἴπερ γὰρ σὰρξ ἐγεγόνει, πάντως καὶ ὡς σὰρξ περιγράφεται, ὃ δὲ μὴ περιγράφοιτο, τοῦτο οὐκ εἴσω ἀνθρωπότητος, ἀλλ' ἔξω δῆλον ὅτι καὶ τόπου καὶ χρόνου, θεὸς γυμνὸς τῇ ἀπεριληψίᾳ τε καὶ ἀοριστίᾳ καὶ λεγόμενος καὶ νοούμενος· καὶ τοῦτο ἀραρότως εἰς ἀναμφίλεκτον ἀπόδειξιν τῆς ἀληθείας φυσικαῖς ἀκολουθίαις ἀναγκαζόμενον, περιγράφεσθαι Χριστόν, κἂν τῇ εἰκόνι προσκυνούμενον, ἐπείπερ ἐν αὐτῇ τὸ ἀρχέτυπον ἐκπέφασται, ὥς πού φησιν ὁ θεοφάντωρ Διονύσιος· καὶ ἀλλαχοῦ· ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον. ὥστε ὁ ἀπαναινόμενος ἐγγράφεσθαι Χριστὸν ἤρνηται ἄνθρωπον γεγονέναι καὶ ὁ μὴ προσκυνῶν αὐτοῦ τὴν εἰκόνα οὔ τί που προσκυνεῖ αὐτὸν τὸ καθόλου, κἂν νομίζῃ προσκυνεῖν, ἐπεί φησιν ὁ ἱερὸς λόγος, οἱ ἄπιστοι ὁμολογοῦσι θεὸν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται.

Ταῦτα οὐχ ὡς ἀγνοούσῃ τῇ τιμιότητί σου ὑπεδήλωσα, ἀλλ' ὡς συνομογνωμονούσῃ καὶ ὥσπερ ῥανίδα ἐκ πελάγους δογμάτων ἀνελκύσας, πρὸς τῷ καὶ ἄπειρον ἑσμὸν εἶναι πατρικῶν μετὰ καὶ τῆς ἀρχαιολόγου ἱστορίας ἀπ' αὐτῆς βαλβῖδος / τοῦ κηρύγματος εἰς σύστασιν τῆς ἀμωμήτου ἡμῶν τῶν χριστιανῶν πίστεως.

---

25 1 Cor. 11,19 36 Dion. Ar. de eccl. hier. 4,3 (PG 3,473 C) 38 ibid. 41 Tit. 1,16

---

25 συμπερασμοῦ Mi 102 26 γίγνοιτο ante φανεροὶ transp V Mi 102 Bal λέλεχε VMPS Sirm καὶ om M Mi 102 Bal 27 τοῖς ὑπεναντίοις Mi 102 28 προφέροντα V Mi 102 Bal 29 ὑποδεικνύοντα V Mi 102 Bal 30 περιγράφοντο Mi 102: περιγράψοιτο Bal εἰδέᾳ C: ἰδέᾳ cett Sirm 31 περιγράφοιτο V Mi 102 Bal 32 δηλονότι VMPS Sirm 35 φυσικῆς ἀκολουθίας Mi 102 Bal 36 καν C: κἂν S^{ac} Mi 102 Sirm 37 ἐκπέφανται Mi 102 Bal ὥς πού: ὥσπερ VM Mi 102 Bal ποῦ C φησὶ Mi 102 ὁ om Mi 102 θεόφαντος Mi 102 Bal 40 τί που: τύπον Mi 102: δήπου Bal οὐτίπου Sirm τοκαθόλου S 41 καν C: κἂν M 45 τῷ: τὸ CVM Mi 102 Bal ἑσμὸν omnes: correxi 46 βαλβίδος omnes: correxi

525. Φιλοθέῳ κτήτορι

Μέγα κέρδος ἡγεῖταί σου ἡ τιμιότης, ὡς φῇ, δεχομένη ἡμῶν γράμματα ὁμοῦ τε καὶ μνημονευομένη πρὸς ἡμῶν αὐτῶν, τοῦτο δὲ τῆς σῆς θεόφρονος διανοίας ταπεινοφροσύνῃ πολλῇ κεχρημένης ἐγκώμιον, οὐχ ἡμῶν τῶν εὐτελῶν καὶ οὐδενὸς ἀξίων λόγου. ὅμως κατὰ τὴν πεποίθησιν αὐτῆς λήψεται τὸν μισθὸν ὑπὸ τῆς τοῦ ἀγαθοῦ ἡμῶν θεοῦ δικαιοκρισίας, ἀμειβομένου τὴν πίστιν ἑκάστου ἀμοιβαῖς οὐρανίαις καὶ εἰς ἑαυτὸν τὸ τοῦ πέλας γιγνόμενον χριστοειδῶς ἀνατιθεμένου.

Ἡμεῖς δὲ τῷ ὄντι χαίρομεν, ἀνδρὶ τοσούτῳ καὶ τηλικούτῳ φιλιάζειν γνωρίσαντες, οὗ ἡ ἀρετὴ διαπρύσιος καὶ ὁ ἔπαινος δικαιότατος καὶ τὸ πολίτευμα πολλοῖς ὑπόδειγμα τοῖς ἐθέλουσιν εὐσεβεῖν ἐν τῇ παρούσῃ γενεᾷ, ὡς ἐν περιωπῇ ὅρους ἀρετῶν προκείμενον. καὶ φερωνύμως ὡς ἀληθῶς ἐξέλαμψας φιλόθεος, φίλτρῳ θεοῦ τὸ ἀπράγμονον καὶ ἡσύχιον αἱρησάμενος ἐπιτηρήσει θείων ἐντολῶν καὶ ἐπιτεύξει τῶν αἰωνίων ἀγαθῶν. καίτοι ὑπάρχων καὶ κατὰ εἰδέαν ἄξιος τυραννίδος καὶ κατὰ γένος ὑπέρλαμπρος τὸ αἷμα, ἀλλ' ὁ θεῖος πόθος, σβέσας ταῦτα πάντα καὶ ὡς οὐδαμινὰ δείξας, ὅπερ καὶ ἄληθες, πρὸς τὴν ὑπέρφωτον τῆς θείας ὡραιότητος ἦρέν σου τοὺς τῆς διανοίας ὀφθαλμοὺς αἴγλην, ἐκεῖ βλέπειν, ἐκεῖ φαντάζεσθαι, ἐκεῖ μετατιθέναι τὸ πολίτευμα, οὗ χαρὰ ἀνεκλάλητος, ἔνθα ζωὴ ἀμήρυτος, ὅπου ἡ ἔλλαμψις τῆς μακαρίας καὶ ἀρχικῆς Τριάδος. ἀλλὰ γένοιτό σοι, ὦ θαυμάσιε καὶ ἐπιπόθητε ἡμῖν, ἐπαύξησις ἀρετῆς ἔτι καὶ ἔτι καὶ θησαύρισις ἀγαθῶν ἔργων εἰς τὸ μεγαλεμπόρως ἀπᾶραί σε τῶν ἐνθένδε ἐπὶ μεθέξει τῶν ἀιδίων.

Τὰ μὲν οὖν τῆς προσηγορίας ἐνταῦθα κείσθω. ἐπειδὴ δὲ καὶ περὶ τοῦ πρεσβυτέρου ἐπερώτησας αὖθις, ὑποδείξας τὸ ἀνεξαγόρευτον

---

525. a. 821–826

14 Bas. ep. 299 (PG 32,1044 A = III 173 Courtonne) καὶ ἐξόν σοι κρατεῖν ... σὺ τὸν ἀπράγμονα καὶ ἡσύχιον εἵλου βίον

C VM PS

2 φῇ: φησι Sirm 5 εὐτελῶν: ταπεινῶν VM Sirm 6 αὐτῆς: σου V λήψεται: λήψῃ καὶ V 8 χρηστοειδῶς CVM 10 τῳόντι S 14 ὡσαληθῶς S ἀπράγμονον C: ἄπραγμον cett Sirm 15 ἐπὶ τηρήσει PS 16 ἰδέαν VMPS Sirm 18 ὡς om PS Sirm οὐδαμεινὰ C ἀληθὲς VMPS Sirm 19 ἦρε VMPS Sirm 20 μετὰ τιθέναι C 21 ἀμήρυτος: ἀκήρατος VM Sirm (sed cf ep 431,43) 24 ἀπᾶραί M Mi: ἀπάραι cett Sirm 26 τὰ: σὰ Sirm 27 ἐπηρώτησας VMPS Sirm

ὄφλημα, ἐκεῖνο λέγομεν, ὅτι ὁ κανὼν οὐδὲ εἰς διγαμοῦντος γάμον ἑστιαθῆναι τὸν πρεσβύτερον παραχωρεῖ, πόσῳ γε μᾶλλον στεφανῶσαι τὸν τοιοῦτον; ὁ γὰρ στέφανος ἐπιτίθεται ἐπὶ τῷ νικῶντι τὴν ἀκρασίαν καὶ τὸ τῆς παρθενίας κλέος ἀποσωσαμένῳ. ὁ δὲ διγαμῶν πρὸς τῷ μὴ ἄξιος εἶναι στεφανωθῆναι καὶ ἐπιτιμίοις ὑποβέβληται κανονικῶς. πῶς οὖν οὐκ ἔδεισε στεφανῶσαι τοὺς ὑπὸ κανόνας κειμένους τῆς διγαμίας; παρ' ἡμῶν τοίνυν, σύγγνωθι, ἵνα μηδὲν ᾖν ἄλλο αἰτίαμα, οὐκ ἐπιτέτραπται τὸ καθόλου ἱερουργεῖν, οὐκ οἶδα εἰ μή τι κατ' οἰκονομίαν μεταδιδεῖν ὑμῖν τῶν ἁγιασμάτων, παρὰ σεσωσμένου πρεσβυτέρου τετελεσμένων. περὶ τοῦ ἀναγνώστου, ὅτι ἐπέστρεψεν ἐπιτιμιασθείς, δίκαιόν ἐστιν ἕως καιροῦ συνόδου μὴ ἀποστολίζεσθαι αὐτόν· ὁ μὲν γὰρ πρεσβύτερος εἴργεται τῆς λειτουργίας ἐπιτιμιασθείς, ὁ δὲ διάκονος τῆς διακονίας καὶ ὁ ἀναγνώστης τῆς / ἀναγνώσεως. ἡμεῖς οὕτως φρονοῦμεν καὶ τυποῦμεν, ὡς δὲ ἡ εὐσέβεια ὑμῶν νομίζει, ποιείτω.

526. Εἰρήνῃ πατρικίᾳ

Τῆς ἀγαθῆς σου πεποιθήσεως σύμβολον τὸ ἡμᾶς τοὺς ταπεινοὺς προσαγορεῦσαι, κυρία τιμιωτάτη μοι, διὰ τοῦ ἠγαπημένου ἡμῶν ἀδελφοῦ κυρίου Πέτρου καὶ συγγενοῦς σου· δι' οὗ καὶ ἡμεῖς ἀντιπροσαγορεύομεν ὀφειλομένως, ἐπαινοῦντές σου τὸ εὐσεβὲς καὶ εὐζήλωτον ἐν ἀγαθοῖς, ὅτι τοῦτο καὶ ἀφ' ἑαυτῶν ἴσμεν καὶ παρὰ τοῦ ἀδελφοῦ πολλάκις διδασκόμεθα, καί γε ὡς διὰ θεοῦ ἀγάπην καὶ αὐτὸν διὰ τιμῆς ἄγοις ἀξίως τῆς ἐνούσης σοι ἀρετῆς καὶ τῆς τοῦ ἀνδρὸς πολιτείας.

Ἐπειδὴ δὲ ἠρώτησας περὶ τοῦ μοναστηρίου τοῦ ἐπιλεγομένου τοὺς Λέοντας, ὡς εἰ δέοι ἀνδρεῖον αὐτὸ καταστήσασθαι, οὕτως αἱρέσεως

---

41 εὐσέβεια: cf. adn. ad ep. 464,2

28 Conc. Neoc. can. 7 (II 542 B Mansi)

28 σημείωσαι in marg PS 31 τὸ: τῷ C 32 τῷ: τὸ C 33 κανονικοῖς VM 35 οἶδα: οἶδ' ὅτι Sirm 36 μεταδιδόναι VMPS Sirm 37 ἐπέτρεψεν VM 38 ἀντὶ τοῦ μὴ ἀναγινώσκειν ἀπόστολον in marg P 40 ὁ[2] om C 41 οὕτω M

---

526. a. 823 exeunte – a. 826

VM PS

6 τοῦ ἀδελφοῦ: τῶν ἀδελφῶν M 10 τοῦ[1] om VM 11 καταστήσεσθαι S

ἔχουσα ἐν τῷ μετασχηματισμῷ τοῦ πρὶν γυναικείαν μονὴν ὀνομαζομένου καὶ χρηματίσαντος, τοῦτο ἀποκρίνασθαι ἔχομεν, ὅτι, εἰ μὲν νεωστὶ ἦρκταί σοι καθιεροῦν τὸν τόπον, ἐξὸν ὅπερ αἱρῇ διαπράξασθαι· ἐπειδὴ δὲ προκαθιέρωται διὰ τῆς ἐν μακαρίᾳ μνήμῃ τελεσθείσης σου θυγατρὸς ἐκεῖσε καθηγουμένης καὶ τοῦτο ἐπὶ χρόνοις ἱκανοῖς διακρατησάσης μετὰ καὶ συνοδίας παρθενικῆς, εἰ καὶ ὅτι μετάθεσις γέγονεν ἐκ τοῦ προλαβόντος ἐμφυλίου πολέμου τῆς ἀδελφότητος τῶν ἐκεῖσε, αὐτῆς τε τῆς ἡγουμένης δεῦρο κατακειμένης ἐν θήκαις ὁσίαις μετὰ καὶ προλαβουσῶν ἄλλων ὁμοταγῶν ψυχῶν, οὐ θεμιτόν, ὡς οἶμαι, κυρία, ἐξαλλαγὴν ποιήσασθαί σε, μάλιστα τῶν ἀφεθεισῶν ἀδελφῶν καὶ τέκνων τῆς προηγησαμένης ὧδε αἱρουμένων λατρεύειν θεῷ, ἔνθα καὶ ἡ καθηγουμένη κατάκειται. ἀποστολικὸς ὁ λόγος ἐστίν· ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ μενέτω. μονὴ ἐκλήθη γυναικεία· τίς λόγος τῆς μεταλλαγῆς ἀνδρώνυμον γενέσθαι, καίτοι ἀνδρῶν μὴ κατ' ὀφθαλμοὺς φαινομένων καὶ τῶν ἐκβεβλημένων οὐκ ἀνεχομένων μὴ οὐχὶ ἐκεῖσε διαζῆν; εἰ δὲ ὅτι γέγονε πολλάκις ἐξαλλαγὴ ἔν τισι μοναστηρίοις, ἀλλὰ κατὰ διωγμοῦ αἰτίαν καὶ ὑφαρπαγὴν οὐχ ὁσίαν καὶ ἐξουσίαν οὐκ ἔνθεσμον. οἷς δὲ καὶ πίστις ὀρθὴ καὶ βίος μὴ ἀνθιστάμενος, τούτοις ἀκόλουθον ἂν εἴη ἐνθέσμως καὶ κανονικῶς λέγειν καὶ πράττειν.

Διὰ τοῦτο παραινοῦμεν καὶ ἀντιβολοῦμεν, ὡς αὐτῆς τῆς μακαρίας θυγατρός σου φωνὴν ἀφιείσης δι' ἡμῶν τῶν ταπεινῶν, μενέτω τὸ μοναστήριον οἱ Λέοντες γυναικεῖον χρηματίζον καὶ φρουροῦν τὰς καταλειφθείσας θυγατέρας αὐτῆς ἐν πνεύματι λάτριδας θεῷ· τοῦτο γὰρ σὺν ἐκείνῃ καὶ τῇ σῇ θεοσεβείᾳ κλέος ὅτι μάλιστα καὶ ἀνεπίψογον τοῖς ἐπισκήπτουσι τὰ ἡμέτερα. ὅπερ παρεγγυᾷ ὁ ἀπόστολος, λέγων· ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ. ἐπεί, ἐὰν / μὴ οὕτως πράξοις, τὸ μὲν δρᾶμα στάσιν οὐχ ἕξει, ἅπαξ κινηθὲν ἐκ τοῦ καθήκοντος εἰς τὸ παρὰ φύσιν, ἡμεῖς δὲ οὐκ ἔξω κωμῳδίας, προσθείην δ' ἂν καὶ κατακρίσεως, ἀπενεγκοίμεθα παράπτωμα.

---

18 ἐμφυλίου πολέμου: seditio Thomae

---

24 1 Cor. 7,20 38 1 Cor. 10,32

---

22 ὧδε VM 23 ἡγουμένη V 27 οὐχὶ: οὐκ VM 29 καὶ^2 om VM 31 λέγειν καὶ πράττειν: πράττειν καὶ λέγειν VM 32 διατοῦτο VPS καὶ post τοῦτο add VM Sirm παραινοῦμεν: παρακαλοῦμεν S 39 ἐάν: ἂν VM οὕτω VM Sirm πράξῃς VMS δράμα VM 40 κινηθέντος V

527. Εὐδοκίμῳ σπαθαρίῳ

Ὠψίσαμεν τοῦ ἀντεπιστεῖλαι τῇ τιμιότητί σου, ὥστε μικροῦ δεῖν καὶ ἐκκεκροῦσθαι ἡμᾶς τῆς τῶν ἐπεσταλμένων δυνάμεως. ἀλλὰ τὸ αἴτιον, τοῦ μὴ παρεῖναι πιστὸν γραμματηφόρον. νῦν δέ, ἐπειδὴ ἐξ ἀναγκαίου ἀπεστείλαμεν τὸν οἰκονόμον τῆς καθ' ἡμᾶς μονῆς ἐν τοῖς αὐτόθι, εἰκότως τὸ ἐλλιπὲς ἀποπληροῦμεν, ἐκεῖνο πρῶτον λέγοντες, ὅτι οὐχ οἷοί ἐσμεν φαρμακεύειν ψυχὴν λυπουμένην καὶ πολλοῖς τετρυχωμένην πάθεσιν. ὅμως πειρατέον ἐκ τῶν θεοπνεύστων λογίων τὴν θεραπείαν ἐξευρίσκειν.

Τί οὖν φησιν ὁ τούτων μέγιστος ταμίας; πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε. εἰ οὖν ἐν παντὶ καιρῷ καὶ ἐν παντὶ πράγματι καὶ ἀδιαλείπτως τὸ χαίρειν καὶ εὐχαριστεῖν καὶ προσεύχεσθαι ἡμῖν διατέτακται, οὐκ ἂν ἐξοιχήσεται χρόνος, οὐδὲ ὁ ἀκαριαῖος, μὴ οὐχὶ περιοριζόμενος ἐν τῷ χαίρειν καὶ εὐχαριστεῖν τὸν ἀληθινὸν χριστιανόν. οὔκουν λοιπὸν θλιπτικὰ τὰ παρόντα, κἂν οἷά ποτ' ἂν εἶεν, τῆς δυσπραγίας ἔχοντα τὸ ὑπέρογκον. καὶ ταῦτα οὐχ ὡς ἀγνοούσῃ τῇ ἀγαθῇ σου ψυχῇ, ἀλλ' ὑπομνηστικῶς εἴρηταί μοι, ἐπειδὴ κάμνουσα ψυχὴ ἔσθ' ὅτε ἀτονεῖ πρὸς τὸ ἀνηγμένον τῆς θεωρίας. δεύτερος λόγος μοι ὅτι, εἰ καὶ πολλῶν τῶν ἐνόντων ἀπεγύμνωσάν σε οἱ ἐξουσιάζοντες, ἀλλ' οὐδαμῶς ἀποστερῆσαί σε τοῦ τιμιωτέρου κτήματος ἠδυνήθησαν. οὐχ ὁρᾷς καὶ εὐχαριστεῖς, οἵαν σοι γνῶσιν ὁ θεὸς ἐθησαύρισεν, πηλίκην γλῶσσαν, ἐξ ἧς ὡς ἐξ ἀδύτων θησαυρῶν τῆς καρδίας προφέρει τὰ ἀγορεύματα καὶ διανοήματα προῒξ ὅτι μάλιστα; τοῦτο προφερέστατον καὶ πάντων χρημάτων χρηματιστικώτερον καὶ πάσης οὐσίας ὑπερουσιώτερον· ὅ, εἴ τις κέκτηται, τῶν ἄγαν πολυουσίων αἱρετώτερός ἐστι τῷ νοῦν ἔχοντι, κἂν ῥακίοις μόνον ἀμπεχόμενος. καὶ τοῦτο δέδειχε σύμπας μὲν ὁ

527. a. 824 – 826 5 οἰκονόμον: Naucratius

10 1 Thess. 5,16 sq. 22 Luc. 6,45

C VM PS

1 δογματικὴ περὶ προγνώσεως θεοῦ καὶ προορισμοῦ titulo add PS: in marg Sirm 2 ὀψίσαμεν C: an ὠψίσθημεν scribendum? (cf epp 259,2; 415,2) τοῦ om PS Sirm ἀντ' επιστεῖλαι C 4 τοῦ C: τὸ cett Sirm ἐξαναγκαίου CS 7 ψυχὴν ante φαρμακεύειν transp VM 17 ἀλλὰ Sirm 18 ἀνηγμένον: ἀνικμένον C 22 ἐθησαύρισε VMPS Sirm 26 πολυουσίων: πλουσίων V[ac]S[ac] 27 καν C: κἂν M: καὶ S μόνον: μᾶλλον VM

τῶν δικαίων χορός, ἐν δὲ τοῖς ἐξωτερικοῖς προσώποις ὁ Ὀδυσσεὺς ἐκεῖνος, ἐκ ναυαγίου γυμνὸς ὀφθεὶς τῇ βασιλίδι.

Ἀλλ' ἐπὶ τὸ ἐρώτημά σου ἐπιστρεπτέον τὸν λόγον. καίτοι εἰδὼς ἀφ' ἑαυτοῦ τὸ εὖ ἔχον, φιλοπευστεῖς πρὸς ἡμῶν τῶν ἀμαθῶν ἐκδιδάσκεσθαι. φῇς γὰρ ὅτι ‚πῇ μὲν ὁ λογισμὸς προτρέπεταί με εἰς προσευχήν, πῇ δὲ ἀνακόπτει', ὡς τοῦ θεοῦ εἰδότος ὅπερ βουλόμεθα αἰτεῖσθαι, ὡς ἐντεῦθεν παρέλκον ἂν τὸ προσεύχεσθαι. πρὸς τούτοις, ἐπεὶ ἁμαρτωλὸς εἶ, οὐδὲν ὀνίνησι τὸ προσεύχεσθαι, καὶ ἁπλῶς εἴ τι ἄλλο ἐδήλου τὸ γράμμα· οὐ γὰρ παρῆν μοι ἐπὶ χεῖρας ἔχειν. τί οὖν ἔστιν εἰπεῖν ἐν τούτοις; ὅτι τύχης καὶ εἱμαρμένης ἔμφασιν ἔχει ἡ / διάνοια καί, τὸ ὅλον εἰπεῖν, τοῦ αὐτεξουσίου ἀναίρεσιν, οὐ μὲν οὖν ταύτῃ τῇ δόξῃ ἐπερείδεσθαι ἡμᾶς δεῖν, ἐχέφρονας ὄντας καὶ γνῶσιν θεοῦ πεπλουτισμένους· ἀλλὰ περὶ μὲν τοῦ δευτέρου προβλήματος πεπεῖσθαι ὅτι καὶ ἁμαρτωλῶν ἀκούει ὁ θεὸς μετανοίᾳ κεχρημένων ἀρίστῃ (πῶς γὰρ ἐφ' οἷς χαίρει μετανοοῦσι κατὰ τὰ ἱερὰ λόγια μὴ οὐχὶ καὶ εἰσακούειν τῆς τούτων δεήσεως;), περὶ δὲ τοῦ προηγουμένου προβλήματος οὕτως ἀπαντητέον, ὅτι ἡ θεία πρόγνωσις οὐκ ἀναιρεῖ τὸ αὐτεξούσιον· καὶ γὰρ οὐχ ὅτι προγινώσκει πράττομεν ἃ πράττομεν, ἀλλ' ὅ τι πράξομεν προγινώσκει, καὶ ἔρρωται ἐν τούτῳ καὶ ὁ τῆς προγνώσεως ὅρος καὶ ὁ τοῦ αὐτεξουσίου λόγος. ἐν μὲν γὰρ τοῖς οὐκ ἐφ' ἡμῖν προηγούμενός ἐστιν ὁ τοῦ θεοῦ ὅρος ἐπί τε χρόνου καὶ τόπου καὶ τρόπου, ἐπὶ δὲ τῶν ἐφ' ἡμῖν, ἐφ' οἷς τὸ αὐτεξούσιον, οἱονεὶ ἑπομένη ἐστὶν ἡ τοῦ θεοῦ πρόγνωσις ἐπί τε ἀρετῆς καὶ κακίας. ὥστε δεῖ ἡμᾶς καὶ ἐρᾶν καὶ εὔχεσθαι τὰ κρείττονα, ἵνα ἔχωμεν ἐντεῦθεν τὸν θεὸν ἐφεπόμενον ἡμῖν, ἀλλὰ μὴ τοὐναντίον· ἐξ ἐναντίου γὰρ ἕψεται ἡμῖν, ὧδε μὲν κολάζων καὶ τιμωρῶν, ἐκεῖ δὲ στεφανῶν καὶ ἀποδιδοὺς ἡμῖν βασιλείαν οὐρανῶν.

28 Hom. Od. 6,136 42 Luc. 15,7

30 ἐπιστρεπτέον: τρεπτέον PS Sirm 31 ἀμαθῶν: ἀγαθῶν M 32 φῆς M Sirm post φῇς vocem μὲν cancell S ὁ om VMPS Sirm με: σε PS Sirm 34 αἰτῆσαι VM Sirm 35 εἶ: εἷς Sirm: εἵς Mi ὀνίνησι: ὀνεῖ VM Sirm 37 ἐστιν PS: ἐστὶν VM 38 οὐ μὲν οὖν: οὔμεν οὖν CVMP: οὔμενουν S Sirm: ουμενοῦν Mi 39 δεῖν: χρὴ VM Sirm γνῶσιν: δόξαν VM Sirm 42 χαίρει: λέγει VM μετανοοῦσι: μετὰ νοῦσι C χαίρειν ante κατὰ add VM 43 εἰς ἀκούειν C δὲ om VM 44 σημείωσαι in marg CPS 46 ὅτι Sirm 52 ἐφ' επόμενον C ἀλλὰ – 53 ἡμῖν om VM μὴ om Sirm ἐξεναντίου C: ἐξεναντίας PS Sirm 53 ὧδε VM

528. Ἰωάννῃ Γραμματικῷ

Ἐν λόγοις ἐληλυθότος μου τῶν σεπτῶν εἰκόνων (παρῆν δὲ συνδιαλεγόμενος Πλάτων ὁ ἡμέτερος) ἔφη δὴ πάλαι εἰληφυῖαν τὴν λογιότητά σου ἐπιστολὴν ἐμὴν περὶ τῆς αὐτῆς ὑποθέσεως ἠπορηκέναι, πῶς οὐκ εὐκρινῶς δογματισθεῖσαν ἢ τάχα που καὶ παρακομίζουσαν τοῦ ἀληθοῦς τὸν ἀκροατήν. ἐγὼ δέ, εἰ μὲν τῶν ὡς ἔτυχεν ἦν ὁ βαλών, οὐ ταχέως ἐπεστράφην ἄν, εἰδὼς καὶ φθόνου βολίδας καὶ ἀγνώτων ἐπιτιμήσεις ὑποίσειν· ἐπεὶ δὲ παρὰ φίλου ἡ ἐπίληψις, καὶ φίλου σοφωτάτου, ἀναγκαῖον ᾠήθην αὐτὴν τὴν ἐπιστολὴν ὑπ' ὄψιν ἀγαγεῖν καί, καθ' ὅσον οἷόν τέ μοι ἐπικριθεῖσαν, ἀποστεῖλαι τῇ φιλότητί σου, ἢ ἀπολύουσαν τῆς ἀπορίας ἢ ἐπανορθουμένην ὑπὸ τῆς ἀγχινοίας σου· δεῖ γὰρ ἀντεισάγεσθαι πρὸς τοῦ ἐπιτιμῶντος τὴν οἰκείαν γνώμην τῆς μεμφθείσης ὑπολήψεως. ἔστιν οὖν ἡ ἐπιστολὴ ἥδε.

Θεόδωρος Ἀθανασίῳ

‚Πῶς', φῇς, ‚οὐ λατρεύεται ἡ εἰκὼν Χριστοῦ, ἀλλ' ὁ ἐν αὐτῇ προσκυνούμενος Χριστός, μιᾶς οὔσης ἐπ' ἀμφοῖν προσκυνήσεως;' ὅτι ἐπ' αὐτοῦ δὴ Χριστοῦ λατρευτικὴ ἡ προσκύνησις (προσκυνῶν γὰρ αὐτὸν συμπροσκυνῶ τὸν πατέρα καὶ τὸ Ἅγιον Πνεῦμα ὁμοῦ, ὅπερ ἐστὶν ἡ τριαδικὴ ἡμῶν προσκύνησις καὶ λατρεία), ἐπὶ δὲ τῆς εἰκόνος ἡ αὐτὴ μὲν (πῶς γὰρ οὔ; ὧν γὰρ ἓν τὸ κράτος καὶ ἡ δόξα μία, τούτων δηλαδὴ ἓν τὸ σέβας καὶ μία ἡ προσκύνησις), σχετικὴ δὲ ὅμως, ἤγουν ὁμωνυμική. προσκυνῶν γὰρ αὐτὴν οὐ συμπροσεκύνησα, ἀλλὰ προσεκύνησα Χριστόν, οὐ διαι/ρούμενον καθ' ὑπό-

---

528. a. 821 – 826   3 Πλάτων: cave intelligas Platonem monasterii Saccudionis abbatem; est enim hic Platon ceteroqui ignotus   4 λογιότητα: allocutio etiam in epistulis patrum cum epistula missa coniungitur; cf. Dinneen, Titles 47 sq.

15 – 37 = ep. 428   18 – 24 = monum. gr. 14 (p. 58 Hergenröther)

VMN P (R ll. 1 – 14) SH (ll. 69 – 96)

2 συνδιαλεγομένῳ N   5 πως S   οὐκ: ὡς S   δογματι/////σθεῖσαν M   9 ὑπ': ἐπ' VMN   11 ἀπορίας: ἱστορίας VMN   15 δογματικὴ περὶ τῆς παναχράντου εἰκόνος τοῦ κυρίου· ὅτι προσκυνοῦντες ταύτην οὐ τὴν θεότητα προσκυνοῦμεν, ἀλλ' αὐτὸν χριστὸν σχετικῶς, ὅτι καὶ αὐτὴ ἡ τοῦ χριστοῦ ὑπόστασις προσκυνεῖται ἐν τῇ αὐτοῦ εἰκόνι titulo add PS   16 φῆς MS Sirm   17 ἐπὶ Mi (cf tamen ep 428,3)   19 ὁμοῦ om VMN Sirm (sed cf ibid 5)   post Πνεῦμα voces τὴν ἐν τριάδι μίαν φύσιν add monum gr l. l.   20 ἡμῶν: ὁμοῦ VMN Sirm   21 πῶς om N   22 σέβας: κράτος VMN (sed cf ep 428,8)   23 post συμπροσεκύνησα voces τὸν πατέρα καὶ τὸν υἱὸν add monum gr l. l.   26 κἂν M

στασιν, ἀλλὰ διαφορούμενον κατὰ τὸν τῆς οὐσίας λόγον· ὅπερ ἐστὶ σχετική, ἀλλ' οὐ λατρευτική, κἂν ἡ αὐτή, ἐκεῖ μὲν οὕτως νοουμένη καὶ λεγομένη, καθότι τριαδική, ἤγουν φυσική, ἐνταῦθα δὲ τὸ ἔμπαλιν, καθότι σχετική, ἤγουν ὑποστατική. εἰ γὰρ εἴποις λατρευτική, ἐσήμανας σεσαρκῶσθαι ὡς τὸν υἱὸν τόν τε πατέρα καὶ τὸ πνεῦμα, ὅπερ ἐστὶν ἔκτοπον. τοιγαροῦν προσκυνῶν τὴν εἰκόνα Χριστοῦ οὐ τὴν θεότητα προσκυνῶ, ὥς φασί τινες (τοῦτο γὰρ τῆς Τριάδος σημαντικόν· καὶ οὐ σεσάρκωται ἡ Τριάς, ἄπαγε), ἀλλὰ τί; αὐτὸν Χριστὸν σχετικῶς· μόνος γὰρ αὐτὸς ὁ σαρκωθεὶς θεὸς λόγος. προσκυνῶν δὲ αὐτὸν Χριστὸν δῆλον ὅτι συμπροσεκύνησα τὸν πατέρα ὁμοῦ καὶ τὸ πνεῦμα. ὥστε ἐπὶ τῆς εἰκόνος σχετικὴ εἰκότως ἂν νοοῖτο καὶ λέγοιτο, ἐπ' αὐτοῦ δὲ Χριστοῦ λατρευτική, ὡς συνεπινοουμένου τε καὶ συμπροσκυνουμένου τοῦ τε πατρὸς καὶ τοῦ πνεύματος.

Καλῶς οὖν, ὦ τᾶν, ἔχειν μοι δοκεῖ τὸ θεώρημα, ἐπὶ μὲν τῆς μακαρίας καὶ προσκυνητῆς Τριάδος τὴν σὺν πρόθεσιν εἰλῆφθαι (ἡ γὰρ σὺν διάκρισιν τῶν ὑποστάσεων ὑποφαίνουσα ἑνότητα φυσικὴν παρίστησι, καθὼς ἐπὶ τοῦ συμβόλου τῆς πίστεως παρὰ πᾶσι χριστιανοῖς ᾄδεται), ἐπὶ δὲ τῆς προσκυνήσεως Χριστοῦ τε καὶ τῆς αὐτοῦ εἰκόνος οὐκ ἔχει χώραν ἡ σὺν πρόθεσις εἰλῆφθαι· ἣ γὰρ ἂν εἰς δυάδα ὑποστάσεων κατὰ τὸν ἀποδοθέντα λόγον διιστᾶσα τὴν μίαν ὑπόστασιν ἀποκομίσῃ ἡμᾶς εἰς τὸ τῆς κοσμολατρείας ἀσέβημα. οὐκοῦν εἰκότως ἡ ἀντωνυμία παρελήφθη, ἥτις, τὸ ἑνιαῖον τῆς ὑποστάσεως ἐπ' ἀμφοῖν τηρήσασα, διίστησι τὸ ἑτεροῖον τῶν φύσεων. καὶ γοῦν, φησὶν ὁ πάνσοφος Διονύσιος, ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον. διαφορότητα οὖν οὐσίας φήσας ταὐτότητα δῆλον ὅτι ὑποστάσεως κατὰ τὸ ἑκάτερον ἐν ἑκατέρῳ ὑπέδειξε, καθ' ἣν καὶ ἡ κατὰ σχέσιν προσκύνησις τεθεώρηται. ἡ γὰρ σχέσις, ὥς φασι, τῶν πρός τί ἐστιν· ἅμα τε γάρ ἐστι καὶ ἀντιστρέφει πρὸς ἄλληλα, οἷον ἀρχέτυπον πρὸς εἰκόνα. οὐ γὰρ ἂν εἴη θάτερον μὴ θατέρου παρόντος,

---

48 Dion. Ar. de eccl. hier. 4,3 (PG 3,473 C) 51–53 = monum. gr. 7 (p. 55 sq. ibid.)

---

34 δηλονότι omnes: correxi 35 ἐπὶ: διὰ Sirm (sed cf ibidem 22) 36 τε om VMN 38 τάν S 40 ὑπεμφαίνουσα VMN (fort recte) 42 αὐτοῦ om VMN 43 ἣ P: ἢ S: ἢ cett Sirm 44 ἀποδοθέντα: τῆς ἀκολουθίας VM: τῆς ἀληθείας N 45 κοσμολατρίας PS: κτισματολατρείας VMN (-τρίας M) Sirm 48 ἐν om P (sed cf lin 50) 49 δηλονότι omnes: distinxi 52 ἅμα τε γάρ ἐστι: τὰ δὲ πρός τι αὐτὰ ἅπερ εἰσὶν ἑτέρων εἶναι λέγεται monum gr l. l.

καθὸ καὶ τῶν ἅμα πεφιλοσόφηται. πρόσκειται δέ, ἤγουν ὁμωνυμική, καί γε τῆς αὐτῆς ἐμφάσεως καὶ ἥδε ἡ λέξις· τὸ γὰρ ὄνομα ὀνομαζομένου ὄνομα. ὥστε κἀνταῦθα τῶν πρός τι ὁ λόγος, ἐπεὶ καὶ κατὰ φιλοσοφίας ὅρον ὁμώνυμά ἐστι διδασκόμεθα, ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, οἷον αὐτὸς Χριστὸς καὶ ὁ ἐγγεγραμμένος. ἐπεὶ δὲ καὶ ὑποστατικὴ πρόσκειται, τοῦτο διαρρήδην ἀποδέδεικται, ὅτι οὐχ ἑτέρα ὑπόστασις παρὰ τὴν τοῦ Χριστοῦ ἐν τῇ αὐτοῦ εἰκόνι, ἀλλ' αὐτὴ δὴ ἡ ὑπόστασις Χριστοῦ, ἤγουν ὁ χαρακτήρ, τῷ τῆς μορφῆς αὐτοῦ εἴδει ἐκφαινόμενός τέ ἐστιν ἐν τῇ εἰκόνι καὶ προσκυνούμενος· καὶ ἔρρωται ὁ πᾶς λόγος τοῖς ὑγιῶς φρονοῦσι.

Πρὸς δὲ τὸ πίστωσιν ἔχειν μᾶλλον τὸν λόγον ἀναγκαῖον ἡγησάμην τρεῖς χρήσεις πατρικὰς ὑποθεῖναι τῇ ἐπιστολῇ, ὡς ἂν/πληρωθῇ κἀνταῦθα ἐπὶ δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, γραφικῶς εἰπεῖν.

Τοῦ Χρυσοστόμου ἐκ τῆς ἑρμηνείας τοῦ νιπτῆρος

Ὅταν βασιλικοὶ χαρακτῆρες καὶ εἰκόνες εἰς πόλιν εἰσφέρωνται, ὑπαντῶσιν ἄρχοντες καὶ δῆμοι μετ' εὐφημίας, οὐ σανίδα τιμῶντες οὐδὲ τὴν κηρόχυτον γραφήν, ἀλλὰ τὸν χαρακτῆρα τοῦ βασιλέως· οὕτως ἡ κτίσις οὐ τὸ γήινον σχῆμα τιμᾷ, ἀλλὰ τὸν οὐράνιον χαρακτῆρα αἰδεῖται.

Τῆς ἐν Ἀντιοχείᾳ συνόδου ἐπὶ Θεοδωρήτου πατριάρχου

Οὐχ ὡς ἕτερον τῇ μορφῇ, ἀλλ' ὡς αὐτὸν ἕνα Κύριον ἐν μιᾷ μορφῇ ὄντα, καθ' ὃν καὶ χαρακτὴρ εἷς πεφυκὼς τῆς τοῦ πατρὸς ὑποστάσεως καὶ πρὸ σαρκὸς ἀσώματος εἷς τε ἦν καὶ ἐν σαρκὶ εἷς ἐστι καὶ ἐν εἰκόνι ὁ αὐτὸς εἷς ὑπάρχει, μὴ διαιρούμενος εἰς δύο χαρακτῆρας μήτε δὲ σχιζόμενος εἰς δύο δόξας, ἀλλ' εἰς μίαν συναγόμενος. καὶ

---

57 διδασκόμεθα: nempe ab Aristotele l. l. infra; cf. adn. ad ep. 5,50

57 Arist. cat. 1^{a} 1 67 De. 19,15; cf. Matth. 18,16 70 Jo. Chrys. in Conc. Nic. II (XIII 68 E Mansi) 76–93 = ep. 532,229–246

54 καθὸ: καθὰ VMN τῶν ἅμα: τὸ νάμα VMN: περὶ τῶν ἅμα Sirm πρόκειται N 55 ἥδε ἡ λέξις: ἡ διάλεξις N 56 καὶ om VMN 57 ὅρον: λόγον VMN Sirm 59 γεγραμμένος VMN Sirm 60 ἀποδέδεικται: ὡμολόγηται VN Sirm 61 ἡ om Sirm 62 τῷ: τὸ N ἐστιν: ἐστι Mi 69 τοῦ Χρυσοστόμου: hic inc epist in H ᾱ in marg PS 70 εἰσφέρωνται: φέρωνται VMNH 73 κτῆσις V 75 β̄ in marg PS Θεοδωρίτου omnes: correxi 76 τῇ μορφῇ: τὴν μορφὴν VN 77 καθ' ὃν: καθὸ H 78 εἷς[1] om VMN

μεθ' ἕτερα· ἀλλ' ὥσπερ αὐτὸς εἷς ἐστιν ἐκ δύο τῶν ἐναντίων καὶ εἰς ἓν συνάγεται πρόσωπον, οὕτω καὶ ἡ εἰκὼν αὐτοῦ μία τέ ἐστι καὶ τοῦ αὐτοῦ ἑνὸς Χριστοῦ· καὶ οὐχ ἕτερον χαρακτῆρα ἐροῦμεν τὸν κατὰ σάρκα ἐπιφανέντα ἡμῖν καὶ ἕτερον τὸν κατ' εἰκόνα σχηματιζόμενον χαρακτῆρα ἐν εἴδει μορφῆς αὐτοῦ, ἀλλὰ τὸν αὐτὸν ἕνα, ἐπεὶ μήτε καθὸ σῶμα ὁ χαρακτὴρ εἴρηται, ἀλλὰ καθὸ ἀσώματον. καὶ τοῦτο μᾶλλον διὰ τοῦ θείου Χρυσοστόμου διευκρινηθήσεται, τὸν χαρακτῆρα οὐράνιον λέγοντος, ἐπείπερ καὶ ἐξ οὐρανοῦ οὐ καθὸ σῶμα, ἀλλὰ καθὸ ἀσώματον ὁ μονογενὴς θεὸς κατελθὼν ἐκ τῶν οὐρανῶν ἐσαρκώθη καὶ ἐπέφανε, σῶμα περιθέμενος τὸ ἡμέτερον. καὶ μετ' ὀλίγα· οὐκοῦν ἐπεὶ κατὰ ἀναφορὰν αὐτὸν δείκνυσι τὸν χαρακτῆρα, αὐτὸν Χριστὸν προσκυνοῦμεν καὶ οὐ τὴν ὕλην, τεχνικῶς σχηματιζομένην ἐν τῇ εἰκόνι.

Τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον

Καὶ ὁ προσκυνῶν τὴν εἰκόνα προσκυνεῖ ἐν αὐτῇ τοῦ ἐγγραφομένου τὴν ὑπόστασιν.

529. Εὐδοκίᾳ κανδιδατίσσῃ

Ἐδηλώθη μοι ὑπὸ τοῦ ἀδελφοῦ Σιλουανοῦ περὶ τῆς τιμιότητός σου ὅτι ἐν λύπῃ ἐστὶ διὰ τὸ ἐγγίνεσθαί σοι φόβον τινὰ καὶ πτόησιν ἐν τῇ ψυχῇ ἄνευ τινὸς αἰτίας· καὶ ἀκούσας οὐκ ἀπαθῶς ἤνεγκα ὁ ταπεινός, ἀλλὰ καὶ ἐλυπήθην καὶ ηὐξάμην, εἰ καὶ ἀνάξιος ὑπακούεσθαι παρὰ θεοῦ, λυθῆναι τὸ δέος ἐκεῖνο ἀπὸ σοῦ. ἀλλὰ καὶ ἔτι κἀγὼ καὶ ὁ κύριος ὁ ἀρχιεπίσκοπος καὶ οἱ ἀδελφοὶ συνεύχονται καταρραϊσθῆναι τὸ πάθος ἀπὸ τῆς εὐσεβείας σου· τοῦτο δέ, κυρία, ἀλλόκοτόν ἐστι τὸ πάθος καὶ εὐκαταφρόνητον καὶ οὐκ ὀφείλεις λογίζεσθαι αὐτὸ ὅλως ἕν τινι δυνάμενόν σε παραβλάπτειν, διότι, τὸν Χριστὸν ἐνδεδυμένη, καὶ τὸν σταυρὸν αὐτοῦ ἔχεις ὅπλον, ἐφ' ᾧ σημειουμένη ἀποδιώκειν παραυτὰ πίστευε πᾶσαν / σκαιωρίαν δαιμονικήν, κἂν ἐν ἡμέρᾳ, κἂν ἐν νυκτὶ συμβαίνῃ σε ἐκθροεῖσθαι. ψάλλε

---

82 ἡ om Sirm 83 ἐροῦμεν: αἱρούμεν V: αἱρούμενοι M: αἱρούμενον N 85 ἐνείδει S 89 θεὸς: υἱὸς HN (sed cf ep 532,242) 94 δεύτερον: β[ον] M: β P Sirm

---

529. a. 821 – 826

VM PS

3 ἔστι Sirm σοι M[sscr] 7 ὁ[2] om VM 13 κἂν MP (bis)

οὖν πρὸς Κύριον, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου· καὶ πάλιν· οὐ φοβηθήσομαι ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ· καί, εἰ ὁ θεὸς ὑπὲρ σοῦ, τίς κατὰ σοῦ, οὗ καὶ τὸ σῶμα ἐσθίεις καὶ τὸ αἷμα πίνεις; ἐφ' οἷς καταπατοῦμεν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Μὴ τοίνυν συγκαταπέσῃς μηδὲ ῥαθυμήσῃς ἐν τῷ ἀκαίρῳ τούτῳ φόβῳ, ἀλλ' εὐθύμει ἐν Κυρίῳ καί, ὑπομιμνήσκομεν, προσεύχου, καθὼς καὶ εἴθισταί σοι, νύκτωρ καὶ μεθ' ἡμέραν, εἰ δύνῃ, καὶ μικρὸν ἀναγίνωσκε, καὶ ἡ εἰρήνη τοῦ θεοῦ φρουρήσει σε καὶ ἀπήμονα διατηρήσει ἐν πᾶσιν.

530. Εὐφροσύνῃ ἡγουμένῃ

Μεμάθηκα παρὰ τοῦ εὖ εἰδότος ὅτι σου ἥψατο λύπη τῆς τιμιότητος διὰ τὸ ἐθέλειν μίαν ἀδελφὴν τετμῆσθαί σου τῆς ἁγίας συνοδίας. καὶ οὐκ ἔξω τοῦ εἰκότος ἡ λύπη· πῶς γὰρ ἂν καὶ οὐκ ἀλγήσειεν ψυχὴ ἐκκοπτομένου τοῦ οἰκείου μέλους; ἀλλ' ὅμως, ὅτι συμβαίνει τὰ τοιαῦτα ἐξ ἐπηρείας τοῦ ἐνεδρεύοντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, καὶ χρὴ ἡμᾶς μακροθύμως φέρειν, πᾶσαν ἐπιδεικνυμένους ἐπιμέλειαν ὅσον ἐπιτρέπει ὁ ἀληθὴς λόγος, ὡς ἂν ἀθῷοι τοῦ αἵματος εἴημεν τοῦ τοιούτου, ἤγουν τῆς τοιᾶσδε, ἀδελφοῦ τε ὀνομασθέντος ἢ ἀδελφῆς. Ἐπεζήτησας δὲ μαθεῖν, εἰ ἀνένοχόν ἐστι τῇ τιμιότητί σου ἀπολῦσαι τὴν φιλονεικοῦσαν ἐκραγῆναί σου ἀδελφήν. καὶ πῶς, σοφὴ οὖσα καὶ συνετή, οὐκ ἀφ' ἑαυτῆς ἐπιγινώσκεις τὸ δέον; οὔτε οὖν σεαυτῇ τῇ διδασκάλῳ οὔτε τῇ μαθητευθείσῃ ἀκίνδυνος ἡ διάστασις, ἐθελουσίως γινομένη. διατί γὰρ καὶ πόθεν τὸ εὔλογον ἔχουσα; εἰ μὲν γὰρ τελεία οὖσα καὶ κατηρτισμένη ἡ μαθήτρια πρὸς τὸ ἄλλων

14 Ps. 63,2 15 Ps. 90,5 sq. 17 Rom. 8,31 18 Luc.10,19

22 μεθημέραν PS

530. a. 824–826 3 συνοδίας: virgines monasterii Clubii

8 Matth. 27,24

C VM PS

4 εἰκότως C ἀλγήσειε VMPS Sirm 9 τοιάσδε VM τε om VM 10 ἀπολύσαι VM 12 ἀφεαυτῆς CP 14 διὰ τί M Sirm

ἀδελφῶν καθηγεῖσθαι, ἤδη ἐπιζητουμένης ὑπ᾽ ἀδελφότητος, οἰκονομία τὸ τοιοῦτον, καθώς φησιν ὁ Ἅγιος Βασίλειος, καὶ οὐ διάστασις, ἄπαγε· καὶ γοῦν ἀπὸ τοῦ ἄρχεσθαι καλῶς ἄνεισί τις ἐπὶ τὸ ἄρχειν ἐννόμως, κἀντεῦθεν ζῆλος ἀγαθὸς ταῖς ὁμοτρόποις ἰέναι ἐπὶ τελειότητα καὶ ταὐτοπραγῆσαι θεοπρεπῶς, ἐπειδὴ ἔνδειξιν τῆς εἰς αὐτὸν ἀγάπης ὁ Κύριος καὶ θεὸς ἡμῶν τῷ κορυφαίῳ τῶν ἀποστόλων ὑποδεικνὺς ἔφη· εἰ ἀγαπᾷς με, βόσκε τὰ ἀρνία μου· καὶ πάλιν· ποίμαινε τὰ πρόβατά μου. ὡς ὅ γε, ὁ τοιαύτῃ προθέσει ἐκβεβηκὼς εἰς τὸ ποιμαίνειν, μακάριος ἂν εἴη, Χριστὸν μιμούμενος τὸν ἀληθινὸν καὶ πρῶτον ἀρχιποίμενα.

Ἔστι γοῦν καὶ ἑτέρα οἰκονομία ἐν τοῖς πατράσιν ἡμῶν τεθεωρημένη, ὁπόταν ψυχὴ δυστροπεύουσα μετὰ πολλὴν καὶ μακρὰν ἐπιμέλειαν αἱρῆται μεταπεσεῖν εἰς ἄλλην ἀδελφότητα, ὡς ἐκεῖσε χρησιμεύσειν μέλλουσα κατὰ μίμησιν τῶν μεταφυτευομένων δένδρων ἐκ τοῦδε εἰς τόνδε τὸν τόπον. ἐὰν οὖν καὶ τοῦτο / ποιήσειας, ἔχει τινὰ λόγον, ἀμφοτέρων δῆλον ὅτι, τῆς τε ἐπιδιδούσης καὶ τῆς ἐπιδεχομένης, συναιρουμένων ἀλλήλαις, πληρουμένου τοῦ ἀποστολικοῦ παραγγέλματος, ἀλλήλων τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. ἄλλον δὲ χωρισμὸν οὐκ ἐπιδέχεται ὁ λόγος τῆς ἀληθείας, πρῶτον μὲν ὅτι ἡ σύμβασις τοῦ Ἁγίου Πνεύματος διασπᾶται, ἡ καθομολογηθεῖσα ἐνώπιον θεοῦ καὶ ἀνθρώπων ἐπὶ τῇ μοναχικῇ τελειώσει· οὗ τί ἂν εἴη ὀλεθριώτερον; καί γε ἁρμόζει κἀνταῦθα ὁ λόγος τοῦ Κυρίου, οὓς ὁ θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω· εἰ γὰρ ἐκεῖ, καίτοι ἐπὶ σαρκικῇ ζεύξει, ἀπηγόρευται ὁ χωρισμός, πόσῳ γε μᾶλλον ἐπὶ πνευματικῇ συναφείᾳ, εἰ μή τι ἄρα παίζεται τὰ θεῖα; ἀλλ᾽ ἄπαγε, πιστὸς ὁ λόγος τοῦ μυστηρίου ἐπί τε ἀφέσει τῶν ἡμαρτημένων ἐπί τε δεσμῷ ἀλύτῳ τῆς συναφείας. ἔπειτα, πῶς οἰκοδομηθήσεται ἡ ἀδελφότης ἐξ ἧς ἀπορρήγνυται, εἴπερ ἀνεύθυνος ᾖ ἡ ἀπολελυμένη παρὰ τῆς καθηγουμένης, καὶ οὐχὶ μᾶλλον ὑπαχθήσεται εἰς διάστασιν, τῷ ὁμοίῳ ζήλῳ τεμνομένη νῦν μὲν αὕτη, πρὸς δὲ τὸ ἑξῆς ἑτέρα καὶ μετ᾽ οὐ πολὺ ἄλλη (καὶ οὕτω τὸ ἄρτιον σῶμα τοῦ Χριστοῦ οἰχήσεται καὶ διαφθαρήσεται πάμπαν), ἐκ τῆς

---

16 Bas. reg. fus. 36 (PG 31,1009 A) 22 Joh. 21,16 Joh. 21,17 33 Gal. 6,2 38 Matth. 19,6

---

16 ὑποζητουμένης VMPS Sirm ὑπ᾽: τῆς VM: om PS Sirm 18 γοῦν: γ᾽ οὖν C 19 ἀφαθὸς: καλὸς VM τὴν post ἐπὶ add PS Sirm 22 ἔφη: φησί V 23 ὁ om VMPS Sirm 24 καὶ om VM Sirm 26 γοῦν: γ᾽ οὖν C 27 ὁπ᾽ ὅτ᾽ ἂν C 28 αἱρεῖται C μετὰ πεσεῖν C χρησιμεύειν VMPS Sirm 30 τὸν om Mi ἔχῃ M 31 δηλονότι VMPS Sirm 32 συναιρομένων VMPS Sirm 37 τελειώσει: καταστάσει VM 40 τῇ post ἐπὶ add VM ἄρα VMPS Sirm 44 ᾖ: εἰ C 46 τοεξῆς S μεθουπολὺ C οὐπολὺ Sirm

πρώτης βαλβῖδος ἀφορμηθεῖσα; καὶ τοῦ οὐαὶ κληρονόμος, ὥς βοᾷ ὁ Ἅγιος Βασίλειος, ἡ τοῦτο ὅλον τὸ κακὸν ἀπεργαζομένη· οὔτε γὰρ στάσιν οὔτε βάσιν ἕξει οὔτε ἡ σὴ μονὴ οὔτε ἑτέρα ἡ οὕτως πράττουσα.

Ὥστε ὁ ἀπειθῶν ἀπειθείτω καὶ ὁ ἀνομῶν ἀνομείτω κατὰ τὸ γεγραμμένον. σὺ δὲ σῴζουσα σῷζε τὴν σεαυτῆς ψυχήν, μὴ προϊεμένη τοὺς νόμους τοῦ θεοῦ, ἀλλ' ἐρηρεισμένη ἐν ταῖς διδασκαλίαις τῶν ἁγίων, ὧν πρῶτος ἐν τούτοις ὁ Μέγας Βασίλειος, κἂν μετὰ δυοῖν ἢ τριῶν παρθένων φθάζῃς συζῆν· ὅπου γάρ εἰσι δύο ἢ τρεῖς ἐν τῷ ὀνόματί μου, φησὶν ὁ Κύριος, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν, οὐ μὴν μετὰ παρανομούντων, κἂν μυρίοι ὦσιν.

531. Δωροθέῳ τέκνῳ

Ἔγνων, τέκνον ἠγαπημένον, καὶ ἐκ τῆς ἀρτίως γραφείσης σου ἐπιστολῆς τὸ πρὸς ἡμᾶς τοὺς ταπεινοὺς πιστόν τε καὶ ἀγαπητόν σου, ὅπερ ἐστὶ γνώρισμα ἀληθινῆς ὑποταγῆς, εἰ καὶ ἡμεῖς ἁμαρτωλοὶ καὶ οὐδαμινοί· ἐφ' ᾧ καὶ συντηρηθείης πρὸς τὸ ἑξῆς, εὐαρεστῶν Κυρίῳ καὶ διαλάμπων τῇ ἀρετῇ ἐν τῇ ἀδελφότητί σου, οὐ μὴν ἀλλὰ καὶ ἐν ἄλλοις πολλοῖς. φύσιν γὰρ οὐκ ἔχει κρύπτεσθαι τὸ ἀγαθόν, ἀλλὰ καὶ μᾶλλον λανθάνειν δοκοῦν εὔδηλον τὸν ἐργάτην ἀποκαθίστησιν ὡς πόλιν θεοῦ χρηματίζειν κατὰ τὸ γεγραμμένον.

Ἀλλὰ τοῦτο μὲν ἐπὶ τοσοῦτον. περὶ δὲ ἧς ἐσήμανας ὑποθέσεως, ἤγουν τοῦ ποιεῖν μνήμην τοῦ δεῖνος, ὀφείλεις ἐξ ἑαυτοῦ συνορᾶν ὅτι, εἰ μὲν ἐν τῷ θανάτῳ, προκοινωνῶν τῇ αἱρέσει διὰ φόβον ἀνθρώ-

---

52 ὁ ἀπειθῶν ἀπειθείτω: ad repetitionem verbi cf. Blass – Debrunner – Rehkopf 350 sq.

48 Bas. const. mon. 21,3 (PG 31,1397 A) 50 cf. Plat. Crat. 437 a βάσεώς τινός ἐστιν καὶ στάσεως μίμημα 52 Ez. 3,27 Is. 21,2 56 Matth. 18,20

48 βαλβίδος omnes: correxi 53 σεαυτῆς: ἑαυτῆς VM Sirm 55 καν C: κἂν M δυεῖν C 56 φθάσῃς VM Sirm 57 φησὶν post τρεῖς transp VM 58 καν C: κἂν M

---

531. a. 821 – 826

9 Hebr. 12,22

C VM PS

5 οὐδαμεινοί C: ταπεινοί VM προστοεξῆς S 12 προκοινωνὸν C ἐν ante τῇ add VMPS Sirm

πινον, ἔστη ἐξαγορεύων καὶ οἱονεὶ ἐπιτι/μώμενος πρός τινος, εἶθ' οὕτως μετέλαβεν τῆς ὀρθοδόξου κοινωνίας καὶ ταύτῃ συναπέπτη, ἔχει φύσιν ἐν μνημοσύνοις τάττεσθαι ὀρθοδόξων, τοῦ ἀγαθοῦ ἡμῶν θεοῦ διὰ πολλὴν φιλανθρωπίαν ἐπ' αὐτῆς τῆς τελευταίας ὥρας δεχομένου τὸν μεταμελούμενον καὶ ὧδε αὐτὸν κρίνοντος. ὥστε, εἰ οὕτως ἐγένετο, ποιεῖσθαι λειτουργίας ὑπὲρ αὐτοῦ πρὸς θεὸν οὐ παραιτητέον. εἰ δὲ οὐδὲν τούτων γέγονεν, ἀλλὰ κοινωνῶν ἦν τῇ αἱρέσει καὶ οὐκ ἔφθασεν μετασχεῖν τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου (αἱρετικὸς γὰρ ὁ ἄρτος ἐκεῖνος καὶ οὐ σῶμα Χριστοῦ), οὐ τολμητέον εἰπεῖν σύναξιν περὶ αὐτοῦ (οὐδὲ γὰρ παίγνια τὰ θεῖα), ὡς ἂν μὴ ἀκούσῃ ὁ αἰτῶν περὶ τοῦ τοιούτου, αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε. ἄλλο τι λέγειν οὐκ ἔχω, ὅσον τὸ κατ' ἐμὲ διαγινώσκειν ἔστι τὸ ἀληθές· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος, οὔτε ἐν τῷ μέρει τῶν ὀρθοδόξων τετάξεται ὁ μὴ κοινωνῶν τῇ ὀρθοδοξίᾳ κἂν ἐν τῇ ἐσχάτῃ ὥρᾳ· ὅπου γὰρ εὑρεθῇ, ἐκεῖ καὶ κριθήσεται καί, οἷον ἐφόδιον εἴληφε πρὸς τὴν αἰώνιον ζωήν, τούτῳ καὶ συναριθμηθήσεται.

Τὸ λοιπὸν εὔχου ὑπὲρ ἐμοῦ. ἀσπάζεταί σε ὁ κύριος ὁ ἀρχιεπίσκοπος καὶ οἱ ἀδελφοί σου. τοὺς μετὰ σοῦ ἀδελφοὺς ὡς τέκνα μου προσαγορεύω, ἐπεὶ καὶ τὴν κυρίαν Θέκλαν ὡς θυγατέρα ἐν Χριστῷ.

532. Μιχαὴλ καὶ Θεοφίλῳ βασιλεῦσιν.

Βασιλεῦσι θεοφιλεστάτοις καὶ εὐσεβεστάτοις ἐκ θεοῦ αὐγούστοις καὶ αὐτοκράτορσιν ἀπολογία τε καὶ προσφώνησις παρὰ τῶν ὧδέ τε κἀκεῖσε διεσπαρμένων

Ἐγνωσμένον ἐστὶ τοῖς λόγου μετέχουσιν ὅτι ὁ παμβασιλεὺς τῶν ἁπάντων θεὸς τὸ τῆς ἐπιγείου βασιλείας χρῆμά τε καὶ ὄνομα τούτου

23 Jac. 4,3 25 2 Cor. 6,14 27 cf. Ez. 7,3

13 ἔστη: ἔστι Sirm καὶ om VM 14 μετέλαβε VMPS Sirm: om Mi 15 φύσιν om VM ἡμῶν om VM 17 ὧδε VM 18 λειτουργίας post θεὸν transp S 20 ἔφθασε VMPS Sirm 22 ποιεῖν post αὐτοῦ add V Sirm: ante περὶ add M 24 διαγινώσκειν C: γινώσκειν cett Sirm 25 ἔστι om VMPS Sirm οὐδὲ μία P 27 καν C 31 μου om VM

532. a. 826

VMN PSH (ll. 1–63)

3 τε[1] om HN ὧδε VM 4 δογματικὴ περὶ τῆς ὀρθοδόξου πίστεως καὶ περὶ τῶν ἁγίων εἰκόνων post διεσπαρμένων add PS: in marg Sirm

χάριν ἐδωρήσατο τῇ ἀνθρωπείᾳ φύσει, ἵνα, μιμήσει τῶν οὐρανίων καὶ τὰ ἐπίγεια τὸ εἰρηναῖον καὶ ἀστασίαστον κεκτημένα, σύμφωνον ἄγοιεν τὴν εἰς αὐτὸν δοξολογίαν τε καὶ προσκύνησιν· ἧς τὰς ἡνίας λαχοῦσα θεοκρίτως ἡ ὑμετέρα χριστομίμητος βασιλεία εἰκότως προσκέκληκεν ἡμᾶς τοὺς ἐλαχίστους εἰς λόγους ἐλθεῖν μετὰ τῶν ἀντιδιατιθεμένων ἡμῖν τῷ τῆς πίστεως λόγῳ, ὡς ἂν ἐντεῦθεν γνοίη πότερον μέρος τὸ ἀληθὲς πρεσβεύοι καὶ ταύτῃ δοίη τὰ νικητήρια εἰς τὸ μὴ εἶναι σχίσματα ἐν ἡμῖν, ἀλλὰ τὸ αὐτὸ φρονεῖν ὀρθοδόξως ἅπαντας. ἐφ' ᾧ ᾐνέσαμεν μὲν ὑμῶν τὸ φιλομαθὲς τῆς πίστεως, ὑπερῃνέσαμεν δὲ τὸ εἰρηνοθελὲς τῆς προαιρέσεως, οὕτως ἐφιεμένης ἐπ' ὠφελείᾳ καὶ σωτηρίᾳ τὸ ὑπήκοον καταστήσασθαι· εἴη γὰρ ὑμῖν ἐντεῦθεν ἄμειψις, ἐπὶ λαμπρότητι λαμπρότης ἄρρητος καὶ ἐπὶ βασιλείᾳ βασιλεία ἀτελεύτητος.

Ἀλλ', ὦ δεσπόται κράτιστοι καὶ φιλοθεώτατοι, οὐχ οἷόν τέ ἐστι τοῦτο τὸ μέγα καὶ πολύευκτον κατόρθωμα ἁπλῶς οὕτως καὶ ἀκαμάτως γενέσθαι, διότι τῶν μεγίστων πραγμάτων μέγισται συναναφαίνονται καὶ αἱ τληπαθήσεις. τί τοῦτο; πρῶτον μὲν τὸ τοὺς ἐναντιουμένους ἡμῖν χρονίως τε καὶ συνοδικῶς πεπαγιῶσθαι ταῖς οἰκείαις δόξαις, ἡμᾶς δὲ ἀποστολικῶς τε καὶ πατρικῶς κεκωλῦσθαι συνᾶραι μετὰ τῶν οὕτω κεκρατημένων τὸν περὶ πίστεως λόγον· ἔπειτα, ὅτι καὶ ἡ περὶ αὐτοῦ κρίσις οὐκ ἄλλοις ἀνήκει ἢ μόνοις τοῖς ὑπὸ τοῦ Κυρίου τὴν ἐξουσίαν διὰ τοῦ Πνεύματος εἰληφόσι, συναιρομένων τε καὶ συνεπισφραγιζόντων καὶ ὑμῶν / τῶν ἐπὶ τούτῳ ὑπὸ θεοῦ προηγουμένων κεκλημένων. τὸ δὲ ὑγιὲς καὶ ἀμώμητον τῆς χριστιανικωτάτης ἡμῶν θρησκείας φρόνημα ὁποῖόν ἐστιν ἀναγκαῖον ἐκθέσθαι.

Πιστεύομεν εἰς ἕνα θεόν, τὸν ἐν πατρί τε καὶ υἱῷ καὶ Πνεύματι Ἁγίῳ προσκυνούμενόν τε καὶ συνδοξαζόμενον, τὴν πολυύμνητον, παντουργὸν καὶ ἀρχικὴν Τριάδα κατὰ τὸ ὑπὸ τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων παραδοθὲν ἡμῖν θεόπνευστον σύμβολον, δι'

---

35 παραδοθέν: Nicaea a. 325

25 Tit. 3,10 Matth. 18,23 32 cf. Symb. Nic.-CP (ACO 2, 1, 2 p. 80 Schwartz); Conc. Nic. II (XIII 376 C sq. Mansi)

9 ἄγοιεν: ἄγοιτε VN αὐτὸ N 13 πρεσβεύει M ταύτῃ: τούτῳ M 15 ᾧ: ὧν H μὲν om VNH 16 τὸ ante οὕτως inser Sirm 18 ἡμῖν N ἐντεῦθεν om H λαμπρότης post ἄρρητος transp N 21 τοῦτο post μέγα transp H οὕτω N ἀκαμάτως: ἀτάκτως H^{ac} 24 τε om H 25 δέ: τε H συνάραι V^{pc}MNPSH 27 τοῦ om VN 28 συναιρουμένων H (fort recte; cf ep 530,32) 29 καὶ om Mi τούτῳ: τοῦτο MN προηγουμένως VMNH 32 ᾱ in marg PS τε om H 33 Ἁγίῳ ante Πνεύματι (32) transp HM δοξαζόμενον H 34 καὶ ante παντουργὸν add H τριακοσίων δέκα καὶ ὀκτώ: τιη´ M 35 ὑμῖν M

οὗ πᾶσα αἵρεσις ἐκκέκρουσται καὶ παρ' οὗ πᾶσα ἁγία σύνοδος ἤρτηται, οἷάπερ ἀπὸ ῥίζης κλάδοι καὶ πηγῆς ποταμοί. ἐντεῦθεν γὰρ ἡ δευτέρα τὴν κυρίαν φωνὴν τοῦ Πνεύματος ἐτράνωσεν· εἶτα ἡ τρίτη τὴν ἁγίαν Μαρίαν Θεοτόκον, ὡς αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ ἀποκυήσασαν, ἐκήρυξεν· ἔπειτα ἡ τετάρτη ἐκ δύο καὶ ἐν δυσὶ φύσεσι καθ' ὑπόστασιν ἑνικὴν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐδογμάτισεν· εἶτα ἡ πέμπτη, τὴν πρὸ αὐτῆς ἐπισφραγίσασα, Ὠριγένην τε καὶ τοὺς ἀμφ' αὐτὸν προϋπαρκτίτας ἀνεθεμάτισεν· ἔπειτα ἡ ἕκτη ἀκολούθως ταῖς δυσὶ φύσεσι δύο θελήματά τε καὶ ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ ἐξεδίδαξεν· εἶθ' ὕστερον ἡ ἑβδόμη ἑπομένως ταῖς πρὸ αὐτῆς, ὡς διπλᾶ πάντα τὰ ἐπὶ τοῦ ἑνὸς Χριστοῦ φυσικὰ ἰδιώματα, τὸν αὐτὸν ἀπερίγραπτον κατὰ τὸ ἀόρατον καὶ περιγραπτὸν κατὰ τὸ ὁρώμενον ἀνεκήρυξε, τέτρασι τρόποις ἐρηρεισμένως τὸ ἀληθὲς ἔχουσα, ἔκ τε φυσικοῦ δόγματος, παρά τε πατρικῶν χρήσεων, ἔκ τε συνοδικῶν ἐκφωνήσεων καὶ παρὰ ἀρχαίας θεσμοθεσίας. κατὰ μὲν οὖν φυσικὴν ἀκολουθίαν, φέρε εἰπεῖν, ὁ εὐαγγελιστὴς Ἰωάννης ὑποδείκνυσι λέγων· καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. εἰ τοίνυν ὁ λόγος σὰρξ ἐγένετο, δῆλον ὅτι ὡς μὲν λόγος ἀπερίγραπτος, ὡς δὲ σὰρξ περιγραφόμενος· καί, εἰ ἐσκήνωσεν ἐν ἡμῖν (ἄλλο δὲ τὸ σκηνοῦν καὶ ἕτερον ἡ σκηνή), καθ' ἕτερον μὲν περιγράφοιτο, καθ' ἕτερον δὲ περιγραφῆς ἀνώτερος. ἐπεί, ποίοις σημείοις ἄνθρωπος γεγονέναι ἐπιγνωσθήσεται, εἰ μὴ τὸ τῆς ἐξεικονίσεως ἰδίωμα, ὅπερ ἐστὶ πρῶτον ἐν μεμορφωμένῳ ἀνθρώπῳ, φυσικῶς κέκτηται, οὗ τῇ ἀναιρέσει φροῦδος ὁ ἄνθρωπος; ἀλλὰ μὴν ἄνθρωπος ἀληθῶς, οὐκοῦν καὶ ὡς ἄνθρωπος περιγραφόμενος ὁ ὡς θεὸς ὢν ἀπερίγραπτος. ἐφ' ᾧπερ λόγῳ μεσίτης θεοῦ καὶ ἀνθρώπων ἐχρημάτισεν, ὡς τὰ ἀμφότερα ἄκρα πρὸς ἑαυτὸν συνάπτων καὶ ἀμφότερα ὑπάρχων καὶ τὰ τῶν ἀμφοτέρων ἐξ ὧν συνετέθη φύσεων ἰδιώματα ἐν μιᾷ ὑποστάσει ἀνελλιπῶς κεκτημένος, ἔκ τε πατρὸς σὺν πᾶσι καὶ τὸ ἀπερίγραπτον, ἐπείπερ εἴρηκε, πάντα τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμά, ἔκ τε μητρὸς σὺν πᾶσι καὶ τὸ περιγραπτόν, ἐπείπερ γέγραπται, οὐ γὰρ δήπου

38 δευτέρα: synodus a. 381 Cpoli convocata   τρίτη: synodus a. 431 in Epheso convocata   40 τετάρτη: synodus Chalcedoniensis a. 451 convocata   42 πέμπτη: a. 553 Cpoli convocata   43 ἕκτη: a. 680 – 681 ibidem convocata   45 ἑβδόμη: synodus Nicaeensis a. 787 convocata

52 Joh. 1,14   61 1 Tim. 2,5   65 Joh. 17,10   66 Hebr. 2,16

37 an ἤρτυται scribendum?   β̄ in marg PS   38 γ̄ in marg PS   40 δ̄ in marg PS   42 ε̄ in marg PS   ὠρειγένην H   τε om VMN   43 ς̄ in marg PS   44 τε om S   45 ζ̄ in marg PS   46 διπλὰ S   48 τρόποις: τόποις VN (sed cf infra 115)   50 καὶ ante κατὰ add H   53 δηλονότι H   εἰ – 54 ἡμῖν om N   εἰ om Sirm   55 μὲν om N   60 ὁ: καὶ H   63 φύσεων ἰδιώματα: ἰδιώματα φύσεων H, ubi desin epist in H

ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι. ἓν οὖν καθ' ἑκατέραν φύσιν ἀναιρούμενον ἰδίωμα συναν/αιρεῖν πέφυκεν ἐξ ἀναγκαίου πάντα τὰ ὁμόστοιχα, ἀναιρουμένων δὲ τῶν ἰδιωμάτων δῆλον ὅτι συναναιροῦνται καὶ αἱ τούτων φύσεις. καί, μάρτυς τοῦ λόγου, ὁ ἱερομάρτυς Ἰουστῖνος ὧδέ πού φησι· οὐδὲν γὰρ διαμένει τῶν ὄντων ὅπερ ἐστίν, ἑνὸς καὶ μόνου τῶν προσόντων αὐτῷ φυσικῶς ἐλλείποντος· κἀντεῦθεν φροῦδα τὰ τῆς πίστεως ἡμῶν ἐκ τῆς καινῆς ὑποθέσεως καθέστηκεν. ἑπομένως δ' οὖν τῷ εὐαγγελιστῇ καὶ ὁ ἀπόστολος τάδε φησίν· ὅς, ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. τοίνυν, εἴπερ ἐν μορφῇ θεοῦ ὑπάρχων μορφὴν δούλου ἔλαβεν, ἀναντιρρήτως, ᾗ μὲν ἐν μορφῇ θεοῦ ὑπάρχει, οὐκ ἐξεικονίζεται, ὅτιπερ τὸ θεῖον ὑπὲρ κατάληψιν, ᾗ δὲ μορφὴν δούλου ἔλαβεν, ἐξεικονίζεται, ὅτι ὑπὸ κατάληψιν τῆς ἐν ἁφῇ τε καὶ χροιᾷ ἡ δουλικὴ μορφὴ περιορίζεται. πῶς γὰρ ἐν ὁμοιώματι ἀνθρώπων γεγονέναι πιστευθήσεται, εἰ μὴ ὁμοίως τοῖς ἀνθρώποις ἐξεικονίζεσθαι πέφυκε; πῶς δὲ καὶ σχήματι εὑρεθῆναι ὡς ἄνθρωπος λεχθήσεται, εἰ μὴ τῷ ἀνθρωπίνῳ σχήματι γεγραμμένος ὀφθήσεται;

Ὁρᾶτε, ὦ γαληνότατοι, πῶς, ὀφειλομένως κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιούμενος, οἷς καὶ παραπλησίως μετέσχηκε σαρκὸς καὶ αἵματος, ἐξ ἀναγκαίου ἔχοι τὸ ἐπίσης τούτοις ἐξεικονίζεσθαι; εἰ δὲ μή, οὐχ ὡμοίωται, καὶ διέψευσται ὁ ἀποφηνάμενος, καὶ ἡ φύσις παρήλλακται. καὶ μὴν αὐτὸς ὁ θεὸς καὶ λόγος ὧδέ πού φησι· τί με ζητεῖτε ἀποκτεῖναι, ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ; οὐκ ἂν δὲ ὁ μὴ ἐξεικονιζόμενος ἄνθρωπον ἑαυτὸν εἴποιέ ποτε, οὐδ' ἂν ὁ πεφυκὼς ἀποκτένεσθαι μὴ οὐχὶ πεφυκὼς εἴη καὶ τοῦ ἐξεικονίζεσθαι· θάτερον γὰρ θατέρου εἰσαγωγικόν τε καὶ ὁμολογητικόν. οὗτός ἐστιν ὁ θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι, καθὼς ὁ μακάριος Πέτρος λέλεχε· τί δ' ἄλλο εἶεν τοῦτο ἢ τὸ φάναι ἐξεικονίζεσθαι σαρκί, οὐκ ἐξεικονιζόμενον πνεύματι; οὗτός ἐστιν ὁ εἰρηκώς, καὶ ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι' ἐμέ· οὐκ ἂν

76 Philipp. 2,6 sq. 89 Greg. Nyss. adv. Eun. 4 (PG 45,669 D = II 99 Jaeger) 90 Joh. 8,40 95 1 Petr. 3,18 98 Joh. 6,57

67 ἀβραὰμ M 71 τοῦ λόγου: τῶν λόγων N 72 ἱερόμαρτυς Sirm φησίν S: λέγων cett Sirm, quod ante ὧδε transp N 74 κενῆς $P^{pc}S$ 76 εἶναι: ἴσα M 77 ἴσα codd Sirm: corr Mi 78 ἀναντιρρήτως – 80 ἔλαβεν om M 79 ἐξ εἰκονίζεται S 82 ἂν post γὰρ add VMN Sirm 88 ἔχει Mi 91 ἄνθρωπον V^{sscr} 92 τοῦ N^{sscr} 93 ἀποκτείνεσθαι VMN Sirm καὶ ante πεφυκὼς add VN 94 τοῦ om M θατέρου: θατέρῳ Sirm τε om VMN Sirm 97 φᾶναι V σαρκί, οὐκ: σαρκικῶς VN Sirm οὐκ om M 98 καὶ om VN

δὲ ὁ μὴ περιγραφόμενος εἴποιεν ἐσθίεσθαι, εἰ μή τί γε ἄρα φάντασμα εἶεν. ὅπερ εἰ καταδεξοίμεθα, ἐμπεσούμεθα εἰς τὸ τοῦ Μανιχαίου φρόνημα, ἀποσκευαζόμενοι τὸ μέγα τῆς εὐσεβείας μυστήριον· καὶ γὰρ ἐκεῖνος ἐν τῷ ὁρατῷ καὶ ἀοράτῳ τὸν υἱὸν τὴν ἰδίαν οὐσίαν ἐν τῷ ὄρει πεφανερωκέναι φησίν, οὐ δύο ἔχοντα φύσεις, ἀλλὰ μίαν. ὥστε καὶ οἱ μὴ περιγράφεσθαι Χριστὸν διισχυριζόμενοι, ὡς μίαν φύσιν πρεσβεύοντες, ἐκείνου τῷ φρονήματι συνεμπίπτειν ἀπελέγχονται· ὃ γὰρ ἀπερίγραπτον, τοῦτο καὶ ἀσώματον, οὐδ' αὖ ἐν τῷ περιγεγράφθαι εἰς δυάδα προσώπων τὸ ἓν Χριστοῦ πρόσωπον, ὡς δοκεῖ τισι, διατέμνεται, ὅτι μηδὲ φύσις εἰκόνος τε καὶ πρωτοτύπου ὑποστατικῶς οἶδε τέμνεσθαι, ἀλλὰ τῷ τῆς οὐσίας λόγῳ τὴν διαφορὰν κέκτηται. φησὶ γὰρ ὁ πάνσοφος Διονύσιος· ἑκάτερον ἐν ἑκατέρῳ παρὰ τὸ τῆς οὐσίας διάφορον. / ἐπεὶ καὶ ἐπὶ τοῦ ζωοποιοῦ σταυροῦ οὐκ ἄν τις εἴποι τὴν σταυροειδῆ εἰκόνα ἄλλο τι παρὰ τὸ ταύτης πρωτότυπον ἢ μόνον τῷ φυσικῷ λόγῳ διαφορουμένην· καὶ τὸ παράδειγμα ἐγγύθεν καὶ ἡ ἀλήθεια ἀναμφίλεκτος.

Οὗτος οὖν ὁ πρῶτος τρόπος τῶν εἰρημένων. τίς ὁ δεύτερος; αἱ τῶν ἁγίων φωναί, οὐ συλλογιστικῶς, ἀλλὰ γυμνῶς ἐξεικονίζεσθαι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διαγορεύουσαι· ἅς, εἰ πάσας ἐνταῦθα βουληθείημεν ἐντάξαι, ἐκβησόμεθα τοῦ μετρίου τῆς προσφωνήσεως. ἐκ πολλῶν δὲ δύο ἢ τρεῖς, καὶ ταύτας προυργιαιτέρας, ἀναλεξάμενοι, ἐκ τῶνδε καὶ τὰς λοιπὰς πιστωσόμεθα, πληρουμένου κἀνταῦθα τοῦ γεγραμμένου, ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. φωνὴ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου, ἐν ἱστορίᾳ τοῦ ἱερομάρτυρος Παγκρατίου ὑπομνηματιζομένη· ἐξένεγκον τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐντύπωσον αὐτὴν ἐν τῷ πυργίσκῳ, ἵνα ἴδωσιν οἱ λαοὶ ποίαν μορφὴν ἔλαβεν ὁ υἱὸς τοῦ θεοῦ, ἵνα ἰδόντες ἐπὶ πλεῖον πιστεύσωσιν, ὁρῶντες τὸν τύπον τῆς μορφῆς, καὶ ὑπόμνησιν λαμβάνωσι τῶν παρ' ἡμῶν εἰς αὐτοὺς κηρυχθέντων. ὡς φοβερὸς ὁ λόγος οὗτος, μονονουχὶ καὶ ἐπιβοῶντος, ‚ἐξένεγκον τὴν εἰκόνα τοῦ τῇ ἀρετῇ τοὺς οὐρανοὺς καλύψαντος καὶ ἐντύπωσον οἱονεὶ ἐν τῷ μετεώρῳ εἰς μαρτύριον ἐμφανές'. ‚ἵνα ἴδωσιν οἱ λαοὶ

---

101 1 Tim. 3,16 **102** Manes apud Eust. Mon. ep. ad Tim. (PG 86,904 A) **110** Dion. Ar. de eccl. hier. 4,3 (PG 3,473 C) **121** De. 19,15; cf. Matth. 18,16 **123** cf. Act. SS. April. I (Antverpiae 1675) 237

---

100 τοῦ Μανιχαίου: τῶν Μανιχαίων VMN Sirm **103** πεφανερωκέναι: πεφανερωμένος M: πεφανερωμένον VN Sirm **108** τισι om VMN **110** ἐν om N **117** Χριστὸν om VMN **123** ἐξένεγκε S **126** ἐπιπλεῖον S **127** voces εἰς αὐτοὺς ante παρ' transp VMN Sirm **128** ἐξένεγκε S

ποίαν μορφὴν ἔλαβεν ὁ υἱὸς τοῦ θεοῦ'· οὐκ ἀγγέλου οὐδ' ἀρχαγγέλου οὐδέ τινος ἄλλης δυνάμεως, ἀλλὰ τὴν καθ' ἡμᾶς δουλικὴν μορφήν. ‚ἵνα ἰδόντες ἐπὶ πλεῖον πιστεύσωσιν'· ὡς οὐκ ἀρκούσης τῆς διὰ λόγου ἱστορίας, ἀλλὰ δεομένης καὶ τῆς δι' ὄψεως ἐνεργείας εἰς πλείονα πίστωσιν ὅτι ὁ υἱὸς τοῦ θεοῦ υἱὸς ἀνθρώπου γέγονε. ‚καὶ ὑπόμνησιν λαμβάνωσι τῶν παρ' ἡμῶν εἰς αὐτοὺς κηρυχθέντων'· ὅμοιον τοῦ εἰπεῖν ‚τοῦτο ὑμῖν μνημόσυνον εἰς γενεὰς γενεῶν'. ἐπισημαίνει δὲ ἡ ἱστορία ὅτι καὶ οἱ λοιποὶ ἀπόστολοι τὸ αὐτὸ ἐποίουν ἔν τε πόλεσι καὶ κώμαις, ἅπασαν ἱστορίαν τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διακοσμοῦντες ἀπ' ἀρχῆς, ὅτε ὁ ἄγγελος τὸ ‚χαῖρε' κέκραγε τῇ παρθένῳ, μέχρις ὅτου καὶ ἀνελήφθη· ἅς, φησί, καὶ φόβῳ παρῄνουν τιμᾶσθαι.

Ὁρᾶτε, ὦ φιλοθεώτατοι, ὅτι ὁμοῦ τῇ ἀναστηλώσει τῶν ἱερῶν εἰκόνων καὶ τὸ προσκυνεῖσθαι αὐτὰς φόβῳ ὑπὸ τῶν ἀποστόλων ἀπ' ἀρχῆς παραδέδοται; τὸ γάρ τοι τιμᾶσθαι ἰσόρροπον δῆλον ὅτι τοῦ προσκυνεῖσθαι ὡμολόγηται. φωνὴ Ἀθανασίου τοῦ πολυάθλου ἐκ τῆς ἐν Βηρυτῷ προσφωνήσεως· ἄρατε τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν καὶ ἴδετε τὸ καινὸν θέαμα τοῦτο· καὶ μεθ' ἕτερα· τότε τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἱ Ἰουδαῖοι κατενέγκαντες ἔφησαν ὅτι ‚καθὼς οἱ πατέρες ἡμῶν ἐνέπτυσαν αὐτῷ ποτε, οὕτως καὶ ἡμεῖς ἐμπτύσωμεν αὐτῷ'. τότε ἤρξαντο ἐμπτύειν εἰς τὸ πρόσωπον τῆς εἰκόνος τοῦ Κυρίου καὶ ἐρράπισαν αὐτὴν κατὰ πρόσωπον τῶν συνελθόντων ἔνθεν κἀκεῖθεν, ἤγουν τὴν εἰκόνα / τοῦ Κυρίου, λέγοντες· ‚ὅσα ἐποίησαν αὐτῷ οἱ πατέρες ἡμῶν, πάντα ποιήσωμεν τῇ εἰκόνι αὐτοῦ. καὶ λέγουσιν ὅτι ἐνέπαιξαν αὐτῷ· καὶ ἡμεῖς τὸ αὐτὸ ποιήσωμεν'. ἐμπαιγμοῖς οὖν ἀπείροις ἐνέπαιξαν τὴν εἰκόνα τοῦ Κυρίου, ἅπερ οὐδὲ λέγειν ἡμῖν τετόλμηται. εἶτα λέγουσιν, ‚ἠκούσαμεν ὅτι ἥλωσαν αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας· τοῦτο καὶ ἡμεῖς ποιήσωμεν αὐτῷ'. τότε τὰς χεῖρας καὶ τοὺς πόδας τῆς τοῦ Κυρίου εἰκόνος ἔπηξαν τοῖς ἥλοις. πάλιν λέγουσι μεμηνότες, ‚ἠκούσαμεν ὅτι ὄξος καὶ χολὴν ἐπότισαν αὐτὸν μετὰ σπόγγου· ποιήσωμεν αὐτῷ καὶ ἡμεῖς'. καὶ ἐποίη-

147–171 = Theod. Stud. antirrh. II 19 (PG 99,365 B–D); cf. Mansi XIII 24 D sq.

140 Luc. 1,28 147 (Ps.-)Athan. de imag. Dom. 1 (PG 28,805 C); cf. ibid. 797 A; Conc. Nic. II (XIII 24 E sq. Mansi) 148 (Ps.-)Athan. ibid. 4 (PG 28,808 C sq.); cf. ibid. 800 C sq.

131 οὐδὲ VMN Sirm 135 ὑπόμνησι P 137 an ἡμῖν scribendum? 140 ὁ om VMN 143 φιλοθεώτατοι: φιλανθρωπότατοι VN Sirm 145 δηλονότι omnes: distinxi 147 ἡμῶν M 150 καθὼς: καθότι VMN (cf tamen antirrh II l. l.) αὐτῷ: αὐτῇ M 151 αὐτῇ νῦν VN: αὐτῇ M 153 ὅτι post λέγοντες add VM 154 αὐτῷ om VMN (sed cf antirrh II l. l.) 159 αὐτῷ: αὐτῇ V^{pc}N 161 αὐτῷ: αὐτὸ VMN

σαν, προσθέντες τῷ στόματι τῆς εἰκόνος τοῦ Κυρίου τὸν σπόγγον τοῦ ὄξους πεπληρωμένον. πάλιν λέγουσι· ‚μεμαθήκαμεν ὅτι καλάμῳ ἔτυψαν τὴν κεφαλὴν αὐτοῦ οἱ πατέρες ἡμῶν· τὸ αὐτὸ καὶ ἡμεῖς ποιήσωμεν‘. καί, λαβόντες κάλαμον, ἔτυπτον εἰς τὴν κεφαλὴν τοῦ δεσπότου. τέλος λέγουσιν, ‚ὡς ἀκριβῶς μανθάνομεν ὅτι λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξαν, μηδὲν παραλείψωμεν, ἀλλὰ προσθῶμεν καὶ τοῦτο‘. καί, ποιήσαντες ἐνεχθῆναι λόγχην, ἐπέτρεψάν τινι αὐτῶν ἆραι τὴν λόγχην καὶ κροῦσαι κατὰ τῆς πλευρᾶς τῆς εἰκόνος τοῦ Κυρίου· καὶ τούτου γενομένου εὐθέως ἀνέβλυσεν ἀπ’ αὐτῆς πλῆθος αἵματος καὶ ὕδατος.

Πιστὸς ὁ λόγος, ὦ σοφώτατοι, τὸ μέν, ὅτι τὰ σημεῖα τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσι, τὸ δέ, ὡς ἂν καὶ ἡμεῖς γνοίημεν ὅτι τῇ τῆς εἰκόνος ὕβρει ἐφύβρισται τὸ πρωτότυπον, ὡς ἔμπαλιν τῇ τῆς εἰκόνος τιμῇ ἀποτετίμηται. φωνὴ τοῦ Μεγάλου Βασιλείου ἐκ τοῦ ἐγκωμίου τοῦ εἰς τὸν μάρτυρα Βαρλαάμ· ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός. κἀνταῦθα, ὦ γαληνότατοι, ἀσφαλὴς ὁ ὅρος τῆς εἰκονικῆς ἀναστηλώσεως. οὐ γάρ, ὥς τινες εἰκαιολογοῦσι, τῷ πίνακι τῆς ψυχῆς ἐγγεγράφθαι Χριστὸν εἴρηται τῷ θεοφόρῳ· οὐδὲ γὰρ ἐγγεγραμμένον ἐν ἡμῖν, ἀλλὰ κατοικοῦντα τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ἡμῶν ἔχομεν, ὡς ὁ ἀπόστολος βοᾷ. ἔπειτα, ὅτι καὶ τῇ ἐπιφορᾷ τοῦ ‚καί‘ συνδέσμου τὰ προηγούμενα ὑπεσημήνατο, ἅτινά ἐστι τάδε· ἀνάστητέ μοι νῦν, οἱ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι, τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν εἰκόνα ταῖς ὑμετέραις μεγαλύνατε τέχναις· ἀμαυρότερον παρ’ ἐμοῦ τὸν στεφανίτην γραφέντα τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. ἀπέλθω τῇ τῶν ἀριστευμάτων τοῦ μάρτυρος παρ’ ὑμῶν νενικημένος γραφῇ. χαίρω τῇ τοιαύτῃ τῆς ὑμετέρας ἰσχύος σήμερον νίκῃ ἡττώμενος. ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ’ ὑμῶν ἐγγραφομένην τὴν πάλην, ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας τὸν παλαιστὴν γεγραμμένον εἰκόνος. κλαυσάτωσαν δαίμονες καὶ νῦν, ταῖς τοῦ μάρτυρος ἐν ὑμῖν ἀριστείαις πληττόμενοι, φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω. ταῦτα οὐ δήπου ἐγγεγράφθαι φαίη ἐν ἡμῖν· εἰ δὲ καὶ τοῦτο δοθείη, οὐκ ἂν

172 1 Cor. 14,22 176 Bas. hom. in Barl. mart. 3 (PG 31,489 B) 178 cf. Bas. in Conc. Nic. II (XIII 300 A sq. Mansi) 180 Eph. 3,17 183 Bas. hom. in Barl. mart. 3 (PG 31,489 A sq.); cf. Conc. Nic. II (XIII 80 C Mansi)

163 λέγουσιν N 164 ἔτυψαν post αὐτοῦ transp VMN Sirm 165 αὐτοῦ ante τοῦ scriptum cancell N 169 ἄραι S πλευρᾶς τῆς in marg S 170 οὖν post τούτου add antirrh II l. l. 365 D 174 ἐφύβρισται: ἐφύβρισε M 178 ὁ om M 183 ὑπεσημήνατο: προεσημήνατο N οἱ: ὦ VMN: om Mi 192 ἐν ὑμῖν in marg S ἡμῖν N Sirm 194 δοθῇ VMN

πρότερον τὸν δοῦλον, εἶθ' οὕτως τὸν δεσπότην παρηγγυᾶτο, ἄλλως τε καὶ τῷ εὐθὺς ἐν τῇ ἀπαρχῇ λέγειν ‚ἀνάστητέ μοι νῦν, ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι' / δῆλα δὴ τοὺς εἰκονουργούς, οὐ τοὺς λογογράφους ἐσήμανε, καθὼς καὶ ἐν τῷ ἐγκωμίῳ τῶν Τεσσαράκοντα μαρτύρων ὁ αὐτὸς τάδε φησίν· ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα καὶ λογογράφοι πολλάκις καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες.

Ἐπεὶ γοῦν καὶ ὁ δεύτερος τρόπος πέρας εἴληφε, τίς ὁ τρίτος; φωνὴ τῶν μετὰ τὴν ἕκτην συνεδρευσάντων πατέρων ἐν Κωνσταντινουπόλει· ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνόν, Χριστὸν τὸν θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν οὖν τὸ τέλειον κἂν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν κατὰ τὸ ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ θεοῦ λόγου κατανοοῦντες καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι καὶ τῆς ἐντεῦθεν γινομένης τῷ κόσμῳ ἀπολυτρώσεως. ἐνταῦθα ὁμοῦ τῇ Χριστοῦ εἰκόνι καὶ τῶν ἁπάντων ἁγίων εἰκόνων λόγος πρόσεστι, πρῶτον μὲν ὅτι ὡς ἤδη προεξεικονισμένου καὶ λείποντος τοῦ ‚καὶ ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ' αὐτὸν ἀναστηλοῦσθαι ἡ διαγόρευσις, ἔπειτα, ὅτι οὐ μόνον ἀσπαστὴ ἡ τοῦδε εἰκὼν κατὰ τὰ ἐν νόμῳ σύμβολά τε καὶ προχαράγματα ἀσπαστὰ κεκλῆσθαι, ἀλλὰ καὶ προσκυνητή, αὐτοῦ τε καὶ παντὸς οὑτινοσοῦν ἁγίου. δῆλον γὰρ ὅτι τὸ σεπτὸν καὶ προσκυνητὸν ἄν τις ὁμολογήσειεν, ἔτι τε ὅτι πᾶσα εἰκὼν ὁμωνύμως τῷ αὐτῆς πρωτοτύπῳ κέκληται διὰ τοῦ εἰπεῖν

---

203 μετὰ τὴν ἕκτην: synodus a. 691 – 692 in Trullo convocata 204 ἔν τισι etc.: cf. R. Cormack, Writing in Gold. London 1985, 99 sq.

---

199 Bas. hom. in quadr. mart. 2 (PG 31,508 D sq.) 204 Conc. quin. can. 82 (XI 977 E sq. Mansi); cf. Conc. Nic. II (XIII 40 E sq.; 220 C sq. ibid.)

---

195 οὕτω N παρεγγυᾶτο Sirm 196 τῷ V^{pc}MN: τὸ cett Sirm 197 δηλαδὴ omnes: correxi 201 δὲ: an δ' ἐν scribendum? 202 γοῦν: οὖν M 204 ἐκ τῆς ἑβδόμης ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον in marg PS 206 προϋπεμφαίνων VMN 210 κἂν S 213 τὸ: τὸν Sirm 220 τοῦ^2 om PS 225 ἡ ante εἰκὼν add VN Sirm κέκλυται Sirm

‚ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται‘, ὥς καὶ ὁ Νυσσαεὺς θεῖος Γρηγόριος ὧδέ πού φησι· πρόκειται ὁ Ἰσαὰκ τῷ πατρὶ παρ᾽ αὐτῷ τῷ θυσιαστηρίῳ. φωνὴ τῶν ἐν Ἀντιοχείᾳ συνεδρευσάντων πατέρων· οὐχ ὡς ἕτερον τῇ μορφῇ, ἀλλ᾽ ὡς αὐτὸν ἕνα Κύριον ἐν μιᾷ μορφῇ ὄντα, καθ᾽ ὅν καὶ χαρακτὴρ εἷς πεφυκὼς τῆς τοῦ πατρὸς ὑποστάσεως καὶ πρὸ σαρκὸς ἀσώματος εἷς τε ἦν καὶ ἐν σαρκὶ εἷς ἐστι καὶ ἐν εἰκόνι ὁ αὐτὸς εἷς ὑπάρχει, μὴ διαιρούμενος εἰς δύο χαρακτῆρας μήτε δὲ σχιζόμενος εἰς δύο δόξας, ἀλλ᾽ εἰς μίαν συναγόμενος. καὶ μεθ᾽ ἕτερα· ἀλλ᾽ ὥσπερ αὐτὸς εἷς ἐστιν ἐκ δύο τῶν ἐναντίων καὶ εἰς ἓν συνάγεται πρόσωπον, οὕτω καὶ ἡ εἰκὼν αὐτοῦ μία τέ ἐστι καὶ τοῦ αὐτοῦ ἑνὸς Χριστοῦ. καὶ οὐχ ἕτερον χαρακτῆρα ἐροῦμεν τὸν κατὰ σάρκα ἐπιφανέντα ἡμῖν καὶ ἕτερον τὸν κατ᾽ εἰκόνα σχηματιζόμενον χαρακτῆρα ἐν εἴδει μορφῆς αὐτοῦ, ἀλλὰ τὸν αὐτὸν ἕνα, ἐπεὶ μήτε καθὸ σῶμα / ὁ χαρακτὴρ εἴρηται, ἀλλὰ καθὸ ἀσώματον. καὶ τοῦτο μᾶλλον διὰ τοῦ θείου Χρυσοστόμου διευκρινηθήσεται, τὸν χαρακτῆρα οὐράνιον λέγοντος, ἐπείπερ καὶ ἐξ οὐρανοῦ οὐ καθὸ σῶμα, ἀλλὰ καθὸ ἀσώματον ὁ μονογενὴς θεὸς κατελθὼν ἐκ τῶν οὐρανῶν ἐσαρκώθη καὶ ἐπέφανε, σῶμα περιθέμενος τὸ ἡμέτερον. καὶ μετ᾽ ὀλίγα· οὐκοῦν, ἐπεὶ κατὰ ἀναφορὰν αὐτὸν δείκνυσι τὸν χαρακτῆρα, αὐτὸν Χριστὸν προσκυνοῦμεν καὶ οὐ τὴν ὕλην, τεχνικῶς σχηματιζομένην ἐν τῇ εἰκόνι. δεῦρο τρανοτέρα ἡ δογματικὴ διασάφησις, πρῶτον μέν, ὅτι μία μορφὴ ἐπ᾽ ἀμφοῖν, τοῦ τε Χριστοῦ καὶ τῆς εἰκόνος, ἔπειτα, ὅτι αὐτὸς ὁ χαρακτὴρ τῆς τοῦ πατρὸς ὑποστάσεως ἐν εἰκόνι τῷ εἴδει τῆς μορφῆς αὐτοῦ ἐκφαινόμενός τέ ἐστιν ὁμοῦ καὶ προσκυνούμενος ἀσχίστῳ δόξῃ.

Λειπόμενός ἐστιν ὁ τέταρτος τρόπος τῆς ἀρχαίας νομοθεσίας. ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, ὦ φιλανθρωπότατε, καὶ ἴδε τὴν ὑπ᾽ οὐρανόν, ἐξ αὐτοῦ τοῦ ἀποστολικοῦ κηρύγματος πανταχοῦ γῆς τε καὶ θαλάσσης δι᾽ ἱερῶν ναῶν, θείων τε σκευῶν καὶ σεπτῶν ἀναθημάτων τὸν Χριστὸν ἐξεικονισμένον φέρουσαν καὶ αὐτοῖς ἔργοις φωνὴν ἀφιεῖσαν ὅτι Χριστὸς βεβασίλευκε τῶν ἐπὶ γῆς κατὰ τὸ

---

227 Greg. Nyss. or. de deit. Fil. et SS (PG 46,572 C); cf. Conc. Nic. II (XIII 324 B Mansi)
229–246 = ep. 528,76–93 251 Is. 49,18

---

227 θεῖος om N 228 πατρὶ om M 230 ὄν: ἦν M 231 εἷς M^{sscr} 232 εἷς^{2} om VMN 233 post χαρακτῆρας voces μήτε δὲ σχιζόμενος εἰς δύο χαρακτῆρας inser Sirm 241 λέγοντος om M 244 αὐτὸν om VMN 248 ὁ ante αὐτὸς inser Sirm 249 ἐκφαινόμενός: ἐμφαινόμενός S^{ac} 251 νομοθεσίας: θεσμοθεσίας VMN Sirm

ᾀδόμενον Δαυιτικῶς, αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· καί, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ κατὰ τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον καὶ ὅτι πάντα ὀλβίου φωτὸς πεπλήρωται, ἐληλυθότος τοῦ εἰπόντος, ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα. οἷα γὰρ τὰ ὁρώμενα; ὧδε μὲν ἐν σπηλαίῳ τικτόμενος καὶ ὑπ' ἀγγέλων δοξαζόμενος, δεῦρο δὲ ἐπ' ὠλένης ὑπὸ τῆς μητρὸς βασταζόμενος καὶ ὑπὸ μάγων προσκυνούμενος· εἶτα ἐν μειρακίοις, ὁπηνίκα μέσος τῶν διδασκάλων ὦπται καθήμενος· ἔπειτα βαπτιζόμενος ὑπὸ τοῦ Προδρόμου, εἶτα θαυματουργῶν σὺν ἀποστόλοις, ἐπὶ τὸν σταυρὸν ἀνιών, ἀποπνέων, θαπτόμενος, ἀνιστάμενος, εἰς οὐρανοὺς ἀνερχόμενος. τούτοις οὖν πᾶσιν εἰκονικῶς ἐνατενίζοντες, ὡς τηνικαῦτα αὐτοπτικῶς οἱ ἀπόστολοι, εἴποιμεν ἂν εἰκότως καὶ ἡμεῖς· ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας.

Αὕτη οὖν ἐστιν ἡ ἐξ αἰῶνος κηρυττομένη πίστις, ταύτην ἠσπάσαντο αἱ ἅγιαι σύνοδοι καὶ ταύτῃ σύμψηφοι τυγχάνουσι πᾶσαι αἱ πανταχοῦ κατὰ τόπον ἐκκλησίαι, ἔν τε ἀνατολῇ καὶ δύσει, βορρᾷ τε καὶ θαλάσσῃ· ἣν καὶ ἡμεῖς οἱ ἐλάχιστοι ἀσπαζόμενοι εὐχόμεθα καὶ ὑπερευχόμεθα ὀφειλομένως τῆς θεοφιλοῦς ὑμῶν βασιλείας.

533. Πέτρῳ Νικαίας

Ἤκουσεν πάντως ἡ ἱερά σου ἀκοὴ τὸ περὶ τὸν μακάριον καὶ κοινὸν πατέρα ἡμῶν μητροπολίτην Συννάδων πάθος καὶ ὠδύρατό σου ἡ ἁγία ψυχὴ ἐπ' αὐτῷ τὰ εἰκότα, ἐπεὶ καὶ ἔτι τοῦ στεναγμοῦ οὐκ ἀποπαύσοι οὐδὲ τῆς οἱονεὶ ἐκ τῆς διχοτομίας γενομένης ἀλγηδόνος ἀπολήξειεν. ἀλλὰ δεῦρο καὶ παρ' ἡμῶν, ὦ τριπόθητε, διδάχθητι ἐνεργέστερον, ὡς ἂν καὶ / ἡμεῖς τὸ ὀφειλόμενον χρέος τίσωμεν καὶ αὐτὸς ἱστορικώτερον ἐπιγνοὺς τὰ κατ' αὐτὸν ῥᾳστώνην τινὰ λάβοις ἐκ τῆς ἐξηγορίας. ὤ, ὤ, πῶς ἀδακρυτὶ ἐνέγκοιμεν τὸ ὀδυρτικὸν

257 Ps. 2,8 259 1 Cor. 8,4 261 Joh. 12,46 269 Joh. 1,14

257 Δαβιτικῶς N Sirm 261 φῶς post κόσμον transp VMN 263 ὠλένων VMN: ὠλενῶν Sirm 264 μέσος: μέσον N 272 ἁγίαι MN 275 post finem epistulae subscriptio τῷ θεῷ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν legitur in N (f. 222)

533. mens. Maio vel Iun. a. 826 3 μητροπολίτην: Michael

C V (ll. 1–51) M (ll. 1–37 et 45–51) P (ll. 1–51) S

2 ἤκουσε VMPS Sirm 3 Συνάδων VMPS Sirm 7 ἐναργέστερον VMPS Sirm (sed cf ep 541,41) 9 ὢ ὢ C

ἀπάγγελμα; ὑγιαίνων ἦν ὁ πατήρ, τὰ συνήθη ἐνεργῶν τῆς ἀνυποκρίτου αὐτοῦ ἀγάπης καὶ πρὸς τοὺς ἀδελφοὺς καὶ πατέρας δεξιώσεως. τίς γὰρ ὁ πλέον ἐκείνου φιλοξενίαν ἀσπαζόμενος καὶ θεραπεύων φιλουμένους, ὃν οὐχὶ ἡ ἐπάλληλος τῶν ἐπιφοιτώντων παρουσία καὶ ἐπιμονὴ ἐδάμαζεν, ὅσον ἠνία μᾶλλον ἡ σπάνη τούτων καὶ ταχεῖα παλινοδία;

Καὶ τί δεῖ πρὸς σὲ τὸν εὖ εἰδότα ὑποδειγματίζειν τὸ λεγόμενον; ἦν οὖν, ὡς εἴρηται, ἐν τούτοις. ἐπεὶ δὲ παρῆν ἡ ἡμέρα τῆς μετὰ τὴν Πεντηκοστὴν δευτέρας ἑορτάσιμος, ἀναστὰς ἀπὸ τῆς ἑστιάσεως ἐλήφθη πόνοις καταρροίας, ἀπὸ τῆς κεφαλῆς γενομένης ἐπὶ τὸν σπόνδυλον καὶ τοὺς τόπους τῶν μεταφρένων· ἐφ' ᾧ κινηθέντες οἱ ταπεινοὶ εὕρομεν αὐτὸν κάμνοντα τῷ ὄντι καὶ διασαφοῦντα τὰς αἰτίας τῆς συμπτώσεως. εἶτα, ἐπειδὴ ὑπεστρέψαμεν οἴκοι, αὖθις τῇ ἑξῆς παραγενόμενοι εὕρομεν αὐτὸν ἔτι βαλλόμενον σφοδροτέραις ἀλγηδόσι καὶ διακαεῖ πυρετῷ, μόλις δυνηθέντα ἡμῖν ἠρέμα προσφθέγξασθαι καὶ τὴν ἀπόγνωσιν τοῦ ζῆν ἐν σαρκὶ αἰνιττόμενον. τί τὸ ἑξῆς; τῇ τρίτῃ ἡμέρᾳ καὶ δεσμὸς τῆς γλώττης πάμπαν καὶ [οὐ] μετ' οὐ πολὺ ὁ πικρὸς θάνατος.

Ἀλλ' ἡμῖν μὲν διὰ τὴν στέρησιν τοῦ ἁγίου ἀνδρὸς τὸ πικρὸν εἰρήσθω, ἐκείνῳ δὲ καὶ πάνυ γλυκὺ διὰ τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· οὗ τί ἂν εἴη μακαριώτερον; ἔκειτο οὖν ὁ μακαρίτης (καλὸν γὰρ καὶ τοῦτο ὑπογράψαι) ὥσπερ τι ξένον θέαμα, αἰδέσιμος τῇ ὄψει, ἀγγελοειδὴς τῷ σχήματι, τῆς ἐνδημησάσης πρὸς Κύριον ψυχῆς ὥσπερ τινὰς ἡλιοειδεῖς χαρακτῆρας ἐναπομαξαμένης τῷ ἱερῷ σώματι, μεθ' οὗ καὶ ἐφ' ᾧ λελάτρευκε τῇ Ἁγίᾳ Τριάδι. ἠθροίσθη ἐξαπίνης ὅμιλος, ὁμοῦ μὲν μοναστῶν, ὁμοῦ δὲ καὶ μιγάδων, πολὺς ὅτι μάλιστα, περιεκέχυτο εἰς αὐτὸ ὡς εἰς ἱερὸν κειμήλιον ἀποβλέπων ἤ, μᾶλλον, οἰκειότερον εἰπεῖν, ὡς ἔμπνουν καὶ φωνεῖν δυνάμενον. ἐχεῖτο δάκρυα τῶν μὲν αἰδημόνων ἀψοφητί, τῶν δὲ θεραπευτῶν

---

26 τρίτῃ ἡμέρᾳ: die 23 mens. Maio a. 826; cf. Pargoire, Iconophiles 349

10 Rom. 12,9 25 Philipp. 1,22 29 Philipp. 1,23 30 ἔκειτο οὖν etc.: narrationem Gregorii Theologi de tempore mortis Basilii Magni ante oculos habere videtur; cf. Greg. Naz. or. 43,79 sq. (PG 36,600 C sq.) 32 2 Cor. 5,8

11 αὐτοῦ Sirm 14 σπᾶνις P: σπάνις VMS Sirm (sed cf Hatzidakis, Einleitung 79) 15 παλινῳδία codd Sirm: corr Mi 17 εἴρεται Sirm 19 γινομένης M 20 τὸν τόπον VM 21 τῳόντι S διασαφοῦντι C 25 τοεξῆς S 26 οὐ uncis inclusi: cancell S: om M (an οὐ μετὰ πολὺ scribendum?) 27 ὁ: καὶ S 29 voces καὶ ἐπιθυμητὸν post γλυκὺ add M ἀναλύσαι CVMPS[ac] Sirm Χριστῷ: θεῷ VM 36 εἰς[2] om VMPS Sirm 37 φωνὴν C (δυνά) μενον – 45 πάντα desunt in M dimidia parte folii deleta

ἐκραγέστερον. οὕτως οὖν σὺν ψαλμῳδίαις ταῖς καθηκούσαις καὶ ἐπικλήσεσιν ἱεραρχικαῖς παρεδόθη τῷ τάφῳ, καθ' ὃν τόπον εἰώθει ὁ μακάριος λειτουργεῖν Κυρίῳ· καί γε προσετέθη ὁ πατὴρ τοῖς πατράσιν, ὁ ὁμολογητὴς τοῖς ὁμολογηταῖς, ὁ διδάσκαλος τοῖς διδασκάλοις, ὁ ὑποφήτης τοῖς ὑποφήταις, προσθείημεν δ' ἂν καὶ ταῦτα, ὁ ἐγκρατὴς τοῖς ἐγκρατέσιν, ὁ ἁγνὸς τοῖς φιλάγνοις, ὁ φιλόξενος τοῖς φιλοξένοις, ὁ μέτριος τοῖς μετριόφροσιν, ὁ πάντα τοῖς πᾶσιν εὖ γεγονὼς καθ' ὅσον οἷόν τε, ἵνα τοὺς πάντας ἢ τοὺς πλείονας κερδήσῃ, ἀποστολικοῖς κατορθώμασιν ἐπερειδόμενος. καὶ νῦν ἡμεῖς μὲν οἱ ταπεινοὶ ὀρφανικῶς ἀποδυρόμενοι τὸν ὡς ἀληθῶς καὶ φιλοπάτορα καὶ φιλάδελφον, ἡ δὲ κατ' αὐτὸν ἐκκλησία, εἴτουν τὸ μικρὸν ποίμνιον, ἠπορημένον λίαν καὶ ἀνακαλούμενον τὸν ποιμένα καὶ πατέρα, οἷα εἰκὸς νεοττοὺς ἀπολελωκότας τοὺς φύσαντας καὶ πυκνὰ τρύζοντας καὶ ἀλύοντας καὶ οὐκ ἔχοντας τὸν δυνάμενον βρωματίζειν νοητῶς τε καὶ αἰσθητῶς· ἐφ' οἷς καὶ φροντιστέον τὰ κατὰ δύναμιν τοῖς ἐκείνου φίλοις.

Σὺ δέ, ὦ μάκαρ, τί φῂς πρὸς ταῦτα; ἐπιμένεις τῇ σαρκὶ ἢ ἀναγκαιότερον κρίνεις ἀπᾶραι τῶν ἐνθένδε; ἐπειδὴ κεκμηκότα σε λίαν πάλιν ἄρτι μεμαθήκαμεν. ἢ κρεῖττον μᾶλλον ἡμᾶς τοὺς γεγηρακότας καὶ μή τι χρησιμεύοντας τῷ βίῳ, μᾶλλον δὲ καὶ ἁμαρτίας ἐφ' ἁ/μαρτίαις ἐπισπωμένους ἐκχωρῆσαι τοῦ δυστήνου τοῦδε σαρκίου, αὐτὸν δὲ καὶ τοὺς οἵους αὐτός, ἐπειδὴ φαεινοὶ καὶ βίῳ καὶ λόγῳ, ἔτι ἐμπολιτεύεσθαι ἐν ἀνθρώποις; πρὸς ταῦτα ἀντίφθεγξαι ἡμῖν, ὦ ἐπιπόθητε, οὐ μὴν ἀλλὰ καὶ φωνῆς σου ἀκουσάτωσαν παραμυθητικῆς οἱ τοῦ σοῦ ὁμαδέλφου καὶ συνάθλου καὶ συμψύχου παῖδες ἱεροί· οὕτω γὰρ ῥᾴους γενοίμεθα ἀμφότεροι, θεῷ τὰ χαριστήρια καὶ εὐκτήρια χαρμολύπως ἀνατιθέμενοι.

---

41 ὁ πατὴρ τοῖς πατράσιν: cf. B. Gygli-Wyss, Das nominale Polyptoton im älteren Griechisch. Göttingen 1966, 17 sq.

---

41 Greg. Naz. ibid. 80 (601 C) cf. 1 Ma. 2,69 46 1 Cor. 9,19 55 Philipp. 1,24

---

40 καθοντόπον P 46 καθόσον PS 47 μὲν ante ἡμεῖς transp VM 49 εἰτοῦν C: εἴτ' οὖν M: εἶτ' οὖν VP Sirm 51 νεοττούς: hic desin epist in VMP Sirm λείπει in marg V λείπει φύλλον in marg M ἀπολωλεκότας S τρύξοντας Mai 56 ἀπάραι codd: corr Mai

534. Συμεὼν μονάζοντι

Τὸ παρὰ τῆς τιμιότητός σου προταθὲν ἐρώτημα ὀφείλει οἴκοθεν τὴν διασάφησιν εἰληφέναι· οὐδὲ γὰρ τῶν ἀμυήτων, ἀλλὰ καὶ ἄλλους ὠφελεῖν ἰσχυόντων ὑπάρχει. ποία γὰρ κοινωνία, φησὶν ὁ ἀπόστολος, φωτὶ πρὸς σκότος ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; εἰ οὖν τὸ ποτήριον τῆς εὐλογίας κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστιν καὶ ὁ ἄρτος ὃν κλῶμεν κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν, δῆλον ὅτι καὶ τὸ αἱρετικὸν ποτήριον καὶ ὁ ἄρτος κοινωνία τοῦ ἀντικειμένου ἐστίν. εἰ δὲ ταῦτα οὕτως ὁμολογουμένως, φανερὸν ὅτι ἐπὶ τῶν κεκοιμημένων ἐν τῇ ἑκατέρᾳ κοινωνίᾳ, ἐν ταύτῃ καὶ τὴν ἀποκλήρωσιν σχοίη. ἡμῖν δὲ φυλακτέον ἐπὶ τῶν τοιούτων τὴν ἀναφορὰν ἐγκεκριμένως ποιεῖσθαι, ἵνα μὴ ἀκούσωμεν, αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε.

535. Φιλοθέῳ κτήτορι

Ὅτε μὴ πάρεστι πρόσωπον πρὸς πρόσωπον τοὺς φιλουμένους ὁμιλεῖν, οὐ μικρὸν εἰς παρηγορίαν καὶ τὸ διὰ γράμματος φθέγγεσθαι, ὅπερ ποιοῦσα ἡ φιλόθεός σου ὡς ἀληθῶς ψυχὴ φαντασίαν ἡμῖν παρέχει τοῦ ὁρᾶν καὶ περιπτύσσεσθαι αὐτήν. ὅθεν καὶ ἡμεῖς, ἀφοσιούμενοι τὸ φίλτρον, οὐ διαλιμπάνομεν κινεῖν τὴν γραφίδα καὶ πνευματικῶς συνάπτεσθαι αὐτήν, χαίροντες ὅτι τοιούτου φίλου κάτοχοί ἐσμεν, οὗ ὁ ἔπαινος διὰ πάσης Μακεδονίας παρά τε μονα-

---

534. a. 821–826

4 2 Cor. 6,14 sq. 5 1 Cor. 10,16 12 Jac. 4,3

C (S) titulum tantum servavit V in indice (f. 190v)

5 πιστῷ: πιστῶν Mai 6 ἐστι S 7 ἐστι S ὅτι – 8 αἱρετικὸν om Mai κοινωνία τοῦ ἀντικειμένου: κοινων////τι κειμένου Mai 9 οὕτω Mai ὁμολογουμένως: προηγουμένως Mai κεκοιμημένων: κεκ////μένων Mai 10 σχοίει C Mai φυλακτέων Mai 11 ἐγκεκριμμένως S

---

535. a. 824–826 3 διὰ γράμματος: cf. Karlsson, Idéologie 25 et 46 6 φίλτρον: cf. Hunger, Literatur I 223

2 cf. 1 Cor. 13,12

C (S) VM P (VMP ll. 8–39)

2 ὅτε: ὅτι Mai 6 φίλτρον: φίλερον Mai διαλειμπάνομεν C 7 αὐτῇ S Mai 8 οὗ: hic inc epist in VMP Sirm τῆς post πάσης add VMP Sirm

ζόντων καὶ λαϊκῶν εὐσεβῶν, ἐπὶ γλώσσης φερόντων τὴν καλλονὴν καὶ ἀρετὴν τῆς εὐσεβείας σου. ἀλλ' ἔτι δῴη σοι Κύριος ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμετάδοτον εἶναι, κοινωνικόν, ἀποθησαυρίζοντα ἑαυτῷ θεμέλιον καλὸν εἰς τὸ μέλλον, ὡς ἂν ἐπιτεύξῃ τῆς αἰωνίου ζωῆς. ὦ Φιλόθεε κράτιστε, τὴν παρακαταθήκην τῆς πίστεως ἀσφαλῶς κάτεχε, ἀεὶ λαμπρυνόμενος ταῖς θεουργοῖς πράξεσι.

Καὶ περὶ τούτων μὲν ἅλις. ἐπειδὴ δὲ καὶ αὖθις περὶ τοῦ πρεσβυτέρου ὁ λόγος, ἐξαιτούσης τῆς τιμιότητός σου τὴν λύσιν τοῦ ἱερουργεῖν αὐτόν, εἰ μὲν ἀνθρώπινον ἦν τὸ ζητούμενον, εὖ ἂν εἶχεν· ἐχωροῦμεν γὰρ πρὸς πᾶσάν σου ὑπακοήν, φιλοῦντές σε θεραπεύειν, τὸν πολλοστὸν θεραπευτὴν ἡμῶν. ἐπειδὴ δὲ περὶ θεοῦ τὸ κινούμενον καὶ τῆς τῶν θείων κανόνων ὁροθεσίας ἡ παράβασις, σύγγνωθι, ἀδελφὲ φίλτατε, οὐχ οἷοί τέ ἐσμεν κατά τε θεοῦ καὶ ἱερῶν κανόνων ἀποῖσαι κρίσιν, μάλιστα ὅτι ἐν αὐτῷ τούτῳ τῷ παρομοίῳ κεφαλαίῳ ἐν τοῖς προλαβοῦσι χρόνοις πᾶσαν τὴν ζωὴν ἡμῶν ἐθέμεθα, χωρῆσαι πρὸς κινδύνους καὶ ἐξορίας καὶ θανάτους ἤπερ συνθέσθαι τῇ ἀνομίᾳ καὶ λύσει τοῦ εὐαγγελίου τοῦ Χριστοῦ. οὔτε οὖν μοιχοζεύκτης παρ' ἡμῶν οὔτε διγαμοζεύκτης λέλυται τῆς ἱερουργίας· εἰ γὰρ ὁ ἱερὸς κανὼν οὐκ ἀνέχεται εἰς διγαμοῦντος γάμον ἑστιαθῆναι τὸν πρεσβύτερον, πολλῷ γε μᾶλλον ἀπείργει τοῦτον τοῦ στεφανῶσαι. εἰ δὲ ἄλλοι ἄλλως κρίνουσιν, ὄψονται ἐφ' οἷς πράττουσιν· ἡμεῖς γάρ, φησίν, καὶ αἱ ἐκκλησίαι τοῦ θεοῦ τοιαύτην συνήθειαν οὐκ ἔχομεν.

Ὥστε, εἰδὼς τὸ ἐπικίνδυνον κρίμα, μὴ παραβιάζου τὴν ταπείνωσιν ἡμῶν· εἰ γὰρ ὑπὲρ τοῦ λόγου τῆς ἀληθείας καθ' ἑκάστην ἡμέραν εἰς κινδύνους παρατετάγμεθα, πῶς κατὰ τῆς ἀληθείας ἑτεροτρόπως κινηθησόμεθα; οὐκ ἔχει φύσιν, ὦ δέσποτα, παρὰ τὰ θειωδῶς κεκριμένα τοῖς κανόσι δρᾶσαί τι ἢ εἰπεῖν. πιστεύομεν δὲ ὅτι καὶ αὐτός, ἓν ζητῶν, τὸ θεῖον θέλημα καὶ τὸ σωτηριῶδες τῆς ψυχῆς σου, συμφήσειας ἡμῖν ἐπὶ τοῖς λελεγμένοις καὶ προσεύξῃ μᾶλλον ἐπερείδεσθαι ἡμᾶς τῷ θείῳ νόμῳ καὶ μὴ προΐεσθαι τὸ οἱονοῦν ἐπὶ παραβάσει ἐντολῆς θεοῦ καὶ κανόνος.

---

10 1 Tim. 6,18 sq. 13 1 Tim. 6,20 26 Conc. Neoc. can. 7 (II 542 B Mansi) 29 1 Cor. 11,16 31 Act. 16,15

---

13 φιλόθεε Sirm 14 ἀσφαλῶς: ἀκριβῶς VM Sirm 15 voces καὶ αὖθις post πρεσβυτέρου transp VM 16 λῦσιν S[pc] 19 ἐπεὶ VMPS Sirm τοῦ ante θεοῦ inser Mi 20 τῆς om VM 22 ὅτι C[sscr] 24 εἴπερ C 25 λύσαι τὸ εὐαγγέλιον M 30 φησι VMPS Sirm: φησὶ Mi 31 κρῖμα PS Sirm 32 καθεκάστην C 35 δράσαι CV 36 θεῖον om Sirm 37 λεγομένοις S

536. Εἰρήνῃ ἡγουμένῃ

Μακρὰν ἀπὸ τῶν ἐγκωμίων σου οἱ τρόποι καὶ οἱ λόγοι τῆς πολιτείας μου, τιμιωτάτη γυναικῶν· ἀλλ' εἴωθεν ψυχὴ πιστὴ καὶ ζητοῦσα τὸν Κύριον ἐπαίνους ἀνάπτειν τοῖς ἀγεράστοις, ὡς ἂν ἐντεῦθεν ἐρανίσοιτο τὸ τῆς ταπεινοφροσύνης κλέος. τοιαύτη οὖν ὑπεδείχθης ἡμῖν, ἀδελφὴ ἐν Κυρίῳ, ἐπεὶ ἡμεῖς, γινώσκοντες τὰ καθ' ἑαυτούς, οὐδὲ τῶν νῦν ἐσχάτων ἰσοστατεῖν κρίνομεν ἑαυτούς, μὴ ὅτι γε ὕψει τηλικούτῳ παρενείρειν, καθὰ γέγραφας.

Ἀλλ' ὧδε μὲν ταῦτα κείσθω. ἐπὶ δὲ τῇ τοῦ πρεσβυτέρου ὑποθέσει μετατακτέον τὸν λόγον. οὔ τί που ἡμεῖς, ὦ ἀμμάς, νῦν μὲν τοῦτο λέγομεν, αὔριον δὲ ἕτερον, ἀλλ' ὁ αὐτὸς λόγος ἡμῖν ἐστιν ἀεί· τί τοῦτο; τὸν ἁλόντα πρεσβύτερον τῇ κοινωνίᾳ τῶν αἱρετικῶν, εἴ γε μάλιστα καὶ ὑπογραφῇ, μὴ ἐξεῖναι ἱερουργεῖν ἕως καιροῦ ὀρθοδόξου συνόδου, ἐφ' ᾗ τὰ τοιαῦτα καὶ θεωρηθήσεται καὶ διακριθήσεται, ἢ μόνον τὸ κατὰ περίστασιν βαπτίζειν, ἐκκομίζειν νεκρόν, διδεῖν σχῆμα μοναχῷ, ἁγιάζειν τῶν Θεοφανίων τὸ ὕδωρ, εὐαγγελίζεσθαι κατ' ὄρθρον καὶ μεταδιδόναι τῶν ἁγιασμάτων, ἤδη θεουργηθέντων ὑπὸ σεσωσμένου πρεσβυτέρου. καὶ ταῦτα, ὡς εἶπον, ἐξ ἀνάγκης, ἐπεί, εὑρισκομένου τοῦ μὴ ἐμπαρέντος τῇ κοινωνίᾳ ἱερέως, οὐδὲ τὰ προειρημένα πράσσειν ἐξόν.

Ὁ μὲν οὖν ἡμέτερος λόγος τοιοῦτος. εἰ δὲ ἄλλοι ἄλλως ἢ φρονοῦσιν ἢ κρίνουσιν εἴτε ἰσοστάσιοι εἴτε ὑπερβάθμιοι (ἐπειδὴ οὐχ ὅρος ἐξήνεκται ἀπὸ τοῦ ἀρχιερέως, ἐφ' ᾧ ἀναγκαῖον ἦν στέργειν πάντας), τῆς ἐξουσίας εἰσὶ κύριοι, καὶ ἡμεῖς γε σιωπὴν ἕξομεν. παρακαλοῦμεν δέ σου τὴν τιμιότητα ὡς ἐπὶ τῇ ἀγαθῇ πολιτείᾳ οὕτως καὶ ἐπὶ τῇ ὀρθοδοξίᾳ ἀκρίβειαν ἕλκειν, ἀκούουσαν τοῦ ἀποστόλου λέγοντος· καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ. οἶδας γὰρ ὅτι οὐ

---

536. a. 821 – 826 10 ἀμμάς: ad appellationem cf. H. Leclercq, in: Dictionnaire d'archéol. chrét. et de liturgie, I 1306 – 1323

27 2 Cor. 7,1

C VM PS

3 εἴωθε VMPS Sirm καὶ post ψυχὴ add M 6 καὶ post ἐπεὶ add PS Sirm καθεαυτοὺς C 9 ὧδε VM 10 μετὰ τακτέον C: μετακτέον cett Sirm οὐτίπου Sirm ἀμμᾶς CPS 11 ἐν ante ἡμῖν add VMPS Sirm 15 διδόναι VM Sirm 17 ἄρθρον Sirm 18 ἐξανάγκης CS μὴ post ἐπεὶ transp V 19 πρὸ εἰρημένα C 22 ἐπειδήπερ VM Sirm 23 ἐξενήνεκται Mi 25 σου post τιμιότητα transp VM Sirm

μικρὸς ἀνερριπίσθη διωγμὸς ἐν τῇ λυσσώσῃ μέχρι τοῦ παρόντος / αἱρέσει, ἀλλὰ καὶ αἵματα ἐκενώθησαν καὶ σάρκες κατεξάνθησαν καὶ μάρτυρες ἀπετελέσθησαν· ὅσα δὲ τὰ ἐν ταῖς φυλακαῖς καὶ εἱρκταῖς κακωτικά, τί δεῖ καὶ λέγειν, τὰς ἐξορίας, τὰς ἐπαγωγάς, τὰς ἁρπαγάς, τὰς σιδηρώσεις, τὰς λιμαγχονήσεις, τὰς μονώσεις, τὰ ἄλλα πάντα, ὧν οὐ μικρᾶς ἐστιν ἱστορίας ἔργον. εἰ τοίνυν ταῦτα οὕτως, καὶ δεῖν τὸν πρεσβύτερον ἰσοπαθῶς διεξελθεῖν, κομιούμενον τὸν ἀμαράντινον τῆς δόξης στέφανον, τοὐναντίον, ἐπειδὴ ἑάλω τῇ κοινωνίᾳ καὶ τῇ ὑπογραφῇ τῇ κατὰ Χριστοῦ, τῆς τε μητρὸς αὐτοῦ καὶ πάντων τῶν ἁγίων (τοῦτο γὰρ διὰ τῶν οἰκείων εἰκόνων ἡ ἐπὶ τῶν πρωτοτύπων ἀναφορά), πῶς οὐ μέγα ἡγεῖται καὶ τὸ ὅλως ζῆν, καὶ τὸ ὅλως συγκεχωρῆσθαι αὐτῷ τὸ ἀνόμημα, φεύγων ἐφάπτεσθαι καὶ τῶν προειρημένων κατὰ φιλανθρωπίαν, μὴ ὅτι γε καὶ ἐξ ὁλοκλήρου λελύσθαι αὐτὸν ἱερουργεῖν; οὐκοῦν ἕωλα τὰ πάντα καὶ εἰκῇ τὰ μαρτύρια καὶ μάτην αἱ ἀθλητικαὶ ἐνστάσεις. ἀλλὰ μὴ γένοιτο· καὶ ὁ μάρτυς μάρτυς ἐν τῇδε τῇ ὁμολογίᾳ καὶ ὁ ἠρνημένος ἔκπτωτος ἐν τῇδε τῇ ἐξαρνήσει, καὶ δεῖν προσκλαίειν μέχρι θανάτου πάντα τὸν ἁλόντα, εἴ γε ἐμοὶ πείθοιτο καλῷ συμβούλῳ.

537. Μαρίᾳ σπαθαρέᾳ

Ἡ τιμιότης σου γνωρίζει ὅτι ἡ ἐκκλησία φυγαδευτήριόν ἐστι σωτηρίας καὶ ὥσπερ εἰς χεῖρας θεοῦ ὁ πρόσφυξ ἀποτρέχει, περιστατηθεὶς ὑπὸ ἀναγκῶν. οὔτε οὖν ἐν τῇ παλαιᾷ διαθήκῃ ἐξὸν ἦν τὸν εἰς τὴν πόλιν τῶν φυγαδευτηρίων ἀποσεσωσμένον ἀφαρπάζειν τινὰ οὔτε πολλῷ μᾶλλον ἐν τῇ νέᾳ θεμιτὸν ἀποσπᾶν τῆς ἐκκλησίας τοὺς καταφεύγοντας· καθ/ύβρισις γάρ ἐστι τοῦτο τῶν θείων νόμων καὶ τοῦ θείου θυσιαστηρίου. ὥστε σκοπησάτω σου ἡ εὐσέβεια ἡλίκον τὸ τόλμημα.

---

35 1 Petr. 5,4

30 ἀλλὰ post ἐκενώθησαν add VM 31 ταῖς om VM Sirm εἰρκταῖς S 34 ἱστορίας: ἐξορίας VM 37 τε om VM 41 ἐξολοκλήρου CS λελῦσθαι CS 42 οὐκ οὖν C

---

537. 4 Num. 35,32

C VM PS

1 σπαθαρίᾳ PS Sirm (sed cf app cr ad ep 18,26) 4 τὸν: τῶν V[pc] Sirm 5 ἀποσεσωσμένων V[pc] Sirm οὔτε VM[sscr]: οὐ cett Sirm 6 πολλῷ — ἀποσπᾶν om VM

Τίς δὲ ἡ θεραπεία; πρῶτον μὲν τοῦ θέσθαι ἑαυτῇ ὅρον μηκέτι τολμᾶν τοῦτο πρᾶξαι, κἂν τὰ ἄνω κάτω γένηται· ἔπειτα τεσσαρακοστὴν ὅλην ἀπόσχου τῶν ἁγιασμάτων, γονυκλιτοῦσα καθ' ἑκάστην δεκάκις καὶ πεντηκοντάκις λέγουσα ‚Κύριε, συγχώρησόν μοι τὴν ἁμαρτίαν, Κύριε, ἱλάσθητί μοι τῇ ἁμαρτωλῷ', ὁμοίως καὶ ‚Κύριε, ἐλέησόν με δωρεάν', τρεῖς τε ψαλμοὺς στιχολογεῖν, ἐξαιρέτως τὸν ϛ', τὸν λζ' καὶ τὸν ν', καὶ εἶθ' οὕτως ὁ θεὸς συγχωρήσει σοι τὴν ἁμαρτίαν, κυρία. εἰ δὲ καὶ πάρεστι δύναμις, τεσσαράκοντα ἀργύρια δοῦναι πτωχοῖς.

538. Θεοδοσίᾳ αὐγούστῃ καὶ Βασιλείῳ υἱῷ αὐτῆς

Ἐκ διαφόρων ἀξιοπίστων προσώπων, καί γε πρὸ τῶν ἄλλων παρά τε τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἠσαΐου καὶ τοῦ τιμιωτάτου καθηγουμένου τοῦ Μηδικίου, ὁσίων πατέρων ἡμῶν, ἐκδιδαχθέντες τὰ καθ' ὑμᾶς, ὅτι εὐδοκίᾳ τοῦ ὑπεραγάθου θεοῦ ἡμῶν μετεστοιχειώθητε εἰς τὸν τῆς εὐσεβείας καὶ ὀρθοδοξίας τρόπον καὶ λόγον, χαίρειν φράσαντες τῇ πάλαι κακοδοξίᾳ ὡς οὐκ ἠργμένῃ θεόθεν, ἀλλ' ἐκ τῆς ἐναντίας μερίδος, καθὸ καὶ ὥρμηται πατρόθεν ἐξ εὐσεβοῦς ῥίζης ἡ σὴ θεοσέβεια (ὁμολογητέον γὰρ ὅτι τοιοῦτος ὁ ἀνὴρ ἐκεῖνος, θεῷ τε πεφιλημένος καὶ πάσῃ καλοκἀγαθίᾳ κατηγλαϊσμένος), ηὐχαριστήσαμεν τῷ Κυρίῳ, ὃς οὐκ εἴασεν ὑμᾶς ἐν τῷ ζόφῳ τῆς αἱρέσεως διαμεῖναι, ἀλλ' ἔπλησε τὰς ψυχικὰς ὑμῶν ὄψεις ὀλβίου φωτός, εἰς τὸ ἐπιγνῶναι ὅτι Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ἐν τῷ καθ' ἡμᾶς εἴδει γεγονὼς διὰ σπλάγχνα οἰκτιρμῶν, εἰς τὸ ἀνασώσασθαι τὸ ἑαυτοῦ ἐκπεπτωκὸς εἰς φθορὰν πλάσμα, ὁμοίως ἡμῖν ἐξεικονίζεται, ὡς

---

11 cf. Plat. Theaet. 153d; Greg. Cypr. I 6 (CPG II 61)

10 τοῦ: τὸ VMPS Sirm   11 πράξαι C   καν C: κἂν M   12 ἀπόσχου: ἀπέχεσθαι V Sirm: ἀποσχέσθαι M   γονυκλινοῦσα Sirm   καθεκάστην CS Sirm   γονυκλιτοῦσα – 13 πεντηκοντάκις om VM   λέγουσαν M   16 ϛ: ἕκτον V   κυρία post σοι transp V Sirm

---

538. inter a. 821 ac mens. Apr. a. 824   3 καθηγουμένου: Nicetas?   9 ὁ ἀνὴρ ἐκεῖνος: patricius Arsaber; cf. Genes. 21 (Lachmann)

VM PS

1 δογματικὴ περὶ τῆς παναχράντου (om S) εἰκόνος τοῦ κυρίου titulo add PS: in marg Sirm   3 Ἡσαΐου codd Mi: correxi   8 καθὸ – πατρόθεν om VM   ὅτι ante ἐξ add M   10 εὐχαριστήσαμεν S   12 ἔπλησεν M   τὰς ψυχικὰς ὑμῶν ὄψεις: τὰς ψυχὰς ὑμῶν V Sirm: ὑμῶν τὰς ψυχὰς M   ἡμῶν S

ἂν μηδὲν λείποι ἐν αὐτῷ τῶν ἀνθρωπίνων ἰδιωμάτων, μένων ὡς θεὸς ὁ αὐτὸς ἀπερίγραπτος, ὡς καὶ τὰ πατρῷα ἰδιώματα ἅπαντα ὑφ' ἑνὶ προσώπῳ κεκτημένος, καθὸ καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων πέφηνε, τῇ μεσότητι τοῖς ἄκροις κοινωνῶν καὶ δι' ἑαυτοῦ κοινωνοὺς ἡμᾶς θείας φύσεως ἀπεργασάμενος. ὡς γὰρ οὐκ ἐνδέχεται θεὸν αὐτὸν ὄντα καὶ ἴσον τῷ πατρὶ μὴ οὐχὶ ἔξω περιγραφῆς εἶναι (ἄπειρον γὰρ τὸ θεῖον καὶ ἀόριστον καὶ ἀπερίληπτον), τὸν αὐτὸν δὴ τρόπον ἀνεγχώρητόν ἐστιν ἄνθρωπον αὐτὸν ἀληθῶς ὄντα καὶ ὅμοιον ἡμῖν κατὰ πάντα γεγονότα μὴ οὐχὶ περιγραφῆς εἴσω μένειν· / περιληπτὸν γὰρ αὐτοῦ τὸ σῶμα, ἁφῇ καὶ χροιᾷ ψηλαφώμενον. ὅπερ οὐχ ὁμολογοῦντες οἱ εἰκονομάχοι ἀρνησίχριστοι ἀριδήλως καθεστήκασι, τὸν ἐνσώματον ἀσώματον ὑπολαμβάνοντες καὶ τὸν μεθ' ἡμῶν γεγονότα ἔξω τῆς καθ' ἡμᾶς φύσεως δογματίζοντες. ἐντεῦθεν ἐδονήθη ὁ κόσμος, ἠρνήθη Χριστὸς διὰ τῆς σεπτῆς αὐτοῦ εἰκόνος, ἥ τε Θεοτόκος καὶ πᾶς τις τῶν ἁγίων· τῇ γὰρ παραδοχῇ τῆς εἰκόνος παραδέδεκται ὁ εἰκονιζόμενος, ὡς καὶ ἔμπαλιν τῇ ἀθετήσει ἠθέτηται. ἐντεῦθεν διωγμὸς ἀναβρασσόμενος καὶ πατριάρχης θεσπέσιος ἐκσκορακιζόμενος, ἱερεῖς τε καὶ ἱεράρχαι, μονασταί τε καὶ μιγάδες ἐνθεώτατοι, οἱ μὲν ἐξοριζόμενοι καὶ φυλακιζόμενοι, ἕτεροι δὲ μαστιγούμενοι καὶ λιμοκτονούμενοι, ἔνιοι δὲ καὶ ἀποκτενόμενοι· ἐντεῦθεν ἐν ὄρεσι φυγαδευόμενοι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς οἱ μηδὲν τῶν τῇδε προκρίνοντες θεοῦ· ἐντεῦθεν ναοὶ κατασκαπτόμενοι καὶ ἅγια βεβηλούμενα καὶ θεῖα ἀναθήματα πυρὶ παραδιδόμενα, καὶ κραυγῆς τὰ πάντα καὶ λεηλασίας πλήρη, ὡς ἐν συντόμῳ εἰπεῖν.

Τοιαῦτα τὰ τῆς ἀσεβείας ἐγχειρήματα, ὡς ἂν ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκηται. ἐπειδὴ δὲ ὑμᾶς, ὡς προείρηται, ἡ θεία χάρις ἠγκαλίσατο διὰ τῆς καλῆς ὁμολογίας, ἧς ὡμολογήσατε τοῖς πατράσιν, ὑπὲρ ἧς καὶ μέχρις αἵματος προθυμεῖσθε ἀντικαθίστασθαι, καὶ ἡμεῖς οἱ ταπεινοὶ ταύτῃ δή, ταύτῃ τῇ ὁμολογητικῇ πεποιθήσει σέ τε τὴν κυρίαν δέσποιναν, τόν τε κύριον καὶ δεσπότην σὺν τοῖς λοιποῖς εὐκλεέσι κλάδοις καὶ εἰσδεδέγμεθα καὶ συνεισκρίνομεν τῷ μέρει τῆς ὀρθοδοξίας, μᾶλλον δὲ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ· καί, ἥκοντας ὑμᾶς

42 πατράσιν: Esaias cum altero; cf. linn. 3–4

18 1 Tim. 2,5 19 2 Petr. 1,4 35 Hebr. 11,38 40 Luc. 6,44 42 1 Tim. 6,12 43 Hebr. 12,4

16 λείποι ἐν: λείποιεν CVMP Sirm 17 ὁ αὐτὸς post μένων (16) transp VM 21 ἶσον codd Sirm: corr Mi 23 ὄντα ante ἀληθῶς transp M 24 περιληπτὸν: περιγραπτὸν Sirm 32 θεσπέσιος om VM 40 εὐσεβείας VM 44 ταύτῃ[2] om VM Sirm σέ – 45 δέσποιναν om VM

πρὸς τὴν ταπείνωσιν ἡμῶν, προσκυνοῦμεν καὶ συγκοινωνοῦμεν ὑμῖν, εὐχαριστήρια τῷ ἀγαθῷ θεῷ ἀναπέμποντες, τῷ ποιοῦντι μεγάλα καὶ ἀνεξιχνίαστα, ὧν οὐκ ἔστιν ἀριθμός, τῷ ἐκ σκότους εἰς φῶς ἄγοντι καὶ ἐξ ὁδοῦ πλάνης εἰς τρίβον εὐσεβείας μεταφέροντι πάντα τὸν ἐξ ἀληθινῆς καρδίας ἐφιέμενον σῴζεσθαι.

Ταῦτα μὲν οὕτως. ἐπειδὴ δὲ ἀπεδόθη ὑμῖν παρὰ τοῦ μεγάλου βασιλέως εἰς κατοικητήριον διαίτης ἡ νῆσος τῆς Χαλκίτου, οὐ μικρῶς ἐλύπησεν οὐχ ἡμᾶς μόνους, ἀλλὰ καὶ πολλοὺς τῶν πατέρων ὅτι ἀδελφότης ὅλη σὺν καθηγουμένῳ τῆς πάλαι οἰκείας μονῆς ἐξεώθη καὶ νῦν ὧδε κἀκεῖσε περιφέρεται καὶ ὅτι ὤφθημεν ἀνοίγοντες γλώσσας ἐπὶ προτέραις δυσφημίαις. ὅμως, ἐπειδὴ ἀπελογήσασθε διὰ τοῦ πνευματικοῦ ἡμῶν υἱοῦ Κλήμεντος, τοῦ εὐλαβεστάτου ἡγουμένου, οὕτως καὶ οὕτως ὑπάρξαι τὴν ὑπόθεσιν ἐκ βασιλικῆς ἐξουσίας, ἀπελύθημεν τῆς λύπης. τοῦτο δὲ παρακαλοῦμεν, ὅσον ἐνδέχεται ἐκβιάσασθαι ὑμᾶς, θεραπεῦσαι τὸ ἄλγος τῶν ἐξιόντων, ἐπειδὴ γέγραπται, μὴ δῷς ἀνθρώπῳ τόπον καταρᾶσθαί σε, καί, ἱνατί, φησίν, ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;

539. Κασσίᾳ κανδιδατίσσῃ

Χρονία ἡ ἐπιστολὴ τῆς τιμιότητός σου, καὶ αὕτη / ἐγκλητική, καὶ πῇ μὲν ὑποταπεινουμένη, πῇ δὲ κατεξανισταμένη τῆς οὐθενότητος ἡμῶν, ὡς ἁπλῶς καὶ ἀνεξετάστως προσιεμένων τὰς κατὰ σοῦ διαβολάς, οὐ μὴν ἀλλὰ καὶ ἀκρίτως ἐκφερόντων φωνάς, καὶ ταύτας ἐν τοῖς μάλιστα ἀναγκαίοις. ἡμεῖς δέ, κατειθισθέντες τοῖς τοιούτοις χαίρειν λέγειν, ἐκεῖνο δηλοῦμεν, ὅτι οὕτως ἀκούομεν τὰ θρυλλού-

49 Jb 5,9 63 Sir. 4,5 1 Cor. 10,29

53 ταῦτα μὲν οὕτως in marg S ἡμῖν V^{pc} 54 verba ἡ νῆσος τῆς Χαλκίτου ante εἰς transp VM Sirm 55 μόνον V 57 ὧδε VM 59 τοῦ εὐλαβεστάτου ἡγουμένου om VM 63 ἵνα τί Sirm

539. a. 821 – 826 textus epist. etiam apud Rochow, Kassia 21 sq.

C VM PS

1 κασίᾳ CP κανδιδατήσῃ C: κανδιδαστίσσῃ Mi 6 κατ' ηθισθέντες C: κατεθισθέντες cett Sirm τοῖς τοιούτοις post δέ transp PS Sirm

μενα ὡς παιδιάς τινας καὶ οὕτως λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ θεῷ, τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν, εἰ καὶ ἄλλως ἁμαρτωλοὶ τυγχάνομεν· εἰ γὰρ Βαλαὰμ ὁ οἰωνοσκόπος οὐ παρὰ τὸ βούλημα τοῦ θεοῦ ἠνέσχετο ἀποκριθῆναι τῷ Βαλάκ, βασιλεῖ τῶν ἀλλοφύλων, πῶς ἡμεῖς, οἱ ἐν βαθμῷ ἱερωσύνης κείμενοι καὶ λόγον ὑφέξοντες ἐν ἡμέρᾳ κρίσεως ἀνθ' ὧν ἐρωτώμενοι ἀποκρινούμεθα, δυνατὸν παρατετραμμένως φθέγγεσθαι τοῦ δέοντος;

Οὕτως οὖν ἀπεκρίθημεν τοῖς ἐρωτήσασιν, οὐκ αὐτοὶ ἀφ' ἑαυτῶν ἐπιτετραπότες τοῦτο κἀκεῖνο γενέσθαι, ὡς αὐτὴ προήχθης εἰπεῖν. καὶ τί βούλει, πρὸς τὸ ἀρέσκον ἑκάστῳ ἐμπορικῶς ἡμᾶς ἀποκρίνεσθαι ἢ ὀρθοτομοῦντας τὸν λόγον τῆς ἀληθείας; μὴ τοίνυν μήτε αὐτὴ πλήττου εἰς ἡμᾶς τοὺς ταπεινοὺς ἀκαίρως μήτε ἡ κυρία ἡ ἀδελφὴ μήτ' ἄλλος, ὁ προαιρούμενος σκώπτειν καὶ διασύρειν ἡμᾶς, ἀλλὰ γίνωσκε ὅτι καὶ τὸν ἀείμνηστον στρατηγὸν οὐκ ἐχθρωδῶς ἔχομεν, ἀλλὰ καὶ μάλα ἀσπασίως, ὥσπερ καὶ τὴν ὁμόζυγον αὐτοῦ. λυπούμεθα δὲ καὶ ἀντεγκαλοῦμεν εἰκότως ὅτι ὑμεῖς, αἱ καὶ γνώσει διαφέρουσαι καὶ εὐλαβείας ἀντιποιούμεναι, οὐκ ἀληθινῇ ἀγάπῃ ἤχθητε ἐν τέλει πρὸς αὐτόν· ἐπεὶ ἔδει πρὸ πάντων καὶ ὑπὲρ πάντα τὸ σωτηριῶδες τῆς ψυχῆς αὐτοῦ εἰς τὸ μετασχεῖν τῶν ἁγιασμάτων ἀγωνίσασθαι, τὰ ἄλλα πάντα σκύβαλα ἡγούμεναι, ὥστ' ἂν εὑρεθῇ ἐν τῇ ὀρθοδόξῳ κοινωνίᾳ, ἐπειδὴ γέγραπται, ὅπου ἂν εὕρω σε, ἐκεῖ σε κρινῶ.

Ἡμεῖς μὲν οὕτως φρονοῦμεν καὶ λέγομεν. εἰ δὲ ἄλλοι ἄλλως, αὐτοὶ κύριοι τῆς οἰκείας φωνῆς, καὶ ἡμεῖς γε σιωπῶμεν. οἶδεν Κύριος τοὺς ὄντας αὐτῷ, καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Κυρίου, καθὰ γέγραπται.

---

21 στρατηγόν: Theodotus? cf. ep. 484

8 1 Thess. 2,4 10 Num. 23,3 sq. 18 2 Tim. 2,15 27 Philipp. 3,8 28 Ez. 7,3 30 2 Tim. 2,19

8 παιδίας P οὐχ ὡς: ὡς οὐκ V 9 κασδίας P 14 παρατεταμμένως C[ac] 16 ἐπιτετροφότες Mi 19 πλήττοιο V: πλῆττε M 22 ὁμόζυγα PS Sirm: ὁμόζυγ M 23 ἀνατεγκαλοῦμεν (sic) Sirm 27 ἡγουμένας V ὥστ': an ἔστ' scribendum? εὑρεθείη VM 28 σε ante εὕρω transp VM 29 ἄλλοι om Mi 30 οἶδε VMPS Sirm 31 αὐτοῦ VM Sirm

540. Ὑπακοῇ μοναζούσῃ

Οἱ τὸν μονήρη βίον ἐπανῃρημένοι καὶ τῷ κόσμῳ ἐντεῦθεν ἐσταυρωμένοι, ὡς ἤδη ἀνώτεροι γενόμενοι τῶν σαρκικῶν σχέσεων καὶ συμβάσεων, οὐ πεφύκασι κατακάμπτεσθαι ἐν ταῖς συμβατικαῖς τῶν συγγενῶν περιστάσεσιν οὐδὲ λυπεῖσθαι ἐν ταῖς τούτων ἀποβιώσεσιν. ἀλλ', ἐπειδὴ εὑρίσκομεν καὶ ἐπ' αὐτῶν τῶν ἁγίων κεκάμφθαι ἐν τῷ τῶν συναίμων πάθει καὶ δάκρυον ἀποστάζειν θερμὸν ἐν ταῖς τούτων ἀποβιώσεσιν, οὐ ξένον τι κρίνομεν καὶ ἡμεῖς τὰ αὐτὰ πεπονθέναι, καὶ μάλιστα ἐπὶ ἀδελφῷ, καὶ ἀδελφῷ καλλίστῳ κατά τε φρόνησιν καὶ περιφάνειαν καὶ οἷον ἐν τάξει πατρὸς ἐπέχοντι τῆς καθ' ὑμᾶς φροντίδος τὸν λόγον.

Δεινὸν ὄντως τὸ πάθος, ἀδελφὴ ἐν Κυρίῳ, / καὶ ἥψατο ὑμῶν τῆς καρδίας ἡ πληγὴ καθάπερ ὑπὸ μαχαίρας τεμνούσης. τί τοῦτο; ἐκκαλυπτέον γὰρ τὸ πρόσωπον. ὁ κύριος ὁ ἀδελφός, ὥς φασι, κεκοίμηται· ᾤχετο ἀνὴρ ἀγαθός, ἐσβέσθη ὁ ὀφθαλμὸς τοῦ γένους, ἀπέπτη τὸ παραμύθιον ὑμῶν. ὀρφανοὶ μὲν οἱ παῖδες οὓς ἤνεγκεν, ὀρφανὴ δὲ καὶ αὐτὴ σὺν ταῖς ἀδελφαῖς, οὐκ ἔχουσα ποῦ ἐρείσῃ τὴν χεῖρα ὀκλάζουσα ἢ ποῦ ἀποβλέψοις περιστατουμένη. ἀλλ' ἱνατί ἐπὶ πλεῖον ἐλεεινολογοῦμεν τὸ πάθος; πρὸς θεοφιλῆ ἡμῖν ὁ λόγος, πρὸς συνετήν, πρὸς ἐχέφρονα, πρὸς πολύπειρον, πρὸς ἔμπλεων τῇ θείᾳ γνώσει, δυναμένην καὶ ἄλλους σωφρονίζειν τῷ καθ' ἑαυτῆς ὑποδείγματι. ἔκβαλε ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας σου τὸν πνευματικὸν πλοῦτον, τὰ φάρμακα τῆς παραμυθίας, ἐπαρκοῦσα σαυτῇ τε καὶ ταῖς ἀδελφαῖς· ἴσμεν γὰρ ὅτι κἀκείνων ἥψατο ἐξ ἴσου ἡ λύπη, ἐπεὶ καὶ τῆς κυρίας ἡγουμένης, ἀλλὰ γὰρ καὶ ὅλου τοῦ γένους, προσθείην δ' ἂν καὶ αὐτῆς τῆς συγκλήτου. τίς ἐπ' αὐτῷ μὴ ἐπιστενάξειε; τίς δὲ μὴ καταγάγοι δάκρυα, ὅπερ καὶ ἡμῶν τῶν ταπεινῶν, καίπερ οὕτω φιλοσοφούντων, ἥψατο ἡ λύπη;

---

540. a. 821 – 826

2 Gal. 6,14 14 Joh. 11,11 22 Luc. 6,45

VM PS

3 γεγενημένοι VM 6 τῷ om V 7 δάκρυ M 9 καλλίστῳ post περιφάνειαν (10) transp VM Sirm 10 ἡμᾶς P 12 ἡμῶν VM 16 ἡμῶν P 17 ἐρείσοις M: ἐρείσῃς V Sirm 18 ὀκλάζουσαν VM Sirm ἀποβλέψεις S ἵνα τί Sirm 20 ἔμπλεω S 21 ἑαυτὴν VM 22 ἐκ om VM 24 ἐξίσου VMS 26 στενάξειε S 27 καταγάγῃ S δάκρυον V ὅπερ: οὗπερ V 28 ἥψατο om V ἥψατο ἡ λύπη: κεκράτηκεν M

Ἀλλ', ἐπειδὴ ἀπεβλέψαμεν ὅτι οὐδεὶς εἰς γέννησιν ἐλθὼν μὴ οὐχὶ καὶ ἐκδημήσειε τῶν ἐνθένδε, καὶ τοῦτο ἀπὸ τοῦ προπάτορος ἡμῶν Ἀδάμ μέχρι τοῦ δεῦρο, οὐδὲν ξένον ἡγησάμεθα ἐπὶ τῷ συμβεβηκότι· ξένον δ' ἂν εἶεν, εἴπερ ἡ θεοσύνετός σου καρδία ἐνέγκοι εὐχαρίστως, ὑποτύπωσις γενομένη σὺν τῇ κυρίᾳ καθηγουμένῃ ταῖς τε ἀδελφαῖς καὶ ἐξαδέλφαις καὶ πάσῃ τῇ συγγενείᾳ. διάθου κατὰ τὸ εἰωθός σοι εὐψύχως πάντα, μεγαλοβούλως καθ' ὅσον ἐνδέχεται ἐπικουροῦσα καὶ τὴν οἰκίαν τοῦ ἀδελφοῦ εἰς τὸ μὴ ἐρήμην καταδραμεῖν τοὺς ἐφεδρεύοντας ἐν ταῖς περιστάσεσι τῶν ἀνθρώπων. φρόντισον οὖν ὅσον δυνατὸν καὶ τῆς τιμίας ψυχῆς τοῦ ἀγαθοῦ ἀνδρὸς ἐκείνου, ὅτι καὶ μετὰ θάνατον βοηθοῦνται παρὰ τῶν ζώντων οἱ ἐκδεδημηκότες.

Καὶ ἁπλῶς τὰ πάντα ἐν πᾶσιν οἴδαμέν σε εὖ διατίθεσθαι καὶ στρατηγεῖν τὸν λογισμὸν μᾶλλον ἢ στρατηγεῖσθαι ὑπὸ τῆς ἀθυμίας καὶ μοχθηρίας. εἰς αὐτὸ γὰρ τοῦτο καὶ τὸν ἀδελφὸν Ἀθανάσιον ἀπεστάλκαμεν, ἐπιδεικνύντες τὸ περιπαθὲς ἡμῶν πρὸς τὸν ἄνδρα καὶ πρὸς τὴν ὑμετέραν τιμιότητα ἐπικαμπτικόν· ὃν εὐχόμεθα τάχιον ἀποδέξασθαι, ἄγγελον ἀγαθὸν τῆς εὐχαρίστου ὑμῶν ὑπομονῆς γιγνόμενον.

541. Ὀλβιανῷ πατρικίῳ

Γεώργιος ὁ θεοφιλὴς ἀνὴρ καὶ περίδοξος νοτάριος, προσηγορίαν ἡμῖν κεκομικὼς παρὰ τῆς πανευφήμου καὶ διαβοήτου ὑμῶν ὑπεροχῆς, ἀπῄτησε τὸν ἀντασπασμὸν ἐγγράμματον ἡμᾶς ποιήσασθαι, ὡς τοῦτο κελευούσης τῆς μακαριότητος ὑμῶν. ἡμεῖς δέ, ἑαυτοὺς πεπεικότες ὑπείκειν ἐν τοῖς φιλικοῖς καθήκουσιν, χαράττομεν τήνδε τὴν ἐπιστολήν, πρῶτον μὲν προσαγορεύοντες τὰ εἰκότα οἱ εὐτελεῖς, αὐτὸ / τοῦτο ἀποδεχόμενοι καὶ ὑπεραποδεχόμενοι, ὅτι γλίχεται τῆς φωνῆς ἡμῶν ἀκοῦσαι, οἰκτρῶν ὄντων καὶ ἁμαρτωλῶν (καὶ γὰρ εὐσεβείας δεῖγμα τοῦτο οὐ τὸ τυχόν, ὅτι ὁ ὑψηλὸς τῇ ὑπεροχῇ πρὸς τὴν τῶν

31 Ἀδὰμ om VM 32 θεοσύνθετος PS Sirm (sed cf ep 455,38 etc) 33 γινομένη VM 34 καὶ ἐξαδέλφαις om Sirm 35 εὐψυχῶς Mi καθόσον PS 38 γνωμικόν in marg S 42 αὐτὸ: ταὐτὸ VM 44 πρὸς om VM 45 ἀγαθὸν ante ἄγγελον transp VM Sirm (sed cf ep 542,6)

541. a. 823 – 826? 2 νοτάριος: cf. Triandaphyllidis, Lehnwörter 124

C VM PS

2 ὁ om VM 4 ἀντ' ἀσπασμὸν C 6 καθήκουσι VMPS Sirm 7 τὰ εἰκότα om VM 8 ὑπὲρ ἀποδεχόμενοι C

ταπεινῶν φωνὴν ἐπικάμπτεται, καὶ μάλιστα ἐν τῷ παρόντι καιρῷ, ὁπότε ἀποτροπάδην οἱ πολλοὶ καὶ τοὺς ἄγαν φίλους ἔχουσι, μὴ ὅτι γε καὶ τοὺς ἀφανεστέρους), ἔπειτα ὑπομνήσκοντες μεθ' ὑποστολῆς ἄρχειν καὶ διέπειν τὸ ὑπήκοον θεοπρεπῶς· εἰ γὰρ πᾶσα ἀρχὴ καὶ ἐξουσία ὑπὸ θεοῦ ἐστι τεταγμένη, ἀποστολικῶς εἰπεῖν, δῆλον ὅτι ὁ ἄρχων καὶ ἐξουσιάζων θεοτελῶς ὀφείλει διεξάγειν τὸν ὑπὸ χεῖρα λαόν, τοῦτο μὲν ἐν ἀδεκάστοις κρίμασι τῶν ἐν ταῖς διαδικασίαις ἀμφισβητουμένων, τοῦτο δὲ καὶ ἐν εὐμενεῖ καὶ εἰρηνικῷ προσώπῳ ὀπτάνεσθαι τοὺς προσιόντας καὶ διδεῖν τῇ εὐπροσίτῳ παραδοχῇ θάρσος φθέγγεσθαι τὸ παριστάμενον (πτωχὸς γάρ, φησίν, οὐχ ὑφίσταται ἀπειλήν), εἶτα καὶ περὶ τὸ πτωχὸν μέρος καὶ τεταπεινωμένον ἐπικάμπτεσθαι καὶ παιδεύειν μέν, ὁπηνίκα ἡ χρεία ἀναγκάζει, παιδεύειν δὲ μὴ ἐν θυμῷ, ἀλλὰ σκοπῷ διορθώσεως ἀταράχως, μηδὲ ἐν πολλαῖς μάστιξι (τὸ γὰρ ἀπηνὲς ἄφιλον θεῷ), ἀλλ' ἐγκεκριμένως καὶ ὅσον τὸ ἀπαίδευτον ἀναστεῖλαι καὶ τὸ διορθωτικὸν περιποιήσασθαι, οἷα πατὴρ παιδὶ καὶ ὡς ἰατρὸς τῷ κάμνοντι. καὶ μακάριος ὁ οὕτως δημαγωγῶν καὶ στρατηγῶν, ἐπειδὴ καὶ Μωσῆς ὁ θεράπων τοῦ θεοῦ ἀρχικὸς καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ στρατηγός· καὶ πολλοῦ ἐστι φάναι ὅσοι οὐ μόνον ἐν βασιλεῦσιν, ἀλλὰ καὶ κριταῖς καὶ ἄρχουσι καὶ πρὸ νόμου καὶ ἐν νόμῳ καὶ μετὰ τὴν χάριν ἀρχαΐζοντες καὶ πρωταρχοῦντες εὐηρέστησαν τῷ Κυρίῳ, σὺν εὐσεβείᾳ ἀναστρεφόμενοι.

Ταύτῃ δὴ οὖν καὶ σέ, τὸν πανεύφημον καὶ ἐπιπόθητον ἡμῶν δεσπότην, φιλοῦμεν καὶ αἰτοῦμεν διέπειν καὶ τούτοις δὴ τοῖς σεσωσμένοις καὶ ἀξιαγάστοις ἐναρίθμιον γενέσθαι. καὶ μή τοι δέξῃ τὴν ὑπόμνησιν ἡμῶν ὡς αὐθαδιασμόν, ἀλλ' ὡς ἀγαπητικὸν τρόπον, ἐπειδὴ φιλοῦμέν σε, φιλοῦντα τὸν θεόν, καὶ φίλου δεῖγμα τὰ ἐπωφελῆ φθέγγεσθαι τῷ φιλουμένῳ· ὅπερ δέδειχεν τὸ εὐτελὲς ἡμῶν γράμμα. ἀξιώσειε δὲ ἡμᾶς ὁ ἀγαθὸς θεὸς ἡμῶν καὶ εἰς τὴν κατ' ὀφθαλμοὺς ὁμιλίαν ὀψέ ποτε ἐλθεῖν καὶ ἀπολαῦσαι τῶν ἐν σοὶ καλῶν, ἵνα, ὅσα ὁ λόγος τῆς ἀκοῆς οὐ παρίστησι, ταῦτα ἡ αὐτοπτικὴ ἱστορία ὑποδείξασα ἐνεργεστέρους ἡμᾶς καταστήσειεν τῆς φιλικῆς ἀνακράσεως, ἐπειδήπερ ἐξεδιδάχθημεν παρὰ τοῦ χρηστοῦ γραμματηφόρου οὐκ ὀλίγων κατορθωμάτων κεχαρακτηρίσθαι τὴν εὐσέβειαν ὑμῶν· ἣν καὶ

---

14 Rom. 13,1 **20** Prov. 13,8 **30** cf. Rom. 6,14

13 ὑπομιμνήσκοντες VMPS Sirm **15** ὑπὸ: ἀπὸ Mi δηλονότι VP Sirm **16** ὁ ante ἐξουσιάζων add MPS Sirm **18** ἐν εὐμενεῖ: ἐνευμενεῖ CP Sirm **19** διδόναι VMPS Sirm **20** θάρσος ante τῇ transp S **22** ἡ: καὶ M ἀναγκάζῃ C **24** ἐγκεκριμμένως S **28** πολλοὺς PS Sirm ἔστι Mi φᾶναι C **29** βασιλεῦσι VM ἀλλὰ καὶ κριταῖς om VM **35** αὐθαδειασμὸν VM **37** δέδειχε VMPS Sirm **38** ἀξιώσει C **41** καταστήσειε VMPS Sirm

διασώσειεν ὁ Κύριος ὡς κόρην ὀφθαλμοῦ, ὑπερθέουσαν πάσης βλαπτικῆς ἐπηρείας, καὶ σώσειεν εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον.

542. Ἀντωνίῳ ἐπισκόπῳ

Πρέπουσαν προσφώνησιν ἡ πατρική σου ἁγιωσύνη / πεποίηται τανῦν, οὐκ ἐφ' ἡμῖν τοῖς ταπεινοῖς, ἄπαγε (συνίσμεν γὰρ ἑαυτοὺς οἷοί ἐσμεν, ὡς ἀποδέοντες καὶ τῶν ἐν τῷ ἐσχάτῳ βαθμῷ ἀπονενεμημένων κατὰ τὸν τῆς ἀρετῆς λόγον), ἀλλὰ τοῖς πᾶσι θείοις τε πατράσι καὶ ὁμολογηταῖς, ὥσπερ τις ἄγγελος ἀγαθὸς ἀναγγέλλων τὰ προσαγορευτικὰ καὶ συνδέων τοὺς ἅπαντας ἡμᾶς τῷ ἀγαπητικῷ τρόπῳ γε. τοῦτο δίκαιον καὶ προσῆκον, τοὺς ἄλλους ἀλλαχῇ διεσπαρμένους διὰ τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φθέγγεσθαι ἀλλήλοις τοῖς γράμμασι καὶ συνάπτεσθαι πνευματικῶς τοῖς ὑπομνήμασι, καὶ μηδαμῶς τῇ ἀφωνίᾳ ὡς τεθνεῶτας λελογίσθαι. τοῦτο γὰρ ἴσμεν καὶ τὸν μακάριον ἀπόστολον Παῦλον σὺν τοῖς ὁμοταγέσι θεοστόλοις ἀλλήλους μακρόθεν φωνοῦντας καὶ εἰς ταὐτὸν ἐρχομένους τῷ συναπτικῷ λόγῳ καὶ τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ καταγγέλλοντας παντὶ τῷ κόσμῳ, ἐν ᾧ καὶ ἡμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον, εἰ καὶ τολμηρὸν εἰπεῖν, θέμενον παρεγγυᾷ· λάλει γάρ, φησί, καὶ μὴ σιωπήσῃς, ὅτι λαός μοι πολύς ἐστιν ἐνταῦθα. καὶ ἀλλαχοῦ· ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. ὥστε φοβερὸν τὸ κρίμα τῆς σιωπῆς, καὶ ταῦτα ἐν τῇδε τῇ ἐθελοκάκῳ κωφεύσει τῶν αἱρετιζόντων. ὅπερ ἡ ἁγιωσύνη

---

44 Ps. 16,8 45 2 Tim. 4,18

---

542. inter mens. Maium ac Nov. a. 826

17 Act. 18,9 sq. 18 Hab. 2,4; cf. Hebr. 10,38

C VM PS

3 τανῦν: τὴν νῦν M: τὰ νῦν CVP Sirm σύνισμεν VMPS Sirm (sed cf ep 545,14) 4 ἐν τῷ om PS 8 γε: σε V: om M γε. τοῦτο: καί γε τοῦτο Sirm καὶ ante τοῦτο add M τούτῳ V 10 τοῦ ante Κυρίου add V 12 λελογεῖσθαι C 13 ὁμοταγέσιν VM θεοστόλοις om VM 15 τοῦ om VMPS Sirm 17 μοι: μου VM 19 τὸ om Mi κρῖμα P Sirm

σου, καθὰ γέγραφεν, ἐνεργοῦσα θεοπρεπῶς πολλοὺς πειρασμοὺς ὑφίστασθαι φαίη παρὰ τῶν οὐκ ἐθελόντων λόγον ὅσιον ἐνηχεῖσθαι, ἀλλ' ἠρνημένων τὴν θεόγραπτον Χριστοῦ εἰκόνα, τῆς Θεοτόκου καὶ οὑτινοσοῦν τῶν θεραπόντων αὐτοῦ.

Μένοις οὖν, ὦ τριπόθητε, ἐπὶ τῆς λυχνίας τοῦ λόγου κείμενος εὐαγγελικῷ προστάγματι καὶ λάμπων πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ ὡς ἂν οἱ ἁπλοῦντες τὰς ὄψεις τὸ φῶς εἰσδέχοιντο, οἱ δὲ μύοντες τὰς αἰσθήσεις τῆς οἰκείας ἀβλεψίας τὸν καρπὸν δρέψωνται· καί γε εὔξαιο τοῦτο καὶ ἡμᾶς ποιεῖσθαι καὶ ἀνένοχον τὸ τῆς προστασίας δῶρον ἀπενέγκασθαι. γινώσκειν σε δὲ βουλόμεθα ὅτι εἷς τῶν λαμπτήρων ἀπέπτη πρὸς Κύριον, οὗτος δὴ ὁ ἁγιώτατος μητροπολίτης Συννάδων, ἐπεὶ καὶ πρότερον οἱ κλεινοὶ ἀδελφοὶ καὶ πατέρες, Ἀθανάσιος ὁ τοῦ Παυλοπετρίου καθηγεμὼν καὶ Ἰωάννης ὁ τῆς Χαλκίτου καθηγητής. καὶ οἱ αἱρετικοὶ μὲν δοκοῦσιν ὑποτέμνεσθαι τὸ ὁμολογητικὸν πλήρωμα τοῦ Χριστοῦ, ἀγνοοῦσι δὲ ὅτι καὶ μᾶλλον πληθύνεται, ζήλῳ τῶν προηθληκότων συνανιπτάμενον καὶ τὸ πτερορρυῆσαν τυχὸν στῖφος. Χριστὸς δὲ ἔτι καθεύδει, τοῖς μὲν ὑπανοίγων θύραν χρηστότητι ἀνεκδιηγήτῳ, τῶν δὲ δοκιμάζων τὸν πόθον ἐν ὑπομονῆς στεφανώματι, τοὺς δὲ καὶ ὡς χρυσὸν δεδοκιμασμένον προσλαμβάνων ἑκάστοτε εἰς διάδημα κάλλους δόξης αὐτοῦ.

Ταῦτά σοι πρὸς ἡμῶν, ὦ μακαριώτατε. αὐτὸς δὲ ἔτι δυσωπήσειας τὸν θεὸν εἰρήνην ἐμποιῆσαι τῇ αὐτοῦ ἐκκλησίᾳ, ἐκτίλλων πᾶν κακὸν ἐκ μέσου καὶ τοὺς ὑπολελειμμένους ἡμᾶς ἀξιῶν εἰς τὴν κατ' ὀφθαλμοὺς ὁμιλίαν ἐλθεῖν, καθὰ καὶ εὐκτικῶς ὑπεδήλωσας.

---

30 ἀπέπτη: die 23 mens. Maio a. 826 32 Ἀθανάσιος: obiit diem supremum die 22 mens. Febr. a. 826 37 Χριστὸς καθεύδει: ad hanc elocutionem cf. adn. ad ep. 333,22

25 Matth. 5,15 35 Eph. 4,13 39 Prov. 8,10

20 ἐν τῇδε om VM 21 ὑφίστασθαι φαίη: ὑφίσταται VM 22 ουκεθελόντων S ἐνηχῆσθαι C 23 Χριστοῦ εἰκόνα: εἰκόνα τοῦ χριστοῦ V οὔτινος οὖν C 25 μένοις: μόνος V ὦ om VMPS Sirm 26 οἱ om Mi 28 δρέψονται C 30 σε δὲ: δέ σε Sirm 31 Συνάδων omnes: correxi 33 χαλκήτου C 36 τὸ om M 37 στίφος CVMP Sirm 41 πρὸς: παρ' V Sirm μακάριε VM Sirm 42 ἐκτεῖλον C

543. Διονυσίῳ μονάζοντι

Οἱ παρὰ τῶν ἐπιστημόνων ἰατρῶν θεραπευόμε/νοι οὐ χρείαν ἔχουσι τῆς τῶν ὑφειμένων ἐπισκέψεως, εἰ μή τι ἄρα ἀγάπης τρόπῳ ἀφοσιούμενοι τοὺς γνησιεύοντας· ὥστε καὶ ἡ ἀδελφικὴ ὑμῶν τιμιότης περιττόν τι ἂν εἰργάζετο, παρὰ τοῦ θεοφιλεστάτου ἡμῶν πατρὸς καὶ ἀρχιεπισκόπου τοῦ Δυρραχίου ἰαθεῖσα καὶ μὴ ἐμμείνασα, ἀλλ' ἔτι καὶ πρὸς ἡμῶν τῶν ὑφειμένων καὶ τεταπεινωμένων θεραπείαν ἐπιζητοῦσα. ἀλλ', ἐπεὶ ὁ λόγος τῆς ἀγάπης κεκίνηκε νῦν ὑμᾶς ἐπιστεῖλαι, πέπεικεν καὶ ἡμᾶς τοὺς οὐδαμινοὺς ἀντεπιστεῖλαι ὑμῖν καὶ συνάψαι πρὸς ἑαυτοὺς τῇ ἀγαπητικῇ διαθέσει· χρὴ γὰρ καὶ δίχα τινὸς ἀναγκαίου τοὺς τὸ αὐτὸ ἐπάγγελμα ἐπανῃρημένους καὶ τὸ αὐτὸ φρόνημα οὖν ἀσπαζομένους ἀγαπητικὸν συνανακρᾶσθαι. καὶ γὰρ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγῆναι τὴν τῶν πολλῶν ἀγάπην ὁ Κύριος εἴρηκεν.

Τὸ μὲν οὖν τῆς ἰατρείας ὑμῶν κατὰ τὸ κεκανονισμένον ὑπὸ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου συντηρείσθω ἄνοσον. τοῦτο δὲ παραινοῦμεν καὶ ὑπομνήσκομεν, μὴ ὑφιζάνειν πάλιν εἰς τὰ ὀπίσω μηδὲ πρὸς τὴν ὀλεθρίαν ὑπόπτωσιν ἀπάγεσθαι διὰ τῶνδε καὶ τῶνδε τῶν γνωρισμάτων· ἀρκεῖ γὰρ καὶ τὰ πάλαι, ἐφ' οἷς καὶ ὀφείλομεν στένειν καὶ ποτνιᾶν εἰς τὸ ἀεί, κλάειν τε καὶ οἰμώζειν, ὅτι τῶν ἀδελφῶν ὁμοσχήμων πετασθέντων ὡς ἀετῶν ὑψοῦ τῇ ὁμολογίᾳ ἡμεῖς ὑπὸ παγίδα κεκρατήμεθα τῆς αἱρέσεως· κἀκείνων διωκομένων ἡμεῖς οἴκοι ἐμένομεν, καὶ τῶνδε ἠθληκότων μαρτυρικῶς ἡμεῖς ἔξαρνοι γεγόναμεν χειρὶ καὶ στόματι, κἂν οὐ καρδίᾳ, καὶ ἄλλων φυλακιζομένων καὶ λιμοκτονουμένων ἡμεῖς ἐν ἀδείᾳ διήγομεν. πῶς οὖν οὐκ ἐνθυμητέον ταῦτα καὶ διὰ τάδε ὀδυρτέον; πῶς ἔσομαι, φησὶν ὁ Μέγας Βασίλειος, μετὰ Ἰώβ, ὁ μηδὲ τὴν τυχοῦσαν θλῖψιν μετ' εὐχαριστίας δεξάμενος; πῶς δὲ μεθ' ἑκάστου τῶν ἁγίων, ὁ μὴ τοῖς ἴχνεσιν αὐτῶν ἐμπολιτευσάμενος;

---

543. inter mens. Maium ac Nov. a. 826? 6 ἀρχιεπισκόπου: Antonius; cf. ep. 542

12 Matth. 24,12 26 Bas. serm. mor. 7,12 (PG 32,1213 C)

C VM PS

3 ἄρα VMPS Sirm 7 πρός: παρ' PS Sirm καὶ τεταπεινωμένων om Sirm 9 πέπεικε VMPS Sirm οὐδαμεινοὺς C 12 οὖν ante φρόνημα transp VM Sirm: om PS ἀγαπητικῶς PS Sirm 14 εἴρηκε VMPS Sirm 17 ὑπομιμνήσκομεν VMPS Sirm εἰσταοπίσω S 18 ὑπάγεσθαι VM 20 εἰστοαεί S κλαίειν VMPS Sirm 21 μετασθέντων (sic) Mi 23 μένομεν omnes: correxi 24 κἂν C: κἄν MP 27 θλίψιν omnes: correxi

Ὁρᾶτε, ἀδελφοί, οἷοι οἱ φοβερισμοί, οἷα τὰ διαστήματα; τί, φησίν, ὠφελήσει ἄνθρωπος, ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; οὐχὶ τοῦ Κυρίου φωνὴ αὕτη; οὐκοῦν φοβηθῶμεν καὶ τρομάξωμεν, καὶ περὶ μέντοι τῶν προτέρων δεηθῶμεν ἔτι τὴν συγχώρησιν, πρός τε τὰ ἑξῆς βαδιούμεθα ὀρθοποδοῦντες, μηδόλως σκελιζόμενοι μηδὲ ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις χωλανοῦντες κατὰ τὸ γεγραμμένον, ἀλλ' εὐθυποροῦντες ἐν ταῖς ἐντολαῖς τοῦ θεοῦ, τὴν πίστιν ἀκραιφνῆ, τὴν πολιτείαν ἀκίβδηλον συντηροῦντες, ἵνα κληρονομήσωμεν οὐκ ἀγροὺς καὶ ἀμπελῶνας καὶ συκᾶς καὶ ὅσα τῆς ἐπικήρου καὶ φθειρομένης ζωῆς, ἀλλὰ τὰ ἐν ἐπαγγελίαις ἀγαθά, τὴν ζωὴν τὴν αἰώνιον, τὴν βασιλείαν τῶν οὐρανῶν· τὸ γὰρ ἐναντίον ἐκ τῶν ἐναντίων πράξεων ἀπάντημα ἀπείη καὶ ἐννοεῖν καὶ λέγειν.

Εἰρήνη ὑμῖν, ἀδελφοὶ ἐν Κυρίῳ· εἰρηνεύετε ἐν ἀλλήλοις, εὔχεσθαι ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν παρακλήθητε.

544. /Ἰωσὴφ καθηγουμένῳ τῶν Κεραμέων

Καὶ πρὸ τῆς ἐλεύσεως τοῦ καλοῦ Σεργίου ἠκουτίσθη ἡμῖν τὸ περὶ τὸν μακάριον μητροπολίτην πένθος ὑμῶν, ὦ ἀδελφοὶ τιμιώτατοι, καὶ ὅσον ἐστενάξαμεν, προσθείημεν δ' ἂν καὶ ἐδακρύσαμεν, οἶδεν ὁ τῶν ἀφανῶν γνώστης, ἐπειδὴ κοινὸς ὁ πατὴρ καὶ ὑμῶν καὶ ἡμῶν φίλος τε πιστός, τὸ παρὰ πᾶσι ζητούμενον καὶ σπάνιον εὑρισκόμενον. ὤ, πῶς κατέπεσε στῦλος τῆς ἐκκλησίας ἀκράδαντος, πῶς δὲ ἀπεσβέσθη φῶς τῶν ἐν σκότει καὶ τὸ ὑμέτερον ἰδιαίτατον αὔγασμα; σεσίγηκε γλῶσσα ἡδυεπής, ᾤχετο νοῦς ἐμφρονέστατος, ὑπεσπάσθη ἔρεισμα πίστεως, πρόμαχος ἐκκλησιῶν, μειλίχιος λόγος, πειθήνιος φωνή,

30 Matth. 16,26 34 3 Reg. 18,21 41 Bas. ep. 262,2 (PG 32,973 B = III 120 Courtonne)

31 ἄνθρωπον Mi 32 αὐτοῦ M ζητιωθῇ (sic) Sirm 33 μέντοι: μέν τι Sirm 34 τε om V ταεξῆς S μηδ' ὅλως CP Sirm 35 μηδ' Sirm 38 συκὰς CVM: σῦκας Sirm 41 ἀπείημεν VM 42 εὔχεσθε CS^{ac} Sirm 43 ἁμαρτωλῶν: ἀδελφῶν VMPS Sirm

544. inter mens. Sept. ac Nov. a. 826

C VM PS

1 τῶν Κεραμέων in marg C: titulo add PS Sirm: om VM 3 ὦ: ὁ Sirm: om VM 4 προσθείην VMPS Sirm 5 ἀφανῶν: κρυπτῶν VM Sirm 6 σπάνιον: πάνιον P ὦ C Sirm 7 στύλος omnes: correxi 9 γλῶττα VM νοὺς Sirm 10 ἐκκλησίας V

πᾶν ὅσον καλὸν καὶ ᾄδεται περὶ τοῦ ἀνδρὸς καὶ γνωρίζεται. καὶ γεγόναμεν (οὐ λέγω τὸ ὑμῶν μόνον, ἀλλὰ καὶ κατὰ τὸ τῶν ὀρθοδόξων πλήρωμα) ὀρφανοὶ ἐπὶ προλαβούσαις ὀρφανίαις· προύλαβεν ὅσδε ὁ μακάριος πατήρ, ἐπηκολούθησεν ἕτερος, συναπέπτη ἄλλος, σχεδὸν πάντες οἱ φωστῆρες τῶν πιστῶν ἔδυσαν κομιδῇ ὀλίγων ἐναπολειφθέντων. καὶ στυγνάζει μὲν ὁ οὐρανός, νέφει περιεχόμενος, στυγνάζει δὲ ὅτι μάλιστα ἡ ἐκκλησία νῦν, τοὺς ἀστέρας αὐτῆς ἀποβεβληκυῖα. πλὴν ὅμως ὁ τῆς δικαιοσύνης ἥλιος εἴληφε τοὺς ἀστέρας, μακαρίῳ τέλει ἀποβιώσαντας, καὶ αὐτὸς ὑπέσχετο ἕως συντελείας τοῦ αἰῶνος ἔσεσθαι μεθ' ἡμῶν· ὥστε, εἰ καὶ λυπηρὰ τὰ παρόντα, ἀλλὰ πάλιν περιχαρῆ διὰ τὴν ἐλπίδα ὅτι ἔχομεν εἰς θεὸν τοὺς πατέρας ἡμῶν ὑπερασπιστάς, ἄνωθεν ἐποπτεύοντας ἡμᾶς ἵλεως καὶ κάμπτοντας εἰς τὸν περὶ ἡμᾶς οἶκτον τὴν αὐτοῦ ἀγαθότητα.

Λοιπὸν ἐφ' ὑμῖν ἐπιστρεπτέος ὁ λόγος. οὐ ποίμνιόν ἐστε ἠπορημένον, ὦ ἀδελφοί· ὁ γὰρ καλὸς ἀρχιποιμὴν ὑμῶν, ὁ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου ὁμώνυμος, ἤδη καὶ ἐτύπωσεν καὶ ἐστοιχείωσεν, ἔτι τε ζῶν ἡγούμενον ὑμῖν προεστήσατο καὶ πᾶν ὁτιοῦν ὀφειλόμενον διετάξατο· καὶ ὅλον ἐνιαυτὸν ὡς ἤδη ἀπαίρων καθ' ἑκάστην ἡμέραν τοὺς συντακτηρίους λόγους ἐπιφωνῶν κατήρτισεν ἕνα ἕκαστον. καὶ εὐχῆς μὲν ἔργον μὴ κατὰ τὴν δυσκολίαν τοῦ χρόνου ἄλλως ἀπαντήσοι τὰ πράγματα, ἀλλ' ὡς διετάξατο διαμεῖναι καὶ ὑμᾶς καὶ αὐτά. οὐ μήν, εἰ δι' ἐναντίας ἔλθοι, τούτου χάριν προέσθαι ὑμᾶς τὴν ἀλήθειαν, ἀλλά, καθὼς κἀκεῖνος διετάξατο ἐγγράφως, πάντα σκύβαλα ἡγήσασθαι διὰ Χριστὸν καὶ μὴ προδοῦναι τοὺς περὶ πίστεως καὶ ἀληθείας λόγους.

Ταῦτα μὲν πᾶσιν ὑμῖν λεκτέον, προηγουμένως δὲ σοί, τῷ κυρίῳ καθηγεμόνι, ἐπειδὴ οἷον τὸ ἄρχον καὶ τὸ ἀρχόμενον πέφυκε γίνεσθαι. καί γε ἅπαξ ἑαλώκαμεν ἐπὶ τῇ αἱρετικῇ κοινωνίᾳ φειδοῖ τῶν ὁρω-

---

26 ὁμώνυμος: Petrus episcopus Nicaeae, mortuus die 10 vel 11 mens. Sept. a. 826

16 Matth. 16,3 19 Matth. 28,20 33 Philipp. 3,8 37 cf. Jul. or. 2,29 (88 a) πέφυκε γὰρ ἐξομοιοῦσθαι πρὸς τὸν ἄρχοντα τὰ τῶν ὑπηκόων

12 ἡμῶν V κατὰ om VM 13 ὅσδε: ὅδε Sirm: om VM 15 ἅπαντες VM ἐναπολειφθέντων: ἀπολειφθέντων VM 16 ὁ om VM 18 ἀστέρας: πατέρας VM Sirm 19 τῆς post ἕως add PS Sirm 21 ἔχωμεν C 22 ἱλέως VM 23 ὑμᾶς VM 25 ἀρχιποίμην VMPS Sirm 26 ἐτύπωσε VMPS Sirm ἐστοιχείωσε καὶ ἐτύπωσε VM 27 ὑμῖν post ζῶν transp VM ὅτι οὖν C Mi 28 καθεκάστην C 31 ἀπαντῆσαι S: ἀπαντήσει P Sirm 32 πρόεσθαι C 36 σοι Sirm 38 καίγε Sirm γε: an ⟨εἴ⟩ γε scribendum?

μένων, μὴ πάλιν, δεόμεθα καὶ ὑπομνήσκο/μεν, διὰ μοναστήρια, ἀμπελῶνάς τε καὶ ἐλαιῶνας καὶ συκῶνας, ἃ μικρὸν ὕστερον καὶ ἡμεῖς ὡς οἱ πατέρες ἡμῶν καταλείψομεν (καὶ καταλείψομεν εἰς αἰῶνας), προδῶμεν τὴν ἀκρίβειαν τοῦ ἐπαγγέλματος καὶ χρανθῶμεν τῇ ἑτεροδόξῳ κοινωνίᾳ, τὰ σκαμβὰ ὑποδείγματα κυκλόθεν περιβλέποντες. οὐ προστήσεται ἡμῖν ἐν καιρῷ θανάτου, ἐν ὥρᾳ κρίσεως εἰς βοήθειαν ταῦτα, ἀλλὰ τὸ χρηστὸν συνειδὸς καὶ ἡ ἀκατάγνωστος πολιτεία. καὶ ταῦτα οὐχ ὡς βουλόμενοι ὑμᾶς πάσχειν τι δεινὸν προτρεπόμεθα, ἀλλ' ὡς ἀδελφοὶ ἀδελφοῖς βοηθεῖν προαιρούμενοι κατὰ τὴν κελεύουσαν ἐντολήν. ἐπεὶ καὶ κατελεοῦμεν καὶ οἰκτείρομεν τὸν κύριον Γρηγόριον, τὸν πνευματικὸν ἡμῶν ἀδελφόν, ὡς ἤδη λιπαρῶς γεγηρακότα καὶ τοιοῦτον ὄντα οἷον ἴστε ἀπό τε τῶν σαρκικῶν καθηκόντων καὶ ἀπὸ τῶν πνευματικῶν κατορθωμάτων, εἰ καὶ ὅτι χριστομιμήτῳ ταπεινώσει οἴσειν πάντα προέκρινεν ἤ τι ἐναντίον τῶν πατρικῶν ὁρισμῶν διαπράξασθαι.

Χαρισθείη ὑμῖν ἡ εἰρήνη τοῦ θεοῦ, ἥνπερ ἐπεφθέγξατο τοῖς ἁγίοις αὐτοῦ ἀποστόλοις ἀπαίρων ἐν οὐρανοῖς, ἀλλὰ μὴν καὶ ἡ εἰς ἀλλήλους ἀγάπη· ἐν τούτῳ γάρ, φησί, γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. εὐθύμει, ὁ κύριος ὁ ἡγούμενος, αὐτὸς ὁ κύριος Γρηγόριος, εἶτα εἷς ἕκαστος τῶν ἑξῆς, ἀνανεύοντες ἅπαντες ἀπὸ τῆς λύπης καὶ ὁδοποιοῦντες ὥσπερ νέαν τινὰ ὁδὸν τὸν πνευματικὸν ὑμῶν ἀγῶνα, προσευχόμενοι καὶ περὶ ἡμῶν τῶν ταπεινῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας.

545. Εὐθυμίῳ Σάρδης

Σὺ μέν, ὦ μακάριε, τῇ συνήθει ταπεινοφροσύνῃ χρώμενος, οὐ διαλιμπάνεις ἀποσεμνύνειν ἡμᾶς τοὺς ἀγεράστους· ἡμεῖς δέ σε ἴσμεν ὡς ἀληθῶς καὶ κρηπῖδα τοῦ λόγου καὶ ἔρεισμα τῆς ἐκκλησίας, καὶ μάλιστά γε ἄρτι, ὁπηνίκα ἀπολελοίπασιν ἡμᾶς ὁ δεῖνα καὶ ὁ δεῖνα,

---

47 Luc. 10,37 49 Hom. Od. 4,210 54 Joh. 20,21 56 Joh. 13,35 61 Hebr. 6,9

---

39 ὑπομιμνήσκομεν VMPS Sirm 41 καὶ καταλείψομεν om PS Sirm 43 κυκλῶθεν C: κύκλωθεν cett Sirm: κύκλοθεν Mi: correxi 50 ὄντα om VM 52 τὰ ante πάντα add VM προὔκρινεν VM 60 ἡμῶν: ὑμῶν S

---

545. inter mens. Sept. ac Nov. a. 826?

C VM PS

1 Εὐθυμίῳ: Εὐφημίῳ PV: Εὐφφημίῳ Sirm 3 διαλειμπάνεις C 4 ὡς V κρηπῖδα Mi: κριπίδα C: κρηπίδα cett Sirm

οἱ διαφανεῖς πατέρες, τὸ κλέος τῶν ὀρθοδόξων, καὶ ὡς εἷς σχεδὸν πυρσὸς ὑπερλάμπων τῶν ὑφειμένων διαθέεις τῶν ἐν ἄστει, πολλοὺς μὲν φωτίζων μυωπάζοντας ἐκ φωτολειψίας, πλείους δὲ προσάγων τῷ θεῷ διὰ τῆς ἐπικλυζούσης οἷον ῥεύματί τινι μελισταγοῦς διδαχῆς σου.

Ἀλλὰ φυλαχθείης ἡμῖν ἔτι, ὦ τριπόθητε, οὐ μὴν ἀλλὰ καὶ πάσῃ τῇ ἐκκλησίᾳ εἰς στηριγμόν τε καὶ θεῖον ἀγαλλίαμα. περὶ οὗ δὲ πρεσβυτέρου ἐκέλευσας σημᾶναι οὕτως καὶ οὕτως, εἶναί τε καὶ ἐκλελυτρῶσθαι τῆς βαρβαρικῆς αἰχμαλωσίας συνίσμεν, πρὸς αὐτοῦ τούτου ἕκαστα ἐκμεμαθηκότες. ἀλλ' ὁ ἀνὴρ οὐ βούλεται εἴτουν οὐκ ἀνέχεται τῷ καθ' ἡμᾶς τύπῳ κεκανονίσθαι· οἶσθα γάρ, θεοτίμητε, ὅτι κοινῇ ψήφῳ τῶν τε ἔτι ὑπὲρ γῆν ὄντων καὶ τῶν ἔναγχος ἐκδημησάντων πρὸς Κύριον ὁμολογητῶν τοὺς ἅπαξ ἑαλωκότας τῇ αἱρετικῇ κοινωνίᾳ ἱερωμένους εἶρχθαι τῆς ἱερουργίας διώρισται, ἕως δῆλον ὅτι καιροῦ ἐπισκοπῆς τῆς ἄνωθεν προνοίας. καὶ πῶς ἂν δυνηθείημεν / λῦσαι τὸν κανόνα καὶ διὰ τῆς τοῦ ἑνὸς παραδοχῆς νόμον ἐπὶ ἅπαντας τοὺς προειργομένους ἀποῖσαι κἂν τούτῳ ὑπεναντία μὲν δρᾶσαι τῷ θείῳ ἡμῶν καὶ πρωτάρχῳ καθηγεμόνι, ὅτι μηδὲ ἁπλῶς αὐτὸς τοὺς τοιούτους εὐλογεῖν κοινὴν βρῶσιν ἀνέχεται, μὴ ὅτι γε πλέον τι ἐνεργεῖν ἱερατικῶς, τοὺς ἄλλους τε τῶν ὁμολογητῶν σκανδαλίσαι καὶ ὑποῖσαι διχόνοιαν τοὺς ἀκριβείας ἀντεχομένους; κἂν τινες ἴσως ἔφθασαν τῇ κατ' αὐτοὺς διακρίσει διὰ τὸ στενὸν τοῦ χρόνου καὶ τὸ τῶν ἐπιζητούντων ἀναγκαστικὸν τινὰς τῶν πρεσβυτέρων μετὰ τὴν ἐπιτιμίαν ἀπολελυκέναι, ἡμῖν δὲ οὐδαμῶς τοῦτο κατεργάσασθαι ἄτερ τοῦ προέδρου, ὅτι καὶ νομιστέον εὖ ἔχειν τὸν λόγον τῆς καθείρξεως. ποῦ γὰρ φανείη τὸ διάφορον τῶν προδωσάντων τὴν ἀλήθειαν καὶ μή, τῶν γενναίως ἐνηθληκότων καὶ μηδαμῶς ἑλομένων ὑπὲρ τοῦ καλοῦ τληπαθεῖν; καὶ ποῦ ὁ Χριστὸς καὶ ὁ Βελίαρ, τὸ φῶς καὶ τὸ σκότος, εἴπερ ἀναμὶξ τὰ πάντα καὶ πρὸ κρίσεως συνοδικῆς κρίσις καὶ πρὸ εἰρήνης εἰρήνη; ἀπώμοτον τοῦτο,

23 καθηγεμόνι: patriarcha Nicephorus

17 2 Cor. 5,8 33 2 Cor. 6,14 sq.

6 ὡς: ὃς Sirm 8 μυωπάξοντας Sirm 12 οὗ δὲ: δὲ οὗ PS Sirm 13 σημάναι CMPS Sirm τε om VM ἐκλελυτρῶσθαι: λυτρωθῆναι VM 14 τα ante τῆς add M σύνισμεν VMPS Sirm 15 εἰτοῦν C: εἴτ' οὖν VMP Sirm 16 ὦ ante θεοτίμητε add S 19 εἵρχθαι C δηλονότι VMPS Sirm 21 λύσαι CVM 22 προειργμένους Sirm καν C: κἂν Sirm 23 δράσαι CVM 26 κάν C 32 γενναίως post ἐνηθληκότων transp M 33 ὑπὲρ τοῦ καλοῦ S^{sscr} 34 Βελίαλ Sirm

ὦ πατέρων κράτιστε, ὡς ἡμῖν γε δοκεῖ, εἴποιμεν δ᾽ἄν, καὶ τῇ ἀληθείᾳ· ἀρκετόν γε τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων, ὥς φησιν ὁ ἀπόστολος, ὡς ἂν μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. οὐ μὴν προακτέον εἰς τὸν ἀφ᾽ οὗ εἴρχθη διὰ τὴν παράβασιν βαθμὸν ἕως τοῦ δέοντος καιροῦ, ἵνα καὶ τὸ τοῦ πλημμεληθέντος εἶδος ἔτι κολάζοιτο παραπληκτικώτερον καὶ ὁ τῆς ὑγιώσεως τρόπος ὑποφαίνοιτο, διὰ τῆς προλήψεως τὸ ἱκανὸν ἔχων, εἰ καὶ ὅτι ἐξαίρετά τινα κατ᾽ ἀπορίαν, μὴ παρόντος σεσωσμένου, συγκεχώρηται δρᾶν ἱερατικῶς, ἃ καὶ συνεπίσταται ἡ τελειότης σου, ὁ ἤδη εἰργμένος ταύτῃ. ἀλλ᾽, οἷον ὅσδε ὁ πρεσβύτερος, καὶ πρὸ τῆς βαρβάρων πεπραγμένα αὐτῷ συννοῶν καὶ ὡς πολλοὺς τῇδε ἐφώτισε καὶ δεῖν, φασί, διὰ πάντα ταῦτα λελυμένον εἶναι, οὐκ ἠνέσχετο ὑπελθεῖν ὁμοιοπαθῶς τοῖς ἐνταῦθα εἰρχθεῖσι· διὸ παρακεχωρήκαμεν αὐτῷ τὰ κατ᾽ αὐτόν, ὡς ἂν διακρίνοιτο πρᾶξαι, οὔτε λύσαντες οὔτε εἴρξαντες.

Ἔρρωσο ἐν Κυρίῳ, ὑπερεύφημε, ἡμεῖς τε καὶ οἱ μεθ᾽ ἡμῶν ἀδελφοὶ πλεῖστα προσαγορεύομεν.

546. Ἰωάννῃ Γραμματικῷ

Χάριν ὁμολογῶ τῷ ἁγίῳ θεῷ, ὅτι σου ἠκουτίσθην, εἰ καὶ ὀψὲ τοῦ καιροῦ, τὴν φίλην φωνήν· οὐ γὰρ ἂν εἴποιμι χάριν ἔχειν τῷ ταύτην ἀσυφήλῳ προπετείᾳ διακόψαντι. ἀλλ᾽ ἐπειδὴ ὁμοῦ τῇ ἀποσκευῇ τῆς λύπης ἡ σοφή σου τιμιότης καὶ τὸν περὶ τῆς σεπτῆς εἰκόνος τοῦ Χριστοῦ λόγον ἀντεπεξήγαγεν, ἐκεῖνο ἔχω λέγειν, ὦ τριπόθητε, ὅτι

---

37 2 Cor. 2,6 sq.

36 κράτιστε: ἄριστε VM 38 ὡς ἄν: ἵνα M 39 προαρκτέον VM εἴρχθη C 42 εἰ om VM 43 κατ᾽: κατὰ PS 44 εἰργμένος C 45 ταύτης VM ἀλλ᾽ – 48 εἰρχθεῖσι desunt in M 45 ὅσδε: ὅδε V Sirm (cf ep 544,13) τῆς: τῶν V Sirm βαρβάρῳ PS 49 πράξαι CVM

546. a. 821 – 826

2 Bas. ep. 323 (PG 32,1069 A = III 195 Courtonne)

VM (ll. 1 – 4) PS

1 δογματικὴ ὅτι προσκυνητέον τῇ εἰκόνι χριστοῦ, οὐ λατρευτέον, ἀλλὰ τῷ ἐν αὐτῇ σχετικῶς προσκυνουμένῳ χριστῷ titulo add PS: in marg Sirm 2 εἰ om VM 3 ἔχειν: εὑρεῖν V Sirm (sed cf Bas ep l. l.) 4 ἀσυφίλῳ codd: correxi ἀσυφήλῳ προπετείᾳ: ἀσυφίλως πρότερον Sirm ἀλλ᾽: hic desin epist atque epistularum corpus in M 6 ἀντεξήγαγεν Mi

συνηγοροῦσαν ἀλλ' οὐκ ἀντηγοροῦσαν τοῖς πρὸς ἐμοῦ ἀπεσταλμένοις πάλαι τὴν ἔναγχός σου ἐπιστολὴν συμβαίνουσαν εὗρον. ὁμολο-/γουμένως γὰρ κατὰ τὰ προκατασκευασθέντα σου λημμάτια ὅτι πᾶσα εἰκὼν ἄλλου ἐστὶ δηλωτική, δηλονότι τοῦ πρωτοτύπου, καί, εἰ χρὴ φάναι κατὰ τὴν γραμματικὴν τεχνολογίαν, τοῦτ' ἂν εἴη ἀναφορικόν, ὃ καὶ ὁμοιωματικὸν καὶ δεικτικὸν καὶ ἀνταποδοτικὸν καλεῖται. καὶ μὴν οὐχ ὡς ὕλῃ δεῖν προσάγειν τῇ Χριστοῦ εἰκόνι τὴν προσκύνησιν, ἀλλ' ὡς αὐτῷ Χριστῷ, εἴπερ ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον ἀναβαίνει, ὑπεξαιρουμένης τῆς ὕλης τῷ τῆς ἐπινοίας λόγῳ ἐκ τοῦ ἐν αὐτῇ σχηματιζομένου χαρακτῆρος. καὶ λατρευτῶς προσακτέον, ὡς φῄς, τὴν προσκύνησιν τῷ σωτῆρι Χριστῷ καὶ πρὸ σαρκὸς καὶ μετὰ σάρκωσιν καὶ πρὸ τῆς εἰκόνος καὶ δι' αὐτῆς, καὶ οὐδεὶς τῶν εὖ φρονούντων οἶμαι ἀντιφέρεσθαι τοῖς ὀρθῶς δεδογματισμένοις. ἀλλὰ γὰρ καὶ τοῖς ὑποδείγμασι τοῦ τε ἡλίου πρὸς τὸ ὕδωρ καὶ τοῦ ἀύλου τριγώνου, ἤτοι μαθηματικοῦ, πρὸς τὸ ἔνυλον οὐκ ἀπεμφαῖνον ἕπεσθαι, ἐπεὶ καθ' ὑπόθεσιν, εἰ ληφθείη λατρευτὸς ὁ ἥλιος ἢ τὸ τρίγωνον σχῆμα πρὸ τοῦ τὸν μὲν ἐν ὕδασι πάλλειν, τὸ δὲ πρὸ τοῦ ἐν ὕλῃ ὑποφανθῆναι, δῆλον ὅτι καὶ μετὰ τὴν ἐκεῖσε ἔμπτωσιν, ἤτοι συμφυΐαν, λατρευτὸν ἑκάτερον. οὕτω γὰρ καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀραρότως ὑπέδειξας καὶ μετὰ σάρκωσιν ὡς πρὸ σαρκώσεως λατρευτὸν εἶναί τε καὶ προσκυνεῖσθαι.

Λατρευτὸς οὖν, ὦ τᾶν, ὁ Χριστὸς ὁμολογουμένως, ἀλλ' οὐχὶ ἡ σεπτὴ αὐτοῦ εἰκὼν λατρευτή, ὥσπερ καὶ ὁ ἥλιος καθ' ὑπόθεσιν συμμιγεὶς τῷ ὕδατι, ἀλλ' οὐχὶ ἡ εἰκὼν τοῦ ἡλίου, καὶ τὸ τρίγωνον ὑλωθέν, ἀλλ' οὐχὶ ἡ εἰκὼν τοῦ τριγώνου. ὅρα γὰρ ὅτι μία ἡ λατρεία ἡμῶν τῶν χριστιανῶν, μόνῃ τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ Τριάδι προσενηνεγμένη ὑπό τε πάσης ὁρατῆς φύσεως καὶ ἀοράτου, καὶ οὐκ ἐγχωρεῖ τὴν σεπτὴν εἰκόνα Χριστοῦ λατρευτὴν φάναι· δυοῖν γὰρ θάτερον, ἢ τὸ κατ' αὐτὴν λατρευτὸν τῇ τριαδικῇ λατρείᾳ συνεισκρίνειν, ὅπερ ἀδύνατον (ἐπείπερ οὐκ ἐνδέχεται προσθήκην τινὰ συνεισοίσειν τῇ Τριάδι· εὑρεθήσεται γὰρ τετρὰς οὖσα), ἤ, μὴ συνεισκρινομένου

---

14 Bas. spirit. 18,45 (PG 32,149 C)

7 ἀλλ' om V ἀντιγοροῦσαν PS πρὸς: πρὸ PS ἀπεσταλμένοις: an ἐπεσταλμένοις scribendum? 9 προκατασκευασθέντα: προσκευασθέντα Sirm σου: σοι V Sirm 11 τοῦτο V 16 λατρευτικῶς V 17 φῄς omnes: correxi ὡς φῄς ante προσακτέον transp Sirm 21 ἐμφαῖνον V 24 ἀποφανθῆναι V δηλονότι omnes: distinxi 28 τάν S οὐχὶ: οὐχ V 30 συμμιγὴς V Sirm 34 τοῦ ante Χριστοῦ add V 35 τῇ om V

ἐκεῖσε, καθ' ἑαυτὸ δὲ ὄντος λατρευτοῦ, δύο τὰς λατρείας ἡμῶν δογματίζειν· καὶ τί ἂν ἄλλο ζητοῖεν Ἑλλήνιοι εἰκονομάχοι πρὸς ἡμῶν ἢ τὸ ἐντεῦθεν ἀποδεῖξαι ἡμᾶς τῇ δυϊκῇ λατρείᾳ λατρεύοντας, τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ οὐδὲν τῶν Ἀρειανῶν ἐλάττους κατὰ ἀσέβειαν;

Προσκυνητέον οὖν τῇ εἰκόνι Χριστοῦ, οὐ λατρευτέον, ἀλλὰ τῷ ἐν αὐτῇ προσκυνουμένῳ Χριστῷ κατὰ τὸν τῆς ἀληθείας λόγον, ἐπειδὴ ταῦτα δύο, εἰκών τε καὶ πρωτότυπον, καὶ ἡ διαφορότης οὐκ ἐπὶ τῆς ὑποστάσεως, ἀλλὰ κατὰ τὸν τῆς οὐσίας λόγον.

547. Μιχαὴλ συγκέλλῳ Ἁγιοπολίτῃ

Ἄρτι ἐπιστέλλω τῇ τιμιότητί σου, ὁπηνίκα εὐωδώθη μοι ἐν τῷ θελήματι τοῦ θεοῦ εὑρεῖν διάκονον / τοῦ γράμματος, ἐπεὶ ἔμελλον ἂν ἐξ αὐτῆς τῆς καθείρξεως ὑμῶν αὐτὸ τοῦτο ποιεῖν, καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις ἴσως· οὐδὲ γὰρ ὅτι ὑμεῖς ἀλλοδαπεῖς ἡμεῖς ὑμῶν ἑτεροειδεῖς, ἀλλ' ὅτι ἐκ μιᾶς μητρὸς τῆς υἱοθεσίας γεγεννημένοι καὶ τῷ αὐτῷ χαρακτῆρι τῆς εἰλικρινοῦς πίστεως μεμορφωμένοι καὶ ἀδελφοὶ καὶ συμπολῖται, κεφαλὴν ἔχοντες τὸν Χριστόν· οὗπερ ὡς σῶμα τελοῦντες καὶ μέλη ἐκ μέρους, ὀφειλέται ἐσμὲν καὶ συγχαίρειν ἀλλήλοις ἐν τοῖς δεξιοῖς καὶ ἀνιᾶσθαι αὖ πάλιν ἐπὶ τοῖς λυπηροῖς.

Ἀλλ' ὤ, πῶς ἀλλαχῇ ὡρμημένους ὑμᾶς πορεύεσθαι ἠνάγκασεν ἡ φορὰ τοῦ καιροῦ ἐν ἄρκυσιν ἐμπεσεῖν τῶν τῇδε κρατούντων; τί οὖν ἔστιν εἰπεῖν πρὸς ταῦτα; ἢ ὅπερ φησὶν τὸ ἱερὸν γράμμα, καὶ ὁ ἄγων ἦγεν τὸν Ἠού; ἀλλ' ἐκεῖ μὲν εἰς τὸ βασιλεῦσαι τοῦ Ἰσραήλ, ἐνταῦθα δὲ εἰς τὸ μαρτυρῆσαι τῇ ἀληθείᾳ, ὡς ἂν πληρωθῇ τὸ εἰρημένον καὶ τανῦν, ἐκ Σιὼν ἐξελεύσεται λόγος, καὶ νόμος Κυρίου ἐξ Ἱερουσαλήμ.

---

38 ὄντως Mi 39 Ἑλλήνιοι: ἑλεῖν οἱ PS 44 ἀληθείας: ἀκολουθίας V Sirm ἐπειδή: ἐπεὶ V

---

547. a. 821 – 826

9 1 Cor. 12,27 14 4 Reg. 9,20 17 Is. 2,3

C V PS

1 συγκέλῳ S 2 εὐοδώθη C 4 ἡμῶν V Sirm (fort recte) 5 οὐδὲ: οὐ V 6 γεγενημένοι S 7 εἰλικρινοῦς S 8 συμπολίται C οὗπερ C 9 μέρους: μέλους C[ac] 10 πάλιν om PS Sirm 14 φησι PS Sirm: φησὶ V Mi ἄγων: ἀγὼν Sirm 15 ἦγε VMPS Sirm ἰοῦ C: cancell P 17 τὰ νῦν CVP

ὧδε ὁ νοῦς, ὦ μάκαρ· στῆθι γενναίως, ὑπομνήσκομεν· δόξασον δὴ τὸν θεὸν ἐν τῷ σώματί σου καὶ ἐν τῷ πνεύματι, εἰπὲ καὶ αὐτὸς μετὰ τοῦ θεσπεσίου Παύλου, οἶδα ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος Ἰησοῦ Χριστοῦ κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ' ἐν πάσῃ παρρησίᾳ ὡς πάντοτε καὶ νῦν μεγαλυνθήσεται ἐν τῷ σώματί μου εἴτε διὰ ζωῆς εἴτε διὰ θανάτου· ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος. ἴδε ὁ γλυκὺς ἀγών, ἴδε ὁ μακάριος συναλλαγμός, βραχείαις θλίψεσί τε καὶ περιστάσεσιν, εἴτουν πληγαῖς τε καὶ ῥανίσιν αἵματος θεὸν γενέσθαι καὶ θεοῦ τοῦ ὄντως ὄντος ἐπιτυχεῖν.

Ἐμονώθης τοιγαροῦν, ὡς ἀκηκόαμεν, τμηθεὶς τῷ φρονήματι ἀπὸ τῶν ἀγαπησάντων τὸν νῦν αἰῶνα, ἀλλὰ συνηνώθης πᾶσι τοῖς ἀντεχομένοις τοῦ τῆς ἀληθείας λόγου. ἐντεῦθέν σε ὁ χορὸς τῶν μαρτύρων ὑπολαβεῖν βούλεται ὁλόκληρον, ἐκεῖθεν τῶν ὁμολογητῶν τὸ στῖφος χεῖρα προτείνει ἑλεῖν ὁμόχορον. μὴ δὴ ἀπολειφθῶμεν τῆς καλῆς χορείας, ὦ σεβάσμιε, μηδ' αὖ καταισχύνωμεν τὰς πάντων ἐλπίδας, ὦ τριπόθητε. πόσα ἂν ἔκαμες, ὥστε σου τὸ ὄνομα ἀκουστὸν ἐν ἀρετῇ γενέσθαι τοῖς ὧδε κἀκεῖσε; νῦν δέ, ὡς ἐπ' ὄρους ἀρετῶν διὰ τῆς ὁμολογίας ἀναβεβηκώς, ἐμφανὴς ἐγένου τῷ κόσμῳ καὶ λαμπροφορεῖς ἡλίου φωτεινότερον σὺν τῷ λόγῳ καὶ τὸν βίον εἰς δόξαν τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· εἰς τόπον εἴρχθης ὑπεραίροντα, εἰς γλῶσσαν παρεδόθης βλάσφημον, πόσα μὲν οὐ σαίνουσαν, πόσα δὲ οὐ ψευδολογοῦσαν καὶ πειρωμένην ὑποκλίνειν ἀπὸ τοῦ ὑψηλοῦ καὶ θείου φρονήματος; ἀλλ' ἴσμεν ἐξ ἀκοῆς ὅσος καὶ αὐτὸς εἶ χάριτι Χριστοῦ, λόγον ἐπέχων ζωῆς, σοφίας ῥεῖθρον ἀπὸ στόματος προβαλλόμενος ἀντεπεξάγειν τὰ εἰκότα ταῖς ματαίαις προτάσεσιν. ἡμεῖς δὲ οἱ ταπεινοὶ ἐκεῖνο λέγομέν τε καὶ διασαφοῦμεν, ὅτι λογάδες πάλαι τε καὶ νῦν προέστησαν τοῦδε τοῦ ἱεραρχικοῦ θρόνου, εὐτεχνίᾳ δογ-

---

18 1 Cor. 6,20 20 Philipp. 1,19 sq. 38 Matth. 6,9

18 ὧδε: an ὅδε scribendum? ὦ: ὁ V μάκαρ: παμμάκαρ V Sirm ὑπομιμνήσκομεν VMPS Sirm 23 post μεγαλυνθήσεται exc fort vox Χριστός; cf Philipp l. l. 26 εἴτουν S: εἰτ' οὖν C: εἴτ' οὖν cett Sirm 27 τε om V ὄντος ὄντως C 29 τοιγαρ οὖν C 30 συνηνώθης: συναιώθης Sirm 32 στίφος VMPS Sirm 33 ἑλεῖν: λαβεῖν S ὁμόχρον Sirm: ὁμόχωρον C^pc (sed cf sequ χορείας) 35 ἐν ἀρετῇ om V 37 λαμποφορεῖς Sirm 39 εἴρχθης S: ἤχθης V: ἤρχθης Sirm ὑπεραίροντα: ὑπεραίνοντα Mi 40 οὖν ante οὐ add PS Sirm (fort recte) 43 Χριστοῦ: θεοῦ V 45 τε om V Sirm

μάτων τὸ περὶ τῶν σεπτῶν εἰκόνων θεώρημά τε καὶ σύνθημα διατυπώ/σαντές τε καὶ ἐκδώσαντες, καί, εἰ δεῖ ἀποστολικῶς εἰπεῖν, ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις· ὧδε γὰρ προελθοῦσα ὡς ἐξ ᾅδου πυλῶν ἡ εἰκονομαχικὴ αἵρεσις ὧδε καὶ κατήργηται, ἀλλὰ καὶ ἔτι καταργηθήσεται ταῖς αὔραις τοῦ Ἁγίου Πνεύματος, ὁπηνίκα ἐπιτιμήσει Χριστὸς τῇ πονηρᾷ ταύτῃ ὡς ἀληθῶς θαλάσσῃ, περὶ ἣν πολλὰ τὰ περὶ τὴν πίστιν ναυάγια, οὐ τοσοῦτον διαστροφῇ νοός, ὅσον δέει τῶν κρατούντων.

Πλὴν ὅτι ὑπερήλαντο πολλοὶ τοῦ κλύδωνος, πηδαλιουχούμενοι Πνεύματι Ἁγίῳ, καὶ πολλὰ τὰ μαρτύρια καὶ τὰ τῆς εὐσεβείας συγγράμματα, πᾶσαν πλάνησιν διελέγχοντα καὶ τὴν τῆς ἀληθείας ὡραιότητα πάσαις ταῖς πισταῖς διανοίαις ὑποφαίνοντα· μεθ' ὧν φυλαχθείη καὶ ἡ σὴ μακαριότης, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνιζομένη, τὸν δρόμον τελοῦσα, τὴν πίστιν τηροῦσα εἰς ἀπόληψιν τοῦ τῆς δικαιοσύνης στεφάνου. εἶεν.

548. Ὑπακοῇ μοναζούσῃ

Καὶ εὐλαβούμενοι γράφειν, ὅμως ἀναγκαζόμεθα στόμα εὐχάριστον καὶ αἰνέσιμον ἀνοίγειν τῇ τιμιότητί σου. ἕως πότε οὖν οὐκ ἀνήσῃς, καλλιμῆτορ, κιχρᾶν ἡμῖν σεαυτήν; ἕως τίνος τὰ δωρήματά σου οὐκ ἀπολήξωσιν ἐντεῦθεν καὶ ἐντεῦθεν παραπεμπόμενα; καὶ μάλιστά γε νῦν, ὅτε πολλά σοι τὰ λυπηρὰ περιεστοίχησαν, ἐφ' οἷς καὶ ἐκινήθημεν μᾶλλον ἐπιστεῖλαι, μαθόντες οὕτως καὶ οὕτως ἐπὶ τῷ λειψάνῳ τοῦ μακαρίου ἀδελφοῦ σου καταπράξασθαί σε· φασὶ γὰρ ἀνεῳγέναι σε τὴν θήκην, παραγενομένην ἐκ τῆς ἀλλοδαπῆς, εἶτα περιπλακῆναι τῷ λειψάνῳ καὶ εἰς ἀγκάλας ἑλεῖν, μετενταφιάζουσα οἱονεὶ τὸν

---

48 Rom. 5,20 59 2 Tim. 4,7 sq.

47 σεπτῶν: ἱερῶν V[pc] Sirm 48 ἐκδόσαντες V 49 ὑπὲρ ἐπερίσσευσεν C 50 ᾅδου: ἀδύτου C 55 ὑπερήλαντο scripsi: ὑπερείλαντο C: περιήλλοντο V: περιείλοντο cett Sirm κλήδωνος Sirm 58 ταῖς om VPS Sirm 60 εἰς: εἰ Sirm

---

548. a. 821 – 826 4 καλλιμῆτορ: cf. adn. ad ep. 472,46

C V PS

3 ποτὲ Sirm ἀνείσῃς C: ἀνήσῃ cett Sirm: correxi 4 καλλιμήτωρ C 5 ἀπολήξουσιν VPS Sirm 6 σοι C: σε cett Sirm, quod post λυπηρὰ transp V περιεστοίχισαν Sirm 10 μετενταφιάζουσαν Sirm: μεταμφιάζουσαν V

νεκρὸν ἄλλοις καινοῖς ὀθονίοις. τίς οὖν οὐκ ἀγάσαιτο τὸ φιλάδελφόν σου; τίς δὲ τηνικαῦτα παρὼν οὐκ ἂν ἐξέχεεν δάκρυα, οὐκ ἂν ὠλοφύρατο θερμῶς, ὅπου γε καὶ ἡμῶν, πορρωτέρω διακειμένων, ἐξ ἀκοῆς μόνον ἥψατο τὸ πάθος καὶ περιωδύνησεν ἡμῶν τὴν καρδίαν σφόδρα; ὢ ἀγγελίας πικρᾶς· ὢ συναντήματος ὀδυρτικοῦ· τί ἦμεν καὶ τί ἐγενόμεθα; ἐξαπίνης ὀρφανοί, ἐρημάδελφοι. τάχα ἐστέναξεν ὁρῶν καὶ ὁ ἥλιος τὸ γιγνόμενον, ἐδάκρυσεν δὲ σελήνη τὰ φθάσαντα, ἐστυγνίασαν δὲ ἀστέρες ὡς λυπούμενοι, ὁτιοῦν εἰπεῖν ἄλλο τῶν στοιχείων, πεπονθὸς τὰ ὅμοια.

Τί οὖν, ἐπιμείνωμεν τοῖς λυπηροῖς; συσκοτάσωμεν τῷ νέφει τῆς λύπης καὶ γενώμεθα ὡς οἱ ἀπολελωκότες; οὔμενουν, ἀδελφὴ ἐν Κυρίῳ· οὐ γὰρ ἀπρονόητα τὰ ἡμέτερα οὐδὲ ἀνέλπιστα κατὰ τὰ ἔθνη τὰ ἀμύητα, ἀλλ' ἐν χερσὶ θεοῦ τοῦ τὰ πάντα συνέχοντος, παρ' οὗ καὶ γεγόναμεν καὶ ἡμεῖς καὶ οἱ γεγεννηκότες ἡμᾶς, ἐξ οὗ καὶ τὸ ἀναπνεῖν καὶ ζῆν κεκτήμεθα καὶ τὸ εἰς τόδε προαχθῆναι τοῦ μεγίστου τῶν ἀξιωμάτων παρθενικὸν ἐπάγγελμα. ἐκλαύσαμεν οὖν τὰ εἰκότα ἐπὶ τῷ ἀδελφῷ· νῦν καιρὸς παρακλήσεως, νῦν ἡμέρα εὐχαριστίας. ἀποθώμεθα οὖν τὸ πενθικὸν σχῆμα καὶ ἐνδυσώμεθα τὰ ὅπλα τῆς μεγαλοψυχίας. / προυπέμψαμεν ἀδελφὸν ἀγαθὸν τῷ τε εἴδει καὶ τῇ γνώμῃ καὶ τῇ πίστει, ὥσπερ καὶ πρότερον τοὺς ὁμαίμονας καὶ τοὺς γεννήτορας· μικρὸν ὕστερον συνεψόμεθα καὶ ἡμεῖς, καὶ οὐδεὶς ὁ γεννηθεὶς καὶ μὴ ταφείς. παρασκευασώμεθα λοιπὸν καὶ ἡμεῖς πρὸς τὴν ἔξοδον, ἑτοιμάσωμεν τὰ ἐφόδια τῆς μεταστάσεως, τυπώσωμεν τὰς ἀδελφὰς τῷ οἰκείῳ καταστήματι καὶ πενθεῖν εὐκαίρως καὶ εὐχαριστεῖν ἁρμοδίως· δείξωμεν τοῖς ὁρῶσιν ὅτι ὁ θεὸς ἐν ἡμῖν ἐστιν δοξαζόμενος, εὐχαριστούμενος ἐφ' οἷς κελεύει. αὐτὸς ἔδωκεν, αὐτὸς καὶ ἀφείλατο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο.

Ναί, παρακαλῶ τὴν τιμιότητά σου ἴσα καὶ μητρὶ καὶ γεννησάσῃ, ἤτοι ἀδελφῇ τῇ φιλτοτάτῃ μοι, ἀφήσωμεν φωνὴν αἰνέσεως, ὑπο-

36 Jb 1,21

11 ἀγάσαιτο: αἰάσατο Sirm 12 ἐξέχεε VPS Sirm ὀλοφύρατο C 14 περιωδίνησε VP: περιωδύνησε S Sirm ἡμῶν om VPS Sirm 15 ὦ C (bis) 17 γινόμενον V: γενόμενον Sirm ἐδάκρυσε VPS Sirm ἐστυγνίασαν C: ἐστύγνασαν cett Sirm 18 ὅτι οὖν C Sirm 20 ἐπιμείνομεν CS συσκοτάσομεν VPS Sirm 21 γενόμεθα CS ἀπολωλεκότες VPS Sirm οὔμεν οὖν CVP ἀδελφή: ἀδελφοὶ V 23 τὰ om V 24 γεγενηκότες Mi 26 οὖν om V 31 καὶ[2] om PS Sirm: in marg C post ἡμεῖς, καὶ verba οὐδεὶς ὁ ζήσων καὶ μὴ τεθνηξόμενος (θνηξόμενος Sirm) add VPS Sirm 32 λοιπὸν: λίαν Sirm 35 ἐστι VPS Sirm 36 εὐχαριστούμενος: εὐχαριστοῦμεν ὡς V αὐτὸς[2]: οὗτος V καὶ om V ἀφείλετο VPS Sirm 37 ἐγένετο: ἐπίετο Sirm 38 ἴσα VPS Sirm: corr Mi καὶ[2] om V

δείξωμεν πρόσωπον φαιδρότητος, διδάξωμεν ἔργοις ὅτι τὸν σταυρὸν ἐπ' ὤμων φέρομεν καὶ τῇ προαιρέσει ἀπεθάνομεν καὶ εἴκομεν κατὰ πάντα τοῖς θείοις πράγμασιν. ἐὰν οὕτω πράξοις, ὅσον τὸ καλόν, εὐφρανεῖς Χριστόν, τὸν ἀθάνατόν σου νυμφίον· ἐπεί, ἐὰν λυπῇ, λυπεῖς αὐτὸν ὡς τὸ εἰκός, ὡς ἄλλον περισσότερον ἐκείνου φιλοῦσα. ὁρᾷς ποῦ σε ὁ λόγος ἤγαγεν ὡς οὐδὲ ὀρφανὴν οὖσαν οὐδὲ ἀνεπίσκοπον οὐδὲ ἀπροστάτευτον; εἰ γὰρ ὁ θεὸς μεθ' ἡμῶν, τίς καθ' ἡμῶν; εἰ αὐτὸς ὁ περιέπων, τίς ὁ ἀντιπίπτων; οὕτως καὶ τανῦν προήχθην, ἀδελφή, παρακαλέσαι σε· αὐτὴ δὲ εὖ πράττουσα πείθοιο ἀσόφῳ γέροντι, εὖ συμβουλεύοντι καὶ τῷ ὄντι οἰκειοπαθοῦντι ὀφειλομένως ὡς οἰκεῖα τὰ σά.

549. Μεθοδίῳ μονάζοντι

Ὅσην ἔχει ἐπιποθίαν ἡ τιμιότης σου ἰδεῖν τὴν ταπείνωσιν ἡμῶν, τοσαύτην οἰέσθω καὶ τὴν ἡμετέραν εἶναι πρὸς τὴν κατ' ὀφθαλμοὺς ὁμιλίαν. ἀλλ' ἐπειδὴ γέγραπται, οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ, αὐτῷ ἀναθετέον τὸν πόθον καὶ ἐπιρριπτέον τὴν μέριμναν, καὶ αὐτὸς ποιήσει, ὁπηνίκα καὶ βούληται, θέλημα τῶν φοβουμένων αὐτόν· τὸ δὲ νῦν ἔχον ἀναγκαῖον περὶ τῶν προταθέντων κεφαλαίων ὑπὸ τῶν πνευματικῶν ἡμῶν ἀδελφῶν Ἱλαρίωνός τε καὶ Εὐστρατίου, μεσολαβούσης τῆς σῆς εὐλαβείας, ἀποκριθῆναι τὰ εἰκότα. ὡς ἂν δὲ εὐσύνοπτα γένηται τὰ λεγόμενα, ἑνὸς ἑκάστου προταθέντος κεφαλαίου κατὰ συνέχειαν καὶ ἡ ἀπόκρισις εἶεν.

---

46 Rom. 8,31

39 φιλτοτάτη C: φιλτάτη cett Sirm   ἀφήσομεν P   41 ἥκομεν C   42 πράγμασιν C: προστάγμασιν cett Sirm   οὕτως V   πράξῃς V: ποιήσῃς S   47 τὰ νῦν PV   48 ἀδελφή ante προήχθην transp V   49 συμβουλεύσαντι Sirm

---

549. a. 821 – 826 epistulam sub nomine Nicephori patriarchae ediderunt Cotelerius et Rhalles-Potles; cf. p. 122*

2 Rom. 15,23   4 Rom. 9,16   6 Ps. 144,19

C (ll. 1 – 80) FX (ll. 12 – 23, 29 – 44, 53 – 120) PSD (PSD ll. 1 – 137) J (ll. 29 – 120) titulum tantum servavit V in indice (f. 190^{v})

1 δογματικὴ περὶ διαφόρων ὑποθέσεων titulo add PS: in marg Sirm θεοδώρου τοῦ ἡγουμένου τοῦ στουδίου ἐπιστολὴ μετωδίῳ μονάζοντι δογματικὴ περὶ διαφόρων ὑποθέσεων tit D   ἐπιστολὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν νικηφόρου πατριάρχου κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ tit F Cotelier   6 ἂν post ὁπηνίκα inser PSD Sirm   βούλεται Cotelier   7 προτεθέντων D   8 ἡμῶν om PSD   τε om F   10 ἑνὸς om F Cotelier προταθέντος: προτεθέντος D   11 ἡ om D   εἶεν: εἴη F^{ac}

Ἐρώτησις. περὶ τῶν χειροτονηθέντων πρεσβυτέρων ἐν Ῥώμῃ, ἐν Νεαπόλει καὶ ἐν Λαγγιβαρδίᾳ ἀκηρύκτων καὶ ἀπολελυμένων, εἰ χρὴ τοὺς τοιούτους δέχεσθαι καὶ κοινωνεῖν αὐτοῖς καὶ συνεσθίειν καὶ συνεύχεσθαι.

Ἀπόκρισις. ἐν καιρῷ αἱρέσεως οὐ κατὰ τὰ ἐν εἰρήνῃ τυπωθέντα πάντως ἀπαραλείπτως γίνεται διὰ τὴν ἀναγκάζουσαν χρείαν, ὅπερ φαίνεται πεποιηκὼς ὅ τε μακαριώτατος Ἀθανάσιος καὶ ὁ ἁγιώ/τατος Εὐσέβιος, ὑπερορίους χειροτονίας ἀμφότεροι ποιησάμενοι. καὶ νῦν δὲ τὸ αὐτὸ ὁρᾶται πραττόμενον ἐν τῇ παρούσῃ αἱρέσει. ὥστε οἱ ὑποδηλωθέντες, εἰ οὐ προδήλως εἰσὶ κατεγνωσμένοι, οὐδαμῶς ἐκ τοῦ οὕτως χειροτονηθῆναι ἀποτροπιαῖοι, ἀλλὰ προσδεκτέοι κατὰ τέσσαρας προτάσεις.

Ἐρώτησις. περὶ τῶν χειροτονηθέντων πρεσβυτέρων ὑπερορίᾳ ἐν Σικελίᾳ, εἰ χρὴ τούτους δέχεσθαι.

Ἀπόκρισις. τοῦτο τὸ ἐρώτημα, ὅμοιον τοῦ προτεθέντος, εἰ καὶ καθ' ὕφεσιν τόπου ἀνομοιοῦν, ὁμοίαν δῆλον ὅτι ἕξει καὶ τὴν ἀπόκρισιν.

Ἐρώτησις. περὶ τῶν κοινωθέντων ἐκκλησιῶν ἐκ τῶν ἱερέων τῶν κοινωνησάντων τῇ αἱρέσει καὶ κατεχομένων ὑπ' αὐτῶν, εἰ χρὴ ἐν αὐταῖς εἰσιέναι χάριν εὐχῆς καὶ ψαλμῳδίας.

---

13 ἀκηρύκτων: ad hanc vocem cf. Martin, History 181 adn. 3; H. Ahrweiler, in: Iconoclasm 24

---

12 ᾱ in marg CP α′ post Ἐρώτησις add F Sirm Cotelier Ἐρώτησις: hic inc epist in X, inscr ἐκ τῶν ἐρωτήσεων καὶ ἀποκρίσεων τοῦ ἁγίου θεοδώρου τοῦ στουδίτου **13** τῇ post ἐν add X Λαγγιβαρδίᾳ CXF: Λογγιβαρδίᾳ cett Sirm Cotelier καὶ[2] S[sscr] **14** τοὺς τοιούτους: τούτους F **15** συνεύχεσθαι: συμψάλλειν F Cotelier **16** ἀπόκρισις in marg X voces καὶ κανονισθέντα post τυπωθέντα add X **17** ἀπαραλήπτως C **18** μακάριος X **19** καὶ ante ἀμφότεροι add X, quas voces post ποιησάμενοι transp **20** πραττόμενος D **21** ἀποδηλωθέντες F **22** οὕτως: ὄντως X ἀποτροπιαῖοι CX: ἀποτροπαῖοι PSD: ἀποτρόπαιοι F Sirm Cotelier κατὰ – **23** προτάσεις om X τὰς ante προτάσεις add F **24** β̄ in marg CP β′ ante Ἐρώτησις add D, post vocem F Sirm ὑπερορίᾳ C: ὑπερόρια cett Sirm **24–28** desunt in X **27** ἀνομοιοῦν: ἀνόμοιον Mi: om F Cotelier οὖν post ὁμοίαν add F δῆλον ὅτι C: δηλονότι cett Sirm **29** Ἐρώτησις: hic inc epist in J titulo praecedente ἀποκρίσεις τοῦ ὁσίου πατρὸς ἡμῶν θεοδώρου τοῦ στουδίτου κωνσταντινουπόλεως πρὸς τὰς ἐπενεχθείσας αὐτῷ ἐρωτήσεις παρὰ κληρικῶν καὶ μοναχῶν, ubi ante κωνσταντινουπόλεως vocem ἀρχιεπισκόπου cancell γ̄ in marg CP γ′ post Ἐρώτησις add F Sirm ᾱ in marg J ἐρώτησις in marg X κοινωθεισῶν FXJ τῶν[3] om F Cotelier **30** κοινωσάντων X[ac] ἐν ante τῇ add S ἐν αὐταῖς: εἰς αὐτοὺς F, quod post εἰσιέναι (31) transp καὶ – **31** ψαλμῳδίας om J αὐταῖς: αὐτοῖς X

Ἀπόκρισις. οὐ χρὴ τὸ καθόλου εἰς τὰς τοιαύτας ἐκκλησίας εἰσιέναι κατὰ τοὺς εἰρημένους τρόπους, ἐπειδὴ γέγραπται, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος· ἅμα γὰρ τοῦ εἰσαχθῆναι τὴν αἵρεσιν ἀπέπτη ὁ ἔφορος τῶν ἐκεῖσε ἄγγελος κατὰ τὴν φωνὴν τοῦ Μεγάλου Βασιλείου καὶ κοινὸς οἶκος ὁ τοιόσδε χρηματίζει ναός. καὶ οὐ μὴ εἰσέλθω, φησίν, εἰς ἐκκλησίαν πονηρευομένων· καὶ ὁ ἀπόστολος· τίς συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων;

Ἐρώτησις. περὶ τῶν κοινωθέντων ἐκκλησιῶν ὑπὸ τῶν αὐτῶν ἱερέων καὶ μὴ κατεχομένων ὑπ' αὐτῶν, εἰ χρὴ ἐν αὐταῖς ψάλλειν καὶ εὔχεσθαι.

Ἀπόκρισις. χρὴ μὲν οὖν εἰσιέναι ἐν ταῖς τοιαύταις ἐκκλησίαις εἰς τὸ ψάλλειν καὶ εὔχεσθαι, ἀλλ' εἴπερ ἀσφαλῶς μηκέτι χραίνονται ὑπὸ τῶν αἱρετικῶν, ἀλλὰ κατέχονται ὑπὸ τῶν ὀρθοδόξων εἰς τὸ ἀεί. τετύπωται δὲ ἐνταῦθα ὑπὸ σεσωσμένου ἐπισκόπου τὰ ἀνοίξια τῆς ἐκκλησίας γίνεσθαι, ὑποφωνουμένης εὐχῆς· ὥστε, εἰ τοῦτο γένοιτο, καὶ τοῦ λειτουργεῖν ἐκεῖσε οὐκ ἀπᾷδον. παράδειγμα, τὸ τὸν Ἅγιον Ἀθανάσιον, ὑπὸ Κωνσταντίου τοῦ βασιλέως παρακαλούμενον μίαν ταύτην χάριν παρασχέσθαι, τοῦ ἐν Ἀλεξανδρείᾳ ἕνα ναὸν παραδοῦναι τοῖς Ἀρειανοῖς εἰς τὸ συνάγεσθαι, κατανεῦσαι, ἄνπερ ἐν

---

45 ἀνοίξια: ad vim vocis cf. L. Clugnet, Dictionnaire des noms liturgiques 12; F. Combefis, Originum rerumque Constantinopolitanarum variis auctoribus manipulus. Paris 1664, 280 f.

---

33 Matth. 23,38 34 Bas. ep. 238 (PG 32,889 B = III 58,22 Courtonne) 36 Ps. 25,5 37 2 Cor. 6,16

---

32 Ἀπόκρισις om PD in marg X τὰς om F Cotelier εἰσιέναι – 33 τρόπους post καθόλου (32) transp S ἰδοὺ ante ἀφίεται add F Sirm 34 τοῦ CX: τὸ J: τῷ cett Sirm ἀπέπτη: ἀπέστη F: ἐκπίπτει J 36 ὁ τοιόσδε: ὁ τοιοῦτος F: ὅτι ὅσδε J post χρηματίζει octo litt cancell D ναός om X φησίν om X 37 τίς: τί J 38 ναῷ: ναοῦ S[ac]F 39 δ̅ in marg CP β̅ in marg J δ' ante Ἐρώτησις add D, post vocem F Sirm ἐρώτησις in marg X τῶν[1] voculam iteravit Mi κοινωθεισῶν FJ αὐτῶν om XJ 40 μὴ om F αὐταῖς: αὐτοῖς X: ταῖς τοιαύταις Sirm ψάλλειν: εἰσιέναι X 42 ἀπόκρισις in marg X χρὴ: ἐχρῆν F οὖν om X 43 μηκέτι χραίνονται: μὴ κατεχραίνοντο F Cotelier 44 post τῶν[1] vocem αὐτῶν excidisse opinatur Cotelier αἱρετικῶν – τῶν om Mi αἱρετικῶν: ἐκκλησιῶν F Cotelier εἰς τὸ ἀεί: εἰστοαεί S: ἐς τόδε F εἰς – 52 Ἀρειανῶν desunt in X 45 voces ἢ ἱερέως post ἐπισκόπου add F Sirm ἀνοίξια: ἀνάξια J 46 ὑποφωνουμένης: ὑποφαινομένης F: ὑπὸ φονουμένης J εἰ: εἰς J: καὶ D 47 τοῦ C: τὸ cett Sirm ἀπᾷδον Sirm: ἐπᾴδον J: ἀπᾴδον cett τὸ: τε J Ἅγιον: μέγαν J 48 κωνσταντίνου DJ μίαν om J 49 τὴν ante χάριν cancell D τοῦ: τὸν D: om F ἕνα ναόν: ἑναὸν J 50 ἄνπερ: ἅπερ J

Κωνσταντινουπόλει λήψοιτο καὐτὸς τὴν αὐτὴν χάριν, τοῦ συνάγεσθαι τοὺς ὀρθοδόξους ἐν ἑνὶ ναῷ προκατεχομένῳ ὑπὸ Ἀρειανῶν.

Ἐρώτησις. περὶ τῶν ἐν σώματι ἁγίων, εἰ χρὴ εἰσιέναι εἰς τὰ κοιμητήρια αὐτῶν καὶ εὔχεσθαι καὶ προσκυνεῖν αὐτοῖς, κατεχομένων ὑπὸ τῶν μιανθέντων ἱερέων.

Ἀπόκρισις. οὐ παραχωρεῖ ὁ κανὼν κατὰ τὰ προδηλωθέντα εἰσιέναι εἰς τὰ τοιαῦτα κοιμητήρια (γέγραπται γάρ, ἱνατί ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;), εἰ μή τι ἂν ἐξ ἀνάγκης κατὰ μόνον τὸ ἀσπάσασθαι τὸ τοῦ ἁγίου λείψανον ἡ εἴσοδος γένοιτο.

Ἐρώτησις. περὶ τῶν λαβόντων τὸ μοναχι/κὸν σχῆμα ἐκ τῶν κοινωθέντων ἱερέων, πῶς χρὴ τούτους δέχεσθαι.

Ἀπόκρισις. ὁμολογοῦντας ἡμαρτηκέναι καὶ ἐπιτιμηθέντας χρόνῳ τινί, εἶθ' οὕτως σφραγῖδα δεχομένους παρὰ σεσωσμένου πρεσβυτέρου προσδεκτέον.

Ἐρώτησις. περὶ τῶν ὑπογραψάντων καὶ κοινωνησάντων μοναχῶν καὶ κληρικῶν ἐν τῇ αὐτῇ αἱρέσει, πῶς χρὴ τούτους δέχεσθαι, χωρὶς ἐπιτιμίου ἢ μετὰ ἐπιτιμίου, ἐὰν ὁμολογῶσιν μηκέτι ἐνεργεῖν ἐν τῇ ἱερατείᾳ· καὶ εἰ ἔξεστιν ἡμῖν διδεῖν ἐπιτίμια τοῖς τοιούτοις.

Ἀπόκρισις. δῆλον ὅτι μετὰ τῶν προσηκόντων ἐπιτιμίων· πῶς γὰρ ἂν μὴ τοὺς καρποὺς τῆς μετανοίας ἐπιδεικνύμενοι εἶεν ἄξιοι συναφθῆναι τῷ ὀρθοδόξῳ σώματι; διδεῖν δὲ καὶ ὑμᾶς ἐπιτίμια τοῖς

---

57 1 Cor. 10,29

51 κωνσταντινοπούλει S καὐτὸς: καὶ αὐτὸς F: γὰρ αὐτὸς J τοῦ: τοὺς J 52 τοὺς om J προκατεχομένων J: κατεχομένῳ PSD Sirm τῶν ante Ἀρειανῶν add F 53 ε̄ in marg CP γ̄ in marg J ε' post Ἐρώτησις add FD Sirm 54 voces καὶ ψάλλειν post εὔχεσθαι add X κατεχομένοις F 56 ἀπόκρισις in marg X οὐ om X ὁ om Sirm 57 τοιαῦτα om F αὐτῶν post κοιμητήρια add F γὰρ om F ἵνα τί DJ Sirm 58 ἐξανάγκης CXJ 59 τὸ[1]: τοῦ J γένηται X, quod ante ἡ εἴσοδος transp 60 ϛ̄ in marg CP δ̄ in marg J ϛ' post Ἐρώτησις add FD Sirm ἐκ: ἐν J κοινωθέντων: κοιθέντων J 61 χρὴ om F χρὴ τούτους: τοῦτο χρὴ X δεῖ post δέχεσθαι add F 62 ἀπόκρισις in marg X ἐπιτιμηθέντας: ἐπιτιμήθητι J voces τινί ante χρόνῳ transp X 63 οὕτω FX σφραγίδα CSJ om F παρασεσωσμένου J Mi πρεσβυτέρου: πρεσβύτερος J 65 ζ̄ in marg CP ε̄ in marg J ἐρώτησις in marg X ζ' post Ἐρώτησις add FD Sirm καὶ κοινωνησάντων om F μοναχῶν: μοναχικῶν F Cotelier, qui μοναχῶν coni 66 αὐτῇ om F χρὴ: δὴ J 67 μετὰ: κατὰ X ὁμολογῶσιν C: ὁμολογήσωσι F: ὁμολογῶσι cett Sirm 68 ἱερατείᾳ: ἱερουργίᾳ J ἐὰν – τοιούτοις om X διδεῖν C: διδόναι cett Sirm ἐπιτίμιον F 69 ἀπόκρισις in marg X δηλονότι SFXJ πῶς γὰρ ἂν μὴ: οὕτω γὰρ F 70 ἂν post εἶεν add F εἶεν ἄξιοι: εἰ ἐναξίοις J: εἰ ἀνάξιοι X 71 διδεῖν C: διδόναι cett Sirm διδεῖν – 73 Χριστοῦ desunt in X καὶ om F ἡμᾶς Sirm

τοιούτοις οὐκ ἀποκριτέον· γέγραπται γάρ, ἀλλήλων τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἐρώτησις. περὶ τῶν μοναχῶν τῶν ἀδιαφόρως παραβαλλόντων τοῖς τυχοῦσι καὶ συνευχομένοις καὶ συνεσθίουσιν αὐτοῖς, εἰ χρὴ δέχεσθαι τοὺς τοιούτους εἰς συνεστίασιν καὶ ψαλμῳδίαν.

Ἀπόκρισις. τοῦ ἀποστόλου λέγοντος, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβον παρ' ἡμῶν, πῶς οὐχὶ καὶ ἀφ' ἑαυτῶν τὸ καλὸν κρίνετε; εἰ μὲν οὖν ἀπόσχοιντο τῆς ἐφαμάρτου συνηθείας καταδεχόμενοί τε καὶ ἐπιτιμίαν τὴν προσήκουσαν, δεκτέοι. ἐπιτηρητέον δέ, τίνες εἰσὶν οὓς φῆτε ‚τυχόντας', ἆρα αἱρετικοὶ ἢ προδήλως κατεγνωσμένοι ἐπὶ τοῦ βίου; περὶ τῶν τοιούτων γὰρ φησὶν ὁ ἀπόστολος· ἐάν τις ἀδελφὸς ὀνομαζόμενος πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης καὶ τὰ ἑξῆς, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

Ἐρώτησις. περὶ τῶν πρεσβυτέρων τῶν βεβρωκότων μετὰ τῶν αἱρετικῶν ἅπαξ καὶ δὶς καὶ μὴ κοινωνησάντων ἢ ὑπογραψάντων ἢ συλλειτουργησάντων, εἰ χρὴ τοὺς τοιούτους δέχεσθαι εἰς συνεστίασιν καὶ ψαλμῳδίαν, χωρὶς σφαγῖδος ἢ μετὰ σφραγῖδος.

Ἀπόκρισις. ἐπὶ τῶν τοιούτων ῥητέον· εἰ οἱ βεβρωκότες ἱερεῖς μετὰ ἱερέων αἱρετικῶν ἢ λαϊκῶν ἔφαγον καὶ ὁμολογουμένων ἤ, ὀρθοφρονούτων μέν, κοινωνούντων δὲ τοῖς αἱρετικοῖς (μεῖζον γὰρ τὸ κρίμα ἐπὶ τῶν ἱερωμένων), μετανοίᾳ δὲ ἀξιολόγῳ ἑκατέρους προσδεκτέον

72 Gal. 6,2 77 2 Thess. 3,6 83 1 Cor. 5,11

73 καὶ – Χριστοῦ om F νόμον: λόγον J 74 ῆ in marg CP ϛ in marg J ἐρώτησις in marg FX η' post Ἐρώτησις add FD Sirm διαφόρως F^{ac} παραβαλλόντων: παραλαβόντων J 76 τοὺς τοιούτους: τοῖς τοιούτοις C εἰσυνεσθίασιν J: εἰς ἐσθίασιν X 77 ἀπόκρισις in marg X 78 τὴν om F 79 παρέλαβον: παρέλαβε F καὶ ante πῶς add F ἑαυτῶν: αὐτῶν J κρίνεται X 80 ἀπόσχοιντο: hic desin epist atque epistularum corpus in C τῆς: τὸ τῆς J ἀφαμάρτου J τε om F 81 καὶ ἐπιτιμίαν: ἐπιθυμίαν J καὶ – προσήκουσαν: τὴν προσήκουσαν ἐπιτιμίαν X προσήκουσα J δεκτέοι: προσδεκτέοι X 82 φῆτε: φατὲ F ἐπιτηρητέον – 85 συνεσθίειν desunt in X 83 τοῦ βίου: τῷ βίῳ F Sirm τῶν τοιούτων γάρ: τούτων F 84 ἢ ante πόρνος add J (fort recte) post πλεονέκτης voces ἢ λήδορος add J τῷ τοιούτῳ: τὸν τοιοῦτον J 86 θ̄ in marg P ζ in marg J θ' post Ἐρώτησις add FD Sirm ἐρώτησις in marg F τῶν^{3} om F 87 καὶ ante ἅπαξ add X ἢ^{1}: μηδὲ J ἢ συλλειτουργησάντων: ἢ λειτουργησάντων J: om F 88 τοὺς τοιούτους: τούτους F εἰς συνεστίασιν: εἰσυνεσθίασιν J: εἰς συνεσθίασιν X 89 σφραγίδος J (bis) 90 ἀπόκρισις in marg X ῥητέον: τὸ ῥητέον X: τηρητέον FJ Sirm (fort recte) εἰ οἱ: οἱ εἰ J: οἱ X 91 ἱερέων αἱρετικῶν: τῶν αἱρετικῶν τῶν ἱερέων J ὁμολογούμενον S^{ac}F: ὁμολογήκε J ἢ^{2}: εἰ F: ὡς J: καὶ D: ἢ καὶ X 92 μὴ ante κοινωνούντων inser Rhalles-Potles γάρ: δὲ F κρῖμα Sirm: κρίναι J 93 ἑκατέρους: ἑκατέροις X προσδεκτέοι J προσδεκτέον ante ἑκατέρους transp F

κοινωνῆσαι αὐτοῖς ἁλῶν τε καὶ προσευχῶν καὶ σφαγῖδος.

Ἐρώτησις. περὶ τῶν ὑπογραψάντων κοσμικῶν ἐν τῇ αἱρέσει καὶ κοινωνούντων, εἰ χρὴ τοῖς τοιούτοις κοσμικοῖς ὀρθοδόξους κοσμικοὺς συνεσθίειν.

Ἀπόκρισις. ἡ ἀδιαφορία τῶν κακῶν τὸ αἴτιον· ἀνὰ μέσον γὰρ καθαροῦ καὶ βεβήλου οὐ διέστελλον. χρὴ οὖν, εἴπερ ζηλωταί εἰσιν οἱ ὀρθοδοξοῦντες, μὴ προσίεσθαι τοὺς τοιούτους εἰς συν/εστίασιν, εἰ μὴ πρότερον ὑπὲρ τῆς πονηρᾶς ὑπογραφῆς ἐπιτιμηθεῖεν, εἶτα καὶ ἀπόσχοιντο τῆς αἱρετικῆς κοινωνίας. ἐπειδὴ δὲ κατὰ περίστασιν, φεύγοντες τοὺς κινδύνους, χραίνονται τῇ αἱρετικῇ κοινωνίᾳ τινές, ὁμολογοῦντας τὴν περιπέτειαν καὶ μετανοοῦντας προσδεκτέον εἰς συνεστίασιν, καὶ τοῦτο οὐκ ἀδιαφόρως, ἀλλὰ κατά τινα σύμβασιν περιστατικὴν καὶ φέρουσαν ἐντεῦθεν κέρδος ἀμφοτέροις, ἀλλ᾽ οὐ ζημίαν ψυχικήν.

Ἐρώτησις. περὶ τῶν θελόντων βαπτισθῆναι, ἐὰν μὴ εὑρεθῇ ὀρθόδοξος ἱερεὺς ἢ ἄμεμπτος, εἰ χρὴ βαπτισθῆναι ὑπὸ τῶν κοινωθέντων ἱερέων ἢ ἀκηρύκτων, μάλιστα ἐὰν θάνατος κατεπείγῃ.

Ἀπόκρισις. τύπος τοιοῦτος ἐξεφωνήθη ἐνταῦθα παρά τε ὁμολογητῶν ἱεραρχῶν τε καὶ καθηγουμένων, τοὺς εἰργμένους πρεσβυτέρους τῆς λειτουργίας διὰ τὴν αἱρετικὴν κοινωνίαν συγχωρεῖσθαι, μὴ εὑρισκομένου σεσωσμένου ἱερέως, καὶ βαπτίζειν καὶ μεταδιδόναι τῶν ἁγιασμάτων, προτετελεσμένων ἐξ ἀκρατήτου ἱερέως, σχῆμά τε

98 Ez. 22,26

94 voces δὲ χρὴ ante αὐτοῖς add F   ἁλῶν τε καὶ: ἄλλων τε F: πολλῶν τε J   σφραγῖδος J: σφραγίδων F   95 ῑ in marg P   η̄ in marg J   ἐρώτησις in marg F   ι′ post Ἐρώτησις add FD Sirm   verba Ἐρώτησις – 107 ψυχικὴν post 120 αὐτόθι transp J   96 εἰ om J   τοῖς τοιούτοις κοσμικοῖς: τοὺς τοιούτους κοσμικοὺς FJ   ὀρθοδόξους κοσμικοὺς: κοσμικοῖς ὀρθοδόξοις F: ὀρθοδόξους καὶ κοσμικοὺς X   97 συνεσθίειν: ἐσθίειν F^{ac} 98 ἀπόκρισις in marg X   ἀναμέσον S^{pc}FXJ Sirm   φησὶ post γὰρ add F Sirm   99 καθαροῦ καὶ βεβήλου: βεβήλου καὶ καθαροῦ S^{ac} εἴπερ ζηλωταί: ὑπερζηλωταὶ J   100 οἱ om FD   ὀρθοδοξοῦντες: ὀρθόδοξοι X   προσιέσθαι J   συνεσθίασιν FXDJ   101 ὑπὲρ — ὑπογραφῆς in marg S   ἐπιγραφῆς S   102 τῆς αἱρετικῆς: τοῖς αἱρετικοῖς J   δὲ: γὰρ X   καταπερίστασιν J   103 τινές: τινὰς X   105 συνεσθίασιν FXJ   ἀλλὰ: ἀλλ᾽ ἢ J   τινα post σύμβασιν transp F   107 ψυχικήν: ψυχὴν J   108 ῑᾱ in marg P   θ̄ in marg J   ἐρώτησις in marg F   ια′ post Ἐρώτησις add FD Sirm   109 ἱερεὺς: πρεσβύτερος F   κοινωνηθέντων J   110 καταπείγῃ S^{pc}: κατεπείγει Sirm: om D   111 ἀπόκρισις in marg X   τοιοῦτος: τοῖς τοιούτοις J   112 εἰργμένους S: εἰργομένους X: εἰρημένους FJ^{pc} Mi   113 post πρεσβυτέρους voces παύεσθαι μὲν add F   114 δὲ ante μὴ add F   σεσωσμένου om F   115 πρωτετελεσμένος J   καὶ ante ἐξ inser Sirm   ἐξακρατήτου SJ   ἀκρατήτου: ἀχράντου coni Sirm   σχῆμά τε: σχήματα δὲ X

διδόναι μοναχοῦ, εὐχήν τε ποιεῖν ἐπὶ ἐκκομιδῆς, εὐαγγέλιόν τε ἐκφωνεῖν ἐπὶ ὄρθρου καὶ τὸ τῶν Θεοφανίων ὕδωρ εὐλογεῖν, ὡς εἴρηται, κατὰ περίστασιν διὰ τὸ μὴ ἐναπομένειν τοὺς λαοὺς παντάπασιν ἀνηκόους τοῦ εὐαγγελίου καὶ ἀφωτίστους. εἰ οὖν συναρέσκει ὑμῖν, κρατείτω ὁ τοιοῦτος τύπος καὶ ἐν τοῖς αὐτόθι.

Ἐρώτησις. περὶ τῶν ἀποσχισάντων καὶ τῇ μετανοίᾳ προστρεχόντων, εἰ ἔξεστιν ἡμῖν τοῖς τοιούτοις ἐπιτίμια διδόναι ἢ δέχεσθαι αὐτούς.

Ἀπόκρισις. ἤδη ἐν τοῖς ἀνωτέρω δεδήλωται ὅτι χρὴ διδόναι· καὶ παρέλκον δὶς τὸ αὐτὸ ἐπικυκλοῦν.

Ἐρώτησις. ἐὰν ἐπίσκοπος, εἰς ἔγκλημα περιπεσών, ὑπὸ συνόδου καθαιρεθῇ, εἶτα πάλιν μετὰ καθαίρεσιν χειροτονήσῃ πρεσβύτερον, ὁ δὲ αὐτὸς πρεσβύτερος, ἐν μοναστηρίῳ παραγενόμενος, ὑπὸ τοῦ ἰδίου ἡγουμένου δέξηται ἐπιτίμιον πρὸς χρόνον καὶ μετὰ ταῦτα ἐνεργῇ ἐν τῇ ἱερωσύνῃ, εἰ χρὴ δέχεσθαι τὸν τοιοῦτον ἱερέα, εἰ ἀνέγκλητόν ἐστι, διδαχθῆναι δεόμεθα.

Ἀπόκρισις. προφανοῦς οὔσης τῆς ἀτοπίας, οὐδὲ ἐπερωτῆσαι ὑμᾶς ἐχρῆν περὶ τοῦ τοιούτου ἐγκλήματος· εἴρηκε γὰρ ὁ Χριστός, οὐ δύναται σαπρὸν δένδρον καρποὺς καλοὺς ποιεῖν. ὥστε οὐχ ὅτι ὑπὸ τοῦ ἰδίου ἡγουμένου ἀλλὰ κἂν ὑπὸ ἁγίου τινὸς ἐπιτιμηθεὶς ὁ τοιοῦτος ἀπολέλυται τοῦ λειτουργεῖν, οὐχ ἱερεὺς οὐδὲ ὁ λύσας ἅγιος, ἐπεὶ οὕτω περιτραπήσεται πάντα κανονικὰ παραγγέλματα καὶ οἰχήσεται.

/ Ἐρώτησις. περὶ τῶν πρεσβυτέρων τῶν ὑπὸ ὀρθοδόξων χειροτονηθέντων, μὴ ὑπογραψάντων δὲ μηδὲ κοινωνησάντων, συμφαγόντων δὲ μόνον μετὰ Γρηγορίου τοῦ μητροπολίτου.

---

133 Matth. 7,18

---

116 δίδειν J   μοναχοῖς X: om J   ποιεῖν: ποιεῖσθαι Sirm   ἐκκομιδῇ F: ἐγκωμιδεῖς J   τε om J   ἐκφωνεῖν: ἐμφωνῆς J   117 γε post καὶ add X   τὸ: γε F: τῷ J   θεοφανείων F   118 ὡς εἴρηται post περίστασιν transp J   τὸν λαὸν J   119 συναρέσκει: ἀρκέσει X   καὶ ante ὑμῖν add F   120 καὶ om D   αὐτόθι: hic desin epist in XJ   121 ιβ̄ in marg P   ἐρώτησις in marg F   ιβʹ post Ἐρώτησις add F Sirm   τῇ om F   προστρεχόντων: προσερχομένων F   122 ἔξεστι F   ἡμῖν om F   ἐπιτιμίαν F   123 αὐτούς add F manu rec   124 δεδήλωται: προδεδήλωται F   125 δὶς om F   ἐπικυκλεῖν F   126 ιγ̄ in marg P   ιγʹ post Ἐρώτησις add F Sirm   ἐὰν: κὰν Sirm: κἂν Mi   τις post ἐὰν add FS   εἰς ἔγκλημα: ἐν ἐγκλήματι F   127 καθαιρεθῇ: καθαιρεθείη F   μετὰ καθαίρεσιν om F   128 παραγενόμενος: γενόμενος S   129 ἡγουμένου: πατρὸς F   ἐπιτιμίαν F   πρὸς χρόνον: πρὸ χρόνων F   μεταταῦτα S   131 ἀνέγκλητός F Sirm Cotelier   διδαχθῆναι om F   132 ἡμᾶς PD (fort recte)   133 Χριστός: κύριος F   134 καρποὺς καλοὺς: καρπὸν καλὸν F   ὥστε om F   135 ἀλλὰ om D   136 οὐχ: οὔτε γὰρ αὐτὸς F   οὐδὲ: οὔτε F   ὁ D[sscr]   137 παρατραπήσεται F   τὰ post πάντα add F   οἰχήσεται: hic desin epist in PSD   138 ἐρώτησις ιδʹ in marg F   ὑπὸ: ἀπὸ F (sed cf infra 149)   140 Γρηγορίου: Κωνσταντίνου F

Ἀπόκρισις. ἐν τοῖς ἀνωτέρω προαπεδόθη ὁ περὶ τούτου λόγος. εἴτε οὖν μετὰ Γρηγορίου εἴτε μεθ' οἱουδήποτε τῶν ἑτεροδόξων ἡ συνεστίασις γέγονε, μετανοίᾳ ἀξιολόγῳ ὁ συνεστιαθεὶς τοῦ ἐγκλήματος ἀπολέλυται, οὐ μόνον πρὸς συνεστίασιν τῶν πεφυλαγμένων, ἀλλὰ καὶ πρὸς ἣν ἠξιώθησαν ἱερωσύνην. τὸ δὲ μέτρον τοῦ ἐπιτιμίου οὐ δυνατὸν ὡρισμένως ὑποβάλλειν διὰ ποιότητα καὶ προσώπου καὶ τρόπου· ὥστε ἐν δυσὶν ἢ τρισὶ τεσσαρακοσταῖς ἀρκεῖσθαι τὸν ἐπιτιμηθέντα.

Ἐρώτησις. περὶ πρεσβυτέρων, ὁμοίως ὑπὸ ὀρθοδόξων χειροτονηθέντων καὶ κατὰ ἄγνοιαν συμφαγόντων μετὰ πρεσβυτέρων βεβρωκότων μετὰ τοῦ αὐτοῦ μητροπολίτου.

Ἀπόκρισις. γέγραπται, πᾶν τὸ ἐν ἀγνοίᾳ καθαρισθήσεται· ὥστε ἀνένοχοί εἰσι παντὸς ἐπιτιμίου.

Ἐρώτησις. περὶ πρεσβυτέρων ὀρθοδόξων, ἤγουν Ἱλαρίωνος καὶ Εὐστρατίου μοναχοῦ, ἂν ἔχωσιν ἐξουσίαν τοῦ διδόναι ἐπιτίμια.

Ἀπόκρισις. προείρηται κἂν τοῖς ἀνωτέρω ὅτι χρὴ διδόναι. ἐπειδὴ δὲ ἐμφαίνει ἡ ἐρώτησις εἰ δεῖ καὶ τὸν μὴ ἔχοντα ἱερωσύνην διδόναι κατὰ ἀπορίαν πρεσβυτέρων καὶ πίστιν τοῦ προσιόντος, οὐκ ἔξω τοῦ εἰκότος καὶ τὸν ἁπλῶς μοναχὸν ἐπιτίμια διδόναι.

Ἐρώτησις. περὶ μονάζοντος, τοῦ λαβόντος τὸ ἱερὸν σχῆμα κατὰ ἄγνοιαν ἀπὸ πρεσβυτέρου χειροτονηθέντος ὑπὸ καθῃρημένου.

Ἀπόκρισις. εἴρηται ἐν ἑτέρῳ κεφαλαίῳ ὅτι πᾶν τὸ κατὰ ἄγνοιαν καθαρισθήσεται. καὶ οὐκ ἐξὸν ἀποστρέφεσθαι τὴν μετὰ τοῦ τοιούτου συνεστίασιν καὶ ἐπὶ ἄλλων τὴν σύμβασιν, ποιούντων ὁμοίως καὶ φιλίαν.

Ταῦτά σοι μὲν ὡς συμψύχῳ καὶ συμπόνῳ ἡμεῖς κατὰ τὸ ἐφικτὸν ἀνεπτύξαμεν, αὐτὸς δὲ μεταδοίης ἀσφαλῶς τοῖς ἐπερωτήσασιν ἀδελφοῖς· οὐ γὰρ πάντων ἡ πίστις οὐδὲ πολλοῖς ἐκπέφρασται τὰ τοιάδε, οὐ μόνον διὰ τὴν ἄνοιαν τῶν ἀνομησάντων, ἀλλὰ καὶ διὰ τοὺς πειρασμοὺς τῶν κρατούντων. ἀνθ' ὧν δὲ οἱ εὐλαβέστατοι ἀπεστάλκασιν ἀποστολῶν πολλῶν τε καὶ καλῶν ἀμείψοιντο παρὰ θεοῦ τὴν ἀξίαν μισθαποδοσίαν καὶ τάδε δύο μαλακίσκια εἰς ὑπόμνημα φιλίας. ἔρρωσθε ἐν Κυρίῳ, τιμιώτατοι, προσευχόμενοι ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας.

---

168 2 Thess. 3,2 **174** Hebr. 6,9

---

142 Γρηγορίου: Κωνσταντίνου F οἵου δήποτε Sirm **143** συνεσθίασις F Sirm συνεσθιασθεὶς F Sirm **144** συνεσθίασιν F Sirm **149** ἐρώτησις ιε' in marg F ιε' post Ἐρώτησις inser Sirm **154** ἐρώτησις ις' in marg F ις' post Ἐρώτησις inser Sirm **155** τοῦ om F τὰ ante ἐπιτίμια add F **156** κἂν Sirm **158** πρεσβυτέρου F τοῦ[1] om F **159** ἐπιτίμιον F **160** ἐρώτησις ιζ' in marg F ιζ' post Ἐρώτησις inser Sirm **164** συνεσθίασιν F τὴν: τῶν F **168** ἔκφρασται F Cotelier **171** Ἀποστόλων Sirm Cotelier **172** τὰ ante δύο add F Cotelier

550. Ἰωάννῃ κληρικῷ

Τὸ μὲν τῆς ἀγάπης σου δῶρον ἀπεδεξάμεθα, φίλε / γνησιώτατε· τὸ δὲ αἴτημα, ὅπερ ᾐτήσω πρὸς τό, ἐὰν φθάσῃς συνεστιαθῆναι αἱρετικοῖς, εἰδέναι τὸ ἐπιτίμιον, ἐκεῖνο λέγομεν, ὅτι ἐπὶ παντὸς ἁμαρτήματος ἡ ἀξιόλογος μετάνοια τὴν συγχώρησιν ἔχει, οὐ μὴν πρὸ τοῦ ἁμαρτήματος ἔξεστιν ἐπιτίμια τιθέναι καὶ ἀνοίγειν ἐντεῦθεν τὴν θύραν τῆς ἁμαρτίας· οὐδὲ γὰρ ἐὰν ἐρωτήσῃς ‚εἰ φθάσω πορνεῦσαι ὡς οὐ βούλομαι, τί τὸ ἐπιτίμιον;', χρή με ἀποκριθῆναί σοι τόδε (προτροπὴ γὰρ γίνεται τοῦ ἁμαρτεῖν), ἀλλὰ τοῦτο ἀποκριτέον· μὴ ποιῆσαι τὴν ἁμαρτίαν μηδὲ προσκόψαι πρὸς λίθον τὸν πόδα καὶ νοητῶς καὶ αἰσθητῶς· ὅταν δὲ προσκόψῃς, τότε ὁ ἰατρὸς παρακαλοῦντι καὶ μετανοοῦντι ἐπιδίδωσι τὸ θεραπευτικὸν ἴαμα.

Ταῦτά σοι γέγραφα σὺν πολλῇ προσοχῇ, εὐχόμενος ῥυσθῆναί σε, ἠγαπημένε, ἀπὸ παντὸς κακοῦ.

551. Θωμαΐδι παρθενευούσῃ

Περιχαρῶς ἐδεξάμην τὴν πρότασιν τῆς τιμιότητός σου διὰ φωνῆς ζώσης τοῦ ὑπερτίμου κυρίου ἀρχιητροῦ, ἅτε παρὰ συγγενοῦς καὶ θεοφιλοῦς προσφωνηθείσης. καὶ οὐκ ἀπαναίνομαι καὶ παρὰ γυναικὸς μανθάνειν ἔσθ' ὅτε τὸ λανθάνον, οὐ μὴν δοκῶ ἠγνοηκέναι τὴν περὶ τῶν σεπτῶν εἰκόνων προσκύνησιν, ὅπως ὀφείλει εἶναι. ἡμεῖς τοιγαροῦν, ὦ τιμιωτάτη, ἵνα περὶ τῶν ἄλλων ἐάσω τὸ παρὸν λέγειν, τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὕτως προσκυνοῦμεν, ὡς αὐτὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. τὸ δὲ ‚ὡς' τοῦτο ὁμοιώσεώς ἐστιν, ἀλλ' οὐ βεβαιώσεως· ἢ γὰρ ἂν οὐκ εἰκὼν Χριστοῦ, ἀλλ' αὐτὸς Χριστός ἐστιν. ἀλλὰ μὴν εἰκὼν Χριστοῦ ἐστι καὶ ἐν τῇ αὐτοῦ εἰκόνι προσκεκύνηται καὶ ὡς ἕτερον ἐν ἑτέρῳ δέδεικται· φησὶ γὰρ ὁ Χρυ-

---

550. 10 Ps. 91,12; cf. Matth. 4,6

PS titulum tantum servavit V in indice (f. 190v)

3 ᾐτήσω S   φθάσῃς: φθάσῃ Sirm

---

551. a. 821 – 826   3 ἀρχιητροῦ: Eustratius; cf. ep. 264

V PS

1 δογματικὴ περὶ τοῦ μὴ λατρεύεσθαι τὴν τοῦ κυρίου εἰκόνα titulo add PS: in marg Sirm   3 Ἀρχιήτρου Sirm   9 τὸν om Sirm   10 ἢ: ἣ V Sirm   11 ἐστι: ἐστιν Sirm

σόστομος, εἶδον ἄγγελον ἐν εἰκόνι, καὶ ὁ Θεολόγος Γρηγόριος πάλιν, τῆς δ' ἦν ὑπερκύπτων Πολέμων ἐν εἰκόνι. οὐκοῦν καὶ ὁ Χριστὸς ἐν τῇ οἰκείᾳ εἰκόνι καὶ ὁρώμενός ἐστι καὶ προσκυνούμενος· ἀλλ' εἰ καὶ ὁμοιωματικῶς, ὅμως, ὅτι αὐτὸς προσκυνεῖται καὶ αὐτὸς λατρεύεται, οὐ μὴν ἡ εἰκὼν αὐτοῦ λατρευτή, ἐπεὶ οὐδὲν διάφορον εἰκόνος καὶ πρωτοτύπου· καίτοι γε ταῦτα δύο τῇ διαφορότητι τῆς οὐσίας, οὐ τῇ ὁμοιότητι τῆς ὑποστάσεως. ἔπειτα καί, εἰ ἡ Τριὰς μόνη ἐστὶ λατρευομένη, πῶς δύναιτ' ἂν καὶ ἡ εἰκὼν λατρεύεσθαι; εὑρεθήσεται γὰρ τετρὰς ἡ Τριάς, προσθήκην δεξαμένη, ὅπερ ἐστὶν ἀσεβές. εἰ δὲ καὶ ἰδιαζόντως ἔχει τὸ λατρευτὸν ἡ εἰκὼν Χριστοῦ, καὶ οὕτω δύο λατρεῖαι εὑρισκόμεναι εἰς κτισματολατρείαν ἡμᾶς ἀγάγοιεν ἐπ' ἴσης τῆς τῶν Ἀρειανῶν αἱρέσεως.

Ἀλλ' ἄπαγε τοῦ ἀσεβοῦς φρονήματος. σὲ δὲ ὁ ἀγαθὸς θεὸς ἡμῶν περιφυλάξειεν ἀσινῆ καὶ ἀπρόσκοπον τῇ τε ὀρθοδόξῳ πίστει καὶ τῇ σεμνοπρεπεῖ πολιτείᾳ, ἣν διὰ παρθενίας προείλου πρὸς εὐαρέστησιν Κυρίου.

552. ....

[Λύσεις διαφόρων κεφαλαίων]

Ἐρώτησις. περὶ πρεσβυτέρου, διακόνου τε καὶ ἀναγνώστου, ἐσχηκότων φρόνημα ὀρθόν, τοῖς αἱρετικοῖς δὲ κοινωνησάντων ἐξ ἀνθρωπίνου φόβου, εἰ χρὴ προσφορὰν ὑπὲρ αὐτῶν ποιεῖν ἢ παννυχίδα ἢ εὐχήν.

13 Jo. Chrys. de legisl. 6 (PG 56,407) 14 Greg. Naz. poem. mor. 10,804 sq. (PG 37,738 A)

14 τῆς: τῇ Sirm τῆς δ': τῇσδε S προκύπτων S 15 οἰκείᾳ: ἐκείνῃ Sirm 17 αὐτοῦ om V 19 ἡ om PS Sirm 23 κτισματολατρίαν V[pc]PS Sirm ἄγοιεν V ἐπίσης omnes: distinxi

552. a. 821 – 826?

PSJ (ll. 44 – 57, 71 – 77, 94 – 120) X (ll. 2 – 15, 32 – 43, 71 – 81, 94 – 104, 138 – 146) titulum tantum servavit V in indice (f. 190[v])

1 nomen eius, ad quem est epistula scripta, atque epistulae prooemium excidisse videntur; cf compellationem infra lin 149 τῇ εὐλαβείᾳ σου 2 κεφάλαια προταθέντα παρά τινος ἱερέως V in indice: λύσεις διαφόρων κεφαλαίων P Sirm: uncis inclusi 3 ᾱ in marg P ἐρώτησις in marg X α′ post Ἐρώτησις inser Sirm περὶ om X ἢ ante διακόνου add X τε καὶ: ἢ X ἐσχηκότων: ἐσχηκότος X 4 κοινωνησάντων: κοινωνοῦντος X

Ἀπόκρισις. εἰ μέχρις ἀποβιώσεως κοινωνοῦντες τοῖς αἱρετικοῖς διέμειναν, οὐδαμῶς· εἰ δὲ ἐν τῇ ἐξόδῳ καὶ μετεμελήθησαν καὶ ὡμολόγησαν φόβῳ κεκρατῆσθαι, καὶ τρίτον, εἰ ἐκοινώνησαν τῶν ὀρθοδόξων ἁγιασμάτων, συγχωρητέον γίνεσθαι ἐπ' αὐτοῖς τὰ προειρημένα.

Ἐρώτησις. περὶ μοναχῶν καὶ μοναζουσῶν, ὁμοίως τῇ κοινωνίᾳ τῶν αἱρετικῶν ἀποβιωσάντων.

Ἀπόκρισις. ἡ προειρημένη ἀπόκρισις φυλαττέσθω καὶ ἐπὶ τοῖσδε, ὁμοίως καὶ ἐπὶ λαϊκῶν, ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων, εἴρηται δὲ ταῦτα περὶ τῶν τεθνεώτων. εἰ γὰρ ἔτι ζῶν ἐστιν ἐκ πάντων τῶν προειρημένων καὶ μεταμέλοιτο, ἔξω ῥίπτων τὸν φόβον ἀπὸ τοῦ δεῦρο καὶ αἱρούμενος ὑπὲρ τοῦ ἀγαθοῦ κακοπαθεῖν, εἰ μὲν πρεσβύτερος ἢ διάκονος, εἰργέσθω τῆς ἱερουργίας ἕως συνόδου ὀρθοδοξίας, μετὰ δὲ ἐπιτιμίαν τὴν προσήκουσαν μετεχέτω τῶν ὀρθοδόξων ἁγιασμάτων, ἡ / δὲ δύναμις τῆς ἐπιτιμίας ἀμεθεξία ἐστὶ τῶν ἁγιασμάτων καθ' ὃν καιρὸν ἢ καιροὺς ὁ ἐπιτιμῶν οἰκονομοίη· οὐ γὰρ ὁριστικῶς ἔστιν ἀποφήνασθαι διὰ τὸ ἄλλον ἄλλου διαφέρειν καὶ προσώπῳ καὶ γνώσει καὶ σπουδῇ καὶ ἡλικίᾳ. εἰ δὲ μονάζων εἴη ἢ ἀναγνώστης ἢ μονάζουσα, τοῦ ἐπιτιμίου πληρουμένου εὐθὺς διδόσθω ἡ θεία μέθεξις, ὡσαύτως καὶ ἐπὶ λαϊκῶν, ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων. δῆλον δὲ κἂν τούτοις διαφορότης κατά τε πρόσωπον καὶ τὸ ἀξίωμα καὶ ἡλικίαν, ὡς καὶ μιᾷ τεσσαρακοστῇ ἱκανοῦσθαι τὴν ἐπιτιμίαν τῷ λαμβάνοντι· φανερὸν δὲ ὅτι τὸ ἐπιτίμιον τῆς ἀμεθεξίας τῶν ἁγιασμάτων συνεπιλαμβάνεται καὶ προσευχῶν καὶ γονυκλισιῶν καὶ ἐγκρατείας βρωμάτων κατὰ τὴν ὑποκειμένην φύσιν τοῦ ἐπιτιμωμένου.

Ἐρώτησις. περὶ τοῦ διδόναι δῶρα ἐν μοναστηρίοις ἀνδρείοις τε καὶ γυναικείοις.

Ἀπόκρισις. δοτέον, εἰ εἰσὶ πεφυλαγμένοι τῆς αἱρετικῆς κοινωνίας.

Ἐρώτησις. περὶ τοῦ ἀφ' ἑαυτῶν κοινωνεῖν ἢ μονάζοντας ἢ μοναζούσας τῶν ἁγιασμάτων.

---

7 ἀπόκρισις in marg X   8 διέμειναν: διὰ μείναντες X   εἰ: ὁ X   καὶ μετεμελήθησαν: μεταμεληθεὶς X   καὶ ὡμολόγησαν: ὁμολόγησε X   9 καὶ – 10 ἁγιασμάτων om X   αὐτοῖς: αὐτῷ X   12 $\bar{\beta}$ in marg P   β′ post Ἐρώτησις inser Sirm   Ἐρώτησις – 14 Ἀπόκρισις desunt in X   ἡ – φυλαττέσθω: ὁμοίως φυλαττέσθω ἡ προειρημένη ἀπόκρισις X   τοῖδε, ὁμοίως: μοναχῶν καὶ μοναζουσῶν X   15 καὶ[2] om PS (sed cf infra lin 26)   παίδων: παιδίων X   εἴρηται – 31 ἐπιτιμωμένου desunt in X   22 ἐστιν codd Sirm: corr Mi   24 ἢ ἀναγνώστης S[sscr]   32 $\bar{\gamma}$ in marg P   ἐρώτησις in marg X   γ′ post Ἐρώτησις inser Sirm   μοναστηρίῳ X   ἀνδρείοις: ἀνδρώοις X   34 ἀπόκρισις in marg X   35 $\bar{\delta}$ in marg P   ἐρώτησις in marg X   δ′ post Ἐρώτησις inser Sirm

Ἀπόκρισις. οὐκ ἐξὸν ἅπτεσθαι οὐδὲ τῶν θείων ἀναθημάτων τοὺς ἔξω ἱερωσύνης, πλὴν εἰ μή τι κατὰ πᾶσαν ἀνάγκην, μὴ εὑρισκομένου πρεσβυτέρου ἢ διακόνου, ἀφ' ἑαυτῶν μετέχειν τοῦ δώρου. τοῦτο δὲ πῶς; τιθεμένης βίβλου ἱερᾶς καὶ ἐφαπλουμένης ὀθόνης καθαρᾶς ἢ ἱερᾶς ἐπικαλυμματίδος, ἐκεῖσε τοῦ δώρου ἀπὸ χειρὸς σὺν φόβῳ προτεθέντος, μετὰ τὴν ὑμνῳδίαν ἀπὸ στόματος ληπτέον, εἶθ' οὕτως διακλύσεως οἴνου γινομένης τῷ μεταλαμβάνοντι.

Ἐρώτησις. περὶ λαϊκῶν ἀνδρῶν τε καὶ γυναικῶν ὀρθοδόξων ἐξ ὀρθοδόξου κοινωνούντων, φόβῳ δὲ ἀνθρωπίνῳ τἆλλα πάντα τοῖς αἱρετικοῖς συναναμιγνυμένων, πῶς χρὴ τοὺς ἀκριβευομένους περὶ αὐτῶν ἔχειν.

Ἀπόκρισις. ἀπὸ μὲν ἱερατικοῦ, ἤγουν πρεσβυτέρου καὶ διακόνου, μονάζοντός τε καὶ μοναζούσης, ἀφεκτέον συνεσθίειν τὸν ἠκριβωμένον, οὐκ οἶδα εἰ μή τι οἰκονομίας τρόπῳ, καὶ τοῦτο σπανιώτερον, ἀπὸ δὲ τῶν λαϊκῶν ἀδιάφορον τὸ συνεσθίειν. κἂν τύχῃ πολλάκις καὶ κοινωνεῖν αὐτὸν φόβῳ τῇ αἱρέσει, ἔχοντα δὲ ὅμως ὀρθόδοξον τὸ φρόνημα, πλὴν ἵνα μὴ ἀκόλαστον εἴη τὸ ἁμάρτημα, μικρὸν ἐπιτίμιον ἐπιδιδόσθω τοῖς ἀδιαφοροῦσιν ἐκ φόβου τοῖς αἱρετικοῖς· τὸ δὲ ἐπιτίμιον γονυκλισίαι πεντεκαίδεκα, εὐχαὶ ὡσαύτως ‚Κύριε, συγχώρησόν μοι τὴν ἁμαρτίαν', ‚Κύριε, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ', ‚Κύριε, ἐλέησόν με' ἀπὸ πεντήκοντα ἤτοι ἑκατόν.

Ἐρώτησις. εἰ χρὴ τοῖς συμψάλλουσι τοῖς αἱρετικοῖς, ἀπεχομένοις δὲ τῆς κοινωνίας αὐτῶν, ἄν τε πρεσβυτέρῳ, ἄν τε διακόνῳ, ἄν τε λαϊκῷ, ἄν τε γυναικὶ μεταδιδόναι τῶν ἁγιασμάτων τὸν ὀρθόδοξον ἱερέα.

---

37 οὐκ ἐξὸν ἅπτεσθαι etc.: cf. K. Kontogones, Φιλολογικὴ καὶ κριτικὴ ἱστορία, II. Athenis 1853, 417 adn. 1

---

56 Luc. 18,13

---

37 ἀπόκρισις in marg X οὐδὲ om X 38 voces περίστασιν ἢ post κατὰ add X 39 ἑαυτῶν: ἑαυτοῦ X 40 ἐφαπλωμένης X 43 γενομένης X 44 ε̄ in marg P Ἐρώτησις: hic inc epist in J ῑ in marg J ε' post Ἐρώτησις inser Sirm ἀνδρῶν – γυναικῶν om J ἐξορθοδόξου J 44 Ἐρώτησις – 70 αὐτούς desunt in X 45 κοινωνοῦντες J τἆλλα S: τ' ἄλλα J πάντα om J 47 ἔχειν: ἔχεις J 49 τῶν ἀκριβομένων J 50 εἰ: ἢ J οἰκονομίᾳ τρόπου J τοῦτο: τούτου J 51 δὲ om J τὸν λαϊκὸν J κἀν S τύχει J 52 αὐτοὺς J 54 ἐπιδιδόσθω: διδόσθω J φόβου: φόβῳ J 55 πέντε καὶ δέκα J ὡς αὔτως J 56 Κύριε, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ om J 57 ἤτοι: ἔτη (!) J 58 ζ̄ in marg P ς' post Ἐρώτησις inser Sirm Ἐρώτησις – 70 αὐτούς desunt in J

Ἀπόκρισις. τὸ μὲν οὖν μεταδιδόναι μεταδιδότω, τοῖς μὲν ἱερωμένοις οἰκονομικῶς μετὰ ἐπιτιμίου διὰ τὴν πρὸς τοὺς αἱρετικοὺς ἀπαγωγὴν ἐν τοῖς ἄλλοις, τοῖς δὲ λαϊκοῖς ἄνευ ἐπιτιμίου· περὶ δὲ τοῦ διετίαν ἔχοντος ἀναγνώστου ἐν τῇ ἀποχῇ τῆς / αἱρετικῆς κοινωνίας, δίκαιον μετέχειν αὐτὸν τῶν ἁγιασμάτων, κἂν ἐν τοῖς ἄλλοις συναπάγηται. οἰκονομικῶς δὲ ταῦτα εἴρηται διὰ τὴν ἀσθένειαν τῶν ἀνθρώπων, ὡς ἂν μὴ πάντῃ ζητοῦντες αὐτοὺς καθαροὺς ποιεῖν τῆς αἱρετικῆς συμφύρσεως λάθωμεν εἰς αὐτὰ τὰ καίρια παραλύοντες αὐτούς.

Ἐρώτησις. εἰ δεῖ συμψάλλειν τοῖς μὴ κοινωνοῦσι τοῖς αἱρετικοῖς, ἀδιαφοροῦσι δὲ ἐν τοῖς ἄλλοις, ἢ δέχεσθαι προσφορὰς παρ' αὐτῶν ἢ κηροὺς ἢ ἔλαιον.

Ἀπόκρισις. εἰ μὲν ἱερωμένοι εἶεν καὶ οὐ τοῖς ἑτεροδόξοις προσφέρουσι, προσδεκτέον τὰ παρ' αὐτῶν προσενηνεγμένα μετ' ἐπιτιμίου τινός, εἰ δὲ λαϊκοί, ἄνευ ἐπιτιμίου προσιτέον· δεῖ γὰρ διαφορότητα εἶναι διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα.

Ἐρώτησις. εἰ ἔξεστι ποιεῖν τοῖς αἰτοῦσιν ἡμῖν εὐχὴν ἢ εὐλογεῖν ἔλαιον ἢ κηροὺς ἀνάπτειν ἢ ἀπομυρίζειν ἅγια.

Ἀπόκρισις. ἐὰν ἑτερόδοξοί εἰσιν, οὐδαμῶς, κἂν πίστει προσέρχωνται· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος.

Ἐρώτησις. ἐὰν μονάζων ἢ μονάζουσα ἥκοι πρὸς ἡμᾶς ἐπὶ τῇ θείᾳ κοινωνίᾳ, ποταπὴν ὁμολογίαν ἀπαιτητέον διὰ τὸ ἀδιάγνωστα εἶναι τὰ κατ' αὐτούς.

Ἀπόκρισις. πάντα τὸν ἐρχόμενον κοινωνῆσαι, εἰ ἀγνοεῖται τὰ κατ' αὐτόν, ἐρωτητέον εἰ προσκυνεῖ τὴν σεπτὴν εἰκόνα Χριστοῦ καὶ τῶν ἁγίων, εἰ μὴ κοινωνεῖ τοῖς αἱρετικοῖς καὶ εἰς ὅ τι ἂν ἄλλο ὑποπτεύηται φρόνημα ἑτερόδοξον. καὶ ὅταν κατὰ πάντα ὁμολογήσῃ καὶ ἡ ὁμολογία σῴζοιτο ἐπὶ πάσης αἱρέσεως ἀπαγορευτική, τότε μεταδοτέον καὶ συγκοινωνητέον αὐτῷ τῶν ἁγιασμάτων.

---

81 2 Cor. 6,14

71 ζ̄ in marg P ιᾱ in marg J ζ' post Ἐρώτησις inser Sirm ἐρώτησις in marg X δεῖ: δὴ J σὺν ψάλλειν J κοινωνοῦσιν J 72 ἀδιαφοροῦσιν J πρός φορὰς J 74 ἀπόκρισις in marg X εἰ: οἱ J οὐ: ὁ J 75 πρὸς ἐνηνεγμένα X 76 εἶεν ante ἄνευ inser J προσιτέον: πρὸς ἴσταῖον J δεῖ γὰρ διαφορότητα: διαφορότατον J διαφορότητας X 77 εἶναι: εἶμε J 78 η̄ in marg P ἐρώτησις in marg X η' post Ἐρώτησις inser Sirm Ἐρώτησις – 93 ἀνάγκην desunt in J 80 ἀπόκρισις in marg X 81 οὐθεμία Mi οὐδεμία γὰρ: οὐδὲ γὰρ μία X 82 θ̄ in marg P θ' post Ἐρώτησις inser Sirm Ἐρώτησις – 93 ἀνάγκην desunt in X

Ἐρώτησις. εἰ ἔξεστι μοναστρίᾳ ἀπομυρίζειν.

Ἀπόκρισις. ἐξ ἀπορίας πάσης ἱερωμένου ἢ μονάζοντος ἀπομυριζέτω διὰ τὴν κατεπείγουσαν ἀνάγκην.

Ἐρώτησις. εἰς ἐκκλησίαν κατὰ πάροδον ὑπὸ αἱρετικοῦ κρατουμένην εἰ δεῖ εἰσιέναι.

Ἀπόκρισις. ἅπαξ εἰ ὑπὸ αἱρετικοῦ κρατουμένη ἐκκλησία ἐστίν, οὐ δεῖ εἰσιέναι προσευχῆς χάριν, εἰ μή τι κατὰ ἄλλην περιστατικὴν πρόφασιν.

Ἐρώτησις. ἀββᾶν ἐρχόμενον πρὸς ἡμᾶς ἀγνώριστον, εἰ χρὴ πρὸ ἀνακρίσεως ἁγιολεκτεῖν αὐτὸν καὶ αἰτεῖσθαι πρὸς αὐτοῦ εὐχήν.

Ἀπόκρισις. ἐπὰν ὁ καιρὸς αἱρέσεώς ἐστι, πρὸ ἀνακρίσεως οὐ δεῖ οὔτε ‚εὐλογεῖτε ἅγιοι' λέγειν οὔτε εὐχὴν αἰτεῖν παρ' αὐτοῦ· τὸν δὲ κοινὸν ἀσπασμὸν οὐκ ἀπαγορευτέον κατὰ τὴν νομοθεσίαν τοῦ Ἁγίου Βασιλείου.

Ἐρώτησις. περὶ φρέατος, ἐὰν μιανθῇ, εἰ δεῖ ποιῆσαι εὐχὴν τὸν ὀρθόδοξον ἱερέα. /

Ἀπόκρισις. ἐκεῖ δεῖ ποιεῖν τὴν εὐχήν, οὗ ἐστιν ἡ ὀρθόδοξος κοινωνία, πρὸς δὲ τοὺς κοινωνοῦντας τοῖς αἱρετικοῖς οὐκ ἰτέον· ἐν οἷς γὰρ μιαίνονται κατὰ ψυχὴν διὰ τοῦ ἄρτου αὐτῶν, μιανθήσονται καὶ κατὰ σῶμα.

Ἐρώτησις. περὶ βαπτίσματος, εἰ οὐκ ἔστιν ἐκκλησία κρατουμένη ὑπὸ ὀρθοδόξου, ἐὰν αἰτήσηται ἡμᾶς τις ποῦ χρὴ σφραγίζειν, κατηχεῖν καὶ βαπτίζειν, ποταποὶ δὲ οἱ γονεῖς καὶ οἱ ἀνάδοχοι.

Ἀπόκρισις. οὐκ εἰσιέναι, καθὰ προείρηται, εἰς ἐκκλησίαν κρατουμένην ὑπὸ αἱρετικοῦ ⟨εἰ⟩ δεῖ, πόσῳ γε μᾶλλον τὰ λελεγμένα πρᾶξαι· ἀλλὰ διὰ τὴν ἀπορίαν ἀναγκαῖον εἰς τόπον καθαρώτατον

91 ῑ in marg P ι' post Ἐρώτησις inser Sirm 94 ιᾱ in marg P ιγ̄ in marg J ἐρώτησις in marg X ια' post Ἐρώτησις inser Sirm εἰς – 95 εἰσιέναι: εἰ δεῖ εἰσιέναι κατὰ παράδοξον εἰς ἐκκλησίαν ὑπὸ αἱρετικοῦ κρατουμένην X linn 94–98 post lin 104 transp J 95 εἰ δεῖ: εἴδη J 96 ἀπόκρισις in marg X ἅπαξ εἰ: εἰ ἅπαξ X εἰ om J αἱρετικῶν J κρατουμένη – ἐστίν: ἐστὶ κρατουμένη ἡ ἐκκλησία X ἡ ante ἐκκλησία add J ἐστίν om J 97 κατ' J 99 ιβ̄ in marg PJ ἐρώτησις in marg X ιβ' post Ἐρώτησις inser Sirm ὁ ante ἀββᾶν add P 100 ἁγιολεκτεῖν: δέχεσθαι J καὶ – εὐχήν om J πρὸς: παρ' X 101 ἀπόκρισις in marg X ἐπὰν: ἐὰν X ἐπὰν – ἀνακρίσεως om J ὁ om X voces οὐ δεῖ ante πρὸ transp X 102 εὐλογεῖτε – λέγειν: εὐλογεῖν X ἅγιοι: οὔτε ἅγιον J αἰτεῖν: αἰτεῖσθαι X 103 ἀπειγορευταῖον J 105 ιγ̄ in marg P ιδ̄ in marg J Ἐρώτησις – 137 ἐπαγγέλλονται desunt in X ιδ' post Ἐρώτησις inser Sirm φρέατος: φραίατι J εἰ: ἢ J εὐχὴν: εὐχαῖς J 107 ἐκεῖ: χρὴ J 108 οὐκ ἰτέον: οὐ δεκταῖον J 109 γὰρ: γῆ J αὐτῶν om J μιανθήσονται: μιαίνονται J 111 ιδ̄ in marg P ιε̄ in marg J ιδ' post Ἐρώτησις inser Sirm τοῦ post περὶ add J εἰ: ὡς PJ 112 ὑπὸ: ὑπ' J ὑμᾶς J 114 πρὸ εἴρηται J 115 εἰ inserui λελεγμένα: λελοιμένα J 116 πρᾶσαι J

οἰκίας, ἐφ' ᾗ διὰ θυσιαστηρίου καθηγιασμένου, ἤτοι τραπέζης, τὴν ἱερουργίαν ὁ μέλλων ἐπιτελεῖν τὸ φώτισμα βαπτιζέτω. ἀναδόχους δὲ ἐκείνους προσιτέον, τοὺς οὐ τοῖς αἱρετικοῖς κοινωνοῦντας, καὶ γονέας τοὺς ὡσαύτως πεφυλαγμένους.

Ἐρώτησις. εἰσὶν ἐκκλησίαι ἔχουσαι δύο κόγχας ἢ καὶ τρεῖς, ἔστι δὲ ἐξ αὐτῶν μία ἀνενθρονίαστος· χρὴ ἐκεῖσε λειτουργῆσαι ἢ οὔ;

Ἀπόκρισις. ἐὰν ὑπὸ τὸν ἀναφερόμενον αἱρετικόν ἐστιν ἡ τοιαύτη ἐκκλησία, κἂν μία κόγχη οὐ καθιέρωται, οὐ χρὴ λειτουργεῖν ἐκεῖ· εἰ δὲ κρατεῖται ὑπὸ ὀρθοδόξου, ποιείτω λειτουργίαν εἰς τὴν κόγχην ἥτις οὐ καθιέρωται.

Ἐρώτησις. εἰ δύναταί τις κρατῆσαι τὴν ἐκκλησίαν αὐτοῦ ἵνα μὴ λειτουργῆται ὑπὸ αἱρετικοῦ, πόσον χρόνον ἔξεστι σφαλισθῆναι καὶ τί ὀφείλει περὶ αὐτῆς.

Ἀπόκρισις. τοῦτο ὑφ' ἡμῶν οὐ λέλυται τὸ κεφάλαιον· ἐπισκόπου γάρ ἐστι, τοῦ λύοντος τὰς ἐκκλησίας.

Ἐρώτησις. ἐὰν δὲ εἰσὶν ἄνδρες τε καὶ γυναῖκες λαϊκοὶ αἱρετικοί, εἴτε ἀπὸ χωρικίας εἴτε ἔμφυτον ἔχοντες τὴν αἵρεσιν, εἰ ἔξεστιν ἐσθίειν μετ' αὐτῶν ἢ λαμβάνειν ἐξ αὐτῶν τίποτε.

Ἀπόκρισις. οὔτε εἰ ἐκ κακονοίας εἰσὶν αἱρετικοὶ οὔτε εἰ ἐξ ἀμαθίας ἔξεστιν ἢ ἐσθίειν ἢ λαμβάνειν τὰ παρ' αὐτῶν προσενηνεγμένα, οὐκ οἶδα εἰ μή τι οἱ ἀμαθεῖς βελτιωθέντες ὀρθοδοξεῖν ἐπαγγέλλονται.

Ἐρώτησις. περὶ τοῦ πατρός μου, εἰ ἐστὶν ἄξιος εἰς λειτουργίαν μνημονεύεσθαι.

Ἀπόκρισις. εἴτε πατὴρ εἴτε μήτηρ εἴτε ἀδελφὸς ἢ ὁστισοῦν ἄλλος κατελείφθη μέχρι θανάτου κοινωνῶν τῇ αἱρέσει, προείρηται ἐν τῷ ἀνωτέρω κεφαλαίῳ μὴ μνημονεύεσθαι ἐν τῇ λειτουργίᾳ, εἰ μή τι ἕκαστος κατὰ διάνοιαν ἕλοιτο εὔχεσθαι περὶ τῶν τοιούτων καὶ ὑπὲρ αὐτῶν ποιεῖν ἐλεημοσύνας· πῶς γὰρ ἂν ὁ ἔτι ζῶν μετέχων τε τῆς αἱρετικῆς κοινωνίας καὶ οὕτως ἐκκομισθεὶς ληφθήσεται ἐν μνημοσύνοις κατὰ τὴν μυσταγωγίαν τῶν ὀρθοδόξων; οὐδαμῶς.

Ταῦτα οὐ κανονικῶς ἐφθεγξάμην (ἐπισκόπων γὰρ τοῦτο), ἀλλὰ συμβουλευτικῶς ἐξ ἀγάπης (οὐδὲν γὰρ ἀγάπης ἀναγκαιότερον) φθεγ-

---

118 voces τὸ φώτισμα erasit S 119 προσιτέον, τούς: προσιταίονται J κοινωνοῦντας: κοινωνοῦσι J γονέας: γοναίους J 120 ὡσαύτως: ὡς αὔτως J πεφυλαγμένους: hic desin epist in J 121 ιε̄ in marg P ιε′ post Ἐρώτησις inser Sirm 127 ις̄ in marg P ις′ post Ἐρώτησις inser Sirm 132 ιζ̄ in marg P ιζ′ post Ἐρώτησις inser Sirm 138 ιη̄ in marg P ἐρώτησις in marg X ιη′ post Ἐρώτησις inser Sirm 140 ἀπόκρισις in marg X ἢ: εἴτε X 141 κατελήφθη X προείρηται – 142 κεφαλαίῳ μή: οὐ χρὴ X 143 περὶ: ὑπὲρ X ὑπέρ: περὶ X 144 τε om X 145 οὕτως om X ληφθείσεται X 146 οὐδαμῶς: hic desin epist in X 148 vocem φθεγξάμενος eras S

ξάμενος· εἰ δέ τι τῇ εὐλαβείᾳ σου ἄλλως δοκιμάζεται οἰκονομεῖσθαι, ἡμεῖς γὰρ περὶ τούτου λόγον οὐκ ἔχομεν ἢ τὸ ἐξαιτεῖ/σθαι ὑμῶν τὰς ἁγίας προσευχάς, ὅτι ἁμαρτωλοὶ ἄνθρωποι τυγχάνομεν.

553. Πρὸς τὴν σπαθαρέαν, ἧς τὸ ὄνομα Μαχαρᾶ

Τί καλὴ ἡ ἐπιστολὴ τῆς εὐγενείας σου, τῇ ἐγχωρίῳ μὲν φωνῇ ὑπηγορευμένη, πολλῇ δὲ τῇ τῆς ταπεινοφροσύνης χάριτι κατηγλαϊσμένη καί, τὸ παράδοξον, ἐξάπινα τὴν ἐξαγόρευσιν φέρουσα ὥσπερ τι ἕδνον θεοχάριστον. ἀλλὰ πόθεν, ἡμῶν ὄντων ἁμαρτωλῶν, ἡ τοσαύτη σου πίστις καὶ εὐσεβὴς ἐπίχυσις; ἢ ἵνα καὶ ἡμῖν γνωσθείη τίς καὶ ποταπὴ ὑπάρχεις τὴν εὐσέβειαν, συλλαμβάνουσα μεθ' ἑαυτῆς τὸν κύριον καὶ κεφαλήν, ἀλλὰ μὴν καὶ συνεφελκομένη, καθάπερ τι ὀψώνιον θεοτράπεζον, καὶ τὰς κυρίας τὰς ἀδελφάς;

Οὕτω μὲν οὖν θεοτερπὴς ἡ ἐπιστολὴ καὶ τὸν τῆς εὐσεβείας ὑμῶν χαρακτῆρα ὑποδεικνύουσα ὡραιότατον. ἐγὼ δὲ πρὸς τὸ λέγειν ἐπιδεδωκέναι ὑμᾶς ἑαυτοὺς τῇ ἐμῇ ταπεινώσει οὐχ ἱκανός εἰμι· πλὴν οὐχ ἡμῖν, ἀλλὰ θεῷ ἑαυτοὺς ἐπιδίδοιτε. διὰ τοῦτο ὀφειλέται ἐσμὲν καὶ χαίρειν ἐπὶ τῇ ἀγαθῇ ζωῇ ὑμῶν καὶ εὔχεσθαι ὑμῖν τὰ ὅσια καὶ νέμειν μόνον ὃ ἔχομεν, παρέχειν τὸν λεπτὸν ἡμῶν λόγον· ὃ καὶ νῦν ἐπιδιδοῦντες ἐρωτῶμεν, τίνι λόγῳ ἐπιζητείη σου ἡ τιμιότης φάναι με περὶ τῆς θείας κοινωνίας καὶ τίνος χάριν τοσαῦτα ἔτη σπανίως μετέχεις; τοῦτο γὰρ λόγον ὀφείλει τινὰ ἔχειν. οὐ γὰρ τὸ σπανίως ἢ τὸ καθ' ἑκάστην ἁπλῶς, ἀλλὰ τὸ μετὰ καθαρᾶς συνειδήσεως μεταλαμβάνειν δέον· ὁ γὰρ ἀναξίως, φησίν, ἐσθίων καὶ πίνων κρίμα

553. a. 809–811 2 φωνῇ: sermonis Graeci dialectus an lingua aliena?

9 German. ep. II ad Cypr. 2 (PG 140,616 B) καὶ ὀψώνιον τῷ Χριστῷ προσηγάγομεν ἄξιον τῆς οὐρανίου τραπέζης αὐτοῦ 20 1 Cor. 11,29

T d

1 τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ θεοδώρου ἡγουμένου τῶν στουδίου ἐπιστολὴ πρὸς τὴν σπαθαρέαν, ἧς τὸ ὄνομα μαχαρά T: τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ θεοδώρου τοῦ στουδίτου ἐπιστολὴ πρὸς τὴν σπαθαρέαν, ἧς τὸ ὄνομα χαρά d σπαθαρίαν Mai Mi Μαχαρά T Mai Mi: χαρά d: correxi (an Μαχαιρᾶ scribendum? cf O. Masson, in: Zeitschr f. Papyr u. Epigr 11 [1973] 1 sq) 2 α' ante τί inser Mai Mi ἡ om Mai Mi 3 πολλῇ – κατηγλαϊσμένη om Mai Mi πολλὺ d 9 τὰς[2]: σὰς Mai Mi 10 θεοτεπὴς (sic) d 12 ἑαυτοὺς: καὶ αὐτοὺς Mai Mi οὐκ T πλεῖν Td 13 ὀφειλῆται Mai 16 ἐπιδιδόντες Mi (sed cf ep 31,8 etc) β' ante τίνι inser Mai Mi 20 κρῖμα Mi

ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. εἰ οὖν τοιούτῳ τρόπῳ σκοποῦσα τὰ ἑαυτῆς καὶ εὐλαβουμένη ἀναμένεις τὸν καιρόν, εὖ ἂν ἔχοι, εἴτε συντομώτερον εἴτε χρονιώτερον, καὶ ὅρος ἐν τούτῳ ἄλλος οὐκ ἔστιν ἢ ἡ ἐν καθαρᾷ καρδίᾳ καθόσον δυνατὸν τῷ ἀνθρώπῳ προσέλευσις· ἂν δὲ διὰ πταῖσμά τις ἔχῃ τὸ ἀκοινώνητον, δῆλον ὅτι τότε ἐκεῖνος κοινωνήσῃ, ὁπότ' ἂν πληρωθῇ αὐτῷ τὸ ἐπιτίμιον. εἰ δὲ διακρίνεται αὖ πάλιν δι' αἵρεσιν, τοῦτο ἀναγκαῖον· τὸ γὰρ κοινωνεῖν παρὰ αἱρετικοῦ ἢ προφανοῦς διαβεβλημένου κατὰ τὸν βίον ἀλλοτριοῖ θεοῦ καὶ προσοικειοῖ τῷ διαβόλῳ.

Σκέψαι οὖν, ὦ / μακαρία, ᾧτινι τρόπῳ τῶν εἰρημένων εἴη σου ὁ σκοπὸς καὶ κατ' αὐτὸ πρόσιθι τοῖς μυστηρίοις. γνωστὸν δὲ πᾶσιν ὅτι νῦν αἵρεσις ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ κατακρατοῦσα τῶν μοιχειανῶν ἐστι· φείσαιο τοίνυν τῆς τιμίας σου ψυχῆς μετὰ τῶν ἀδελφῶν καὶ τῆς κεφαλῆς. ἔφης δέ μοι ὅτι δέδοικας εἰπεῖν τῷ πρεσβυτέρῳ σου μὴ ἀναφέρειν τὸν αἱρεσιάρχην. καὶ τί περὶ τούτου εἰπεῖν σοι τὸ παρὸν οὐ καθορῶ, πλὴν ὅτι μολυσμὸν ἔχει ἡ κοινωνία ἐκ μόνου τοῦ ἀναφέρειν, κἂν ὀρθόδοξος εἴη ὁ ἀναφέρων. ὁ δὲ Κύριος, ὁ ἐν τοσούτῳ μέτρῳ εὐσεβείας ὑμᾶς ἀγαγών, αὐτὸς ἐν πᾶσιν ἀπήμονας καὶ ὁλοτελεῖς σώματί τε καὶ ψυχῇ πρὸς πᾶν ἔργον ἀγαθὸν καὶ πρὸς πᾶσαν αὐτάρκειαν βίου συντηρῶν διαφυλάξειε, τήν τε ὑμῶν συζυγίαν φημὶ καὶ τὰς εὐλαβεστάτας ἀδελφάς, ὑπερευχομένων πάντων τῆς ἡμετέρας ἀναξιότητος.

554. Πλάτωνι οἰκείῳ πατρί

Ἱνατί μοι, πάτερ ἅγιε, τῷ ἀθλίῳ ἐπιτάσσῃς τὰ ὑπὲρ ἐμέ; ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ φωτίζεσθαι, καὶ αὐτὸς ζητεῖς παρ' ἐμοῦ τοῦ ἐσκοτισμένου κατηχεῖσθαι; ἀλλὰ καὶ τοῦτο τυπῶν με πρὸς ταπείνωσιν. οὐκ οἶδα δὲ τί εἴπω τῷ καιρῷ πρόσφορον ἢ ὅτι καλῶς ᾠκονόμησεν ὁ θεὸς τὰ καθ' ἡμᾶς· εἰ γὰρ ἐκ φιλοθείας τινὲς καταλιπόντες τὰς ὑπαρχούσας αὐτοῖς ἡγεμονίας μακράν που ἀποδραμόντες τῷ ἡσυ-

22 τοιουτοτρόπῳ d 24 ἡ T^{sscr} 25 διὰ πταῖσμά: διαπταῖσμα d Mai: διάπταισμά Mi (quod lemma ex lexico Lampei delendum) 26 δηλονότι omnes: distinxi 27 διακρίνηται Mai Mi αὖ: οὖν d 30 σοῦ Mai 32 ὑμᾶς d μοιχιανῶν d 33 φείσαι Mai: φεῖσαι Mi 35 τὸν om d τοῦτο d 36 καθορῶ: καταθαρῶ d: καθαρῶ Mai 37 κἂν: οὐκ ἂν Mai Mi το//σούτῳ d 41 ὑπὲρ εὐχομένων d

554. a. 809 – 811

T

χαστι/κῷ βίῳ ἐμακαρίσθησαν, πῶς ἡμεῖς οἱ ταπεινοί, διὰ νόμον θεοῦ πεφρουρισμένοι ἐν ἐξορίᾳ, οὐκ ἀγαλλιασόμεθα ἐν Κυρίῳ, χάριν αὐτῷ λογιζόμενοι καὶ δωρεὰν μεγίστην ὅτι ἠξιώμεθα ἐν μέτρῳ τοιούτῳ καταντῆσαι, οὗ πολλοὶ ἐφιέμενοι οὐκ ἐπέτυχον;

Κάθου δή, πάτερ μου ἅγιε, ἐν ᾧ τόπῳ ὁ θεὸς ἀλλ' οὐκ ἄνθρωπος εἴσω ἐφρούρησέ σε ἕως καιροῦ (ἐπεὶ μηδὲ ἴσμεν τί τέξεται ἡ ἐπιοῦσα, εἴτε οὕτως εἴτε ἄλλως τῆς προνοίας κελευούσης) καὶ δόξαζε τὸν δοξάσαντά σε Κύριον διὰ τῆς μαρτυρικῆς σου ἐνστάσεως, ἐσθίων τὸν ἄρτον σου μετ' εὐχαριστίας καὶ χαρᾶς, ὃν ἔδοξαν οἱ ἄνθρωποι πικρόν σοι προσφέρειν. οὔπω σοι δύναμις ἐν τῷ γήρει, κόπων ἀσκητικῶν προηγωνισμένων σοι ἐν τῇ νεότητι χάριτι Χριστοῦ κατὰ πάντα. διὰ τοῦτο, παρακαλῶ καὶ ἀντιβολῶ, καὶ βρώμασι καὶ πόμασι τοῦ κατατρυχωμένου σου σώματος ἀντιλαμβάνεσθαι μὴ παραιτοῦ· ἀρκεῖ σοι ἡ μόνωσις, ἡ κάθειρξις, ἡ ἐρημία, ἡ ὑποστέρησις, ἡ ἀδυναμία τοῦ γήρους μετὰ καὶ ἀσθενείας, ἡ περὶ ἡμᾶς τε τοὺς ἁμαρτωλοὺς καὶ τοὺς ἄλλους φροντίς. ἐν τούτοις ὑπομένων αὐταρκοῦ, καθαρότητα θηρεύων τῶν λογισμῶν διὰ τῆς μετεωροπορήσεως τῆς τιμίας σου ψυχῆς. ἡνίκα γὰρ ἄρτι τὸ ἐρημικὸν πρόσεστιν, εὐχερῶς ὁ νοῦς ὥσπερ ὑπὸ σωλῆνος σφιγγόμενον ὕδωρ δύναιτ' ἂν ἀνατρέχειν ἐκ τῶν χαμαιζήλων πρὸς τὰ ἐπουράνια. τοῦτό ἐστι τὸ ζητούμενον, τὸ μετὰ θεοῦ τῇ ἀπροσπαθείᾳ εἰς ἀεὶ ἔσεσθαι. πλὴν οἱ πόλεμοι στεφάνων αἴτιοι παρὰ τῶν πατέρων ἡμῶν ὁρίζονται· ὥστε, εἰ καὶ πολεμούμενοι ἐνιστάμεθα, νίκης ἀποφερόμεθα κλέος κατὰ τοῦ ἡττημένου διαβόλου.

Ἐγὼ δὲ αἰσχύνομαι, ἰσχημένος ὢν τοῖς πάθεσι, τοιαῦτα πρὸς σὲ τὸν πατέρα μου φθεγγόμενος, ἀλλ' ἠνάγκασμαι δι' ὑπακοήν σου. καλὸν τὸ λυθῆναι τῆς πολυδέσμου προσπαθείας καὶ δεθῆναι τῷ ἀκορέστῳ ἔρωτι Κυρίου. συμφέρον, πάτερ μου, τὸ ἀποσχέσθαι τῆς τῶν παθῶν δυσωδίας καὶ ὀσφραίνεσθαι τῆς τοῦ πνεύματος εὐωδίας. μακάριον τὸ κατανυχθῆναι ἐνταῦθα καὶ κλαῦσαι ὑπὲρ ....· καὶ ἀγαλλίασις τῷ τοιούτῳ, ἐν πᾶσι προηγουμένου ⟨τοῦ φόβου⟩ θεοῦ· ὅς, καθάπερ πῦρ ὅτε ἐν τῇ ψυχῇ γένηται, ἐγκαταφλέγειν πέφυκε τὰς εἰσβολὰς τῆς ἁμαρτίας. πῶς δὲ οὐ φοβητέον ὃν φρίττουσι

13 Prov. 3,28

9 ἀγαλλιασώμεθα T Sirm: correxi 13 τέξηται Sirm 15 ἐσθίων om Sirm 16 εὐχαριστείας T 20 σου om Sirm 26 δύνατ' Sirm 32 ἠσχημένος T Sirm: corr Kambylis 36 τῆς – 37 κατανυχθῆναι in marg T lacuna quadraginta fere litt in codice propter primam lineam paginae decurtatam; supplere e. g. possis τῶν φρουρησάντων ἡμᾶς ἁμαρτωλῶν μοιχοζευκτῶν 38 lacunam octo fere litt verbis τοῦ φόβου supplevi 39 ἐγκαταφεύγειν Sirm 40 φρίττουσιν Sirm

ἄγγελοι, οὗ τῷ βλέμματι δονεῖται ἡ κτίσις, ᾧ παραστησόμεθα πάντες γυμνοὶ καὶ τετραχηλισμένοι, μικρὸν ὕστερον ἀποληψόμενοι τῶν βεβιωμένων τὰς ἀμείψεις; ἐγὼ / δὲ ὁ τάλας, ἐν οὐδενὶ ὧν εἶπον ἑαυτὸν καταλαμβανόμενος, σκυθρωπάζω, τὴν τῶν ἁγίων εὐχῶν σου ἐπικουρίαν αἰτῶν εἰς διάνοιξιν τῶν τῆς ψυχῆς ὀφθαλμῶν, εἰς γεῦσιν τοῦ ὄντως ἔρωτος. ἀλλ' ἔστι μοι σὺν τῇ ψυχῇ καὶ τὸ σῶμα ἀσθενές, ὡς οἶσθα, καὶ οὐκ οἶδ' ὅ τι χρήσωμαι· μικρὸν γὰρ εἰ δόξω βιάζεσθαι, ἀπόλλω καὶ ὅπερ μικρὸν κατέχω. μίαν ταύτην παρηγορίαν εὕρηκα (καὶ δέον ἀναθέσθαι σοι, πάτερ μου), ἐξ ἀναγνώσεως καὶ ἐρωτήσεως τῶν Ἀνατολικῶν μαθὼν τὸ χρῆναι τοὺς ἡσυχάζοντας εἰ δυνατὸν καθ' ἑκάστην μεταλαμβάνειν τῆς θείας κοινωνίας. ἐχρησάμην οὕτως καὶ εὗρον βοήθειαν ὁ ἄθλιος, ὑποστελλομένης τῆς διανοίας ἐκ τῆς ἐμπαθοῦς κινήσεως διὰ τὴν τοῦ δώρου ἔμφοβον ὑποδοχήν. καὶ τί γὰρ μεῖζον εἰς ἀγαλλίασιν καὶ φωτισμὸν εἴη ἂν τῇ ψυχῇ πλέον τῆς θείας κοινωνίας; ἐν ποτηρίῳ δὲ ὑαλίνῳ ἀφωρισμένῳ προβαλὼν οἶνον καὶ εὐξάμενος τὰ συνήθη μετέχω ὁ ἀνάξιος τοῦ δώρου. καὶ δήλωσόν μοι εἰ καλῶς ποιῶ ἢ οὔ· πέρα⟨νον τῶν⟩ καρπῶν σου φαγέσθαι.

Μακάριος εἶ, πάτερ μου, καὶ καλῶς σοι ἔσται, πατὴρ χρηματίσας πολλῶν καὶ εἰς μέτρον ἀρετῆς τοσοῦτον ἀγαγών, ὥστε τανῦν ἐν ἐξορίᾳ ὑπάρχειν τοὺς πάντας δι' ἐντολὴν καὶ νόμον Κυρίου. ἀλλ' ὑπερεύχου πᾶσι τελειῶσαι αὐτοῖς τὸν δρόμον.

555. Βασιλείῳ τῷ ἀοιδίμῳ ἡγουμένῳ σὺν πᾶσι τοῖς ἁγίοις πατράσι τῆς σεβασμίας μονῆς τοῦ Ἁγίου Σάβα

Τῶν τῆς εὐσεβείας δογμάτων καθεστώτων φιλοτάραχον τὸ κινεῖσθαι, τούτων δὲ στασιαζόντων, ὡς νῦν ἐν τῇ καθ' ἡμᾶς μάλιστα ἐκκλησίᾳ, πῶς οὐκ ἀναγκαίως διεγερτέον, φειδομένους οὐδενός, μὴ ὅτι γε μακρᾶς ὁδοῦ, τῶν τε ἄλλων τληπαθημάτων ἀλλὰ καὶ αὐτοῦ θανάτου καταφρονεῖν; αὕτη ἡ αἰτία τῆς πρὸς ὑμᾶς τοὺς ὁσιωτάτους τῶν πνευματικῶν ἡμῶν τέκνων Λιτοΐου καὶ Συμεὼν ἀποστολῆς, οὗτος

41 Hebr. 4,13

42 ἀποληψόμεθα Sirm 46 ὄντος T Sirm: correxi 47 χρήσομαι T Sirm: correxi 48 an ἀπολῶ scribendum? 49 ἐρωτήσεως: χρήσεως Sirm 53 ὑποδοχὴν: ὑπεροχὴν Sirm 55 ἀφορισμένῳ T 57 supplevi 59 μέτρον: μέσον Sirm 60 καὶ νόμον: νόμου Sirm

555. a. 809–811

T

2 τοῖς ἁγίοις πατράσι om Mai Mi

ὁ τρόπος τῆς μετὰ θεὸν πεποιθήσεως κινδυνώδους ἐν τοῖς αὐτόθι ἐκδημίας.

Ἀλλ', ὦ πατέρες ἅγιοι, πῶς ὑμῖν ἐναργῶς διηγήσαιμι τὰ κατὰ τοῦ εὐαγγελίου τοῦ Χριστοῦ ὑπὸ τῶν ἐνταῦθα τολμηθέντα καὶ πραχθέντα; Ἱερεμίας ὁ πολυθρηνότατος ὧδέ πού φησιν ἐν ταῖς ἑαυτοῦ προφητείαις· ποιμένες ἠφρονεύσαντο καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν. ἐνταῦθα δὲ χαλεπώτερόν τι καὶ λίαν ἔκτοπον· τοὺς γὰρ ἐκζητεῖν αὐτὸν προαιρουμένους καὶ ἀντεχομένους τοῦ νόμου αὐτοῦ ὡς ἠλλοτριωμένους αὐτοῦ ἀναθέματι ἀνεθεμάτισαν, τίνι δ' αὐτῶν ἀνενέγκαντες, εἰ καὶ φρικτὸν εἰπεῖν, τὸ ἀνάθεμα ἢ δῆλον ὅτι τῷ εἰπόντι· ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ, καὶ ὁ μὴ δεχόμενος ὑμᾶς οὐ δέχεται τὸν ἀποστείλαντά με;

Τί οὖν; σύνοδος ἀντικαθισταμένη τοῖς τοῦ Κυρίου νόμοις καὶ λόγοις· καὶ τὸ πῶς ἐρῶ. αὐτοῦ τοῦ Κυρίου εἰπόντος, οὓς ὁ θεὸς ἔζευξεν ἄνθρωπος μὴ χωριζέτω, ἱερεύς τις μονάζων τὸν μοιχεύσαντα βασιλέα Κωνσταντῖνον κατὰ τὸν λόγον τοῦ Κυρίου ἐπὶ τῇ ἐκβολῇ τῆς οἰκείας γυναικὸς καὶ εἰσοικήσει τῆς μοιχαλίδος συνέζευξεν, ἐστεφάνωσεν, ἐμαχήσατο διὰ τῆς εὐκτικῆς ἐπικλήσεως τῷ ἀπαγορεύσαντι τὴν μοιχείαν καὶ δεινὰ ἀπειλήσαντι τὰ ταύτης αἰώνια ἐπιτίμια ἀλόγως ἀπαγορεῦσαι καὶ οἱονεὶ διορθωτὴς αὐτῷ τοῦ σφάλματος γενέσθαι πεφιλονείκηκεν, εἴπερ Χριστὸς ἀρᾶται μὲν τὸν μοιχεύοντα, ὁ δὲ εὐλογεῖν αὐτὸν ὑπεφώνησεν εἰς ὑπήκοον πάντων, καὶ ὁ μὲν ὀργίζεται ἐπὶ τῇ ἀθεμίτῳ πράξει, ὁ δὲ εὐδοκεῖν αὐτὸν ἐπὶ ταύτῃ εἰρήκει, καὶ ὁ μὲν ἀκλεᾶ καὶ ἀγέραστον διαγορεύει διά τε προφητῶν καὶ ἀποστόλων τὸν τοῦ νόμου αὐτοῦ παραβάτην, ὁ δὲ ὑπέδειξε στεφανοῦν αὐτὸν τὸν τοιοῦτον· διὸ καὶ τὸ τελευταῖον τῆς συναφείας σύμβολον, τὸ ἄχραντον Χριστοῦ σῶμα καὶ αἷμα, ὡς ἁγνοῖς καὶ ἀκιβδήλοις μετέδωκε τοῖς μοιχωμένοις.

Ἔγνωσται ἆρα ἐκ τοῦ αἰῶνος ἐκτοπώτατον τοιοῦτον δρᾶμα; ἢ ὅτι οὐ Χριστῷ, τῷ καθαρῷ τῶν καθαρῶν συναρμοστῇ, ἀνήνεγκεν ὁ γεννάδας τὴν ἐπίκλησιν, ἀλλ' αὐτῷ τῷ συνεργῷ καὶ συναυτουργῷ τῆς μοιχείας σατανᾷ, θεὸν αὐτὸν καὶ πατέρα ὁ ἀνίερος ἀποκαλέσας καὶ δοὺς κατὰ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν τῷ αὐτοῦ ἀντάρτῃ

---

21 σύνοδος: mens. Ianuar. a. 809 convocata 23 ἱερεύς τις: oeconomus Josephus 25 γυναικός: Maria μοιχαλίδος: Theodote

---

14 Jer. 10,21 18 Luc. 10,16 22 Matth. 19,6

---

9 θεὸν: an θεοῦ scribendum? 14 ἠφρονήσαντο Mai Mi ἐκζήτησαν Mai 16 ὡς om Mi 18 δηλονότι T Devreesse: correxi 29 πεφιλονίκηκεν T: ἐπεφιλονείκησεν Devreesse: correxi 30 εὐλογῶν Devreesse 34 τὸν om Devreesse 37 ἆρα Devreesse: ἄρα T δράμα T

διὰ μέσου τῶν σατανοθελῶς μοιχευσάντων τὰ νικητήρια; οὕτω τοῦδε κατὰ θεοῦ πεπραχότος, πρότερόν τε καὶ ὕστερον ἕως θανάτου συνδιαιτουμένου τοῖς μοιχωμένοις καὶ μεταδιδοῦντος τῶν θείων δώρων, εἰ καὶ εἴρχθη ὑπὸ τοῦ προηγησαμένου μετὰ τὴν διάρρηξιν τῆς μοιχικῆς βασιλείας, τί νῦν γίνεται ὑπὸ τοῦ νέου προέδρου μετὰ καὶ πεντεκαίδεκα ἱεραρχῶν ἐκ ῥοπῆς τοῦ κρατοῦντος; εἰσκρίνεται πάλιν ἱερουργεῖν ἐν αὐτῇ τῇ καθολικῇ ἐκκλησίᾳ.

Καὶ ἐπειδὴ οὐκ ἐγκατέλιπε Κύριος τοσοῦτον τὴν καθ' ἡμᾶς γενεάν, ὥστε πάντας κλῖναι γόνυ τῇ Βάαλ, ἀλλ' εὑρεθῆναί τινας ὡς καὶ ἐπ' αὐτῆς τῆς μοιχείας πρότερον καὶ αὐτίκα ἐρειδομένους τοῖς τοῦ θεοῦ νόμοις, γνωσθέντων τούτων τῷ δὴ παραιτουμένῳ τὴν κοινωνίαν ἀμφοτέρων κροτεῖται ἐκ προστάγματος βασιλικοῦ καθολικὴ σύνοδος. καὶ δὴ πρὸ τῆς συνόδου φρουρήσαντες καὶ περιστοιχίσαντες στρατιωτικὸν τάγμα τοὺς μὴ συνανομεῖν αὐτοῖς ἀνελομένους ἱστῶσιν ἐπὶ τοῦ συνεδρίου τῆς παρανομίας, ἀναθεματίζουσιν οἱ μοιχοΐστορες, αὐτοφρουροῦσιν, ὑπερορίζουσιν, εἴργουσιν ἀσφαλῶς ἄλλον ἐξ ἄλλου, οὓς μὲν καὶ σιδηροδεσμίους θέμενοι, ἐνίους δὲ καὶ τῷ ξύλῳ τοῖν ποδοῖν συνείραντες.

Ταῦτά ἐστι τὰ δραματουργήματα τῆς ἀναφυείσης μοιχειανικῆς αἱρέσεως, ὦ πατέρες. δεδογματίκασιν οὖν ἐπὶ τῶν βασιλέων μὴ κρατεῖν μηδὲ ἄρχειν τοὺς θείους νόμους, ὁπόταν οὐ βούλωνται, ἀλλὰ τὴν σὺν αὐτοῖς παρανομίαν καὶ λύσιν τῶν τοῦ Κυρίου ἐντολῶν οἰκονομίαν προσαγορεύεσθαι. ὅθεν οὐδὲ μιμεῖσθαι θεμιτὸν τοὺς ἐν τῇ παρούσῃ γενεᾷ τινα τῶν μέχρις αἵματος ἐναντίον βασιλέων παρρησιασμένων ὑπὲρ θείων νόμων φασί· καὶ διὰ τοῦτο τὸν Πρόδρομον μὲν μὴ διὰ τὸν πρὸς Ἡρώδην ἐλεγμὸν εἶναι πρόδρομον ἔφασαν, κατασμικρύνοντες τὴν κορωνίδα τῆς ἀρετῆς τοῦ ἁγίου, εἴπω δὲ καὶ παρωθούμενοι αὐτὴν ὡς οὐκ ἀναγκαίαν, τὸν δὲ Χρυσόστομον καὶ φωστῆρα τοῦ κόσμου καὶ φανερῶς εἰπεῖν ἐτόλμησαν καὶ λέγουσιν οὐ καλῶς πεποιηκέναι ὑπὲρ τοῦ τῆς χήρας ἀγροῦ ἐξορισθέντα, ἐλέγξαντα τὴν Εὐδοξίαν κἀντεῦθεν ταράξαντα τὴν ἐκκλησίαν. ἑκάστῳ τῶν ἱεραρχῶν πρὸς τὸ δοκοῦν αὐτῷ ἐν τοῖς παρεμπίπτουσι σφάλμασιν, ἀλλ' οὐχ ὡς ὁ κανὼν πάντως διαγορεύει, πράττειν ἐξέφη-

---

45 προηγησαμένου: Tarasius 46 προέδρου: Nicephorus

50 1 Reg. 19,18; cf. Rom. 11,4

50 κλίναι T 54 περιστοιχίσαντες Devreesse: περιστοιχήσαντες T

ναν, κἂν καθαίρεσις πρόκειται, καὶ τοῦτο οἰκονομίαν νομίζοντες· μηδὲ γὰρ ἐγχωροῦν ἐστι φυλάττεσθαι τοὺς κανόνας φησὶν ἅπαντας.

Τί τἆλλα λέγειν καὶ μηκύνειν τὸν λόγον; πολυσχεδῆ αἵρεσιν ἐτεκτήναντο, τὸ ἱερὸν εὐαγγέλιον ἀνατρέπουσαν, τοὺς θείους κανόνας διαλύουσαν, τὰς τῶν θεοφόρων πατέρων διδασκαλίας ἀπορραπίζουσαν καὶ τὴν ἀντιχριστικὴν ἀποστασίαν προευτρεπίζουσαν, ἀνθ' ὧν οὐ στοιχεῖν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ κατὰ πάντα οὔτε τοῖς ἀποστολικοῖς διατάγμασιν οὔτε τοῖς πατρικοῖς ἐντάλμασιν ἐμμένουσιν, ἀλλὰ πῇ μὲν οὕτως, πῇ δὲ οὐχ οὕτως διὰ τὴν ἐξευρεθεῖσαν αὐτοῖς πονηρὰν καὶ ἀθετητικὴν ἐργασίαν, ἀλλ' οὐκ οἰκονομίαν· οὐδεμία γὰρ οἰκονομία λύσιν αὐτῶν ἀποτελεῖ, οὐδ' οὐ μὴν κανόνων, ἢ ἐφ' ὧν ἐνδέχεται μικρὸν παρορᾶν τι, οὐ μὴν εἰς ἀθέτησιν νόμου ἢ ἀναγκαίου ἤτοι καθαιρετικοῦ κανόνος· ἀποστασίας γὰρ τοῦτο σημεῖον.

Ταῦτ' οὖν ἐνωτισάμενοι, ἅγιοι πατέρες, συμπάσχοιτε ἡμῖν τοῖς ταπεινοῖς ὑπὲρ τοῦ κοινοῦ κλήρου τῆς πίστεως κάμνουσιν, καὶ ἐφ' ὅσον οἷόν τε ὀρέξατε χεῖρα. ἴσμεν ὑμῶν τὴν ἐν πυρὶ τῶν πειρασμῶν τοῦ ἔθνους ζωὴν καὶ μακαρίζομεν ὑμῶν τὴν ὁμολογητικὴν ὑπομονὴν καὶ μάρτυρας ὑμᾶς Χριστοῦ οὐ διακρινόμεθα προσαγορεύειν· ἀλλ' ὅμως καὶ τοῦ ἀναφθέντος ἐν ἡμῖν πυρὸς τῆς κακοδοξίας προθυμήθητε σβεστῆρες γενέσθαι ὁσιώτατοι. ναί, δεόμεθα τὰ πατρικὰ ὑμῶν σπλάγχνα, ὑμεῖς τῆς θείας ἐκείνης καὶ Σαβαϊκῆς ῥίζης ὁμόζηλα βλαστήματα τῆς μετὰ τῶν ἄλλων καὶ θερμῆς ὄντως καὶ διαπύρου εἰς ἐκδίκησιν πίστεως. ἐγνώσθη κἂν ταῖς ἀνωτέρω γενεαῖς οἷα οἱ μακάριοι Σαβαῗται διηγωνίσαντο ὑπὲρ τῆς ἀληθείας. τῆς αὐτῆς οὖν ὄντες καὶ αὐτοὶ χάριτος καὶ τοῦ αὐτοῦ πνεύματος, ὦ σεβασμιώτατοι, τὰ αὐτὰ ἐκείνοις ἐν τῇ νῦν καινοτομίᾳ τῆς πίστεως μὴ παραιτήσησθε κατὰ τὸ δυνατὸν ἐνδείξασθαι, ὡς ἂν εὐφράνοιτε θεόν, ὑπὲρ οὗ καὶ ὁ λόγος, καὶ τὸν παμμάκαρα Σάβαν σὺν πᾶσι τοῖς ἁγίοις. ἱκανὸν δὲ ἔσται πρὸς τὸ ζητούμενον, εἰ καὶ μηδὲν ἄλλο, τὸ τὴν μοιχοσύνοδον ὑμᾶς τὴν ἀναθεματίσασαν τοὺς ἁγίους ἀναθεματίσαι καὶ δεύτερον τὸ τὰς ἱερὰς ὑμῶν προσευχὰς χαρίζεσθαι ἡμῖν εἴς τε ὑπομονὴν τῶν κακούντων καὶ ὁμονοίαν εἰρήνην τῶν ἐκκλησιῶν τοῦ Χριστοῦ.

76 κανόννας T φασὶν Devreesse 77 τ' ἄλλα T Devreesse: correxi πολυσχιδῆ Devreesse (sed cf ep 477,228; Cyrill vit Sabae 89 [p. 197 Schwartz] πολυσχεδὴς ἀσέβεια) 78 ἐτεκτείναντο T 80 post ἀπορραπίζουσαν voces ἀνθ' ὧν οὐ στοιχεῖν cancell T 101 παραιτήσασθε Devreesse 102 εὐφράνητε Devreesse 105 ἀναθεματίσαι Devreesse: ἀναθεματῆσαι T τὸ ante δεύτερον inser Devreesse 107 καὶ ante εἰρήνην inser Devreesse

556. Γρηγορίῳ τέκνῳ

Ἀπάντα τὸν λόγον, ἀδελφὲ ἠγαπημένε, ὡς Χριστοῦ στρατιώτης, ὡς σὺν ἐμοὶ τῷ ἁμαρτωλῷ ἀπόκλειστος ὑπὲρ τοῦ εὐαγγελίου αὐτοῦ, μήτε ἀναλγήτως διατιθέμενος (ἀλογώτατον γάρ) μήτ' αὖ πέρα τοῦ δέοντος καταλυπούμενος ([ἀχρ]εώτατον γάρ).

Ἐδεξάμην ἐπιστολὰς δύο, μίαν παρὰ τοῦ πατρὸς ἡμῶν καὶ ἑτέραν [παρὰ] τοῦ ἀδελφοῦ Ἀθανασίου, καθαπτομένου μου τοῦ πατρὸς ἡμῶν τῆς ταπεινώσεως τῷ ὄντι, ἀλλὰ καὶ κλῶντός μου τὴν ἐλεεινὴν ψυχὴν εἰς συμπάθειαν, τοῦ δὲ ἀδελφοῦ Ἀθανασίου τοσοῦτον πνεύσαντος κατὰ τῆς ἀσθενείας μου, ὡς εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου· οἶδας γὰρ ἐξ οὗ ἄνθρωπος ἐλπίζει βοηθεῖσθαι καὶ ὑπολαμβάνει τὸν τοιοῦτον ἰσόψυχον, ἰσόρροπον, ταὐτοπρόθυμον, ὁπόταν ἐν καιρῷ πολέμου παρὰ τοῦ τοιούτου τροπὴν ἐπίδοι τὴν ἐναντίαν, θανάσιμόν τι πανθάνει πάθος.

Τοιοῦτό μοι, ποθεινότατε, ὤφθη τανῦν. ὁ δεύτερος ἀγγελίᾳ ἐπὶ ἀγγελίᾳ βαρείᾳ, μᾶλλον δὲ πονηρᾷ κατασπᾶν μου τὸν νοῦν καὶ τὴν ἐλεεινήν μου ψυχὴν εἰς ᾅδην ἐναγωνιζόμενος, κἄν, ὥς φησι, φειδοῖ· ἀμφότεροι μὲν ὅτι οὐκ ἔστιν αἵρεσις δυνάμει λαλοῦντες τὰ τοῦ β̄ καὶ γ̄ μάλιστα (συνίημι γὰρ τοὺς λόγους καὶ τὰς διαθέσεις ἀμφοτέρων) κἀντεῦθεν ὑποτιθέμενοι καὶ ὑπομιμνήσκοντες ἐπισκέψασθαι τὰ συγγραφέντα μοι ὡς ἐσφαλμένα καὶ ὡς ἵνα μὴ αἰσχυνθεὶς διορθώσασθαι ἐκπέσω τῆς ἐκκλησίας ὑπὸ τῶν μεταγενεστέρων, εὑρισκόντων ἀλλότρια θεοῦ τὰ συγγράμματα, θυμώδη με καὶ ἐκστατικὸν ἐπιγράφων ὁ πρῶτος, ὁ δὲ δεύτερος ὡς τὸν Κενδουκλᾶν χεῖρον ἡμᾶς εἶναι καὶ ὅτι ‚οὐδεὶς τῶν ἀδελφῶν φυλάττει τοὺς λόγους σου' (καθαπτόμενος λεληθότως τῶν δι' ἐρωτήσεων ἀποκρίσεών μου) καὶ ὅτι εἰς μυρίας δόξας διῃρέθησαν καὶ ὅτι οἱ πλείονες καί γε τῶν προεχόντων ταῦτα λέγουσιν, εἰ καὶ μηδεὶς ἔγνω ὅτι ἐπέστειλα, ἐπιχειρήσεις φέρων ἀσυνέτους καὶ ἀλλοκότους, ὡς ὅτι εἰς ἑαυτὸν περιπίπτω ἐν τοῖς γεγραμμένοις μοι, τοῦτο δὲ διδάσκων παντὶ σθένει εὖ ἔχειν· ἐπεί,

---

556. a. 810 – 811 6 πατρός: Platon

2 2 Tim. 2,3

A

3 ἁμαρτολῷ Gill 4 διατιθέμενος om Gill 5 [ἀχρ] εώτατον suppl Gill 7 [παρὰ] suppl Gill 10 παραβραχὺ A Gill 13 ταὐτοπρόθυμον: τοῦτο πρόθυμον Gill 15 ἀγγελία Gill 17 fort exc post ᾅδην vox ἐνεγκεῖν κἂν Gill 18 ἔστι Gill 19 τοῦ ante γ̄ inser Gill συνίειμι A: corr Gill 24 Κενδουκλᾶν coll ep 445,44 supplevi: κεν/////λᾶν A Gill

φησί, ὅτι πάντες οἱ φίλοι καὶ εὐσεβεῖς τῷ μὴ λέγειν αἵρεσιν ἀλλ' ἢ μόνον παράβασιν τῶν ἐντολῶν τοῦ θεοῦ, καταπατητὰς τῶν θείων κανόνων καὶ ἀνιέρους, ‚φεύγετε αὐτῶν τὴν κοινωνίαν παντάπασι', καὶ ἕτερα πρὸς τοῖς εἰρημένοις ἐπιπλήττων, ὡς οὐχ οἷόν τε τὸ γράμμα ἀπαγγεῖλαι διὰ τὸ πλῆθος.

Τί οὖν ὁ ταπεινὸς ἐγώ; ἀποτιναξάμενος τὴν ἀθυμίαν βοηθείᾳ καὶ τοῦ ἀδελφοῦ Εὐπρεπιανοῦ καὶ ἀπαρνησάμενος τῇ διαθέσει πᾶσαν σάρκα, πρὸς μόνον δὲ θεὸν ἀποβλέψας, ὑπὲρ οὗ μοι ταῦτα καὶ δι' οὗ ἡ βοήθεια μάλιστα τῷ ἀσθενεῖ καὶ σαθρῷ, ἀντεπέστειλα δεόντως ἐπιλύων τὰς ἀπορίας αὐτῶν καὶ ἐνστάσεις μαρτυρίαις γραφικαῖς καὶ πατρικαῖς ἐν ὀκτὼ τετραδίοις πρὸς ἥμισυ. ὁρῶν οὖν ὅτι τὸ μὴ φέρειν αὐτοὺς τὴν ἐκ τοῦ λέγειν αἵρεσιν ὀργὴν τοῦ κρατοῦντος αἴτιον τῆς ἀσυμφωνίας ἢ νοὸς ἐν τοῖς μὲν ἀχωρησίαν ἢ τάχα καὶ τοῦ φθόνου ὑποσμηχόμενον τὸ κέντρον καὶ πάντοθεν ἀπορῶν τό τε σχίσμα ἡμῶν αὐτῶν δεδιώς, εἰς χαρὰν ὂν τοῦ διαβόλου καὶ τῶν αἱρετιζόντων, τό τε συνελθεῖν αὐτοῖς ἀποστασίαν εἶναι ἀληθείας, συμβουλίᾳ καὶ τοῦ ἀδελφοῦ ἐπὶ οἰκονομίαν ἦλθον μιμήσει τῶν ἁγίων πατέρων ἡμῶν, μηδὲν ἔχουσαν, ὡς οἶμαι, τὸ βλάπτον καὶ παρὰ τὸ εἰκὸς εἰς νόμον θεοῦ· καὶ δὴ ταύτην παρατίθημι, ἔχουσαν ὧδε.

‚Ἐπεὶ ὁρῶ ὑμᾶς εἰς τοσοῦτον ὑπενδοῦναι ὥστε ἀπορραγὴν γενέσθαι εἰς ἡμᾶς, τοῦτο φρονεῖν γέγονέ μοι εὖ ἔχειν εἰς οἰκονομίας τρόπον. εἰ μὴ φέροι τις λέγειν αἵρεσιν ἀχωρησίᾳ νοός, ἀσθενείας μέν ἐστι, κἂν οὐ βούληται, λογίζεσθαι οὕτως ὁ ἀκούων, συγχωρητέον δὲ ὅμως τὴν φωνὴν χάριν τῆς συναφείας, τῶν ἄλλων σῳζωμένων, λέγω δὴ τῆς τε ἀκοινωνησίας καθόλου καὶ ἄλλης πως οὐ συγκαταβάσεως, καθὰ καὶ οἱ φίλοι δῆθεν ἐπαινοῦσιν ὑμᾶς· κἀμοὶ καὶ τοῖς ὁμοίως μοι αἱρουμένοις ἔστω τὸ λέγειν αὐτὴν αἵρεσιν, καθὼς πεπιστεύκαμεν ἐν ἀποδείξει τῆς ἀληθείας, καὶ εἰ οἱ δι' ἐναντίας τοῦτο ὁρῶντες ἐνδιαβάλλουσιν ἡμᾶς ἀσυμφώνους εἶναι, μηδετέρῳ μέρει μελέτω· ἐν γὰρ τῇ ἀφωνίᾳ συμφωνία ἡμῖν πραγματεύεται τοῖς πράγμασι, ἐξ ἴσου ἀφισταμένοις τῆς κοινωνίας αὐτῶν , ἕως ἂν ὁ θεὸς πληροφορήσῃ ἡμᾶς, τοῦτο εἰδότας, ὡς καὶ τὸ σχίσμα οὐδὲν ἔλαττον αἱρέσεως, ὡς τῷ Χρυσοστόμῳ εἴρηται.'

31 τῷ scripsi: τὸ A Gill 34 ὣς A 37 Εὐπρεπειανοῦ Gill 48 οἶμαι: οἶμοι Gill 53 βούλεται Gill 55 πῶς A: corr Gill 60 μελετῶντας Gill 61 ἐξίσου A: distinxit Gill 62 εἰδότες Gill

557. ....

Ἡ πρὸς ἡμᾶς σου ἐπιστολή, ὁσιώτατε ἐν μοναχοῖς καὶ ἡμῖν ποθεινότατε πάτερ, δεικνύει καθαρῶς τὴν τῆς ψυχῆς σου λαμπρότητα· πολλῆς γὰρ γέμει τῆς ἡδονῆς τε καὶ χάριτος καὶ τῆς πρὸς τὴν εὐτέλειαν ἡμῶν πνευματικῆς διαθέσεως. ἀνθ' ὧν δῴη σοι Κύριος τὰ ἀγαθὰ τῆς ἄνω Σιὼν καὶ βοηθός σοι γένοιτο καὶ ὑπερασπιστὴς κατ' ἐχθρῶν ἀσάρκων καὶ ὑπέρμαχος καὶ ἀντιλήπτωρ· καὶ μὴ δείξαι δύσκολον ἐνώπιόν σου, ἀλλ' εὔκολα καὶ ὁμαλὰ ποιήσοι πάντα σου τὰ δι' ἀρετῆς πρὸς αὐτὸν διαβήματα.

Ἐγὼ δέ, εἰ καὶ προέγραψα πρὸς τὴν σὴν ἁγιωσύνην, ἀλλ' οὐ πρὸς ἀντίδοσιν γραμμάτων ἀποσκοπῶν ἔγραψα, ὅτι μηδὲ ἄξιον ἐμαυτὸν κρίνω παρὰ τοιούτων ἀνδρῶν καὶ ἐκ τοσούτου διαστήματος ἐπιστέλλεσθαι, ἀλλὰ τὴν ἐμαυτοῦ διάθεσιν ὅση βουλόμενος ἐκφᾶναι τοῦτο πεποίηκα καὶ ποιῶ, οὕτω με τοῦ πνευματικοῦ πόθου οὐκ ἀπεικότως βιαζομένου. αὐτὸς δέ, ὦ θεία μοι καὶ αἰδέσιμε κεφαλὴ καὶ μοναχῶν ὁσίων ἀγλάισμα καὶ ἀκρότης, ἀντεπιστεῖλαι ἠξίωσας τῷ ἀναξίῳ θεομιμήτως, ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς προγραφῆς τοσοῦτον ἡμῖν τῆς ταπεινοφροσύνης σου τὸ θεῖον ὕψος ὑπέδειξας, ὡς καταπλαγῆναι ἡμῶν τὴν διάνοιαν. ὢ τοῦ θαύματος· εἰ γὰρ ὁ τοσοῦτος καὶ τηλικοῦτος τῇ τῆς ψυχῆς λαμπρότητι καὶ τῇδε συνισουμένην ἔχων τὴν ἀρετὴν ἀπαστράπτουσαν, ὡς αὐτὰ μαρτυρεῖ τὰ πράγματα, ἐμοῦ τοῦ οὐθενοῦς ὑποδεέστερον ἑαυτὸν τίθησι, ὁ παντάπασιν ἀμελὴς ἐγὼ καὶ νωθρὸς τί ἐμαυτὸν ὀνομάσαιμι; καὶ εἰ ὁ τῆς ἀρετῆς λαμπτὴρ ἁμαρτωλὸν ἑαυτὸν ὑπογράφοιεν, ὁ ἁμαρτωλὸς ποῦ φανεῖται, ὥς φησι τὰ ἱερὰ λόγια, ἢ τί ἀποκριθήσεται; ἆρα, εἰ καὶ μηδὲν ἕτερον ἐγέγραπτο τῇ σῇ ἐπιστολῇ, ἤρκει τοῦτο μόνον τοῦ τε δεχομένου τὸν νοῦν ἐκθαμβῆσαι καὶ τοῦ πεπομφότος τὸ ἀνυπέρβλητον ἐν ἀρετῇ θριαμ-

---

557. 10–28 = ep. 423,2–17 24 Prov. 11,31; cf. 1 Petr. 4,18

L

1 cf adn ad ep 423,36 2 ποθηνότατε L 8 ποιήσαι L[ac] 14 με L[sscr] 15 κεφαλῇ L[ac] 25 ἐγγέγραπτο L: correxi 27 πεμφότος L

βεῦσαι. ἀλλ' ἐπειδήπερ ἔθος ἐστὶ τοῦτο ἀρχαῖον τοῖς εὐσεβῶς βιοῦσι καὶ ὡς θεῷ φίλον, τὸ διηνεκῶς ἑαυτοὺς ἐξουθενεῖν τε καὶ μέμφεσθαι, καθάπερ ὁ πατριάρχης Ἀβραάμ, Ἰὼβ τε ὁ δίκαιος, ὁ θεόπτης τε Μωσῆς, Ἱερεμίας τε ὁ θεῖος, Δαυὶδ ὁ θεοπάτωρ, ἀπόστολοί τε καὶ μάρτυρες καὶ πᾶς ὁ λοιπὸς τῶν ἀπ' αἰῶνος ἁγίων κατάλογος, ἀφέμενοι τοῦ θαυμάζειν εὐχαριστήσωμεν τῷ Κυρίῳ Ἰησοῦ, τῷ ἕως ἄρτι ἐργαζομένῳ σὺν ἰδίῳ γεννήτορι, βοηθοῦντί τε καὶ ἀνάγοντι ψυχὰς εὐσεβεῖς εἰς ἀρετῶν ἀκρώρειαν, ἀναπλάττοντί τε καὶ ἀλλοιοῦντι ταύτας τὴν καλὴν ἐκείνην Δαυιτικὴν ἀλλοίωσιν, ἣν μόνην πλάττειν οἶδεν ἡ δεξιὰ τοῦ ὑψίστου ἡ ἀναλλοίωτος· ἧς καὶ ἡμᾶς ἀξιωθῆναι ὑπερεύχου, δυσωπῶ, ἁγιώτατε πάτερ, κἂν μέγα καὶ ὑπὲρ ἡμᾶς ἐστι τὸ αἰτούμενον, ἢ τέως κἂν γοῦν ἀμπλακημάτων λύσιν εὑρεῖν παρὰ τοῦ φιλανθρώπου θεοῦ. ὃς καὶ γένοιτό σοι, εἰ ὅλως χρὴ καὶ ἡμᾶς ἁμαρτωλοὺς ὄντας ὑπὲρ ὁσίων εὔχεσθαι, παρέχων σοι ἰσχὺν πνευματικὴν καὶ χάριν πλουσίαν ἐν πᾶσιν καλοῖς, χρηστότητα τρόπων, ἠθῶν εὐκοσμίαν, μενόντων ἀγαθῶν τὴν μέθεξιν, ἀνωλέθρου ζωῆς τὴν ἐπίτευξιν, ἡλίου θείου τὴν ἔλλαμψιν, πάντων τε καλῶν τὴν μετάληψιν καὶ βασιλείας οὐρανῶν τὴν ἀπόλαυσιν.

558. ⟨Νεοφύτῳ⟩

Ἡδείας καὶ ποθεινὰς ἡμῖν συλλαβὰς τῆς ἐν Χριστῷ σου καλλίστης ἀγάπης, ὦ καλὲ Νεόφυτε, ὦ τρισερασμιώτατε φίλων καὶ ἀδελφῶν, ἐδεξάμεθα χερσὶν ὑπτίαις, τοῦτο δὴ τὸ παροιμιῳδούμενον, καὶ δεξάμενοι ἀνεγνώκαμεν καὶ ἀναγνόντες χάριν ἔσχομεν τῇ μεγάλῃ θεοῦ προνοίᾳ, τῇ σοφώτατα καὶ ὡς οὐκ ἄν τις εἴποι ἀνθρώπων τὰ ἡμέτερα πρὸς τὸ συμφέρον πηδαλιουχούσῃ καὶ διεξαγούσῃ, ἐν καλοῖς κατὰ τὴν ἄνεσιν ἀποσωθέντας καὶ οἷς ὅτι καθαρᾶς ὑγείας ἀπολαύοντας ἀνεμάθομεν. τί γὰρ ἥδυτερον ἡμῖν, τί δὲ χαριέστερον τοῦ τοιαῦτα εὐαγγελισθῆναι ἀφ' ὑμῶν καὶ περὶ ὑμῶν, τῶν ἴσα καὶ ὀφθαλμοῖς φιλούντων ἡμᾶς; ἅμα δὲ καὶ ὥσπερ διά τινος κατόπτρου τῆς ἡδίστης σου γραφῆς τοῖς νοεροῖς τῆς ψυχῆς ὄμμασι κατοπτεύσαντές σου τὸν πρὸς ἡμᾶς πόθον εἰλικρινέστερον καὶ βεβαιότερον ἔτι μᾶλλόν σοι

28 ἔθος in marg L 32 ἀφαίμενοι L 34 γενήτορι L^{ac} ἀνάγονται L: correxi 37 εἶδεν L: correxi 41 καὶ ἡ εὐχή in marg L 44 ἔλαμψιν L

558. L

1 Νεοφύτῳ supplevi ex l. 3 ἐκ τῶν ἐπιστολῶν τοῦ ὁσίου πατρὸς ἡμῶν θεοδώρου τοῦ στουδίτου L 2 ἡδεῖας L 3 νεόφητε L 6 ὡς L^{sscr} ἡμετέρα L

προσετέθημεν καὶ πνευματικῶς συνεδέθημεν καὶ μᾶλλον σου τῆς φιλικῆς συναφείας καὶ σχέσεως ἐξεχόμενοι περιεχόμεθα ἡμεῖς ἢ τῆς δρυὸς ὁ κισσὸς ἢ οἱ ὄνυχες τῶν σαρκῶν ἢ τῶν πετρῶν οἱ πολύποδες. καὶ οὔτε τόπος οὔτε χρόνος οὔτ' ἄλλο τι τῶν ἁπάντων ὅλως δυνήσεται διαστῆσαι ἡμᾶς τῆς σῆς ἀγαπήσεως, συνέριθον κεκτημένοι πρὸς τοῦτο τὸν νομοθέτην τῆς ἀγάπης Χριστόν, τὸν ἀκρογωνιαῖον λίθον, τὸν τῆς εἰρήνης καὶ ὁμονοίας πρύτανιν καὶ πατέρα, τήν τε ἑνοποιὸν καὶ συνδετικὴν δωρεὰν καὶ χάριν τοῦ Πνεύματος. εἰ γὰρ καὶ ὁ τόπος σωματικῶς ἡμᾶς ἀπ' ἀλλήλων διέστησεν, ἀλλ' ὁ καθαρὸς τῆς φιλίας τρόπος καὶ ἄδολος πνευματικῶς ἐπὶ πλέον συνῆψέ τε καὶ συνέσφιγξεν· ἐπὶ μὲν γὰρ τῶν σαρκικῶς, ἵν' οὕτω φαίην, συναπτομένων, ὅσον ἂν τὰ κατ' αἴσθησιν αἴτια τῆς ἑνώσεως περιαιρῆται καὶ περικόπτηται, τοσοῦτον καὶ οἱ ἔρωτες αὐτοῖς ψυχραίνονται καὶ μαραίνονται, ἐπὶ δὲ τῶν κατὰ Χριστὸν φιλούντων, τοσοῦτον ὁ πόθος διάπυρος κατὰ ψυχὴν ἐντὸς ἀνακαίεται, ὅσον καὶ τὰ ὑλικὰ καὶ ὁρώμενα κατασβεννύονται ὑπεκκαύματι ὅλου τοῦ φίλτρου καὶ πάσης τῆς διαθέσεως, κενωθέντων ὁλοκλήρως τῶν καρδιακῶν ταμείων ἐντός.

Ἀλλὰ τὸν μὲν ἡμέτερον πόθον ἔτι καὶ ἔτι θεὸς πρὸς περιφανεστέραν πυρκαϊὰν ἐξανάψειε. σὺ δὲ καὶ ἀναπαύειν παντοίως καὶ ψυχαγωγεῖν καὶ παραμυθεῖσθαι τὸν δεσπότην ἡμῶν τὸν γλυκύν, τὸν ἡδύν, τὸν χαρίεντα μὴ διαλείπῃς τὸ σύνολον. ἀνάπαυε δὲ μὴ σαρκικοῖς ἢ φυσικοῖς εἴκων θεσμοῖς μηδὲ ὡς ἀδελφὸν καὶ τὰς αὐτὰς ὠδῖνας σοι διαλύσαντα (τοῦτο γὰρ τῶν τυχόντων καὶ τῶν χαμαὶ καὶ πρὸς τὰ γήινα μόνα νενευκότων ἐστίν), ἀλλὰ διὰ τὸν θεὸν αὐτόν, δι' αὐτὸ τὸ καλὸν καὶ ὡς ὁμολογητὴν καὶ μάρτυρα τῆς ἀληθείας καὶ ὡς τῆς εὐσεβείας προασπιστὴν καὶ τῆς πίστεως πρόμαχον. ἡ χάρις τοῦ κρείττονος, κάλλιστε ἀδελφῶν, διαφυλάξειέ σου τὴν θεοφιλίαν κρείττω καὶ ἀνωτέραν πάσης σατανικῆς ἐπηρείας καὶ ἐπιθέσεως.

16 Macar. 7,21 (CPG II 203) πολύπους ὥσπερ πέτρας ἔχεται **19** Eph. 2,20

14 συνδέθημεν L: corr Kambylis **26** αὐτῆς L[ac] **34** διαλύπης L **40** θεοφιλείαν L

559. Πρός τινας ἁγίους ἐν ἐξορίᾳ ὄντας

Ὅσον ἡμῖν, δέσποτά μου θειότατε, μείζω καὶ ἀλλεπάλληλα τὰ τῶν πειρασμῶν ἀνορθούμενα κύματα φοβερὸν ἐπεισφρήσουσι, τοσοῦτον πρὸς τὰς ἀγρίας ἐμβολὰς τῶν πνευμάτων καὶ ἀντιπνοίας δοκιμωτέρους καὶ σοφωτέρους καὶ πλείονα πεῖραν ἔχειν κατασκευάζουσι· ὅσον αἱ θλίψεις πλεονάζουσι, τοσοῦτον ἡμῖν καὶ ἡ ἀένναος χάρις ἄφθονος ἐπιβλύζει τοῦ πνεύματος.

Ὅσῳ τὰ παθήματα περισσεύει ἐν ὑμῖν τοῦ σωτῆρος Χριστοῦ, τοσούτῳ καὶ ἡ παράκλησις, κατὰ τὸν ἀπόστολον φάναι, πλεῖον παρ' ἐκείνου χορηγουμένη προστίθεται.

Ὅσον ὁ κατ' αἴσθησιν ἄνθρωπος οὗτος ταῖς ἀνενδότοις κακώσεσιν ὑμῖν διαφθείρεται, τοσοῦτον ὁ ἔνδον ἡμέρᾳ καὶ ἡμέρᾳ ἀνακαινίζεσθαι, φησίν, δύναμιν ἔχει, καθὼς ὁ αὐτὸς ἀπόστολος καὶ πάλιν διδάσκει.

Ὅσον ὁ πήλινος οὗτος ἀσθενεῖ ἀνδριάς, τοσοῦτον ἡ ψυχὴ κατὰ τῶν ἀντιμαχομένων νευροῦται καὶ ῥώννυται τῇ συνάρσει καὶ συνεργείᾳ τοῦ πνεύματος.

Ὅσον ὑμῖν οἱ ὑπὲρ τοῦ ἀγαθοῦ ἀγῶνες ὑπερεκτείνονται, τοσούτου πλείους παρὰ τῆς στεφοδότιδος τοῦ κρείττονος δεξιᾶς καὶ οἱ στέφανοι πλέκονται. ὅσον ὑμῖν οἱ ἆθλοι καὶ τὰ παλαίσματα ἐπαυξάνονται, τοσοῦτον καὶ τὰ ἔπαθλα καὶ τὰ ἀμάραντα βραβεῖα πληθύνονται. καθ' ὅσον ἐκ τῶν παρόντων ἀγαθῶν διώκεσθε καὶ στενοχωρεῖσθε, κατὰ τοσοῦτον ἄρα πρὸς θεόν, τὸ κυρίως καλόν, ἀνατατικῶς ἀνυψοῦσθε καὶ τοῖς μέλλουσιν ἀγαθοῖς πλησιάζοντες ἐμπληροφορεῖσθε καὶ ἐμπλατύνεσθε.

Καθ' ὅσον τὴν ψευδώνυμον καὶ πατουμένην δόξαν καταπατεῖτε καὶ παρ' οὐδὲν ταύτην λογίζεσθε, κατὰ τοσοῦτον πρὸς ἑαυτοὺς τὴν ἀληθινὴν ἐφέλκεσθε καὶ οὐράνιον.

Καθ' ὅσον ἡ διὰ τὸν θεὸν πτωχεία καὶ ἡ ἔνδεια τῶν χρησίμων ὑμᾶς κατατρύχουσι καὶ ταπεινοῦσιν, κατὰ τοσοῦτον καὶ οἱ ἐν οὐρανοῖς θησαυροὶ καὶ τὰ μεγάλα καὶ ἀνεννόητα τῶν ἐπηγγελμένων

---

559. 8 2 Cor. 1,5 11 2 Cor. 4,16

1 L ἐκ τῶν ἐπιστολῶν τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου πρός τινας ἁγίους τοῦ τότε καιροῦ ἐν ἐξορίᾳ ὄντας παραινετικὴ ὁμοῦ καὶ παραμυθητικὴ καὶ εἰς ὑπομονὴν τῶν θλίψεων διεγείρουσα L (ex qua inscriptione titulum sumpsi) 4 an ἀντιπνοίας ⟨ἡμᾶς⟩ scribendum? 5 κατὰ σκευάζουσι L 7 ἐπὶ βλύζει L 11 τοῖς L: correxi 18 ὑπὲρ ἐκτείνονται L 20 ἄθλοι L 24 μέλουσιν L 31 ἀνενόητα L

ταμεῖα δοξάσουσι καὶ πλουτίσουσι καὶ κορέσουσι ἄνεσιν καὶ τρυφήν, καὶ ἀπόλαυσιν οὐδ' ὅσην εἰπεῖν ἐμπαρέξουσι.

Τοιγαροῦν εὐθυμεῖν ὑμᾶς χρή, γάννυσθαι, χαίρειν, χορεύειν, σκιρτᾶν, ἀγάλλεσθαι, παντοδαπῶς διαχέεσθαι, θεσπέσιε δέσποτα, ὅτι καὶ χαρᾶς καὶ ἀγαλλιάσεως καὶ εὐφροσύνης καὶ θυμηδίας τερψιθύμου τὰ παρόντα τυγχάνουσι διαχύσεως· προξενεῖ γὰρ τὴν οὐράνιον βασιλείαν, τὴν ἄλυπον ζωὴν καὶ ἀπέραντον καὶ τὸ θεοὺς γενέσθαι, τὸ μεῖζον καὶ τὸ κεφάλαιον ἵν' εἴποιμι τῶν τοῦ θεοῦ δωρεῶν, κατὰ χάριν καὶ μέθεξιν. εἰ γὰρ συμπάσχομεν, ὁ ἐν Χριστῷ λαλῶν Παῦλός φησιν, καὶ συνδοξασθῶμεν, εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. τί δὲ ὁ τὰ ἀπόρρητα καὶ οὐράνια μυστήρια βροντήσας Ἰωάννης ὁ πάνυ φησί; νῦν, ἀγαπητοί, τέκνα ἐσμὲν τοῦ θεοῦ, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα. οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν. ὀλίγα πάσχομεν νῦν, μεγάλης δὲ δόξης καὶ ἀνεκφράστου κατά γε τὸ μέλλον κληρονομήσομεν. καὶ γὰρ οὐδὲ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς δόξαν, ὡς ἠκούσαμεν. ἀλλὰ καὶ τὸ παραυτίκα, φησί, τῆς θλίψεως ἐλαφρὸν καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον δόξης βάρος ἡμῖν κατεργάζεται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· ἐκεῖνα μὲν γὰρ πρόσκαιρα, ταῦτα δέ γε αἰώνια καὶ ἀσάλευτα. ἐγγὺς οἱ στέφανοι καὶ τὰ γέρα, ἐγγὺς ἡ δόξα, ἐγγὺς ἡ προσδοκωμένη ἀνάπαυλα τῶν οὐ πεπερασμένων καλῶν. μὴ ἀποκάμητε μηδὲ βραχὺ γοῦν ἀναπεσόντες ὑπνώσητε· ἡ γὰρ τῶν ἀντιπάλων ἡμῶν ἐχθρῶν σπουδή, ἕως ἂν περιγένωνται, κυκλόθεν ἡμᾶς ἀγρύπνως περιστοιχίζουσι. μείνατε καὶ ἔτι μικρόν· ὅσον γὰρ ὅσον καὶ ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ. ἥξει, καὶ τῶν δικαίων μισθῶν τῶν συχνῶν ἱδρώτων ὑμῶν λίαν ἱλαρῶς ὑμᾶς ἀξιώσειεν· ἥξει, καὶ τῶν ἀκηράτων ἀγαθῶν τὴν κληρονομίαν, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ καὶ ἡτοίμασεν τοῖς ὁλοψύχως

32 cf. 1 Cor. 4,8 40 Rom. 8,17 41 2 Tim. 2,12 43 1 Joh. 3,2 46 Rom. 8,18 48 2 Cor. 4,17 sq. 56 Hebr. 10,37 59 1 Cor. 2,9

32 πλουτοῦσι L^{ac} 40 συμπάσχωμεν L^{ac} 42 ἀπόρητα L 53 οὐκ L: correxi καλλῶν L 55 κυκλώθεν L 58 ἡμῶν L^{ac}

αὐτὸν ἀγαπήσασιν, εὐμενέστατα ὑμῖν χορηγήσειεν. ὑπομείνατε (θεράποντες γὰρ τοῦ Χριστοῦ) τὰ παρόντα δεινά. ναί, ἀντιβολῶ, μείνατε, καὶ πατριαρχῶν προεδρεῖαι, χορὸς προφητῶν, ἀποστόλων θρόνοι, ἱεραρχῶν τάξεις, στρατὸς μαρτύρων, ὁσίων δῆμοι, ἀσκητῶν ἀγέλαι καὶ πᾶς ὁ λοιπὸς τῶν ἀπ' αἰῶνος δικαίων κατάλογος εἰς τὰς ἑαυτῶν ἀκαταλύτους σκηνὰς ὑμᾶς ἀναμφιβόλως ἐκδέξονται ὡς τὰ αὐτὰ ἐκείνοις παθόντας, ὡς τοὺς αὐτοὺς διαγωνισαμένους ἀγῶνας, ὡς τοῖς αὐτοῖς παλαίσμασι νεανικῶς ἐνιδρώσαντας, διότι καὶ τοῦ μέχρι τέλους τοῖς ἄθλοις ἐγκαρτεροῦντος ἐμάθομεν εἶναι τὸ σῴζεσθαι.

Οὐ μικρᾶς ἡμᾶς ἀθυμίας ἐνέπλησε, τιμιωτάτη μοι κορυφή, ἡ ὑμῶν ἀπ' ἀλλήλων διάζευξις καὶ διάστασις, βάλλοντας εἰς ψυχὴν ἐκ τούτου τὸ δολερὸν καὶ πολυμήχανον τοῦ σατάν· ἐκείνου γὰρ τοῦ πανούργου τρόπος τὸ τοιοῦτον καὶ ἔνεδρα.

560. ⟨Πρὸς τοὺς ἐπισκόπους καὶ ἡγουμένους, τοὺς καθαψαμένους Πέτρου τοῦ ἐν τῷ Καλῷ ὄρει⟩

Ἔδει μὲν ὑμᾶς εἰδότας, ὦ φίλοι, τὰ τῶν θείων γραφῶν πνευματόφθεγκτα λόγια μὴ ἀκονᾶν τὴν γλῶσσαν κατὰ τοῦ πλάσαντος· ὁ ἁγιάζων γὰρ καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες. ἐπειδὴ δὲ ἀγνοίᾳ κρατούμενοι ἢ φθόνῳ περινυττόμενοι τὸν τοῦ Χριστοῦ ἄξιον θεράποντα οὐ προσδέχεσθε Πέτρον, τὴν θείαν χάριν αὐτοῦ ὡς διὰ τῶν ἀποστόλων ἐν σημείοις καὶ τέρασι καὶ δι' αὐτοῦ νυνὶ ἐκπέμποντος, ἀλλὰ γόην καὶ δυσσεβῆ τοῦτον ἐκπομπεύετε, τὸ τῆς ζωῆς αὐτοῦ ἀνεπίληπτον μὴ γινώσκοντες σιωπῆσαι. ἡμεῖς γὰρ αὐτοῦ τόν τε βίον καὶ τὴν πίστιν διερευνήσαντες οὐδαμοῦ αὐτὸν σφαλλόμενον εὕρομεν, μᾶλλον δὲ καὶ πολλοὺς ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀσκητὰς ὑπερβαίνοντα· ὅντινα οἱ πιστῶς ἀδελφοὶ προσδεχόμενοι τῶν ἁγίων λειτουργιῶν καὶ τῶν εὐαγγελικῶν λογίων ἐρευνηταὶ ἀκριβέστατοι καὶ

65 Luc. 16,9 68 Matth. 10,22

62 γὰρ L^{sscr} 67 παθόντες L: correxi

560. a. 821

4 Ps. 139,4 Hebr. 2,11 8 Act. 2,22

epistulam e cod Marc gr 583 edidit Laurent, Pierre d' Atroa 147 – 149

1 titulum addidi coll vita Petri Atroensis 37,4; 45 (pp 145,147 Laurent) 8 ἐκπέμποντα cod: corr Laurent 13 λειτουργῶν cod: corr Laurent

τῆς ἐκκλησίας Χριστοῦ κοινωνοὶ πέλουσιν ἱερώτατοι. οἱ δὲ τὰ ἐγκελευόμενα παρ' ἡμῶν τῶν εὐτελῶν μὴ δεχόμενοι τὴν θεόφθεγκτον εὐαγγελικὴν ῥῆσιν, τὴν λέγουσαν φανερώτατα, ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, οὐ προσδέχονται· οἵτινες ὡς ἀπαιδευσίας ζήλῳ καὶ ἀσεβείας λόγῳ κρατούμενοι ἀποστολικῇ ψήφῳ καὶ πατρικῷ κανόνι τῷ ἀναθέματι ὑποβάλλονται.

Tituli epistularum deperditarum

561. Ἡγουμένῳ

562. ⟨Θεοσώστῳ ἡγουμένῳ⟩

563. ⟨Τῷ κυρῷ Ἰσακίῳ⟩

564. ⟨Φιλαρέτῳ ἀρχιερεῖ⟩

---

17 Joh. 14,12

---

561. titulum servavere VP in indice (f. 188ᵛ – f. 227ᵛ)

---

562. a. 810–811

titulum supplevi ex ep 51,7

---

563. titulum supplevi ex ep 106,22

ibid fragm epist: τὸν μισθὸν τῆς ἐπισκέψεως ὁ θεὸς δῴη σοι, ὅτι μόνος αὐτός μοι ἔγραψας, καὶ εὔχου ἵνα κἂν μίαν ἡμέραν εὐαρεστήσω τῷ θεῷ.

---

564. a. 821–826

titulum supplevi ex ep 486,15

INDEX NOMINUM PROPRIORUM

Nomina propria titulorum ex parte tantum exhibentur; cf. etiam indicem eorum, ad quos scriptae sunt Theodori epistulae

denotat adiectiva vel adverbia, quae in lexicis Liddell – Scott – Jones, Lampe vel W. Pape – G. Benseler, Wörterbuch der griechischen Eigennamen desunt

*L denotat vocabula, quae in Lexico Lampe asterisco signata sunt

Numeri ad epistulam et lineam spectant

INDEX VERBORUM AD RES BYZANTINAS SPECTANTIUM

INDEX GRAECITATIS

post εἰ καί:
indicativus praesentis: ἀλλ' ἐχέτω μὲν ταῦτα ὧδε, εἰ καὶ ὁ πόθος ᾄττει πλέον λέγειν 393,28; δαίμονες σὺν εἰκονομάχοις πίπτουσιν, εἰ καὶ μαίνονται 133,19; cf. 134,27; 301,26.
optativus praesentis: καὶ ἀλλοίως οὐκ ἔστιν, εἰ καὶ μὴ δοκοίη τοῖς ἀρνησιχρίστοις 361,33.
participium: εἰ καὶ μέλος που τοῦ σώματος Χριστοῦ ἔσχατον τυγχάνοντες, ... ἠδυνήθημέν πως 271,11.
indicativus aoristi: εἰ καὶ μὴ ἀντεκόμισαν ἀντίγραφα, ἀλλ' οὖν ... ἱκανῶς ἡμᾶς ἀνεζωπύρησαν 273,17; ὁ χειμὼν οὐ τί που παρῆλθεν, εἰ καί τις μικρὰ αἰθρία ὑπήστραψεν 423,28; εἰ καὶ τῷ σώματι ἐχωρίσθην σου, ... ἀλλ' οὐ τῷ πνεύματι 123,2; cf. 154,11; 276,69; 290,15; 313,18; 348,3; 361,5; 393,35; 520,41.
coniunctivus aoristi: εἰ καὶ εἰς πῦρ ἐμβληθῶμεν, οἴσομεν, εἰ καὶ θηρσὶν ἐκδοθῶμεν, ἐνέγκωμεν 392,19.
indicativus perfecti: οὕτως οὖν οἱ οὐδαμινοὶ νοοῦμεν τἀληθῆ, εἰ καί τινες ... ἑτέρως ὑπειλήφασι 380,69; cf. 146,18; 315,21.
cum ellipsi verbi substantivi: εἰ καὶ λυπηρὸς κατὰ σάρκα, ἀλλὰ χαροποιὸς κατὰ πνεῦμα 480,7; εἰ καὶ καταπόνησις πολλὴ παρὰ τῶν διωκτῶν 340,12; cf. 148,16; 295,5; 358,2; 363,12.
post καίπερ:
participium: καίπερ εἰδὼς ἐκτοπουργεῖν, ὅμως ἐν γνώσει ἡμάρτανεν 452,49; cf. 149,9; 11; 150,4; 252,4; 372,6; 375,18; 493,5.
post κἄν:
indicativus praesentis: κἂν μὴ βουλόμεθα, πάντες πάντα καταλείψοιμεν 144,21; τοιούτους ἡμᾶς προσεύχου γενέσθαι, κἂν μακράν ἐσμεν ἀπὸ θεοῦ 405,14; ὁ γὰρ καιρὸς τοιοῦτος, κἂν ὑποκρύβεσθε ἐννόμως 388,8; cf. 15,23; 20,20; 35,40; 43,22; 57,91; 76,31; 87,2; 123,13; 399,10.
coniunctivus praesentis: δίδωσι τὰ αἰτήματα, κἂν πρὸς ἀνάξιον ἀναφέρωνται 147,7; ὁ λόγος τοῦ θεοῦ οὐ δέδεται, κἂν δεσμεῖν οἱ κρατοῦντες οἴωνται 381,8; καὶ τὰ πράγματα δῆλα, κἂν ἡμεῖς μὴ λέγωμεν 27,8; οὐχ οἷόν τέ ἐστι, κἂν ὁστισοῦν τυγχάνῃ 27,56; cf. 21,59; 22,110; 147; 24,70; 31,4; 36,110; 39,17; 40,73; 41,33; 42,57; 48,164; 217; 56,57; 64,43; 106,26; 30; 118,8; 123,15; 125,19; 144,6; 146,33; 195,7; 22; 245,21; 273,32; 294,15; 305,16; 308,24; 382,26.
coniunctivus praesentis cum ἂν particula: τὸ κελλίον αὐτοῦ φωλεός ἐστι δαιμόνων ..., κἂν ὁποίοις ἂν λόγοις καὶ τρόποις ... μεθοδεύειν πειρᾶσθε τὰ λεγόμενα 19,19.
indicativus et coniunctivus praesentis: μένομεν ... ὡσαύτως ..., κἂν ἐξορία πρόκειται, ξίφος στιλβοῦται, πῦρ ἀνάπτηται 26,32.
optativus praesentis: φυγεῖν τε εὔχομαι ὑμᾶς ὡς ἁμαρτωλός, κἂν οὐ βούλοισθε προσέχειν μοι 48,219; καὶ πόρρω τῆς αὐλῆς Χριστοῦ, κἂν Πέτρος εἶεν κἂν Παῦλος 381,62; cf. 35,51; 38,60; 40,138; 57,76; 69,40; 104,12; 202,4; 224,13; 225,71; 334,7; 380,32.
imperfectum: κἂν ἄφετος ἦν, οὐ λυσιτελὲς αὐτῷ ἐν παρθενῶσιν εἰσέρχεσθαι 309,13.
optativus futuri: οὕς, κἂν μὴ ἐξονοματίσοιμι, ἐπίσταταί σου ἡ ἁγιωσύνη 371,20; ἀλλὰ μήν, κἂν οὐ διαλέξοιμι, ἔστι δυνατὸν ἐπιτυχεῖν τοῦ ζητουμένου 383,37; cf. 112,7.
indicativus aoristi: οὐ παρεῖδεν αὐτοῦ Κς̄, κἂν ἑάλω κατὰ τὰς ἁμαρτίας μου 333,29; ἐξ ἀναγκαίου ἡ ἀπόφασις, κἂν ἡ ἐρώτησις προετάθη ὡς ἐνδεχομένη 383,51; cf. 39,13; 53,64; 112,43; 130,2; 191,23; 412,22.
coniunctivus aoristi: τί μέγα, κἂν ἡμᾶς τοὺς ἀχρείους μεθορίσωσιν ἀλλαχοῦ 145,21; οὐ γὰρ χειροτονίας ἄξιος τὸ καθόλου, κἂν ἐνταῦθα ὑποστρέψῃ 19,27; cf. 107,12; 146,23; 177,60; 198,24.

optativus aoristi: ἐμοὶ δὲ ἀρκέσειεν ἱερῶν εὐχῶν σου ἀποστολή, κἂν ἐπιστολῆς ἀποτύχοιμι 158,21; οὐδὲν ... τὸ δυνάμενον λῦσαι τῆς ἱερουργίας, κἂν ἐξ οἱουδηποτοῦν ἀρχιερέως δόξειεν εἶναι 215,25; cf. 57,93; 223,58.
perfectum: κἂν ἀφῃρήμεθα, οὐδὲν μέγα 144,20; κἂν μικρὸν ὑποπεπτώκαμεν, πάλιν οὖν ἀνακλητέον 372,7; κἂν ἐν ὁποιᾳοῦν ὕλῃ κεχαρακτήρισται, ἀκοινώνητόν ἐστι 57,108; cf. 330,7; 370,16; 377,12.
plusquamperfectum: ζῶν ἐστιν ἐν Κῷ, κἂν τεθνήκει πρῶτον 281,27.
b. condicionalium:
post ἂν vel ἄνπερ vel κἄν:
indicativus: ἂν ἄλλοι αἰσχρολογοῦσιν, αὐτὸς ἐπιφράσαιο τὰ ὦτα 504,30; ἂν δεῖ καὶ ἀποθανεῖν διὰ Χριστόν, ἀποθάνωμεν, ἵνα ζήσωμεν 124,14; ἂν οὖν ὁ χειροτονήσας ὤρθωσεν, ἦν αὐτοῖς εὐθὺς ἱερουργεῖν 40,136; cf. 250,13; 460,18.
coniunctivus: ἂν μὴ διορθώσησθε, οὐχ οὕτως κλητέοι 450,35; ἂν ἄλλοι παίζωσι καὶ γελῶσιν, ἄκουε τοῦ Κῦ 504,28; ἂν οὕτω ποιῇς, οἶδ' ὅτι καὶ θεός σοι ... ἔσται ἐπίκουρος 94,24; cf. 136,13; 192,9.
optativus: κἂν φωραθείη, εὐθὺς ἀνάρπαστος 275,64.
optativus cum ἂν particula: ποῦ γὰρ τὸ γνήσιον ..., ἂν μὴ κατὰ τὴν γεννήσασαν ... εἶεν ἂν καὶ τὸ γέννημα 64,26.
imperfectum: κἂν τότε ὑπῆρχον, ὑπέπεσον ἄν 36,51.
indicativus futuri et optativus praesentis: οὐδ' ἂν ὅλα τὰ χρήματα τοῦ κόσμου παρέξει τις καὶ κοινωνοίη τῇ αἱρέσει, φίλος θεοῦ καθίσταται 340,23.
post ἐὰν vel ἐάνπερ:
indicativus praesentis: ἐάν εἰμι ἀμύητος, οὐκ ἐνδέχεται μὴ βαπτισθησόμενον σωθῆναί με 383,42; ἐάν ἐστιν ἡ ἑρμηνεία τοῦ κατὰ Ἰωάννην, παράπεμψόν μοι μεθ' ἑτέρων 103,19; ἐὰν δεῖ ῥαπισθῆναι, ῥαπίσθητι μετὰ Χριστοῦ 115,13; cf. 85,17; 232,24; 318,9.
coniunctivus praesentis: ἐὰν δὲ ἔτι ζῶμεν, ἔτι λαλήσομεν 470,45; ἀλλὰ καὶ ἐὰν ἡμεῖς σιωπῶμεν, τὰ πέρατα βοᾷ τὴν ἀλήθειαν 48,134; cf. 96,16; 154,19; 164,23; 168,16; 186,57; 249,15; 381,49.
optativus praesentis: ἐὰν ἀπαιτοίη καὶ ἄλλο τι ὁ καιρός, δὸς τὸ σῶμά σου εἰς μάστιγας 232,25; ἐάν τι ἄλλο γίνοιτο, δηλώσειεν ὁ χρόνος 297,21.
imperfectum: ἐὰν οὖν ... εἶχες τὸν βασιλεύοντα ὑπερασπιζόμενόν σου ..., οὐκ ἂν ἔχαιρες παθεῖν 399,13.
optativus futuri: ἐὰν οὕτω πράξοις, εὐφρανεῖς Χριστόν 548,42; ἐὰν μὴ οὕτως πράξοις, τὸ μὲν δρᾶμα στάσιν οὐχ ἕξει 526,39; cf. 20,27; 36,135.
indicativus aoristi: ἐὰν οὖν ... οὐχ ὑπεστάλημεν ..., πῶς οὖν ἄρτι ὑποσταλησόμεθα 21,34; cf. 22,118.
coniunctivus aoristi: ἐὰν μὴ ἀναγγείλω, τὸ αἷμά σου ἐκ τῶν χειρῶν μου ἐκζητεῖν ἔφη θεός 447,8; ἐὰν ἐπιτρέψω ῥῖψαι τὴν ὑπόκρισιν, εἴποις ἂν μὴ φέρειν τὸ μαρτύριον 396,17; οὔτε γάρ, ἐὰν κατευξώμεθα, τὸ τάχος ἐπιστῇ, οὔτ', ἂν ἐπευξώμεθα, βραδυνεῖ 392,49; αὐτὸς οὖν ἀνταποδώσει σοι ἀνταπόδομα, ἐὰν μέχρι τέλους ὑπομείνῃς αὐτόν 348,9; cf. 22,127; 29,44; 32,63; 39,70; 71; 49,6; 68,38; 77,23; 85,18; 106,5; 107,16; 138,18; 171,13; 192,4; 232,34; 252,11; 287,19; 303,17; 383,62; 476,39; 505,39.
optativus aoristi: ἐὰν δέ που ἀκούσειεν ὅτι καὶ ἐσθιόμενον ἔχομεν θεόν, τάχα ἂν οὐ μόνον φρίξοι, ἀλλὰ καὶ διαρρηχθείη 380,111; ἐὰν ἐπαφήσαιμι οὕτως, οὐκ ἔχω γραφικὴν μαρτυρίαν 396,18; ἐὰν οὖν καὶ τοῦτο ποιήσειας, ἔχει τινὰ λόγον 530,30; cf. 13,47; 316,16; 356,10; 384,26.
indicativus perfecti et coniunctivus praesentis: ἐὰν ἐγκεκλείσμεθα καὶ μονούμεθα καὶ ῥιγῶμεν καὶ ὀλιγοψωμιζώμεθα 365,10.
singularia: οὐκ οἶδα ἐὰν (= es sei denn) 152,49.
post εἰ vel εἴπερ:
indicativus praesentis: εἰ δὲ ἀναβαίνει, καὶ κάτεισιν εὔδηλον 380,153; εἰ τοσοῦτον ἀνάπτει σε ὁ θεοῦ πόθος, πράττεις τὰ δόξαντά σοι 395,29; εἰ δὲ οὐκ εἰκονίζεται,

φανῶσι καὶ οἱ ἄλλως ἔχοντες διελεγχθῶσιν 75,19; cf. 33,24; 39,14; 56,56; 65,40; 320,13; 410,32; 503,9; 531,22; 533,6.
optativus aoristi cum ἂν particula: ὡς ἂν τὴν ζάλην τῶν αἱρετικῶν πνευμάτων διαφύγοιτε καὶ εἰς λιμένα σωτηρίας ἐμβιβάζοισθε 501,16; ὡς ἂν τῷ ἀτόπῳ τῆς προτάσεως τὸν ἀκροατὴν ἐκπλήξειεν 380,78; ὡς ἂν δι' αὐτῶν σχοίημεν καὶ ἡμεῖς εὐμενὲς τὸ θεῖον 389,7; cf. 11,82; 18,68; 55,28; 63,26; 74,15; 23; 113,11; 159,6; 182,12; 231,38; 242,7; 279,31; 294,11; 339,9; 393,27; 395,26; 415,51; 419,43; 457,32; 481,38; 488,26; 516,19.
coniunctivus et optativus aoristi cum ἂν particula: ὡς ἂν ἐντεῦθεν ἀθωωθῇ μέν, εἰρηνεύσειεν δέ 462,67; ὡς ἂν θεὸς εὐμενισθείη καὶ ἀναγάγῃ σε 432,52; ὡς ἂν καὶ ἡμεῖς τὸ ὀφειλόμενον χρέος τίσωμεν καὶ αὐτὸς … ῥᾳστώνην τινὰ λάβοις 533,7.
perfectum: ὡς ἂν καὶ ἡμεῖς οἱ εὐκαταγώνιστοι ἐρηρείσμεθα ἐν σοί 158,13.
4. interrogativarum:
cum ἆρα:
indicativus praesentis: μόνος εἶ ἆρα ἢ μετὰ τοῦ ἀδελφοῦ 347,6; ἆρα οὖν οὐκ εἰκότως εὐχαριστεῖν με ἔστιν ἐν τούτοις τῷ θεῷ 404,9; cf. 262,7; 431,35.
coniunctivus praesentis: ἆρ' οὖν οὐκ ἐπείγῃ πρὸς τὴν ἄθλησιν ὁ ἀκούων 406,38.
indicativus futuri: ἆρα δὲ ἐάσει σοι τὸν συνόντα ἀδελφόν 341,4; ὑποπτήξομεν ἆρα καὶ ἀποσιωπήσομεν 382,32; cf. 264,14.
singularia: ἀλλὰ τί ἆρα; 474,13; ἆρα θᾶττον; 498,25; τίνα ἆρα; 458,31.
post πηλίκος:
πηλίκων καὶ φρικτῶν σεβασμάτων ὑπάρχει κορυφή 276,27.
cum ποῖος:
indicativus: ποῖον δέ μοι καὶ πλῆθος λέγεις 48,288; ποῖος νοῦς οὐχ ὁμολογεῖ 36,151.
coniunctivus: εὐχὴν δὲ ποίαν δῶμεν 55,19.
post πόσος:
indicativus praesentis: πόσης οὖν ἡμᾶς εὐφροσύνης τοῦτο ἐμπίπλησι 299,10.
optativus praesentis cum ἂν particula: πόσης οὐκ ἂν εἶεν ἡμῖν τοῖς ἁμαρτωλοῖς χαρᾶς 405,5.
indicativus futuri: πόσοις ἔσονται καταστροφή 223,23; πόσον γὰρ χαρήσῃ καὶ σκιρτήσεις 123,10.
post πότερος:
ποτέραν τῶν ἀσεβειῶν αὐτῶν φαεινὴν ἐθέλοις ἰδεῖν 36,100.
post πῶς:
indicativus praesentis: πῶς οὐχὶ τῆς ἀληθείας ἐστὶν ἀποσπώμενος 327,13; καὶ πῶς ἐπὶ τῶν βασιλέων ὑποχωροῦσιν αἱ τοῦ θεοῦ ἐντολαί 48,190; cf. 36,55; 40,111; 48,30; 132; 166,24; 176,18; 20; 177,36; 276,26; 327,13; 344,3; 349,3; 355,13; 381,37; 393,65.
optativus praesentis: πῶς μένοι ἰδιότης κινουμένη καὶ μεταπίπτουσα 359,25; cf. 50,8; 112,45; 208,2; 215,16.
optativus praesentis cum ἂν particula: πῶς ἂν δυναίμην ἐκθειάσαι τὰ κατ' αὐτήν 505,16; πῶς δύναιτ' ἂν καὶ ἡ εἰκὼν λατρεύεσθαι 551,20; cf. 48,152; 225,101; 508,10.
imperfectum: πῶς οὖν ἡμᾶς ἔμελλεν μὴ χαίρειν καὶ γάνυσθαι ταῦτα ἀκηκοότας 310,7; πῶς οὖν οὐκ ἔμελλον ἐκπλαγῆναι 278,18; cf. 280,24.
imperfectum cum ἂν particula: πῶς οὐκ ἂν ἔμελλον γήθειν 371,5.
indicativus futuri: πῶς γὰρ πρόσωπόν τις ἔχων οὐκ εἰκονισθήσεται 259,22; πῶς λαϊκὸς καταφρονήσει γυναικός, τέκνων καὶ τῶν ἄλλων 39,74; πῶς ἐν τούτοις οὐ στενάξω, πῶς δὲ οὐ φοβηθήσομαι 450,18; cf. 39,72; 48,21; 141; 50,95; 149,46; 221,32; 225,104; 287,15; 359,23; 380,25.
indicativus futuri cum ἂν particula: πῶς γὰρ ἂν μὴ οὐχὶ θεολογηθήσεται 492,16; πῶς γὰρ ἂν ὁ ἔτι ζῶν ληφθήσεται 552,144; cf. 305,26.
optativus futuri: πῶς διαβιβάσοιμι τὸν ἐνεστῶτα ἀγῶνα 230,40; cf. 387,12.

indicativus aoristi: πῶς ὁ ἀκατάληπτος ἐλήφθη καὶ ἐδέθη 380,109; πῶς ἐσκοτίσθη ὁ πεφωτισμένος 431,27; πῶς ἐναρξάμενοι καλῶς ἐστράφησαν εἰς τὰ ὀπίσω 223,22; cf. 171,5; 188,18; 206,11; 214,4; 282,13; 329,13; 355,12; 378,14.
indicativus aoristi cum ἂν particula: πῶς δ' ἂν ἑτέρως τὸ σύμψυχον ἐγνωρίσθη 469,14; πῶς γὰρ ἂν διεσώθης μέχρι τοῦ δεῦρο 191,6; cf. 134,7.
coniunctivus aoristi: πῶς ἀδακρυτὶ τὸν Φλουβουτῆς εἰς μνήμην ἐνέγκω 230,23; πῶς ἐναντίως ὑπόθωμαι ψῆφον 48,276; cf. 50,75; 186,2; 230,40.
optativus aoristi: πῶς διαγνωσθείη ὁ τῆς σαρκώσεως λόγος 157,32; πῶς γὰρ καὶ μὴ καλέσαιμί σε 87,4; cf. 11,8; 36,47; 221,80.
optativus aoristi cum ἂν particula: πῶς γὰρ ἂν καὶ οὐκ ἀλγήσειεν ψυχή 530,4; πῶς γὰρ ἂν καταφρονήσαιμι τῶν ἐμῶν σπλάγχνων 410,3; πῶς γὰρ ἂν καὶ μὴ φλεχθείη καρδία, λόγους διδοῦσα μετὰ παρθένου 503,23; cf. 14,17; 48,199; 221,48; 278,56; 500,38; 545,20.
singularia: ἔσται δὲ τοῦτο πῶς; 461,32; καὶ πῶς γὰρ οὔ; 191,11; 313,14; καὶ πῶς τοῦτο; 411,41; πῶς; 333,28; 371,16; 380,62; 469,35; πῶς γὰρ οὔ; 175,20; 245,19; 265,10; 268,9; 364,18; 367,4; 428,7; 501,3; 519,11; 528,21; πῶς οἷόν τε; 221,31; τοῦτο δὲ πῶς; 552,39.
post τί:
indicativus praesentis: καὶ τί δεῖ τὰ πολλὰ παραδείγματα ὑποφαίνειν 477,76; τί με ἐγκωμιάζεις ... τὸν ἀνεγκωμίαστον, τί δὲ ἐπιζητεῖς τὴν ταχεῖαν ἀπαλλαγὴν τῶν λυπηρῶν 326,2; cf. 14,15; 36,129; 49,42; 50,37; 51,47; 60,15; 89,11; 127,9; 147,32; 150,15; 166,6; 230,39; 235,6; 263,22; 268,15; 294,2; 301,9; 304,17; 334,34; 340,3; 361,26; 362,7; 15; 372,2; 380,50; 113; 415,32; 477,13; 76; 539,17.
coniunctivus praesentis: τί δὲ φῶμεν 87,26; cf. 36,123; 478,47.
optativus praesentis: τί δή μοι βούλοιτο δηλοῦν τὸ προοίμιον 289,5; καὶ τί γὰρ οὐ καλὸν ἐντεῦθεν προσγίνοιτο 292,17; cf. 201,6; 476,27.
optativus praesentis cum ἂν particula: τί δ' ἂν εἴη ἄλλο ἢ παράκλησις 477,66; cf. 57,4.
imperfectum: καὶ τί ἐβούλου 269,32; τί γὰρ ἦν ἄλλο τὸ μεσολαβοῦν 49,82; cf. 42,3; 292,26; 317,8.
indicativus futuri: τί οὖν πρὸς ταῦτα ἐροῦμεν 91,19; τί γὰρ καὶ κερδήσουσιν αἱ ὑπὸ ζυγόν 66,21; cf. 36,48; 125; 149,48; 196,3; 214,7; 250,6; 383,52; 423,14.
optativus futuri: τί γὰρ καὶ ἀποδώσοιμι ὁ πτωχός 86,21; τί φήσοιεν οἱ ἐναντίοι 407,19.
indicativus aoristi: τί ἵνα καὶ ἐβλάβης 317,10; τί σοι ὅλως ἐπῆλθεν ἀπιέναι 263,7; τί γὰρ ὠφέλησεν τῷ ἀναπαυμένῳ Δανιὴλ ἡ ἐγκάθισις 165,8; cf. 54,2; 68,22; 85,2; 95,3; 96,9; 128,6; 207,4; 215,12; 258,6; 288,12; 320,6; 329,28; 332,26; 383,78; 432,14; 450,20; 462,5.
coniunctivus aoristi: τί εἴπω καὶ τί λαλήσω 186,2; 415,22; ἀλλὰ τί πάθω 447,8; cf. 21,6; 67,20; 205,8; 214,7; 230,25; 311,15; 312,14; 323,3; 447,8; 457,26; 484,33; 497,38.
optativus aoristi: τί ἑαυτὸν ὀνομάσειεν 423,13; ἡμεῖς δὲ τί σοι προσαγάγοιμεν ἐπάξιον 147,18; cf. 209,3; 250,6.
optativus aoristi cum ἂν particula: καὶ τί ἄν τις εἴποι ἄξιον θρήνους 498,28.
perfectum: τί δὲ εἰς τοσοῦτον ἐληλύθατε ταπεινώσεως μέτρον 393,28; τί γὰρ καὶ πεπόνθαμεν 151,9; 177,11; cf. 112,35; 258,6; 287,17; 314,11; 329,12; 406,23; 444,21; 517,13.
singularia: ἀλλὰ τί; 204,18; 428,19; 455,66; 470,35; 478,33; 528,32; διατί; 446,11; 457,3; διατί καὶ πῶς; 407,35; εἶτα τί; 444,30; (καὶ) τί γέγονε(ν); 186,28; 421,5; 431,32; 498,17; 522,6; καὶ τί λέγω (τοῦτο); 209,10; 333,35; 340,25; 360,7; 415,32; καὶ τί τὸ ἐντεῦθεν; 510,43; καὶ τί τοῦτο; 401,8; 513,7; οὗ τί ἂν γένοιτο cum comparativo: 416,20; 437,27; 445,35; 454,21; 457,21; 564,18; 469,29; τί γάρ; 220,11; 239,19; τί δεῖ καὶ λέγειν; 34,107; 56,4; 204,5; 265,26; 313,12; 469,25; 475,7; 509,3; 536,32; τί δὲ τὰ ἑξῆς; 381,53; τί καὶ

coniunctivus praesentis cum ἂν particula: ἐφ' οἷς ἂν οἰκονομῇ τὰ κατ' αὐτόν 470,42; cf. 57,17.
optativus praesentis: ὧν κἀγὼ εἴην κοινωνός 205,17; cf. 204,31.
optativus praesentis cum ἂν particula: ἃ καὶ παῖδας πείθειν δύναιτ' ἄν 48,26.
indicativus futuri: μεθ' οὗ καὶ συνεσόμεθα 62,13; cf. 210,23.
indicativus aoristi: ὃν καὶ ἠγαπήσαμεν, ᾧ καὶ ἐνυμφεύθημεν 62,13.
optativus aoristi cum ἂν particula: ἀλλὰ καὶ οἵπερ ἂν ἕλοιντο θεοσεβεῖν 57,8; cf. 206,15.
post ὅσος vel ὅσοσπερ:
indicativus praesentis: ὅσα εἰκὸς τὸν ὡς ἀληθῶς ἱεράρχην ἔστιν φάναι 312,17; cf. 146,35; 210,8; 301,21.
coniunctivus praesentis cum ἂν particula: ὅσα ἂν καὶ παραχωρῇ θεὸς ἢ εὐδοκῇ ἐπαχθῆναι 174,20; cf. 55,3.
optativus praesentis: τοσαύτας, ὅσας γε καὶ ἔχοις 506,16.
indicativus aoristi: ὅσα ἐπέστειλας, ἥσθην 151,2.
indicativus aoristi cum ἂν particula: καὶ τοσοῦτον, ὅσῳπερ ἂν καὶ πλειόνων ἄρχειν ἠξιώθης 11,27.
coniunctivus aoristi: ὅσοι ἐν ταύτῃ ὑποπέσωσι ..., ὑπέπεσον ἄν 36,51.
optativus aoristi cum ἂν particula: ὅσα ἂν καὶ συμβαίη ἐλθεῖν 252,12.
post ὅστις:
indicativus praesentis: οἵτινές εἰσι φόβῳ θεοῦ διαζῶντες 156,25.
coniunctivus praesentis cum ἂν particula: κἂν ὅ τι ἂν λέγωσιν ἢ πράττωσιν 393,93; cf. 103,13; 213,11; 446,45.
optativus praesentis: ἐφ' ὅτῳ ἡ χρεία καλοίη 103,14.
optativus praesentis cum ἂν particula: ὅστις ἂν εἴη ἐν ἀνθρώποις 500,65; εἰς ὅ τι ἂν καὶ κελεύοι θεός 201,21; cf. 152,46; 415,50.
optativus futuri cum ἂν particula: εἰς ὅ τι ἂν καὶ παρασκευάσοι Χριστός 379,18.
coniunctivus aoristi cum ἂν particula: χαίρω ὅ τι ἂν καὶ πάθω ἕτερον 150,27.
optativus aoristi cum ἂν particula: καὶ ὅ τι ἂν εἴποις ἀνθρώπινον 437,22.
b. comparativarum:
post καθά vel καθάπερ:
indicativus: καθὰ καὶ ποιεῖς 87,34; καθὰ εἱρμολόγησεν ὁ πάνσοφος Παῦλος 380,110; καθάπερ καὶ ἤκουσταί μοι ὅτι ἐκινήθης 424,29; cf. 263,9; 301,61; 317,8; 16; 340,17; 365,15; 388,10; 394,9; 426,19.
singularia: καθὰ γέγραπται 305,11; 486,42; 513,71; καθὰ γέγραφας 417,24; 536,8; καθὰ γέγραφεν 542,21.
post καθό:
indicativus: καθὸ καὶ ἀχώριστόν ἐστι θάτερον θατέρου 301,100; cf. 418,23.
post καθότι:
καθότι σχετική 428,14.
post καθώς:
indicativus: καθὼς Μαρκέλλῳ δοκεῖ 305,23; καθὼς καὶ προέγραψά σοι 342,11; cf. 346,9; 381,17; 483,5; 513,57; 515,14.
singularia: καθὼς γέγραπται 480,22; 503,46.
post ὡς vel ὥσπερ:
indicativus: ὡς καὶ ἐδήλου τὸ ἀπιὸν γράμμα 377,11; ὡς γέγονε πάλαι καὶ ἀποδέδεκται 308,32; cf. 393,105; 466,40.
indicativus cum ἂν particula: ὡς ἂν οἶδεν ὁ ἐφορῶν θεός 152,18.
coniunctivus cum ἂν particula: ὡς ἂν δύνῃ 84,11.
optativus cum ἂν particula: ὡς ἂν βούλοιτο 310,10; ὡς ἄν τις φαίη 111,11.
singularia: ὡς ἀκήκοα 394,8; ὡς γέγραπται 379,14; 392,18; ὡς εἴρηται 446,13; 521,9;

523,7; ὡς ἔμαθον 287,9; 340,31; 377,9; ὡς ἔοικεν 312,10; ὡς καὶ τοὐναντίον 235,10; ὡς κελεύει 376,40; ὡς κελεύεις 21,63; 22,151; ὡς προείρηται 395,31; ὡς τὰ πολλά 304,15; ὡς τὸ εἰκός 355,6; ὡς φαίνεται 222,18.
6. temporalium:
post ἀφ' οὗ:
δὶς ἄρτι γράφω, ἀφ' οὗ συνελήφθης 390,2; cf. 327,2.
post ἐπάν:
indicativus et coniunctivus praesentis: δίκαιον δέ ..., ἐπὰν προσκόπτῃ καὶ σκανδαλίζεται, ἐπιδηλῶσαι 28,24.
coniunctivus praesentis: ἐπὰν μακροχρονῇ ἡ αἵρεσις 415,28.
optativus praesentis: ἐπὰν ἐκεῖ δέει μνημονεύοι 49,125.
indicativus aoristi: ἐπὰν ἀνέγνων τὴν ἐπιστολήν σου 303,3; ἐπὰν μετῆλθεν ἄλλως τὰ πράγματα 432,51; cf. 28,69; 31,9; 36,117; 124,3; 125,3; 273,27.
coniunctivus aoristi: ἐπὰν εἱρχθῇ τῆς ἱερουργίας ὁ οἰκονόμος 32,35; cf. 40,160.
optativus aoristi: ἐπὰν θερμοτέρους ἡμᾶς πρὸς τὸ ἑξῆς λάβοιεν 383,7; cf. 133,21; 334,4; 500,43.
perfectum: ἐπὰν οὐκ ἄλλος πέπραχε τοιοῦτον 443,30.
plusquamperfectum: ἐπὰν ... τὰ τῆς εὐσεβείας δόγματα παρ' αὐτοῖς ἐσέσωστο 49,60.
post ἐπεί:
indicativus aoristi: ἐπεὶ γὰρ ᾔσθετο ὁ σατανᾶς ἐν προθύροις εἶναι 276,35; cf. 230,4.
post ἕως:
indicativus praesentis cum ἂν particula: ἕως δ' ἂν ἐστὲ ἐν τοῖς αὐτόθι 133,20; ἕως ἂν οὖν πάρεστιν ἡμᾶς τρέφεσθαι 376,34; cf. 381,45; 382,62.
coniunctivus praesentis: ἕως ἰσχύῃς, μὴ δῷς ἑαυτῷ ἄνεσιν 146,28.
coniunctivus praesentis cum ἂν particula: ἕως ἂν ἐμπνέωμεν, ὁ πειράζων πάρεστιν 421,29; ἕως δ' ἂν μὴ παρῇ ὁ καιρός 501,27; cf. 12,34; 48; 37,28; 48,128; 172,10; 368,14; 382,33; 386,11.
optativus praesentis cum ἂν particula: ἕως δ' ἂν κατέχοι τὴν ἐπισκοπήν 466,38; cf. 502,9.
imperfectum: ἕως μὲν ἦν καιρὸς τοῦ οἰκονομεῖν καὶ κρύπτειν 31,2.
indicativus futuri cum ἂν particula: ἕως ἂν ὁ μακαριώτατος ἐξοίσει κρίσιν 462,52.
coniunctivus aoristi cum ἂν particula: ἕως ἂν ἐπιστῇ ὁ καιρὸς τῆς εἰρήνης 410,40; ἕως ἂν καὶ ἡμεῖς τὴν αὐτὴν ὁδεύσωμεν ὁδόν 458,60; cf. 14,40; 19,7; 21,39; 22,123; 25,72; 31,40; 115; 80,7; 116,2; 225,60; 274,30.
optativus aoristi: ἕως οὗ ἐπίδοι Κξ 439,13.
optativus aoristi cum ἂν particula: ἕως ἂν ἡ ὑποκειμένη τῷ στομάχῳ ὕλη μὴ ἐκδαπανηθείη 326,6; ἕως ἂν ἐπιλάμψειεν Χριστὸς ἔαρ ὀρθοδοξίας 251,10; cf. 294,17; 375,17; 376,25; 520,36.
coniunctivus et optativus aoristi cum ἂν particula: ἕως ἂν ἐπίδοι Κξ καὶ τὴν κάκωσιν τοῦ λαοῦ αὐτοῦ ἰάσηται 326,4.
singularia: ἕως ὅτε 221,161; 303,16; ἕως πότε; 225,60; 285,2; 353,10; 392,34; 411,57; 453,11; 548,3; ἕως τίνος; 285,2; 453,12; 548,4.
post ἡνίκα:
imperfectum: ἡνίκα ὁ τῆς θαλάσσης κλύδων ἐπεγείρετο 33,50; cf. 23,37.
indicativus aoristi: ἡνίκα ὑπέστρεψαν οἱ ἀδελφοί 378,10; cf. 30,20; 329,3; 485,19.
coniunctivus aoristi: ἡνίκα φθάσῃ ὁ καιρός 506,23; cf. 28,112; 32,27.
perfectum: ἡνίκα ἡ εἰκὼν Χριστοῦ ἠθέτηται 401,23.
post ὁπηνίκα:
indicativus praesentis: ὁπηνίκα ἐπιτρέπει ἡ πρόνοια 520,44; cf. 392,50.
coniunctivus praesentis: ὁπηνίκα καὶ βούληται 549,6.
indicativus futuri: ὁπηνίκα φθάσει ἰδεῖν τὸν τίμιόν σου χαρακτῆρα 26,46.

καὶ ἐφ' ᾧ λελάτρευκε 533,34; ὑπὲρ οὗ καὶ δι' ὃν ὁ διωγμός 267,12; ὑπὲρ οὗ καὶ δι' ὃν πάσχεις 316,6; ᾧ λατρεύεις καὶ ὃν θεραπεύεις καὶ ὑπὲρ οὗ σοι ἡ ἐρημία 265,7.

praepositionum usus:

ἀνά:

cum dativo: ἀνὰ πάσῃ τῇ οἰκουμένῃ 21,56; 22,144.

ἀπό:

cum accusativo: ἀπὸ Ἀνατολικούς 407,37.

sensu distributivo: ἀπὸ πεντήκοντα ἤτοι ἑκατόν 552,57.

temporaliter: ἀπὸ ἑξκαιδεκαετίας καὶ πρός 489,48; ἀπὸ πολλῶν ἐτῶν 493,16; ἀπὸ τοῦ δεῦρο 552,17.

singularia: ὡς ἀπὸ αὐτοψίας ὀφθαλμῶν 493,20; καὶ σχοίητε μὴ ἀπὸ δέκα νομισμάτων, ἀλλὰ καὶ ἀπὸ μυρίων 513,72; ἀπὸ μὲν ἱερατικοῦ ἀφεκτέον συνεσθίειν τὸν ἠκριβωμένον 552,48; ἐξελέσθαι ἀπὸ τῆς κολάσεως 490,28; λυθῆναι τὸ δέος ἐκεῖνο ἀπὸ σοῦ 529,6.

διά:

temporaliter: δι' ὅλης ἡμέρας 7,58; δι' ὅλης νυκτός 3,77; διὰ τῆς ἐν τῇ Πεντηκοστῇ πολυημερίας 13,22.

εἰς:

pro ἐν cum dativo: εἰς ἑαυτὸν τὰ τοῦ πλησίον ἀναθεωρῶν πάθη 271,37; ποιείτω λειτουργίαν εἰς τὴν κόγχην 552,125; μὴ ὑφιζάνειν πάλιν εἰς τὰ ὀπίσω 543,17.

pro κατά: εἰς αὐτὰ τὰ καίρια παραλύοντες αὐτούς 552,69.

sensu finali: εἰς τὸ μὴ εἶναι σχίσματα ἐν ἡμῖν 532,14; εἰς τὸ μὴ ἐρήμην καταδραμεῖν τοὺς ἐφεδρεύοντας 540,36; ναὸν παραδοῦναι εἰς τὸ συνάγεσθαι 549,49; εἰσιέναι εἰς τὸ ψάλλειν καὶ εὔχεσθαι 549,42.

temporaliter: εἰς αἰῶνας αἰώνων 506,25; εἰς τοὺς αἰῶνας 493,21; cf. 544,41; εἰς τριετῆ χρόνον 29,13.

singularia: ἡ εἰς ἀλλήλους ἀγάπη 544,55; βελτιωθῆναι εἰς ἀπήμονα ζωήν 497,52; ἀνεπάην εἰς τὰς βεμβράνας 109,13; πάντα προαιρουμένους εἰς ἐμὲ τὸν δύστηνον 226,5; εἰς δὲ τὸ μεμονῶσθαί σε οὐχ ἡδέως ἔχω 263,3; ἐπεθύμησεν εἰς νυμφίωσιν 506,44; εἰς πτῶμα κεῖται 222,15; γρηγόρει εἰς τὴν σωτηρίαν σου 247,8 (sed cf. 248,16 γρηγόρει πρὸς τοὺς ἀοράτους ἐχθρούς).

ἐκ (ἐξ):

pro ἀπό: ἐκ τῆς ἀθυμίας ἀνακομίσαντος 493,16; φυλάττεις ἑαυτὸν ἐκ τῆς κοινωνίας τῶν ἀνόμων 95,10; λειποτακτήσας ἐκ τῶν ἑπτά 81,20.

temporaliter: ἐξ αἰῶνος 479,52; 500,31; ἐξ ἡμερῶν αἰῶνος 479,37.

singularia: ἐξ ὀλίγου μοι ὕμνηται 278,38.

ἐν:

pro εἰς cum accusativo: ἔρχεσθαι ἐν τῷ ἁγίῳ κελλίῳ σου 2,34; ὑπέβαλεν ... τὰς ἀποκρίσεις ἐν ταῖς ἀκοαῖς 23,10; μετεξωρίσθην ἐν Ἀνατολικοῖς 112,39; ἐν ἀποβύστῳ που εἰσερχόμενος 24,50; ἐν ἄρκυσιν ἐμπεσεῖν 547,13; ἀπεστείλαμεν ἐν τοῖς αὐτόθι 527,5; παραχωρητέον πάντα ἐν τῇ βουλῇ καὶ θελήσει 6,18; εἰσπηδήσας ἐν τῇ ἐκκλησίᾳ 31,61; δέδωκεν ὁ θεὸς ἐν τῇ καθ' ἡμᾶς ἐπαρχίᾳ 493,2; ἀπὸ τοῦ μὴ εἰσοικίζεσθαι τοὺς πονηροὺς λογισμοὺς ἐν τῇ καρδίᾳ 483,20; ἐπετάσθημεν ἐν τῇ Λήμνῳ 3,95; ἕως ἂν εἰσοικισθῇ ἐν τῇ μάνδρᾳ αὐτοῦ 14,40; διδόναι δῶρα ἐν μοναστηρίοις 552,32; ἕως ἂν ὑποστρέψῃ ἐν τῷ οἰκείῳ μοναστηρίῳ 19,7; ἀπαίρων ἐν οὐρανοῖς 544,55; καταχθέντες ἐν τῇ Παύλᾳ 3,75 (sed cf. 3,84 κατήχθημεν εἰς Τίλιν); ἀναδραμόντα ἐν τῇ περιωπῇ 255,9; πῶς εἰσίοι ἐν τῇ πόρτῃ 107,13; ἐξελθόντος ἐν τῷ Σακκουδίωνι 72,25; ἐδεξάμην ἐν χερσίν 3,11.

temporaliter: ἐν τῷ νῦν αἰῶνι 32,58; cf. 505,47; 513,40; 517,36; καὶ νῦν ἐν γήρει καλῷ 6,30; ἐν τοῖς δέκα ἔτεσι τούτοις 21,58; 22,146; ἐν τοῖς δυσὶν ἔτεσι 21,44; 25,68; 43,32; cf. 485,14; ἐν δωδεκαωρίῳ 3,100; ἐν τῇ ἐσχάτῃ ὥρᾳ 531,27; ἐν τῇ χθὲς ἡμέρᾳ 5,2; cf.

INDEX VERBORUM MEMORABILIUM

* denotat vocabula, quae in lexicis Liddell – Scott – Jones et Lampe non exstant
[*] denotat vocabula, quae in lexicis illis in diversa forma prolata sunt
§ denotat vocabula, quae in lexicis illis cum diversa significatione apparent
*L denotat vocabula, quae in lexico Lampe asterisco signata sunt
Numeri ad epistulam et lineam spectant

INDEX LOCORUM

a) Sacrae scripturae

i) Vetus Testamentum

ii) Novum Testamentum

b) Aliorum auctorum

INDEX EORUM
AD QUOS SCRIPTAE SUNT THEODORI EPISTULAE

NUMERORUM EPISTULARUM TABULAE

1. PRIORES EDITIONES CUM NOSTRA COMPARATAE

Sirm.	F.	Sirm.	F.	Sirm.	F.
I 1	1	I 39	39	II 20	294
2	2	40	40	21	301
3	3	41	41	22	302
4	4	42	42	23	305
5	5	43	43	24	308
6	6	44	44	25	313
7	7	45	45	26	314
8	8	46	46	27	315
9	9	47	47	28	317
10	10	48	48	29	323
11	11	49	49	30	332
12	12	50	50	31	333
13	13	51	51	32	340
14	14	52	52	33	359
15	15	53	53	34	376
16	16	54	54	35	377
17	17	55	55	36	380
18	18	56	56	37	381
19	19	57	554	38	382
20	20	II 1	71	39	383
21	21	2	149	40	384
22	22	3	560	41	385
23	23	4	175	42	386
24	24	5	186	43	387
25	25	6	215	44	388
26	26	7	219	45	389
27	27	8	221	46	390
28	28	9	222	47	391
29	29	10	223	48	392
30	30	11	225	49	393
31	31	12	271	50	394
32	32	13	272	51	395
33	33	14	275	52	396
34	34	15	276	53	397
35	35	16	277	54	398
36	36	17	278	55	399
37	37	18	286	56	400
38	38	19	292	57	401

Sirm.	F.	Sirm.	F.	Sirm.	F.
II 58	402	II 107	450	II 156	64
59	403	108	451	157	462
60	404	109	453	158	463
61	405	110	454	159	467
62	406	111	456	160	471
63	407	112	457	161	476
64	408	113	458	162	477
65	409	114	459	163	479
66	410	115	460	164	486
67	411	116	461	165	489
68	412	117	464	166	490
69	413	118	465	167	491
70	414	119	466	168	492
71	415	120	468	169	496
72	416	121	469	170	70
73	417	122	470	171	499
74	418	123	472	172	500
75	419	124	473	173	502
76	420	125	65	174	507
77	421	126	474	175	508
78	422	127	475	176	509
79	423	128	66	177	510
80	424	129	478	178	511
81	425	130	67	179	512
82	426	131	480	180	513
83	58	132	481	181	514
84	427	133	68	182	515
85	428	134	482	183	516/
86	429	135	483		517
87	430	136	484	184	518
88	431	137	69	185	519
89	432	138	485	186	520
90	433	139	487	187	521
91	434	140	488	188	522
92	435	141	493	189	523
93	59	142	494	190	524
94	436	143	495	191	525
95	60	144	497	192	526
96	437	145	498	193	527
97	438	146	501	194	528
98	439	147	503	195	529
99	440	148	504	196	530
100	441	149	505	197	531
101	442	150	506	198	63
102	444	151	445	199	532
103	61	152	446	200	533
104	62	153	449	201	535
105	447	154	452	202	537
106	448	155	455	203	536

Sirm.	F.	Mai	F.	Mai	F.
II 204	538	30	101	79	151
205	539	31	102	80	152
206	540	32	103	81	153
207	541	33	104	82	154
208	542	34	105	83	155
209	543	35	106	84	156
210	544	36	107	85	157
211	545	37	108	86	158
212	546	38	109	87	159
213	547	39	110	88	160
214	548	40	111	89	161
215	549	41	112	90	162
216	550	42	113	91	163
217	551	43	114	92	164
218	443	44	115	93	165
219	552	45	116	94	166
220	553	46	117	95	167
221	555	47	118	96	168
ep. ad Plat.		48	119	97	169
(PG 99,500–505)	57	49	120	98	170
Mai 1	72	50	121	99	171
2	73	51	122	100	172
3	74	52	123	101	173
4	75	53	124	102	174
5	76	54	125	103	176
6	77	55	126	104	177
7	78	56	127	105	178
8	79	57	128	106	179
9	80	58	129	107	180
10	81	59	130	108	181
11	82	60	131	109	182
12	83	61	132	110	183
13	84	62	133	111	184
14	85	63	134	112	185
15	86	64	135	113	187
16	87	65	136	114	188
17	88	66	137	115	189
18	89	67	138	116	190
19	90	68	139	117	191
20	91	69	140	118	192
21	92	70	141	119	193
22	93	71	142	120	194
23	94	72	143	121	195
24	95	73	144	122	196
25	96	74	145	123	197
26	97	75	146	124	198
27	98	76	147	125	199
28	99	77	148	126	200
29	100	78	150	127	201

Mai	F.	Mai	F.	Mai	F.
128	202	177	256	226	321
129	203	178	257	227	322
130	204	179	258	228	324
131	205	180	259	229	325
132	206	181	260	230	326
133	207	182	261	231	327
134	208	183	262	232	328
135	209	184	263	233	329
136	210	185	264	234	330
137	211	186	265	235	331
138	212	187	266	236	334
139	213	188	267	237	335
140	214	189	268	238	336
141	216	190	269	239	337
142	217	191	270	240	338
143	218	192	273	241	339
144	220	193	274	242	341
145	222	194	279	243	342
146	224	195	280	244	343
147	226	196	281	245	344
148	227	197	282	246	345
149	228	198	283	247	346
150	229	199	284	248	347
151	230	200	285	249	348
152	231	201	287	250	349
153	232	202	288	251	350
154	233	203	289	252	351
155	234	204	290	253	352
156	235	205	291	254	353
157	236	206	293	255	354
158	237	207	295	256	355
159	238	208	296	257	356
160	239	209	297	258	357
161	240	210	298	259	358
162	241	211	299	260	360
163	242	212	300	261	361
164	243	213	303	262	362
165	244	214	304	263	363
166	245	215	306	264	364
167	246	216	307	265	365
168	247	217	308	266	366
169	248	218	309	267	367
170	249	219	310	268	368
171	250	220	311	269	369
172	251	221	312	270	370
173	252	222	316	271	371
174	253	223	318	272	372
175	254	224	319	273	373
176	255	225	320	274	374

Mai	F.	Mai	F.	Mai	F.
275	375	284	545	293	516
276	378	285	59	294	517
277	379	286	60	295	533
278	149	287	436	296	535
279	301	288	437	Mai NPB V 3 p. 99	553
280	323	289	439	p. 101	555
281	400	290	440	Devresse AB 68 p. 54	555
282	517	291	483	Gill OCP 34 p. 66	556
283	534	292	484		

2. EDITIO NOSTRA CUM PRIORIBUS EDITIONIBUS COMPARATA

F.	Sirm.	F.	Sirm.	F.	Sirm.
1	I 1	35	I 35	66	II 128
2	2	36	36	67	130
3	3	37	37	68	133
4	4	38	38	69	137
5	5	39	39	70	170
6	6	40	40	71	1
7	7	41	41	72	Mai 1
8	8	42	42	73	2
9	9	43	43	74	3
10	10	44	44	75	4
11	11	45	45	76	5
12	12	46	46	77	6
13	13	47	47	78	7
14	14	48	48	79	8
15	15	49	49	80	9
16	16	50	50	81	10
17	17	51	51	82	11
18	18	52	52	83	12
19	19	53	53	84	13
20	20	54	54	85	14
21	21	55	55	86	15
22	22	56	56	87	16
23	23	57	ep. ad. Plat.	88	17
24	24		(PG 99,500–505)	89	18
25	25	58	Sirm. II 83	90	19
26	26	59	Sirm. II 93	91	20
27	27		Mai 285	92	21
28	28	60	Sirm. II 95	93	22
29	29		Mai 286	94	23
30	30	61	Sirm. II 103	95	24
31	31	62	104	96	25
32	32	63	198	97	26
33	33	64	156	98	27
34	34	65	125	99	28

F.	Mai	F.	Mai	F.	Mai
100	29	149	278	197	123
101	30		Sirm. II 2	198	124
102	31	150	Mai 78	199	125
103	32	151	79	200	126
104	33	152	80	201	127
105	34	153	81	202	128
106	35	154	82	203	129
107	36	155	83	204	130
108	37	156	84	205	131
109	38	157	85	206	132
110	39	158	86	207	133
111	40	159	87	208	134
112	41	160	88	209	135
113	42	161	89	210	136
114	43	162	90	211	137
115	44	163	91	212	138
116	45	164	92	213	139
117	46	165	93	214	140
118	47	166	94	215	Sirm. II 6
119	48	167	95	216	Mai 141
120	49	168	96	217	142
121	50	169	97	218	143
122	51	170	98	219	Sirm. II 7
123	52	171	99	220	Mai 144
124	53	172	100	221	Sirm. II 8
125	54	173	101	222	Mai 145
126	55	174	102		Sirm. II 9
127	56	175	Sirm. II 4	223	Sirm. II 10
128	57	176	Mai 103	224	Mai 146
129	58	177	104	225	Sirm. II 11
130	59	178	105	226	Mai 147
131	60	179	106	227	148
132	61	180	107	228	149
133	62	181	108	229	150
134	63	182	109	230	151
135	64	183	110	231	152
136	65	184	111	232	153
137	66	185	112	233	154
138	67	186	Sirm. II 5	234	155
139	68	187	Mai 113	235	156
140	69	188	114	236	157
141	70	189	115	237	158
142	71	190	116	238	159
143	72	191	117	239	160
144	73	192	118	240	161
145	74	193	119	241	162
146	75	194	120	242	163
147	76	195	121	243	164
148	77	196	122	244	165

F.	Mai	F.	Mai	F.	Mai
245	166	294	Sirm. II 20	340	Sirm. II 32
246	167	295	Mai 207	341	Mai 242
247	168	296	208	342	243
248	169	297	•209	343	244
249	170	298	210	344	245
250	171	299	211	345	246
251	172	300	212	346	247
252	173	301	279	347	248
253	174		Sirm. II 21	348	249
254	175	302	22	349	250
255	176	303	Mai 213	350	251
256	177	304	214	351	252
257	178	305	Sirm. II 23	352	253
258	179	306	Mai 215	353	254
259	180	307	216	354	255
260	181	308	217	355	256
261	182		Sirm. II 24	356	257
262	183	309	Mai 218	357	258
263	184	310	219	358	259
264	185	311	220	359	Sirm. II 33
265	186	312	221	360	Mai 260
266	187	313	Sirm. II 25	361	261
267	188	314	26	362	262
268	189	315	27	363	263
269	190	316	Mai 222	364	264
270	191	317	Sirm. II 28	365	265
271	Sirm. II 12	318	Mai 223	366	266
272	Sirm. II 13	319	224	367	267
273	Mai 192	320	225	368	268
274	193	321	226	369	269
275	Sirm. II 14	322	227	370	270
276	15	323	280	371	271
277	16		Sirm. II 29	372	272
278	17	324	Mai 228	373	273
279	Mai 194	325	229	374	274
280	195	326	230	375	275
281	196	327	231	376	Sirm. II 34
282	197	328	232	377	35
283	198	329	233	378	Mai 276
284	199	330	234	379	277
285	200	331	235	380	Sirm. II 36
286	Sirm. II 18	332	Sirm. II 30	381	37
287	Mai 201	333	31	382	38
288	202	334	Mai 236	383	39
289	203	335	237	384	40
290	204	336	238	385	41
291	205	337	239	386	42
292	Sirm. II 19	338	240	387	43
293	Mai 206	339	241	388	44

F.	Sirm.
389	II 45
390	46
391	47
392	48
393	49
394	50
395	51
396	52
397	53
398	54
399	55
400	{ 56
	Mai 281
401	Sirm. II 57
402	58
403	59
404	60
405	61
406	62
407	63
408	64
409	65
410	66
411	67
412	68
413	69
414	70
415	71
416	72
417	73
418	74
419	75
420	76
421	77
422	78
423	79
424	80
425	81
426	82
427	84
428	85
429	86
430	87
431	88
432	89
433	90
434	91
435	92

F.	Sirm.
436	{ II 94
	Mai 287
437	{ Sirm. II 96
	Mai 288
438	Sirm. II 97
439	{ 98
	Mai 289
440	{ Sirm. II 99
	Mai 290
441	Sirm. II 100
442	101
443	218
444	102
445	151
446	152
447	105
448	106
449	153
450	107
451	108
452	154
453	109
454	110
455	155
456	111
457	112
458	113
459	114
460	115
461	116
462	157
463	158
464	117
465	118
466	119
467	159
468	120
469	121
470	122
471	160
472	123
473	124
474	126
475	127
476	161
477	162
478	129
479	163
480	131

F.	Sirm.
481	II 132
482	134
483	{ 135
	Mai 291
484	{ Sirm. II 136
	Mai 292
485	Sirm. II 138
486	164
487	139
488	140
489	165
490	166
491	167
492	168
493	141
494	142
495	143
496	169
497	144
498	145
499	171
500	172
501	146
502	173
503	147
504	148
505	149
506	150
507	174
508	175
509	176
510	177
511	178
512	179
513	180
514	181
515	182
516	{ 183
	Mai 293
517	{ Sirm. II 183
	Mai 294
518	Sirm. II 184
519	185
520	186
521	187
522	188
523	189
524	190
525	191

F.	Sirm.
526	II 192
527	193
528	194
529	195
530	196
531	197
532	199
533	200 Mai 295
534	283
535	Sirm. II 201 Mai 296
536	Sirm. II 203
537	202
538	204

F.	Sirm.
539	II 205
540	206
541	207
542	208
543	209
544	210
545	211 Mai 284
546	Sirm. II 212
547	213
548	214
549	215
550	216
551	217
552	219

F.	Sirm.
553	Mi. II 220 Mai NPB V 3 p. 99
554	Sirm. I 57
555	Mi. II 221 Mai NPB V 3 p. 101 Devreesse AB 68 p. 54
556	Gill OCP 34 p. 66
557	– – – – – – – –
558	– – – – – – – –
559	– – – – – – – –
560	Laurent, Pierre d'Atroa p. 147
561	Sirm. II 3
⟨562⟩	– – – – – – – –
⟨563⟩	– – – – – – – –
⟨564⟩	– – – – – – – –

INITIA EPISTULARUM

ADDENDA ET CORRIGENDA IN APPARATU CRITICO

ep. 3,131 νῦν δὲ χαίρων, ἅγιε, χαίροντι τῷ ποθουμένῳ συνὼν μέμνησο σὺν αὐτῷ πρὸς τὸν κοινὸν δεσπότην ὡς ὑπεραθλήσας τῆς ἐκκλησίας, τοῖς ὁμοίοις καὶ νῦν πολεμουμένης, καὶ ἀπαλλαγὴν αὐτῇ αἰτήσασθε τῶν ἐνοχλουσῶν θλίψεων in marg C manu rec

5,45 ἀντεπιστελλέτω Sirm

6,23 pro „om S" lege „in marg S"

10,87 τῶν post βουλῆς add PS Sirm

11,40 οἱ δὲ ναυτίλλουσιν, οἱ δὲ ποιμαινεύουσιν in marg S

72 τῶν ἀποστόλων S

16,35 verba καὶ συγκρίνει post ἐπικρίνῃ iterum scripta cancell S

18,24 δυσεξεύρετον S^{pc}

19,2 τοῦ om PS

27 ἀποδιώκων S

20,52 φυλάσσοντες S

24,1 περὶ οἰκονομίας in marg CS

68 σημείωσαι· τίς ἐστι σύνοδος etc in marg P

35,34 τὸ εἰς S

36,53 ἐν θανάτῳ in marg S

39,91 σημείωσαι· τί τὸ ἔργον etc in marg P

40,9 κατηρτισμένον S

164 ἐξέραμα VPS

43,68 ἐκ τούτων S

48,62 ἀγάθου S

93 κύκλωθεν S

64,1 πατρίκιον M Γρηγόριον om M

90,11 ἐγκατέλιπον ἡμᾶς S

104,15 τὸ: τοῦ S^{pc}: an καὶ τὸ scribendum?

125,9 Βασιανέ omnes: correxi

128,4 an χρυσὸς scribendum? cf epp 40,6; 520,27; 542,39

145,27 περὶ τούτου καὶ in marg S

152,31 λυπῆσθε S^{pc}

167,5 τῷ post ἐν add S

170,11 ὑμᾶς ἐγκαταλιπεῖν S^{ac}

176,1 Εὐκαιρίας om Mai

19 στρατιωτομονάχοις S

180,15 ἔπεμψας S^{pc}

181,20 εὐφράνθη S

38 κἀγὼ: ἐγὼ S

221,146 τοῦ om S

223,53 οἱ ἅγιοι πάντες S^{ac}

73 ἐρίθειαν VPS Sirm

231,40 βάαλ S

236,14 ἡμῶν S^{pc}

237,2 Βασιανὲ omnes: correxi

264,6 μένεις S

268,2 γραμμάτιον S

275,44 θανάτου S^{sscr}

278,2 ἠγαπημένῳ S^{sscr}

315,10 ἐπὶ: an ἀπὸ scribendum?

323,32 οὐκ ἐγλύκανται S

360,11 ἀδελφοὶ S

364,21 ἀντάμειψαι S

367,2 an ὑγιᾶ scribendum?

372,6 γνώριμον μόνον S^{ac}

380,92 ποσὶ S

194 πᾶς om S

387,10 ὑμῖν S

407,63 ἐν: ἐφ' S

410,63 ἐδόξασα τὸν θεὸν S^{ac}

411,12 ὡς ἐδίδαξας, οὕτως ἔχουσαν S^{ac}

412,17 ἐν νήσῳ, ὡς μεμάθηκα S^{ac}

416,18 ʹβ^{ον} in marg S

23 ʹγ^{ον} in marg S

29 ʹδ^{ον} in marg S

34 ʹα^{ον} in marg S

421,26 ἀρχὴν S^{ac}

434,1 τῆς om S

462,51 φυλασσομένους S

463,35 Ἁγίας om S

536,34 ὧν: ἃ S

538,59 υἱοῦ ἡμῶν S

553,10 θεοπρεπὴς Mai Mi

CORPUS FONTIUM HISTORIAE BYZANTINAE

Nicetae Choniatae Orationes et Epistulae

Recensuit Ioannes Aloysius van Dieten

Groß-Oktav. XXIV, 280 Seiten, 2 Faksimiles. 1973.
Ganzleinen DM 185,- ISBN 3 11 001767 9 (Vol. III)

Ioannis Scylitzae Synopsis Historiarum

Recensuit Ioannes Thurn

Groß-Oktav. LVI, 580 Seiten, 3 Faksimiles. 1973.
Ganzleinen DM 405,- ISBN 3 11 002285 0 (Vol. V)

Nicetae Choniatae Historia

Recensuit Ioannes Aloysius van Dieten

Groß-Oktav. 1975. Ganzleinen DM 705,-
ISBN 3 11 004528 1 (Vol. XI/1-2)

Band 1: Einleitung und Text. - CXV, 656 Seiten, 3 Faksimiles. - Band 2: Indices. - 241 Seiten.

Preisänderungen voebehalten